Euthymius Zigabenus

Exposition of the Psalter
&
Dogmatic Chapters

as contained in

Moscow Synodal Library
manuscript gr. 195

and collated with other early manuscripts from
Paris (Bibliothèque Nationale), London (British Library),
Constantinople (Old Seraglio Library),
Sinai (Saint Catherine's Monastery Library),
Mount Athos (Iviron Monastery Library),
Florence (Laurenziana Library)
and
Munich (Bavarian State Library)

John Raffan
2013

SIGLA

Manuscripts

M	Moscow Synodal Library gr. 195	(12th century)
P	Paris Fonds gr. 142	(12th century)
C	Constantinople Old Seraglio Library	(12th century)
A	British Library Add. MS 22492	(12th century)
S	Sinai gr. 26 [Beneseviç]	(12th century)
I	Iviron 224 [Lambros 556]	(1262 AD)
H	British Library Harley 5575	(1281 AD)
F	Florence Laurenziana Plut. 09.02	(13th century)
O	Paris Fonds gr.144	(13th century)
B	Bayerische Staatsbibliothek Cod. graec. 194	(13th century)

[Secondary hands in the mss. are indicated by a raised numeral, e.g. S^2, P^2, etc.]

Printed Editions

V *Euthymii Zigabeni Commentaria in Psalmos Graece nunc primum vulgata studio et opera Antonii Bongiovanni*, Venice, 1763. From: Venice Marciano Z 18 (13th century). [Reprinted in J.-P. Migne, *Patrologia Graeca*, vol. 128, 1864].

L Latin translation of the Commentary on the Psalms and Biblical Canticles by Filippo Sauli: *Euthymii monachi Zigaboni Commentationes in omnes Psalmos de Graeco in Latinum conversae per R.D. Philippum Saulum, episcopum Brugnatensem*, Veronae, per Stephanum Nicolinum Sabiensem et Fratres, mense Ianuario 1530. [Translation of the Commentary on the Psalms reprinted in J.-P. Migne Patrologia Graeca vol. 128, 1864].

N Abridged version by Nikephros Blemmydes: *Nicephorus Blemmida, Expositio in Psalmos ex tribus codd. Gr. Paris. 150, 810 et Coislin. 102 nunc primum edita*, J.-P. Migne, *Patrologia Graeca*, vol. 142, 1885.

E Commentary on the Four Gospels: *Commentarius in Quatuor Evangelia*, Christ. Frid. Mattæi, Leipzig, 1792. [Reprinted in J.-P. Migne, *Patrologia Graeca*, vol. 129, 1864].

K Commentary on the Pauline Epistles: Nikephoros Kalogeras, *Euthymii Zigabeni Commentarius in XIV Epistolas Sancti Pauli et VII Catholicas*, Athens 1887.

Psalter Text

T *Theodore Psalter*, Electronic Facsimile, ed. Charles Barber, University of Illinois, 2000. [also now available on-line among British Library digitised Manuscripts].

Ra *Septuagint*, ed. Alfred Rahlfs, Württemberg 1935.

Abbreviations

Old Testament

Genesis	Gen	Psalms	Ps	Habakkuk	Hab
Exodus	Ex	Proverbs	Prov	Zephaniah	Soph
Leviticus	Lev	Song of Songs	SS	Haggai	Hag
Numbers	Nu	Job	Job	Zechariah	Zach
Deuteronomy	Dt	Sirach	Sir	Malachi	Mal
Joshua	Jos	Wisdom of Solomon	Sap		
Judges	Jdc			Isaiah	Isa
Ruth	Ruth	Hosea	Hos	Jeremiah	Jer
Kingdoms	Rg	Amos	Am	Baruch	Bar
Paralipomenon	Par	Michah	Mich	Lamentations	Thr
Esdras	Esdr	Joel	Joel	Ezechiel	Ez
Judith	Judith	Obadiah	Ob	Susanna	Sus
Tobit	Tob	Jonah	Jon	Daniel	Dan
Maccabees	Macc	Nahum	Nah		

New Testament

Matthew	Mt	Romans	Rom	Timothy	Tim
Mark	Mk	Corinthians	Cor	Titus	Tit
Luke	Lk	Galatians	Gal	Philemon	Phm
John	Jn	Ephesians	Eph	Hebrews	Heb
Acts	Ac	Philippians	Php	James	Jc
		Colossians	Col	1Peter	1Pet
		Thessalonians	Thes	1 John	1Jn
				Jude	Jude

Other Abbreviations

PG *Patrologia Graeca* (Migne)

DP *Doctrina Patrum de incarnatione Verbi : Ein Griechisches Florilegium aus der Wende des siebenten und achten Jahrhunderts*, herausgegeben von Franz Diekamp, Münster, 1907.

Hol *Vetus Testamentum Graecum cum variis lectionibus*, Robert Holmes & James Parsons, Oxford, 1823.

Προοίμιον τῆς Ἐξηγήσεως τῆς Βίβλου τῶν Ψαλμῶν ἤτοι τοῦ Ψαλτηρίου καὶ Ἐγκώμιον τοῦ Δαυίδ

§ 1 Πατὴρ τοῦ παρόντος βιβλίου, τὸ μὲν ὅλον εἰπεῖν, ὁ Θεοῦ παῖς, *Ὑπερασπιῶ,*
φησὶ, τῆς πόλεως ταύτης, δι᾽ ἐμὲ καὶ διὰ Δαυὶδ τὸν παῖδά μου, ὁ Θεοῦ 4 Rg 19.34
πατὴρ, *Βίβλος*, φησὶ, *γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυίδ.* Mt 1.1

§ 2 Τὰ δ᾽ ἄλλα συντόμως περιλαβεῖν, ὁ μετὰ Ἀβραὰμ μόνος τῶν ἐθνῶν πατὴρ, Gen 17.5
ὁ καθ᾽ ἡμᾶς Ὀρφεὺς, ὁ πρῶτος τῶν ἀρετῶν καλλιγράφος, ὁ πρῶτος τῶν τριῶν Ps 17.44β
ὑποστάσεων τῆς μιᾶς Θεότητος κῆρυξ, ὁ ποιμὴν ἅμα καὶ ἀριστεὺς, καὶ προφήτης καὶ βασιλεὺς, ἡ τοῦ Πρώτου Βασιλέως καρδία καὶ γλῶσσα καὶ κάλαμος, ὁ παρὰ Θεοῦ μαρτυρηθεὶς, ὁ πάσας κτησάμενος τὰς ἀρετὰς, ὅσαι τὸν ἄνθρωπον Θεὸν ποιοῦσι καὶ περὶ τὸν ἄνθρωπον ἀφορίζονται.

§ 3 Οὗτος Ἰεσσαὶ μὲν ἦν υἱὸς καὶ τῶν ἀδελφῶν νεώτατος· ἀπέριττος μὲν τὴν ὄψιν, ὡραιότατος δὲ τὴν ψυχὴν, καὶ πάντων προφητῶν καὶ στρατηγῶν καὶ νομοθετῶν καὶ βασιλέων εὐφορώτατος, καὶ ποικιλώτατος τὰ χαρίσματα· πραότατος μὲν τὸ πνεῦμα καὶ τὴν φύσιν ἐπιεικέστατος, ἀνδρειότατος δὲ τὴν γνώμην καὶ τὸ σῶμα ῥωμαλεώτατος· ἀρχικώτατος ὁμοῦ καὶ κοινότατος, μεγαλοφρονέστατός τε καὶ μετριοφρονέστατος, ἁπλούστατος καὶ πολυτροπώτατος· ἡδὺς τὸ ἦθος, ὀξὺς τὸν λόγον, πολὺς τὸν νοῦν, ἔνθους τὴν θεωρίαν τῶν ὄντων ἢ τοῦ Ὄντος· αὐτοδίδακτος ἢ θεοδίδακτος· ὅλος καὶ ὅλου καὶ ὅλον ἅμα τοῦ πνεύματος· ἃ πάντα παραδραμὼν ἢ συνελὼν, δύο μόνα σεμνολογεῖται περὶ ἑαυτοῦ, σοφίαν καὶ ἀνδρείαν.

§ 4 Χρὴ δὲ περὶ τῆς σοφίας πρῶτον διαλαβεῖν. Φησί που βαθύτερον ἢ ἀσαφέστερον,
Αἱ χεῖρές μου ἐποίησαν ὄργανον, καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον. Ps 151.2

§ 5 Σοφία γὰρ οὐδὲν ἕτερον ἢ ἁρμονία λόγων καὶ πραγμάτων. Ἄλλως τε κἀν ταῖς λογικαῖς ἐπιστήμαις, ἁρμονικὴ, τὸ κάλλιστόν τε καὶ κορυφαιότατον τῆς φιλοσοφίας, αὐτή τε ἑαυτὴν καὶ πάνθ᾽ ὁμοῦ τὰ τῆς φιλοσοφίας μέρη καὶ κάλλη καὶ ἑαυτῇ καὶ ἀλλήλοις δι᾽ ἑαυτῆς ἁρμόζουσα, συμφωνία τις οὖσα πᾶσιν ἢ ἀναλογία. Ὁ γοῦν ταύτην ἔχειν ὁμολογήσας, πᾶσαν ἐν βραχεῖ τὴν θεωρίαν ἑαυτῷ τῶν ὄντων προσεμαρτύρησε.

§ 6 Παρατηρητέον δὲ πῶς τῷ μὲν ὀργάνῳ τὰς χεῖρας ἁπλῶς καὶ τὴν ποιητικὴν δύναμιν ἀνέθηκε, τῷ δὲ ψαλτηρίῳ, τοὺς δακτύλους καὶ τὴν ἁρμονικήν· ἐκεῖνο μὲν γὰρ ἁπλούστερον καὶ κοινότερον, τοῦτο δὲ τῶν ἐπιστημονικῶν τε καὶ λεπτοτέρων, καὶ ἀκριβεστέρας δεόμενον ἐπιτεχνήσεως.

§ 7 Ἀναγωγικῶς δὲ χεῖρας μὲν οἰητέον, τὴν πρακτικὴν ἀρετὴν, ὥσπερ ὄργανον ἀποτελοῦσαν τὸν βίον ἐμμελῆ καὶ σύμφωνον ἑαυτῷ· δακτύλους δὲ, τοὺς θεωρητικωτάτους λογισμοὺς, οἷα ψαλτήριον ἁρμόζοντας τὸ νοερὸν τοῦ λόγου κριτήριον, ὡς ἐμπνεῖσθαι καὶ ἄνωθεν ἢ κρούεσθαι, καὶ δι᾽ ἑτέρου μείζονος ἀνακρούεσθαι.

§ 8 Καὶ ἀλλαχοῦ δὲ λέγει τῶν ψαλμῶν, *Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.* Βαβαὶ τῆς μεγαληγορίας! οὐ μόνον γὰρ τῶν φαινομένων Ps 50.8
τὴν γνῶσιν, ἀλλὰ καὶ τῶν ἀποῤῥήτων ἐμυήθη τὴν σύνεσιν, οἷον ὅτι τε τριὰς καὶ μονὰς, καὶ περὶ τῆς θείας ἐνανθρωπήσεως. Καὶ πάλιν, *Ὑπὲρ πάντας ἐσόφισάς με τὴν ἐντολήν σου*, περὶ τῆς πρακτικῆς φάσκων, καθ' ἣν αὖθις ἐπρώτευεν. Ps 118.98

§ 9 Ἀλλὰ ταῦτα μὲν περὶ τῆς σοφίας. Τὰ δὲ περὶ τῆς ἀνδρείας αὐτὸς πάλιν ἐκδιηγεῖται. Φησὶ γὰρ, *Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ, καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ· ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν, ἀπεκεφάλισα αὐτὸν, καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ἰσραήλ.* Ps 151.6-7

§ 10 Ὅρα μὴ τὴν ἀνδρείαν μόνον, | ἀλλὰ πολὺ πρῶτον τὴν ἐπιείκειαν. Πολλὰ γὰρ καὶ μεγάλα λέγειν ἔχων αὐτίκα, τῶν μὲν πολεμίων τὰ πλήθη, τὰ θάρση, τὰ ὅπλα, τὰς πολεμικὰς τέχνας καὶ μελέτας· αὐτοῦ τοῦ γίγαντος ἢ ἐλέφαντος ἐκείνου τὴν ἀλαζονείαν, τὴν ἐμπειρίαν, τὴν ἰσχὺν, τὸ μέγεθος· τῶν Ἰουδαίων δὲ τὴν δειλίαν, τὴν ἀγωνίαν· αὐτοῦ τοῦ βασιλέως τὴν ἀπορίαν· καὶ πῶς ἐπεφρίκεσαν πάντες, καὶ στρατηγοὶ καὶ στρατιῶται, καὶ νέοι καὶ παλαιοὶ, τὸν ἀλλόφυλον· καὶ πῶς νεώτατος αὐτὸς ὢν, καὶ βραχὺς καὶ ἄοπλος καὶ πολέμων ἄπειρος, κατεθάῤῥησε τοῦ βαρβάρου, καὶ οἷα νεκρῷ τῷ τοσούτῳ πύργῳ καὶ τοιούτῳ θηρὶ χρησάμενος, κατηγωνίσατο ῥᾷον· καὶ τῇ ἐκείνου μαχαίρᾳ τὴν κεφαλὴν ἀφελὼν τοῦ σώματος, ἔλυσε τὸν φόβον, ἔστησε τὸν φόνον, ἔσωσε τὸ στρατόπεδον καὶ τὸν ἡγεμόνα καὶ πατρίδα καὶ προγόνων τάφους καὶ νόμους πατρῴους καὶ ἱερὰ καὶ γονεῖς καὶ σύμπαντα γένη καὶ ἡλικίας· ὁ δὲ τούτων μὲν οὐθὲν ἐμεγαλαύχησεν, ἐπιεικέστατα δὲ πάνυ διεξῆλθε τὸ πρὸς τὸν Γολιὰθ μονομάχιον.

§ 11 Ἀλλ' οὗτος, ὁ τοσοῦτος καὶ τηλικοῦτος, ἵνα μὴ καθ' ἕκαστον διατρίβω λέγων, ἐξευτελίζεται μὲν παρὰ τοῦ πατρὸς τὴν ἀρχὴν, τῷ φαινομένῳ προσέχοντος· ἀποβάλλεται δ' εἰς ποιμένας, καὶ τούτων τοὺς ἐν τοῖς λοχευομένοις ὄπισθεν. Ps 77.70

§ 12 Καὶ ὁ μὲν πατὴρ ὥσπερ ἐξετίθει κάτωθεν, ὁ δὲ Θεὸς ἄνωθεν υἱοθέτει, καὶ καθάπερ βασιλικὸν παῖδα, τὴν βασιλικὴν, εἴτουν ποιμαντικὴν ἐπιστήμην, πρῶτον ἐν τοῖς ἀλόγοις ἐκμελετᾶν παρεσκεύαζεν — ἐπαγρυπνεῖν, πολεμεῖν, προκινδυνεύειν τῆς ποίμνης, παρατάττεσθαι πρὸς θῆρας, πρὸς λῃστὰς, πρὸς κλέπτας, πρὸς λιμὸν, πρὸς κρυμὸν, πρὸς φλόγα, προηγεῖσθαι, παρακαλεῖν πρὸς νομὰς, πρὸς σκιὰς, εἰς κρήνας, εἰς ποταμοὺς, ἀνακαλεῖσθαι, συνάγειν, τῇ βακτηρίᾳ, τῇ φωνῇ, τῇ ᾠδῇ, τῇ σύριγγι, τέρπειν, φοβεῖν, διαιτᾶν, φαρμακεύειν, ὧν ἁπάντων τέλος, μὴ πιότατον μόνον ἀποδεῖξαι τὸ ποίμνιον, ἀλλὰ καὶ σωφρονέστατον καὶ εὐπαιδευτότατον.

§ 13 Ἀλλὰ τί δεῖ μηκύνειν; Ἔρχεται μετ' ὀλίγον ὁ χρίστης, ἐπιζητεῖται δὲ ὁ χρισθῆναι μέλλων. Ἐξέρχεται δὲ ὁ χορὸς τῶν παίδων, ὁ πολὺς ἐκεῖνος καὶ καλὸς καὶ λαμπρός. Ἐπιτίθεται τὸ κέρας, ὑπερτίθεται ὁ Θεός· ἀποδοκιμάζει τούτους, ὥσπερ καὶ ὁ πατὴρ τὸν Δαυίδ. 1Rg 16.6-10

§ 14 Ἀναγκάζεται παραγαγεῖν αὐτὸς ὁ ἐξουθενῶν τὸν ἐξουθενούμενον. Παράγεται.
Χρίεται καὶ ἄμφω, βασιλείαν καὶ προφητείαν, τῷ γὰρ κέρατι καὶ τῷ πνεύματι, 1Rg 16.13
σύμβολα καὶ ταῦτα τοῦ Σωτῆρος Ἰησοῦ, χρισθέντος ὕστερον εἰς βασιλέα τε καὶ Θεόν.

§ 9[1] πάλιν CV : πᾶσιν B.

§ 15 Τί γοῦν τὸ μετὰ τοῦτο; Πόλεμος ἀλλοφύλων ἐφίσταται, πολὺς καὶ ἄμαχος καὶ
ἀμήχανος· ἐπὶ ξυροῦ δὲ τῷ βασιλεῖ καὶ τῷ ἔθνει παντὶ τὰ πράγματα.

§ 16 Παρίσταται δὲ ὁ ῥύστης, ὁ προφήτης ὁμοῦ καὶ στρατιώτης καὶ βασιλεύς.
Ἐξουθενεῖται πάλιν, ἀποβάλλεται πάλιν· ὑπερβάλλει πάλιν, τοὺς ἀδελφοὺς τῇ
μακροθυμίᾳ, τὸν Σαοὺλ τῇ ἀπολογίᾳ, τὸν Γολιὰθ τῇ ἀνδρείᾳ, πάντας ἅμα, καὶ
τοὺς πρὸ αὐτοῦ καὶ τοὺς ἐπ᾽ αὐτοῦ καὶ τοὺς μετ᾽ αὐτὸν τῇ ὑπερφυεῖ γιγαντομαχίᾳ.
Σῴζει πάντας, εἷς φανεὶς ὑπὲρ πάντων καὶ ἀντὶ πάντων καὶ ὑπὲρ ἅπαντας.

§ 17 Εἶτα τί; Συμβασιλεύει, συνεκστρατεύει, συγκατορθοῖ, μᾶλλον δὲ, κατορθοῖ
τὰ λείποντα· νικᾷ τοὺς μὲν ἔξω πολεμίους τοῖς ὅπλοις, τὸν ἔνδον δὲ, τὸ πνεῦμα
δηλαδὴ τοῦ Σαοὺλ, τῇ μελῳδίᾳ τε καὶ τῷ πνεύματι. Στεφανοῦται καὶ εὐφημεῖται
παρὰ πάντων καὶ παρὰ πάντας· ᾠδὴ γίνεται καὶ ταῖς γυναιξὶν, Ἐπάταξε Σαοὺλ | ἐν
χιλιάσι, καὶ Δαυὶδ ἐν μυριάσι. 1Rg 18.7

§ 18 Φθονεῖται πάλιν· διώκεται, φεύγει, κρύπτεται, κυκλοῦται· κυκλοῖ τὸν
κυκλώσαντα· καὶ οὐχ ἁρπάζει τὸν καιρὸν, οὐ λαμβάνει τοῦ πολέμου λύσιν, οὐκ
ἀμύνεται τὸν ἐχθρὸν, ἀλλ᾽ ἀμύνει τούτῳ, φεύγων, οὐ μή τι πάθοι μᾶλλον, ἀλλά τι
μὴ δράσοι φοβούμενος τῶν ὧνπερ ἐφοβεῖτο παθεῖν.

§ 19 Τοσοῦτον ἐκέρασε τἀναντία, πραότητα καὶ ἀνδρείαν, ὡς εἶναι τὴν μὲν ἀνδρείαν
αὐτοῦ μείζονα τῶν ἐν ἄλλοις· αὐτῆς δέ γε ταύτης αὖθις τὴν ἐπιείκειαν.

§ 20 Τί ἔτι; Βασιλεύει, προφητεύει, μαρτυρεῖ Θεὸν, μαρτυρεῖται παρὰ Θεοῦ,
διαμαρτύρεται τὸν θρόνον αἰώνιον ἕξειν, τὸν κόσμον κληρονομήσειν, τοὺς ἀστέρας 2Rg 7.8-16
ὑπερβαλέσθαι τῷ πλήθει καὶ τῷ κάλλει τῶν τέκνων. 1Par 27.23

§ 21 Εἶτα, βαβαὶ τῆς συμφορᾶς· βαβαὶ τῆς μεταβολῆς. Ὁ ἐκλεκτὸς, ἄφνω μοιχός·
ὁ προφήτης, ἔκφρων· ὁ θεοφόρητος, ἐκμανής· ὁ ἀληθὴς, δολερός· ὁ ποιμὴν,
λῃστής· ὁ σωτὴρ, ἀνδροφόνος. 2Rg 11

§ 22 Ἐντεῦθεν ἡ μεταβολὴ τῆς γνώμης καὶ τὰ τολμήματα· ἐκεῖθεν ἡ ἐποχὴ τῶν
κρουμάτων καὶ ἡ τοῦ πνεύματος συστολή· ἐντεῦθεν ἡ ἐναλλαγὴ τοῦ βίου καὶ
ἡ τῶν κακῶν θάλασσα· ἐντεῦθεν οὐ μόνον ὁ ἔνθους, ἄπνους, τὴν ἄνωθεν λέγω
πνεῦσιν, ἀλλὰ καὶ ὁ πατὴρ, ἄπαις, καὶ οἱ παῖδες, οἱ μὲν, μιαροὶ καὶ ἀδελφοφθόροι,
οἱ δὲ, καὶ μιαρώτεροι τούτων, καὶ ἀδελφοκτόνοι καὶ πατραλοῖαι· καὶ ὁ βασιλεὺς,
πλανήτης· καὶ ὁ ἀριστεὺς, φυγάς· καὶ ὁ ποιμὴν, ὀρειάλωτος· καὶ πᾶς ὁ λαμπρὸς
οἶκος καὶ θρόνος ἐκεῖνος εἰς γῆν κατεῤῥαγμένος. 2Rg 12-18

§ 23 Ἐντεῦθεν ὁ λιμὸς καὶ ἡ τῆξις καὶ ὁ δεινὸς μετάμελος τῶν πραχθέντων.
Ἐντεῦθεν ἡ καινὴ καὶ τριπλὴ καὶ καθημερινὴ θυσία· τῶν μὲν ὀφθαλμῶν, οἱ
νυκτερινοὶ κρουνοὶ καὶ λουτῆρες· τῆς δὲ καρδίας, ἡ συντριβὴ καὶ οἱ στεναγμοί·
τῆς δὲ γλώττης, ἡ διηνεκὴς εὐχὴ καὶ ἐξομολόγησις. Ἐκεῖνα τὰ τραύματα, ταῦτα
τὰ φάρμακα ἢ οἱ καυτῆρες ἢ αἱ τομαί.

§ 24 Ἀλλ᾽ ὅ με καὶ μεταξὺ παρέδραμε, καὶ ὁ λόγος παρήνεγκε, τῶν κατὰ πόδας
ἀεὶ ἐχόμενος.

§ 25 Ἐφίσταται μετὰ τὴν πτῶσιν πάλιν τῷ προφήτῃ προφήτης, καθάπερ ἰατρὸς ἰατρῷ 2Rg 12.1
νοσοῦντι καὶ ἀποροῦντι. Καὶ ὥσπερ χρίστης τὸ πρότερον, οὕτω νῦν ἀφαιρέτης, οὐ

§ 18[3] τούτῳ, φεύγων IBF : τούτῳ· φεύγει CV. § 19[2] αὐτῆς δέ γε CFV: αὐτὸς δὲ οὐ B. § 20[3] ὑπερβαλέσθαι CF : ὑπερβάλεσθαι B : ὑπερβάλλεσθαι V. § 25[2] καὶ ἀποροῦντι IHBFV : om. C.

τοῦ ἀξιώματος μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ πνεύματος, εἴ τι κακουργήσει περὶ τὴν ἰατρείαν καὶ ἀποκρύψει τὸ τραῦμα καὶ ἀποδυσπετήσει τὸν ἔλεγχον.

§ 26 Συνεφίσταται δὲ καὶ ὑπουργὸς τῆσδε τῆς ἐκδικίας, καθάπερ τὸ πρὶν φύλαξ καὶ βοηθὸς ἰσχυρὸς, οὕτω καὶ νῦν τιμωρὸς ἄγγελος, τὴν ῥομφαίαν διεσπασμένος [Ps 7.12-13] καὶ κατενεγκεῖν ἕτοιμος ὢν, εἰ μὴ κἀκεῖνος καθ' ἑαυτοῦ τὴν ψῆφον ἐξενεγκὼν, λύσει τὴν ἀπόφασιν ἀποφάσει.

§ 27 Ἐντεῦθεν ὁ ὑποκριτὴς τῆς δίκης καὶ ὁ ἐκδικητὴς ἄγγελος, ἐκεῖθεν ὁ ἀπροσωπόληπτος δικαστὴς, καθ' ἑαυτοῦ τὴν γνώμην ἐκφέρων καὶ συντομώτερον ἐξελὼν τὸ βέλος ἤπερ ἐδέξατο, καὶ ὁ Θεὸς οὐ συνουλῶν μόνον, ἀλλὰ καὶ ἐξαλείφων τὸ τραῦμα, μὴ γὰρ συγχωρῶν μόνον, ἀλλὰ καὶ ἀφαιρῶν τὸ ἁμάρτημα.

§ 28 Πάλιν τὸ χάρισμα, πάλιν τὸ πνεῦμα, πάλιν τὰ κρούματα, πάλιν τὸ κατὰ πάντων κράτος, καὶ αἱ συνθῆκαι, καὶ τῆς υἱοθεσίας καὶ τῆς θεοπατορίας.

§ 29 Οὗτος οὖν, ὁ πολλὰ μὲν παθὼν, πολλὰ δὲ κατορθώσας, μυρίας δὲ τροπὰς τραπεὶς, πᾶσαν τὴν καθ' ἑαυτὸν ἱστορίαν καὶ τὰς περιπετείας ἐν τούτῳ παραδίδωσι τῷ συγγράμματι· καὶ πρώτη μὲν ὑπόθεσις καὶ σκοπὸς ταῦτα τοῦ πονήματος.

§ 30 Δεύτερον δὲ κεφάλαιον, ἡ τῆς ἀρχαιολογίας, οὐ τῆς Ἑβραϊκῆς μόνον, ἀλλὰ καὶ τῆς ἔτι παλαιοτέρας, ἐξήγησις· διέξεισι γὰρ ἐν πολλοῖς τοῖς ψαλμοῖς τὴν Γένεσιν, τὴν πρᾶξιν τῶν πατριαρχῶν, τὴν πλάνην, τὴν μετανάστασιν, τὴν εἰς Αἴγυπτον κάθοδον, τὴν δουλείαν, τὴν Ἔξοδον, τὴν νομοδοσίαν, τὴν σκηνὴν, τὴν ἱερατείαν, τοὺς Ἀριθμοὺς, τὸ Δευτερονόμιον, τὸν Ἰησοῦν, τὴν κληροδοσίαν, τοὺς Κριτὰς, τὰς Βασιλείας, καὶ εἴ τι τούτοις ἀκόλουθον.

§ 31 Τρίτον, ἡ φυσιολογία, περὶ οὐρανοῦ καὶ τῶν κατ' οὐρανὸν, περὶ γῆς καὶ τῶν κατὰ γῆν, περὶ ζῴων, περὶ στοιχείων, καὶ ἁπλῶς περὶ τῆς ὅλης δημιουργίας.

§ 32 Τέταρτον, ἡ περὶ τοῦ Σωτῆρος οἰκονομία, προφητεία πάντων ἐκφαντικώτερον· ὅσα περὶ τὴν Παρθένον, ὅσα περὶ τὴν σάρκωσιν, τὰ κατὰ τὴν δωροφορίαν, τὰ τῆς εἰς Αἴγυπτον ἀποδημίας καὶ ἐπανόδου καὶ ἀναδείξεως καὶ διδασκαλίας καὶ θαυματοποιΐας, τὰ τῆς συναγωγῆς, τὰ τοῦ φθόνου καὶ τῆς ἐπιβουλῆς καὶ τῆς προδοσίας καὶ τῆς ἀπαγωγῆς καὶ τῶν μαστίγων καὶ τῶν ἐμπαιγμῶν, τὰ τοῦ σταυροῦ καὶ τῆς ὀρυγῆς τῶν χειρῶν καὶ ποδῶν, τὰ τοῦ διαμερισμοῦ τῶν ἱματίων καὶ τοῦ κλήρου καὶ τῆς πικρᾶς γεύσεως καὶ τῆς ἀποπνεύσεως καὶ ταφῆς καὶ ἀναστάσεως καὶ εἰς οὐρανοὺς ἀνόδου καὶ τῆς ἐκ δεξιῶν καθέδρας καὶ τῆς κατὰ πάντων καὶ ὑπὲρ ἁπάντων νίκης καὶ βασιλείας.

§ 33 Πέμπτον, ἡ τῶν μετὰ ταῦτα προφητεία· τῶν ἐθνῶν ἡ κλῆσις, τῶν μαθητῶν ἡ δόξα, τὰ θαύματα, τὰ κηρύγματα, τῆς γῆς ἡ ὑποταγὴ, τῆς Ἐκκλησίας ἡ πῆξις καὶ ἐπίδοσις, ἡ τῶν Ῥωμαίων νίκη, τῶν Ἰουδαίων ἡ αἰχμαλωσία, τὰ κατὰ τὴν δευτέραν καὶ φρικτὴν τοῦ Σωτῆρος κάθοδον, καὶ ὅσα περὶ ἀναστάσεως καὶ κρίσεως καὶ ἀνταποδόσεως.

§ 34 Ἕκτον, ἡ θεολογία, περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος.

§ 35 Ἕβδομον, ὅσα περὶ νοερῶν κτισμάτων, ἀγγέλων καὶ δαιμόνων, καὶ νοῦ καὶ ψυχῆς, καὶ ψυχικῶν κινήσεων καὶ δυνάμεων.

§ 29[1] μυρίας HBV : μυριάδας C. § 32[7] πολλοῖς τοῖς ψαλμοῖς CBV : πολλοῖς τῶν ψαλμῶν H. § 32[7] καὶ τῆς ἀποπνεύσεως HVL : καὶ τῆς ἀποπράσεως C : om. I. § 33[2] ὑποταγή IHV : ὑποτάγησις C.

§ 36 Ὄγδοον, ὅσα τῆς ἠθικῆς παιδαγωγίας, περὶ ἀρετῆς, περὶ κακίας, καὶ τῶν τοιούτων.

§ 37 Ἔνατον, περὶ λογισμῶν καὶ δαιμονίων ἐπιβουλῆς, καὶ περὶ τροπῶν, περὶ θεραπείας παθῶν, καὶ τῆς κατ᾽ αὐτῶν πάλης καὶ στρατηγίας.

§ 38 Δέκατον, ὁ περὶ τῶν ἐντολῶν λόγος, ἀκριβέστατός τε καὶ ὑψηλότατος, καὶ μικρὸν ἢ οὐδὲν τῶν εὐαγγελικῶν λειπόμενος διατάξεων.

§ 39 Οὗτοι μὲν οὖν οἱ καθόλου λόγοι τῆς ὑποθέσεως τῶν ψαλμῶν εἰς δέκα συνηριθμήμενοι κεφάλαια, οἷς ἡ τῶν ψαλμῶν ἅπασα περιέχεται πραγματεία.

§ 40 Εἰδικώτερα δὲ καὶ ἄλλα, οἷον ὁ δοξολογητικὸς, ὁ εὐχαριστήριος, ὁ εὐκτικὸς ἢ προσευκτικὸς, ὁ παραμυθητικὸς, ὁ προτρεπτικὸς, ὁ ἀποτρεπτικὸς, καὶ ἐπὶ πᾶσιν ὁ μεθοδικός· οὐ μόνον γὰρ παραγγέλλει τόδε ποιεῖν ἢ μὴ ποιεῖν, ἀλλὰ καὶ τὸν τρόπον ὑποτίθησι καὶ τὸν χρόνον.

§ 41 Καὶ ὅλως κοινόν ἐστι πᾶσιν ἰατρεῖον, παντὸς πάθους κεκτημένον φάρμακον, καὶ πάντες οἱ λόγοι πᾶσιν ἀνθρώποις ἁρμόζουσιν, ὃ καὶ θαυμασιώτατον καὶ τῆς βίβλου ταύτης ἰδιαίτατον.

§ 42 Οὐκ ἔστιν οὖν ἐν ἀνθρώποις οὐ πρᾶξις, οὐ λόγος, οὐ πάθος, οὐ διανόημα, οὗ μὴ τὴν ἰατρείαν εὕροι τις ἐνταῦθα· συμφόρημα γάρ ἐστι πάσης ἔμπλεον πολιτείας καὶ θεωρίας, δημόσιον ταμιεῖον διδασκαλίας, παρεχόμενον ἑκάστῳ τὸ πρόσφορον. Τά τε γὰρ παλαιὰ τραύματα καθαίρει, καὶ τῷ νεοτρώτῳ ταχεῖαν δίδωσιν ἀπαλλαγὴν, καὶ τὸν ἀκέραιον συντηρεῖ, καὶ καθόλου πᾶν πάθος ἐξαιρεῖται, καὶ τοῦτο μετά τινος ἐμμελοῦς ψυχαγωγίας καὶ σώφρονος ἡδονῆς, ἵνα τῷ προσηνεῖ καὶ λείῳ τῆς ἀκοῆς, λεληθότως ὑποδεξώμεθα τὴν ἐκ τῶν λόγων ὠφέλειαν, κατὰ τοὺς σοφοὺς τῶν ἰατρῶν, οἵτινες ἐπὶ τῶν αὐστηροτέρων φαρμάκων μέλιτι τὴν κύλικα περιχρίουσιν. Οὕτω γοῦν τῷ | μὲν δοκεῖν, μελῳδοῦμεν, τῇ δ᾽ ἀληθείᾳ, τὰς ψυχὰς παιδευόμεθα, καὶ τὴν μνήμην τῶν λογίων ἔχομεν ἀνεξάλειπτον.

§ 43 Ψαλμὸς, ὁμιλία πρὸς Θεὸν, ἀγγέλων ἐπαγωγὴ, δαιμόνων ἀπαγωγὴ, ψυχῆς ἱλαρὰ κατάστασις· τῶν τῆς ἡμέρας πόνων ἀνάπαυσις, τῶν τῆς νυκτὸς φόβων ἀλεξητήριον· εἰσαγομένων στοιχείωσις, προκοπτόντων αὔξησις, τελειουμένων ἑδραίωσις· ὅπλον ἄμαχον, κόσμος κάλλιστος, βασιλεῦσιν, ἰδιώταις, ἄρχουσιν, ἀρχομένοις, στρατιώταις, ἀστρατεύτοις, σοφοῖς, ἀμαθέσι, μονασταῖς, πολιτικοῖς, ἱερεῦσι, λαϊκοῖς, ἠπειρώταις, νησιώταις, γεωργοῖς, ναυτίλοις, τεχνίταις, ἀτέχνοις, ἀνδράσι, γυναιξὶ, γέρουσι, νέοις, πάσῃ φύσει καὶ ἡλικίᾳ καὶ τύχῃ καὶ προαιρέσει, καὶ κοινῇ καὶ ἰδίᾳ καὶ πάντοτε, καὶ ἐν οἴκοις καὶ ἐν ἀγοραῖς, καὶ ἐν ἐκκλησίαις καὶ ἐν ἀγροῖς, καὶ ἐν ἐρημίαις καὶ ἐν ὁδοῖς καὶ πανταχῇ, καθάπερ ἀέρος πνεῦσις, ἢ φωτὸς χύσις, ἢ πυρὸς χρῆσις, ἢ ὅσα τῶν παγκοίνων τε καὶ παγχρήστων· καὶ τὸ παραδοξότατον, μηδ᾽ ἀφισταμένοις τῶν ἔργων, ἀλλὰ καὶ τοὺς καμάτους διὰ τῆς μελῳδίας ἐπικουφίζουσιν, ὧν πάντων τέλος ἓν, ἀγαθὸν γενέσθαι τὸν τούτων μαθητὴν, καὶ σοφὸν, καὶ Θεόν.

§ 44 Τίνες μὲν οὖν οἱ σκοποὶ τῆς παρούσης βίβλου, καὶ πόσοι, καὶ τίνα τὰ χρήσιμα, καὶ ποῖον τὸ τέλος, ἱκανῶς εἰρήκαμεν.

§ 45 *Λοιπὸν δ᾽ ἂν εἴη λέγειν, εἰ γνησία καὶ μόνου Δαυὶδ ἡ βίβλος, ὁποίαν τε κλῆσιν
ἔχει, καὶ τί ἐστι ψαλτήριον, καὶ τί ψαλτὸν, καὶ τί ψαλμὸς, καὶ τί ψαλμῳδὸς, καὶ
τί διάψαλμα, καὶ τί ᾠδὴ, καὶ τί ὕμνος, καὶ τί αἶνος, καὶ τί ἐξομολόγησις, καὶ τί
προσευχὴ, καὶ τί εὐχὴ, καὶ τί ᾠδὴ ψαλμοῦ, καὶ τί ψαλμὸς ᾠδῆς· πόσοι ψαλμοὶ,
καὶ διατί τοσοῦτοι, καὶ παρὰ τίνος συνελέγησαν· πόσοι ἀρχῳδοὶ, καὶ πόσοι χοροὶ,
καὶ ἐκ ποίων, καὶ διατί τοσοῦτοι καὶ ἐκ τοσούτων· τίς ἡ διαφορὰ τοῦ ψαλτηρίου
πρὸς τὰ ἄλλα μουσικὰ ὄργανα· τίς ἡ τάξις τῶν ψαλμῶν· τίς ἡ ἐν πολλοῖς τῶν
ψαλμῶν ἀσάφεια· πόσαι μεταβολαὶ τῆς Ἑβραΐδος διαλέκτου πρὸς τὴν Ἑλληνίδα,
καὶ παρὰ τίνων· τίνος ἕνεκεν τὸ μέλος ἐπινενόηται· πῶς ἓν ὂν τὸ θεῖον Πνεῦμα,
ποτὲ μὲν ἑνίζεται, ποτὲ δὲ πληθύνεται.*

§ 46 *Πρότερον δὲ περὶ τοῦ προτέρου κεφαλαίου διαληπτέον.*

§ 47 *Φασὶ μὴ μόνου τοῦ Δαυὶδ εἶναι τοὺς ψαλμοὺς, ἀλλά τινας καὶ Ἰδιθοὺμ καὶ
τῶν υἱῶν Κορὲ, καὶ τοῦ Ἀσὰφ, καὶ τοῦ Αἰθὰμ καὶ Αἰμὰν τοῦ Ἰσραηλίτου·
ἕνα δὲ καὶ Μωυσέως, καὶ Σολομῶντος ἄλλους· καὶ δῆλον ἀπὸ τῶν ἐπιγραφῶν·* 2Esd 7.10
συλλεγέντας εἰς ἓν μετὰ τὴν αἰχμαλωσίαν ὑπὸ τοῦ Ἔσδρα. Πολλοὶ δὲ καὶ μόνον 2Mak 2.13
*ἐπιγεγραμμένον ἔχουσιν, Ἀλληλούϊα, καὶ ἄλλοι ἐπιγραφὴν μέν τινα φέρουσιν,
ἀνώνυμον δέ· ἕτεροι δὲ, παντάπασίν εἰσιν ἀνεπίγραφοι. Διὸ καὶ ἀπολύτως βίβλος
ψαλμῶν ὠνόμασται, καθὼς εὑρίσκομεν ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, ὡς* Ac 1.20
*οὐκ εἰς Δαυὶδ μόνον ἀναφερομένη. Καταχρηστικῶς δὲ λέγεται αὕτη ψαλτήριον,
ὅτι ψαλτήριον κυρίως, ὀργάνου εἶδος, ναῦλα παρ᾽ Ἑβραίοις ὀνομαζόμενον, ἐκ
τοῦ ψάλλειν, ὡς εὐκτήριον ἐκ τοῦ εὔχεσθαι· μετηνέχθη δὲ καὶ ἐπὶ τὴν βίβλον ἡ
κλῆσις ἄλλως, ἐκ τοῦ τηρεῖν τοὺς ψαλμούς.*

§ 48 *Ἄλλοι δὲ λέγουσιν, οἷς καὶ ἐγὼ συντίθεμαι, πάντας τοὺς ψαλμοὺς εἶναι τοῦ
Δαυίδ. Ὥσπερ γὰρ ὁ Μωυσέως ἐπιγεγραμμένος οὐκ ἔστιν Μωυσέως, εἰ γὰρ* Ps 89
ἂν, πρῶτος ἔκειτο διὰ τὴν ἀρχαιογονίαν ἐκείνου ἢ καὶ ἐν ταῖς τούτου βίβλοις Ex 15.1-19
ἐνέκειτο, καθάπερ αἱ ᾠδαὶ αὐτοῦ, ἡ μὲν ἐν τῇ Ἐξόδῳ, ἡ δὲ ἐν Ἀριθμοῖς, ἡ δὲ ἐν Nu 21.17-18
Δευτερονομίῳ, οὕτως οὐδὲ τ᾽ ἄλλα τὰ δοκοῦντα φέρειν ἀλλοτρίαν ἐπιγραφήν. Dt 32.1-43

§ 49 *Καὶ γὰρ καὶ Σολομῶντος δύο φασὶν εἶναι ψαλμοὺς, οἵτινες, εἰ ἐκείνου | ἦσαν,* Pss 71 & 126
*τελευταῖοι ἂν ἐτετάχατο καὶ ἅμα, ἢ καὶ ταῖς Βασιλείαις ἢ τοῖς Παραλειπομένοις
ἐμπεριείχοντο, ἢ καί που δηλοῦσθαι ἔμελλον, ὡς τὸ, Ἦσαν αὐτῷ ᾠδαὶ
πεντακισχίλιαι, καὶ παραβολαὶ τρισχίλιαι· ψαλμῶν δὲ αὐτοῦ οὐκ ἐμνημόνευσεν* 3Rg 5.12
ἡ θεία Γραφή.

§ 50 *Λοιπὸν οὖν αἱ ἐπιγραφαὶ Ἰδιθοὺμ, καὶ τῶν υἱῶν Κορὲ, καὶ Ἀσὰφ, καὶ Αἰθὰμ,
καὶ Αἰμὰν, παριστῶσιν, ὅτι τούτοις τοῖς ἀνδράσιν, ἀρχῳδοῖς χειροτονηθεῖσι
τῶν χορῶν, οὓς ὁ Δαυὶδ ἐκ τῆς φυλῆς Λευὶ κατεστήσατο καὶ ἀπεκλήρωσεν
εἰς τὸ ὑμνεῖν τὸν Θεὸν ἐν διαφόροις ὀργάνοις, ὧν τὰ εἴδη σαφῶς ὁ τελευταῖος* 1Par 25.1
ἀπαριθμεῖται ψαλμὸς, εἰδικῶς ἕκαστον τῶν οὕτως ἐπιγεγραμμένων ψαλμῶν Ps150.3-5
*οὗτος παρεδίδου ψάλλειν, τῶν ἄλλων κοινῶς ὑπὸ πάντων ψαλλομένων· ὑφ᾽ οὗ
γοῦν ἕκαστος εἰδικῶς ἐψάλη, τούτου καὶ τὴν ἐπιγραφὴν ἀπηνέγκατο. Καὶ τοῦτο
δὲ φανερὸν ἐξ ὧν φησιν ἡ βίβλος τῶν Παραλειπομένων, ὅτι καὶ Ἦισε τὴν ᾠδὴν* 1Par 16.7

§ 45[2] τί ψαλμός CV : τί ψαλμὸς καὶ τί ψαλμῳδία B. § 47[8] δὲ λέγεται H : δὲ λέγομεν B : γὰρ λέγεται CV. § 49[2] τελευταῖοι MCB : τελευταῖον HV.

ταύτην ἐν χειρὶ Ἀσάφ. Ἀλλὰ καὶ ἀπὸ τοῦ ἐπιγράμματος τοῦ λη′ ψαλμοῦ, *Εἰς τὸ τέλος* γὰρ, φησὶ, *τῷ Ἰδιθοὺμ, ᾠδὴ τῷ Δαυίδ*· ἐποιήθη μὲν γὰρ τῷ Δαυὶδ, ἀνετέθη δὲ τῷ Ἰδιθοὺμ εἰς τὸ ψαλῆναι. Καὶ αὖθις ὁ μγ′ ψαλμὸς οὕτως ἐπιγέγραπται, *Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ, ψαλμὸς τῷ Δαυίδ*. Ps 38.1 Ps 43.1

§ 51 Καὶ πάντες δὲ οἱ φέροντες ἀλλοτρίας ἐπιγραφὰς, οὐ τοῦ δεῖνος, ἀλλὰ τῷ δεῖνι ἐπιγεγράφαται, ὃ καὶ αὐτὸ σημεῖον ἐναργὲς, ὅτι τῷ Δαυὶδ ποιηθέντες, τούτοις ἰδιαίτερον εἰς τὸ ψάλλειν ἀνετέθησαν.

§ 52 Εἰ δ᾽ εἴποι τις, ὅτι καὶ μὴν καὶ *Ψαλμὸς τῷ Δαυὶδ* ἐπιγέγραπται τοῖς πλείοσιν, ἐροῦμεν ὅτι καὶ πολλοῖς πάλιν, Ψαλμὸς τοῦ Δαυὶδ, ὅπερ ἐπὶ τῶν ἄλλων οὐχ εὑρήσεις, ἵνα γνῶμεν ὅτι τοῦ Δαυίδ εἰσι καὶ πεποιημένοι, οὐ δεδομένοι καὶ ἀνακείμενοι· τοῦτο γὰρ τὴν διαφορὰν εἰσήγαγεν.

§ 53 Ὁ δ᾽ εἰς τὸν Μωυσῆν ἀναφερόμενος τοιαύτην ἔχει τὴν ἐπιγραφὴν, *Προσευχὴ Μωυσῇ ἀνθρώπῳ τοῦ Θεοῦ*, μονονουχὶ διδάσκουσαν, ὡς ὁ ψαλμὸς οὗτος ἁρμόζει τοῖς διὰ τοῦ θείου ὕδατος, ἤτοι τοῦ σωτηρίου βαπτίσματος, ἀνθρώποις τοῦ Θεοῦ γινομένοις· Μωυσῆς γὰρ, ληφθεὶς ἐξ ὕδατος, ἑρμηνεύεται. Λαμβάνονται δὲ ἐξ ὕδατος καὶ Θεοῦ ἄνθρωποι χρηματίζουσιν οἱ βαπτιζόμενοι. Ps 89.1 Ex 2.10

§ 54 Τοὺς δὲ τοῦ Σολομῶντος λεγομένους εἰς τὸν Χριστὸν εἰρῆσθαί φαμεν. Σολομὼν γὰρ, εἰρηνικώτατος ἑρμηνεύεται, ὅπερ ἐστὶν ὁ Χριστὸς, κατὰ φύσιν τὴν εἰρήνην ἔχων· *Εἰρήνην* γὰρ, φησὶ, *τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν*. 1Par 22.9 Jn 14.27

§ 55 Περὶ δὲ τῶν ἀνεπιγράφων, πολλὰ τῶν Ἑβραϊκῶν ἀντιγράφων συνημμένον ἔχουσι τῷ πρώτῳ ψαλμῷ τὸν δεύτερον, οὐ προσκειμένου τοῖς ψαλμοῖς ἀριθμοῦ παρ᾽ αὐτοῖς. Ὁ δὲ δεύτερος ἀναντιῤῥήτως ἐστὶ τοῦ Δαυίδ· καὶ τούτου μάρτυρες οἱ ἀπόστολοι, λέγοντες πρὸς Θεὸν ἐν ταῖς Πράξεσιν, *Ὁ διὰ στόματος Δαυὶδ τοῦ παιδός σου εἰπὼν, Ἵνα τί ἐφρύαξαν ἔθνη*, καὶ τὸ ἑξῆς. Συναποδείκνυται οὖν καὶ ὁ πρῶτος ψαλμὸς τοῦ Δαυὶδ εἶναι. Εἰ δὲ καὶ ὁ πρῶτος καὶ ὁ δεύτερος τῶν ἀνεπιγράφων τοῦ Δαυίδ εἰσι, καὶ οἱ ἄλλοι πάντες ἀνεπίγραφοι, καθὰ δήπου καὶ ὁ ἐνενηκοστὸς τέταρτος, ὡς μαρτυρεῖ ὁ ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ, φάσκων, *Τινὰ ὁρίζει ἡμέραν, σήμερον, ἐν Δαυὶδ, λέγων μετὰ τοσοῦτον χρόνον, καθὼς εἴρηται· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν*. Ac 13.13 Ac 4.25 Heb 4.7 Ps 94.7-8

§ 56 Καὶ οἱ ἀνώνυμοι δὲ Δαυίδ εἰσιν, ὡς διδάσκει Στέφανος ὁ πρωτόμαρτυς ἐν ταῖς Πράξεσιν. Ἔφη γὰρ πρὸς Ἰουδαίους, *Ἕως τῶν ἡμερῶν Δαυὶδ, ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ*. Τοῦτο δὲ τὸ ῥητὸν τοῦ ρλα′ ψαλμοῦ | προδήλως ἐστὶν, ὅς ἐστιν ἀνώνυμος. Ac 7.46 Ps 131.5

§ 57 Ἀλλὰ καὶ οἱ τὸ, Ἀλληλούϊα, ἐπιγεγραμμένον ἔχοντες τοῦ Δαυίδ εἰσιν· αὐτίκα γὰρ ὁ πρῶτος αὐτῶν, ὁ ρδ′, ἐν τοῖς Παραλειπομένοις τῷ Δαυὶδ πεποιῆσθαι γέγραπται. Ps 104.1α 1Par 16.7

§ 58 Δοκεῖ οὖν αἰτία τοῦ μὲν εἶναί τινας ἀνεπιγράφους, ὅτι οὐκ εἰς ὄνομα ἑνὸς ἔθνους ἕκαστος τῶν τοιούτων λέγεται· τοῦ δὲ ἀνωνύμους, ὅτι εἰς τὸν Κύριον εἴρηνται· τοῦ δὲ φέρειν Ἀλληλούϊα, ὅτι πρὸς Θεόν εἰσιν εὐχαριστία καὶ ὕμνος.

§ 59 Καὶ περὶ μὲν τούτου τοσαῦτα· καιρὸς δὲ εἰπεῖν καὶ περὶ τῶν ἄλλων.

§ 51[2] ἐπιγεγράφαται M : ἐπιγεγράφεται H. § 55[9] τινά V [cf. K ad loc.] : τίνα MPCH. § 57[3] γέγραπται M : ἀναγέγραπται H.

§ 60 Ψαλτὸς μὲν, ὁ ᾀδόμενος Θεός· ψαλμὸς δὲ, τὸ ποιημάτιον καὶ τὸ μέλος αὐτοῦ· ψαλμῳδὸς δὲ, ὁ ποιητὴς τούτων· ψαλτῳδὸς δὲ, ὁ ψάλλων τοῦτο χορός. Ps 118.54

§ 61 Τὸ μέντοι διάψαλμα, μεταβολὴν σημαίνει νοήματος ἢ μέλους, ἢ ἀναβολήν τινα τοῦ κρούματος, ἢ τηνικαῦτα θείου Πνεύματος ἔλλαμψιν εἰς τοὺς ψάλλοντας· ἀπεγράφοντο γὰρ ταῦτα πάντα διὰ τὴν ἀκρίβειαν.

§ 62 Ἀλλὰ ψαλμὸς μὲν κυρίως, ὁ μετὰ τοῦ ὀργανικοῦ ψαλτῆρος ἐμμελῶς ἐκφωνούμενος· ᾠδὴ δὲ, φωνή τις μουσική τε καὶ ἐναρμόνιος ἀπὸ μόνου στόματος. Καταχρηστικώτερον δὲ λέγεται κἀκεῖνος ᾠδὴ καὶ αὕτη ψαλμός. Ἀρχαιότερον δὲ ἡ ᾠδή· καὶ γὰρ Μωυσῆς ἦρξε ταύτης καὶ διήρκεσεν ἕως Δαυίδ. Οὗτος δὲ πρῶτος ἤρξατο τῶν ψαλμῶν, εἰ γὰρ καὶ προῆν ψαλτηρίου ὄργανον, ἀλλ᾽ ἄτεχνον καὶ ἰδιωτικὸν καὶ πρὸς μόνα ψάλλον τὰ ποίμνια· Δαυὶδ δὲ σοφώτερον τοῦτο κατεσκεύασεν, ἢ καὶ ἥρμοσε, καὶ τὴν χρῆσιν αὐτοῦ πρὸς Θεὸν μετήνεγκεν.

§ 63 Ὕμνος δὲ, ἡ ἐπιτεταμένη δοξολογία· αἶνος δὲ, ὁ σύντομος ἔπαινος· ἐξομολόγησις δὲ, ἡ κατ᾽ ἐπίτασιν ὁμολογία, ἢ καλῶν ὧν πεπόνθαμεν ἢ κακῶν ὧν δεδράκαμεν· προσευχὴ δὲ, ἡ δέησις· εὐχὴ δὲ, ἡ ὑπόσχεσις. Πάντα δὲ λέγονται πρὸς Θεόν.

§ 64 Τί μὲν οὖν ἐστι ψαλμὸς καὶ τί ᾠδὴ προσηκόντως εἴρηται.

§ 65 Ὠιδὰς δὲ ψαλμῶν ὑποληπτέον, ὅτε προτάσσεται μὲν ἡ δι᾽ ὀργάνου μουσικὴ, ἕπεται δὲ ἡ διὰ στόματος φωνὴ, δευτέραν λαμβάνουσα χώραν· ψαλμοὶ δὲ ᾠδῶν, ὅτε τοὐναντίον γένηται.

§ 66 Κατὰ δὲ τοὺς νόμους τῆς ἀναγωγῆς, ψαλμὸς μὲν ἂν εἴη, ὅτε τὸ σῶμα τείνοντες, ὡς ὀργανικὸν ψαλτήριον, καὶ διὰ τῶν καλῶν ἔργων ἐπαφώμενοι τρόπον τινὰ καὶ ψαύοντες αὐτοῦ, πρᾶξιν ἀποτελοῦμεν ἀγαθήν τε καὶ ἐναρμόνιον, εἰ καὶ μήπω θεωρίας ἐπέβημεν· ᾠδὴ δὲ, ὅτε χωρὶς τοῦ πρακτικοῦ θεωροῦμεν τὰ τῆς ἀληθείας μυστήρια, γεγυμνασμένοι ἤδη τυγχάνοντες. Ὠιδὴ δὲ ψαλμοῦ, ὅτε προαγούσης ἀγαθῆς πράξεως, εἰς θεωρίαν καταντήσομεν, κατὰ τὸ εἰρημένον, *Ἐπεθύμησας σοφίας; διατήρησον ἐντολὰς, καὶ Κύριος χορηγήσει σοι αὐτήν*. Ψαλμὸς δὲ ᾠδῆς, Sir 1.26
ὅτε τῆς θεωρίας σαφηνιζούσης τινὰ τῶν κεκρυμμένων ἠθικῶν, εἰς ἐργασίαν τούτων ἐρχόμεθα. Καὶ διὰ τοῦτο τάχα πρῶτον οἱ ψαλμοὶ, εἶτα αἱ ᾠδαὶ, ὅτι χρὴ διὰ τῆς πρακτικῆς ἰόντας εἰς θεωρίαν ἐλθεῖν. Ἔνθεν τοι καὶ πρὸς τῷ τέλει πολλαὶ ᾠδαὶ, καὶ ὅπου ἀναβαθμὸς, οὐδαμοῦ ψαλμὸς, οὔτε μετ᾽ ἐπιπλοκῆς ᾠδῆς. Ἐν γὰρ Pss 119-133
ταῖς ἀναβάσεσιν οἱ ἅγιοι πρὸς μόνῳ τῷ θεωρεῖν εἰσιν.

§ 67 Οἱ μὲν οὖν εἶπον Ἔσδραν, οἱ δὲ Ἐζεκίαν συναγαγεῖν τοὺς ψαλμοὺς, εἰς ἑκατὸν καὶ πεντήκοντα συναριθμουμένους. Ὁμοῦ γὰρ ὁ παρ᾽ Ἑβραίοις ἐνθεωρεῖται τιμώμενος ἀριθμὸς τῆς Πεντηκοστῆς, δι᾽ ἑβδομάδος ἑβδομάδων συμπεραινόμενος, ὁμοῦ δὲ καὶ τὸ τῆς Τριάδος συνεπιθεωρεῖται μυστήριον, τῆς μονάδος ἐκεῖ προστιθεμένης, διὰ τὴν μίαν ἐν τρισὶ | προσώποις Θεότητα.

§ 68 Τέσσαρες δὲ οἱ ἀρχῳδοὶ, τεσσάρων ἡγούμενοι χορῶν, διὰ τὰ τοῦ κόσμου τέσσαρα κλίματα ὧν ἄχρι διαδραμεῖν ἔμελλον οἱ ψαλμοί. Ἐκ δύο δὲ καὶ ἑβδομήκοντα χορὸς
ἕκαστος, ὡς ἔφασάν τινες, ἀπὸ τοῦ Ἑβραϊκοῦ ἀναλεξάμενοι, κατ᾽ ἀναλογίαν τῶν 1Par 25.7
συγχυθεισῶν, ἢ μᾶλλον διακριθεισῶν ἐν τῇ πυργοποιΐᾳ γλωσσῶν, διὰ τὸ μέλλειν Ge 11.1-9

§ 62[1] ψαλτῆρος MB : ψαλτηρίου CV. § 66[8] θεωρίας MHV: σοφίας C. § 68[3] ἀπὸ τοῦ MCBV : ἐκ τοῦ H.

πᾶσαν γλῶσσαν ᾄδειν τοὺς τοιούτους ψαλμούς.

§ 69 Καὶ οἱ μὲν ἄλλοι, σάλπιγγι καὶ τυμπάνῳ καὶ ὀργάνῳ καὶ κυμβάλοις, ἢ λύρᾳ καὶ κιθάρᾳ μελῳδοῦντες ἦσαν· Δαυὶδ δὲ τὸ βασιλικὸν κατεῖχεν ὄργανον, τὸ ψαλτήριον. Σάλπιγγες μὲν οὖν καὶ σύριγγες, ἐμπνευστά· λύρα δὲ καὶ κιθάρα πάλιν, ἐντατά· κύμβαλα δὲ καὶ τύμπανα, κρουστὰ, καὶ ὅσα μᾶλλον ἤχους ἢ φθόγγους ἔχουσι.

§ 70 Ψαλτήριον δὲ, ὃ καὶ ἀλλαχοῦ καλοῦσι κινύραν καὶ κιθάραν καὶ λύραν, τῶν ἐντατῶν μὲν ἦν, πλὴν ὄρθιον, καὶ ἄνωθεν εἶχε τῶν φθόγγων τὰς ἀφορμὰς, ἵνα καὶ ἡμεῖς εὐθεῖς ὦμεν, καὶ τὰ ἄνω μελετῶμεν, καὶ γινώμεθα ψαλτήριον, Col 3.1
συμφωνούντων ἐν ἡμῖν ψυχῆς καὶ σώματος, καὶ πλήττοντος ἡμᾶς οἷα τεχνίτου τινὸς τοῦ ἁγίου Πνεύματος.

§ 71 Δέκα γὰρ κόλαβοι παρὰ τὸν πῆχυν τοῦ ψαλτηρίου στρεφόμενοι, ἔτεινόν τε καὶ ἐχάλων τὰς χορδὰς πρὸς τὸ τοῦ μεταχειριζομένου βούλημα καὶ τὸν ῥυθμόν. Καὶ ἡ μὲν δεξιὰ χεὶρ κατεῖχε τὸ πλῆκτρον, ἡ δ' ἀριστερὰ, τῶν κολάβων ἄνωθεν ἐπαφωμένη καὶ περιστρέφουσα, βαρὺν ἢ ὀξὺν ἢ κεκραμένον φθόγγον εἰργάζετο. Δέκα δὲ χορδὰς ἀντιφθόγγους ἀλλήλαις εἶχε, διδάσκον ὅτι δεῖ καὶ ἡμᾶς ἐξ ἀντιφθόγγων χορδῶν δέκα, τῶν μὲν τῆς ψυχῆς πέντε δυνάμεων, πέντε δὲ τῶν τοῦ σώματος αἰσθήσεων, ἐναρμόνιον μέλος ἀνακρούεσθαι τῷ Θεῷ.

§ 72 Ἡ δὲ τῶν ψαλμῶν τάξις, οὔθ' ὡς κατ' ἀρχὰς ἐποιήθησαν, οὔτε μὴν ὡς ἔτυχεν, ἀλλὰ μᾶλλον οἰκονομικὴ, μηδὲν τῆς χρονικῆς ἐπιστρεφομένη ἀκολουθίας. Καθάπερ γὰρ ἐπὶ τῶν ἄλλων πρακτικῶν τεχνῶν ἢ λογικῶν, ἑτέρα μὲν ἡ τῶν ὀργάνων ἢ τῶν κανόνων εὕρεσις καὶ τάξις, ἑτέρα δὲ ἡ χρῆσις παρὰ τοὺς καιροὺς ἢ τὰ πράγματα· καὶ ὁ μὲν τέμνει τυχὸν πρῶτον, ὁ δὲ φαρμακεύει, ὁ δὲ χρίει, καὶ ὁ μὲν φοβεῖ πρότερον, ὁ δὲ παρακαλεῖ, καὶ οὐδὲν τῷ τεχνίτῃ μέλον τῆς ἐκείνων τάξεως, ἀλλὰ πρῶτον αὐτῷ δοκεῖ τὸ κατὰ χρείαν ἢ δύναμιν, ὃ τάξιν ἄτακτον λέγομεν, πρὸς τὸ οἰκεῖον συμφέρον. Οὕτω καὶ τῷ ἡμετέρῳ τεχνίτῃ, τῷ ἁγίῳ Πνεύματι, μηδὲν τῆς ἱστορίας μελῆσαν, τῆς ὠφελείας τῶν ἐντυγχανόντων ἐμέλησε, καὶ ὅπως τὸ τῆς ἡμετέρας ἄγαλμα ψυχῆς γλυφῇ κατὰ τρόπον, καὶ πρὸς κάλλος ἀποξεσθῇ, καὶ τέλος μορφωθῇ πρὸς Θεόν. Gal 4.19

§ 73 Διὰ τοῦτο πρῶτα μὲν ἐν τῷ πρώτῳ ψαλμῷ τῆς ἀσεβείας ἅμα καὶ ἁμαρτίας ἀποῤῥήγνυσιν, ἐν δὲ τῷ δευτέρῳ, τίνος ἐσμὲν κλῆρος καὶ τίνι προσκολληθῆναι δέον ὑποδεικνύει· ἐν δὲ τῷ τρίτῳ, τὴν κατὰ τῶν Θεῷ προσκολληθέντων ἐπιβουλήν τε καὶ προσβολὴν προλέγει τοῦ ἀντιπάλου, καὶ καθεξῆς τὰς θεραπείας τῶν ἐν ἡμῖν παθῶν ἢ προσβολῶν ἢ συμφορῶν ὑποτίθησιν.

§ 74 Ἔστι δὲ καὶ λόγος ἕτερος, ὅτι ποτὲ τῶν Ἰουδαίων καταφρονησάντων τοῦ Θεοῦ καὶ τῶν πατρίων ἐθῶν λαβόντων λήθην, καὶ πολὺ μάλιστα τῶν Γραφῶν
παρεῤῥύησαν αἱ βίβλοι καὶ διεφθάρησαν. Ὕστερον δὲ περὶ τὴν συναγωγὴν αὐτῶν 2Mak 2.13
σπουδάσας, εἴτε Ἔσδρας, εἴτε Ἐζεκίας, καὶ οὐκ ἀθρόως, ἀλλὰ καθ' ἕνα τούτους 2Par 29.30
ἀναλεγόμενος, πρὸς τὸν χρόνον τῆς εὑρέσεως ἑκάστου, καὶ τὴν φαινομένην τάξιν ἐπέθηκεν· οὐ καθ' οὓς ἐλέχθησαν χρόνους, ἀλλὰ καθ' οὓς εὑρέθησαν.

§ 73[2] ἀποῤῥήγνυσιν MPCBV : τὴν ἰσχὺν ἀποῤῥήγνυσιν H.

§ 75 Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι μὴ παρὰ τοὺς χρόνους, ἀλλὰ παρὰ τὰς ἡμέρας μᾶλλον ἐν αἷς τὸ πρῶτον ἐποιήθησαν οἱ ψαλμοὶ, τὸ μετὰ | τοῦτο συνετάγησαν. Γένοιτο δ' ἂν οὕτω φανερώτερον τὸ λεγόμενον· πρῶτον Θεοῦ σύλληψις, εἶτα γέννησις, εἶτα κλῆσις καὶ περιτομὴ, καὶ προσαγωγὴ πρὸς τὸν ναὸν καὶ ὑπάντησις, εἶτα μετὰ τριάκοντα χρόνους, ἡ βάπτισις, ἡ φανέρωσις, ἡ διδασκαλία, τὰ θαύματα, τὰ παθήματα, καὶ πάντων ἔσχατον ἡ ἀνάστασις· ἀλλ' ἡμῖν γε τοὐναντίον ἐπὶ τῶν ἑορτῶν ἔχει τὰ διαστήματα, πρῶτον σύλληψις, εἶτ' εὐθὺς ἀνάστασις. Ὁρᾷς ὅση τῶν μὲν ἑορτῶν ἡ ἀπόστασις, τῶν δὲ ἡμερῶν ἡ συνάφεια; πάλιν ἀνάληψις, μεταμόρφωσις, εἶθ' ἡ γέννησις, εἶτα πάντων ἔσχατον ἡ φανέρωσις. Ὁρᾷς ὅση τῶν πραγμάτων ἡ ἐναντίωσις; καὶ ἡ μὲν τῶν ἐν μησὶν ἡμερῶν διεσώθη τάξις, ἡ δὲ τῶν πραγμάτων αὐτῶν διεκόπη μάλιστα, καὶ γέγονε τάξις ἐν ἀταξίᾳ τις.

§ 76 Ἀλλὰ καιρὸς διδάξαι λοιπὸν καὶ τίς ἡ ἐν πολλοῖς τῶν ψαλμῶν ἀσάφεια, καὶ πόσαι μεταβολαὶ, καὶ παρὰ τίνων τῆς Ἑβραΐδος διαλέκτου πρὸς τὴν Ἑλληνίδα γεγόνασιν.

§ 77 Αἰτία τῆς ἀσαφείας τῆς παλαιᾶς Γραφῆς, τό τε συμβολικὸν τῶν ὅσα Χριστὸν καὶ τὰ κατὰ Χριστὸν, καὶ ἁπλῶς εἰπεῖν, τὰ τῆς νέας χάριτος προετύπουν, καὶ τὰ ἰδιώματα τῆς Ἑβραΐδος διαλέκτου. Διαφόροις γὰρ κέχρηται τὸ προφητικὸν ἔθος, εἰ καὶ μὴ ἐν πᾶσι· συνεσκιασμένα γὰρ τὰ πλεῖστα διὰ τὴν τῶν ἀκροατῶν ἀπείθειαν καὶ σκληρότητα, καὶ ὀλίγοις τῶν ἀξίων παραγυμνούμενα, καὶ ὀρθῶς ἀπὸ τοῦ τέλους μόνου κρινόμενα.

§ 78 Τελευταῖον δὲ αἴτιον, ἡ ἀπὸ τῆς Ἑβραΐδος ἐπὶ τὴν Ἑλληνίδα γλῶτταν τούτων μεταβολή· πᾶσα γὰρ γλῶττα μετατιθεμένη πρὸς ἀλλοτρίαν, ὡς ἐπίπαν, ἔχει τὸ ἀσαφὲς καὶ δυσκατανόητον.

§ 79 Μεθηρμηνεύθησαν δὲ ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου, διέποντος τῆς [283-46 BC]
Αἰγύπτου τὴν βασιλείαν.

§ 80 Ἑπτὰ δὲ τῆς παλαιᾶς Γραφῆς μεθερμηνεύσεις γεγόνασι.

§ 81 Πρώτη, ἡ τῶν ἑβδομήκοντα, οἵτινες Ἑβραῖοι ὄντες, ἐξελέγησαν κατὰ ἀριθμὸν
τῶν ὑπὸ Μωυσέως ἐκλεγέντων ἑβδομήκοντα πρεσβυτέρων, κατὰ παράκλησιν Ex 24.1
τοῦ δηλωθέντος βασιλέως, καὶ σύμφωνον εἰς ἅπαν ἑρμηνείαν ἐξέθεντο.

§ 82 Δευτέρα, ἡ τοῦ Σινωπέως Ἀκύλα. Οὗτος γὰρ, Ἕλλην ὢν ἐκ τῆς Ποντικῆς, ἐβαπτίσθη ἐν Ἱεροσολύμοις· εἶτα προσκρούσας Χριστιανοῖς τισιν, ἠθέτησέ τε τὸ βάπτισμα, καὶ συνδραμὼν Ἰουδαίοις, ἑρμηνείαν τῆς Γραφῆς ἐξέδωκεν, ἐπὶ
Ἀδριανοῦ βασιλέως τοῦ λεπρωθέντος, τῆς τῶν ἑβδομήκοντα, τριάκοντα καὶ [118-138 AD]
τετρακοσίοις ἔτεσιν ὑστερίζουσαν. Πολλὰ δὲ παρέφθειρε, Χριστιανοῖς ἐγκοτῶν.

§ 83 Τρίτη, ἡ τοῦ Συμμάχου, ὃς ὢν Σαμαρείτης, καὶ μὴ τυγχάνων ὅσης ἐβούλετο τιμῆς, πρόσεισιν Ἰουδαίοις, καὶ δεύτερον περιτέμνεται, καὶ πρὸς ἀντιπάθειαν
Σαμαρειτῶν, τὴν θείαν ἑρμηνεύει Γραφὴν, ἐπὶ Σεβήρου βασιλέως. Ὃς καὶ τοῖς [193-211 AD]
Ἑβραίοις χαριζόμενος, ὅσα ἦν περὶ Χριστοῦ παρηρμήνευσε, μετὰ ἔτη ἓξ καὶ πεντήκοντα τῆς τοῦ Ἀκύλα ἐκδόσεως.

§ 84 Τετάρτη, ἡ τοῦ Ἐφεσίου Θεοδοτίωνος, ὃς τῆς αἱρέσεως Μαρκίωνος ὢν, καὶ μηνίσας

§ 77[3] διαλέκτου MCV : διαλέκτου πρὸς τὴν Ἑλληνίδα H. § 78[1] Ἑλληνίδα MV : Ἑλλάδα B.

ποτὲ τοῖς συναιρεσιώταις, ἔκδοσιν ἰδίαν ἐποιήσατο, βασιλεύοντος Κομμόδου. [180-192 AD]

§ 85 Ἡ δὲ πέμπτη ἑρμηνεία, πατέρα μὲν οὐκ ἔχει γνώριμον· εὑρέθη δ' οὖν ἐν Ἱεριχῷ, πίθῳ κεκρυμμένη, Καρακάλλου βασιλεύοντος. [211-217 AD]

§ 86 Καὶ ἡ ἕκτη δὲ, ἀνώνυμος οὖσα, τὴν εὕρεσιν ὁμοίαν ἔσχεν ἐν Νικοπόλει, τῇ κατὰ τὸ Ἄκτιον, ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας. [222-235 AD]

§ 87 Ἑβδόμη δὲ προέβη παρὰ Λουκιανοῦ τοῦ μεγάλου ἀσκητοῦ καὶ μάρτυρος, [† 311 AD] ὃς ταῖς προῤῥηθείσαις ἐπιστήσας ἐκδόσεσι, καὶ τοῖς Ἑβραϊκοῖς φιλοπονώτερον ἐντυχὼν καὶ ἀκριβωσάμενος, ἔκδοσιν ἰδιόκληρον, καὶ μηδὲν ἐλλεῖπον ἢ περιττὸν ἔχουσαν, Χριστιανοῖς ἐποιήσατο, ἥτις εὑρέθη κατὰ Νικομήδειαν, ἰδιόγραφος αὐτοῦ, παρ' Ἰουδαίοις, ἐν πυργίσκῳ κεχρισμένῳ κονιάματι, μετὰ τὴν ἄθλησιν αὐτοῦ καὶ τὸν παρὰ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ διωγμὸν, Κωνσταντίνου τοῦ Μεγάλου τὴν βασιλείαν διέποντος. Αὕτη συνᾴδει τῇ τῶν ἑβδομήκοντα, τὰ παρεφθαρμένα τῶν ἄλλων ἀθετοῦσα.

§ 88 Ἐκεῖνο μὲν οὖν πρόδηλον, | ὅτι καθάπερ τὰ θρέμματα τοῖς αὐλήμασιν, οὕτω δὴ καὶ ὁ πολὺς ἄνθρωπος ἄγεται καὶ κηλεῖται μέλεσι. Πολὺ δὲ παρ' ἡμῖν καὶ οὐκ ἔλαττον, τὸ θῆλυ τοῦ ἄῤῥενος, τὸ ἄωρον τοῦ καθεστηκότος, τὸ ἄγριον τοῦ ἡμερωτέρου, τὸ ἀπαίδευτον τοῦ πεπαιδευμένου. Καὶ ἐν αὐτῷ δὲ τῷ ἄῤῥενι, τὸ μὲν λογικὸν τῆς ψυχῆς μέρος, τὸ δὲ ἄλογον καὶ θηριῶδες, ὧν πάντων, ἡδονὴ κρατεῖ. Διὰ γοῦν ταῦτα, καὶ τὸ μέλος τῶν ψαλμῶν, δι' οὗ συνειλεῖται καθάπερ διὰ περόνης ταῖς ψυχαῖς ἡ ἀπὸ τούτων ὠφέλεια, τὸ αὐστηρὸν τῶν πνευματικῶν φαρμάκων ὡς μέλιτός τινος συναλλοιοῦντος τούτου καὶ καταφαρμακεύοντος καὶ τοῖς ἡδέσι τὰ λυσιτελῆ παραρτύοντος. Τὸ χαριέστερον γὰρ ἡδέως ἐγκαταδύνει καὶ μονιμώτερον γίνεται. Πρῶτον μὲν τοῦτο τοῦ μέλους αἴτιον.

§ 89 Ἐπεὶ δὲ διὰ τῆς ἀπατηλῆς ἡδονῆς ἀπόλλυσι τὸν ἄνθρωπον ὁ ἐχθρὸς, πάλιν διὰ τῆς εὐτέχνου ταύτης καὶ οἰκονομικῆς ἀνασῴζεσθαι τοῦτον ὁ Θεὸς ἐπενόησεν. Αἴτιον καὶ τοῦτο δεύτερον τοῦ μελίσματος.

§ 90 Τὸ δὲ τρίτον, ὅτι καὶ ἀγάπην ἐπινενόηται καὶ ὁμόνοιαν, ὥσπερ τὰς γλώσσας τῶν ᾀδόντων, οὕτω καὶ τὰς γνώμας εἰς ἓν συνάγειν δυνάμενον, καὶ συναρμολογεῖν, πάσας τε καὶ ἑκάστην ἑκάστῃ καὶ πάσαις. Τί γὰρ οὕτως ἔχθρας διαλλακτήριον ὡς ᾆσμα κοινὸν ἱκετήριον, ἐξ ἑκάστου καὶ πάντων ὑπὲρ ἑκάστου καὶ πάντων ἀναφερόμενον; ἢ τίς οὕτω σκαιὸς ὡς ἐκεῖνον ἐχθρὸν ἡγεῖσθαι, τὸν ὑπὲρ αὐτοῦ τὸ θεῖον ἐξιλεούμενον;

§ 91 Καὶ χωρὶς δὲ τούτων, πολλὴν ἔχει τὸ μέλος δύναμιν πρὸς ἤθους κατασκευὴν ἢ ἐπανόρθωσιν, μεταλλάττον καὶ ῥυθμίζον αὐτό· σωφρονικά τε γὰρ παρὰ τοῖς ἀρχαιοτέροις εἶναι μέλη, καὶ τοὐναντίον ἐρωτικὰ, καὶ πολεμοποιὰ, καὶ εἰρηνικὰ, καὶ λυπηρὰ, καὶ χαρίεντα, καὶ ῥωννύοντα, καὶ ἀμβλύνοντα.

§ 92 Φασὶ γὰρ ὅτι καὶ Πυθαγόρας, μειράκιον ἐκτόπως ἐρῶν, μεταστρέψας τὸν Iam. *Vit. Pyth.* αὐλὸν, μετέστρεψε καὶ τοῦ ἔρωτος· καὶ ἄλλο μετὰ ξίφους ὁρμῶν, ἐξέλυσεν. Ὁ 25.112-113 δὲ Τιμόθεος, μεταξὺ τραπέζης καὶ ἡδονῆς, τὸν νόμον ᾄσας τὸν ὄρθιον, τὸν θυμὸν Suid. (α1122) ἤγειρε τοῦ Μακεδόνος, καὶ ἁρπάσαντα τὴν σκευὴν ἀναπηδῆσαι πεποίηκεν. Ἀλέξανδρος

§ 87[7] *τὴν βασιλείαν διέποντος* MPV : *κρατοῦντος* CB. § 88[2] *δή* PHB : *δέ* MV. § 88[2] *παρ' ἡμῖν καὶ* PHB : *παρ' ἡμῖν* M.
§ 90[3] *ἔχθρας* MPCB: *ἔχθρας ἐστί* H.

§ 93 Οὕτω γοῦν ἡμῶν ἡ φύσις οἰκείως ἔχει πρὸς τὰ μέλη τῶν ᾀσμάτων, καὶ ἡδέως, ὡς καὶ τὰ ὑπομάζια παιδία κλαυθμυριζόμενα, τούτοις καὶ μόνοις κατακοιμίζεσθαι· κατεπᾴδουσι γὰρ ᾄσματα παιδικὰ τούτοις αἱ τίτθαι, καὶ δι᾽ αὐτῶν κατακοιμίζουσι τὰ βλέφαρα.

§ 94 Καὶ ὁδοιπόροι δὲ πολλάκις κατὰ μεσημβρίαν ἐλαύνοντες, ᾄσμασι παραμυθοῦνται τὴν ἐκ τῆς ὁδοιπορίας ταλαιπωρίαν.

§ 95 Καὶ χειροτέχναι πάντες ἐργαζόμενοι ᾄδουσιν, ὡς τῆς ψυχῆς τῷ μέλει κηλουμένης, καὶ ῥᾷον φερούσης τὰ ὀχληρὰ καὶ ἐπίπονα.

§ 96 Καὶ τί δεῖ λέγειν περὶ τῶν λογικῶν; ὅπου γε καὶ ἵπποι σάλπιγγος μὲν ἀκούοντες, πρὸς πόλεμον εὐτρεπίζονται· θρέμματα δὲ ταῖς σύριγξιν ἕπονται, καὶ τόγε πλέον τέρπονται καὶ πιαίνονται· πολλοῖς δὲ καὶ θέλγητρα ταῦτα θηρῶν, καὶ θήρατρα· καὶ ὅγε μονόκερως, μέλους καὶ κάλλους λάφυρον.

§ 97 Ἀλλ᾽ οἵγε τὰ θεῖα κομψότερον ἑρμηνεύοντές φασι, διὰ τοῦ ὀργανικοῦ μέλους, τὴν ἐμμέλειαν ὑποσημαίνεσθαι τῆς ψυχῆς. Μουσουργία δὲ ψυχῆς, ἡ τῶν ἔνδον αὐτῆς μερῶν συμφωνία, περὶ ἧς ἐροῦμεν πλατύτερον.

§ 98 Συμφωνία γάρ ἐστιν ἁρμονία διαφερομένων μὲν, ὁμολογούντων δέ· τοῦτο δέ ἐστιν ἰδεῖν, | ὅταν οἱ κάλλιστοι τῶν συμφωνιῶν λόγοι τοῖς ἔνδον τῆς ψυχῆς μέρεσιν ἐφαρμόσωσι· καὶ τὸ μὲν τὴν πρώτην ἔχῃ τάξιν, καὶ μόνως ἄρχῃ, λέγω δὲ τὸ λογιστικόν· τὸ δὲ τὴν μέσην, οἷον τὸ θυμικὸν, ὑπὸ τοῦ πρώτου μὲν ἀρχόμενον, ἄρχον δὲ τοῦ τελευταίου· τὸ δὲ τὴν ἐσχάτην, ὡς τὸ ἐπιθυμητικὸν, ἀρχόμενον μόνως.

§ 99 Τότε γὰρ ἂν εἴη καὶ συμφωνία ψυχῆς, τοῦ μὲν λογιστικοῦ πρὸς τὸ θυμοειδὲς, ὡς ὑπάτης πρὸς μέσην, τοῦτο γὰρ τὸν ἀνώτατον καὶ βαρύτατον καλοῦσι φθόγγον, τὴν διὰ τεσσάρων συμφωνίαν σῴζοντος· τοῦ δὲ θυμοειδοῦς πρὸς τὸ ἐπιθυμητικὸν, ὡς μέσης πρὸς νήτην, τοῦτο γὰρ τὸν ἀκρότατον καὶ ὀξύτατον ὀνομάζουσι, τὴν διὰ πέντε πάλιν· αὐτοῦ δὲ τοῦ λογιστικοῦ πρὸς τὸ ἐπιθυμητικὸν, ὡς ὑπάτης πρὸς νήτην, τοῦτο γὰρ λέγουσι τὸν βαρύτατον πρὸς τὸν ὀξύτατον, τὴν διὰ πασῶν.

§ 100 Εἰ δὲ δεῖ μὴ τοῖς τόποις καὶ τοῖς ὀνόμασι προσέχειν, ἀλλὰ ταῖς δυνάμεσι καὶ τοῖς ἐνεργήμασιν, εἴη ἂν μᾶλλον μέση τὸ λογιστικὸν, πρὸς μὲν τὸ θυμικὸν, ὡς πρὸς νήτην, τοῦτο γὰρ τὸ ὀξύτατον καὶ ὁρμητικώτατον τῆς ψυχῆς μέρος, τοὺς λόγους τῆς διὰ πέντε σῷζον συμφωνίας· πρὸς δὲ τὸ ἐπιθυμητικὸν, ὡς πρὸς ὑπάτην, τοῦτο γὰρ αὐτῆς τὸ χαλαρώτατον καὶ χαυνότατον, τοὺς τῆς διὰ τεσσάρων· κἀκείνου μὲν τὴν ἐπίτασιν, τούτου δὲ τὴν ἄνεσιν ῥυθμίζον καὶ κατακιρνῶν, καλλίστην ἁρμονίαν ἐργάσεται.

§ 101 Τούτων οὖν ἡμῖν προαποδεδομένων, ἔτι παραστῆσαι λείπεται, πῶς ἓν ὂν
τὸ θεῖον Πνεῦμα, ποτὲ μὲν ἑνίζεται, *Πνεῦμα γὰρ*, φησὶ, *Κυρίου ἐπ᾽ ἐμὲ, οὗ* Isa 61.1
εἵνεκεν ἔχρισέ με, καὶ, *Τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ*, καὶ, Ps 50.13
Τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν· ποτὲ δὲ πληθύνεται, Ps 32.6
Πνεύματα γὰρ, φησὶ, *προφητῶν, προφήταις ὑποτάσσεται*, καὶ, *Ἐπαναπαύσεται* 1Co 14.32
ἐπ᾽ αὐτὸν τὰ ἑπτὰ πνεύματα. Isa 11.2

§ 102 Δῆλον οὖν ὅτι τὸ μὲν Πνεῦμα ἓν, καθάπερ καὶ ὁ Τεχνίτης εἷς, ὄργανα δὲ, πολλά· τοῦτο γὰρ οἱ προφῆται, καὶ διὰ τοῦτο διάφορα καὶ τὰ κρούματα ἢ ἐμπνεύματα. Καὶ οὐκ ἐπὶ πολλῶν μόνον πολλὰ, ἀλλὰ καὶ ἐπὶ τοῦ αὐτοῦ πολλὰ καὶ διάφορα, τοῦ Τεχνίτου τὰ μὲν ἀνιέντος, τὰ δὲ ἐπιτείνοντος, τὰ δὲ μεταβάλλοντος, τὰ δὲ καὶ κιρνῶντος· πάντα μὲν οὖν οὐδαμῶς — τίς γὰρ ἂν τῶν ἀτόμων ἡ γνῶσις; — τὰ γενικώτερα δὲ μέχρι καὶ τῶν εἰδικωτάτων ὥρισται, κατά τε ποσότητα καὶ ποιότητα· περαιτέρω γὰρ οὐ πρόεισι τῶν ἑπτά.

§ 103 Λοιπὸν οὖν ἔλθωμεν ἐπὶ τοὺς τρόπους τῆς προφητείας· ὁ μὲν γὰρ τῶν παρελθόντων, ὁ δὲ τῶν ἐνεστώτων, ὁ δὲ τῶν μελλόντων τὴν γνῶσιν ἔσχηκε· καὶ ὁ μὲν, τόδε τι λέγων, ὁ δὲ τόδε τι πράττων, καὶ ὁ μὲν ἐναργῶς, ὁ δὲ αἰνιγματωδῶς. Καὶ τρόποι πάλιν τούτων τῶν τρόπων, ἕτεροι· ὁ μὲν δι' ὁράσεως, ὁ δὲ δι' ἀκοῆς, ὁ δὲ δι' ὀσφρήσεως ἢ γεύσεως ἢ ἁφῆς, νοερῶς πάντα· τοσαῦται γὰρ καὶ νοὸς αἰσθήσεις, ὅσαι καὶ σώματος· ἀλλ' ὁράσεις λέγονται πᾶσαι, κατὰ τὸ γενικώτερον ἢ τιμιώτερον.

§ 104 Ὁρᾷ μὲν οὖν Ἰεζεκιήλ· *Καὶ ἑώρων φησὶ, καὶ ἀνέβαινον σάρκες, καὶ περιετείνετο δέρμα*, καὶ τὰ ἑξῆς· ἀλλὰ καὶ ἀκούει, *Καὶ σὺ, φησὶν, υἱὲ ἀνθρώπου,* Eze 37.8
ἄκουε τοῦ λαλοῦντος πρὸς σέ· ἀλλὰ καὶ γεύεται, *Καὶ ἐψώμισέ με*, φησὶ, *τὴν* Eze 2.8
κεφαλίδα ταύτην, καὶ εἶπε πρός με, Υἱὲ ἀνθρώπου, τὸ στόμα σου φάγεται, καὶ ἡ
κοιλία σου πλησθήσεται τῆς κεφαλίδος ταύτης· τὸ μὲν ἄκρον καὶ δραστικώτερον Eze 3.2
τοῦ νοὸς καὶ πρώτως ἀπογευόμενον τῶν θείων βρωμάτων, στόμα καλῶν· τὸ δεύτερον δὲ καὶ χωρητικώτατον, ἤτοι τὴν διάνοιαν, κοιλίαν ὀνομάζων, ἣν καὶ λέγει πλησθήσεσθαι | τῆς κεφαλίδος, ὡς ἐκ μικρῶν σπερμάτων τοῦ Πνεύματος, πολλῶν πληρουμένην ἄρα λογίων.

§ 105 Ὁρᾷ δὲ καὶ ἀκούει καὶ Ἠσαΐας. *Τίς*, φησὶ, *πορεύσεται πρὸς τὸν λαὸν τοῦτον;*
Καὶ εἶπον, Ἰδοὺ ἐγὼ, Κύριε. Νῦν ὁ ἀκούων. Πότε δὲ καὶ ὁ βλέπων; *Καὶ ἑώρων ἕως* Isa 6.8
οὗ θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς ἡμερῶν ἐκάθησεν, ἀμφοῖν τούτων, τοῦ μὲν τὴν Da 7.9
ἀνάστασιν, τοῦ δὲ τὴν κρίσιν συμμερισαμένων.

§ 106 Πολλὰ γοῦν τοῦ βλέπειν καὶ ἀκούειν καὶ γεύεσθαι τὰ παραδείγματα.

§ 107 Τίνα δὲ καὶ τοῦ ἅπτεσθαι; Ναοὺμ τὸ θεῖον λῆμμα, τὴν θεοληψίαν οὕτω καλοῦντος, Na 1.1
καθάπερ ἐπαφωμένου τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς, καὶ τυπουμένου παρὰ τοῦ ἁγίου Πνεύματος.

§ 108 Ἀλλ' ἵν' εἴποιμεν συντομώτερον, ἄλλων κατ' ἄλλον ἐνεργουμένων καὶ χρόνον καὶ τρόπον, καὶ κομιδῇ γε ὀλίγων καὶ ἐπ' ὀλίγον, κατὰ δύο μόνους χρόνους ἢ καὶ τρόπους πολλάκις τρεῖς, μόνος ὁ θεοπάτωρ οὗτος — λέγοιτο δ' ἂν καὶ προφητοπάτωρ — διὰ πάντων ἦλθε καὶ χρόνων καὶ τρόπων, καὶ νῦν μὲν λέγει τὰ παρελθόντα, νῦν δὲ τὰ ὄντα, νῦν δὲ τὰ μέλλοντα.

§ 109 Καὶ νῦν μὲν ὁρᾷ· *Καὶ εἶδον*, φησὶ, *τὸν Κύριον*, ἢ τὰ τοῦ Κυρίου. Νῦν δὲ ἀκούει, Εἶπε, γὰρ, φησὶ, Κύριος τῷ Δαυΐδ. Νῦν δὲ ἅπτεται, *Ἡ γλῶσσα μου κάλαμος*
γραμματέως ὀξυγράφου, γλῶτταν, οὐ τὴν ἔξω λέγων, λέγειν γὰρ ἂν αὐτὴν μᾶλλον, Ps 44.2
ἀλλ' οὐχὶ γράφειν, ἀλλὰ τὴν ἔνδον, τὴν τοῦ νοῦ δηλονότι, καινόν τινα τρόπον ἁπτομένην ὑπὸ τοῦ Πνεύματος, ὡς ὑπὸ γραφέως κάλαμος, δι' αὐτῆς τὰς γνώσεις

καλλιγραφοῦντος, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὀξυγραφοῦντος· οὕτω διὰ μὲν τῶν γραμμάτων τὴν ἐνάργειαν τῆς προφητείας ἐδήλωσε, τὴν ὀξύτητα δὲ, διὰ τῆς ὀξυγραφίας. Νῦν δὲ *τὴν γευστικὴν ἑαυτῷ προσμαρτυρεῖ δύναμιν, Ὡς γλυκέα γὰρ, φησὶ, τῷ λάρυγγί μου τὰ λόγιά σου.* Καὶ γὰρ *τὸ νοητὸν ἡδύνετο στόμα, τὰ λόγια* Ps 118.103
τῶν χρησμῶν καταπίνων, καὶ αὖ ἀναφέρων, πολλῆς ἡδονῆς περί τε τὴν κατάποσιν καὶ τὴν ἀνάδοσιν αἰσθανόμενος· ἀλλαχοῦ δὲ καὶ τὴν καρδίαν ἐρευγομένην λέγει τὸ ἀγαθὸν, τὴν βαθυτάτην, ὡς ἂν εἴποις, καὶ ὑποδεκτικὴν πάντων τοῦ νοὸς δύναμιν, ὡς Ps 44.2
ὑπερεμπεπλησμένην ὅλην καὶ ὅλων τῶν ἀγαθῶν βρωμάτων τοῦ Πνεύματος.

§ 110 *Σπάνιος ὁ τῆς ὀσφραντικῆς ἐν αὐτῷ τύπος, καὶ πολὺ τῶν ἄλλων δυσφωρατώτερος· Σμύρνα, φησὶ, καὶ στακτὴ, καὶ κασσία, ἀπὸ τῶν ἱματίων σου, τῆς* Ps 44.9
εὐωδίας τῆς κατὰ Χριστὸν *ἀντιλαμβανόμενος.*

§ 111 *Οὕτω δι' ὅλων τοῦ νοὸς τῶν αἰσθήσεων, τῶν τοῦ* Πνεύματος *ὅλων ἀντελάβετο καὶ γνώσεων καὶ δυνάμεων.*

§ 112 *Δηλοῖ δὲ τὴν προφητικὴν ἕξιν διὰ τοῦ λόγου, καὶ οὐδὲν αὐτῷ διαφέρον τὰ παρελθόντα λέγειν, ἢ καὶ τὰ μέλλοντα.* Πολλάκις γοῦν *ἐναλλάττει τὴν τάξιν, καὶ τὸ μὲν ὡς ἤδη γεγονότα λέγει τὰ γενησόμενα, τὸ δὲ τοὐναντίον.* Οὕτω γὰρ τὸ, *Ἵνα τί μὲν ἐφρύαξαν ἔθνη καὶ παρέστησαν καὶ συνήχθησαν, καὶ ἄλλα τοιαῦτα,* Ps 2.1
ἀντὶ τοῦ, *φρυάξονται, καὶ παραστήσονται, καὶ συναχθήσονται.* Τὸ δὲ, *Ἐν ποταμῷ διελεύσονται ποδὶ, ἀντὶ* τοῦ, *διεληλύθασιν, ὃ καὶ τοῦ θείου* Πνεύματος *ἰδιαίτατον,* Ps 65.6
μηδὲν παρεληλυθὸς ἔχειν ἢ μέλλον, ἀλλ' ἐνεστῶτα πάντα.

§ 113 *Τοσαῦτα προθεωρήσαντες, ἐπὶ τὴν κατὰ λέξιν ὁρμήσωμεν τῶν ψαλμῶν ἐξήγησιν, ἐκεῖνο κοινῶς καὶ ἀναγκαίως ἀποφηνάμενοι, ὡς οὐχ ἅπαντα τὰ ῥητὰ καθ' ἕνα τρόπον ἐξετασθήσεται, οἷον ἢ καθ' ἱστορίαν μόνον, ἢ κατὰ προφητείαν, ἢ κατ' ἀλληγορίαν, ἢ καὶ κατὰ τὴν ἠθικὴν διδασκαλίαν, ἀλλὰ τὸ αὐτὸ πολλάκις πολλοῖς καὶ διαφόροις τρόποις ὑποβληθήσεται, καὶ ὥσπερ ἐν δένδροις, εἴτε καὶ σπέρμασι, πολλαί τινες αἱ ἐκφύσεις καὶ δυνάμεις· καὶ γὰρ ἐν δένδροις, ῥίζα καὶ στέλεχος καὶ κλάδοι καὶ φλοιὸς καὶ φύλλα καὶ ἐντεριώνη· καὶ ἐν σπέρμασι, χλόη καὶ καλάμη καὶ ἀθέρες καὶ λέπος· καὶ ὁ καρπὸς, ἀνθ' ἑνὸς, μυρίος· οὕτω καὶ πολλῷ πλέον ἐπὶ τοῦ* Πνεύματος. Καὶ *οὐ μέμψις τῶν εὑρεθέντων, | ἀλλὰ συγγνώμη τῶν παρεθέντων· τῆς γὰρ ἀξίας οὐδεὶς ἂν δικαίως ἐφίκοιτο.*

§ 114 Καθόλου *δὲ εἰπεῖν, δυνάμεθα καὶ ἡμῖν τοὺς ψαλμοὺς προσαρμόζειν, ἐχθροὺς τοῦ* Χριστοῦ *νοοῦντες τοὺς ἐχθροὺς τῶν* Χριστιανῶν *δαίμονας, καὶ* Σαοὺλ *καὶ* Ἀβεσαλὼμ, *καὶ εἴ τις τύραννος, αὐτὸν δήπου τὸν διάβολον, καὶ πάλιν ἐπιβούλους καὶ θλίβοντας καὶ καταδιώκοντας, καὶ ὅσα τοιαῦτα, τοὺς δαίμονας·* Δαυὶδ *δὲ καὶ χριστὸν καὶ βασιλέα, τὸν καθ' ἕκαστον ἡμῶν· ὥσπερ γὰρ ἐκεῖνος ἐχρίσθη τῷ ἐλαίῳ τῆς ἀρχῆς εἰς βασιλείαν, οὕτω καὶ ἡμεῖς τῷ ἐλαίῳ τοῦ βαπτίσματος εἰς βασιλείαν τὴν ἐν οὐρανοῖς.*

§ 115 *Ὅσα δὲ τῶν ῥητῶν οὐ προσαρμόζουσι, ταῦτα ἐκφωνοῦμεν ἁπλῶς, ὡς φωνὰς τοῦ ἁγίου* Πνεύματος, *ἁγιάζοντες διὰ τούτων ἑαυτοὺς, ὁποῖα τὰ τοῦ δευτέρου ψαλμοῦ καὶ τῶν τοιούτων.*

1

α′

Ἀνεπίγραφος μὲν οὖν παρ’ Ἑβραίοις ὢν ὁ πρῶτος ψαλμὸς, οὐδὲ παρὰ τῶν ἑρμηνευσάντων ἔτυχεν ἐπιγραφῆς. Ἔστι δὲ οὐ μόνον ἠθικὸς, ἀλλὰ καὶ δογματικός· οὐ μόνον γὰρ παραινεῖ προσέχειν τοῖς θείοις λογίοις, ἀλλὰ καὶ ἀσεβῶν καὶ τῶν ἄλλως ἁμαρτωλῶν περιέχει κατηγορίαν καὶ τιμωρίαν.

1 Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν.

Μακάριος κυρίως μὲν ὁ Θεὸς, καθὼς φησιν ὁ Παῦλος, *Ὁ μακάριος*, λέγων,
καὶ μόνος δυνάστης. Παρεχώρησε δὲ τῆς προσηγορίας ταύτης καὶ ἡμῖν, ὡς καὶ 1Tim 6.15
τῆς, Θεός, ὡς τὸ, *Ἐγὼ εἶπα, Θεοί ἐστε*, καὶ πολλῶν ἄλλων τοιούτων. Ps 81.6

Τὸ γοῦν ὄνομα τοῦτο τῆς μὲν κατ’ ἀρετὴν τελειότητος ὑπάρχει καρπός· δηλοῖ δὲ τὸν ἀνώλεθρον, ὡς ἐστερημένον πάσης κήρας, τοῦ μῦ πλεονάσαντος.

Συμπεριλαμβάνει δὲ καὶ τὴν γυναῖκα πάντως ὁ μακαρισμὸς, ὡς ἀπὸ μέρους τὸ
πᾶν· *Κεφαλὴ μὲν γὰρ γυναικὸς, ὁ ἀνὴρ*, κατὰ τὸν θεῖον Ἀπόστολον· συνάπτεται Eph 5.23
δὲ τῇ κεφαλῇ τὰ μέλη τοῦ σώματος, καὶ ὧν ἡ ἀνθρωπότης κοινὴ, τούτων καὶ τὰ
ἔργα καὶ ὁ μισθός.

Τῇ φύσει δὲ τῶν πραγμάτων ἑπόμενος ὁ Δαυὶδ, τάξιν τινὰ τοῖς ῥητοῖς ἐπέθηκε.
Ῥίζα γὰρ ἡ ἐν τῇ καρδίᾳ βουλὴ τῶν διὰ τοῦ σώματος ἐνεργημάτων, ὡς καὶ ὁ
Κύριος ἔνδον φησὶ τὰ κοινοῦντα τὸν ἄνθρωπον. Ὅθεν βουλευόμεθα μὲν πρότερον, Mk 7.15
εἶτα ἱστῶμεν τὸ βούλευμα, εἶθ’ οὕτω τοῖς βουλευθεῖσιν ἐναπομένομεν.

Ἐπεὶ δὲ ἀσεβὴς μὲν, ὁ ἄθεος ἢ πολύθεος, ἁμαρτωλὸς δὲ, ὁ εὐσεβὴς μὲν, παράνομον δὲ καὶ διεφθαρμένον βίον αἱρούμενος, λοιμὸς δὲ, ὁ μὴ μόνον αὐτὸς ἁμαρτωλὸς, ἀλλὰ καὶ ἄλλους διαφθείρων καὶ τῆς νόσου ταύτης μεταδιδοὺς, μακαρίζει τὸν καὶ τοὺς τρεῖς ἀποφυγόντα, καὶ μήτε τοῖς ἀσεβέσι βουλῆς κατὰ τοῦ ὄντως Θεοῦ κοινωνήσαντα, μηδ’ ὅσον ἐν παρόδῳ — τοῦτο γὰρ οἶμαι τὴν πορείαν ἐνταῦθα σημαίνειν — μήτε τοῖς ἁμαρτωλοῖς τῆς ἐπὶ τοῦ κακοῦ στάσεως — εἰ καί πως συναρπαγείη — μήτε τοῖς λοιμοῖς τῆς ἐν τῷ τοιούτῳ πάθει μονιμότητος — τοῦτο γὰρ ἡ καθέδρα βούλεται.

Ἔστι δὲ καὶ ἄλλως, βουλὴν μὲν ἀσεβῶν, τὸ συνέδριον αὐτῶν ὑπολαμβάνειν,
ὡς ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν· ὁδὸν δὲ ἁμαρτωλῶν, τὸν διάβολον·
ὁ γὰρ μὴ στὰς ἐν αὐτῷ πρὸς Κύριον ἥξει, τὸν εἰπόντα, *Ἐγώ εἰμι ἡ ὁδὸς*, δι’ οὗ Jn 14.6
βαδίζουσιν εἰς ἀρετὴν ἄνθρωποι· καθέδραν δὲ, τὴν διδασκαλίαν τῶν πονηρῶν.

Ἐπειδὴ δὲ οὐκ ἀπόχρη εἰς ἀρετῆς τελείωσιν ἡ τῆς κακίας φυγὴ — *Ἔκκλινον*
γὰρ, φησὶν, *ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν*, καὶ ὁ Ἡσαΐας, | *Παύσασθε ἀπὸ τῶν* Ps 36.27
πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν — μάλα εἰκότως ἐπήγαγεν· Isa 1.16-17

2 Ἀλλ’ ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.

1[7] *κήρας* MPCH: *κηρός* V. 1[21] *εἰ καί πως* PFBCV : *καὶ εἴ πως* M. 1[27] *ἄνθρωποι* MCBF : *οἱ ἄνθρωποι* PV.

Μακάριος, φησὶν, ὃς οὐ μόνον οὐδενὶ τῶν προειρημένων ἐκοινώνησεν, ἀλλὰ καὶ τῷ νόμῳ Κυρίου τὸ οἰκεῖον θέλημα συνήρμοσε, ταῦτα θέλων ἅπερ ἐκεῖνος ὑπαγορεύει, καὶ τούτῳ διὰ παντὸς ἐμμελετῶν, καὶ τὸν ἑαυτοῦ βίον ἐντεῦθεν ῥυθμίζων. Οὕτω γὰρ καὶ ὁ Θεὸς διὰ Μωυσέως ἐνομοθέτει, λέγων, *Καὶ ἔσται τὰ ῥήματα τοῦ νόμου τούτου διὰ παντὸς ἐν τῷ στόματί σου, καὶ μελετήσεις ἐν*
αὐτοῖς, καθήμενος καὶ διανιστάμενος καὶ κοιταζόμενος, καὶ ἀπαρτίσεις κατὰ τῆς Dt 6.6-8
χειρός σου, καὶ ἔσται ἀσάλευτα πρὸ ὀφθαλμῶν σου. Jos 1.8

Εἶτα δείκνυσι τὸν ἐκεῖθεν φυόμενον καρπόν.

3 Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται· καὶ πάντα ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.

Ὁ γὰρ οὕτως ἔχων, οἷον παραπεφυτευμένος τοῖς τῶν θείων λογίων νάμασι καὶ διὰ τῆς διδασκαλίας αὐτῶν ἀρδόμενος, θάλλει καὶ προκόπτει δίκην δένδρου παραπεφυτευμένου τοῖς τῶν ὑδάτων ῥεύμασι, καρπὸν μὲν τὰς ἀρετὰς φέρων ἐν καιρῷ τῷ προσήκοντι, οὐκ ἀποβάλλων δὲ τὰ φύλλα, δηλαδὴ τὴν σκέπουσαν καὶ συντηροῦσαν αὐτὰς ταπεινοφροσύνην.

Ἢ καὶ καρπὸν μὲν ὑποληπτέον, τὸν ἀπὸ τῶν πόνων συλλεγόμενον πνευματικὸν πλοῦτον, φύλλα δὲ, τὴν ἐπιθάλπουσαν ἐλπίδα τῆς σωτηρίας, ἧς οὐδένα καιρὸν ἀφίστανται, τὴν αἴσθησιν τῶν ἀλγηδόνων ὑφαιρουμένης.

Εἰκότως δὲ τὰ θεῖα λόγια ὕδασιν ἀπείκασε, διὰ τὸ ποτίζειν καὶ πιαίνειν τὰς ψυχὰς, ὡς ἐκεῖνα τὰ φυόμενα. Οὕτω καὶ ὁ Χριστὸς τὴν οἰκείαν διδασκαλίαν
ἐκάλεσεν· *Εἴτις διψᾷ*, λέγων, *ἐρχέσθω πρός με καὶ πινέτω*, καὶ, *Ὁ πιστεύων εἰς* Jn 7.37
ἐμὲ, ὕδατος ζῶντος ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ, καὶ, *Ὃς δ᾽ ἂν πίῃ* Jn 7.38
ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. Jn 4.14

Τῷ δὲ τοιούτῳ ἀνδρὶ καὶ ὁ Θεὸς συνεργεῖ πρὸς πάντα. *Παρὰ Κυρίου γὰρ*,
φησὶ, *τὰ διαβήματα αὐτοῦ κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα.* Ps 36.23
Καὶ ὁ Ἀπόστολος δὲ λέγει πάλιν, *Τοῖς γὰρ ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς*
τὸ ἀγαθόν. Τὸ δὲ, *πάντα*, πρόσκειται μετὰ ἀκριβείας· ὁ γὰρ εἰς τοῦτο φθάσας, Ro 8.28
οὐδέποτέ τι κακὸν ποιῆσαι θελήσει· διὸ καὶ εὐοδοῦται ἐν πᾶσι παρὰ Θεοῦ.

Οὕτω διὰ τῶν ἀγαθῶν προτρέψας εἰς ἀρετὴν, καὶ διὰ τῶν ἐναντίων ἀλείφει τοὺς ἀθλητὰς ἐν τῷ εἰπεῖν·

4α Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως.

Τουτέστιν, οὐχ ὡς ὁ προειρημένος ἀνὴρ θάλλουσι καὶ καρποφοροῦσι καὶ τῶν ἄλλων ἀπολαύουσιν ἀγαθῶν. Διὰ δὲ τοῦ διπλασιασμοῦ, τὴν ἀπαγόρευσιν ἐβεβαίωσεν· ἀλλὰ πῶς;

4β Ἀλλ᾽ ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.

[2][3] τούτῳ PCHB : τοῦτο MV. [2] Add. [MP in marg.]H: *Τὸ τοῦ νόμου ὄνομα παρὰ τῇ θείᾳ Γραφῇ διάφορα δηλοῖ σημαινόμενα. Νόμος γὰρ, ὁ δοθεὶς ἐγγράφως διὰ Μωυσέως, προστάσσων ἃ δεῖ ποιεῖν, ἃ μὴ ποεῖν. Νόμον δὲ πάλιν λέγει, καὶ τὴν κατὰ Μωυσῆν ἱστορίαν· φησὶν γὰρ ὁ Ἀπόστολος ὅτι, Τὸν νόμον οὐκ ἀκούετε; Γέγραπται γὰρ ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης καὶ*

Ὥσπερ ὁ ἄνεμος προσπεσὼν ῥᾷον μεταφέρει τὸν χοῦν καὶ διασκεδάννυσιν, οὕτω καὶ τοὺς ἀσεβεῖς οἱ ἀντιπνέοντες δαίμονες.

Πρόσωπον δὲ τῆς γῆς, τὸ φαινόμενον αὐτῆς νοητέον· τὸ αὐτὸ δὲ καὶ νῶτα, διὰ τὸ βαστάζειν τὰ ἐπ᾽ αὐτῆς σώματα, καθάπερ καὶ κόλπος, τὸ ταύτης βάθος.

Ἀσεβεῖς δὲ ἐνταῦθα, πάντας ὀνομάζει τοὺς ἄνω ῥηθέντας, κοινωσάμενος τὸ πρόσρημα. Νοοῖντο δ᾽ ἂν ἀσεβεῖς, καὶ Ἰουδαῖοι, μὴ σεβόμενοι τὸν Υἱὸν, οἳ διεσκορπίσθησαν, τοῦ κηρύγματος τῶν ἱερῶν ἀποστόλων πνεύσαντος.

5α Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει. |

Ὅρα τοῦ θείου Πνεύματος τὴν ἀκρίβειαν· οὐκ εἶπεν ἁπλῶς, *οὐκ ἀναστήσονται*, ἀλλὰ καὶ τὸ, *ἐν κρίσει*, προσέθηκεν. Ἀναστήσονται μὲν γὰρ καὶ οὗτοι, ἀλλὰ οὐχ ἵνα κριθῶσι· πῶς γὰρ, οἵγε αὐτοκατάκριτοι; Ὁ *γὰρ μὴ πιστεύων εἰς ἐμὲ*, φησὶν, *ἤδη κέκριται*· ἀλλ᾽ ἵνα τιμωρηθῶσι. Jn 3.18

Παρατηρητέον δὲ, ὅτι μηδὲν τοῦ Μωυσέως περὶ ἀναστάσεως εἰπόντος, πρῶτος ὁ Δαυὶδ ἐδίδαξε περὶ ταύτης.

5β Οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.

Ἁμαρτωλοὺς, τό γε νῦν ἔχον, κοινῶς καλεῖ τοὺς μὴ ἀσεβεῖς μὲν, ἄλλως δὲ διεφθαρμένους καὶ φαύλους, οἵτινες κριθήσονται μόνοι καὶ πόῤῥω τῶν δικαίων ἀποπεμφθήσονται. Βουλὴν γὰρ ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων, κἀνταῦθα δὲ τὴν συναγωγὴν τῶν δικαίων ἡρμήνευσαν.

Δικαίους δὲ καλεῖν ἔθος τῇ θείᾳ Γραφῇ, οὐ μόνον τοὺς τὴν εἰδικὴν ἀρετὴν τῆς δικαιοσύνης ἀσκήσαντας, ἀλλὰ καὶ καθόλου πάντας τοὺς ἁγίους, ὡς δεδικαιωμένους ὑπὸ Θεοῦ.

6α Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων.

Δείκνυσιν, ὡς οὐδεὶς λανθάνει Θεόν· καὶ γὰρ τὰς μὲν ὁδοὺς τῶν δικαίων οἶδε·
Γινώσκει γὰρ, φησὶ, *Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων*, καὶ πάλιν, *Ἔγνω Κύριος* Ps 36.18
τοὺς ὄντας αὐτοῦ, ἐπεὶ καὶ αὐτὸς εἶπεν, *Ἐγώ εἰμι ἡ ὁδός*, καὶ οἶδε τοὺς δι᾽ αὐτοῦ 2Tim 2.19
βαδίζοντας, ἤτοι τῶν αὐτοῦ προσταγμάτων. Τὰ κακὰ δὲ, ὡς ἀνάξια τῆς ἐκείνου Jn 14.6
γνώσεως, ἀγνοεῖν προσποιεῖται· οὗ χάριν καὶ ἡμαρτηκότος Ἀδὰμ, πυνθάνεται, Gen 3.9
ποῦ ἐστι· τοῦτο δὲ καὶ ἐπὶ Κάϊν, καὶ ἐπὶ πολλῶν πεποίηκεν ἄλλων. Gen 4.9

6β Καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

Τῶν μὲν γὰρ δικαίων αἱ ἀρεταὶ μένουσιν, ὡς πλοῦτος αὐτῶν καὶ στέφανος· τῶν δὲ φαύλων αἱ πράξεις καὶ ἡ πονηρία, ἅπερ ὁδὸν ὠνόμασε νῦν, ἀφανίζονται καὶ ἀνενέργητοι γίνονται.

ἕνα ἐκ τῆς ἐλευθέρας [Gal.4.21-22]. Νόμον δὲ αὖθις ὀνομάζει, καὶ τὴν βίβλον τῶν Ψαλμῶν, ὡς τὸ, *Ἵνα πληρωθῇ ὁ λόγος ὁ ἐν τῷ νόμῳ αὐτῶν γεγραμμένος, ὅτι ἐμίσησάν με δωρεάν* [Jn 15.25]. Νόμον ἔτι καλεῖ, καὶ τὰ προφητικὰ, ὡς ὁ Ἀπόστολος φησὶν ὅτι, *Ἐν τῷ νόμῳ γέγραπται, ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ* [1Cor 14.21]· προφητικὸν γὰρ τουτὶ τὸ ῥητόν.

Τούτῳ δὲ καὶ τὸ ἀποστολικὸν ἔοικε ῥητὸν, *Εἴτινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται.* 1Cor 3.15

2 β΄

Ὁ δεύτερος ψαλμὸς ἀνεπίγραφος καὶ οὗτος παρ᾽ Ἑβραίοις. Προαγορεύει δὲ τὴν κατὰ τοῦ Σωτῆρος τῶν ἀνελόντων ἐπιβουλὴν, εἶτα καὶ κλῆσιν ἐθνῶν καὶ Ἰουδαίων ἀπώλειαν.

1-2α *Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό.*

Τοῖς προφητικοῖς ὀφθαλμοῖς ὁρῶν αὐτῶν τὴν λύτταν ὁ Δαυὶδ, σχετλιαστικῶς καὶ θρηνητικῶς προάγει τὸν λόγον· ὅτι, φεῦ, διατί τοσοῦτον μανέντες ἐθορύβησαν, καὶ πάντα ἐκύκησαν, καὶ ἠλαζονεύσαντο; Ταῦτα γὰρ σημαίνειν τὸ, *ἐφρύαξαν*, οἱ τὸ Ἑβραϊκὸν ἐξελληνίσαντες λέγουσιν.

Ἔθνη μὲν οὖν, οἱ ἀμφὶ τὸν Πιλᾶτον Ῥωμαῖοι στρατιῶται· λαοὶ δὲ, οἱ ἀμφὶ τὸν Ἄνναν καὶ Καϊάφαν Ἰουδαῖοι· βασιλεῖς δὲ, Ἡρῴδης· ἄρχοντες δὲ, Πιλᾶτος. Οὕτω γὰρ καὶ ἐν τῇ βίβλῳ τῶν Πράξεων ἱστόρηται. Ac 4.25-7

Βασιλεῖς δὲ καὶ ἄρχοντας, πληθυντικῶς εἴρηκε, κατὰ τὴν τῆς Ἑβραΐδος διαλέκτου συνήθειαν, πληθυντικοῖς ἀντὶ ἑνικῶν πολλάκις χρωμένης. Ἢ καὶ κατὰ βαθυτέραν ἐπιβολήν· μετὰ μὲν γὰρ τοῦ βασιλέως Ἡρῴδου, ὡπλίζετο καὶ ὁ βασιλεὺς τῆς ἁμαρτίας διάβολος· μετὰ δὲ τοῦ ἄρχοντος Πιλάτου, καὶ αἱ ἀρχαὶ καὶ ἐξουσίαι τῶν δαιμόνων, πρὸς ἃς ἡμῖν ἡ πάλη, κατὰ τὸν θεῖον Ἀπόστολον. Eph 6.12
Ἐκ δύο γὰρ φύσεων ὄντος τοῦ Χριστοῦ, ἀοράτου καὶ ὁρατῆς, διπλοῦς ἦν καὶ ὁ πόλεμος, ἐξ ἀοράτων πολεμίων καὶ ὁρατῶν.

Κενὰ δὲ ἐμελέτησαν, ἀντὶ τοῦ, μάτην ἐσπούδασαν, ὁμονοήσαντες ἐκ μέσου τοῦτον ποιήσασθαι. Ἀνέστη γὰρ, καὶ ζῇ εἰς αἰῶνας. Καὶ πρὸς μόνους δὲ Ἰουδαίους ὁ λόγος, Ro 14.9
ὅτι μάτην ἐμελέτησαν τὴν Γραφὴν, μὴ συνιέντες ὅσα | περὶ αὐτοῦ κατήγγειλε.

2β *Κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.*

Ἐφρύαξαν, καὶ παρέστησαν, καὶ συνήχθησαν κατὰ τοῦ Πατρὸς οὐχ ἧττον, καὶ κατὰ τοῦ Υἱοῦ, ὃν αὐτὸς ἔχρισεν εἰς βασιλέα πάντων ἐθνῶν, δοὺς αὐτῷ ταῦτα κληρονομίαν. Ὁ γὰρ κατὰ τοῦ Υἱοῦ πόλεμος καὶ πρὸς τὸν Πατέρα διαβαίνει. Κύριον μὲν οὖν ὑποληπτέον, τὸν Πατέρα· Χριστὸν δὲ, τὸν Υἱόν· *αὐτοῦ* δὲ κατὰ τὴν ῥηθεῖσαν ἐξήγησιν. Αὐτὸς γὰρ τοῦτον κατέστησε βασιλέα ἐπ᾽ αὐτοὺς, κατὰ τὸν τῆς οἰκονομίας λόγον.

Εἰ δὲ καὶ κατὰ τοῦ Χριστοῦ αὐτῶν εἴποιμεν, ὡς πολλὰ τῶν ἀντιγράφων ἔχει, τὸ, *αὐτῶν*, ἐκτενοῦμεν κατὰ πάντων, καὶ Ἰουδαίων καὶ ἐθνῶν καὶ δαιμόνων. Τούτῳ γὰρ *Πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων.* Php 2.10

1-2α[19] *κατήγγειλε* MV : *κατήγγελλε* PHA.

2γ Διάψαλμα.

Περὶ τούτου σαφῶς ἐν τῷ προοιμίῳ διελάβομεν. § 61

3 Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν.

Ταῦτα, ἢ ὡς ἀπὸ τοῦ ἁγίου Πνεύματος, ἐγκελευομένου τοῖς ἐσομένοις πιστοῖς ἀποστῆναι καὶ τῶν εἰδωλολατρούντων Ῥωμαίων καὶ τῶν ἀσυνέτων Ἰουδαίων· κἀκείνων μὲν, τοὺς περικειμένους διαῤῥῆξαι τῆς δουλείας δεσμοὺς, τούτων δὲ, ἀποῤῥῖψαι τὸν ἐπικείμενον τοῦ νόμου ζυγὸν, ὡς βαρὺν καὶ ἀποκτείνοντα, ἑλέσθαι 2Cor 3.6
δὲ τὸν τοῦ Χριστοῦ, ὡς ἐλαφρὸν καὶ ζωογονοῦντα. Mt 11.30

Ἢ ὡς ἀπὸ τῶν φονευτῶν τοῦ Σωτῆρος, μονονουχὶ ταῦτα εἰρηκότων, καὶ δι᾽ ὧν ἔπραττον, καὶ δι᾽ ὧν ἔλεγον, καὶ ἀφηνιασάντων, καὶ τῶν δεσμῶν τῆς δουλείας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ζυγοῦ τῆς ὑποταγῆς, οἷς ἐνείχοντο κατὰ τὴν ἀκολουθίαν τῆς φύσεως.

4 Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.

Αὐτοὶ οἱ παρὰ τούτων βλασφημούμενοι, ὅ τε κατοικῶν ἐν οὐρανοῖς Πατὴρ, καὶ ὁ Υἱὸς, ὁ Κύριος πάντων, κατὰ τὸν λόγον τῆς θεότητος, λίαν γελάσονται, καὶ ἐκμυκτηριοῦσιν αὐτοὺς — ἐπίτασιν γὰρ ἐμφαίνει ἡ πρόθεσις — καὶ διελέγξουσιν ἀνοήτους, ὡς ἀνηνύτοις ἐπιχειρήσαντας· ὅτι τε θανατῶσαι τὴν ζωὴν προσεδόκησαν, καὶ ὅτι Ῥωμαῖοι μὲν, ἀντὶ Θεοῦ, δαίμονας εἵλοντο, Ἰουδαῖοι δὲ, ἀντὶ τῆς ἀληθείας, σκιάν.

5α Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ.

Ὅτε δηλαδὴ φανερῶς ἤλεγχε τοὺς Ἰουδαίους καὶ τὰ καταληψόμενα τούτους κακὰ προεφήτευε, λέγων ἄλλα τε πολλὰ, καὶ ὅτι, *Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ* Mt 23.13
Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀρθήσεται ἀφ᾽ ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ τὰ ἑξῆς. Mt 21.43

5β Καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.

Θυμούμενος γὰρ ἐπὶ ταῖς πονηρίαις αὐτῶν, καὶ διὰ τοῦτο προλέγων συμφορὰς μελλούσας, τάραχον καὶ ὑποψίαν τούτοις ἐνετίθει· πολλοὶ γὰρ ὑπελάμβανον αὐτὸν προφήτην. Jn 7.40

Οἱ δέ φασι τάραχον, τὸν ἐπιγενόμενον ὕστερον θόρυβον ἐκ τῆς παρὰ τῶν Ῥωμαίων πολιορκίας.

Νοοῖντο δ᾽ ἂν ταυτὶ τὰ ῥητὰ καὶ περὶ τῆς μελλούσης κρίσεως, ὅτε καταδικάζων αὐτοὺς, ὑποβαλεῖ τιμωρίαις.

4 Add. [MP in marg.]CBFV : Ἀπερίγραπτον μὲν τὸ θεῖον, ὡς ἀόριστον· οἰκητήριον δὲ αὐτοῦ, τὸν οὐρανὸν λέγομεν, ὡς οἰκειότερον αὐτῷ τόπον· οὗτος μὲν γὰρ ἐλεύθερός ἐστι κακίας, ἡ δὲ γῆ πέπλησται ταύτης, ὅτι ἐπὶ ταύτης ἐστὶν ὁ τῆς κακίας δημιουργὸς διάβολος. : om. H.

Ὀργὴ δὲ καὶ θυμὸς ποτὲ μὲν ταὐτὸ σημαίνουσι, ποτὲ δὲ καὶ διαφέρουσιν· ὡς εἶναι θυμὸν μὲν τὴν κίνησιν τῆς ὀργῆς, παρὰ τὸ θύειν καὶ ὁρμᾶν· ὀργὴν δὲ, παρὰ τὸ ὀργᾶν καὶ σφύζειν, τὴν σφοδρὰν καὶ ὀξεῖαν ζέσιν εἰς ἄμυναν.

6α *Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ.*

Τοῦ λοιποῦ, προσώπῳ τοῦ Χριστοῦ ποιεῖται τὸν λόγον. Τοιοῦτον γὰρ ἡ προφητεία, ποτὲ μὲν ὑπὲρ τούτου, ποτὲ δὲ ὑπὲρ ἐκείνου λέγειν, καὶ μεταπηδᾶν, ὡς εἶναι δῆλον ὅτι καθάπερ ὄργανον, ἅπερ ἐνηχοῦντο παρὰ τοῦ Πνεύματος ἀπεφθέγγοντο. Προαναφωνεῖ δὲ τὴν βασιλείαν ἣν ἔλαβε παρὰ τοῦ Πατρὸς ὡς ἄνθρωπος, Ἐδόθη μοι γὰρ, φησὶ, *πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.* Mt 28.18

6β-7α *Ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου.* |

Ἀπὸ τοῦ ὄρους τοῦ καλουμένου Σιὼν, τὴν ὅλην Ἰουδαίαν ἐδήλωσεν. Ὁ δὲ νοῦς τοῦ ῥητοῦ τοιοῦτός ἐστιν, ὅτι κατέστην βασιλεὺς, διδάσκων τὰς εὐαγγελικὰς ἐντολὰς, κατὰ τὸ ὄρος Σιὼν, ἤτοι ἐν Ἱερουσαλήμ. Πρόσταγμα γὰρ Κυρίου, τὰς ἐντολὰς ταύτας ἐκάλεσε, δεικνὺς ἓν θέλημα ἑαυτοῦ τε καὶ τοῦ Πατρός. *Ἀπ᾽ ἐμαυτοῦ* γὰρ, φησὶ, *λαλῶ οὐδὲν, ἀλλ᾽ ὅσα ἂν ἀκούσω παρὰ τοῦ Πατρός.* Jn 14.10

7β *Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ.*

Τοῦτο, διὰ τὴν προαιώνιον γέννησιν.

7γ *Ἐγὼ σήμερον γεγέννηκά σε.*

Τοῦτο, διὰ τὴν ἔνσαρκον οἰκονομίαν. Καὶ τὸ μὲν, *σήμερον*, ἀντὶ τοῦ, χρονικῶς ἐν τοῖς παροῦσι καιροῖς· τὸ δὲ, *γεγέννηκα*, ἀντὶ τοῦ, ἔκτισα· Πατὴρ γὰρ ὁ Θεὸς λέγεται καὶ τῶν κτιστῶν, ὡς πλάστης καὶ ποιητής.

8α *Αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.*

Ἐπειδὴ κατὰ σάρκα συγγενὴς ὢν τῶν Ἑβραίων ἦλθεν εἰς τὰ ἴδια διδάσκων, οἱ Jn 1.11
δὲ αὐτὸν ἀπεβάλοντο, εἰκότως οἰκειοῦται τὰ ἔθνη, προτραπεὶς παρὰ τοῦ Πατρὸς αἰτῆσαι καὶ λαβεῖν εἰς κλῆρον ταῦτα· καὶ γὰρ καὶ κατὰ τὸ ἀνθρώπινον Υἱὸς Θεοῦ γεγονὼς, ἐπωφείλετο κλῆρον.

8β *Καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.*

Καὶ τὴν ἐξουσίαν τῆς κληρονομίας σου διήκουσαν μέχρι τῶν περάτων τῆς γῆς. *Εἰς πᾶσαν γὰρ τὴν γῆν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης*, ὁ τοῦ Εὐαγγελίου

λόγος ἐξῆλθεν. Ὑποτίθεται δὲ ὁ Πατὴρ αἰτῆσαι, ὡς εὐδοκῶν καὶ θέλων τὴν τῶν ἀνθρώπων ἀνάπλασιν. Αἰτεῖται δὲ ταύτην ὁ Υἱὸς, ὡς ὑπὲρ ἡμῶν ἐνανθρωπήσας, καὶ μεσίτης γενόμενος Θεοῦ καὶ ἀνθρώπων. Ro 10.18 Ps 18.4 1Tim 2.5

Αἰσχυνέσθωσαν οὖν Ἰουδαῖοι, προσαρμόζειν οὐκ ἔχοντές τινι ταυτὶ τὰ ῥητά. Τίς γὰρ ἕτερος τοσαύτην ἐκτήσατο κατάσχεσιν;

9α Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ.

Τοῦτο ἀπὸ τοῦ προφήτου λέγεται. Μὴ δεξαμένους γὰρ, φησὶ, τοὺς λόγους τοὺς σοὺς, παιδεύσεις αὐτοὺς ἐν μάστιγι στεῤῥᾷ· σημαίνει δὲ τὴν τῶν Ῥωμαίων ἀρχήν. Ἀρνησαμένοις γὰρ τὴν βασιλείαν αὐτοῦ, καὶ Καίσαρα ἔχειν ὁμολογήσασι, τὴν Καίσαρος ἐπέστησεν ἐξουσίαν, ὑφ᾽ ἧς διεφθάρησαν. Jn 19.15

Σιδηρᾶν δὲ αὐτὴν ἐκάλεσε, διὰ τὸ ἰσχυρόν· ἐπεὶ καὶ Δανιὴλ σιδηρᾶν ταύτην εἶδεν ἐν ταῖς ὁράσεσιν. Da 2.33-45

9β Ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς.

Τοῦτο, διὰ τὴν εὐχερῆ τούτων πανωλεθρίαν. Ἄλλοι δέ φασι, τὴν τῶν ἐξ ἐθνῶν αἰνίττεσθαι σωτηρίαν, ὅτι ποιμανεῖς αὐτοὺς ἐν τῇ σῇ πανσθενεῖ δυνάμει· καὶ καθάπερ ὁ κεραμεὺς, ἐπειδ᾽ ἂν ἴδῃ τὰ πεπλασμένα σκεύη ἀδόκιμα, συντρίβει ταῦτα πρὸ τοῦ προσομιλῆσαι πυρὶ, καὶ ἀναπλάττει, οὕτω καὶ σὺ τούτων τὰ φρονήματα συντρίψεις τῷ Εὐαγγελίῳ, καὶ ἀναπλάσεις τῷ λουτρῷ τῆς παλιγγενεσίας, καὶ στερεοὺς ἀπεργάσῃ τῷ θείῳ πυρὶ τοῦ Πνεύματος. Tit 3.5

10 Καὶ νῦν, βασιλεῖς, σύνετε· παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν.

Τὸ, νῦν, ἀντὶ τοῦ, διὰ τοῦτο, ὦ βασιλεῖς Ῥωμαίων καὶ τῶν ἄλλων ἐθνῶν, καὶ ὦ κατὰ πᾶσαν τὴν γῆν κριταὶ, ἢ οἱ κρίνοντες τοὺς γηΐνους ἀνθρώπους, μαθόντες οἷαι συμφοραὶ κατέλαβον τοὺς ἀθετήσαντας αὐτὸν, καὶ γνόντες ὅτι ὑμᾶς εἰς κλῆρον ἐξελέξατο, συνετοὶ γένεσθε, τὴν πρὶν ἄνοιαν ἀποῤῥίψαντες, καὶ παιδεύθητε ἀπό τε τούτων καὶ ἀπὸ τῶν θείων Γραφῶν.

Διὰ τῶν ἀρχόντων δὲ περιέλαβε καὶ τοὺς ὑπηκόους. |

11α Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ.

Συνέντες, φησὶν, ὅτι καὶ Θεός ἐστι, καὶ ἐκδικητὴς, καὶ φοβερὸς, καὶ ὅτι κτῆμα αὐτοῦ καὶ λάχος ἤδη ἐχρηματίσατε, καὶ ῥυθμισθέντες ἱκανῶς τὰ ἤθη, ὡς Δεσπότῃ δουλεύσατε αὐτῷ ἐν φόβῳ· οὗ γὰρ φόβος, ἐντολῶν τήρησις. PG36.344A

11β Καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.

11α[2] καὶ Θεός PHBV : ὁ Θεός M.

Καὶ δουλεύοντες, χαίρετε ἐν αὐτῷ, ὡς κηδεμόνι καὶ Σωτῆρι. Χαίρετε γὰρ, φησὶν, ἐν Κυρίῳ πάντοτε, χαίρετε· πλὴν ἡ χαρὰ τρόμῳ σύμμικτος ἔστω, καὶ μὴ ἄνετος. Ἀγάλλεσθε μὲν γὰρ διὰ τὴν ἐλπίδα· τρέμετε δὲ διὰ τὴν ἁμαρτίαν. Ἀκριβὴς γάρ ἐστιν ἐξεταστὴς καὶ ἀλάθητος. Php 4.4

12α Δράξασθε παιδείας.

Τοῦτο ἐπίτασίς ἐστι τοῦ, παιδεύθητε, τουτέστι, μὴ ἐπιπόλαιον, ἀλλὰ τέλεον, ἐκ μεταφορᾶς τῶν ἐν τῇ δρακὶ βεβαίως τι κατεχόντων.

12β Μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.

Ὁδὸν δικαίαν ὠνόμασε, τὴν διατριβὴν καὶ τάξιν τῶν δικαίων· διάφορα γὰρ σημαίνει παρ᾽ Ἑβραίοις ἡ ὁδός· ἢ καὶ διότι πρὸς αὐτὴν ὁδεύουσιν.

12γ Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ.

Τὴν τῆς κρίσεως ἡμέραν ἐδήλωσεν. Ἐν τάχει δὲ, ἀντὶ τοῦ, σφοδρῶς καὶ ὀξέως. Νῦν γὰρ εἰ καὶ θυμοῦται, ἀλλὰ μαλακώτερον καὶ σχολαιότερον, διδοὺς χώραν τῇ μετανοίᾳ.

12δ Μακάριοι πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτόν.

Οἱ τῶν γηΐνων μὲν καταφρονήσαντες, ἐπ᾽ αὐτὸν δὲ θέμενοι πᾶσαν τὴν ἐλπίδα.

Οἱ γοῦν τὸν παρόντα ψαλμὸν τῷ πρώτῳ συνάπτοντες, ἐντεῦθεν ἰσχυρίζονται, § 55
λέγοντες, ὡς ἀπὸ μακαρισμοῦ Δαυὶδ ἀρξάμενος, εἰς μακαρισμὸν κατέληξεν.

3 γʹ

1 Ψαλμὸς τῷ Δαυίδ·

ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.

Δήλη μὲν ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ τοῖς ἀνεγνωκόσι τὴν ἱστορίαν τῶν Βασιλειῶν· 2Rg 15.14
ἁρμόζει δὲ παντὶ πολεμουμένῳ παρ᾽ ἐχθρῶν, εἴτε ὁρατῶν, εἴτε ἀοράτων.

2α Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;

Δεινοπαθήσας ὁ προφήτης, ὅτι τοιαύτης ἐπειράθη τῶν ὑπηκόων καὶ φίλων ἐπιβουλῆς, πρὸς μόνον τὸν Θεὸν ἀνατείνει τὴν ψυχὴν, ἐρωτῶν τίνος ἕνεκεν οἱ ἀμφὶ τὸν πατραλοίαν Ἀβεσαλὼμ ἐχθροὶ αὐτοῦ — τούτους γὰρ θλίβοντας ἐκάλεσε — πληθύνονται τῇ προσθήκῃ τῶν ἑκάστοτε προσχωρούντων, μηδενὸς αὐτῶν ἀδικηθέντος ὑπ᾽ αὐτοῦ πώποτε. Ἢ καὶ περὶ τῶν δαιμόνων ὁ λόγος.

2β *Πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ.*

Τοῦτο σαφηνιστικόν ἐστι τοῦ, ἐπληθύνθησαν.

3α *Πολλοὶ λέγουσι τῇ ψυχῇ μου, Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.*

Πολλοὶ, φησὶ, τῶν κατεξανισταμένων μου, παραθαῤῥύνοντες ἀλλήλους, λέγουσι περὶ τῆς ψυχῆς μου, τουτέστι, περὶ ἐμοῦ, ὅτι ῥᾷον οὕτω καταδιωκόμενος, ἀπώλεσεν ἤδη τὴν τοῦ Θεοῦ βοήθειαν διὰ τὰς ἁμαρτίας αὐτοῦ· ἢ καὶ πολλοὶ τῶν ὁρώντων τὰς ἐμὰς συμφοράς.

Τὸ δὲ, *ἐν τῷ Θεῷ αὐτοῦ*, ἀντὶ τοῦ, ἐν τῷ Θεῷ, ἐφ᾽ ὃν ἀεὶ πέποιθεν.

3β *Διάψαλμα.*

Περὶ τούτου εἴρηται ἐν προοιμίοις. § 61

4α *Σὺ δὲ, Κύριε, ἀντιλήπτωρ μου εἶ.*

Ἐκεῖνοι μὲν λεγέτωσαν, φησὶν, ἃ βούλονται· σὺ δὲ τῶν ὄντων ἐν πειρασμοῖς ἀντιλαμβάνῃ, καὶ μᾶλλον, εἴπερ ὦσιν ἀντιλήψεως ἄξιοι.

4β *Δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου.*

Ἄλλοι μὲν ἄλλα, γένος | ἢ τύχην ἢ πλοῦτον ἤ τι τοιοῦτον, εἰς δόξαν ἔχουσιν· ἐγὼ δ᾽ ἐπὶ σοὶ μόνῳ θαῤῥῶ καὶ μέγα φρονῶ. Δοξάζεις γάρ με, βοηθός μου γινόμενος, καὶ ὑψοῖς τὴν κεφαλήν μου, νικῶντος, πρότερον ταῖς συμφοραῖς συγκατακαμπτομένην.

5α *Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.*

Ἐβόησα μόνον, εἴτε αἰσθητῶς, εἴτε νοητῶς, καὶ ταχέως ἐπήκουσέ μου· καὶ *γὰρ ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν*. Ps 144.18 Ὄρος δὲ ἅγιον, ἢ τὴν Σιὼν ἐκάλεσεν, εἰς τοῦτο γὰρ ἐπιδημεῖν τὸ θεῖον ἐπιστεύετο καὶ διαλέγεσθαι τοῖς ἀξίοις, ἢ τὸν οὐρανὸν οὕτω νοητέον, ὃν καὶ κατοικητήριον Θεοῦ λέγομεν.

5β *Διάψαλμα.*

Προείρηται περὶ τούτου.

6α *Ἐγὼ ἐκοιμήθην.*

Ἀνέπεσον, φησὶ, τῷ καρωτικῷ βάρει τῶν θλίψεων κατασπασθεὶς, καὶ ἀνενέργητος μεμένηκα.

6β Καὶ ὕπνωσα.

Ἐφ᾽ ἱκανὸν τῷ πάθει τούτῳ κατεσχέθην.

6γ Ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Αἰσθόμενος δὲ οἷα προφήτης ὅτι βοηθήσεις μοι, ἤδη τὸ καταπεπτωκὸς ἀνέστησα φρόνημα.

Τινὲς δέ φασι, περὶ τῆς ἀναστάσεως ταῦτα λέγειν, ἀντὶ τοῦ, κοιμηθήσομαι θανὼν, καὶ ὑπνώσω ἐπὶ μακρὸν, τοῦ σώματος ἀνενεργήτου μένοντος· ἐξεγερθήσομαι δὲ χρόνοις ὕστερον, ἢ ὅτε Χριστὸς εἰς ᾅδου κατελθὼν ἀναστήσει τοὺς συνεχομένους, ἢ ὅτε πάντας ἐγερεῖ τοὺς νεκροὺς ἐν τῇ συντελείᾳ.

7 Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαῶν τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Τῇ σῇ δηλαδὴ πεποιθὼς ἀντιλήψει. Συνεπιτιθεμένους δὲ καλεῖ, τοὺς κατεπιχειροῦντας αὐτοῦ, τουτέστιν, ἢ τοὺς ἀμφὶ τὸν Ἀβεσαλὼμ ἱστορικῶς, ἢ ἀναγωγικῶς τοὺς δαίμονας.

Ἐπὶ μέντοι τῶν δαιμόνων, οὕτω νοητέον τὴν κύκλῳ ἐπίθεσιν· ἐπιβουλεύουσι γὰρ καὶ ἀπὸ τῶν ἔμπροσθεν, ὅταν ἐλπίδας ὑποτείνωσιν εὐπραγίας, καὶ ἀπὸ τῶν ὄπισθεν, ὅταν τῇ μνήμῃ τῶν προλαβόντων παθῶν τὴν ψυχὴν μολύνωσι, καὶ ἀπὸ τῶν δεξιῶν, ὅταν συνεργοῦντες πρὸς ἀρετὴν, εἰς κενοδοξίαν συνελαύνωσι, καὶ ἀπὸ τῶν ἀριστερῶν, ὅταν ἀπαρακαλύπτως εἰς ἁμαρτίαν βιάζωνται.

8α Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου.

Τὸ, ἀνάστα, ἀντὶ τοῦ, κινήθητι κατὰ τῶν ἐχθρῶν, ὁ δοκῶν τῇ μακροθυμίᾳ καθεύδειν.

Ἢ καὶ τὴν τοῦ Σωτῆρος ἐκ νεκρῶν ἀνάστασιν προανακρούεται, καλῶν αὐτὸν εἰς τὸ σῶσαι τοὺς ἀνθρώπους, οὓς καὶ δι᾽ ἑαυτοῦ αἰνίττεται.

8β Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως.

Τοῖς προφητικοῖς ὀφθαλμοῖς ἤδη προϊδὼν τὴν ἀπώλειαν τῶν πολεμίων, εὐχαριστεῖ, καὶ ἐξομολογεῖται τὴν χάριν.

8γ Ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

6γ[6-7] ἢ... ἢ PCHV : om. M.

Δηλαδὴ τὴν ἰσχὺν, ἐκ μεταφορᾶς τῶν θηρίων, ἅπερ ἐπὶ τοῖς ὀδοῦσιν ἔχει τὴν δύναμιν. Ἁμαρτωλοὺς δὲ λέγει, πάντας τοὺς δυσμενεῖς, ὡς ἁμαρτάνοντας ἐν τῷ προσπολεμεῖν αὐτῷ μάτην, διὰ μόνην πονηρίαν.

9α Τοῦ Κυρίου ἡ σωτηρία.

Καὶ τοῦτο, εὐχαριστήριον ἐπιφώνημα, δηλοῦντος ὅτι Κύριος ἔσωσεν αὐτὸν, καὶ οὐδεὶς ἕτερος.

9β Καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου. |

Καὶ ἦλθε, φησὶν, ἡ εὐλογία σου ἐπὶ τὸν λαόν σου, ἢ τὸν σὺν ἐμοὶ πολεμούμενον, ἢ ἁπλῶς τὸν ὑπὸ τὴν ὅλην μου βασιλείαν, ἢ τὸν τῶν πιστῶν. Εὐλογίαν δὲ ὑποληπτέον, τὴν εἰρήνην, καὶ τὴν εὐεργεσίαν, ὡς αἰτίαν εὐλογίας γεγενημένην. Αὐτός τε γὰρ ὁ λαὸς τὸν Θεὸν ἐδόξασε, καὶ οἱ ἰδόντες οἵας ἀπήλαυσεν ἀρωγῆς.

4 δʹ

1 Τῷ Δαυὶδ ψαλμός· εἰς τὸ τέλος· ἐν ὕμνοις.

Εἰς τὸ τέλος μὲν ἐπιγέγραπται διὰ τὸ προφητεῦσαι περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ὡς προϊόντες ἐπιδείξομεν, ἥτις τοῦ μέλλοντός ἐστιν αἰῶνος, ὃν οἴδαμεν τέλος τοῦ παρόντος· ἢ διὰ τὸ περί τινων προειπεῖν ἁπλῶς, ἅπερ ὡς προφήτης βεβαίως ἠπίστατο ληψόμενα τέλος.

Ἐν ὕμνοις δὲ, διὰ τὸ κηρύττειν τοῦ Θεοῦ τὰ θαυμάσια, ποιήσαντος αὐτὸν ὑπέρτερον τῆς Ἀβεσαλὼμ τυραννίδος, μεθ᾽ ἣν ᾖσε τὸν παρόντα ψαλμόν.

Ἁρμόζει δὲ καὶ παντὶ ἀπαλλαγέντι κινδύνου.

2α Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου.

Ὅρα τὸ τάχος· ἔτι ἐπικαλουμένου μου, ἐπήκουσεν. Ἔτι γὰρ, φησὶ, λαλοῦντός
σου, ἐρῶ, Ἰδοὺ πάρειμι. Οὐ γὰρ πλῆθος ῥημάτων πείθει τὸν Θεὸν, ἀλλὰ ψυχῆς Isa 58.9
καθαρὰ διάθεσις. Τὸ δὲ, τῆς δικαιοσύνης μου, περίφρασίς ἐστιν, ἀντὶ τοῦ, ὁ Θεὸς ἐμοῦ τοῦ δικαίου, ὅσον πρὸς τὴν ἀδικίαν Ἀβεσαλώμ· ἠδικήθην γὰρ, οὐκ ἠδίκησα. Πολλαχοῦ δὲ τῷ τρόπῳ τούτῳ χρῆται, δίκαιον καὶ ὅσιον, καὶ τὰ τοιαῦτα καλῶν ἑαυτὸν, οὐ κομπάζων, ἀλλὰ πρὸς τὰς τῶν πολεμούντων παρεξεταζόμενος πονηρίας.

2β Ἐν θλίψει ἐπλάτυνάς με.

Διαχεῖ μὲν γὰρ ἡ χαρὰ, στενοῖ δὲ ἡ θλῖψις· ἐμὲ δὲ, τοὐναντίον, ἐν τῷ καιρῷ τῆς λύπης μᾶλλον ἐποίησας μεγαλόψυχον, ὡς καὶ παραγγέλλειν φείδεσθαι τοῦ
πατραλοίου παιδός. 2Rg 18.12

2γ Οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

Ἐλεηθῆναι καὶ ἔτι δυσωπεῖ, καὶ περιπίπτοντος αὖθις ἴσως πειρασμοῖς, μὴ παροφθῆναι τὴν προσφερομένην τηνικαῦτα δέησιν.

3α Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;

Πρὸς τοὺς φίλους καὶ γνωστοὺς ὁ λόγος, πειρωμένους βοηθεῖν ἐκ τῶν παρόντων, ὅτε τὰ τῆς συμφορᾶς ἐπεκράτει. Λέγει γοῦν ὅτι μέχρι τίνος οὐχ ὑψοῦτε τὴν καρδίαν εἰς Θεὸν ἐν ταῖς θλίψεσιν, ἀλλὰ βαρύνετε ταύτην, κατασπῶντες τοῖς ἀνθρωπίνοις λογισμοῖς καὶ ταῖς βιωτικαῖς φροντίσι;

Τὸ δὲ, *υἱοὶ ἀνθρώπων*, αὖθις περίφρασις, ἀντὶ τοῦ, ὦ ἄνθρωποι· σύνηθες γὰρ τοῦτο τῇ τῶν Ἑβραίων διαλέκτῳ ἐστίν.

3β Ἱνατί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;

Ἀνωφελεῖς αἱ ἀνθρώπιναι μηχαναὶ, καὶ σαίνουσαι μὲν ταῖς ἐλπίσιν, ἀποτυχάνουσαι δέ.

Ἢ καὶ διὰ τοὺς προστετηκότας τοῖς παροῦσιν, ὡς μένουσι, ταῦτά φησιν, ἅπερ οὐχ ἵσταται, δοκοῦντα μὲν, διὰ τὸ φαινόμενον, οὐκ ὄντα δὲ, διὰ τὴν μεταβολήν· καὶ γὰρ καὶ αὐτὸς, βασιλεὺς ὢν, ἰδιώτευσε καὶ κατεδιώκετο.

4α Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ.

Περιττὸς ὁ *καί* σύνδεσμος ἐνταῦθα· καὶ γὰρ ἰδίωμα καὶ τοῦτο τῆς Ἑβραΐδος γραφῆς, ὡς πολλαχοῦ παρατηροῦντες εὑρήσομεν.

Μάθετε οὖν, φησὶν, ὅτι ὁ Θεὸς περιβόητον ἐποίησεν ἐμὲ τὸν ἀφωσιωμένον καὶ ἀνακείμενον αὐτῷ, καὶ ἐπ᾽ αὐτῷ μόνῳ τὰς ἐλπίδας ἔχοντα. Καὶ πῶς γὰρ | οὐ περιβόητος γέγονε, καθελὼν τὸν καθελόντα καὶ νικήσας ὁ φυγὰς τὸν διώκοντα, καὶ μετ᾽ εὐαριθμήτων ἀνδρῶν τὸν ταῖς μυριάσι χρώμενον;

4β Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Ταχείας οὕτω τυχὼν τῆς ἀρωγῆς, καὶ τηλικούτου κινδύνου παρ᾽ ἐλπίδα περισωθεὶς, ἔγνων ὅτι ἐλεεῖ με ὁ Θεὸς, καὶ πέποιθα ὅτι καὶ πάλιν εἰσακούσεταί μου κεκραγότος πρὸς αὐτὸν ἐν περιστάσεσιν.

5α Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε.

Ὀργίζεσθε μὲν ὡς ἄνθρωποι, μὴ ἁμαρτάνετε δὲ τῇ τοῦ πάθους ὀξύτητι παρασυρόμενοι, ἢ πέρα τοῦ μετρίου θυμούμενοι, ἢ ἐπὶ πολὺν καιρὸν ὀργιζόμενοι,

4α[3] εὑρήσομεν M : εὕρομεν, ἢ μᾶλλον εἰπεῖν, εὑρήσομεν P.

ἤ τινας ἀκαίρως ἢ ἀναιτίως ἀμυνόμενοι· κατὰ τῆς κακίας γὰρ ὁ θυμὸς ἀνθρώποις ἐνεφυτεύθη. Ὁ μὲν γὰρ ἑαυτὸν ἐκδικῶν, ὀργίζεται καὶ ἁμαρτάνει· ὁ δὲ ἕτερον διορθούμενος, ὀργίζεται καὶ οὐχ ἁμαρτάνει, ὡς πατὴρ υἱῷ ὀργιζόμενος.

5β Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.

Ἐπὶ τὴν κοίτην ἰόντες, ἐν ᾗ καιρὸς ἀδείας ἐστὶν, ἀνακρίνετε κατὰ σχολὴν ἑαυτοὺς περὶ τῶν ἡμερινῶν ἐνθυμημάτων, καὶ ἃ πλημμελῶς ἐν ἡμέρᾳ διαλογίζεσθε, ἐπὶ τούτοις μεταμέλεσθε κατὰ τὸν τῆς κοίτης χρόνον. Οὕτω κἀγὼ ποιῶν, εὐοδοῦμαι, καὶ πείρᾳ τὴν ἐντεῦθεν ὠφέλειαν μαθὼν, καὶ ὑμῖν τοῦτο ποιεῖν παραινῶ. Εἰ δὲ τὰς ἐνθυμήσεις δεῖ κολάζειν, πολλῷ μᾶλλον τὰς πράξεις.

Ὅρα δὲ, πῶς καὶ προφυλακτικοῖς καὶ διορθωτικοῖς ἐχρήσατο φαρμάκοις· τὸ μὲν γὰρ, *Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε*, προφυλακτικόν· τὸ δὲ, *Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε*, διορθωτικόν.

6 Θύσατε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ Κύριον.

Καρποφορήσατε μόνον δικαιοσύνην τῷ Θεῷ, ἀδικοῦντες μηδένα, καὶ ἀπεκδέχεσθε τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν, ὃς τοῖς ἐπηρεαζομένοις μάλιστα συμμαχεῖ.

Προδιαγράφει δὲ καὶ τὴν ἐκκλησιαστικὴν πολιτείαν, πνευματικῶς θύειν μέλλουσαν ἀντὶ ζῴων τὰς ἀρετὰς, εἴγε δικαιοσύνην οὐκ εἰδικῶς, ἀλλὰ καθόλου τὴν ἀρετὴν πᾶσαν ὑποληψόμεθα.

7α Πολλοὶ λέγουσι, Τίς δείξει ἡμῖν τὰ ἀγαθά;

Προσαγαγὼν τὴν παραίνεσιν ἀπὸ τοῦ καθ᾽ ἑαυτὸν ὑποδείγματος, τίθησιν ἀντίθεσίν τινα τῶν μικροψύχων. Τινὲς γὰρ, φησὶν, ὅταν προσομιλήσωσι πειρασμοῖς, βαρυθυμοῦντες, ἀπογινώσκουσι, καὶ οὐ πιστεύουσιν ὡς ἐγγὺς Κύριος
πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, ἀλλὰ λέγουσι, Τίς βοηθήσει ἡμῖν; ὅπερ ἐσχάτης Ps 144.18
ἀπογνώσεως ὂν, δίδωσι νοεῖν, ὡς οὐδείς.

Ἢ καὶ περὶ τῶν φιλοσάρκων ὁ λόγος, οἵτινες ἀγαθὸν ἡγούμενοι τὴν ἄνεσιν καὶ τρυφὴν, ταῦτα μόνα μεταδιώκουσι, σφόδρα μισοῦντες τὰς κακοπαθείας, αἳ κατ᾽ οἰκονομίαν ἐπάγονται.

Τὸ δὲ, *Τίς δείξει ἡμῖν;* ψυχῆς νοητέον ὀρεγομένης διακαῶς.

7β Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

Ἀλλ᾽ ἐγὼ οὐχ οὕτως ἔχω, καὶ γὰρ ἐνεσημάνθη μοι ἡ ἀντίληψις τῆς σῆς ἐπισκοπῆς· ταύτην γὰρ, φῶς ὑποληπτέον, ὡς διαλύουσαν τὸ σκότος τῆς ἀθυμίας, καὶ ὥσπερ ἐγχαραχθεῖσα, γνώριμόν με καὶ τοῖς πόῤῥω πεποίηκε.

Τινὲς δέ φασι, | προφητείαν εἶναι τὸ ῥητὸν περὶ τῶν Χριστιανῶν, οἷς ἐσημειώθη,

τουτέστιν, ἐπετέθη γνώρισμα, ὁ Χριστὸς, κληθεῖσι Χριστιανοῖς, ὅς ἐστι φῶς τοῦ Πατρὸς, δι' αὐτοῦ γὰρ εἴδομεν τὸν Πατέρα· Ὁ γὰρ ἑωρακὼς ἐμὲ, φησὶν, ἑώρακε Jn 14.9
τὸν Πατέρα, καὶ οὗτος χαρακτήρ ἐστι καὶ μορφὴ τοῦ Πατρός. Συνέταξε δὲ Heb 1.3
τούτοις ὁ προφήτης ἑαυτὸν, διὰ τὴν τῶν ἀρετῶν συγγένειάν τε καὶ οἰκειότητα. Php 2.6

8α Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου.

Ἢ διὰ τὴν δηλωθεῖσαν ἀντίληψιν, ἢ διὰ τὴν ἀπὸ τοῦ Χριστοῦ κλῆσιν τῶν εὐσεβῶν.

8β Ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.

Περὶ τῶν φιλοσάρκων λέγει πάλιν, ὅτι καὶ τὰ γήϊνα φρονοῦσιν αὐτοῖς δαψιλῶς πάντα χορηγεῖς ὑπὸ τῆς ἄγαν φιλανθρωπίας· ἀπαριθμεῖται γὰρ, ὅτι ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου ἐπληθύνθησαν, τουτέστιν, ἐνεπλήσθησαν αὐτῶν, δηλαδὴ τῶν ἀπαριθμηθέντων, δι' ὧν, ὡς ἀναγκαιοτέρων, καὶ τὰ ἄλλα τῶν βρωμάτων εἴδη συμπεριέλαβεν.

9α Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω.

Τοὺς ἐνοχλοῦντάς μοι φόβους ἀποθέμενος, ἀταράχως κοιμηθήσομαι, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μέχρι κόρου. Τὸ μὲν γὰρ, ἐπὶ τὸ αὐτὸ, βούλεται τὸ ἅμα δηλοῦν, ὅτι καὶ ἄμφω ταῦτα ποιήσω. Τὸ δὲ, ὑπνώσω, τῆς κατακλίσεώς ἐστιν ἐπίτασις.

Ἢ καὶ προφητεύει περὶ τῆς ἑαυτοῦ τελευτῆς, ὡς οὐκ ἀποθανεῖται βιαίως,
ἀλλὰ κατὰ φύσιν, ἔνθα καὶ νοήσομεν τὸ, ἐπὶ τὸ αὐτὸ, περὶ τοῦ σώματος καὶ τῆς 3Rg 2.10
ψυχῆς λέγειν, ὅτι κοιμηθήσομαι ἐν εἰρήνῃ ὁμοῦ, καὶ κατὰ σῶμα καὶ κατὰ ψυχήν· τούτου μὲν, τῶν ὁρατῶν ἀπαλλαγέντος ἐχθρῶν· ἐκείνης δὲ, τῶν ἀοράτων. Τὸ δὲ, ὑπνώσω, τὸν μέχρι τῆς ἀναστάσεως μακρὸν αἰνίττεται χρόνον.

9β Ὅτι σὺ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Σύ με χωρὶς τῶν πονηρῶν οἰκεῖν ἐποίησας ἐπ' ἐλπίδι σωτηρίας.

Τινὲς δέ φασιν, ὅτι τοῦτο περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως προεφήτευσε, σχηματίσας τὸν λόγον ὡς ἀπὸ τοῦ σώματος, λέγοντος, ὅτι, σὺ, Κύριε, κατοικεῖν με τὸν τάφον ὥρισας, μεμονωνένον τῆς συζύγου ψυχῆς· οὐχ ἁπλῶς δὲ, ἀλλ' ἐπ' ἐλπίδι ἀναστάσεως, ὅτε καὶ τὴν ψυχὴν ἀπολήψομαι.

Τὸ δὲ, ὅτι, παρέλκον δοκεῖ, καὶ γὰρ ἐν πολλοῖς ἰδίωμα καὶ τοῦτο τῆς Παλαιᾶς· νοεῖται δὲ καὶ βεβαιωτικὸν, ἀντὶ τοῦ, ὄντως.

9α[8] ἐκείνης PHV : ἐκείνου MC.

5 ε΄

1 Εἰς τὸ τέλος· ὑπὲρ τῆς κληρονομούσης.

Τί μὲν παρίστησιν ἡ εἰς τὸ τέλος ἐπιγραφὴ, προείρηται. Ps 4.1
Φασὶ δέ τινες ἐνταῦθα τὰς ἐσχάτας ἡμέρας ὑποδηλοῦσθαι, καθ᾽ ἃς ὁ Κύριος Ac 2.17
ἐνηνθρώπησε· τηνικαῦτα γὰρ τέλος ἔλαβεν ἡ σκιὰ τοῦ νόμου· καὶ πιστοῦνται τὸν
λόγον ἀπὸ τοῦ ἐπαγομένου.

Προσώπῳ γὰρ τῆς Ἐκκλησίας τῶν ὕστερον πιστῶν ποιεῖται τὸν ψαλμὸν ὁ προφήτης, εἰ καὶ τοῖς κατ᾽ ἐκεῖνον οὐδὲν ἧττον ἁρμόζει πράγμασι.

Κληρονομοῦσαν δὲ ταύτην ὠνόμασεν, ὡς διὰ τῆς παλιγγενεσίας τοῦ βαπτί-
σματος υἱοθετηθεῖσαν· κλῆρος δὲ αὐτῆς, *ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ τὰ ἑξῆς.* 1Cor 2.9
Περὶ ταύτης, ὡς νύμφης, καὶ Παῦλος ἔλεγεν, *Ἡρμοσάμην | παρθένον ἁγνὴν* 2Cor 11.2
παραστῆσαι Χριστῷ, καὶ Ἰωάννης, *Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστὶ*, καὶ αὐτὸς Jn 3.29
οὗτος ὁ Δαυίδ, *Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.* Ps 44.10

Κληρονομοῦσαν δὲ, καὶ οὐ κληρονομήσασαν, ἢ κληρονομῆσαι μέλλουσαν εἴρηκε, διὰ τὸ ἀεὶ κληρονομεῖν καὶ μηδέποτε λήγειν.

2-3α Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

Ἢ τὸ αὐτὸ δηλοῖ δι᾽ ἄλλων καὶ ἄλλων λέξεων ἰσοδυναμουσῶν, ὡς ἔθος τοῖς ἀπὸ καρδίας ἱκετεύουσιν. Ἢ ῥήματα μέν φησι, τὴν δέησιν, ὡς λόγους, κραυγὴν δὲ, ὡς μετὰ τόνου πνεύματος προσφερομένην, φωνὴν δὲ, ὡς εὔσημον, κυρίως γὰρ ἄσημός ἐστιν ἡ κραυγή. Καὶ τὰ ὑποκείμενα δὲ οἰκείως ἀπεδόθησαν. Ἐνώτισαι γὰρ, καὶ μὴ ἁπλῶς, ἀλλὰ γνῶθι τί βούλονται, καὶ ἔτι, μὴ ἐν παρέργῳ θήσεις τὴν δέησιν, εἴτε διὰ χειλέων, εἴτε καὶ ἀλαλήτως προσφέρεται.

Ἰδίωμα δὲ τῆς Γραφῆς καὶ τὸ καλεῖν τὰς θείας ἐνεργείας ἀπὸ τῶν ἀνθρωπίνων, ὡς τὸ περὶ τούτων διδάσκει σύνταγμα.

3β Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.

Σὲ γὰρ καὶ μόνον ἔχω βασιλέα μὲν, ὡς προνοητὴν, Θεὸν δὲ, ὡς πλάστην, τὰ εἴδωλα ῥίψασα.

3γ Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε.

Εἰσάκουσόν μου, διότι τοῦ λοιποῦ πρὸς σὲ, καὶ οὐ πρὸς ἕτερον Θεὸν, ὡς πάλαι, προσεύξομαι.

4 Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου, τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψῃ με.

Τότε δηλονότι, ὅταν Χριστὸς, ὁ τῆς δικαιοσύνης Ἥλιος, ἀνατείλῃ· τηνικαῦτα γὰρ ἐξ ἐθνῶν καὶ Ἰουδαίων συστήσομαι, καὶ ἐπικαλέσομαί σε, καὶ παραστήσομαι δι' ἐγγύτητος ἐναρέτου πολιτείας, καὶ οὕτω πλησιάζουσαν ἴδῃς με. *Ὀφθαλμοὶ γὰρ*, φησὶ, *Κυρίου ἐπὶ δικαίους* . Mal 3.20 Ps 33.16

Τινὰ δὲ τῶν ἀντιγράφων τὸ, ἐπόψομαι, φέρουσιν, ἀντὶ τοῦ, ἐμφανισθήσομαι.

Πρὸς μέντοι τὴν ὑπόθεσιν τοῦ Δαυὶδ ὑποληπτέον τὸ πρωῒ, δηλοῦν τὸν ὀρθρινὸν χρόνον. Προὔργου γὰρ, φησὶ, παντὸς, ἔσται μοι τὸ παρακαλεῖν σε, καὶ τὰ ἑξῆς, ὃ καὶ ἡμεῖς ποιοῦμεν, εὐθὺς τῆς κοίτης ἐξανιστάμενοι· καὶ οὐχ ὅτι κατ' ἄλλον οὐ χρὴ προσεύχεσθαι καιρόν· *Εὐλογήσω γὰρ*, φησὶ, *τὸν Κύριον, ἐν παντὶ καιρῷ*. Ps 33.2

5α Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ.

Τὰ γὰρ εἴδωλα τὰς ἀνομίας ἀγαπῶσιν. Ἀνομίαν δὲ καλεῖ, πᾶσαν ἁμαρτίαν, ὡς ἐκτὸς τοῦ θείου νόμου τυγχάνουσαν.

5β Οὐ παροικήσει σοι πονηρευόμενος.

Οὐ μόνον δέ εἰσιν ἐμπαθεῖς οἱ θεοὶ τῶν ἐθνῶν, ὡς αἱ περὶ τούτων βίβλοι διδάσκουσιν, ἀλλὰ καὶ τοὺς τῶν ὁμοίων ζηλωτὰς παθῶν, ὡς οἰκείους περιέπουσι, καὶ τοὺς ἑαυτῶν βεβήλους ναοὺς αὐτοῖς ὑπανοίγουσι. Σοῦ δὲ τῆς ἐγγύτητος καὶ οἰκειώσεως — τοῦτο γὰρ τὴν παροικίαν ἐπὶ τοῦ παρόντος ὑποληπτέον — οὐ τεύξεται πονηρός. *Ἐγγὺς γὰρ*, φησὶ, *Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοῖς φοβουμένοις αὐτόν*. Διὰ τοῦ πονηροῦ δὲ, παντοῖον ἁμαρτωλὸν ᾐνίξατο. Ps 33.19 Ps 84.10

6α Οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.

Τοῦτο διὰ τοὺς Ἰουδαίους προφητευθῆναι λέγουσιν, οἳ μέχρι μὲν τὸν νόμον ἐφύλαττον, ἐπισκοπῆς ἠξιοῦντο | θείας· παραβάται δὲ τούτου γενόμενοι, δικαίως ἐξώσθησαν.

6β Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Τοῦτο, διὰ τὰ ἔθνη τὰ ἄπιστα, νόμον Θεοῦ μὴ δεξάμενα.

Νοεῖται δὲ καὶ ἄλλως· παράνομος μὲν, πᾶς ὁ μεμαθηκὼς μὲν τὸν νόμον, παραβαίνων δέ· ἄνομος δὲ, ὁ μὴ μαθεῖν ἀνασχόμενος. Πολλάκις δὲ τὸν παράνομον καλοῦμεν καὶ ἄνομον, ὡς μὴ νόμῳ χρώμενον.

Εἰπὼν δὲ καθόλου περὶ τῶν ἁπλῶς ἁμαρτωλῶν, ἐκτίθεται καὶ κατὰ μέρος ἃ ἐδόκουν αὐτῷ κεφαλαιωδέστερα τότε τῶν ἁμαρτημάτων.

7α Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.

6β[7] τῶν PCHBAV : om. M.

Τοῦτο, προηγουμένως μὲν διὰ τοὺς δοξάζοντας ἕτερον παρὰ τὸν ὄντα Θεὸν καὶ τοὺς αἱρετικούς, ἑπομένως δὲ καὶ διὰ τοὺς ὅπως δήποτε ψευδομένους, ὡς τοῦ διαβόλου διακόνους· πατὴρ γὰρ τοῦ ψεύδους, ὁ Σατανᾶς, εἴτε ἐξ Ἰουδαίων εἰσὶν, Jn 8.44
εἴτε ἐξ ἐθνῶν.

Διὰ δὲ τοῦ εἰπεῖν, ἀπολεῖς, βαρυτέραν αὐτῶν παρέστησε τὴν κόλασιν, ἢ καὶ φοβῆσαι τοὺς προχείρους εἰς τὸ ψεῦδος βουλόμενος, ἐπιπολάζοντας καὶ ἀνειμένους διὰ τὸ ῥᾷστον· ἢ καὶ ὅτι μὴ μόνον ἑαυτοὺς ἠχρείωσαν, ἀλλὰ καὶ πολλοῖς ἀπολείας πρόξενοι γίνονται.

7β Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.

Ὅρα πῶς τῷ φονεῖ τὸν δολερὸν συνέταξεν· ἀπατῶν γὰρ καὶ ῥίπτων εἰς κίνδυνον, φονεύειν δοκεῖ.

8α Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου.

Ἐγὼ δὲ, διὰ τὸ πολύ σου ἔλεος ἀπαλλαγεῖσα τῆς πλάνης, εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, ὃν πρὶν ἀφρόνως κατέσκαπτον.

Ἢ καὶ ἄλλως· εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, τῆς παῤῥησίας ταύτης ἀξιωθεῖσα, οὐ διὰ τὴν οἰκείαν ἀρετὴν, ἀλλὰ διὰ τὸ σὸν μόνον ἔλεος.

Τινὲς δὲ λέγουσιν οἶκον Θεοῦ, καὶ τὴν ἐνάρετον εἶναι πολιτείαν. Ἐπαναπαύεται
γὰρ καὶ ἐνοικεῖ Θεὸς τοῖς μετιοῦσιν αὐτὴν, ὡς καὶ ἐν τοῖς Εὐαγγελίοις εἶπεν ὁ Jn 14.23
Σωτὴρ, ἐλεύσεσθαι μετὰ τοῦ Πατρὸς καὶ μονὴν ποιήσεσθαι παρὰ τοῖς ἀξίοις.

8β Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

Εἰσελθοῦσα δὲ μετὰ πάσης εὐλαβείας, ἐν φόβῳ προσκυνήσω, εἴτε τὸν ἐπίγειόν σου ναὸν, εἴτε τὸν οὐράνιον· τὰ γὰρ ἔθνη ἀκολάστως τοῖς ναοῖς τῶν θεῶν αὐτῶν ἐνασχημονοῦσι.

Πρὸς μέντοι τὴν ἰδίαν ὑπόθεσιν ὁ προφήτης τὰ εἴδη τῆς κακίας κεφαλαιωδέστερον ἐπελθὼν καὶ δείξας βδελυκτὰ τῷ Θεῷ, πρὸς ἑαυτὸν ἐπάνεισι, καὶ λατρεύειν ἐπαγγέλλεται γνησίως καὶ ἀραθύμως, οὐχ ὡς δεδικαιωμένος, ἀλλὰ ὡς ἠλεημένος· εἰ καὶ ἐν οἷς καταβοᾷ τῶν ἁμαρτωλῶν καὶ ἑαυτὸν εἰσάγει τῷ θείῳ ναῷ τοῦτο νοεῖσθαι δίδωσι.

9α Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου.

Χειραγώγησόν με, διὰ τῆς τοῦ Υἱοῦ σου, ὅς ἐστι δικαιοσύνη καὶ ἁγιασμὸς καὶ 1Cor 1.30
ἀπολύτρωσις, κατὰ τὸν Ἀπόστολον.

Ἢ ἐν τῷ σῷ νόμῳ· ἔστι γὰρ καὶ ἀνθρωπίνη δικαιοσύνη.

9β Ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.

Διὰ τοὺς ὁρατοὺς καὶ ἀοράτους ἐχθρούς μου, τοὺς κατασπείροντας ἐν τῇ τρίβῳ μου σκάνδαλα καὶ πάγας, ἐξομάλισον τὴν ὁδόν μου πρὸς σέ· οὕτω γὰρ ὁ Σύμμαχος τὸ, κατεύθυνον, ἡρμήνευσεν· ἢ ὥστε μὴ ἐκκλίνειν ἐπὶ δεξιὰ ἢ ἐπ᾽ ἀριστερὰ διὰ τοὺς ἐνεδρεύοντας ἐπιβούλους. Ἁρμόζει δὲ ταῦτα καὶ τῷ Δαυίδ. |

10α Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία.

Ψεύδονται γὰρ, ὡς ἀπατεῶνες, καὶ ἀνόνητα μελετῶσιν, ὡς πονηροί.

10β Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν.

Τοῦτο, διὰ τὰ νεκρὰ δόγματα καὶ τὰς δυσώδεις βλασφημίας τῶν αἱρετικῶν, ἢ καὶ τὰ μυδῶντα τῆς ἀκολασίας ῥήματα, ἢ καὶ τὰς κατὰ τοῦ Δαυὶδ αἰσχρὰς ὕβρεις. Οὐ γὰρ κεκαλυμμένος ἐστὶν, οὕτω γὰρ ἂν τὴν δυσοσμίαν συνέκρυβε. 2Rg 16.5-8

10γ Ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.

Εἴτις μὲν δόλιος, οὗτος καὶ ψεύστης· οὐκ εἴ τις δὲ ψεύστης, οὗτος καὶ δόλιος. Ἡ γὰρ τοῦ δολίου κακουργία, χαλεπωτέρα. Λέγει τοίνυν, ὅτι ἐπιβούλως κατ᾽ ἐμοῦ συνεμελέτων καὶ συνεσκέπτοντο.

11α Κρῖνον αὐτοὺς, ὁ Θεός.

Τοιαῦτα ἐργαζομένους, κατάκρινε, ὁ μισῶν πάντας τοὺς τοιούτους, ὡς προδεδήλωται. Ps 5.6β

11β Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν.

Ἀστοχησάτωσαν τῶν βουλευμάτων.

11γ Κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς.

Διὰ τὴν ἀσέβειαν αὐτῶν, ἔξωσον αὐτούς· οὐ γὰρ τιμῶσί σε· καὶ μὴ δι᾽ ἐμὲ, εἰ καὶ σὸς κλῆρος ἐγώ.

Ἢ καὶ ἄλλως· ὅσον εἰσὶν ἀσεβεῖς, τοσοῦτον πόῤῥω τῆς σῆς εὐμενείας ἀπελαθήτωσαν.

Ἀσεβὴς δὲ, οὐ μόνον ὁ ἄθεος, ἀλλὰ καὶ ὁ μὴ προσηκόντως τὸν Θεὸν σεβόμενος.

11δ Ὅτι παρεπίκρανάν σε, Κύριε.

Οὐ μέλει μοι γὰρ τοσοῦτον ὑπὲρ ὧν εἰς ἐμὲ ποιοῦσιν, ἀλλ' ὑπὲρ τῶν σῶν ἀλγῶ· παρεπίκραναν γάρ σε διὰ τὰ προῤῥηθέντα τούτων ἐπιτηδεύματα. Ἄλλως τε, καὶ ἐμοὶ πολεμοῦντες, τὰς σὰς ἐντολὰς φυλάττοντι, σὲ τὸν ἐμὸν Δεσπότην παραπικραίνουσι.

12α *Καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ.*

Τῶν σῶν γὰρ ἐχθρῶν ἀνιωμένων, οἱ εὐσεβεῖς ἀντιθέτως χαίρουσιν, ὅτι σοὶ μόνῳ θαῤῥοῦντες, περιγίνονται τῶν τοσούτων καὶ τηλικούτων.

12β *Εἰς αἰῶνα ἀγαλλιάσονται.*

Ἀντὶ τοῦ, διηνεκῶς, ἐγγὺς ἀεὶ τὴν σὴν παράκλησιν ἔχοντες.

12γ *Καὶ κατασκηνώσεις ἐν αὐτοῖς.*

Ἐπαναπαυόμενος τῇ ὡραιότητι τῶν ψυχῶν αὐτῶν. Ἐνοικήσω γὰρ, φησὶν, ἐν 2Cor 6.16
αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός. Lev 26.12

12δ *Καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου.*

Διότι μόνοι συνῆκαν τὸν ἀληθινὸν Θεὸν, καὶ εἰς τοῦτον μόνον τὰς ἐλπίδας ἀνέθεντο. Καὶ ἄλλως δὲ οἱ Χριστιανοὶ τοσοῦτον ἀγαπῶσι τὴν θείαν τοῦ Χριστοῦ κλῆσιν, ὡς ἀπὸ μόνης ταύτης θέλειν γνωρίζεσθαι, καὶ ἐν μόνῳ τῷ Χριστῷ καυχῶνται, κατὰ τὸν Ἀπόστολον· Ἐμοὶ γὰρ, φησὶ, μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστιν, ἐν τῷ σταυρωθέντι Χριστῷ. Gal 6.14

13α *Ὅτι σὺ εὐλογήσεις δίκαιον, Κύριε.*

Οὐ μόνον κατὰ τὸν παρόντα βίον ἀνακηρύττων αὐτὸν, ἀλλὰ καὶ κατὰ τὸν μέλλοντα, ὅταν ἐρεῖς, Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου. Σὺ οὖν εὐλογήσεις Mt 25.34
αὐτὸν, εἰ καὶ οἱ πονηροὶ τοῦτον κακίζουσι. Παρηγορεῖ δ' ἐν τούτῳ τοὺς διὰ τὴν ἀρετὴν βλασφημουμένους.

13β *Ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.*

Λίαν ἐκύκλωσας καὶ περιετείχισας ἡμᾶς τῷ σταυρῷ, τῷ ὅπλῳ τῆς εὐδοκίας, ἤτοι τῆς ἀῤῥήτου οἰκονομίας σου.

Ἢ καὶ ὅπλον εὐδοκίας, τὸ εὐδόκιμον ὅπλον ὑποληπτέον· συνήθης γὰρ τῇ 2Rg 17.10
Παλαιᾷ καὶ οὗτος ὁ σχηματισμός· υἱὸν γὰρ καλεῖ δυνάμεως, τὸν δυνατὸν, καὶ 2Rg 16.8
ἄνδρα αἱμάτων, τὸν φονικὸν, καὶ ἄνθρωπον εἰρήνης, τὸν εἰρηνικόν. | Lk 10.6

Καὶ συντακτέον οὕτως· περιετείχισας ἡμᾶς τῇ δυνάμει σου, καθάπερ ἐν ὅπλῳ εὐδοκίμῳ καὶ στερεῷ· στεφάνη μὲν γὰρ, ὁ κύκλος, κυκλοτερὴς δὲ, καὶ ὁ τειχισμός.

6 ϛʹ

1 Εἰς τὸ τέλος· ἐν ὕμνοις· ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυίδ.

Τί μὲν δηλοῖ τὸ, εἰς τὸ τέλος, προείρηται. Ps 4.1

Ὑμνῶν δὲ καὶ μεγαλύνων τὸν Θεὸν ὁ προφήτης, ὑπὲρ τῆς ὀγδόης παρακαλεῖ, τουτέστι, τοῦ μέλλοντος αἰῶνος. Ἕβδομος μὲν γὰρ ὁ παρὼν, ὡς τῇ ἑβδομάδι μετρούμενος καὶ ἀνακυκλούμενος καὶ συμπληρούμενος· ὄγδοος δὲ ἐκεῖνος, ὡς μετὰ τὸν ἕβδομον τοῦτον.

Οὐ προσώπῳ δὲ μόνον ἰδίῳ, ἀλλὰ καὶ πάντων ἡμῶν προσάγει τῷ κρῖναι τηνικαῦτα μέλλοντι Κυρίῳ τὴν δέησιν.

Ἐξέθετο δὲ τὸν ψαλμὸν, πειρασμοῖς περισχεθεὶς, ἐπενεχθεῖσιν αὐτῷ διά τινα πλημμελήματα.

2 Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Καὶ μὴν ἐν τῇ βίβλῳ τοῦ Ἰὼβ γέγραπται, *Μακάριος ἄνθρωπος ὃν ἤλεγξε* Job 5.17
Κύριος ἐπὶ τῆς γῆς· καὶ αὐτὸς δέ φησι Δαυὶδ ἐν ἄλλοις, *Μακάριος ἄνθρωπος ὃν* Ps 93.12
ἂν παιδεύσῃς, Κύριε. Οὐ φεύγει γοῦν τὸν ἔλεγχον, οὐδὲ τὴν παιδείαν ἁπλῶς, ἀλλὰ τὸν μετὰ θυμοῦ, καὶ τὴν μετ᾽ ὀργῆς, ἵνα μὴ τῷ ἀνυποίστῳ διαφθαρείη, ἀλλὰ τῷ μετρίῳ βελτίων γενόμενος, ἐκφύγῃ τὰς ἐν τῇ μελλούσῃ κρίσει κολάσεις. Ἀκολούθως δὲ τῷ ἐλέγχῳ, τὴν παίδευσιν ὡς ἑπομένην ὑπέταξε.

Τὸ Θεῖον δὲ, καὶ θυμοῦ καὶ ὀργῆς καὶ παντὸς πάθους ἐλεύθερον. Οἱ προφῆται δὲ τὰς τοιαύτας διαθέσεις προσῆψαν αὐτῷ, βουλόμενοι πεῖσαι τοὺς ἀνθρώπους ὅτι προνοεῖται τοῦ παντὸς ὁ Θεὸς, καὶ ὁρᾷ καὶ ἀκούει καὶ ἥδεται καὶ λυπεῖται καὶ κρίνει καὶ θυμοῦται καὶ ὀργίζεται, καὶ ὅσα τοιαῦτα, ἵνα οὕτω φοβηθέντες τῆς κακίας ἀπόσχωνται.

Ἄλλως τε δὲ ἀπὸ τῶν ἀνθρωπίνων ἐνεργειῶν ἐμφαίνουσι τὰς θείας, ὅτι καὶ οἱ λέγοντες καὶ οἱ ἀκούοντες, ἄνθρωποι, καὶ ἡ διάλεκτος, ἀνθρωπίνη. Καὶ ἄλλως οὐκ ἐγχωρεῖ διαλέγεσθαι τοὺς ἐν σώμασιν, εἰ μὴ σωματικῶς· καὶ γὰρ καὶ βαρβάροις διαλεγόμενοι, τῇ τούτων χρώμεθα διαλέκτῳ, καὶ παιδίῳ προσλαλοῦντες, ὑποψελλίζομεν, καὶ εἰ μυριάκις ὦμεν σοφοὶ, πρὸς τὴν ἐκείνων καταβαίνομεν ταπεινότητα. Καὶ ταῦτά σοι καθολική τις ἔστω πρὸς τὰ τοιαῦτα διδασκαλία.

Τὸ γοῦν, *Μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με*, ἀντὶ τοῦ, μὴ ἀξίως καταδικάσῃς με, μηδὲ ἀξίαν ἀπαιτήσῃς με δίκην.

1[10] Add. C[F in marg.]: Ἱκετηρίας προσφέρων τῷ Θεῷ καὶ δεήσεις, ὁ προφήτης Δαυὶδ ἐκδιδάσκει ἡμᾶς τίνα τρόπον προσῆκε τοὺς ἐν ἁμαρτίαις ὄντας ἐξιλεοῦσθαι τὸν Θεὸν ἐν τῷ λέγειν.

2 Add. [MP in marg.]HA: Τοῦ Μεγάλου Βασιλείου [PG 31.1120B]· Θυμοῦ μὲν καὶ ὀργῆς ἡ διαφορὰ τάχα ἐν διαθέσει καὶ ὁρμῇ κεῖται· τοῦ μὲν ὀργιζομένου ἐν διαθέσει μόνῃ ἔχοντος τὸ πάθος, ὡς δηλοῖ ὁ εἰπὼν, *Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε* [Ps 4.5α]·τοῦ δὲ θυμουμένου ἤδη τι καὶ πλέον δεικνύντος· *Θυμὸς γὰρ αὐτοῖς, φησὶν, κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως* [Ps 57.5α]· *καὶ Ὁ Ἡρῴδης ἦν θυμομαχῶν Τυρίοις καὶ Σιδονίοις* [Ac 12.20]. (cf. Ps 36. 8α) : om. SCBFV.

3α Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι.

Εἰ μὴ γὰρ ἠσθένησεν ὁ νοῦς, οὐκ ἂν τὰ πάθη τούτου περιεγένοντο. Ἢ καὶ ὅτι ἀσθενής εἰμι πρὸς τὸν ἀόρατον ἐχθρὸν, τὸν καὶ φανερῶς καὶ κρύβδην ἐπιβουλεύοντα. Ἢ καὶ ὅτι συντριβεὶς, ἐξησθένησα· ὑπολόγισαι οὖν τὴν ἐμὴν ἀσθένειαν, καὶ μὴ καταδικάσῃς με τέλεον, ὡς ἑκουσίως νενικημένον.

Τῆς δὲ τοῦ ἐλέησόν με φωνῆς, πάντες, πάντοτε δεόμεθα· προϊὼν γάρ
φησιν, *Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσεται;* καὶ, *Ὅτι οὐ* Ps 129.3
δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Καὶ πάλιν ἕτερος εἴρηκε, *Τίς καυχήσεται* Ps 142.2
ἁγνὴν ἔχειν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ῥύπου; Prv 20.9

Πάντες μὲν οὖν ἐλέους δεόμεθα· οὐ πάντες δὲ ἐλεούμεθα· ὁ γὰρ θεῖος ἔλεος τὸν ἄξιον ἐπιζητεῖ. Καὶ ἀσθενεῖς δὲ πάντες καθ' ἑαυτούς ἐσμεν· *Ἐὰν γὰρ μὴ Κύριος οἰκοδομήσῃ | οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Ἐὰν μὴ Κύριος*
φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Ps 126.1

3β Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου.

Τὸ ἀπὸ τῶν πειρασμῶν ἄλγος καὶ αὐτῶν καθίκετο τῶν ἀναισθήτων ὀστέων μου, καὶ ἐκλόνησεν αὐτά. Διὰ τούτου δὲ παρέστησε τὴν ὑπερβολὴν τοῦ πάθους.

Ἢ καὶ ὀστᾶ νοητέον, τὰς τοῦ νοῦ δυνάμεις, αἷς οὗτος ἐπερείδεται.

4α Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα.

Μὴ φέρουσα τὴν βίαν τῶν ἀλγεινῶν. Πρόσφορον δὲ τὸ ῥητὸν καὶ ὅταν τις οἰστρηθῇ πρὸς θυμὸν ἄλογον ἢ πρὸς ἐπιθυμίαν αἰσχράν. Τότε γὰρ πνεύσας πολὺς ὁ διάβολος, ἐτάραξε καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν, ὡς ἄνεμος θάλασσαν ἐμπεσών· κυκῶνται γὰρ ἄμφω, καὶ κυμαίνονται, καὶ οὐ φυλάττουσι τὴν ἑαυτῶν τάξιν καὶ κατάστασιν.

4β Καὶ σὺ, Κύριε, ἕως πότε;

Τοῦτο οὐκ ἐγκαλοῦντός ἐστιν, ἀλλ' ὀδύναις κατατεινομένου. Μακρά μοι, φησὶ, γέγονεν ἡ ἀπὸ σοῦ παρόρασις, οὕτως ἔχοντι.

Τοῖς μὲν οὖν πειραζομένοις ἐξ ἁμαρτίας οὐκ εὐθὺς ἐπικουρεῖ κατ' οἰκονομίαν·
Καιρῷ γὰρ, φησὶ, δεκτῷ ἐπήκουσά σου. Τοῖς δὲ ἐξ ἐπηρείας τοῦ πονηροῦ, καὶ Isa 49.8
μάλα· *Ἔτι γὰρ, φησὶ, λαλοῦντός σου, ἐρῶ, Ἰδοὺ πάρειμι.* Isa 58.9

5α Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου.

Στράφηθι πρός με, εἰ καὶ ἀπεστράφης δι' ἃ ἥμαρτον, καὶ ἐξελοῦ με τῶν θλίψεων.

[3α][9] *οὐ πάντες δὲ ἐλεούμεθα* PCABVL : om. MSH.

5β Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Οὐ διὰ τὰς ἐμὰς ἀρετάς· οὐκ ἔχω γάρ.

6α Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου.

Θάνατον καλεῖ, τὴν ἁμαρτίαν, ὡς θανάτου πρόξενον· κατ' ἀρχὰς γὰρ ἡ ἁμαρτία τὸν θάνατον ἐπεισήγαγε. Φησὶ γοῦν, ὡς ὁ τὴν ἁμαρτίαν πράττων οὐ Ro 5.12 μνημονεύει τηνικαῦτα Θεοῦ, μεθύων αὐτῇ, καὶ πεπωρωμένος.

Ἢ καὶ θάνατον λέγει, τὸν ἀπὸ τῆς τελευτῆς καιρόν· μεθ' ὃ γὰρ τελευτήσει τις, ἀφαιρεῖται τὸ μνημονεύειν, ἤτοι παρακαλεῖν τὸν Θεόν· ἀνόνητον γάρ. Sir 14.16

6β Ἐν δὲ τῷ ᾅδῃ, τίς ἐξομολογήσεταί σοι;

Πρὸ τοῦ θανάτου γὰρ ἡ μετάνοια δύναται· τὸ ἐντεῦθεν δὲ, καιρὸς μόνον ἀνταποδόσεως.

7 Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Οὐχ ἁπλῶς ἔκαμον, ἀλλὰ καὶ ἐκοπίασα, στενάζων, τοῦτο γὰρ ἐπίτασις· καὶ οὐχ ἁπλῶς δακρύσω, ἀλλὰ καὶ λούσω τὴν κλίνην μου· καὶ οὐχ ἅπαξ ἢ δὶς, ἀλλὰ καθ' ἑκάστην νύκτα.

Ἐπεὶ γὰρ ἐν ἡμέρᾳ περισπῶσιν αἱ φροντίδες, τὸν τῆς ἀναπαύσεως καιρὸν, ἐξομολογήσεως καιρὸν ἐγὼ ποιήσομαι, μηδενὸς ἐνοχλοῦντος· εὔθετος γὰρ ὁ καιρὸς οὗτος εἰς μετάνοιαν. Τοῦ δὲ, λούσω, καὶ τῶν ἑξῆς, τὸ, ἐν δάκρυσί μου, καὶ τὰ ἑξῆς, ἐφερμηνευτικά ἐστιν, ὡς σαφέστερα.

Ἀκούσωμεν οἱ ἰδιῶται βασιλέως μετάνοιαν, καὶ ζηλώσωμεν.

Προβάλλεται δὲ ταῦτα εἰς ἀφορμὴν ἐλέους, ἵνα καὶ μᾶλλον κάμψῃ τὸν εὔσπλαγχνον, μήποτε τὸ τῆς ταλαιπωρίας ὑπερβάλλον καταβαλεῖ τὴν ἐν αὐτῷ δύναμιν καὶ ἄχρηστον αὐτὸν ἀπεργάσηται.

8α Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου.

Ὁ τῆς ψυχῆς δηλαδὴ, τουτέστιν, ὁ νοῦς· ἐννοῶν γὰρ τὸν θυμόν σου, τὸν ἐν ἡμέρᾳ | κρίσεως κατὰ τῶν ἁμαρτωλῶν, λίαν τεθορύβηται. Προσφυῶς δὲ τὸν νοῦν ὀφθαλμὸν ἐκάλεσεν, ὡς ὁδηγοῦντα τὸν ἄνθρωπον. Νοῦς γὰρ ὁρᾷ, καὶ νοῦς ἀκούει.

Τινὲς δὲ καὶ τὸν τοῦ σώματος ὀφθαλμὸν αὐτοῦ φασι τεταράχθαι, θυμουμένου κατὰ τῶν ἐχθρῶν· ἴδιον γὰρ τουτὶ τῶν ἄγαν ὀργιζομένων.

8β Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

7[12] καταβαλεῖ MPB : καταβάλῃ H : καταβαλῇ S : καταβαλλεῖ C : καταβάλλῃ V.

Δίκην τῶν πεπαλαιωμένων ἱματίων ἠτιμώθην καὶ κατεφρονήθην ὑπὸ τῶν ἐχθρῶν, τῶν φοβουμένων με πρὸ τῆς ἁμαρτίας.
Ἢ ἐπαλαιώθην, ἀντὶ τοῦ, ἠσθένησα· οἱ γηραιοὶ γὰρ, ἀσθενεῖς.

9α Ἀπόστητε ἀπ᾿ ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Αἰσθόμενος ἤδη τῆς παρὰ Θεοῦ συμμαχίας, ἀναθαῤῥεῖ, καὶ τοὺς ἐχθροὺς ἐντεῦθεν φοβεῖ, καὶ φεύγειν ἐγκελεύεται, εἴτε ὁρατοὶ εἶεν, εἴτε ἀόρατοι.

9β-10 Ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου, ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο.

Ταῦτα τίθησιν αἴτια τοῦ τε οἰκείου θάρσους καὶ τῆς ἐκείνων φυγῆς.
Ἢ γοῦν τὰ τρία ταὐτὸ σημαίνουσιν, ὡς ἐν ἄλλοις εἰρήκαμεν, ἢ ἐπειδὴ κλαίει Ps 5.2
τις καὶ ἐπὶ πενίᾳ καὶ τοιούτοις τισὶ, διὰ τῆς δεήσεως διέστειλε τοῦ κλαυθμοῦ τὴν ὁμωνυμίαν, ὡς ἐπὶ δεήσει βοηθείας γέγονεν· ἡ δὲ προσευχὴ πάλιν ἐτέθη, δηλοῦσα τὴν ἐπίτασιν τῆς δεήσεως.

11α Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου.

Τὸ γνωρισθὲν αὐτῷ παρακαλεῖ ταχὺ πέρας λαβεῖν· καὶ πῶς γὰρ οὐκ αἰσχυνθήσονται, ματαίας ἰδόντες τὰς ἑαυτῶν ἐλπίδας, ὡς εὐχείρωτος ἔσται τούτοις, γυμνωθεὶς τῆς ἄνωθεν εὐμενείας, καὶ αἰσχυνθέντες, πῶς οὐ φοβηθήσονται;

11β Ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

Οὕτως δὲ ἔχοντες, εἰς τὰ ὀπίσω χωρήσουσι· τὸ δὲ, καταισχυνθείησαν, τῆς αἰσχύνης ἐστὶν ἐπίτασις. Τὸ μέντοι, *σφόδρα διὰ τάχους*, τοῖς εὐκτικοῖς τούτοις πᾶσι συντακτέον, τοῦ εὐχομένου ζητοῦντος τάχιον αὐτοὺς παθεῖν τὰ τοιαῦτα.
Τινὲς δέ φασιν, εὔξασθαι μᾶλλον, ἀλλὰ μὴ κατεύξασθαι νῦν τὸν λέγοντα, δεόμενον ὑπὲρ τῶν ἐχθρῶν αἰσχυνθῆναι, πονηρὰ βουλευομένους, καὶ φοβηθῆναι τὸν συμμαχοῦντα τούτῳ Θεὸν, καὶ ἀποστραφῆναι τὴν μοχθηρίαν, καὶ οὕτω βελτιωθῆναι.

7 ζʹ

1 Ψαλμὸς τῷ Δαυίδ· ὃν ᾖσε τῷ Κυρίῳ
ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεί.

Δοκεῖ πως ἐναντίως ἔχειν ἡ ἐπιγραφὴ πρὸς τὴν ἐν ταῖς Βασιλείαις ἱστορίαν, 2Rg 16-17
ἔνθα τὰ κατὰ τὸν Δαυὶδ ἀναγέγραπται. Καὶ γὰρ ἐκεῖ ὁ Χουσὶ, υἱὸς Ἀραχὶ, 2Rg 17.5
ἀλλ᾿ οὐκ Ἰεμενεὶ, ἱστόρηται. Συμβιβάζονται δὲ ταῦτα τρόπον ὃν ἐροῦμεν, ἢ

ὅτι διώνυμος ἦν ὁ πατὴρ αὐτοῦ, ἢ ἐπείπερ ὁ Χουσὶ — τυγχάνων ἀρχιεταῖρος τοῦ Δαυὶδ, ἐσχηματίσατο τὴν πρὸς τὸν Ἀβεσαλὼμ αὐτομολίαν, καὶ τὰς τοῦ 2Rg 16.16
στρατηγικωτάτου διέλυσεν Ἀχιτόφελ γνώμας, καὶ τῷ πατραλοίᾳ μὲν ἀναβολὰς ἐνεποίησε, τῷ φεύγοντι δὲ Δαυὶδ καιρὸν ἔδωκεν εἰς τὸ φυγεῖν πoῤῥωτέρω καὶ συλλέξαι δύναμιν, ὡς ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν εὑρήσομεν πλατύτερον — ἀπὸ τῆς ἀνδραγαθίας τετύχηκε τῆς προσηγορίας ταύτης· Χουσὶ γὰρ, δεξιᾶς ἑρμηνεύεται. Καὶ γὰρ ἔθος τῇ Γραφῇ πολλάκις ἀπὸ τῶν ἐπιτηδευμάτων ἢ ἀπὸ τῶν πατέρων τοὺς υἱοὺς ὀνομάζειν, οἷον, υἱὸν εἰρήνης, καὶ τέκνα σοφίας, καὶ υἱὸν Lk 10.6
ἀπω | λείας. Οὕτως οὖν καὶ υἱὸς δεξιᾶς, ὁ δεξιός τε καὶ ἐπιτηδειότατος. Isa 57.4

Ἀλλ᾽ ἡ μὲν ἐπιγραφὴ, ὑπὲρ τῶν λόγων φησὶ Χουσί· παρ᾽ ὅλον δὲ τὸν ψαλμὸν, οὐκ ἐμνημόνευσεν ὁ Δαυὶδ τοῦ Χουσὶ, καὶ δοκεῖ πάλιν ἄπορον.

Ἀλλ᾽ ἡμῖν γε τὸ διεγνωσμένον οὐκ ἀποκρυπτέον· μεταγνοὺς γὰρ ὁ προφήτης ἐφ᾽ οἷς ἤλπισεν ἐπὶ τῇ συνέσι τοῦ Χουσὶ, ὑποθέμενος αὐτῷ τὰ περὶ τῆς ἀπάτης Ἀβεσαλὼμ καὶ τὰ περὶ τοῦ διασκεδάσαι τὴν βουλὴν Ἀχιτόφελ, τὸν ψαλμὸν 2Rg 15.34
τοῦτον ᾄδει τῷ Θεῷ, οὐχ ὑπὲρ ὧν ἔτυχε παρὰ τῆς τοῦ Χουσὶ συνέσεως, ἀλλ᾽ ὑπὲρ ὧν τῆς πρὸς Θεὸν ἐλπίδος ἀφέμενος, τεθάῤῥηκε τοῖς λόγοις, οἷς εἴρηκεν ὁ Χουσὶ πρὸς Ἀβεσαλὼμ, ἀποσταλεὶς παρ᾽ αὐτοῦ. 2Rg17.11-13

Ἔστι οὖν ἱλαστήριος ἡ ᾠδὴ, τὸν Θεὸν ἐξευμενίζουσα, καὶ παρακαλοῦσα πρὸς βοήθειαν.

2α Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα.

Εἰ καὶ παρὰ τῆς τοῦ Χουσὶ, φησὶν, ὠφέλημαι συνέσεως, ἀναπνεύσας μικρὸν, καὶ λαβὼν καιρὸν εἰς ἀντιπαράταξιν, ἀλλὰ νῦν οὐκ ἐπ᾽ ἐκείνῳ θαῤῥῶν, ἀνταγωνίζεσθαι μέλλω· μόνης δὲ τῆς σῆς ἐλπίδος ἐκκρέμαμαι, δεύτερα τ᾽ ἄλλα πάντα λογιζόμενος, καὶ φίλους καὶ συμμάχους καὶ στρατιώτας. Γέγραπται γὰρ, Ἐπικατάρατος ἄνθρωπος, ὃς ἔχει τὴν ἐλπίδα ἐπ᾽ ἄνθρωπον, καὶ, Μακάριος Jer 17.5
ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. Καὶ ὥσπερ οὐ χρὴ σέβειν ἄλλο τι παρὰ τὸν Θεὸν, Ps 83.13
οὕτως οὐδ᾽ ἐπ᾽ ἄλλον ἐλπίζειν ἢ ἐπὶ τὸν Θεόν.

2β Σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με.

Σῴζεταi μέν τις διατηρούμενος ἐν πολέμοις ἄτρωτος· ῥύεται δὲ, πάντη τῶν ἐπιτιθεμένων ἀπαλλαττόμενος. Πάντων δὲ τῶν διωκόντων εἶπε, διὰ τοὺς τῷ πατραλοίᾳ συναποστατήσαντας, φονῶντας κατ᾽ αὐτοῦ καὶ διψῶντας τὸν τούτου θάνατον.

Ἢ σῴζεται μὲν ὁ ἀσθενῶν, ῥύεται δὲ ὁ ἐν αἰχμαλωσίᾳ. Σῶσόν με οὖν, ὡς ἀσθενῆ, καὶ ῥῦσαί με, ὡς αἰχμάλωτον· ἐλπίζω γὰρ, ὅσον οὔπω, σαγηνευθῆναι τοῖς ἐχθροῖς.

Ἢ καὶ, σῶσόν με, φησὶν, ἀπὸ τῶν ἐνταῦθα καταδιωκόντων πολεμίων, ῥῦσαί με δὲ ἀπὸ τῶν μετὰ θάνατον εὐθὺς ἐξερευνώντων τὰ στίγματα τῆς ψυχῆς ἀοράτων ἐχθρῶν ἐπὶ τῷ κατασχεῖν, ὡς εἶναι τὴν δέησιν διπλὴν, ὑπέρ τε τῆς παρούσης καὶ τῆς μελλούσης ζωῆς.

[1][13] ὑποθέμενος MBF : ὑποθεμένου P.

3α Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου.

Τὸν Ἀβεσαλὼμ ὀνομάζει λέοντα, διὰ τὴν ἀγριότητα καὶ θρασύτητα καὶ ἀναίσχυντον ὁρμήν.

Ἢ καὶ τὸν διάβολον αἰνίττεται· δυσῶδες μὲν γὰρ τὸ στόμα τοῦ λέοντος, δυσῶδες δὲ καὶ τὸ τοῦ διαβόλου, βλασφημίας ἐξερευγόμενον. Καὶ γὰρ καὶ ὁ Κύριος κατὰ τὸν καιρὸν τοῦ πάθους ἔλεγε· *Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἔρχεται, καὶ ἐν ἐμοὶ ἕξει οὐδέν.* Jn 14.30

Ἐπὶ μέντοι τοῦ Ἀβεσαλὼμ, ψυχὴν ὑποληπτέον, τὴν ζωὴν, ἀφαιρουμένην ὑπὸ τοῦ ἀναιροῦντος· αἰτία γὰρ ἡ ψυχὴ ζωῆς, καὶ πολλάκις τὰ αἰτιατὰ καλοῦμεν τοῖς τῶν αἰτίων ὀνόμασιν, ὥσπερ εἰρήνη μὲν ὁ Κύριος, καὶ δικαιοσύνη, καὶ τὰ τοιαῦτα, ἁμαρτία δὲ καὶ ἀπώλεια, ὁ διάβολος. Αἴτιος γὰρ ὁ μὲν, ἐκείνων, ὁ δὲ, τούτων καθέστηκε. Καταχρηστικωτέρα δὲ, τῆς ἁρπαγῆς ἡ λέξις ἐνταῦθα, δηλούσης ἀφαίρεσιν.

Ἁρμόσει δὲ καὶ παντὶ τῷ ἐν περιστάσεσιν ὁ παρὼν ψαλμὸς, εἰ διώκοντας μὲν νοήσει, τοὺς δαίμονας, λέοντα δὲ, τὸν ἄρχοντα τούτων, | ὃς ἁρπάζει τὴν ψυχὴν εἰς ἁμαρτίαν, ἢ εἰς ἀπόγνωσιν, ἢ ἐξελθοῦσαν τοῦ σώματος.

3β Μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος.

Οἰκεῖα καὶ ταῦτα· τὸ μὲν, *σῴζοντος*, πρὸς τὸ, *σῶσον*· τὸ δὲ, *λυτρουμένου*, πρὸς τὸ, *ῥῦσαι*· σοῦ γὰρ μὴ ἐπαμύνοντος, οὐδεὶς ἔσται σῴζων ἢ ῥυόμενος.

4-5 Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.

Οὐκ εἶπε τὸ τῆς ἁμαρτίας εἶδος, φειδόμενος ἔτι τοῦ παιδός· οὐδὲ γὰρ οὐδ᾽ ὀνομαστὶ τοῦτον ἐδήλωσεν, ὑπεραισχυνόμενος, ἀλλὰ εὐφημότερον. *Εἰ ἐποίησα τοῦτο*, φησὶν, ὅπερ ὁ ἐμὸς ἐποίησε παῖς, ἐγένετο γὰρ πατραλοίας καὶ μιαρὸς, καὶ εἰ ἠδίκησα τοῦτον χερσὶν, ἤτοι πραγματικῶς, καίτοι πάλαι τῆς αὐτοῦ πονηρίας αἰσθανόμενος, ἢ ἔβλαψα τοὺς συναιρομένους αὐτῷ τῆς μάχης, οἵτινες ἀνθ᾽ ὧν εὖ παρ᾽ ἐμοῦ πεπόνθασι, κακά μοι νῦν ἀνταποδιδόασι, μὴ ἀπώσαιμι τοὺς ἐχθροὺς, ἀλλ᾽ ἄπρακτος ἀποπέσοιμι.

Ἀποροῦσι δέ τινες ὡσεὶ οὐκ ἄπρακτος ἀποπεσεῖται, τιμωρήσεται πάντως τοὺς ἐχθρούς. Καὶ πῶς, φησὶν, ὡς οὐκ ἀποδίδωσι; Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι περὶ τῶν προλαβόντων ὁ λόγος. Πολλάκις γὰρ ἄχρι τότε πολλοὺς πονηροὺς εὑρὼν, οὐκ ἀπέδωκε. Τηνικαῦτα δὲ, κινδυνεύων περὶ τὴν ζωὴν, ἠμύνετο, μὴ ἀνασχόμενος ἐπὶ πλέον τὴν παρανομίαν τῶν πονηρῶν.

Ἔστι δὲ πάλιν ἑτέρως εἰπεῖν, ὡς ἀποπέσοιμι ἀπὸ τῶν ἐχθρῶν μου κενὸς τῶν ἐλπίδων· αὗται δέ εἰσιν, οὐ τιμωρήσασθαι τούτους, ἀλλ᾽ ἐπιόντας ἀπώσασθαι, εἴπως ἀπόσχοιντο καταδιώκειν ἔτι καὶ ζητεῖν ἀποστερῆσαί με καὶ τῆς ζωῆς.

5[6] χερσίν MPSCB : τέως χερσίν HV.

Ὅρα γὰρ, ὅτι καὶ φείσασθαι τοῦ παιδὸς τοῖς στρατιώταις παρήγγειλε, καὶ τὸν θάνατον αὐτοῦ μαθὼν, πικρῶς ὠλοφύρατο. 2Rg 18.12 2Rg 19.1

Ἢ καὶ ἄλλως· ἐχθροὺς ἀοράτους ὑποληπτέον, ὧν ἀποπεσεῖσθαι λέγει κενὸν καὶ ἄπρακτον, μὴ νικήσαντα καὶ καταισχύναντα τούτους, διὰ τῆς τῶν ἀρετῶν ἀντιπαρατάξεως.

Οὐ μεγαλοῤῥημονῶν δὲ τοιαῦτά φησιν, ἀλλ᾽ εἰς ἀνάγκην ἐμπεσὼν, ἀνθ᾽ ἱκετηρίας αὐτὰ προβάλλεται.

Ἐκλαμβάνομεν δὲ καὶ πρὸς ἄλλους τουτὶ τὸ χωρίον, ὡς οὐκ ἠδίκησά τινα, βίᾳ τῆς βασιλείας ἀπελάσας, οὐδὲ τῷ Σαοὺλ ἀπέδωκα, ἀνθ᾽ ὧν εὐηργετήθη, θάνατον ἐμοὶ κατασκευάζοντι φανερὸν, καίτοι λαβὼν ὑποχείριον, ὡς ἡ κατ᾽ αὐτὸν παρίστησιν ἱστορία. 1Rg 24.5 & 26.7-9

Εἴτε τοίνυν τῷ Ἀβεσαλὼμ καὶ τοῖς ἀμφ᾽ αὐτὸν προσαρμόσεις τὸν λόγον, εἴτε καὶ πρὸς ἄλλον, καὶ τὸν Σαοὺλ, οὐδὲν τῇ ἀληθείᾳ λυμαίνεται.

Τὸ δὲ πρῶτον τῆς ἀνταποδόσεως ὄνομα καταχρηστικῶς, ἀντὶ τῆς ἀποδόσεως παρείληπται· δόσις μὲν γὰρ, ἡ καταρχὴ τῆς εὐποιΐας ἢ κακώσεως· ἀπόδοσις δὲ, ἡ τοῦ ἴσου ἀντιμέτρησις· ἀνταπόδοσις δὲ, δευτέρα τις καταβολὴ καλῶν ἢ κακῶν ὑπὸ τῶν δόντων εἰς τοὺς ἀποδόντας. Σύνηθες δὲ τοῦτο τῇ Γραφῇ, καὶ μάλιστα τῷ Δαυίδ.

6α Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι.

Καταδιώξαι, φησὶν, ὁ Ἀβεσαλὼμ τὴν ψυχήν μου, τουτέστιν, ἐμὲ, περιφραστικῶς, καὶ συλλήψαιτο.

6β Καὶ καταπατήσαι | εἰς γῆν τὴν ζωήν μου.

Ζωὴν ἐνταῦθα, τὸ αἷμα λογιστέον· καὶ τοῦτο γὰρ ζωῆς αἴτιον, ὡς συνεκτικώτερον τῶν ἄλλων τριῶν στοιχείων, ἃ τὸ ζῷον συνέχουσι. Lev 17.11 PG29.168A

6γ Καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.

Δόξαν λέγει, τὸ ἔνδοξον αὐτοῦ σῶμα, καὶ πᾶσι περιβόητον, διά τε τὴν ῥώμην, καὶ τὸν ἀπὸ τῆς ἀρχῆς προσγεγενημένον ὄγκον. Κατασκηνώσαι δὲ, ἀντὶ τοῦ, κατασκηνῶσαι ποιήσαι, τουτέστιν, εἰς γῆν κεῖσθαι καὶ διαλύεσθαι.

Ἔστι δὲ καὶ πρὸς τὸν ἀόρατον ἐχθρὸν μετενεγκεῖν τὸν λόγον, κατευχόμενον διωχθῆναι παρ᾽ αὐτοῦ, καὶ καταληφθῆναι, μηκέτι δυνάμενον ἀποφεύγειν τὰς ἐπιθέσεις αὐτοῦ, καὶ εἰς γῆν, τουτέστιν, εἰς τὰ γεηρὰ πράγματα τὴν ζωὴν αὐτοῦ καταχωσθῆναι· τοῦτο γὰρ ἡ καταπάτησις βούλεται, κειμένῳ λοιπὸν ἐπεμβαίνοντος καὶ αἰσχρῶς ἐναλλομένου· καὶ μὴ μόνον τὸ σῶμα τοῦτο παθεῖν, ἀλλὰ καὶ τὴν δόξαν, ἤτοι τὸν νοῦν, δόξα γὰρ οὗτος καὶ τιμὴ τῆς ψυχῆς, εἰς γῆν κατενεχθῆναι, καὶ προσηλωθῆναι καὶ τοῦτον τοῖς γηΐνοις, μηκέτι τῷ πτερῷ τῆς θεωρίας πρὸς Θεὸν ἀρθῆναι δυνάμενον.

[5][4] καὶ καταισχύναντα M : μηδὲ καταισχύναντα P. [5][6] τοιαῦτα M : ταῦτα P.

7α *Ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου.*

Ἔστι γὰρ ἀναστῆναι, καὶ οὐκ ἐν ὀργῇ, ὡς ὅταν λέγῃ, *Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου.* Νῦν δὲ πρὸς τιμωρίαν αὐτὸν ἐκκαλεῖται. Καθάπερ δὲ τὸ καθῆσθαι ἐπὶ Θεοῦ σωματικῶς οὐκ ἐκλαμβάνομεν, οὕτως οὐδὲ τὸ ἀνίστασθαι· ἀλλὰ τὸ μὲν καθῆσθαι δηλοῖ τὸ βασιλικὸν καὶ δικαστικὸν καὶ ἑδραῖον· τὸ δ' ἀνίστασθαι, τὸ τιμωρητικὸν καὶ ἀντιληπτικόν. Ὀργὴν δὲ ἐπὶ Θεοῦ πάλιν, οὐ πάθος οἰητέον, ἀλλὰ τὴν τιμωρίαν τῶν ἀξίων αὐτῆς. Ps 3.8

7β *Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου.*

Ὑψηλὸς ὤν, φάνηθι τοῦτο καὶ τοῖς ἀνθρώποις. Φανήσῃ δὲ τοῦτο ἐν τοῖς τέλεσιν, ἤτοι ἐν ταῖς ἀναιρέσεσι τῶν ἐχθρῶν σου· τέλος γὰρ τῆς ἑκάστου ζωῆς, ὁ θάνατος· οἱ δὲ ἐμοὶ ἐχθροὶ καὶ σοί εἰσιν, οἷα τὰς σὰς ἐντολὰς παραβεβηκότες.

7γ *Καὶ ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω.*

Μὴ μακροθυμήσῃς ἔτι· ἀλλ' ἄμυνον διὰ τὸ πρόσταγμα ὃ ἐνετείλω διὰ Μωυσέως· ἐνομοθετήθη γὰρ, *Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου.* Νῦν δὲ ὁ ἐμὸς παῖς ἐλύττησε κατὰ τοῦ πατρός. Ex 20.12

Ἔστι δὲ καὶ ἄλλως ἐκλαβεῖν τὸν λόγον, ὅτι περὶ τοῦ μυστηρίου τῆς ἀναστάσεως ὁ προφήτης εὔχεται· εἴρηκε γὰρ ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος περὶ τοῦ ἰδίου σώματος πρὸς Ἰουδαίους, *Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομήσω αὐτόν.* Ἐξεγέρθητι οὖν, φησὶ, διὰ τὸ πρόσταγμα, ὃ ἐνετείλω· εἶπας γὰρ, Λύσατε, καὶ λύσουσι. Jn 2.19

8α *Καὶ συναγωγὴ λαῶν κυκλώσει σε.*

Εἰ γὰρ ἐπικουρήσεις μοι, ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐπιστρέψουσι πρὸς Κύριον. Τὸ δὲ, *κυκλώσει σε*, ἀντὶ τοῦ, κύκλῳ γενήσονται τῶν σῶν ἐντολῶν, μὴ ἀφιστάμενοι τούτων· ὁ γὰρ Θεὸς, ἀπέραντος.

Καὶ ἐπὶ τῆς ἀναστάσεως δὲ δυνάμεθα τὸ ῥητὸν ἐκλαβεῖν· τότε γὰρ ἡ τῶν ἐθνῶν συναγωγὴ περὶ τὸν Χριστὸν ἐγένοντο, καθάπερ ἐν κύκλῳ, ἀπὸ πάντων τῶν περάτων τῆς γῆς.

Ἢ τὸ, *κυκλώσει σε*, ἀντὶ τοῦ, ᾄσεται καὶ ὑμνήσει σε. Ἐπειδὴ γὰρ ἐν χορῷ τοὺς ὕμνους ἀνέφερον, ἀπὸ τοῦ σχήματος τοῦ πράγματος, αὐτὸ τὸ πρᾶγμα ᾐνίξατο, τουτέστι, τὴν εὐφημίαν. |

8β *Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.*

Ἕνεκεν ταύτης τῆς συναγωγῆς, ἄνελθε πρὸς τὸν Πατέρα μεσίτης· ἐπίστρεψον

7α[2] ἔστι MSC : ἔνι PHV. 7γ[3] ἐνομοθετήθη γὰρ M : τὸ P. 7γ[8] οὖν P : om. M.

εἰς τὸ ὕψος τῆς δόξης ἧς εἶχες πρὸ τοῦ τὸν κόσμον γενέσθαι, τὸ ἄφραστον πληρώσας ἤδη μυστήριον. Jn 17.5

9α Κύριος κρινεῖ λαούς.

Οὐ παρόψεται γὰρ τὰ κατ᾽ ἐμοῦ μεμηχανημένα. Ἢ καὶ κρινεῖ, τοὺς μὲν πονηροὺς κατακρίνων, τοὺς ἀγαθοὺς δὲ ἱστῶν ἐκ δεξιῶν. Mt 25.33

9β Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ᾽ ἐμοί.

Ἐπειδὴ κρίσεως ἐμνήσθη, γενοῦ, φησὶ, κἀμοῦ κριτὴς, ἐξετάσας τὴν δικαιοσύνην μου, ἣν ἐτήρησα πρός τε τὸν πατραλοίαν καὶ τοὺς ἀμφ᾽ αὐτὸν, ἔτι γε μὴν καὶ κατὰ τὴν ἁπλότητά μου ἐπ᾽ ἐμοὶ γενέσθω.

Πῶς ὁ ἀλλαχοῦ λέγων, Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ἐνταῦθα Ps 142.2
μᾶλλον εὔχεται κριθῆναι; Ὅτι ἐκεῖ μὲν, μὴ κριθῇς, φησὶ, πρός με σὺ, μηδὲ τὸν ἐμὸν βίον πρὸς τὰς σὰς παρεξετάσῃς εὐεργεσίας· ἐνταῦθα δὲ, πρὸς ἑτέρους τὴν κρίσιν ζητεῖ, τοὺς ἀδικήσαντας, τοὺς ἀνελεῖν ἐκζητοῦντας.

10α Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον.

Εἰ στήσεταί ποτε τῶν ἁμαρτωλῶν ἡ πονηρία, κατευθυνθήσονται οἱ δίκαιοι, τουτέστιν, ἀνεμποδίστως ὁδεύσουσι τὴν ὁδὸν τῆς ἀρετῆς.

10β Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.

Ὁ Θεὸς ἐρευνῶν ἐστι καὶ πολυπραγμονῶν τὴν καρδίαν καὶ τοὺς νεφροὺς, ἤγουν ὅσα τε τοῦ θυμοῦ γεννήματα, περὶ τὴν καρδίαν γὰρ ὁ θυμὸς, καὶ ὅσα τῆς ἐπιθυμίας, καὶ αὕτη γὰρ περὶ τοὺς νεφροὺς, ἐξ ὧν, ἐκείνων τε δηλαδὴ καὶ τούτων, ἁμαρτία πᾶσα συνέστηκε.

11 Δικαίως ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ, τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.

Εὐθὴς ὢν τῇ καρδίᾳ καὶ ἀπόνηρος, καὶ πρὸς τὴν εὐθεῖαν τῆς ἀρετῆς ὁδὸν ἀπευθύνων ἐμαυτὸν, δικαίως προσδοκῶ βοήθειαν, οὐκ ἀνθρωπίνην, ἄχρηστος γὰρ, ἀλλὰ παρὰ Θεοῦ, τοῦ σῴζειν ἰσχύοντος.

Ἰστέον δὲ, ὥς τινες μὲν, δίκαιος ἑρμηνεύοντες, τῷ πρὸ τούτου στίχῳ τοῦτο
συνάπτουσιν. Ὁ δὲ Χρυσόστομος, δικαίως μάλιστα λέγων, τῷ παρόντι στίχῳ PG55.95
τοῦτο συνάπτει, καθὼς ἡμεῖς ἡρμηνεύσαμεν.

12α Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος.

11[5-7] MF : P in marg..

Τοῦτο λέγειν ἔοικε πρὸς τοὺς σκανδαλιζομένους ἐπὶ τῇ προνοίᾳ τοῦ Θεοῦ, ὅτι παρεχώρησεν υἱὸν ἐπαναστῆναι πατρί. Δίκαιος μὲν, ὡς ἀντιμετρῶν ταῖς πράξεσι τὰς ἀμοιβάς· ἰσχυρὸς δὲ, ὡς δυνάμενος ὅσα βούλεται· μακρόθυμος δὲ, ὡς μὴ παρὰ πόδας ἐπάγων τὴν κόλασιν.

12β Καὶ μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην ἡμέραν.

Τοῦτο, τῆς μακροθυμίας ἐφερμηνευτικόν ἐστιν. Ἡμεῖς μὲν γὰρ καθ᾽ ἑκάστην ἡμέραν ἁμαρτάνοντες, ἀεὶ τιμωρίας ἐσμὲν ἄξιοι· αὐτὸς δὲ μακροθυμῶν, δίδωσι καιρὸν εἰς μετάνοιαν. Ὀργὴν δὲ, τὴν κόλασιν ἐνταῦθα νοήσωμεν.

Ἀποροῦσι δέ τινες, ὡς εἰ δίκαιός ἐστιν ὁ Θεὸς, ἀξίως κολάζων, πῶς ἐστι φιλάνθρωπος; Δίκαιος μέν ἐστιν, ὡς ἀξίως ἀποδιδοὺς, φιλάνθρωπος δὲ, ὡς μὴ εὐθὺς τιμωρούμενος, ἀλλ᾽ ἀνεξικακῶν καὶ παρέχων ἀφορμὰς ἐπιστροφῆς, καὶ μὴ ἐῶν τὸν ἐχθρὸν ὅσα βούλεται ποιεῖν, καὶ πάντα τρόπον ἐπιθυμῶν τῆς σωτηρίας ἡμῶν.

13 Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό.

Εἰδὼς οἷα προφήτης | ὁ Δαυὶδ ὅτι πάντα τὰ ἔθνη τοὺς ψαλμοὺς αὐτοῦ μετὰ χεῖρας ἕξουσι, μίγνυσι ταῖς οἰκείαις ὑποθέσεσι καὶ διδασκαλίας. Ἐὰν γὰρ μὴ ἐπιστραφῆτε, οἱ τῆς εὐθείας ἀποπλανηθέντες καὶ πρὸς τὴν ὕλην στραφέντες, οὐκ ἐκφύγητε τὴν τιμωρίαν.

Ῥομφαία μὲν οὖν, ὁ πικρὸς θάνατος, τόξον δὲ, ὁ ταχύς. Καὶ αὖθις, στίλβωσις μὲν καὶ ἔντασις, ἡ παρασκευὴ τῆς τιμωρίας καὶ πρὸς καιρὸν μακροθυμία· ἑτοιμασία δὲ, ἡ ἐγγύτης τῆς πληγῆς καὶ ὅσον οὔπω βολή.

14α Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου.

Ἐν τῷ τοξικῷ δὲ τῆς κολάσεως εἴδει, ποικίλοι τρόποι θανάτου — διὰ σφαγῆς, διὰ πυρὸς, δι᾽ ὕδατος, διὰ σεισμοῦ, διὰ χάσματος, καὶ ὅσα τῶν νοσημάτων εἴδη γινώσκομεν· ἃ πάντα καθεστήκασιν ἐργαλεῖα θανάτου, δι᾽ ὧν οὗτος ἀποτελεῖται.

Χρὴ δὲ γινώσκειν, ὡς εἰ καὶ ἀνθρώπινα τὰ ῥήματα, ἀλλὰ θεοπρεπῆ τὰ νοήματα· καὶ παρέλαβε τὴν παχύτητα τῶν λέξεων, ὥστε τῆς τῶν ἀκροατῶν παχύτητος καθικέσθαι. Διὰ τοῦτο γὰρ καὶ ῥομφαίαν εἰσάγει τὸν Θεὸν ἔχοντα, καὶ τόξον καὶ βέλη καὶ σκεύη πολεμικὰ, καὶ στιλβοῦντα καὶ ἐντείνοντα, ἵνα τὸν φόβον τοῖς ἀκροαταῖς ἀπὸ τούτων αὐξήσῃ, καὶ διὰ τῶν συντρόφων ὀνομάτων κατασείσῃ τὴν
λιθίνην αὐτῶν διάνοιαν· οὐ γὰρ δεῖται τούτων ὁ ἐπιβλέπων μόνον ἐπὶ τὴν γῆν καὶ Ps 103.32
ποιῶν αὐτὴν τρέμειν, οὗ ἐν τῇ χειρὶ πᾶσα πνοὴ, ὁ διαλύων ὄρη ἐν τῇ κραταιότητι Da 5.23
αὐτοῦ, καὶ ὅσα περὶ τῆς ἀῤῥήτου αὐτοῦ δυνάμεως οἱ ἱεροφάνται παραδεδώκασιν. Ps 45.4

14β Τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.

13[9] Add. P: ἢ ὀξύτης, ἡ σφοδρότης τῆς τιμωρίας, ἔντασις δὲ, ἡ ἐγγύτης, ἑτοιμασία δὲ, τὸ πλῆξαι πάντως, εἰ μὴ μεταβάλοιντο.

Ἐν τούτῳ παραμυθεῖται τοὺς ἀγαθούς· αἱ τιμωρίαι γὰρ, φησὶ, τοῦ Θεοῦ, κατὰ τῶν ἀξίων ἐποιήθησαν. Καιομένους γὰρ ἐκάλεσε, τοὺς μηδεμίαν ἀρετῆς ἔχοντας ἰκμάδα· τοσοῦτον δὲ ξηρανθέντας εἰς ἀγαθοεργίαν, ὡς εὐεξάπτους εἶναι πρὸς τὸ πῦρ τῆς κολάσεως, καὶ ἤδη τῇ προσδοκίᾳ κολαζομένους. Ἢ καὶ τοῖς καιομένοις φησὶ τῷ πυρὶ τῶν παθῶν, θυμοῦ, ἡδονῆς, φιλοχρηματίας, καὶ τοιούτων ἄλλων.

Οὕτω διαζωγραφήσας τὴν ἄνωθεν ποικιλόμορφον ὀργὴν καὶ τοῖς πονηροῖς ταύτην ἐπικρεμάσας, παιδεύει λοιπὸν καὶ ἀπὸ τῶν τηνικαῦτα πραγμάτων, καὶ πρὸς τὸν Ἀβεσαλὼμ μετάγει τὸν λόγον.

15α Ἰδοὺ ὠδίνησεν ἀδικίαν.

Ἐγκύμων ὁ ἀποστάτης οὗτος γέγονεν ἀδικίας, ἐξῶσαί με τῆς παρὰ Θεοῦ δεδομένης ἀρχῆς μελετήσας ἀδίκως. Τὸ δὲ τῆς ὠδῖνος ὄνομα παρέλαβεν, ἐνδείξασθαι βουλόμενος οἵαν ὀδύνην καὶ δριμύτητα πάσχουσιν οἱ τὸν πλησίον ἀδικῆσαι σκεπτόμενοι· πληροῦνται γὰρ θυμοῦ, διακόπτονται ὑπὸ ὀργῆς, κυμαίνονται τοῖς λογισμοῖς, ὁδοὺς ἔρχονται μυρίας, φοβοῦνται, ἀγωνιῶσι, καὶ ὅλως οὐ φέρουσι τὰς τοιαύτας μάστιγας πρὶν ἀγάγωσιν εἰς ἔργον τὸ μελετώμενον, εἰ καὶ μηδὲ μετὰ τὴν πρᾶξιν ἐλευθεροῦνται τῆς ἀπὸ τοῦ συνειδότος καταγνώσεως.

Ὅπου τοίνυν ἡ Γραφὴ βουληθῇ ἀφόρητον ὀδύνην ἐνδείξασθαι, τῷ τῆς ὠδῖνος ὀνόματι ταύτην ὑπογράφει. Ὠδὶς μὲν οὖν, ἐκ τοῦ οἰδαίνειν, τουτέστιν αὔξειν· τὸ γὰρ βρέφος τελειωθὲν, οὐκέτι φορητὸν γίνεται. Καὶ διὰ τοῦτο σφοδρὰς ὀδύνας ἐμποιεῖ, πρὸς ἔξοδον ἐπειγόμενον.

Δείκνυται δὲ ἐντεῦθεν, ὅτι οὐκ ἔμφυτος ἡμῖν ἐστιν ἡ κακία, ἀλλ' ἔξωθεν ἐνσπειρομένη, καὶ αὐξομένη, καὶ ὠδῖσι περιβάλλουσα. |

15β Συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν.

Καὶ μὴν ἐπὶ τῶν ἐμβρύων, πρῶτον σύλληψις, ἔπειτα ὠδὶς, αὐξανομένου τοῦ βρέφους· ἀλλ' ἐκεῖ μὲν, πρὸς τὸ αὐτὸ ἔμβρυον σύλληψις λέγεται καὶ ὠδίς· ἐνταῦθα δὲ, πρὸς ἄλλο καὶ ἄλλο. Ὠδινήσας γὰρ τὴν ἀδικίαν, καὶ χαλεπῶς ὑπ' αὐτῆς διατεθεὶς, διά τε τὰς προειρημένας αἰτίας καὶ τὸ μήπω καιρὸν εὑρίσκειν ἐπιτήδειον, συνέλαβε πόνον, εἴτουν προσέλαβε σωματικὸν ἄλγος· κατατεινομένης γὰρ τῆς ψυχῆς, καὶ αἱ τοῦ σώματος καταβάλλονται δυνάμεις. Οὐ μόνον οὖν ὠδυνᾶτο κατὰ ψυχὴν, ἀλλὰ καὶ σωματικοῖς ἀλγήμασι περιέπιπτεν, ἕως οὗ τὴν ἀνομίαν ἐγέννησεν. Ἄνομον γὰρ ὄντως ἀτιμᾶσαι τὸν πατέρα καὶ διῶξαι καὶ μιᾶναι τὰς αὐτοῦ παλλακάς.

Τινὲς δὲ τὴν ἐπιτομωτέραν ἑρμημείαν ἀποδεχόμενοι, ὠδῖνα μὲν ἐνταῦθα λέγουσι, τὴν ἔννοιαν· σύλληψιν δὲ, τὴν στάσιν τῆς ἐννοίας τῆς τυραννίδος.

Ἢ καὶ ὅτι ὠδυνήσας, καὶ πολλὰ παθὼν ὑπὸ τοῦδε τοῦ λογισμοῦ, καὶ μὴ ἐνεγκὼν, συνέλαβε πάλιν ἕτερον περὶ τοῦ αὐτοῦ πράγματος, ὃς καὶ αὐτὸς γέγονεν αὐτῷ πόνος καὶ δευτέρα ὠδίς.

15α[6] κυμαίνονται MPSCB : λυμαίνονται HV. 15α[14] ἐνσπειρομένη M : ἐμπειρομένη P.

16 Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο.

Κίνδυνόν μοι κατεσκεύασε, καὶ κίνδυνον δυσαπάλλακτον. Ἐδήλωσε δὲ τοῦτο διὰ τῆς τοῦ λάκκου ὁμοιότητος· ὡς γὰρ ἐκεῖνος τοῖς ἐμπεπτωκόσιν ἄφυκτός ἐστι, καὶ μᾶλλον εἴ τις αὐτὸν ἀνασκάψει, τουτέστι, δὶς ὀρύξει πρὸς τὸ βαθύτερον, οὕτως καὶ ἃ κατ᾽ ἐμοῦ συνεσκεύασεν ὁ πατραλοίας, βάθος πονηρίας ἔχουσι, καὶ κύκλον θανατηφόρον· ἀλλ᾽ αὐτὸς ἐμπεσεῖται τῷ κινδύνῳ, καὶ ἀνθ᾽ ὧν ἐμὲ συλλαβεῖν ἔσπευσεν, αὐτὸς συλληφθήσεται.

17α Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ.

Καὶ ἄμφω ἀποβεβήκασι· κινδύνῳ τε γὰρ περιπέπτωκε καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ καινῶς ἡ σπουδὴ αὐτοῦ περιετράπη. Σπεύδων γὰρ παραθαῤῥύνειν καὶ ἐπιστρέφειν τὸν οἰκεῖον ἐν τῷ πολέμῳ λαὸν, κλάδοις φυτοῦ διαθέων ἔφιππος, τὰς τῆς κεφαλῆς ἐνεπλάκη κόμας, καὶ κρεμασθεὶς ἀπὸ ταύτης, ἀνῃρέθη πικρῶς. 2Rg 18.9

17β Καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.

Ἡ ἀδικία ἧς κατήρξατο, ἐπ᾽ αὐτὸν κατασκήψει· ἀπὸ γὰρ τοῦ καιριωτάτου 2Rg 14.26
μέρους τοῦ σώματος, ἐκεῖνον ἐδήλωσε. Καὶ μέντοι καὶ οὕτω γέγονε· πόλεμον γὰρ συγκροτήσας κατὰ τοῦ πατρὸς, ἀνῃρέθη μᾶλλον αὐτός.

18α Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ.

Ἐγὼ δὲ, τοιοῦτον τέλος λαβούσης τῆς μάχης, εὐχαριστήσω τῷ Θεῷ ἐπὶ τῇ δικαίᾳ κρίσει αὐτοῦ.

18β Καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

Καὶ ᾄσω τῷ ὀνόματι αὐτοῦ τὰ νικητήρια, ὅτι ἐπεκαλεσάμην αὐτὸ καὶ ἐβοήθησέ μοι. Εἰ δὲ τὸ ὄνομα αὐτοῦ τοσαύτην ἔχει δύναμιν, τίς οὐκ ἂν αὐτὸν φοβηθείη; Ὑψίστου δὲ, τοῦ ὑπὲρ ἅπαντα, τοῦ ἀνυπερβλήτου, ἢ καὶ τοῦ ἐπουρανίου, καθὰ προλαβόντες εἴπομεν.

Ταῦτα δὲ, οὐ χαίροντός ἐστιν ἀνθρώπων σφαγαῖς, καὶ μάλιστα παιδὸς αἵματι·
πῶς γὰρ, ὃς καὶ πένθιμον ἐποίησε τὴν ἡμέραν τῆς νίκης; ἀλλ᾽ ἀποδεχομένου τὴν 2Rg 19.3
τοῦ Θεοῦ ψῆφον, δικαίως τοὺς ἀδίκους καταλαμβάνουσαν.

Τινὲς δὲ τὸ, λάκκον ὤρυξε, καὶ τὰ ἑξῆς, ἄχρι τοῦ, ἡ ἀδικία αὐτοῦ καταβήσεται, συντομώτερον ἑρμηνεύοντες, τοῦτο λέγουσι δηλοῦν μεταφορικῶς, ὡς ἃ κατ᾽ ἐμοῦ ἐμηχα | νήσατο, αὐτὸς πείσεται. Ταῦτα δὲ κατευχόμεθα καὶ τοῦ διαβόλου.

16[4] δίς M : δισσῶς P.

8 η´
1 Εἰς τὸ τέλος· ὑπὲρ τῶν ληνῶν· ψαλμὸς τῷ Δαυίδ.

Τί μὲν βούλεται τὸ, εἰς τὸ τέλος, ἐν τοῖς προλαβοῦσι προείρηται.

Ληνοὺς δὲ νῦν καλεῖ, τοὺς ἁπανταχῇ τῆς οἰκουμένης ναούς. Ἄμπελος μὲν γὰρ, ὁ Κύριος, κλήματα δὲ, οἱ ἀπόστολοι, βότρυς δὲ, ἡ πίστις, ἥτις ἐναποθλιβομένη Jn 15.5
ταῖς Ἐκκλησίαις, τὴν διδασκαλίαν δίδωσιν, ὡς οἶνον, τὰς καρδίας τῶν πιστῶν
εὐφραίνουσαν. Προσώπῳ οὖν τούτων τῶν πνευματικῶν ληνῶν ὁ ψαλμὸς οὗτος Ps 103.15
ἐκπεφώνηται τῷ προφήτῃ.

Πάλαι μὲν γὰρ εἷς ναὸς ᾠκοδόμητο, καὶ ἐν ἑνὶ τόπῳ, τῇ Ἱερουσαλὴμ, ὅτι καὶ ἑνὶ ἔθνει ἀποκεκλήρωτο, περὶ οὗ φησιν Ἡσαΐας, *Ὠικοδόμησα πύργον καὶ προλήνιον*
ὤρυξα ἐν αὐτῷ, πύργον μὲν καλῶν, τὸν ναὸν, προλήνιον δὲ, τὸ θυσιαστήριον. Ἐπὶ Isa 5.2
τέλει δὲ τῶν αἰώνων, ἔτι δὲ καὶ τῷ τέλει τῆς νομικῆς λατρείας, καθῄρηται μὲν οὗτος, ἀντανέστησαν δὲ καθόλου τῆς γῆς ἐκκλησίαι παμπληθεῖς, ὅτι καὶ πάντα τὰ ἔθνη τὴν θεογνωσίαν ἔλαβον.

2α Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Τῶν μὲν ἀπίστων, ἑνὶ τρόπῳ Κύριός ἐστιν ὁ Χριστὸς, τῷ τῆς πλάσεως· τῶν δὲ πιστῶν, διπλῷ, τῷ τε τῆς πλάσεως καὶ τῷ τῆς ἐπιγνώσεως· διὸ καὶ ἡ ἀναδίπλωσις ἐνταῦθα. Λέγουσι γὰρ αἱ τῶν πιστῶν Ἐκκλησίαι, Κύριε δημιουργὲ, ὁ Κύριος ἡμῶν ἄρτι γεγονὼς διὰ τῆς ἐπιγνώσεως, λίαν ἐστὶ θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Μόνον γὰρ ἐπικαλούμενον, δαίμονας φυγαδεύει, νεκροὺς ἀνίστησι,
νόσους ἀπελαύνει, μεταβάλλει στοιχεῖα, καὶ πάντα δύναται. Τὸ δ᾽ αὐτὸ, καὶ Ps 98.3
φοβερὸν ἀλλαχοῦ καλεῖ. Θαυμαστὸν μὲν οὖν, διὰ τὰς ὑπερφυεῖς ἐνεργείας, Ps 110.9
φοβερὸν δὲ, διὰ τὴν ἄῤῥητον δύναμιν.

Ὅρα δὲ πῶς ἑαυτὸν ὁ Δαυὶδ ἡμῖν συνέταξε, προϊδὼν τὸ μυστήριον καὶ τὴν πίστιν εἰς τὰ τοῦ κόσμου διαφοιτήσασαν πέρατα.

Τί δὲ περὶ τούτου φήσουσιν Ἰουδαῖοι; Τὸ γὰρ τοῦ παντοκράτορος ὄνομα παρὰ τοῖς πλείοσι τῶν ἐθνῶν εὐκαταφρόνητον ἦν· φησὶ γὰρ ὁ Ἡσαΐας, *Ὅτι δι᾽ ὑμᾶς τὸ*
ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Ὥστε περὶ τοῦ Χριστοῦ νῦν ὁ λόγος Isa 52.5
ἀναντιῤῥήτως.

2β Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.

Μεγαλοπρέπειαν ἐνταῦθα, τὴν θείαν ἐνανθρώπησιν ὀνομάζει· μεγάλη γὰρ ὄντως καὶ πάντα νοῦν ὑπερβαίνουσα. Αὕτη, φησὶν, ἐπήρθη καὶ αὐταῖς ταῖς ὑπεράνω τῶν οὐρανῶν δυνάμεσιν ὡς ὑπερθαύμαστος καὶ ἀκατανόητος. Καὶ οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ ἄγγελοι τὸ τοιοῦτον ἐκπλήττονταί σου μυστήριον.

Ἢ καὶ ἄλλως· ἐμφῆναι βουλόμενος τὸ τῆς θείας φύσεως ἀπειροδύναμον, ὑψώθη, φησὶν, ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν, μὴ χωρούσης αὐτὴν

1[12] καθόλου M : καθ᾽ὅλης P.

τῆς γῆς. Ὃ καὶ προφήτης ἕτερος ἔλεγεν, *Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.* Hab 3.3

3α Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.

Τὴν ἐν τῷ ἱερῷ τῶν παίδων ὑμνολογίαν προαναφωνεῖ. Ἐκ πολλῶν δὲ σημείων ὧν ἐποίησεν ὁ Χριστὸς, τέθεικε δὴ μόνον τὸ θαῦμα τῶν παίδων, ὡς ἐκπληκτικώτερον. Πρὸ τούτου μὲν γὰρ καὶ νεκρὸς ἠγέρθη καὶ λεπρὸς ἐκαθαρίσθη καὶ δαίμων ἠλάθη· χορὸς δὲ παίδων ὑπομαζίων τότε πρῶτον τρανῶς ἐφθέγξατο. Οὐδὲ γὰρ ἁπλῶς ἦσαν παῖδες, ἀλλὰ | θηλάζοντες, ὃ καὶ παραδοξότατον. Mt 21.15-16

Κατηρτίσω δὲ, ἀντὶ τοῦ, τέλειον εἰργάσω, ἐξ ἀτελοῦς στόματος.

3β Ἕνεκα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.

Διηγεῖται καὶ τὴν τοῦ θαύματος αἰτίαν, ὅτι διὰ τοὺς πονηροὺς Ἰουδαίους, τοὺς ἐχθρούς σου, γέγονεν· ἐπὶ μὲν γὰρ ταῖς ἄλλαις παραδοξοποιΐαις ὑπώπτευον ὡς ἐξαπατᾷ τοὺς ὀφθαλμοὺς αὐτῶν ἴσως· ἐπὶ δὲ τῷ ὕμνῳ τῶν νηπίων, ἅπερ αὐτῶν ἦσαν ἔγγονα καὶ παρ᾽ αὐτοῖς ἐτρέφοντο, πάσης ἀντιλογίας ἀπεκλείσθησαν.

Ὠικονομήθη δὲ τοῦτο πρὸς τὸ καταλυθῆναι, τουτέστιν, αἰσχυνθῆναι τὸν Ἰουδαϊκὸν δῆμον, τὸν ἐχθρὸν ἅμα καὶ ἐκδικητὴν τοῦ Θεοῦ· ἐχθρὸς μὲν γάρ ἐστιν, ὡς πολεμῶν τῷ Υἱῷ· ἐκδικητὴς δὲ, ὡς ὑπὲρ τοῦ Πατρὸς τοῦτο ποιεῖν δοκῶν.

Οἰητέον δὲ καὶ τὸν διάβολον, ἐχθρὸν καὶ ἐκδικητήν· ἐχθρὸν μὲν, ὡς ἐναντιούμενον ταῖς ἐντολαῖς τοῦ Θεοῦ καὶ τοῖς τούτου φίλοις πολεμοῦντα· ἐκδικητὴν δὲ, ὡς μετὰ τὸ ῥῖψαι τινὰς, ἐγκαλοῦντα τούτοις τὴν τοῦ Θεοῦ καταφρόνησιν, καὶ πρὸς τιμωρίαν ἕλκοντα διὰ τὴν τῶν θείων ἐντολῶν παράβασιν· ᾐσχύνθη γὰρ τότε καὶ οὗτος καὶ κατελύθη.

Ὡς γεγονότα δὲ τὰ γενησόμενα τίθησιν, οἷον ἑωρακὼς αὐτὰ τοῖς προφητικοῖς ὄμμασιν, ἢ καὶ προσώπῳ, καθὰ δεδήλωται, τῶν Ἐκκλησιῶν, ὡς τότε λεγόμενα. Ps 8.1

4α Ὅτι ὄψομαι τοὺς οὐρανοὺς, ἔργα τῶν δακτύλων σου.

Πρώην μὲν γὰρ τὰ ἔθνη τοῦ κόσμου ποιητὰς, τοὺς ψευδωνύμους ὠνόμαζον θεούς· τῆς ἀληθείας δὲ λαμψάσης, ἡ τῶν πιστῶν Ἐκκλησία φησὶν, ἐπιγνώσομαι τοὺς οὐρανοὺς, ἔργα τῶν σῶν δακτύλων.

Οὐρανοὺς δὲ λέγει, τὸν ἐν ἀρχῇ τε ποιηθέντα καὶ τὸ στερέωμα. Ἢ καὶ πληθυντικῶς εἶπεν ἀντὶ ἑνικοῦ, κατὰ τὴν Ἑβραΐδα διάλεκτον. Διὰ μέντοι τοῦ οὐρανοῦ, ὡς περιεκτικοῦ, καὶ τὴν ἐν μέσῳ κτίσιν ἐνέφηνε. Gen 1.1, 6

Λέγουσι δέ τινες, δακτύλων εἰπεῖν, παραστῆσαι βουλόμενον, ὡς ἔργα τῆς πολλοστῆς σου τυγχάνουσι δυνάμεως, οἱ τηλικοῦτοι καὶ τοιοῦτοι. Ἐμοὶ δὲ δοκεῖ ἀδιάφορον· καὶ γὰρ ἀλλαχοῦ φησι, *Καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί.* Ps 101.26

4β Σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.

Οὐρανοῦ μνησθεὶς, καὶ τὸν τοῦ οὐρανοῦ κόσμον προσέθηκεν, ὅτι σὲ ἐπιγνώσομαι ποιητὴν καὶ τῶν ἀστέρων. Τὴν σελήνην δὲ τάξας, οὐ παρῆκε τὸν ἥλιον, ἀλλὰ δι᾽ αὐτῆς ἐδήλωσε κἀκεῖνον. Ἐπεὶ καὶ ὑπ᾽ ἐκείνου αὕτη φωτίζεται, καὶ συνημμένως ἄμφω τῇ γνώσει τῶν ἀνθρώπων ἔγκεινται· δυὰς γὰρ τῶν μεγάλων ἐστὶ φωστήρων, καὶ θατέρου τις μνησθεὶς, καὶ θάτερον συνεισάγει. Καὶ ἀλλαχοῦ δὲ μόνον τίθησι τὸν ἥλιον· Σὺ γὰρ, φησὶ, *κατηρτίσω φαῦσιν καὶ ἥλιον*, ὡς ἄμφω Ps 73.16
δι᾽ ἀλλήλων νοουμένων.

Ἃ δὲ, τουτέστι, τὰ ἄστρα ἢ τὰ ἔργα· ἐθεμελίωσας δὲ, ἀντὶ τοῦ, ἔπηξας, ἥδρασας, ὡς μηδέποτε τῶν ἀφωρισμένων τόπων ἐκπίπτειν, καίτοι ἐπικρεμάμενα.

5 Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν;

Καὶ τοῦτο διὰ τὴν ἐνανθρώπησιν εἴρηκε, προεγνωκὼς τὸ ταύτης μυστήριον. Τί γὰρ, φησὶ, τοσοῦτόν ἐστιν ὁ ἄνθρωπος, ὅτι ἀφηνιάσαντος καὶ τὴν σὴν δεσποτείαν ἀγνοήσαντος, ἔλεον | αὐτοῦ λαμβάνεις;

Ἐσχημάτισται δὲ ὁ λόγος ἐκ μεταφορᾶς τῶν ἐπιλανθανομένων τινὸς, εἶτα μνείαν αὐτοῦ διὰ συμπάθειάν ποτε λαμβανόντων· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτὸς εἰς ἀντίληψιν παραγίνῃ· τοῦτο γὰρ, ἡ ἐπίσκεψις. Οὔτε γὰρ ἄγγελος, οὐ πρέσβυς, ἀλλ᾽ αὐτὸς ὁ Κύριος ἐλθὼν, ἔσωσεν ἡμᾶς. Isa 63.9

Τί γοῦν, τοσοῦτόν ἐστιν ἄνθρωπος, ἵνα ταῦτα δι᾽ αὐτὸν γένηται; καὶ πεσόντων μὲν ἀγγέλων, οὐδὲν τοιοῦτον ἐποίησας· τοῦ ἀνθρώπου δὲ πεσόντος, εἰς τὴν ἡμετέραν ἦλθες ἐσχατιάν. Heb 2.16

Ἄνθρωπος δὲ καὶ υἱὸς ἀνθρώπου, τὸ αὐτὸ δηλοῦσιν ἐκ παραλλήλου· καὶ συνήθης ὁ τύπος οὗτος παρὰ τῇ Παλαιᾷ· δοκεῖ γὰρ περίφρασις τὸ, υἱὸς ἀνθρώπου, ἀντὶ τοῦ, ἄνθρωπος.

6α Ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους.

Μέμνηται καὶ τῶν ἐξ ἀρχῆς εὐεργεσιῶν τῶν εἰς τὸν ἄνθρωπον. Πλασθεὶς γὰρ, βραχύ τι τῶν ἀγγέλων ἠλάττωται διὰ τὴν συμπλοκὴν τοῦ σώματος καὶ τὰ ἐκ τοῦ σώματος· καὶ τοῦτο δὲ, κατ᾽ οἰκονομίαν, ἵνα, ὅταν ἐπαίρηται διὰ τὸν νοῦν, συστέλληται διὰ τὸν χοῦν. Εἰ γὰρ καὶ σώματι βριθόμενος ἀλαζονεύεται τοσοῦτον, τίς ἂν ἦν, πολιτευόμενος δίχα σώματος;

6β Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν.

Δόξῃ μὲν, διὰ τὸ κατ᾽ εἰκόνα Θεοῦ γενέσθαι· τιμῇ δὲ, διὰ τὴν πρὸς αὐτὸν Gen 1.28
ὑποταγὴν τῶν ζῴων ἁπάντων.

5[3] ὁ ἄνθρωπος PSCAHV : ἄνθρωπος M.

7α Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.

Καὶ ἐχειροτόνησας αὐτὸν βασιλέα τῆς κτίσεως, ἣν ἐποίησας· *Αὐξάνεσθε* γὰρ, φησὶ, *καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς.* Gen 1.28

7β-9 Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου, τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν.

Καὶ τοῦτο ἀπὸ τῆς Μωσαϊκῆς Γενέσεως εἴληπται· φησὶ γὰρ, *Καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς.* Εἰπὼν δὲ *πάντα*, διεῖλεν αὐτὰ, καὶ πρῶτον ἀπὸ τῶν ἡμέρων Gen 1.28
ἤρξατο προβάτων.

Κτήνη δὲ λέγει τοῦ πεδίου, πάντα τὰ τοῖς πεδίοις ἐννεμόμενα τετράποδα· κτῆνος γὰρ, πᾶν τὸ κάτω νεῦον τετράποδον. Διὰ μέντοι τῶν *κτηνῶν*, πᾶν ζῷον χερσαῖον παρεδήλωσεν, εἴτε ἥμερον, εἴτε ἄγριον· πάντα γὰρ εἰς ὑπηρεσίαν τοῦ ἀνθρώπου παρήχθησαν· καὶ πάντων ἄρχει, ὁ διασῴζων τὸ πρῶτον τῆς ψυχῆς ἀξίωμα.

Πετεινὰ δὲ τοῦ οὐρανοῦ, τουτέστι, τοῦ ἀέρος· τοῦτον γὰρ νῦν οὐρανὸν καταχρηστικῶς ὠνόμασεν, ὡς ὑπὲρ κεφαλῆς ἡμῶν δίκην οὐρανοῦ κεχυμένον.

Ἀποβλέψας δὲ πρὸς τὰ παμπληθέστατα τῶν ἰχθύων εἴδη, δι' ἑνὸς λόγου πάντα παρέστησεν, εἰπὼν, *τὰ διαπορευόμενα τρίβους θαλασσῶν*· ἀπὸ γὰρ τοῦ ἀρσενικοῦ γένους ἐπὶ τὸ οὐδέτερον μεταβέβηκε, βουλόμενος ἐμφῆναι τὸ διάφορον τῶν ἐν ἰχθύσιν εἰδῶν.

Ἀλλὰ ταῦτα μὲν περὶ τοῦ ἁπλῶς ἀνθρώπου νοοῦμεν. Ἀνάγονται δὲ καὶ εἰς τὸν Κυριακὸν ἄνθρωπον, ὡς ὁ Ἀπόστολος ἐξεδέξατο, γράφων πρὸς Ἑβραίους. *Τί* γὰρ, φησὶ, *τοσοῦτόν ἐστιν ὁ ἄνθρωπος*, ὁ προσληφθεὶς τῷ Θεῷ καὶ Λόγῳ, *ὅτι μιμνήσκῃ* Heb 2.6
αὐτοῦ; λέγει γὰρ, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός.* Υἱὸν δὲ ἀνθρώπου τοῦτον Mt 3.17
ἐκάλεσεν, ἵνα παύσῃ τοὺς δογ | ματίζοντας ἄνωθεν ἐπαγαγέσθαι τὴν σάρκα. Διὸ καὶ αὐτὸς ἐν τοῖς Εὐαγγελίοις πολλαχοῦ τοῦτο ἑαυτὸν ὀνομάζει, δηλῶν, ὡς ἐκ τῶν παρθενικῶν καὶ ἀχράντων αἱμάτων ἐπήξατο ναὸν ἑαυτῷ. Υἱὸς δὲ ἀνθρώπου, καὶ Prv 9.1
ὁ ἐκ γυναικός· καὶ ἡ γυνὴ γὰρ, ἄνθρωπος· Ἐπισκέπτῃ δὲ αὐτὸν, ὅτι *Προωρώμην*, φησὶ, *τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν.* Ps 15.8

Ἠλάττωσας δὲ αὐτὸν βραχύ τι παρ' ἀγγέλους, διὰ τὸ πεινᾶν καὶ διψᾶν, καὶ τοῖς ἀδιαβλήτοις τοῦ σώματος ὑποκεῖσθαι πάθεσιν. Ἐστεφάνωσας δὲ αὐτὸν, τουτέστιν, ἐκόσμησας, *δόξῃ* μὲν, τῇ θεότητι, *τιμῇ* δὲ, τῇ παρὰ τῶν ἀγγέλων· πολλαχοῦ δὲ ἐδορυφόρουν αὐτῷ. Ἢ καὶ ἀμφότερα παρὰ τῶν ἀνθρώπων· Θεόν τε γὰρ οἱ πιστεύοντες ἔλεγον, καὶ πανευλαβῶς ἐτίμων. Πάντα δὲ αὐτῷ ὑπέταξας, ὡς νέῳ Ἀδὰμ, τὸ κατ' εἰκόνα φυλάξαντι.

Κατὰ δὲ τὸν τῆς ἀναγωγῆς λόγον, *πρόβατα* μὲν, οἱ ἐξ ἐθνῶν πεπιστευκότες, οὓς ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς πεπλανημένους εὑρὼν, εἰς τὴν ἑαυτοῦ συνήγαγε μάνδραν· *βόες* δὲ, οἱ Ἰουδαῖοι, τὸν βαρὺν ἕλκοντες τοῦ παλαιοῦ νόμου ζυγόν·

7β[6] ἡμέρων M : ἡμερωτέρων P. 7β[2] ἐπαγαγέσθαι M : συνεπαγαγέσθαι P.

κτήνη δὲ τοῦ πεδίου, οἱ μήτε τὸν Μωυσέως νόμον δεξάμενοι, μήτε τὸν τῆς χάριτος, ἀλλ᾽ εἰδωλολατροῦντες, καὶ ἐν τῇ πεδιάδι καὶ χθαμαλότητι τῶν ἡδονῶν τοῦ βίου βαδίζοντες, τῷ μὴ δύνασθαι ἀναθέειν εἰς ὕψος θεωρίας. Καὶ πετεινὰ μὲν οὐρανοῦ, οἱ ἄγγελοι· ἰχθύες δὲ θαλάσσης, οἱ δαίμονες, τοῖς κύμασιν ἐνσκιρτῶντες τοῦ βίου καὶ ἀποζῶντες τῇ ἅλμῃ τῶν πονηρῶν ἡμῶν πράξεων· πάντες γὰρ ὕστερον ὑποταγήσονται τῷ Χριστῷ, ὅτι αὐτῷ *πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων*. Php 2.10

Οὐκ ἄκαιρον δὲ καὶ γλαφυράν τινα παραθεῖναι ἐξήγησιν· ὅτι τὸ, ἠλάττωσας, οὐ πρὸς τοὺς ἀγγέλους λέγεται, ἀλλὰ πρὸς τὴν δόξαν τοῦ Πατρός. Οὕτω γὰρ ἀναγνωστέον· Ἠλάττωσας αὐτὸν βραχύ τι, τοῦ σοῦ δηλαδὴ ἀξιώματος, διὰ τὴν τῆς σαρκὸς φύσιν· εἶτα τὸ ἑξῆς, παρ᾽ ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, ἤγουν ἐπὶ πλεῖον. Οὐδεὶς γὰρ ἀγγέλων ἢ τὸ θεῖον ἔλαβεν ὄνομα ἢ δορυφορίας τοιαύτης ἔτυχεν.

Εἰπάτωσαν δὲ Ἰουδαῖοι, πότε παῖδες θηλάζοντες ᾔνεσαν; Ποῖον δὲ ἐχθρὸν ὁ τούτων αἶνος κατέλυσε; Πῶς δέ φησι Δαυὶδ, Ὄψομαι τοὺς οὐρανοὺς, ἔργα τῶν δακτύλων σου; διδάξαντος Μωυσέως περὶ τούτων, *Ἐν ἀρχῇ γὰρ, φησὶν, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν*. Gen 1.1

10 Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Ἐπεὶ ὁ ψαλμὸς οὗτος τὸ κατὰ Χριστὸν προλέγει μυστήριον — ὁ δὲ Χριστὸς ἐξ οὐρανοῦ καταβέβηκε, καὶ αὖθις πρὸς αὐτὸν ἀναβέβηκεν, ὥσπερ ἐν κύκλου Jn 3.13
σχήματι πρὸς τὴν Πατρικὴν δόξαν ἀποκαταστὰς — διὰ ταῦτα καὶ ὁ ψαλμὸς κυκλικῶς ὅθεν ἤρξατο, εἰς τοῦτο κατέληξε· καὶ ἀρχόμενος γὰρ καὶ λήγων, οὐκ ἀπέστη τοῦ θαύματος.

9 θʹ

1 Εἰς τὸ τέλος· ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ· ψαλμὸς τῷ Δαυίδ.

Περὶ τοῦ, εἰς τὸ τέλος, ἐν τοῖς προλαβοῦσιν εἴρηται. Καὶ ἄλλως δὲ, τέλος τῆς κατὰ τὴν ἐνανθρώπησιν τοῦ Υἱοῦ πολιτείας, ὁ διὰ σταυροῦ θάνατος, ἐπεὶ δὲ καὶ κρύφια ἐνταῦθα, τὸν τοῦ Υἱοῦ ὀνομάζει θάνατον, ὡς τὸ Ἑβραϊκὸν ἀναπτύσσει. Μυστήριον γὰρ κεκρυμμένον ἀπ᾽ αἰῶνος τοῦτο, καὶ ἀγγέλοις ἄγνωστον. Λέγει γὰρ ὁ Παῦλος, ὅτι ἀποκεκρυμμένον ἦν | τοῖς ἄρχουσι τοῦ αἰῶνος τούτου· *Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν*. Εἰς τὸν δεσποτικὸν οὖν 1Cor 2.8
θάνατον ὁ παρὼν τείνει ψαλμὸς, δι᾽ οὗ πᾶσα κατελύθη τοῦ ἐχθροῦ ἡ δύναμις.

Μακρὸς δὲ οὗτος ὁ ψαλμός· καὶ τοῦτο τῆς σοφίας τοῦ Πνεύματος. Οὔτε γὰρ πάντας βραχεῖς ἐποίησεν, οὔτε πάντας ἐξέτεινεν, ἀλλ᾽ ἐποίκιλε τὴν βίβλον, τῷ μήκει μὲν τὴν ῥαθυμίαν διεγεῖρον, τῇ δὲ βραχύτητι διαναπαῦον τὸν κάματον.

Ποιεῖται δὲ τὸν λόγον ὁ προφήτης, ὡς καὶ αὐτὸς ἐντεῦθεν εὐεργετούμενος, ἢ καὶ προσώπῳ τῶν εὐεργετουμένων καὶ τῆς τοῦ ἐχθροῦ τυραννίδος ἀπαλλαττομένων.

[9][13] ἔτυχεν M : τετύχηκεν P. [9][14-17] M : P in marg..

Τοῦτο δὲ χρὴ καθόλου γινώσκειν, ὡς τῆς θείας Γραφῆς τὰ μὲν καθ' ἱστορίαν μόνον ἑρμηνεύεται, καθάπερ τὸ, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Τὰ δὲ κατὰ ἀναγωγὴν μόνον, ὡς τὸ, Ἡ πηγή σου τοῦ ὕδατος, σοὶ ἔστω μόνῳ· εἰ γὰρ μὴ ζητήσεις ἐνταῦθα τὸ νόημα, πολλῆς ἀπανθρωπίας τὸ κελεύειν, μηδὲ ὕδατός τινι κοινωνεῖν· δῆλον οὖν ὅτι περὶ τῆς ἐννόμου γυναικὸς ὁ λόγος ἐστὶν, ὡς ἡδείας μὲν διὰ τὴν φύσιν, καθαρᾶς δὲ, διὰ τὸ ἀνεπίμικτον. Τὰ δὲ, καὶ καθ' ἱστορίαν καὶ κατὰ ἀναγωγὴν, ὡς τὰ περὶ τοῦ χαλκοῦ ὄφεως ὃν ὕψωσε Μωυσῆς· ἐγένετο γὰρ καὶ εἰς τύπον Χριστοῦ λαμβάνεται. Διὰ τοῦτο κἀν τοῖς ψαλμοῖς, πολλὰ τῶν ῥητῶν τοιαῦτα, καὶ οὐ πάντα καθ' ἓν μόνον εἶδος διερμηνεύεται. Gen 1.1 Prv 5.18 Nu 21.8 Jn 3.14

2α Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.

Διπλὴν, ὡς ἔφην, ἡ ἐξομολόγησις ἔχει σημασίαν, ἀνακάλυψίν τε τῶν ἡμαρτημένων καὶ εὐχαριστίαν εὐεργεσίας. Εὐχαριστήσω σοι, φησὶν, οὐχ ἁπλῶς, ἀλλ' ἐξ ὅλης καρδίας ὑπὲρ ὧν πέπονθα καὶ εἰσέτι πείσομαι. § 63

2β Διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Θαυμάσια λέγει, τὰς εὐεργεσίας, τὰ κατὰ τοῦ ἐχθροῦ τρόπαια.

3α Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί.

Ἅτε πεῖραν λαβὼν τῆς σῆς ἀντιλήψεως καὶ δυνάμεως. Ἐμνήσθην γὰρ τοῦ Θεοῦ καὶ ηὐφράνθην, ὅτι καὶ μόνος οὗτός ἐστι παράκλησις, ὡς καὶ μόνος σῴζειν δυνάμενος· ἐπίτασις δὲ τῆς εὐφροσύνης, ἡ ἀγαλλίασις, ὡς καὶ τὴν καρδίαν ὑπὸ τῆς ἄγαν ἅλλεσθαι χαρᾶς. Ps 76.4

3β Ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε.

Ἔθος ἦν τοῖς ἐρωτικῶς περί τινα διακειμένοις, ᾄσματα ποιεῖν εἰς αὐτὸν, καὶ ψυχαγωγεῖν ἐντεῦθεν τὸν πόθον. Ἀπὸ μεταφορᾶς οὖν τοῦ τοιούτου, διὰ τοῦ, ψαλῶ, τὸν ἐπιτεταμένον εἰς Θεὸν ἔρωτα παρέστησεν· ἐμφαίνει δὲ καὶ ῥυθμὸν ἐναρμόνιον τὸ, ψαλῶ. Ἄισομαι τοίνυν, φησὶν, οὐ τῇ φύσει σου, καὶ γὰρ ἀνεννόητος, ἀλλὰ τῷ ὀνόματί σου, πλέκων ἔπαινον αὐτῷ κατάλληλον.

4 Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.

Ἄρχεται καταλέγειν τὰ εἴδη τῆς εὐεργεσίας, ὑπὲρ ὧν ἡ ἐξομολόγησις.

Ἐτόλμησε γὰρ ὁ τύραννός ποτε καὶ κατὰ τοῦ Σωτῆρος, καὶ ὡς ἀνθρώπῳ ψιλῷ προσέβαλεν· ἐπεὶ δὲ τὸ, Ὕπαγε ὀπίσω μου, Σατανᾶ, ἤκουσεν, ᾔσθετο δυνάμεως Mt 4.10

3α Add. M in marg.: Ἐπίτασίς ἐστιν ἐνταῦθα· ἐν ἄλλοις δὲ ψαλμοῖς εὑρήσεις τὴν εὐφροσύνην νοηθεῖσαν μείζονα τῆς ἀγαλλιάσεως· Ἐξήγαγε γὰρ, φησὶν, τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ [Ps. 104.43], καὶ τὴν μὲν ἀγαλλίασιν ἐπὶ σώματος, τὴν δὲ εὐφροσύνην ἐπὶ ψυχῆς. [Cf. Ps. 13.7β]

ἀμάχου, καὶ μετ᾽ αἰσχύνης ὑπεχώρησεν. Ἀποστραφέντος δὲ καὶ τραπέντος αὐτοῦ, καὶ αἱ ὑπ᾽ αὐτὸν δυνάμεις ἠσθένησαν καὶ ἀπώλοντο, οἷόν τινα ψυχὴν ἀφῃρημέναι τὴν τυραννίδα.

Τοῦ Ἰησοῦ γὰρ ἀναμαρτήτου μέχρι θανάτου μείναντος, καὶ τὸν διάβολον καθελόντος ἐντεῦθεν, καὶ ἀμφιέσαντος ἡμᾶς ὅπλα σωτηρίας, τὸ θεῖον βάπτισμα, καὶ τὴν μελέτην καὶ φυλακὴν | τῶν θείων λογίων, καὶ τὴν ἑαυτοῦ πολιτείαν ἀπολιπόντος ἡμῖν ὁδὸν εἰς οὐρανὸν ἀνάγουσαν, κατηργήθησαν παντάπασιν οἱ δαίμονες, καὶ οὐδεμίαν δύναμιν ἔχουσι καθ᾽ ἡμῶν, εἰ μὴ διὰ ῥαθυμίας ἡμεῖς ἑκόντες αὐτοὺς ἐπισπασόμεθα, τῶν ἐντολῶν ἀμελήσαντες.

Ἀπὸ προσώπου σου δὲ, τουτέστιν, ἀπὸ τοῦ φόβου σου· φοβερὸν γὰρ ἐν πολέμοις τῶν ἀριστέων τὸ πρόσωπον.

5α Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου.

Ἔκρινάς με γὰρ, τὸν εἰς σὲ πεπιστευκότα, καταδυναστευόμενον ὑπὸ τοῦ διαβόλου πρότερον καὶ πικρῶς τυραννούμενον ἐξ ἀγνοίας· καὶ ἰδὼν ὅτι φθονερῶς ὁ πονηρὸς τὸ σὸν πλάσμα κατεδουλώσατο, ἐδικαίωσάς με, τῶν ἐκείνου χειρῶν ὑπεξαγαγὼν καὶ τῆς πλάνης ἐλευθερώσας. Δίκην γὰρ ἐνταῦθα, τὴν δικαίωσιν ἐκάλεσεν.

5β Ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην.

Τοῦτο, διὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ Σωτῆρος. Πληρώσας γὰρ τὴν ἔνσαρκον οἰκονομίαν, εἰς τὸν θρόνον ἀποκατέστη, τὸν δικαστικὸν, ἤτοι τὴν ἐξουσίαν τῆς θεότητος, ὃν μὴ λιπὼν, ἀῤῥήτως πρὸς ἡμᾶς ἐπεδήμησεν. Ἀναληφθεὶς
γὰρ καὶ καθίσας ἐν δεξιᾷ τοῦ Πατρὸς, ὡς λαβὼν πᾶσαν ἐξουσίαν ἐν οὐρανῷ καὶ Eph 1.20
ἐπὶ γῆς, ἐβοήθησε τῷ ἰδίῳ πλάσματι, ὑπὲρ οὗ καὶ τὴν ἄχραντον ἔθηκε ψυχήν. Mt 28.18

Θεοπρεπῶς δὲ ταῦτα νοητέον· καθίδρυσις γὰρ εἰς θρόνον, ἐπὶ τοῦ Λόγου καὶ Θεοῦ, ὑποληφθείη ἂν, ἡ δικαστικὴ ἐξουσία, ἣν καὶ πρώην ἔχων, ὅμως ἀπέκρυπτε
διὰ τὴν οἰκονομίαν, ἵνα πᾶσα πληρωθῇ. Γέγονας οὖν ἐν ἐξουσίᾳ δικαστικῇ, καὶ Mt 3.15
σχῆμα δικάζοντος ἀνέλαβες, ὁ μόνος δίκαιος κριτὴς, καὶ ὑπὸ μηδεμιᾶς ἀγνοίας ἢ διαθέσεως ἐμποδιζόμενος εἰς εὐθύτητα.

6α Ἐπετίμησας ἔθνεσιν, καὶ ἀπώλετο ὁ ἀσεβής.

Ὠνείδισας, φησὶ, τοῖς ἔθνεσι τὴν πλάνην, καὶ ἔφυγεν ἀπ᾽ αὐτῶν ὁ Σατανᾶς, οὐκ ἐνεγκὼν τὴν ἀλήθειαν. Οἱ γὰρ ἀπόστολοι καὶ πικρότερον ἔστιν οὗ καθήπ-
τοντο τῶν ἐθνῶν, ὡς ὁ Παῦλος· Ὦ ἀνόητοι Γαλάται, φησίν. Αἰσθανόμενοι γὰρ, Gal 3.1
ἀπηλλάττοντο τῆς εἰδωλομανίας· ταύτης δὲ ἀπολωλυίας, καὶ ὁ προστάτης αὐτῆς συνηφανίζετο διάβολος. Τοσοῦτον ἡ ἐπιτίμησις μόνον ἴσχυσε.

6β Τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τὴν τοῦ Θεοῦ τιμὴν ἁρπάσασι τοῖς δαίμοσι καὶ ὀνόματα ἐπέθηκαν οἱ καταδουλωθέντες αὐτοῖς, ὡς ἡ φλύαρος Ἡσιόδου Θεογονία παρίστησι· καὶ ἵνα τἄλλα παρῶ, τέως γοῦν Δία καὶ Ἄρεα καὶ Ἀπόλλωνα καὶ Ἑρμῆν καὶ Ἄρτεμιν καὶ Ἀφροδίτην, καὶ τοιοῦτον ἄλλον ἑσμὸν, ἅπερ ὀνόματα μετὰ τὸ κατασπαρῆναι τὸν τῆς εὐσεβείας λόγον ἐξηλίφησαν, οὐ μόνον δι᾿ ὅλου τοῦ παρόντος αἰῶνος, ἀλλὰ καὶ πολλῷ μάλιστα τοῦ μέλλοντος.

Τοῦτον γὰρ αἰῶνα αἰῶνος οἰητέον, ὡς κυρίως αἰῶνα, διὰ τὸ εἶναι ἀεί. Σύνηθες *δὲ τῇ θείᾳ* Γραφῇ *τὰ τιμιώτερα δηλοῦν διὰ τοῦ τοιοῦδε σχήματος, οἷον,* Ἅγια *ἁγίων,* Ἄισματα *ᾀσμάτων,* Σάββατα *σαββάτων, καὶ τὰ τοιαῦτα. Ἢ τὸ, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἐπίτασις, ἀντὶ τοῦ, μέχρι παντός· ἠγνοήθησαν γὰρ τοῦ λοιποῦ παντάπασιν αἱ δαιμόνων τελεταὶ, σβεσθέντων αὐτοῖς καὶ τῶν ὀνομάτων.*

7α Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες.

Ῥομφαίας αὐτοῦ νοητέον, τὰ πάθη τῆς ἀτιμίας, δι᾿ ὧν ἡ ψυχὴ πληττομένη, νεκρὰ πρὸς ἀρετὴν ἐνετέθαπτο τῷ σώματι, | ὥσπερ σήματι.

Καθῃροῦντο δ᾿ αἱ πόλεις, καταλυομένης τῆς ἀσεβείας αὐτῶν καὶ τῆς εὐσεβείας ἀντοικοδομουμένης. Ἢ καὶ πόλεις ὑποληπτέον, τοὺς ἀνθρώπους, οἷς οἱ δαίμονες ἐνανεπαύοντο. Οὐκ ἄκαιρον δὲ πόλεις εἰπεῖν, καὶ τοὺς ἐναγεῖς ναοὺς τῶν εἰδώλων.

7β Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ᾿ ἤχου.

Οὐδεὶς γὰρ αὐτῷ θυσίαν προσφέρειν οἶδεν ἢ ὅλως ἐπικαλεῖσθαι. Τὸ δὲ, *μετ᾿ ἤχου, ἀντὶ τοῦ, μετὰ βοῆς·* βοῶντα γὰρ ἔφευγον τὰ δαιμόνια· ἢ καὶ *μετ᾿ ἤχου, ἀντὶ τοῦ, ὤλετο μετὰ τῆς ἀλαζονείας ἐκείνης ἢ καὶ τῆς κραυγῆς τῶν ἐπιβωμίων ᾀσμάτων.*

Ἑνικῶς δὲ καθάπτεται τοῦ δαίμονος, ἀσεβῆ τοῦτον καὶ ἐχθρὸν ὀνομάζων, τὸν πρωτοστάτην τῶν ἐναντίων δυνάμεων μᾶλλον ὑβρίζων, ὡς καὶ τοῖς ἄλλοις αἴτιον ἀποστασίας γενόμενον· δι᾿ αὐτοῦ δὲ καὶ τούτων οὐχ ἥκιστα κατατρέχει.

8α Καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει.

Θεὸς τοῖς *ἔθνεσιν εἶναι πιστευόμενος ἄχρι συντελείας· τὸ ἀμετάθετον γὰρ τῆς εὐσεβείας τῶν δεξαμένων αὐτὴν ὁ λόγος διδάσκει.*

8β Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ.

Περὶ τῆς κατὰ τὸν παρόντα βίον ὑπὲρ ἡμῶν κρίσεως τοῦ δαίμονος μικρὸν Ps 9.5α
ἄνωθεν εἰπὼν, νῦν καὶ τὴν μέλλουσαν αἰνίττεται, τὴν καθόλου καὶ τελευταίαν Ps 61.13
καὶ φοβερὰν, ὅταν ἑκάστῳ ἀποδίδωσι κατὰ τὰ ἔργα αὐτοῦ. Ro 2.6

Τὸ δὲ, *ἡτοίμασεν, ἀνθρωπίνως εἴρηται.*

[6][11] δαιμόνων M : δαιμονιώδεις P. 8α[2] Θεός MPSC : Θεόν B.

9 Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι.

Οἰκουμένην μὲν λέγει, τοὺς πιστοὺς, παρ᾽ οἷς οἰκεῖν πιστεύεται διὰ τῶν ἁπανταχοῦ ναῶν· λαοὺς δὲ, τοὺς ἄλλους ἀνθρώπους, παρ᾽ οἷς λόχμαι δασεῖαι τῶν παθῶν, οἷς, οἷα θῆρες, οἱ δαίμονες ἐμφωλεύουσιν· ἄλλως γὰρ ἐκείνους, καὶ ἄλλως τούτους κρινεῖ, δυνατοὺς δυνατῶς ἐτάζων, καὶ πρὸς τὴν πίστιν καὶ τὴν ἀπιστίαν αὐτῶν.

Ἢ καὶ τὸ, λαοὺς, ἐπαγαγὼν, τὸ τῆς οἰκουμένης ἐσαφήνισε νόημα, ἀπὸ τοῦ περιέχοντος, τοὺς περιεχομένους ὑποδηλώσας.

Τῇ κρίσει δὲ τὴν δικαιοσύνην καὶ τὴν εὐθύτητα παραπλέξας, κηρύττει τὸ τοῦ κρίνοντος ἀπαρέγκλιτον.

10α Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι.

Πένης εἰς εὐσέβειαν καὶ ἀρετὴν, ὁ ἐξ ἐθνῶν λαὸς, ᾧ πεπιστευκότι καταφυγὴ γέγονεν ὁ Θεός· ὁ γὰρ ἐν χρήμασι πλοῦτος, ἄπιστος καὶ ἀβέβαιος.

Ἢ καὶ τοῦτο βούλεται δηλοῦν, ὡς οὐκ ἔστι παρὰ τῷ Θεῷ προσωποληψία· καὶ Ro 2.11
τὸν πτωχὸν γὰρ καταφεύγοντα δέχεται καὶ οὐκ ἀποστρέφεται.

10β Βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν.

Καταφεύγοντι βοηθεῖ, καὶ ἐν εὐκαιρίαις, τουτέστιν, εὐημερίαις, καὶ ἐν θλίψεσι· καθ᾽ ἑαυτὸ γὰρ ἕκαστον ἀπολύτως ἀναγνωστέον. Οὐ μόνον γὰρ οἱ ἐν συμφοραῖς, ἀλλὰ καὶ οἱ ἐν εὐπραγίαις, βοηθοῦ μάλιστα χρῄζουσιν, ἵνα βεβαίαν τὴν εὐδαιμονίαν φυλάξωσι, καὶ μὴ ἐκπέσωσιν εἰς ῥαθυμίαν, τὴν μητέρα τῶν συμφορῶν.

Τινὲς δὲ τὸ, ἐν εὐκαιρίαις, ἐπικαίρως εἰρήκασιν, ἑρμηνεύοντες, ὅτι ἐγένετο Κύριος βοηθὸς ἐν θλίψεσιν ἐπικαίρως, ἤγουν εἰς καιρὸν δεόμενον βοηθείας.

11 Καὶ ἐλπισάτωσαν ἐπὶ σοὶ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε.

Καὶ λοιπὸν ἐλπιοῦσιν ἐπὶ σοὶ, ὡς μόνῳ δυναμένῳ σῴζειν, οἱ γινώσκοντες τὸ ὄνομά σου, τουτέστι, σὲ, κατὰ περίφρασιν, ἤγουν οἱ πιστεύοντες εἰς σέ· τινὲς γὰρ ἀπὸ τοῦ Ἑβραϊκοῦ τὸ, ἐλπισάτωσαν, ἀντὶ τοῦ, ἐλπιοῦσι, μεθηρμηνεύκασιν.

Ἢ καὶ προστακτικὸς ὁ λόγος, | οἷα καὶ διδασκαλικὸς, περὶ ὧν βεβαίως οἶδεν ἐντελλόμενος.

Καὶ ἄλλως δὲ, καλῶς εἶπε τὸ ὄνομά σου· τὴν γὰρ αὐτοῦ φύσιν οὐδεὶς ἐγνώρισε.

Προσέθηκε δὲ καὶ τὴν αἰτίαν τῆς ἐλπίδος, ἐπαγαγὼν, ὅτι *Οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε*. Ὅρα δὲ πῶς οὐκ εἶπε, ζητοῦντας, ἀλλ᾽ ἐκζητοῦντας, τὴν ἐξ ὅλης ψυχῆς ζήτησιν διὰ τῆς προθέσεως παραστήσας.

12α Ψάλατε τῷ Κυρίῳ, τῷ κατοικοῦντι ἐν Σιών.

9[6] ἐσαφήνισε νόημα M : ἐσαφήνισεν ὄνομα P. 11[6] καὶ διδασκαλικός P : διδασκαλικός M.

Τοιούτῳ δὲ, φησὶν, ὄντι τῷ Κυρίῳ, οἷον ἄνω μικρὸν ἐδήλωσα, ψάλατε.

Τῷ κατοικοῦντι δὲ εἶπεν, οὐχ ὅτι περικλείεται τόπῳ Θεὸς, ἀλλὰ διὰ τοῦ εἰπεῖν οὕτως, τὴν πρὸς τὸν τόπον ἐνέφηνεν οἰκειότητα· ἐνοικεῖ γὰρ καὶ τοῖς πιστοῖς, οὐχ ὡς περιεχόμενος, ἀλλ' ὡς οἰκείως πρὸς αὐτοὺς διακείμενος· ἤγουν τοὺς τηνικαῦτα Ἑβραίους ψάλλειν προτρέπεται, ἢ καὶ τοὺς ἐξ ἐθνῶν· αὐτὸς γὰρ ἔσται τούτων Θεὸς, ὁ ἐν Σιὼν χρηματίζων καὶ τοῖς ἀξίοις διαλεγόμενος. Ἢ καὶ Σιὼν, τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ὑποληπτέον, ἣν ὕστερον ᾠκειώσατο.

12β Ἀναγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἐπιτηδεύματα αὐτοῦ.

Τοῦτο, πρὸς τοὺς ἀποστόλους, οἳ πορευθέντες, ἐμαθήτευσαν πάντα τὰ ἔθνη. Mt 28.19

Ἀντὶ δὲ τοῦ, τὰ ἐπιτηδεύματα, ὁ μὲν Σύμμαχος, μηχανὰς εἴρηκεν, ὁ δὲ Ἀκύλας, ἐναλλαγάς· ὡς μὲν οὖν πράξεις, ἐπιτηδεύματα, ὡς δὲ σοφαὶ, μηχαναὶ, ὡς δ' ἀντ' ἄλλων, ἐναλλαγαί. Οἵτε γὰρ πόῤῥω γεγόνασιν ἐγγὺς, καὶ οἱ ἐν τῷ σκότῳ τῆς πλάνης, ἐν τῷ φωτὶ τῆς ἀληθείας, καὶ οἱ ἐν λήθῃ, ἐν μνήμῃ, καὶ οἱ ἀπεῤῥιμμένοι, προσειλημμένοι, καὶ ὁ Θεὸς, ἄνθρωπος, καὶ ὁ ἄνθρωπος, Θεός.

13α Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη.

Ταῦτα δ' ᾠκονόμησεν, ἐπειδὴ ἐμνήσθη αὐτῶν, ἐπιλελησμένων πρὶν διὰ τὴν ἀποστασίαν, ὁ μὴ παρορῶν τὰ εἰς θυσίαν ἐκχεόμενα αἵματα αὐτῶν — *ἔθυσαν γὰρ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις* — ἀλλ' ἐκζητῶν ταῦτα Ps 105.37
ἐκ τῶν χειρῶν τῶν ἐκχεόντων ἃ οὐκ ἐνέβαλον αἵματα.

Ἢ καὶ τὴν ἐκδίκησιν διδάσκει τῶν ἀλληλοφονιῶν, ἃς ὑπὸ τῶν δαιμόνων κελευόμενοι διεπράττοντο, ὡς εἶναι δῆλον, ὅτι πᾶς φονεὺς δίκας εἰσπραχθήσεται· φησὶ γὰρ ἐν τῇ βίβλῳ τῆς Γενέσεως, *Τὸ αἷμα ὑμῶν ἐκζητήσω.* Gen 9.5

13β Οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων.

Τυραννουμένη γὰρ ἡ φύσις τῶν ἀνθρώπων ὑπὸ τῶν ἀοράτων ἐχθρῶν, ἐδόκει βοᾶν πρὸς τὸν πλάστην, γενομένης αὐτῇ κραυγῆς τῆς τοσαύτης ταλαιπωρίας.

Ἢ καὶ τοῦτο βούλεται λέγειν, ὡς οἱ προφῆται πάλαι τὸ τῆς θείας ἐνανθρωπήσεως μυστήριον κατιδόντες, ἔκραζον, καλοῦντες τὸν σαρκωθησόμενον εἰς ἀντίληψιν, ὧν καὶ ἄλλως πενήτων ὄντων διὰ τὴν λιτότητα, τῆς κραυγῆς οὐκ ἐπελάθετο.

14α Ἐλέησόν με, Κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου.

Καὶ τοῦτο προσώπῳ Χριστιανοῦ παντός. Ἴδε, φησὶ, τὴν ἐκ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν γεγενημένην μοι ταπείνωσιν· ἐσπούδαζον γὰρ ἐξᾶραι ἅπαν τὸ τῶν Χριστιανῶν γένος.

13α[3] ἀποστασίαν MSCB : ἀπιστίαν PHV. 13α[7] δίκας PHV : δίκην MSCB. 14α[2] ὁρατῶν MSCB : δυσσεβῶν, ἤτοι τῶν ὁρατῶν PHV.

14β Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου.

Πύλας τοῦ θανάτου, τὰς πολυειδεῖς λέγει τιμωρίας τῶν μαρτύρων, ὧν ἀνώτεροι καὶ ἐνδοξότεροι ἐγίνοντο παρὰ τοῦ Σωτῆρος· διὰ γὰρ τῶν αἰκιῶν εἰσάγεταί τις εἰς θάνατον.

Δύναται δὲ καὶ περὶ τοῦ Δαυὶδ ταῦτα νοεῖσθαι, πολλάκις μὲν ὑπὸ πολεμίων ταπεινωθέντος, ῥυσθέντος δὲ παραδόξως ἐκ θανάτου καὶ ἐπισημοτέρου γεγονότος διὰ τὴν παρὰ Θεοῦ ῥοπήν.

15α Ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις | τῆς θυγατρὸς Σιών.

Τοῦτο, αἰτία, εἴτε τοῦ ζητεῖν ἐλεηθῆναι, εἴτε τοῦ ῥυσθῆναι τοῦ θανάτου· Ἵνα, φησὶν, ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου, τὴν τῆς δημιουργίας, τὴν τῆς προνοίας, τὴν τῆς σοφίας, τὴν τῆς δικαιοσύνης, τὴν τῆς ἐνανθρωπήσεως· ὑπὲρ ἑκάστης γὰρ τούτων ἄξιος τυγχάνεις αἰνεῖσθαι.

Σιὼν μὲν οὖν ἐνταῦθα, τὴν ἐν οὐρανοῖς Ἐκκλησίαν τῶν ἁγίων ὀνομάζει· πύλας δὲ αὐτῆς, τὰς κατὰ τόπον Ἐκκλησίας, δι' ὧν τις ἐπὶ ταύτην βαδίζων ἄνεισι. Ταῖς γὰρ Ἐκκλησίαις ἐπιδημοῦντες οἱ διὰ Χριστὸν πάσχοντες, ἀνήγγελον τὰ θεῖα τεράστια, στηρίζοντες τοὺς πιστούς. Καὶ ὁ Δαυὶδ δὲ, διὰ τῆς βίβλου τῶν ψαλμῶν, κατὰ πᾶσαν Ἐκκλησίαν ἐξαγγέλλει τὰς αἰνέσεις τοῦ Θεοῦ.

Θυγατέρα δὲ, τὴν ἄνω Σιὼν ἐκάλεσεν, ὡς ἠγαπημένην καὶ συστᾶσαν ὑπὸ Θεοῦ.

15β Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου.

Σωτήριον καλεῖ, τὴν ἐνανθρώπησιν καὶ τὸν τοῦ Σωτῆρος θάνατον, ὡς αἴτια σωτηρίας τῶν ἀνθρώπων γεγενημένα, καθὰ καὶ Συμεὼν ὕστερον, Εἶδον, ἔφησεν, *οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου.* Lk 2.30

16α Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν.

Ἔθνη, τοὺς Ἰουδαίους ἐνταῦθα νοητέον, ὡς τοῖς ἀνόμοις ἔθνεσι τὴν κακίαν καὶ τὸν φθόνον ὁμοιωθέντας· διαφθορὰν δὲ ἁπλῶς, τὸν ὄλεθρον· σπουδάσαντες γὰρ θανατῶσαι τὸν ἀρχηγὸν τῆς ζωῆς, αὐτοὶ πανωλεθρίᾳ διεφθάρησαν ὑπὸ τῶν Ac 3.15
Ῥωμαίων, καὶ θάνατον ἐκείνῳ κατασκευάσαντες, θανάτῳ συνεσχέθησαν ἄρδην.

Ἢ καὶ περὶ τῶν πολεμούντων τοῖς Χριστιανοῖς ὁ λόγος· ἐπειγόμενοι γὰρ ἀφανίσαι τούτους, αὐτοὶ μᾶλλον ἠφανίσθησαν.

Οὐκ ἄκαιρον δὲ τοῦτο καὶ περὶ τῶν δαιμόνων ὑπολαβεῖν, οἷον σκεψάμενοι διὰ θανάτου τὴν τοῦ Χριστοῦ δύναμιν ἐπισχεῖν, αὐτοὶ διὰ τοῦ τοιούτου θανάτου τὴν ἑαυτῶν δύναμιν ἐπεσχέθησαν.

16β Ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ ποὺς αὐτῶν.

14β[3] ἐγίνοντο MV : ἐγένοντο P. 15α[8] ἀνήγγελον M : ἀνήγγελλον P : ἀνήγγειλον V. 16α[2] τὴν κακίαν MSCB : κατὰ τὴν κακίαν PHV. 16α[3] τὸν ὄλεθρον MSCB : τὸν θάνατον PHV. 16α[3] οἷον M : οἳ PV.

Τὸ αὐτὸ πάλιν εἶπε, δι᾽ ἑτέρας εἰκόνος, ἐμπομπεύων τῇ καταστροφῇ τῶν ἐχθρῶν. Παγίδα δὲ λέγει, τὴν μελέτην, τὴν ἐπιβουλήν· πᾶσα δὲ παγὶς ἐν κρυφῇ, καθάπερ καὶ αὕτη· λαθραίως γὰρ ἐπιβουλεύοντες, ὕστερον εἰς φῶς ἐξῆγον τὸν φόνον.

17α Γινώσκεται Κύριος κρίματα ποιῶν.

Κρίματα καλεῖ, τὰς ἐκδικήσεις· ἀποδίδωσι γὰρ ἑκάστῳ πρὸς ἀξίαν.

17β Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.

Καὶ τοῦτο, τοῖς προλαβοῦσιν ὅμοιον· τέθειται δὲ αἰτία τοῦ γινώσκεσθαι κρίματα ποιοῦντα τὸν Κύριον· οὐχ ἥκιστα γὰρ ἀπὸ τούτου φαίνεται δίκαιος κριτής, οἷς παρασκευάζει τοὺς ἐνεδρεύοντας ἄλλοις, τῇ σφῶν ἐνέδρᾳ περιπίπτειν ἐκ περιτροπῆς.

Τὸν δὲ ἁμαρτωλὸν ἑλκύσεις ἐπὶ τοὺς τρεῖς τρόπους τῆς ἀποδοθείσης ἐξηγήσεως τῶν ἐθνῶν, ἢ καὶ ἁπλῶς ἁμαρτωλὸν λέγει, πάντα δόλιον. Ps 9. 16α.

17γ Διάψαλμα.

Περὶ τούτου εἴρηται. § 61

18α Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην.

Ἁμαρτωλοὺς ἐνταῦθα, τοὺς ἀπίστους ὀνομάζει· ᾅδην δὲ, τὴν κόλασιν.

Ἀποστραφήτωσαν δὲ, ἀντὶ τοῦ, ἀπὸ τῆς παρούσης ζωῆς καταχθήτωσαν· ὑπὸ γῆν γὰρ λέγονται τὰ κολαστήρια.

Ἢ καὶ ἐκ γῆς γεγονότες, εἰς αὐτὴν στραφήτωσαν, μηδὲν ὑπὲρ τὰ γήϊνα Gen 3.19
νοῆσαι δυνάμενοι.

Τίνας δὲ λέγει ἁμαρτωλοὺς, διὰ τὴν ἑξῆς ἐδήλωσεν, ἐπενεγκών·

18β Πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ.

Δι᾽ ἑκούσιον ἄγνοιαν.

19α Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός.

Τοῦτο δὲ, φησὶ, πείσονται τὰ τοιαῦτα ἔθνη, ὅτι οὐ μέχρι παντὸς ἐπιλησθήσεται ὁ πιστός. |

Ὁ πτωχὸς μὲν, τὸν ἀπὸ χρημάτων πλοῦτον· πλούσιος δὲ, τὸν ἐξ ἀρετῶν. Ἢ καὶ πτωχὸν λέγει, τὸν ἐξ ἐθνῶν λαὸν, ὡς ἀπολωλεκότα τὸ τῆς ψυχῆς ἀξίωμα, καὶ πτωχεύσαντα τὴν περιουσίαν τῆς εὐσεβείας καὶ ἀρετῆς.

[16β][2] δὲ παγίς MSCB : γὰρ παγίς PHV. 17β[3] τούτου M : τούτων PV.

19β Ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος.

Πένητας ἐνταῦθα, τοὺς ἐξ ἐθνῶν φησιν, ὧν ἡ προσδοκία οὐ μάτην ἔσται μέχρι τέλους. Προσδοκία δὲ τῶν ἐθνῶν, ὁ Χριστός. *Καὶ αὐτὸς*, φησὶν, *ἔσται προσδοκία ἐθνῶν*, πρὸς οὓς καὶ δι᾽ ἑτέρου προφήτου βοᾷ· *Ὑπόμεινόν με εἰς καιρὸν* Gen 49.10
ἀναστάσεώς μου. Zph 3.8

20α Ἀνάστηθι, Κύριε, μὴ κραταιούσθω ἄνθρωπος.

Ἄλλος, μὴ θρασυνέσθω, εἴρηκε· τοῦτο δὲ λέγει, διὰ τὰς κατ᾽ ἀλλήλων ἐπαναστάσεις τῶν ἐθνῶν. Οἱ γὰρ ἄνθρωποι, παρὰ τὸ μὴ ἔχειν ἀληθεῖς διδασκάλους, ἀγνοήσαντες ὅτι γῆ εἰσιν, ὑπὲρ τὴν ἑαυτῶν ἐθρασύνοντο φύσιν, καὶ πάντα τολμῶντες, ἔτι καὶ εἰς θεοὺς ἑαυτοὺς ἀνέγραφον. Ἐπέξελθε οὖν, φησὶ, καὶ κατάστειλον τὸ τοσοῦτον φρύαγμα.

Ἔστι δὲ καὶ γλαφυρώτερον εἰπεῖν, ὅτι πρὸς μὲν τὸ κατ᾽ εἰκόνα, Θεός ἐστιν ὁ ἄνθρωπος, πρὸς δὲ τὰ γεώδη πάθη, ἄνθρωπος. Τούτων οὖν ἐπικρατούντων ἐν ἀνθρώποις, ἀναστῆναι τοῦ θανάτου παρακαλεῖ τὸν Χριστὸν, διδάξοντα διὰ τῶν ἀποστόλων, μὴ κατεπαίρεσθαι τὰ πάθη τῆς ψυχῆς, μηδὲ τὸν χοῦν τοῦ νοός.

Καὶ ἄλλως δέ· μετὰ τὴν ἀνάστασιν, τοῦ κηρύγματος ἁπλωθέντος εἰς τὴν οἰκουμένην, αἱ κατ᾽ ἀλλήλων ἐπαναστάσεις τῶν πόλεων ἐπαύθησαν.

20β Κριθήτωσαν ἔθνη ἐνώπιόν σου.

Ἀντὶ τοῦ, τῆς σῆς ἐπισκοπῆς ἀξιωθήτωσαν· ὁ κρίνων γὰρ ὁρᾷ τὸν κρινόμενον. Κρίσιν δὲ, τὴν κατὰ τοῦ διαβόλου νόησον, περὶ ἧς καὶ διὰ Ἡσαΐου φησὶν ὁ Θεός· *Ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα, ὁ ἐκλεκτός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου, κρίσιν* Isa 42.1
ἔθνεσιν ἐξοίσει. Mt 12.18

21α Κατάστησον, Κύριε, νομοθέτην ἐπ᾽ αὐτούς.

Ἐνταῦθα τὸν Χριστὸν αἰνίττεται, κατὰ τὸ, *Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ*· νέον γὰρ ἔδωκεν νόμον, τὸν τοῦ Εὐαγγελίου. Ps 2.6

21β Γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.

Ὀψέ ποτε μεταμαθέτωσαν, ὡς ἄνθρωποι ζῆν, καὶ μὴ ὡς θηρία.

Ἢ καὶ ἄλλως, διδαχθήτωσαν ὅτι φθαρτοί εἰσι, καὶ οὐχ ὡς ἡ ἀλαζονεία τούτους ἀναπείθει φρονεῖν.

22α Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν;

20α[12] πόλεων MPCBV : πολεμίων SA. 21β[2] μεταμαθέτωσαν MPS : μαθέτωσαν CBV.

Ἐντεῦθεν εἰς τοὺς περὶ προνοίας εἰσβάλλει λόγους, τῶν πονηρῶν μὲν εὐημερούντων, δυσπραγούντων δὲ τῶν ἀγαθῶν, καὶ προσώπῳ τῶν θλιβομένων ποιεῖται τὴν δικαιολογίαν. Διατί, φησὶν, ἀφῆκας τοὺς ἀνθρώπους ὡς ἔτυχε φέρεσθαι; ἐκ μεταφορᾶς τῶν πόῤῥωθεν ἱσταμένων καὶ ἀμελούντων.

22β Ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσιν.

Ὑπερορᾶν ἐστι, τὸ προσποιεῖσθαι μὴ ὁρᾶν, ἀλλὰ τοὺς ὀφθαλμοὺς αἴρειν ὑπὲρ τὸ ὁρώμενον.

Ἵνα τί τοίνυν πᾶσι παρὼν, ἀφεστάναι δοκεῖς διὰ τὴν μακροθυμίαν, καὶ βλέπων ἅπαντα, προσποιῇ μὴ βλέπειν, διὰ τὸ μὴ ἐπαμύνειν τοῖς πράγμασι, καὶ ταῦτα ἐν καιροῖς δεομένοις τῆς σῆς ἐπισκοπῆς, ἤγουν ἐν θλίψεσι τῶν κακῶς πασχόντων; Ταῦτα δὲ λέγει παρακαλῶν, οὐκ ἐγκαλῶν. Εἶπε δ᾽ ἂν ὁ Θεὸς πρὸς ταῦτα τὸ γεγραμμένον, Αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσι μεταξὺ ἐμοῦ καὶ ὑμῶν. Isa 59.2

23α Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός.

Τοῦ ἀσεβοῦς, φησὶν, ἐπαιρομένου, διὰ τὸ εὐοδοῦσθαι πρὸς ἅπαντα, βλέπων ὁ πᾶσι προσκόπτων εὐσεβὴς, πυρπολεῖται τῷ ζήλῳ τῆς εὐδοκιμήσεως, οἷόν τινα καπνὸν | τὸν στεναγμὸν διὰ τοῦ στόματος ἀναπέμπων, ὅτι τοιοῦτος ὢν οὗτος, εὐροεῖ.

Ἢ καὶ τοῦ δαίμονος ἐπαιρομένου κατὰ τοῦ ἀνθρωπίνου γένους, ὁ πτωχὸς τὴν ἀρετὴν φλέγεται πρὸς τὰ πάθη.

23β Συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται.

Καὶ τοῦτο, περὶ τῶν ἀσεβῶν, ὅτι τρόπον τινὰ συνεργοῦνται εἰς ἃ βουλεύονται. Συνεργίαν δὲ νομιστέον, τὴν εὐόδωσιν· ἢ καὶ συνεργοῦνται παρὰ τῶν ὁμοίων.

Παρατηρητέον δὲ, ὅτι ἐπὶ τῶν ἀγαθῶν πολλάκις, καὶ ἐπὶ τῶν πονηρῶν, τοῦτο μὲν πληθυντικῶς, τοῦτο δὲ ἑνικῶς, ἐκφέρει τὸν λόγον· οἵ τε γὰρ ἀγαθοὶ τῷ μὲν ἀριθμῷ πολλοί εἰσι, τῇ δὲ ἀγαθότητι, εἷς· καὶ οἱ κακοὶ δὲ, τῷ μὲν ἀριθμῷ, πολλοὶ, τῇ δὲ πονηρίᾳ, εἷς.

Ἢ καὶ περὶ τῶν εὐσεβῶν ὁ λόγος, ὅτι ἐν οἷς διαλογίζονται περὶ τῆς τῶν ἀσεβῶν εὐημερίας, συλλαμβάνονται, τουτέστι, περιπίπτουσιν ἐκ μικροψυχίας, οὐ καταστοχαζόμενοι τῶν κριμάτων τοῦ Θεοῦ.

24 Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται.

Καὶ τοῦτο παρατηρητέον, ὡς τὸ, ὅτι, παρὰ τοῖς Ἑβραίοις, οὐκ ἀεὶ αἰτιολογικὸν παραλαμβάνεται, ἀλλ᾽ ἔστιν ὅτε καὶ βεβαιωτικὸν, καὶ παρέλκον τίθεται κατά τινα συνήθειαν.

Οὕτως οὖν, φησὶν, ἐκράτησεν ἡ κακία, ὡς τοὺς ἁμαρτάνοντας ἐπαινεῖσθαι μᾶλλον ἐν τοῖς πλημμελήμασιν ὧν ἐπιθυμοῦσιν ὡς ἐμπαθεῖς, καὶ τοὺς ἀδικοῦντας εὐφημεῖσθαι παρὰ τῶν ὁμοίων, ἐν οἷς ἀνοσίως πράττουσι.

25α Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός.

Εἰς ἐκδίκησιν ἠρέθισε, παρ᾽ ἑαυτοῦ ὀξύνας καὶ ταχύνας αὐτὸν, δι᾽ ὧν ἐργάζεται.

25β Κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει.

Οὐκ ἀξίως τῆς ὀργῆς αὐτοῦ ἀπαιτήσει δίκας ὁ Θεός· *Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃ, τίς ὑποστήσεται;* Ὀργὴ δὲ Θεοῦ, ἡ δικαία τιμωρία. Ἐλεήμων, Ps 129.3
φησὶν, ὢν, οὐκ ἐπάγει κόλασιν ἄκρατον.

Ἔστι δὲ καὶ ἑτέρως κατά τινας εἰπεῖν, ὅτι παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλὸς κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ, τουτέστιν, ἀξίως τῆς παρ᾽ αὐτοῦ δήπου τοῦ ἁμαρτωλοῦ ἀναπτομένης τῷ Θεῷ ὀργῆς· ἀναπτομένης δὲ, διὰ τῶν πονηρῶν πράξεων. Εἶτα τὸ, *οὐκ ἐκζητήσει*, κατ᾽ ἐρώτησιν ἀναγνωστέον· ἢ καὶ αὖθις κατὰ ἀπόφασιν, οἷον, οὕτω παροξύνας τὸν Θεὸν, οὐκ ἐκζητήσει αὐτὸν διὰ μετανοίας.

25γ Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ.

Ὡς οἴεται, οὐ βλέπει αὐτὸν οὕτω πράττοντα ὁ Θεός· ἢ οὐ λαμβάνεται πρὸ ὀφθαλμῶν αὐτοῦ, ὡς παρών.

26α Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ.

Μὴ δοκοῦντος δὲ βλέπεσθαι, μιαραὶ γίνονται αἱ πράξεις τοῦ ἁμαρτωλοῦ καὶ μεμολυσμέναι.

26β Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ.

Ἀφαιροῦνται αἱ κρίσεις σου ἀπὸ τοῦ νοὸς αὐτοῦ — νοῦς γὰρ ὁρᾷ — τουτέστιν, ἐκβάλλονται, μὴ ἐνθυμουμένου ταύτας, μηδὲ λογιζομένου, ὅτι κριτὴς εἶ *δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος.* Ps 7.12α

Παρέλκουσα δὲ, ἡ ἀντί πρόθεσις, καὶ καταχρηστικώτερον, ὥσπερ ἐπὶ τῆς ἀνταποδόσεως ἡρμηνεύκαμεν· ἤρκει γὰρ εἰπεῖν, ἀναιρεῖται. Ps 7.4-5

Ἢ καὶ ἄλλως· ἀναίρεσις μὲν τῆς ἁμαρτίας, αἱ τοῦ Θεοῦ κρίσεις, ἃς ὁ ἁμαρτάνων ἐνθυμούμενος παύεται· ἀνταναίρεσις δὲ τούτων αὖθις, ἡ λήθη αὐτῶν.

26γ Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.

Πάντας ἀμυνεῖται τοὺς ἀνθισταμένους αὐτῷ, διὰ τὴν τοῦ Θεοῦ μακροθυμίαν παραχωρούμενος πολλάκις νικᾶν | καὶ ἐν τοῖς πολέμοις.

27α Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, Οὐ μὴ σαλευθῶ.

Παράμονον ἐνόμισε τὴν εὐημερίαν· σαλευθῆναι δὲ, τὸ μετατραπῆναι τῆς δυνάμεως.

27β Ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.

Λείπει τὸ, ἔσομαι ἢ διαβήσομαι· ἐνενόησε γὰρ ὅτι ἀνέπαφος ἔσται κακώσεως ἀπὸ γενεᾶς εἰς γενεὰν, τουτέστι, παρ᾽ ὅλην ζωήν· γενεὰν γὰρ ἐνταῦθα, τὴν ζωὴν οἰητέον, τουτέστιν, ἀπὸ τῆς ἑαυτοῦ ἄχρι τῆς τοῦ μετ᾽ αὐτόν.

28α Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου.

Οὗ τινος αὐτοῦ τὸ στόμα· σύνηθες δὲ τοῦτο τὸ σχῆμα τῇ τῶν Ἑβραίων διαλέκτῳ, καὶ πολλαχοῦ κείμενον, λέγω δὴ τὸ συζευγνύειν τοῖς ἄρθροις τὰς
ἀντωνυμίας, ὡς τὸ, *Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ*, καὶ τὸ, *Μακάριος* Ps 145.5
ἀνὴρ, ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ. Ps 83.6

Πεπλησμένον δέ ἐστιν ἀρᾶς, καταρωμένου πᾶσι, καὶ πικρίας, ὀργίλως φθεγγομένου, καὶ δόλου, μὴ χρωμένου τοῖς λόγοις κατὰ τὴν καρδίαν, ἀλλ᾽ ἕτερα μὲν λέγοντος, ἕτερα δὲ κρύπτοντος.

28β Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος.

Ἐκεῖνα φθέγγεται, ἃ κόπον καὶ πόνον τοῖς ἐπιβουλευομένοις παρέξουσιν.

Ἢ καὶ ἐν τῇ διδασκαλίᾳ αὐτοῦ, κάματος καὶ ὀδύνη, ὧν μεθέξουσιν οἱ αὐτῷ πειθόμενοι, μὴ εὑρίσκοντες ἄνεσιν.

Ἢ καὶ κάμῃ καὶ ὀδυνηθήσεται ἡ γλῶσσα αὐτοῦ, τὰ κατὰ τῶν πολεμουμένων φθεγγομένη. Διὰ δὲ τῆς γλωσσαλγίας ταύτης, τὴν συνέχειαν τῶν λόγων ἐδήλωσεν.

29α Ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων.

Ἐνέδρα ἐστὶ τόπος κρύφιος, ᾧ τις ἐγκαταδυόμενος, ἀφανῶς ἐπιτίθεται τοῖς παριοῦσι. Καταλέγει δὲ ὁ λόγος τὰς πολυειδεῖς κακίας τῶν πονηρῶν ἃς ποιεῖν εἰώθασι, τοὺς δόλους, τὰς ἐπιβουλὰς, τὰς ἁρπαγὰς, τοὺς φόνους, καὶ τὰ τοιαῦτα. Ἐγκατακρύπτεται, φησὶ, τῇ ἐνέδρᾳ μετὰ τῶν πλουσίων τὴν κακίαν, τῶν ἐπιφανεστέρων αὐτῷ· τούτους γὰρ ὡς ὁμοίως ἔχοντας προσεταιρίζεται· εἶτα σαφηνίζων τὴν ἐνέδραν, ἅμα δὲ καὶ τὴν αἰτίαν αὐτῆς προστιθεὶς, ἐπήγαγεν·

27β[2] γὰρ ὅτι MSBV : γὰρ καὶ ὅτι PCHA. 28β[2] παρέξουσιν MSC : παρέχουσιν PHBV. 29α[2] ἐνέδρα PSA : ἔνεδρα MCHBV.

29β Ἐν ἀποκρύφοις τοῦ ἀποκτεῖναι ἀθῷον.

Ὥστε θανατῶσαι ἄνθρωπον ἀναίτιον, μηδὲν ἀδικήσαντα. Τὸ, τοῦ, γὰρ αἰτιολογικὸν πολλάκις παραλαμβάνει τῶν παλαιῶν ἡ διάλεκτος.

29γ Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν.

Τὴν ἔμμονον αὐτοῦ κατασκοπὴν ἐνταῦθα διηγεῖται, βλέποντος ἀτενῶς, πότε παριόντα τοῦτον εὐκαίρως συλλήψεται.

30α Ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ.

Τὸ αὐτὸ καὶ νῦν δηλοῖ, τὴν πανουργίαν ἐκείνου ποικίλως ἐκπομπεύων, καὶ θηρίον αὐτὸν ἄντικρυς γεγενημένον δεικνύς. Ὥσπερ γὰρ ὁ λέων τῷ οἰκείῳ φωλεῷ ἐγκατακρυπτόμενος — τοῦτο γὰρ ἡ μάνδρα βούλεται — τοῖς ἀσθενεστέροις ἐπιβουλεύει ζῴοις, παρερχομένοις ἀπονήρως, οὕτω καὶ οὗτος ποιεῖ, τῷ ἀποκρύφῳ τόπῳ φωλεῷ χρώμενος.

30β Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν.

Λέοντι γὰρ αὐτὸν ἀπεικάσας, κατά τε τὴν ἐπιβουλὴν καὶ τὴν ἀπήνειαν καὶ τὸ φονικὸν, ἐπέμεινε τῇ τροπῇ, προσαρμόζων αὐτῷ τὰ ἔργα τοῦ λέοντος. Ἁρπάζει γὰρ, ἐπεισπεσὼν αἰφνίδιον ὁ λέων, καὶ ἑλκύει πρὸς τὴν ἑαυτοῦ μάνδραν. Ἐνεδρεύει δὲ, φησὶν, οὐχ ἵν' ἐπίβουλον ἢ πολέμιον | ἢ θηρίον ἕλῃ, ἀλλὰ πτωχὸν, τὴν ἐν χρήμασι περιουσίαν καὶ καταπεπονημένον τὴν ἀνθρωπίνην ἰσχύν. Ἐξηγεῖται δὲ καὶ τὴν ἁρπαγὴν, ὅτι ὁ ἑλκυσμός ἐστι. Διὰ δὲ τῆς ἐπαναλήψεως τοῦ ὀνόματος τῆς ἐνέδρας καὶ τῆς ἁρπαγῆς, ἐμφαίνει σχετλιασμόν. Ἢ καὶ διὰ τῆς συνεχείας τῶν παθητικῶν ῥημάτων διεγείρει τὸν Θεὸν εἰς ἄμυναν.

31α Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν.

Ἐν τῷ ἰδίῳ δόλῳ κυριεύσει αὐτοῦ· ἢ καὶ εἰς γῆν ῥίψει κτείνας· ταπεινὸς γὰρ, ὁ πρόσγειος.

31β Κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.

Ὅτε κατακυριεύσει τῶν πενήτων ὁ δυνάστης, τότε καὶ αὐτὸς κλιθήσεται ταπεινούμενος καὶ ἀπολεῖται. Οἱ γὰρ πίπτοντες πρῶτον κύπτουσι. Τοῦτο δὲ γίνεται, ἵνα καὶ τὸ ἀνίατον αὐτοῦ φανῇ, καὶ τὸ μακρόθυμον τοῦ Θεοῦ, καὶ ἡ τῶν πεπονθότων ὑπομονὴ, καὶ ἡ ἐκδίκησις τῶν ἀδικουμένων.

30β[7] ὅτι M : ὡς P. 31α[2] γῆν PHBV : ὀργήν MSC.

32 Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, Ἐπιλέλησται ὁ Θεὸς, ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος.

Παραχωρούμενος γὰρ πληροῦν τὰς ἐπιθυμίας τῆς ψυχῆς αὐτοῦ, πρὸς ἀτόπους ὑπολήψεις ἐκπίπτει, λογιζόμενος ἐν ἑαυτῷ ἐπιλελῆσθαι τὸν Θεὸν τῆς τοῦ κόσμου προνοίας, ἀποστρέψαντα τὴν ἐπισκοπὴν αὐτοῦ, ὥστε μὴ βλέπειν ὅλως τὰ γινόμενα. Τὸ γὰρ, *εἰς τέλος*, πῇ μὲν τὸ, *ἄχρι παντὸς*, πῇ δὲ τὸ, *ὅλως* ἐμφαίνει· ταὐτὸν δὲ καὶ ἄμφω δύναται, τοῖς λεπτότερον ἐπισκεπτομένοις.

Χρὴ δὲ γινώσκειν, ὅτι τὰ προῤῥηθέντα νοοῦνται δὲ καὶ εἰς τὸν Ἰουδαϊκὸν δῆμον καὶ τὸν Χριστὸν, προσαρμοζόμενα κατὰ μέρος. Καὶ οὗτος γοῦν ἐνήδρευε μετὰ τῶν ἀρχόντων τοῦ λαοῦ τὸν ἀθῷον ἀπὸ ἁμαρτίας, τὸν δι᾽ ἡμᾶς πτωχεύσαντα, καὶ ἀεὶ 2Cor 8.9
παρετήρει, καὶ πάντα ἐποίει, καὶ τέλος ὅτε αὐτὸν ἀπέκτεινε καὶ τοὺς ἀποστόλους ἐδίωξε, τότε καὶ αὐτὸς ἄρδην ὑπὸ Ῥωμαίων ἐξωλοθρεύθη.

33α Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου.

Κινήθητι, φησὶν, εἰς ἐκδίκησιν. Τὸ δὲ, *ὑψωθήτω ἡ χείρ σου*, κατὰ μεταφοράν· εἰώθασι γὰρ οἱ κολάζοντές τινας ἐπαίρειν τὴν χεῖρα, καταφέρουσαν τὴν μάστιγα.

Ἢ καὶ ὑψηλὴ, φησὶν, οὖσα, καὶ ὑπερφυὴς ἡ δύναμίς σου, νῦν μάλιστα τοῦτο αὐτὸ δειχθήτω· χεῖρα γὰρ Θεοῦ, ταύτην ὑποληπτέον.

33β Μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Τὸ, *εἰς τέλος*, ἀντὶ τοῦ, *μέχρι παντός*.

34α Ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν;

Σφόδρα δεινοπαθήσας ἐπὶ τοῖς τοιούτοις τῶν πονηρῶν τολμήμασιν, εἰς ἐρώτησιν σχηματίζει τὸν λόγον· εἶτα λύει τὴν ἀπορίαν, ἐπαγαγών·

34β Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, Οὐκ ἐκζητήσει.

Τοῦτο, φησὶ, τῆς ἀνοσιουργίας ἐστὶ τὸ αἴτιον· οἴεται γὰρ, ὡς οὐκ ἐξετάσει Θεὸς τὰ δρώμενα.

35α Βλέπεις· ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου.

Τὸ, *βλέπεις*, ἀναγνωστέον καθ᾽ ἑαυτὸ, στίζοντας τελείαν, ἵν᾽ ᾖ τὸ νόημα τοιοῦτον, ὡς εἰ καὶ τοῦτο μυριάκις ὁ πονηρὸς οἴεται, διὰ τὴν σὴν μακροθυμίαν εἰς ἀπόνοιαν ἐκτραχηλιζόμενος, ἀλλὰ σὺ βλέπεις πάντα, διήκων ἁπανταχῇ, διότι σὺ ὁρᾷς ἀκριβῶς τόν τε πόνον τῶν ἀδικουμένων καὶ τὸν θυμὸν τῶν ἀδικούντων.

33α[4] ὑπερφυὴς MSCB : ὑπερφερής PHV. 33α[4] τοῦτο PMSCB : τό HV.

Κατανόησις γὰρ, ἡ λεπτομερὴς διάγνωσις. Ἀκριβῶς δὲ ὁρᾷς, ἵνα παραδῷς αὐτὸν ὕστερον εἰς τὰς | τιμωρίας σου· τοῦτο γὰρ αἱ χεῖρες ἐνταῦθα νοοῦνται· *φοβερὸν δὲ τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.* Heb 10.31

35β Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός.

Πάντων ἀποστραφέντων αὐτὸν, σοὶ μόνῳ ἀπέμεινεν εἰς ἀντίληψιν.

35γ Ὀρφανῷ σὺ ἦσθα βοηθός.

Ὡς πλάστης αὐτοῦ καὶ δεσπότης. Ταῦτα νοοῦνται μὲν καὶ περὶ τῶν ἁπλῶς πενήτων καὶ ὀρφανῶν, οὐχ ἥκιστα δὲ καὶ περὶ τοῦ ἐξ ἐθνῶν λαοῦ, πένητος μὲν ὄντος διὰ τὰς προειρημένας αἰτίας, ὀρφανοῦ δὲ, διὰ τὸ μὴ γνωρίζειν τὸν αὐτοῦ Ps 9.10α
πατέρα καὶ ποιητὴν Θεόν.

36α Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ.

Βραχίονα, τὴν δύναμιν λέγει, καὶ γὰρ ἐν τούτῳ ἡ τοῦ ἀνθρώπου δύναμις· ἁμαρτωλὸς δὲ, ὁ ταῖς τυραννούσαις ἐπιθυμίαις δεδουλωμένος· πονηρὸς δὲ, ὁ ἐκ προαιρέσεως κακὸς καὶ σκαιός. Νοήσεις δὲ καὶ τὸν διάβολον, ἁμαρτωλὸν καὶ πονηρόν.

36β Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ.

Εἰ ἐξετάσεις γὰρ τὴν ἁμαρτίαν αὐτοῦ, καὶ μὴ μακροθυμήσεις, αὐτίκα ἀπολεῖται αὐτὸς, ἄξιος θανάτου κριθείς.

Λαμβάνεται δὲ καὶ εἰς Χριστὸν ὁ λόγος, προαγορεύων, ὅπερ ὕστερον ὁ Πιλᾶτος εἴρηκεν, ὡς *Οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ·* καὶ αὖθις, ὅπερ ὁ Χριστὸς εἶπεν, Jn 19.6
ὅτι *Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἔρχεται, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν.* Οὔτε γὰρ Jn 14.30
εὗρεν ὁ Πιλᾶτος ἁμαρτίαν, δι᾽ ἣν ἔμελλε θανεῖν, οὔτε ὁ διάβολος ἐν τῷ χωρισμῷ τῆς ἀχράντου ψυχῆς αὐτοῦ τὴν οἱανοῦν ἴσχυσεν εὑρεῖν ἁμαρτίαν, πολλὰ καμών.

37α Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τοῦτο, πρὸς τοὺς σκανδαλιζομένους ἐπὶ τῷ μὴ διδόναι δίκην εὐθὺς τὸν πονηρόν. Οὐκ ἔστι γὰρ, φησὶν, πρόσκαιρος ἡ βασιλεία καὶ κρίσις τοῦ Θεοῦ, ἀλλὰ 2Cor 4.18
κἂν μὴ νῦν δώσει δίκην, δώσει ποτέ.

Ἢ καὶ τὴν τοῦ Χριστοῦ προαναφωνεῖ βασιλείαν, ἣν ὡς Θεὸς ἔχων, ἔλαβε καὶ ὡς ἄνθρωπος μετὰ τὴν ἀνάστασιν. *Ἐδόθη γάρ μοι,* φησὶ, *πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς,* ὥστε βασιλεύειν οὐκ ἐν τῷ παρόντι μόνον αἰῶνι, ἀλλὰ καὶ Mt 28.18
ἐν τῷ μέλλοντι.

37β Ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ.

Ἔθνη νῦν ὀνομάζει, τοὺς μὴ δεξαμένους τὸν εὐαγγελικὸν νόμον· τὰ γὰρ ἔθνη, ἄνομα. *Τοῦ Κυρίου δὲ ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς*, ἀφ' ἧς ἐξολοθρευθῆναι Ps 23.1
τούτους προφητεύει, τῆς εὐσεβείας ἐξαπλουμένης.

Ἢ καὶ γῆν Κυρίου καλεῖ, τὴν βασιλείαν αὐτοῦ, ἧς ἀποπεσοῦνται οἱ ἀνόμως ζήσαντες.

38 Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας, Κύριε· τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου.

Τρόπον τινὰ κεκραγυιῶν ἄμφω πρὸς σέ· ἐπεθύμουν μὲν γὰρ καταστραφῆναι τοὺς ἀδίκους· ἦσαν δὲ εὐθεῖς τῇ καρδίᾳ, μηδεμιᾶς κακίας ἐμποδιζούσης.

Ἢ καὶ ὅτι ἐπεθύμουν τὴν ἐνανθρώπησιν τοῦ Σωτῆρος οἱ προφῆται· ἕτοιμοι δὲ ἦσαν εἰς ὑποδοχὴν τῆς πίστεως οἱ ταύτην ὑποδεξάμενοι.

39α Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ.

Εἰσήκουσας, φησὶ, καὶ προσέσχες, ὥστε κριτὴς γενέσθαι ὀρφανῷ καὶ ταπεινῷ, καὶ ἐκδικῆσαι αὐτόν.

39β Ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

Ἵνα πᾶς ἄνθρωπος, βλέπων τὴν ἐκδίκησιν τῶν ἀδικουμένων, μὴ τολμήσῃ ἔτι ὥστε μεγαλαυχεῖν, τουτέστιν, ἐπαίρεσθαι καὶ ἀλαζονεύεσθαι κατὰ τῶν ὑποδεεστέρων.

Τὸ δὲ, ἐπὶ τῆς γῆς, τὸ καθόλου καὶ | περιεκτικὸν τῶν ἀνθρώπων ὑποσημαίνει.

10 ι´

1α Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.

Τοῦτον ἦσε τὸν ψαλμὸν διωκόμενος ὑπὸ Σαούλ. Εἰς τὸ τέλος δὲ, ἅτε πρόῤῥησιν ἔχων τῆς γεγενημένης τῷ Δαυὶδ ἐκδικήσεως.

1β Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου, Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον;

Ἐπεὶ πρὸς τὴν ἔρημον φυγόντι, συνεβούλευον οἱ εὐνοϊκώτεροι μεταναστῆναι μᾶλλον ἐπὶ τὰ ὄρη, διὰ τὴν ἐντεῦθεν ἀσφάλειαν, αἰτιᾶται τούτους, ὡς οὐκ ἄμεμπτα παραινοῦντας. Ἐπὶ τῷ Κυρίῳ γὰρ, φησὶ, πέποιθα, πᾶσαν ἄλλην βοήθειαν παραδραμών. Καὶ διατί λέγετε τῇ ψυχῇ μου, τουτέστιν, ἐμοὶ, Μετάβαινε στρουθίου δίκην ἐπὶ τὰ ὄρη, καὶ καθάπερ ἐπτοημένον ἄγαν πτηνὸν ἐνδιάτριβε τούτοις;

38[1] τῇ ἑτοιμασίᾳ MPSCV[T] : τὴν ἑτοιμασίαν B[Ra].

Παρατηρητέον δὲ, ὅτι πολλάκις ἀπὸ τῆς ψυχῆς ἑαυτὸν ὀνομάζει κατὰ περίφρασιν, ὡς ἐν τῷ, *Πολλοὶ λέγουσι τῇ ψυχῇ μου*, προειρήκαμεν. Ps 3.3

2α Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν.

Διὰ τῆς ἐντάσεως τοῦ τόξου καὶ τῆς ἑτοιμασίας τῶν ἐν τῇ φαρέτρᾳ βελῶν, τὴν ὅλην τοῦ πολέμου παρασκευὴν ἐδήλωσεν· ἢ καὶ ὅτι τόξοις ἐπὶ τοὺς φεύγοντας ἐχρῶντο.

Ταυτὶ δὲ τὰ ῥητὰ τίθησιν αἰτίαν τῆς πεποιθήσεως. Τεθάῤῥηκα γὰρ, φησὶν, ὅτι πολεμοῦσί μοι οἱ ἁμαρτωλοί. Καὶ γὰρ ἁμαρτάνουσι, καταδιώκοντες τὸν ἀναίτιον καὶ ἀμειβόμενοι θανάτῳ τὸν γενόμενον αὐτοῖς σωτηρίας αἴτιον, ἐν τῷ ἀνελεῖν τε Γολιὰθ καὶ τῷ διῶξαι τὸ ἀποπνῖγον τὸν Σαοὺλ δαιμόνιον.

2β Τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ

Παρεσκευάσθησαν δὲ, ὥστε θανατῶσαι ἡμᾶς τοὺς ἀπονήρους καὶ μηδὲν ἐν καρδίᾳ σκολιὸν ἔχοντας. Κατατοξεῦσαι δὲ λαθραίως ἐξ ἐπιβουλῆς· τοῦτο γὰρ ἡ σκοτόμαινα νῦν σημαίνει· καὶ γὰρ οἱ ἐν ἀσελήνῳ νυκτὶ βαλλόμενοι, τοὺς βάλλοντας οὐχ ὁρῶσιν.

Ἢ καὶ ὡς ἐν σκοτομήνῃ, κατ᾽ ἔλλειψιν τοῦ ἐπιῤῥήματος. Τῷ φθόνῳ γὰρ σκοτισθέντες, οὐχ ὁρῶσι τίνα τοξεύειν ἐπιχειροῦσι, τὸν εὐεργέτην γὰρ καὶ φίλον αὐτοῖς.

3α Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον.

Καὶ τοῦτο, τῆς πεποιθήσεως αἰτία. Τεθάῤῥηκα γὰρ ἔτι, ὅτι ὃν σὺ ἔχρισας εἰς βασιλέα, καθεῖλον οἱ ἀμφὶ τὸν Σαούλ. Καταρτίσαι δὲ λέγει, τὸ ποιῆσαι· καθελεῖν δὲ, τὸ καταβαλεῖν, ἐκ μεταφορᾶς τῶν ἀνατρεπομένων οἰκοδομημάτων. Τοῦτο δὲ τολμήσαντες, ἔχουσί σε πολέμιον, ὃν οὐχ ὑποστήσονται.

Ἢ καὶ ὅτι οὓς ἔθου νόμους, ἀνατρέπουσιν· ἐνετείλω γὰρ μηδένα ἀδικεῖν, μηδὲ ἀποκτείνειν ἀθῷον.

3β Ὁ δὲ δίκαιος τί ἐποίησε;

Τί δὲ ἔπταισεν ὁ δίκαιος, ἵνα οὕτως διώκηται; Περὶ ἑαυτοῦ δὲ τοῦτό φησιν, ὡς οὐκ ἀδικήσαντος τοὺς ἀδικοῦντας.

Ἢ περὶ τῆς ἄνωθεν ἐπισκοπῆς βούλεται διδάσκειν· ὁ δὲ Θεὸς, φησὶν, ὁ κυρίως δίκαιος, ὁ μισῶν τὴν ἀδικίαν, ὁ μόνος κρίνων ὀρθῶς, τούτων οὕτω γινομένων, τί ἐποίησεν; ἆρα παρεῖδεν; Οὐ μὲν οὖν.

4α Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ.

2β[8] αὐτοῖς SCB : αὐτῶν PHV.

Καὶ ἐν τῷ κατὰ τὴν Ἰερουσαλὴμ ναῷ ἐστι, καὶ ἐν τῷ οὐρανῷ κάθηται, τουτέστιν, ἁπανταχῇ πάρεστι, καὶ τοὺς ἀδικουμένους ὁρᾷ. Τοῦτο γὰρ διὰ τῶν ἑξῆς ἐπήγαγεν.

4β Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Οὐκ εἶπε βλέπουσιν, ἀλλ' ἐπιβλέπουσι, τὴν ἐξ ὕψους δηλῶν ἐπισκοπήν. Ὀφθαλμοὶ δὲ Θεοῦ, ἡ ἀκριβὴς γνῶσις τῶν γινομένων. Βλέφαρα δὲ, ἡ ἐποχὴ τῆς τοιαύτης γνώσεως· τὰ βλέφαρα γὰρ, καλύπτραι τῶν ὀφθαλμῶν. Διὰ μέντοι τῶν βλεφάρων παρέστησεν, ὡς καὶ ὅτε δοκεῖ μὴ ὁρᾶν, οἷον ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς, οὐκ ἔλαττον ὁρᾷ.

Ἢ καὶ τὸ παντέφορον αὐτοῦ δείκνυσιν ἐντεῦθεν, οὐ μόνον ὀφθαλμοῖς, ἀλλὰ καὶ βλεφάροις ὁρῶντος, καὶ πανταχόθεν πάντα γινώσκοντος.

Ἐξετάζειν δὲ, τὸ διαγινώσκειν· υἱοὺς δὲ ἀνθρώπων, πάντας τοὺς ἀνθρώπους ἁπλῶς.

Διττὸς δὲ ὁ πένης, κατά τε τὴν ἐν χρήμασι περιουσίαν, καὶ τὴν ἐν ἀρεταῖς· τὸν μὲν οὖν κατὰ τὴν ἐν χρήμασι περιουσίαν πένητα ἐπιβλέπει, πλουτοῦντα τὴν ἀρετήν, τὸν δὲ κατὰ τὴν ἐν ἀρεταῖς ἀποστρέφεται, πλουτοῦντα ἐν χρήμασι.

5α Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ.

Τοῦτο, διευκρινητικὸν τῆς τῶν ἀνθρώπων σημασίας, ὅτι καὶ τοὺς δικαίους λέγει, καὶ τοὺς ἀδίκους, τοὺς ἀσεβοῦντας ἐν τῷ ἀτιμάζειν Θεὸν, διὰ τῆς τῶν ἐντολῶν αὐτοῦ καταφρονήσεως.

5β Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

Καὶ τοῦτο θάρσους αἴτιον, καὶ διδασκαλικὸν, ὡς ὁ ἄδικος τῇ ἑαυτοῦ ζωῇ τὸν θάνατον κατεργάζεται, ἐχθρὸς τῆς οἰκείας ψυχῆς γινόμενος. Διὰ γὰρ τῶν ἀνοσίων πράξεων παροξύνει κατ' αὐτῆς τὸν Θεόν.

6α Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας.

Ἐπιβρέξει, τουτέστιν, ἄνωθεν ἐπάξει τοῖς ἁμαρτωλοῖς παγίδας, ἤτοι τιμωρίας, δι' ὧν θηρευόμενοι, τῆς ὁρμῆς ἐφέξονται. Τῇ μέντοι βροχῇ, τὴν δαψίλειαν καὶ συνέχειαν τῶν τιμωριῶν ᾐνίξατο.

6β Πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτοῦ.

Δραστήριον μὲν τὸ πῦρ, λιπαρὰ δὲ τροφὴ πυρὸς, τὸ θεῖον· εἶδος γὰρ τοῦτο λίαν θρεπτικὸν πυρός· ἀναῤῥιπιστικὸν δὲ φλογὸς, τὸ πνεῦμα. Τοῦτο δὲ τὸ εἶδος

4β[1] ἐπιβλέπουσι PC[T] : ἀποβλέπουσι SB[Ra]. 4β[12] διττός PABH : διττῶς S. 5β[2] τῇ ἑαυτοῦ ζωῇ PSCB : τὴν ἑαυτοῦ ζωήν H : τῆς ἑαυτοῦ ζωῆς V.

τῆς τιμωρίας πάλαι Σόδομα κατέστρεψε. Gen 19.24

Βούλεται δὲ λέγειν, ὡς τὸ μέρος τοῦ ποτηρίου, τουτέστι τῆς ἐκ Θεοῦ τιμωρίας, πῦρ καὶ θεῖον καὶ πνεῦμα συστρέφον ἐστίν. Εἰ δὲ τὸ μέρος οὕτως ἀνύποιστον, τί ἄν τις εἴποι περὶ τῶν ἄλλων τῆς τιμωρίας μερῶν, τουτέστιν, εἰδῶν;

Πολλαχοῦ δὲ τῆς Γραφῆς ποτήριον καὶ κόνδυ, τὴν τιμωρίαν ὀνομαζομένην εὑρίσκομεν, ὡς καὶ ἐν Ἡσαΐᾳ, Ἐξεγείρου, ἐξεγείρου, Ἰερουσαλὴμ, ἡ πιοῦσα τὸ ποτήριον τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ, καὶ τὰ ἑξῆς. Isa 51.17

7 Ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

Ὥσπερ ἅγιος ὢν, ἁγίοις ἐπαναπαύεται, οὕτως καὶ δίκαιος ὢν, δικαιοσύναις ἀρέσκεται· οὕτω δ᾽ ἔχων, ἀμυνεῖται πάντως τοὺς ἀδίκους· καὶ διὰ τοῦτο θαῤῥητέον αὐτῷ· τοῦτο γὰρ συμπέρασμα τῆς ἐν ἀρχῇ τοῦ ψαλμοῦ προτεθείσης πεποιθήσεως. Nu 11.25 Ps 10.1β

Τὸ δὲ, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ, ταὐτὸν δύναται τῷ, δικαιοσύνας ἠγάπησεν· ὃ γάρ τις ἀγαπᾷ, τοῦτο καὶ ὁρᾷ· καθάπερ αὖ καὶ ὃ μισεῖ, ἀποστρέφεται. Πρόσωπον δὲ νοοῦμεν, τὴν ἐποπτικὴν δύναμιν τοῦ Θεοῦ.

Ἀλλ᾽ οὕτω μὲν κατὰ τὴν τῷ Δαυὶδ συμβαίνουσαν ἱστορίαν ὁ ψαλμὸς ἡρμήνευται. Ἁρμόζει δὲ καὶ παντὶ ἀδικουμένῳ καὶ πολεμουμένῳ, εἴτε ὑπὸ ὁρατῶν ἐχθρῶν, εἴτε ἀοράτων. Ἡνίκα καὶ τὸ, Πῶς ἐρεῖτε τῇ ψυχῇ μου, ῥηθείη ἂν πρός τε τοὺς λογισμοὺς τοὺς ὑποτιθεμένους μεταβαίνειν | εἰς ἐννοίας ἀκανθώδεις καὶ κρημνώδεις καὶ ἀβάτους ὀρθοδόξοις καὶ σφαλερὰς, οἷον, ὅτι φέρεται τὰ πάντα κατὰ τὸ αὐτόματον, καὶ οὐκ ἔστιν Θεὸς ἐκδικήσεων, καὶ ὅσα τοιαῦτα, ναὶ μὴν καὶ πρὸς τοὺς δαίμονας, προτρεπομένους ἐπὶ τὰ τοιαῦτα τῶν ἐννοημάτων χωρεῖν. Ἁμαρτωλοὺς δὲ νοητέον, καὶ τοὺς ἀδίκους ἄνδρας καὶ τοὺς πονηροὺς δαίμονας· τόξον δὲ καὶ βέλος, εἴτε τὰ ἐν ἀναιρετικοῖς ὀργάνοις, εἴτε καὶ τὰ τῶν ἀτόπων προσβολῶν, καὶ τὰ ἑξῆς δὲ τοῦ ψαλμοῦ, κατ᾽ ἀναλογίαν.

11 ια´

1 Εἰς τὸ τέλος· ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυίδ.

Τοιαύτην καὶ οὗτος ἔσχεν ἐπιγραφὴν, οἵαν καὶ ὁ ἕκτος, καὶ ἱκανῶς ἐν ἐκείνῳ διηρμήνευται. Καὶ γὰρ καὶ οὗτος περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ προφητεύει, καὶ τῆς ἐκδικήσεως τῶν ἀδικουμένων πιστῶν. Ps 6.1

Καὶ ἄλλως γὰρ, τέλος τῆς ἐν κόσμῳ ζωῆς διὰ θανάτου δεξάμενος, ἀνέστη κατὰ τὴν ὀγδόην ἡμέραν, ἤτοι τὴν Κυριακὴν, ἥτις ὡς μὲν ἀρχὴ τῶν ἡμερῶν, πρώτη λέγεται, διὰ δὲ τὸ πάλιν ἐπιέναι μετὰ τὴν ἑβδόμην, ἥ ἐστι τὸ Σάββατον, ὀνομάζεται καὶ ὀγδόη. Οὐκ ἐπιγέγραπται δὲ, περὶ τῆς ὀγδόης, ἀλλ᾽ ὑπὲρ τῆς ὀγδόης· οὐ γὰρ διδάσκει, τί ἐστιν ἡ ὀγδόη, ἀλλὰ παρακαλεῖ, θᾶττον ἐλθεῖν ἐκείνην τὴν ἡμέραν, ἕνεκεν τῆς ἐκδικήσεως τῶν τυραννουμένων ὑπὸ τοῦ διαβόλου καὶ δεδουλωμένων τῇ εἰδωλολατρείᾳ.

7[2-3] δικαιοσύναις ἀρέσκεται CB : δικαιοσύνας ἀγαπᾷ PHV : δικαίοις ἀρέσκεται S. 7[3] πάντως PSC : πάντας BV.

2α Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Δίκαιος μέν ἐστιν, ὁ τὰ πρὸς ἀνθρώπους ἀῤῥεπὴς τοῦ καλοῦ, ὅσιος δὲ, ὁ τὰ πρὸς Θεὸν εὐσεβὴς, ἅγιος δὲ, ὁ διὰ τοῦ τέλους τῶν ἀρετῶν θεώσεως μετασχών. Καὶ ἐοίκασι ταῦτα κλίμακι, πρὸς τὸν Θεὸν ἀναγούσῃ τοὺς βαδίζοντας δι᾽ αὐτῶν. Εἴρηται δὲ, ὅτι δίκαιον μὲν λέγουσιν αἱ Γραφαὶ ἔστιν ὅτε, καὶ τὸν τέλειον τὴν ἀρετὴν, ἀλλ᾽ οὐ περὶ ἐκείνου νῦν ὁ λόγος ἡμῖν.

Ὡς οὖν δικαίων μὲν τὴν ἀνθρωπίνην καὶ μερικὴν δικαιοσύνην ὄντων τινῶν, τῶν δὲ ὁσίων ἐκλελοιπότων, τῶν μὲν, τῷ θανεῖν, ἄλλων δὲ, τῷ ἐλαύνεσθαι παρὰ τῶν ἀνοσίων, εὔχεται σωθῆναι ἀπὸ τῶν ἐπικρατούντων πονηρῶν ἀνθρώπων.

Προσώπῳ δὲ τῶν μελλόντων ὑποδέξασθαι τὸ κήρυγμα τοῦ Εὐαγγελίου ποιεῖται τὴν ἔντευξιν ὁ προφήτης. Τηνικαῦτα γὰρ οἱ ὅσιοι ἐξέλιπον μάλιστα, ὅτε καὶ διὰ σαρκὸς ἡμῖν ὁ Κύριος ἐπεδήμησεν.

2β Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.

Οἱ μὲν ὅσιοι, παντάπασιν ἐπιλελοίπασιν· ἀλήθειαι δὲ, ὀλίγαι τινὲς ὑπελείφθησαν ἐν ἀνθρώποις· ἡ γενικὴ γὰρ, ἀντὶ δοτικῆς ἐνταῦθα. Περὶ τὰ καίρια μὲν γὰρ ἐψεύδοντο, ἐν δὲ τοῖς ἐλαχίστοις πράγμασιν, ἠλήθευον.

3α Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ.

Τουτέστιν, ἀπατηλά· οὐ μόνον γὰρ ἠπάτων τοὺς ἀλλοτρίους, ἀλλὰ καὶ τοὺς οἰκείους αὐτοῖς. Πλησίον γὰρ καλεῖ, τὸν ἔγγιον, οὐ τόπῳ, ἀλλ᾽ οἰκειότητι.

3β Χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά.

Χείλη δόλια λέγει, τὸν δόλιον, ὡς ἀπὸ μέρους τὸ πᾶν. Ὁ δόλιος, φησὶν, ἐν διπλόῃ καρδίας καὶ γνώμης ἐλάλησε κακὰ καὶ βλαβερὰ, ἔσω μὲν ἀλλοίαν γνώμην ἔχων, ἔξω δὲ, ἀλλοίαν δεικνύς.

4 Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλοῤῥήμονα.

Πολλάκις ἡ Γραφὴ τὸ εὐκτικὸν εἰς μέλλοντα χρόνον σχηματίζει, καθάπερ ἐπὶ τοῦ παρόντος. Εὔχεται γὰρ προῤῥίζους ἀφανισθῆναι τοὺς δολίους, ἔτι δὲ καὶ τοὺς ἀλαζονευομένους κατὰ τῶν ἀσθε | νεστέρων καὶ μεγάλα περὶ ἑαυτῶν κομπάζοντας· ἢ καὶ προφητεύει τὴν τούτων πανωλεθρίαν.

Διδάσκων δὲ τίνας λέγει μεγαλοῤῥήμονας, ἐπήγαγε·

5α Τοὺς εἰπόντας, Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν.

2α[5] μὲν λέγουσιν αἱ Γραφαὶ ἔστιν ὅτε PV : ἔστιν ὅτε λέγουσιν αἱ Γραφαὶ M. 2β[3] M in marg.: ἡ ἀπό πρόθεσις ἀντὶ τῆς ἐν.

Τοὺς σκεψαμένους ἐν ἑαυτοῖς, ὅτι μεγαλυνοῦμεν, ἤτοι μεγάλα καὶ ἀλαζονικὰ φθέγγεσθαι παρασκευάσομεν τὴν γλῶσσαν ἡμῶν.

5β Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν Κύριός ἐστιν;

Καὶ εἰπόντας ἔτι, ὅτι ἡμεῖς ἐξουσιάζομεν τῶν χειλέων ἡμῶν, καὶ λοιπὸν τίνα δεδοίκαμεν μὴ τοιαῦτα λέγειν; Καὶ τίς ἡμῖν κωλυτὴς τῶν τοιούτων λόγων;

6α Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι λέγει Κύριος.

Τὸ, *νῦν*, ἀντὶ τοῦ, τότε ληπτέον, κατὰ τὸν πρέποντα καιρὸν, ἵν' ᾖ τοιοῦτον, ὡς τηνικαῦτα, φησὶν ὁ Χριστὸς, ἀναστήσομαι τοῦ τάφου, ἕνεκεν τῆς ταλαιπωρίας τῶν δεδουλωμένων τῇ πλάνῃ δι' ἄγνοιαν, ἥτις ταλαιπωρία γέγονεν αὐτοῖς ἀντὶ στεναγμοῦ, καθ' ἣν ἀποδεδώκαμεν ἐξήγησιν, ἑρμηνεύοντες τὸ, *Οὐκ ἐπελάθετο* Ps 9.13
τῆς κραυγῆς τῶν πενήτων. Ἀκήκοε δὲ τοῦτο Δαυὶδ τοῖς προφητικοῖς ὠσί.

Φασὶ δέ τινες, πτωχὸν μὲν καλεῖσθαι τὸν ἀπὸ πλούτου πεπτωκότα, κατὰ τὸ, *Πλούσιοι ἐπτώχευσαν*, πένητα δὲ, τὸν διὰ πόνου τῶν οἰκείων χειρῶν τροφὴν Ps 33.11
ἀναγκαίαν κομιζόμενον. Τοιοῦτοι δὲ καὶ οἱ πιστεῦσαι μέλλοντες· τάς τε γὰρ οὐσίας περιῃρέθησαν, καὶ αἱ χεῖρες αὐτοῖς διηκόνουν εἰς τὴν χρείαν τοῦ σώματος. Λαμβάνεται δὲ πολλάκις καὶ ἀδιαφόρως, ἀντὶ θατέρου, θάτερον.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν· φησὶν ὁ Θεὸς, ὅτι διὰ τὴν ταλαιπωρίαν καὶ τὸν στεναγμὸν τῶν καταπονουμένων, νῦν κινηθήσομαι, τουτέστιν, αὐτίκα, εὐθὺς, ταχέως. Θεοπρεπῶς δὲ νόει τὸ, *κινηθήσομαι*, ἀντὶ τοῦ, ἀμυνῶ, εἰ καὶ ἀνθρωποπρεπέστερον εἴρηται.

6β Θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ.

Μνημονεύσας τῆς ἀναστάσεως, μνημονεύει καὶ τῆς ταφῆς, ἀναστρέψας τὸν λόγον ἐπὶ τὸν διὰ σταυροῦ θάνατον. Ἔτι γὰρ, φησὶ, καὶ τοῦτο λέγει ὁ Κύριος, ὅτι τεθήσομαι, τουτέστι, προσπαγήσομαι ἐν τῷ σταυρῷ. Τοῦτον γὰρ ὑποληπτέον σωτήριον, ὅτι τὸ δόρυ τοῦ σταυροῦ κατακοντίσαν τὸν τύραννον, ἔσωσεν ἡμᾶς, καὶ σώαν τὴν ἐλευθερίαν τῆς πλάνης ἐχαρίσατο· καὶ ἀσθενοῦντας πρὶν, ἔῤῥωσε κατὰ τῶν δαιμόνων. Παῤῥησιάσομαι δὲ ἐν αὐτῷ, τουτέστιν, ἐν αὐτῷ τῷ σταυρῷ δημοσιεύσω τὴν ἐπικρυπτομένην ἐν ἐμοὶ δύναμιν· διεῤῥάγη γὰρ τὸ καταπέτασμα, ὁ ἥλιος ἐσκοτίσθη, αἱ πέτραι ἐσχίσθησαν, ἡ γῆ ἐσείσθη, καὶ ὅσα τότε γέγονεν ἐξαίσια.

Ἢ πάλιν, θήσομαι αὐτοὺς εἰς σωτηρίαν, ἤγουν σωτηρίας ἀξιώσω, καὶ παῤῥησιάσομαι ἐν τῇ τοιαύτῃ σωτηρίᾳ αὐτῶν, εἴτουν φανερώσω, δείξω τὴν ἐμὴν ἰσχύν.

7α Τὰ λόγια Κυρίου λόγια ἁγνά.

6α[3] τότε ληπτέον PHV: om. MSC. 6α[3-4] ἵν' ᾖ... Χριστός PHV : om. MSC. 6β[5] κατακοντίσαν MB : κατακοντίσας PSV.

Εἰπὼν ὅτι τάδε καὶ τάδε λέγει Κύριος, διαβεβαιοῦται καὶ περὶ τῆς τῶν τοῦ Κυρίου λόγων ἀληθείας, ὡς καθαροὶ ψεύδους εἰσίν.

7β Ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ.

Οὕτως εἰσὶν ἀμιγεῖς ἀπάτης, ὡς τὸ κεχωνευμένον ἀργύριον ἀκοινώνητόν ἐστιν ὕλης χείρονος. Δοκίμιον δὲ τῇ γῇ, ἀντὶ τοῦ, δοκιμαζόμενον ἐν τῇ γῇ· καὶ γὰρ εἰς γῆν ἔχεον οἱ τεχνῖται τὸ χωνευόμενον. Ἢ καὶ δοκίμιον τῇ γῇ, ἀντὶ τοῦ, δόκιμον ἐκ τῆς γῆς. Ἐπιτείνων δὲ τὴν καθαρότητα τῶν τοῦ Κυρίου λόγων, ἐπήγαγε·

7γ Κεκαθαρισμένον ἑπταπλασίως.

Τὸ, *ἑπταπλασίως*, ἀντὶ τοῦ, *πολλάκις*· τὸ γὰρ *ἑπτάκις*, ἀντὶ τοῦ, *πλειστάκις* ἡ τῶν Ἑβραίων παραλαμβάνει διάλεκτος.

Τὸ δὲ πολλάκις χωνευόμενον, παντάπασίν ἐστι καθαρόν. Οὕτως οὖν εἰσὶν ἀληθεῖς, ὡς ἀργύριον κεχωνευμένον πολλάκις.

Λόγια δὲ εἶπεν, οὐ καθ' ὑποκορισμὸν εὐτελείας, | ἀλλ' ὅτι τοὺς χρησμοὺς, λόγια ἐκάλουν διὰ τὴν βραχυλογίαν αὐτῶν· ἐν ὀλίγαις γὰρ λέξεσι, μεγάλην δύναμιν ἐννοίας ἐμπεριεῖχον.

8 Σὺ, Κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα.

Τὸ μὲν, *φυλάξεις*, ἀπὸ τῶν ἔξωθεν πολεμούντων, τὸ δὲ, *διατηρήσεις*, ἀπὸ τῶν ἔσωθεν ἐπιβουλευόντων.

Ἢ καὶ τὸ μὲν, *φυλάξεις*, ἀπὸ τῆς παρούσης γενεᾶς· τὸ δὲ, *διατηρήσεις*, ἀπὸ τῶν ἐσύστερον, ὅπερ ἐστὶν εἰς τὸν αἰῶνα, δηλονότι, μέχρι παντός.

Καὶ μέντοι ἡ πίστις τῶν δεξαμένων τοῦ Εὐαγγελίου τὸ κήρυγμα, καὶ ἀπὸ τῆς τηνικαῦτα γενεᾶς ἀκαταγώνιστος ἔμεινε, καὶ εἰς τὸν αἰῶνα μενεῖ, καὶ οὔτε οἱ φανερῶς πολεμήσαντες Ἕλληνες, οὔθ' οἱ ἐν ἡμῖν λαθραίως ἐπιβουλεύοντες αἱρετικοὶ, κατίσχυσαν αὐτῆς, ἢ κατισχῦσαι δυνήσονται. Mt 16.18

9α Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν.

Πάντοθεν, φησὶν, ἡμᾶς περικυκλοῦσι, πολιορκῆσαι τὴν πίστιν σπεύδοντες· καὶ τοῦτο μὲν ἐπὶ τῶν Ἑλλήνων.

Ἐπὶ δὲ τῶν αἱρετικῶν, τὸ, *κύκλῳ περιπατοῦσιν*, ἀντὶ τοῦ, οὐκ ἐπ' εὐθείας, ἀλλὰ περιεστραμμένως καὶ σκολιῶς· παρερμηνεύουσι γὰρ τὰς θείας Γραφάς.

9β Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Ὑψωθεὶς, φησὶν, ἐπὶ σταυροῦ, πολλῆς φροντίδος τοὺς ἀνθρώπους ἠξίωσας, ὅτι δι᾽ αὐτοὺς πέπονθας. Πολυωρία γὰρ, ἡ πολλὴ φροντὶς, ὥσπερ καὶ ἡ ὀλιγωρία, τοὐναντίον.

Ἢ καὶ ὑψωθεὶς πρὸς οὐρανοὺς ἐν τῷ καιρῷ τῆς ἀναλήψεως, εὐηργέτησας τοὺς ἀνθρώπους, ἐξαποστείλας τὸν Παράκλητον, φωτίζοντα καὶ ὁδηγοῦντα τοὺς ἀποστόλους εἰς τὸ κήρυγμα.

Δύναται δὲ καὶ ἱστορικῶς οὗτος ὁ ψαλμὸς ἁρμόσαι τῷ Δαυίδ· φεύγοντα γὰρ τοῦτον ἀπὸ προσώπου Σαοὺλ, τινὲς ὑποκρινόμενοι φιλίαν, ἐπεχείρησαν προδοῦναι τῷ διώκοντι, ὧν διασύρει τὴν ἀπιστίαν καὶ τὴν ὑπόκρισιν καὶ τὸν δόλον καὶ τὴν πανουργίαν, καὶ μόνον ἐπικαλεῖται Σωτῆρα τὸν Θεὸν, οἷα τῶν φίλων προσθεμένων τοῖς ἐχθροῖς αὐτοῦ, καὶ προλέγει τούτων τὴν ἀπώλειαν· ἀλλὰ καὶ τὴν μεγαλοῤῥημοσύνην τῶν ἀμφὶ τὸν Σαοὺλ ἀποσβεσθῆναι προαγορεύει.

Ὑπὲρ τῆς ὀγδόης δὲ ἐπιγράφεσθαι, διὰ τὸ, *νῦν ἀναστήσομαι*, καὶ τὰ ἐφεξῆς, τῇ ἀναστάσει τοῦ Σωτῆρος μᾶλλον ἁρμόζοντα. Εἰ γὰρ καὶ ταῦτα πρὸς τὸν Δαυὶδ ἑλκύσομεν, ὥσπερ ἀκηκοότα τοῦ Θεοῦ ὑπισχνουμένου κινηθῆναι κατὰ τὸν καιρὸν τῆς ἐπιβουλῆς εἰς ἐκδίκησιν αὐτοῦ, καὶ θεῖναι τοὺς πτωχοὺς καὶ πένητας εἰς σωτηρίαν, καὶ παῤῥησιάσασθαι, τουτέστι, φανῆναι ἰσχυρὸς καὶ δίκαιος διὰ τῆς σωτηρίας αὐτῶν, ἐναντιωθησόμεθα τῇ ἐπιγραφῇ τῆς ὀγδόης.

12 ιβ´

1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.

Μετὰ τὴν μοιχείαν Βηρσαβεὲ, καὶ τὸν φόνον τοῦ ἀνδρὸς αὐτῆς Οὐρίου, διαφόροις περιπεσὼν πειρασμοῖς ὁ Δαυὶδ, ἥτε γὰρ θυγάτηρ αὐτοῦ παρὰ τοῦ ἀδελφοῦ αὐτῆς Ἀμνὼν ἐφθάρη, καὶ τὸν Ἀμνὼν ὁ ἀδελφὸς αὐτῆς Ἀβεσαλὼμ ἀνεῖλε, καὶ τῶν βασιλικῶν οἴκων οὐκ ἐλαχίστη γέγονε σύγχυσις· ἐπεὶ τελευταῖον καὶ τυραννίδα μελετήσας ὁ παῖς οὗτος Ἀβεσαλὼμ, ἀπήλασε μὲν αὐτὸν τῆς βασιλείας· οὐκ ἔστησε δὲ μέχρι τούτου τὸν θυμὸν, ἀλλὰ τὰς δυνάμεις | συνεκρότησε, καὶ παρεσκευάζετο καταδιῶξαι τὸν πατέρα καὶ ἀνελεῖν.

Ἀναλογιζόμενος ὁ Δαυὶδ τὸ πλῆθος καὶ μέγεθος τῶν συμφορῶν, ᾤετο διὰ τὴν δηλωθεῖσαν μοιχείαν καὶ τὸν φόνον ταῦτα πάσχειν, ἐγκαταλιπόντος αὐτὸν Θεοῦ, εἰ καὶ τηνικαῦτα συνεχωρήθη. Διὸ καὶ τὸν παρόντα συνέθηκε ψαλμὸν, μετὰ τὸν τρίτον, ὅτε ὁ Χουσὶ διασκεδάσας τὴν βουλὴν Ἀχιτόφελ, ὡς προειρήκαμεν, Ps 7.1
ἐμήνυσεν αὐτῷ τὴν μελέτην πᾶσαν Ἀβεσαλὼμ, καὶ τὸ πρακτέον ὑπέθετο.

Εἰς τὸ τέλος δ᾽ ἐπιγέγραπται, διὰ τὴν ἐν τούτῳ πρόῤῥησιν τῆς τοῦ πολεμοῦντος ἥττης, εἰς τέλος ἐκβεβηκυῖαν. *Ἀγαλλιάσεται γὰρ*, φησὶν, *ἡ καρδία μου ἐπὶ τῷ* Ps 12.6
σωτηρίῳ σου.

2α Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος;

[9β][13] ἐπιγράφεσθαι MC : ἐπιγέγραπται P : ἐπιγεγράφθαι HA[S]. 1[10] ᾤετο... ταῦτα MSCB : ᾤετο τὴν δηλωθεῖσαν μοιχείαν καὶ τὸν φόνον τὰ τοιαῦτα προξενῆσαι κακά P.

Λήθη μέν ἐστιν ἀποβολὴ μνήμης· τῷ Θεῷ δὲ, πάντα ἐνώπια, καὶ οὐχ αἱ πράξεις μόνον, ἀλλὰ καὶ τὰ νοῦ κινήματα. Λήθην οὖν ἐπὶ Θεοῦ, τὴν ἐγκατάλειψιν τῶν πεπλημμεληκότων οἰητέον, παραχωροῦντος πειράζεσθαι τούτους εἰς παίδευσιν. Τὸ δὲ, εἰς τέλος, ἀντὶ τοῦ, μέχρι πολλοῦ παρείληπται.

2β Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;

Πρόσωπον μέν ἐστι Θεοῦ, ἡ ἐποπτικὴ καὶ εὐεργετικὴ αὐτοῦ δύναμις· ἀποστροφὴ δὲ, ἡ πρὸς τοὐναντίον αὐτῆς ἐνέργεια, ἀποστρεφομένου τοὺς ἀναξίους τῆς ἐπισκοπῆς αὐτοῦ, διὰ τὸ βδελύττεσθαι τὰς πράξεις αὐτῶν.

Ἀπὸ τῶν ἀνθρωπίνων δὲ χαρακτηρίζει καὶ τὰ θεῖα. Καὶ γὰρ οἱ ἐγκαταλιμπάνοντές τινα, καὶ τὴν μνήμην αὐτοῦ συναπολιμπάνουσι, καὶ οἱ ἀποστρεφόμενοι οὐχ ὁρῶσιν οὓς ἀποστρέφονται.

3α Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός;

Φροντίζων καὶ μεριμνῶν πῶς ἂν ἀπαλλαγείην τῶν πειρασμῶν, καὶ μὴ δυνάμενος ἐλευθερίαν εὑρεῖν, ὀδυνῶμαι διὰ παντός.

3β Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ;

Ὁ πατραλοίας, ὁ διὰ πολλοῦ μηνίων μοι, ἀφ᾽ οὗ τὸν παῖδα Ἀμνὼν ἐθανάτωσεν.

Ὑψωθήσεται δὲ, ἀντὶ τοῦ, εὐπραγήσει. Ὁ μὲν γὰρ χαίρων, αἴρει τὴν κεφαλήν· ὁ δ᾽ ἀνιώμενος, συγκέκυφε, τεταπεινωμένος.

Ἢ ἐχθρὸν, τὸν διάβολον ὑποληπτέον· αὐτὸς γάρ ἐστιν ὁ τῶν πειρασμῶν αἴτιος, ἐπεμβαίνων τοῖς πάσχουσι, καὶ οἷον καταπατῶν καὶ θλίβων, ἐστερημένους τῆς παρὰ Θεοῦ ῥοπῆς.

4α Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου.

Πρὸς τὸ, ἀποστρέφεις, κατάλληλον τὸ, ἐπίβλεψον. Ἀξίωσόν με τῆς σῆς εὐμενείας· ἔπιδε κακῶς πάσχοντα, καὶ ἐλεήσας, εἰσάκουσόν μου, παρακαλοῦντος εἰς βοήθειαν.

4β Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον.

Τῆς νυκτός μοι περιχυθείσης τῶν συμφορῶν, κατέσχε τοὺς ὀφθαλμούς μου ὕπνος τῆς ἀθυμίας· εἰώθασι γὰρ εἰς ὕπνον οἱ λυπούμενοι καταφέρεσθαι, τῆς ὀδύνης τῆς καρδίας σκότον καὶ βάρος ἐμποιούσης τοῖς ὀφθαλμοῖς.

Φώτισον οὖν αὐτοὺς, τουτέστι, καθαρῶς ὁρᾶν δὸς, χαρὰν ἐνσταλάξας τῇ καρδίᾳ μου, ὑφ᾽ ἧς αὔτη σκιρτῶσα, τὸν ὕπνον ἀποδιώξει τῶν ὀφθαλμῶν, μήποτε ὁ ὕπνος οὗτος εἰς θάνα | τόν μοι καταλήξῃ δι᾽ ἀθυμίας ὑπερβολὴν, μήποτε ὑπνώσω θανάσιμον.

3β[6] ἐστερημένους MSHC : ἐστερημένοις V.

Ἢ καὶ ὀφθαλμοὺς, τοὺς τῆς ψυχῆς λέγει, δηλαδὴ τὸν νοῦν, ὡς ἐσκοτισμένον ὄντα τῷ ζόφῳ τῆς ἁμαρτίας, ὃν ἀπαλλαγῆναι τοῦ σκότους ἱκετεύει, μήπως, φησὶν, ἀποθάνω τὸν ἐν ἁμαρτίαις θάνατον, νεκρὸς εἰς ἀρετὴν ἤδη γινόμενος· ἢ καὶ τὸν ἐν ἀπογνώσει, νεκρωθεὶς ὅλος εἰς ἐλπίδα τὴν σήν.

5α Μήποτε εἴπῃ ὁ ἐχθρός μου, Ἴσχυσα πρὸς αὐτόν.

Εἰ γὰρ τοιοῦτόν τι πείσομαι, τῇ ἑαυτοῦ δυνάμει ὁ ἐχθρὸς τὸν ἐμὸν θάνατον ἐπιγράψεται, ὡς καὶ τῶν ἀλγεινῶν γενόμενος αἴτιος. Ἐχθρὸν δὲ νοήσεις, εἴτε τὸν ὁρατὸν, εἴτε τὸν ἀόρατον.

5β Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ.

Εἰ παρακινηθῶ ἀπὸ τῆς ἐν σοὶ ἀσφαλείας, οἱ ἐχθροί μου χαρήσονται, κατακρημνισθῆναί με τοῦ λοιποῦ θαῤῥοῦντες, ὡς οὐκ ἔχοντα σωτηρίας βάσιν.

6α Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα.

Τὴν ἐξ ἀρετῶν παῤῥησίαν ἀπολωλεκὼς, δι' ἃ πέπραχα κακὰ, ἐπὶ τῷ ἐλέει σου μόνῳ ἤλπισα· δαψιλὲς γὰρ τοῦτο, καὶ ἀνεξάντλητον.

6β Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου.

Προκατιδὼν τὴν τοῦ πολεμοῦντος ἧτταν τοῖς προβλεπτικοῖς ὄμμασιν, ἐγὼ δὲ, φησὶν, εὐφρανθήσομαι ἐπὶ τῇ παρὰ σοῦ δωρουμένῃ μοι σωτηρίᾳ.

6γ Ἄισω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

Ἄισω διὰ γλώττης, ψαλῶ δὲ, διὰ τοῦ ὀργανικοῦ ψαλτηρίου· ἢ καὶ θεωρητικῶς εὐφρανῶ, καὶ πρακτικῶς.

Ἁρμόζει δὲ οὗτος ὁ ψαλμὸς καὶ πᾶσιν ἀδικουμένοις.

13 ιγ´

1α Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.

Καὶ οὗτος ὁ ψαλμὸς πέρας ὑπισχνεῖται τῶν ἐν αὐτῷ προηγορευμένων. Οἱ μὲν γὰρ αὐτὸν προλέγειν φασὶ τὰ χρόνοις ὕστερον ἐπὶ Ἐζεκίου τοῦ βασιλέως Ἰερουσαλὴμ καὶ τοῦ πολιορκοῦντος αὐτὸν Ἀσσυρίου Σεναχηρεὶμ γεγενημένα· οἱ 4Rg 18-19
δὲ τὰ ἐπὶ τῶν χρόνων καθ' οὓς ὁ Κύριος ἐνηνθρώπησεν. Ἡμεῖς δὲ καὶ ἄμφω τὰς ἐξηγήσεις ἀποδώσομεν.

[4β][3] γινόμενος M : γενόμενος S : γεγονώς H.

1β Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός.

Ὁ ἄφρων Σεναχηρεὶμ ἐν τῇ ἑαυτοῦ καρδίᾳ ἀπεφήνατο μὴ εἶναι Θεὸν, τὸν Θεὸν τῶν Ἰουδαίων. Εἰ γὰρ ἐφρόνει, οὐκ ἂν εἰς τοιοῦτον ἦλθε λογισμὸν, καὶ ταῦτα καθ' ἑκάστην ἀκούων, ὅσα παράδοξα κατὰ τῶν ἐχθραινόντων Ἰουδαίοις ὁ Θεὸς ἐποίησεν. Οὕτω δὲ παρ' ἑαυτῷ λογισάμενος, καὶ διὰ προφορικοῦ λόγου τὸν Θεὸν ἐβλασφήμησε, τὸν ἄρχοντα τῶν δυνάμεων αὐτοῦ Ῥαψάκην τῷ τείχει τῆς πόλεως παραστήσας, καὶ δι' αὐτοῦ μηνύσας, οἷα τὴν κατ' αὐτὸν ἀναγινώσκοντες εὑρίσκομεν ἱστορίαν. 4Rg 18.17-35

1γ Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν.

Οἱ ἀμφὶ τὸν Σεναχηρεὶμ διεφθάρησαν μὲν, ἐκπεσόντες τῆς ὀρθῆς ὑπολήψεως, ἐβδελύχθησαν δὲ τῷ Θεῷ, διὰ τὰς ἀνοσίους πράξεις αὐτῶν. Ὕβριζον γὰρ τὸν Θεὸν, καὶ ὡς μὴ ὄντι Θεῷ, ἀσθένειαν ὠνείδιζον, καὶ τῷ λαῷ αὐτοῦ πανωλεθρίαν ἠπείλουν. Καὶ οὕτως ἀλαζονευόμενοι, μέθαις καὶ ἀσελγείαις, ἐνιλυσπῶντο καὶ κατεμολύνοντο.

Νοοῖτο δ' ἂν καὶ καθ' ὑπερβατὸν ὁ στίχος, | ὅτι διεφθάρησαν ἐν ἐπιτηδεύμασι, καὶ ἐβδελύχθησαν.

1δ Οὐκ ἔστι ποιῶν χρηστότητα.

Οὐδεὶς ἐν αὐτοῖς χρηστὸς, ἀλλὰ πάντες πονηροί.

2 Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν ἢ ἐκζητῶν τὸν Θεόν.

Ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἀντὶ τοῦ, ἐπὶ τοὺς ἀνθρώπους ἐκείνους, τοὺς ἔχοντας ὡς εἰρήκαμεν. Ἐκ τοῦ οὐρανοῦ δὲ, ἐφ' οὗ κατοικεῖν ὑπολαμβάνεται, κατὰ τὸ, *Ὁ κατοικῶν ἐν οὐρανοῖς*. Ἐπέβλεψε δὲ, ὥστε ἰδεῖν, εἴ τις ἐν αὐτοῖς ἔστι Ps 2.4
συνιὼν ἀπὸ τῶν τεραστίων τὸν Θεὸν, ἢ ἐκζητῶν αὐτὸν, τουτέστιν, ἐπικαλούμενος, ὡς τὸ, *Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου*· τινὲς γὰρ συνιέντες ἔν τισιν, Ps 33.5
ἐθελοκακοῦσιν.

Ἀνθρωπίνως δὲ τὸν Κύριον ἐσχημάτισεν, ὡς ἐξ ὑπερῴων ἐπικύπτοντα, καὶ θεώμενον· καὶ γὰρ ἁπανταχοῦ παρὼν, ἅπαντα γινώσκει. Καὶ παρατηρητέον ὅτι τὸ σχῆμα τοῦτο πολλαχοῦ κεῖται τῆς Γραφῆς. Ἄλλωστε δὲ, καὶ τὸ παντέφορον τοῦτο μηνύει τῆς θείας ἐπισκοπῆς, ὡς ἐξ οὐρανοῦ βλέπειν εἰς γῆν, καὶ διαγινώσκειν, μηδὲν εἴργοντος τοῦ τοσούτου διαστήματος.

3 Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.

Ἐξέκλιναν μὲν εἰς τὰ προῤῥηθέντα ἐπιτηδεύματα· ἠχρειώθησαν δὲ, βδελυροὶ γεγονότες, καὶ οὐδὲ κἂν γοῦν εἷς ἐν αὐτοῖς χρηστός.

4α Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν;

Τοῦτο κατ᾽ ἐρώτησιν ἀναγωστέον, ἵνα ἐμφήνῃ τοιοῦτον νοῦν, ὡς εἰ καὶ εἶπον μὴ εἶναι Θεὸν τὸν Θεὸν, ἆρ᾽ οὐ γνώσονταί ποτε πάντες οὗτοι οἱ ἀκόλαστοι καὶ κατὰ γλῶσσαν καὶ πᾶσαν ἄλλην ἡδονὴν, ὅτι Θεός ἐστιν ὁ τῶν Ἰουδαίων Θεός; Ναὶ, γνώσονται, ὅταν πέντε καὶ ὀγδοήκοντα καὶ ἑκατὸν ἀναιρεθήσονται χιλιάδες ὑπὸ τοῦ ἀγγέλου τοῦ Θεοῦ. Καὶ αὐτὸς δὲ φεύγων αἰσχρῶς ὁ Σεναχηρεὶμ εἴσεται 4Rg 19.35
τὸν ἐγείραντα τὸ τρόπαιον· ἢ μὴ μόνον αὐτοὺς, ἀλλὰ καὶ πάντα τ᾽ ἄλλα ἄνομα ἔθνη, μεμαθηκότα λέγειν τὴν τηλικαύτην Ἀσσυρίων ἀπώλειαν, ἐπιγνῶναι ὅτι Θεός ἐστιν ὁ διαφθείρας αὐτούς.

4β Οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου, τὸν Κύριον οὐκ ἐπεκαλέσαντο.

Τοῦτο τὸ ῥητὸν ἐκ προσώπου τοῦ Θεοῦ λέλεκται· ὅτι οἱ δαπανῶντες καὶ ἀναλίσκοντες δίκην βρώσεως ἄρτου τὸν λαόν μου, ἐν στόματι πολιορκίας καὶ λιμοῦ καὶ ἀπειλῆς, ἐμὲ τὸν Κύριον πάντων οὐκ ἐπεκαλέσαντο, τουτέστιν, οὐκ ὠνόμασαν Θεόν.

Λέγοιντο δ᾽ ἂν καὶ λαὸς τοῦ Δαυὶδ, οἱ πολιορκούμενοι τότε, ὡς ἐκ τῆς αὐτοῦ καταγόμενοι βασιλείας, ἵνα καὶ προσώπῳ τοῦ Δαυὶδ ὁ λόγος εἴη, Κύριον οὐχ ἑαυτὸν, ἀλλὰ τὸν Θεὸν εἰπόντος.

5α Ἐκεῖ ἐδειλίασαν φόβον, οὗ οὐκ ἦν φόβος.

Ἐν Ἰερουσαλὴμ· τότε ἐδειλίασαν οἱ ἀμφὶ τὸν Ἐζεκίαν, ἐν φόβῳ τοῦ Σεναχηρεὶμ, οὗ οὐκ ἦν φόβος, τουτέστιν, ὃν οὐκ ἔδει φοβηθῆναι, μὴ δυνάμενον φοβῆσαι διὰ τὸ ἔχειν ἀντίπαλον τὸν Θεόν· τοῦτο γὰρ ἐδήλωσε διὰ τῶν ἑξῆς, εἰπών·

5β Ὅτι Κύριος ἐν γενεᾷ δικαίων.

Δικαίους λέγει, τοὺς εὐσεβεῖς· τοιοῦτοι δὲ οἱ περὶ τὸν Ἐζεκίαν, θεοφιλῶς τοὺς ὑπηκόους ποιμαίνοντα. Γενεὰν δὲ εἴρηκεν, ὅτι πάντες ἐκ μιᾶς ῥίζης οἱ Ἰσραηλῖται.

Ἢ καὶ αὖθις, ἐκεῖ ἐδειλίασαν οἱ ἀμφὶ τὸν Σεναχηρεὶμ ἐν φόβῳ Θεοῦ, οὗ φόβος | οὐκ ἦν παρ᾽ αὐτοῖς πρὸ πείρας. Καὶ γὰρ αὐτὸς ὁ Θεὸς ἦν ἐν τῷ γένει τῶν πολιορκουμένων Ἰουδαίων, ὑπὲρ αὐτῶν μαχόμενος.

Ἢ καὶ ἐδειλίασαν ἐν φόβῳ τοῦ Ἐζεκίου, οὗ οὐκ ἦν φόβος, μᾶλλον ὑποπτήσσοντος, καὶ εἰς τὴν αὔριον προσδοκῶντος μετὰ τῶν σὺν αὐτῷ πάντων ἀναιρεθῆναι· κατασφαττόμενοι γὰρ οἱ Ἀσσύριοι, ἐδόκουν ὑπὸ τοῦ βασιλέως Ἰουδαίων ἀνῃρῆσθαι, καὶ ὅτι Θεός ἐστιν ὁ Θεὸς Ἑβραίων, βοηθῶν αὐτοῖς, ἐντεῦθεν ἐμάνθανον.

5β[9] ἀνῃρῆσθαι PHV : ἀναιρεῖσθαι MS.

6 Βουλὴν πτωχοῦ κατησχύνατε, ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστι.

Τοῦτο λέγει πρὸς τοὺς Ἀσσυρίους, ὅτι ἐφαυλίσατε, καὶ ἐξουθενήσατε τὴν σκέψιν ἣν ἐσκέψατο Ἐζεκίας ὁ πτωχὸς, ὅσον ἐπὶ τῇ τοῦ πολέμου παρασκευῇ. Ἐβουλεύσατο δὲ, τῶν ἄλλων ἁπάντων ἀπογνοὺς, ἐν σάκκῳ καὶ σποδῷ καταφυγεῖν εἰς Θεὸν, ὃ μεμαθηκότες οἱ τοῦ Σεναχηρεὶμ, διεκωμῴδησαν, ὡς ἀνωφελές. Ὑμεῖς μὲν οὖν, φησὶ, κατησχύνατε τὴν βουλὴν αὐτοῦ· αὐτὸς δὲ τὸν Κύριον ἐλπίδα ἔχει, προσδοκῶν αὐτὸν μόνον βοηθόν.

7α Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;

Τίς τῶν κατοικούντων ἐν Σιὼν δώσει τὴν σωτηρίαν τῶν Ἰσραηλιτῶν, ἄγαν ἠσθενηκότων; καὶ τίς αὐτοὺς ῥύσεται τῶν χειρῶν τοῦ Σεναχηρείμ; Οὐδεὶς ἀνθρώπων, εἰ μὴ ὁ Θεὸς, ἐφ' ὃν ἤλπισαν, καὶ οὗτος γὰρ ἐν τῷ ναῷ τῆς Σιὼν ἐδόκει οἰκεῖν.

7β Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ.

Αἰχμαλωσίαν μὲν λέγει, οὐ γενομένην, ἀλλὰ δοκοῦσαν αὐτοῖς ὑπὸ τοῦ ἐπηρτημένου φόβου τῆς ὅσον οὔπω ἁλώσεως· κεκυκλωμένοι γὰρ καὶ σεσαγηνευμένοι ταῖς αἰχμαῖς, τρόπον τινὰ κατείχοντο.

Ἰακὼβ δὲ καὶ Ἰσραὴλ, αὐτοὺς δὴ τούτους, ὡς καταγομένους ἐκ τῆς ῥίζης Ἰακὼβ, τοῦ καὶ Ἰσραήλ. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι τοῦ Κυρίου Gen 32.29 ἐλευθερώσαντος αὐτοὺς, οἷον αἰχμαλωτισθέντας, ἀγαλλιάσονται οἱ ἐλευθερωθέντες καὶ εὐφρανθήσονται· καὶ ἀγαλλιάσονται μὲν σωματικῶς, εὐφρανθήσονται δὲ καὶ ψυχικῶς· τοῦτο μὲν, τῇ εὐθηνίᾳ τῆς τροφῆς, τοῦτο δὲ, τῇ μελέτῃ τῶν θείων λογίων, ὧν ἐν ταὐτῷ εἴργοντο πολιορκούμενοι.

Ἀλλὰ κατὰ μὲν Ἐζεκίαν καὶ Σεναχηρεὶμ, οὕτως ἐποιησάμεθα τὴν ἐξήγησιν. Ἐξηγητέον δὲ λοιπὸν, καὶ κατὰ τὰ ἐπὶ τῶν χρόνων καθ' οὓς ὁ Κύριος ἐνηνθρώπησεν.

[1β] Εἶπε, φησὶν, ὁ ἀνόητος Ἰουδαίων δῆμος, ὁ μὴ συνιεὶς τὰς περὶ Χριστοῦ προφητείας, ὅτι *Οὐκ ἔστι Θεὸς*, ὁ τὰς θεοσημείας ἐν αὐτοῖς ἐργαζόμενος Χριστός. Οὕτω δὲ παρ' ἑαυτῷ πρῶτον λογισάμενος, καὶ φανερῶς αὐτῷ τὴν τοῦ Θεοῦ κλῆσιν ἐνεκάλει. Τὰ δὲ ἑξῆς, κατὰ τὴν ἀνωτέρω νοητέον ἐξήγησιν.

[1δ] *Οὐκ ἦν δὲ ποιῶν χρηστότητα* ἐν αὐτοῖς, δηλαδὴ τοῖς μὴ δεξαμένοις τὴν διδασκαλίαν αὐτοῦ.

[2] *Κύριος δὲ ἐκ τοῦ οὐρανοῦ διέκυψε*, τουτέστιν, ὁ Υἱὸς, ἐξ οὐρανοῦ διακύψας, κατῆλθεν εἰς γῆν ἐπὶ τοὺς ἀνθρώπους, καὶ διὰ σαρκὸς ὡμίλησε τούτοις· κύπτειν γὰρ, τὸ ἐξ ὕψους εἰς γῆν κάμπτεσθαι. Τὰ δὲ ἑξῆς, κατὰ τὴν ἀνωτέρω ἐξήγησιν.

6[7] βοηθόν M : βοηθὸν ἔχειν P. 7β[11] λογίων M : λόγων P.

[3] Τὸ δὲ, *Οὐκ ἔστιν ἕως ἑνὸς*, ἀντὶ τοῦ, εἰ μὴ εἷς, ἤγουν ὁ Χριστὸς, μόνος ἐν αὐτοῖς ἀγαθοεργὸς ἀναστρεφόμενος.

[4α] Τὸ δὲ, *Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν*, κατὰ ἀπόφασιν ἀναγνωστέον ἐνταῦθα· οὐ γὰρ ἠθέ | λησαν αὐτὸν ἐπιγνῶναι, οἱ δίκην ἀνόμων ἐθνῶν φθονοῦντες καὶ πονηρευόμενοι.

[4β] Τὸ δὲ, *Οἱ ἐσθίοντες τὸν λαόν μου*, λεκτέον ἐκ προσώπου τοῦ Χριστοῦ, πρὸς τοὺς ἀχαρίστους Ἰουδαίους, ἐσθίοντας ἐν στόματι μαχαίρας καὶ πάσης κακώσεως τοὺς μαθητὰς αὐτοῦ, δίκην βρώσεως ἄρτου, οἳ τὸν Κύριον αὐτῶν, τουτέστι, τὸν Υἱὸν τοῦ Θεοῦ, οὐκ ὠνόμασαν Θεόν.

[5α] Ἐκεῖ δὲ ἐδειλίασαν ἐν φόβῳ, ὅπου οὐκ ἦν φόβος· ηὐλαβοῦντο γὰρ ὁμολογῆσαι
Θεὸν τὸν Χριστὸν, μήποτε παραβῶσι τὸν νόμον, θεσπίζοντα ὅτι *Οὐκ ἔσται σοι*
Θεὸς ἕτερος. Καὶ αὖθις τότε ἐδειλίασαν, ὅτε οὐκ ἦν φόβος, ὅτε γὰρ ἀναρτήσαντες Ex 20.3
αὐτὸν ἐπὶ σταυροῦ, ἔδοξαν ἀπαλλάχθαι αὐτοῦ, τεθνηκότος ἤδη· τότε ἐφοβήθησαν
σφόδρα, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα τηνικαῦτα σημεῖα. Καὶ πάλιν Mt 27.54
δειλιάσαντες, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς, κλέψωσιν αὐτὸν, καὶ διὰ τοῦτο στρατιώτας ἐπιστήσαντες τῷ τάφῳ, ἐκεῖ ἐδειλίασαν ἐν φόβῳ, ὅπου οὐκ ἦν φόβος· οὐδὲ γὰρ εἰς νοῦν οἱ μαθηταὶ τὸ τοιοῦτον ἔβαλον, ἐκείνου προειπόντος αὐτεξουσίως ἀναστῆναι μετὰ τρίτην ἡμέραν.

[5β] Ὁ δὲ *Κύριος ἐν γενεᾷ δικαίων*, ἀντὶ τοῦ, ἐν τῷ συστήματι τῶν ἐξ ἐθνῶν πεπιστευκότων, οἳ μετὰ τὴν ἐπίγνωσιν, ὁδῷ δικαίᾳ καὶ βασιλικῇ ἐπορεύθησαν. Τῶν γὰρ Ἰουδαίων μὴ δεξαμένων αὐτὸν, ἐπὶ τὰ ἔθνη μετέθετο.

[6] Τὸ δὲ, *Βουλὴν πτωχοῦ κατῃσχύνατε*, νοήσομεν εἰρῆσθαι πρὸς Ἰουδαίους, διὰ τὸν ἐξ ἐθνῶν λαὸν, τὸν πάλαι μὲν πτωχὸν τὴν οὐσίαν τῆς θεογνωσίας, ἧς ἐξέπεσεν εἰς εἴδωλα κατενεχθεὶς, ὕστερον δὲ, καὶ τὴν ἐν χρήμασι περιουσίαν διὰ Χριστόν· τούτου γὰρ τοῦ λαοῦ τὴν βουλὴν ἐφαύλισαν Ἰουδαῖοι καὶ διεκωμῴδησαν, ὡς ματαίαν· βουλὴ δὲ τούτου ἦν, τὸ παραδέξασθαι τὴν εἰς Χριστὸν πίστιν.

[7α] Τὸ δὲ, *Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραὴλ*, ἀντὶ τοῦ, τίς ἀναβὰς εἰς
τὸ κυκλοῦν τὴν Ἰερουσαλὴμ ὄρος, Σιὼν καλούμενον, ἀναγνώσεται τῷ λαῷ τὸ Dt 31.10-11
σωτήριον, τουτέστι, τοὺς νόμους; Ἔθος γὰρ ἦν ἐν ἡμέραις ὡρισμέναις τοῦτο ποιεῖν. 2Esd 18.2-18
Τοῦτο δὲ λέγει προφητεύων, ὡς τῆς Ἰερουσαλὴμ ὑπὸ Ῥωμαίων πολιορκηθείσης, τοῦ Εὐαγγελίου τε τὰ πέρατα τῆς γῆς περιλαβόντος, οὐκ ἔτι τοῦτο γενήσεται.

[7β] Ἐν τῷ ἐπιστρέψαι δὲ τὸν Χριστὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ· *Δώσω*
σοι γὰρ, φησὶν, *ἔθνη τὴν κληρονομίαν σου*, ἣν ᾐχμαλώτευσε τῷ δόρατι τῆς Ps 2.8α
πλάνης ὁ διάβολος.

Ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραὴλ, τουτέστιν, οἱ ἐκ τῆς
ῥίζης Ἰακὼβ, τοῦ καὶ Ἰσραὴλ, φύντες προφῆται, οἳ τοῦτο προκατήγγειλαν· Mt 13.17
ἀγαλλιάσονται δὲ, καὶ εὐφρανθήσονται, βλέποντες τῶν προφητειῶν αὐτῶν τὰς Jn 8.56
ἐκβάσεις. Ἢ Ἰακὼβ καὶ Ἰσραὴλ, οἱ πιστεύσαντές εἰσιν, ὡς ἀντεισαχθέντες τῶν Ἰουδαίων, οἷς ἦν πρόγονος Ἰακώβ. Ἐπιστρέψαι δὲ, τὸ ἀποστρέψαι εἰς τὰ οἰκεῖα, ὧν ἐξέπεσον.

14 ιδʹ
1α Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.

Καὶ ἄλλως, εἰς τὸ τέλος, οὗτος ἐπιγέγραπται, διότι ὁποῖον εἶναι χρὴ τὸν κατ᾿ ἀρετὴν τέλειον ὑπογράφει.

1β *Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου, ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;*

Ὁ μὲν Ἰουδαῖος ἀκούων, *σκήνωμα Θεοῦ*, καὶ, *ὄρος ἅγιον*, εὐθὺς τὸν | ἐν Ἱεροσολύμοις ἐννοεῖ ναὸν καὶ τὸ γειτνιάζον ὄρος Σιών· ἴστω δὲ, ὅτι οὔπω οὔτε ὁ ναὸς ᾠκοδόμητο, οὔτε τὸ ὄρος Σιὼν ἡγίαστο· μετὰ γὰρ τὸν Δαυὶδ πάντα γεγόνασι. Λοιπὸν οὖν ἀνακτέον τὰ ῥητά.

Σχηματίζει γὰρ τὸν λόγον ὁ Δαυὶδ εἰς ἐρώτησιν, πυνθανόμενος, ὅτι τίς ἐστιν, ὃς ποιήσει τόδε καὶ τόδε;

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου;

Παροικία μέν ἐστιν, ἡ ἐν ἀλλοτρίῳ οἴκῳ πρόσκαιρος διατριβή· σκήνωμα δὲ ψυχῆς, τὸ σῶμα, ᾧ ἐγκατῴκισται. Ἐρωτᾷ δὲ μαθεῖν τίς ἐστιν ὁ τέλειος, ὃς παροικίαν πρόσκαιρον ἡγήσεται τὴν ἐν σώματι ζωὴν, καὶ ὡς ἀλλοτρίῳ τῷ σώματι χρήσεται, μικρὰ τούτου φροντίζων. Τὴν δὲ *σου* ἀντωνυμίαν προσέθηκε τῷ σκηνώματι, δηλῶν, ὅτι τοῦ Θεοῦ καὶ Λόγου ἔργον ἐστὶ, καὶ παρ᾿ αὐτοῦ τῇ ψυχῇ ᾠκοδομήθη· ἢ ὅτι καὶ αὐτὸς τοῦτο σκηνώσει ποτὲ, δι᾿ ἡμᾶς γινόμενος ἄνθρωπος.

Ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;

Κατασκήνωσις μὲν, ἡ ἐξ ὁδοιπορίας βεβαία κατάπαυσις· ὄρος δὲ ἅγιον, ὁ ὑπερουράνιος τόπος, τῶν ταπεινῶν καὶ ἐγκοσμίων ὑπερηρμένος. Φησὶ γὰρ ὁ Ἀπόστολος, *Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἰερουσαλὴμ ἐπουρανίῳ*. Καὶ τίς, φησὶν, ἀπὸ τοῦ παρόντος βίου, ὅς ἐστι στάδιον, εὐθυδρομήσας, Heb 12.22
κατασκηνώσει ἐν ταῖς ἐπουρανίαις σκηναῖς ταῖς αἰωνιζούσαις;

2α *Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην.*

Τοῦτο, τῆς ἐρωτήσεως ἡ ἀπόκρισις, ὡς ἐκεῖνος παροικήσει καὶ κατασκηνώσει, ὁ κεκτημένος τὰ ῥηθῆναι μέλλοντα, καὶ διαζωγραφεῖ τῷ λόγῳ τὸν ἐνάρετον.

Ἐκεῖνος, φησὶν, ὃς ἂν πορεύηται ἄμεμπτος, καὶ ἐργάζηται δικαιοσύνην. Καὶ ἄμωμον μὲν οἰητέον, τὸν ἐν θεωρίᾳ τελειούμενον· διὰ ταύτης γὰρ πορεύεται πρὸς οὐρανὸν ὁ νοῦς. Δίκαιον δὲ, τὸν πράξει καταρτιζόμενον· ἡ ἐργασία γὰρ, πράξεως.

Ἐνεστῶτι δὲ χρόνῳ ἐπ᾿ ἀμφοῖν ἐχρήσατο, διὰ τὸ μὴ χρῆναί ποτε λήγειν τὸν οὕτως ἔχοντα.

Πολυμεροῦς δὲ τῆς πρακτικῆς οὔσης, περιέλαβε πᾶσαν τῷ τῆς καθόλου δικαιοσύνης ὀνόματι· μόνη γὰρ ἡ δικαιοσύνη πάσαις ἐποχεῖται ταῖς ἀρεταῖς. Δικαιοσύνη γάρ ἐστιν, ἡ ἑκάστης οἰκειοπραγία. Καθόλου δὲ τὴν δικαιοσύνην θεὶς, εἶτα καὶ κατὰ μέρος αὐτὴν ἐπέξεισι.

2α[5] πορεύεται M : ὁδεύει P.

2β Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ.

Ἀληθῆ δογματίζων καὶ λογιζόμενος.

3α Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ.

Προσέτι ἀληθῆ καὶ ἄδολα λέγων, τουτέστιν, ἀληθῆ καὶ λογιζόμενος ἐν ἑαυτῷ καὶ λέγων πρὸς ἄλλους.

Διὰ μὲν γὰρ τῆς καρδίας, τὸν ἐνδιάθετον λόγον ἐδήλωσε, διὰ δὲ τῆς γλώσσης, τὸν προφορικόν.

3β Καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν.

Πλησίον ἐσμὲν ἀλλήλων, ἢ τῇ φύσει τῆς ἀνθρωπότητος, ἢ τῷ ταὐτῷ τῆς πίστεως, ἢ τῇ σχέσει τοῦ γένους. Κακὸν δὲ λέγει, τὴν βλάβην.

Ἀκολούθως δὲ, πρῶτον ἐμνημόνευσε καρδίας, εἶτα γλώσσης, εἶτα ποιήσεως· ἐνθυμεῖται γάρ τις, εἶτα λέγει, εἶτα ποιεῖ.

3γ Καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα αὐτοῦ.

Ταὐτὸν ἔγγιστα καὶ πλησίον· καὶ ὃς οὐκ ἔλαβεν ὀνειδισμὸν, καθάπερ ὅπλον, κατὰ τῶν ἔγγιστα αὐτοῦ, | τουτέστιν, ὃς οὐκ ὠνείδισεν αὐτοὺς πλημμελήσαντας ἢ πηρωθέντας ἢ ἄλλως ἀτυχοῦντας.

Ὁ μὲν γὰρ ὀνειδισμὸς, τέλος ἔχει κωμῳδίαν· ὁ δὲ ἔλεγχος, διόρθωσιν σφάλματος· ὅθεν τὸν ἔλεγχον μὲν ἐπὶ καλοῦ λαμβάνομεν, οὐδέποτε δὲ τὸν ὀνειδισμὸν, ὡς ἐναντιώτατον.

4α Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει.

Διανέμων γὰρ ἑκάστῳ τὰ πρὸς ἀξίαν, τὸν μὲν πονηρὸν, οὐδενὸς ἄξιον ἡγεῖται φαυλίζων, κἂν πλούτῳ, κἂν εὐγενείᾳ κομᾷ, κἂν ἄλλῃ περιφανείᾳ λαμπρότατός ἐστι, τοὺς δὲ φοβουμένους τὸν Θεὸν, μεγαλύνει, κἂν ἐν τοῖς ἐναντίοις ἀτυχήμασιν εὑρίσκωνται· *Μακάριοι γὰρ πάντες οἱ φοβούμενοι τὸν Κύριον.* Ps 127.1

4β Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν.

Τὸ ὀμνύειν, ἀντὶ τοῦ, διαβεβαιοῦσθαι, παραλαμβάνουσιν οἱ παλαιότεροι. Ὅρκος γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ βεβαίωσις λόγου, μάρτυρα παραλαμβάνουσα τὸν Θεόν.

Ἦ καὶ τῇ παλαιᾷ νομοθεσίᾳ συγκεχωρημένος ἦν, ὁ κατὰ Θεοῦ γινόμενος ἀληθὴς ὅρκος, ἵνα μὴ κατὰ τῶν εἰδώλων ὀμνύοντες συλαγωγηθεῖεν. Ὁ δὲ τοῦ Εὐαγγελίου

3γ[5] κωμῳδίαν... διόρθωσιν PHV : κωμῳδίας... διόρθωσις MSC.

νόμος, τοῖς τελειοτέροις τὰ τελειότερα νομοθετῶν, παντάπασιν τὸν ὅρκον ἐξέκοψεν. Mt 5.34

Εἰσὶ δέ τινες λόγοι, σχήματα μὲν ὅρκων ἔχοντες, οὐχ ὅρκοι δὲ ὄντες, ἀλλὰ θεραπεία πρὸς τοὺς ἀκούοντας. *Νὴ τὴν ὑγείαν Φαραὼ*, φησί· καὶ πρὸς Κορινθίους ὁ Ἀπόστολος, *Νὴ τὴν ὑμετέραν καύχησιν*. Gen 42.15,16 1Cor 15.31

Τύπον δὲ Χριστιανοῖς ὅρκων ὁ θεσπέσιος κατέλιπε Παῦλος, εἰπὼν, *Μάρτυς μού ἐστιν ὁ Θεὸς, ᾧ λατρεύω*· καὶ πάλιν, *Μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι*, καὶ τὰ τοιαῦτα. Ro 1.9 2Cor 1.23

5α Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ.

Τοῖς ἀρχαίοις λίαν ἐπονείδιστον ἦν ἡ τοκογλυφία, καὶ αἰσχρὸν καὶ κατάπτυστον· ὁ γὰρ ἐλεήμων, ἐν καιρῷ δανείζων, ἀγαπητὸν ἡγεῖται μόνον ἀπολαβεῖν ὃ δέδωκε. Dt 23.20

Νοοῖτο δ᾽ ἂν καὶ οὕτως, ὅτι τὸν περὶ εὐσεβείας λόγον, ὅς ἐστιν *ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ*, οὐ κατεβάλετο χάριν τοῦ κομίσασθαί τι σωματικὸν ἀγαθὸν, ἀλλὰ προῖκα καὶ ἀμισθὶ πάντας ἐδίδαξε. Ps 11.7β

5β Καὶ δῶρα ἐπ᾽ ἀθῴοις οὐκ ἔλαβεν.

Ἕνεκεν ἀθῴων, ὥστε βλάψαι τοὺς ἀναιτίους.

5γ Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

Διαζωγραφήσας τὸν εἰς ἀρετὴν τέλειον, ἐπέθηκε τῷ λόγῳ τέλος ἐπάξιον. Ὁ ποιῶν γὰρ, φησὶ, τὰ προειρημένα, τέλειος ὢν, οὐ παρακινηθήσεται τῆς ἐν Θεῷ βάσεως. Τὸ δὲ, *εἰς τὸν αἰῶνα*, ἀντὶ τοῦ, διὰ παντὸς, ἢ καὶ κατὰ τὸν παρόντα βίον· εἰ δὲ κατὰ τὸν παρόντα, πολλῷ μᾶλλον κατὰ τὸν μέλλοντα.

15 ιε´

1α Στηλογραφία τῷ Δαυίδ.

Στῆλαι καὶ εἰκόνες καὶ ἀνδριάντες τοῖς ἀριστεῦσιν εἰς ἀνεξάλειπτον κλέος ἀπονενέμηνται, κηρύττουσαι τὴν ἐκείνων ἀνδραγαθίαν. Ὅθεν ἀντὶ τούτων, ὁ παρὼν ψαλμὸς ἀνετέθη τῷ νικητῇ Χριστῷ, καθελόντι τῷ τοῦ σταυροῦ δόρατι καὶ τὸν θάνατον καὶ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου διάβολον. Ἀναμαρτήτου γὰρ μείναντος, οὔτε ἡ ψυχὴ αὐτοῦ τῷ Ἅιδη ἐγκατελείφθη, μάλιστα καὶ σκυλεύσασα τοῦτον, οὔτε ἡ σὰρξ εἶδε διαφθορὰν, τριήμερος ἀναστᾶσα, περὶ οὗ καὶ Πέτρος ὁ Ἀπόστολος ἐν τῇ βίβλῳ | τῶν Πράξεων διέλαβεν, ἐφαρμόζων τῷ Χριστῷ τὸν παρόντα ψαλμόν. Ἐπὶ τοῖς οἰκείοις οὖν κατορθώμασιν ἑαυτῷ τὴν στήλην ταύτην ἀνέστησε διὰ γλώττης τοῦ Δαυὶδ ὁ Σωτὴρ, τοῦ παναγίου Πνεύματος ἐμπνεύσαντος καὶ κινήσαντος τὸν προφήτην. Ἀναγράφει δὲ τὸ εἶδος τῆς νίκης, καὶ ὅσα πρὸ τοῦ τέλους αὐτῆς ἐγένετο. Heb 2.14 Ac 2.25-31

1β Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Ἀνθρωποπρεπεῖς οἱ τοῦ ψαλμοῦ λόγοι. Καὶ γὰρ οὐχ ὡς Θεὸς, ἀλλ᾽ ὡς ἄνθρωπος κατεπολέμησε τὸν ἐχθρὸν, ἅμα μὲν διδάσκων, ὥς ἐστιν εὐκαταγώνιστος τοῖς νήφουσιν, ἅμα δὲ καὶ τοὺς τρόπους δι᾽ ὧν αὐτὸν κατεπάλαισεν, ἀπολιμπάνων ἡμῖν ἀκριβὲς ἀρχέτυπον εἰς μίμησιν.

Εὔχεται τοιγαροῦν ὡς ἄνθρωπος πρὸς Θεόν· καὶ γὰρ κἀν τοῖς Εὐαγγελίοις διαφόρως εὔξασθαι μνημονεύεται· παρακαλεῖ δὲ φυλαχθῆναι ἀπὸ πάσης ἐπιβουλῆς, φανερᾶς καὶ ἀφανοῦς, λέγων· Σύ με φύλαξον, ὅτι ἐπὶ σοὶ μόνῳ ἤλπισα, μηδενὶ τῶν ἄλλων τεθαῤῥηκώς· οἶδα γὰρ, ὅτι σῴζεις τοὺς ἐλπίζοντας ἐπὶ σέ.

2α Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ.

Εἶπα τῷ Πατρὶ, τῷ Κυρίῳ πάντων, ὅτι Κύριος εἶ κἀμοῦ, ὡς ἀνθρώπου καὶ οὐχ ὡς Θεοῦ, καὶ διὰ τοῦτό με περιφρούρησον. Ὡς γὰρ ἄνθρωπος ἐδεῖτο τῆς ἀπὸ τοῦ Θεοῦ φυλακῆς· *Ὑπετάγην γὰρ*, φησὶ, *τῷ Κυρίῳ, καὶ ἱκέτευσα αὐτόν*. Ps 36.7

2β Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.

Εἶπον δὲ προσέτι, ὅτι τῶν δώρων μου τῶν εἰς θυσίαν οὐ χρείαν ἔχεις, ἵνα καὶ θύσω σοι, καὶ οὕτω βοηθὸν ἕξω. Εἰ γὰρ καὶ προσίεται Θεὸς τὰ εὐσεβῶς προσαγόμενα, ἀλλ᾽ οὐχ ὡς ἐνδεὴς αὐτῶν, ἀλλ᾽ ὥστε ταῦτα κρίνειν εὐγνωμοσύνης ἀπόδειξιν, καὶ ποιεῖσθαι πρόφασιν ἀντιδόσεως τῶν πολλῷ κρειττόνων.

3α Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὔελπίς εἰμι, φησὶν, εἰδὼς, ὅτι τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ θαυμαστὰ καὶ παράδοξα ἐποίησεν ὁ Κύριος. Ἅγιος δὲ, ὁ τὸν Θεὸν εἰλικρινῶς ἀγαπῶν καὶ ἐπ᾽ αὐτῷ πεποιθὼς, οἷος ἦν ὁ ταῦτα λέγων.

Εἶεν δ᾽ ἂν οὓς λέγει, πάντες οἱ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας εὐαρεστήσαντες τῷ Θεῷ. Γῆν δὲ αὐτοῦ, ἢ ταύτην εἴποις, *τοῦ γὰρ Κυρίου ἡ γῆ*, ἢ τὴν ἄνω Ἰερουσαλὴμ, Ps 23.1
ἐν ᾗ καὶ κάτω ὄντες, ἐπολιτεύοντο, καὶ ἐν ᾗ θάνοντες πολιτεύονται.

Ἢ καὶ ἁγίους μὲν ὑποληπτέον, τοὺς ἀποστόλους, καὶ τοὺς ἐξ αὐτῶν πιστεύσαντας, πολυειδῶν ῥυσθέντας κινδύνων καὶ θανάτων, γῆν δὲ, τὴν Ἐκκλησίαν, ἐν ᾗ ἀναστρέφονται.

Εἶτα τίθησι καὶ τὴν αἰτίαν, δι᾽ ἣν αὐτοῖς θαυμαστὰ ποιεῖ.

3β Πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Ὅπου γὰρ τὰ τοῦ Θεοῦ γίνονται θελήματα, καὶ ὁ Θεὸς πάντως ἐν αὐτοῖς ἐστι, φυλάττων καὶ κατευθύνων.

4α *Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν· μετὰ ταῦτα ἐτάχυναν.*

Ἀσθενείας λέγει, τοὺς πόνους καὶ τὰς θλίψεις αὐτῶν, αἳ πληθυνθεῖσαι κατ' οἰκονομίαν, εἶτα, Θεοῦ νεύσαντος, ταχέως παρῆλθον· *Πολλοὶ γὰρ*, φησὶν, *αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύεται αὐτοὺς ὁ Κύριος.* Ps 33.20

Ἢ καὶ ἄλλως, ἐπληθύνθησαν πρότερον αἱ ἁμαρτίαι τῶν πεπιστευκότων εἰς Χριστόν· ἀσθενούσης γὰρ τῆς ψυχῆς, ἡ ἁμαρτία γίνεται· εἶτα, τοῦ Εὐαγγελίου κηρυχθέντος, ἐτάχυναν εἰς εὐσέβειαν.

Τὰ δ' ἐντεῦθεν, οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς Θεὸς ἀποφαίνεται.

4β *Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων.* |

Τοῦτο, περὶ τῶν ἀνελόντων αὐτὸν Ἰουδαίων, ὧν τὰ πλήθη συναγαγεῖν ἀπὸ σφαγῆς ἀνανεύει, διαφθαρησόμενα ταῖς τῶν Ῥωμαίων χερσίν.

4γ *Οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.*

Ὠνομάζετο γὰρ ὁ λαὸς ἐκεῖνος, λαὸς Θεοῦ, καὶ περιούσιος, καὶ ἄμπελος, καὶ Ex 19.5
μερὶς, καὶ κληρονομία, καὶ σχοίνισμα, καὶ ὅσα τοιαῦτα. Οὐκέτι γοῦν, φησὶν, Dt 32.9
Ἰουδαίους καλέσω τοῖς ὀνόμασιν, οἷς καὶ πρότερον, ἀλλὰ τέκνα μωμητὰ, καὶ γενεὰν Dt 32.5
σκολιὰν, καὶ γεννήματα ἐχιδνῶν, καὶ σπέρμα πονηρὸν, καὶ εἴ τι τοιοῦτον. Lk 3.7

Ἢ καὶ περὶ τῶν ἐξ ἐθνῶν ἄμφω τὰ ῥητὰ νοήσωμεν, ὅτι οὐ μὴ οἰκειώσομαι τὰς ἐκκλησίας αὐτῶν ἐξ ἐναίμων θυσιῶν, ἀλλ' ἐξ εἰλικρινοῦς πίστεως καὶ πνευματικῆς θυσίας· οὐδὲ μνησθήσομαι τῶν ὀνομάτων, οἷς αὐτοὺς ὠνόμαζον πάλαι διὰ τῶν προφητῶν, ἀλλ' ἀντὶ μὲν ἐχθρῶν, καλέσω φίλους, ἀντὶ δὲ ἀπίστων, πιστοὺς, καὶ ὅσα τούτοις ἀκόλουθα.

Χείλη δὲ Θεοῦ νοοῖντ' ἂν, οἱ λόγοι· καὶ ταῦτα γὰρ, λόγων ὄργανα.

Ἄλλως τε καὶ ὁ Σωτὴρ ὕστερον ἐνανθρωπήσας, ὠνόμαζε καὶ Ἰουδαίους, καὶ τοὺς ἐξ ἐθνῶν, τοῖς ἐναντίοις τῶν προτέρων ὀνόμασιν, ὡς δεδήλωται.

5α *Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου.*

Οὐ παρὰ γνώμην, φησὶ, τοῦ Πατρὸς ἐγενόμην ἄνθρωπος· καὶ αὐτὸς γὰρ τῇ εὐδοκίᾳ μέτοχός ἐστι τοῦ λαοῦ τοῦ πιστεύσαντος ἐξ ἐθνῶν· τοῦτον γὰρ καλεῖ
κληρονομίαν, ὡς ἐν τῷ δευτέρῳ ψαλμῷ προείρηται· ἔτι δὲ καὶ τοῦ θανάτου· Ps 2.8α
ποτήριον γὰρ ἐνιαχοῦ τῆς Γραφῆς, ὁ θάνατος ἑρμηνεύεται· κἀν τοῖς Εὐαγγελίοις
γὰρ λέγει, *Τὸ ποτήριον ὃ ἐγὼ πίνω, ὑμεῖς οὐ δύνασθε πιεῖν*· καὶ αὖθις, *Πάτερ* Mk 10.38
μοῦ, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. Ηὐδόκησε γὰρ ὁ Mt 26.39
Πατὴρ καὶ ἐπὶ τῇ ἀνακλήσει τῶν ἐθνῶν, καὶ ἐπὶ τῷ θανάτῳ τοῦ Υἱοῦ.

Ἢ καὶ μερίδα, τὸν πλοῦτον νοήσεις, ἵν' ᾖ τοιοῦτον, ὁ Θεὸς πλοῦτός ἐστι τῆς ἐξ ἐθνῶν κληρονομίας μου, ἔτι δὲ καὶ τῆς διδασκαλίας μου πλοῦτος καὶ κεφάλαιον·

πανταχοῦ γὰρ τοῦ Εὐαγγελίου περὶ τοῦ Πατρὸς διέξεισιν.

Ἀλλὰ πλοῦτος μὲν, ἡ μερὶς, ὡς τὸ, *Μερίς μου εἶ ἐν γῇ ζώντων*. Καὶ γὰρ καὶ ἐπὶ τῶν μεριζόντων παίδων τὴν οὐσίαν τοῦ πατρὸς, ἡ μερὶς ἑκάστῳ πλοῦτός ἐστιν, ὥστε συμβαίνει τὸ αὐτὸ καὶ μερίδα λέγεσθαι, καὶ πλοῦτον, καὶ κλῆρον· τὸ μὲν ὡς μεριζόμενον, τὸ δ' ὡς πλουτίζον, τὸ δὲ πάλιν ὡς καταγόμενον ἀπὸ πατρός. Ps 141.6

Διδασκαλία δὲ, τὸ ποτήριον, ὅτι καὶ οἶνος αὕτη, διὰ τὸ εὐφραίνειν, καὶ ἄμπελος, ὁ Χριστός. Jn 15.5

5β Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.

Τὰ γὰρ ἔθνη, πλάσμα τοῦ Υἱοῦ καὶ Θεοῦ τυγχάνοντα, ἀπέστησαν εἰς εἰδωλολατρείαν, εἶτα πάλιν ἀπεκατέστησαν αὐτῷ διὰ τῆς πίστεως. Ἀνατίθησι δὲ τῷ Πατρὶ τὴν χάριν, ὡς αἰτίῳ. Καὶ ἔστι τουτὶ τὸ ῥητὸν ἐφερμηνευτικὸν τοῦ πρὸ αὐτοῦ. Διὰ τοῦτο γὰρ, φησὶ, κοινωνὸς εἶ τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου, διότι σύ μοι ταύτην ἀποκατέστησας. Πρὸ τοῦ ποτηρίου δὲ, τὴν κληρονομίαν τέθεικεν, ὅτι αὕτη γέγονεν αἰτία τοῦ θανάτου αὐτοῦ· δι' αὐτὴν γὰρ ἀπέθανε.

Ῥητέον δέ τι καὶ γλαφυρὸν θεώρημα περὶ τῶν προκειμένων, ὅτι τὸν κατ' εἰκόνα Θεοῦ πεπλασμένον ἄνθρωπον, | καὶ διὰ τοῦτο κλῆρον τοῦ πλάσαντος ὄντα, δελεάσας ὁ δυσμενὴς, καὶ τυραννήσας, ἐπεσπάσατο, καὶ τὸν ἀλλότριον ἐσφετερίσατο, πέπομφε δὲ πρὸς αὐτὸν ὁ κληρονόμος γράμματα διὰ προφητῶν, ἀπαιτοῦντα τὸν ἀφαιρεθέντα κλῆρον. Ὡς δὲ καὶ μᾶλλον ἀντείχετο, λαβὼν αὐτὸς ὁ κληρονόμος τὰς διαθήκας τοῦ Πατρὸς, κάτεισι πρὸς τὸν ἅρπαγα, καὶ δικαστὴς αὐτοῦ γίνεται ὁ Πατήρ. Καὶ καταδικάσας τὸν βιαστὴν, ἀποκαθιστᾷ τῷ Υἱῷ τὴν κληρονομίαν, οὗ χάριν, καὶ κοινωνὸν αὐτὸν τοῦ κατορθώματος ὁ Υἱὸς ἐκάλεσε.

6α Σχοινία ἐπέπεσέ μοι ἐν τοῖς κρατίστοις μου.

Οἱ κληροδοτοῦντες τὴν γῆν, σχοινίοις ταύτην διαμετροῦντες, περιορίζουσι. Βούλεται γοῦν λέγειν, ὡς ἀποκαταστάσης μοι τῆς κληρονομίας μου, ἐπέπεσέ μοι, τουτέστιν, ἐπέβαλον καὶ ἔλαχον ἐμοὶ σχοινία πολλὰ, κἀντεῦθεν διεμετρήθη τε αὕτη καὶ περιωρίσθη, καὶ ἐγένετο γνώριμος· διὰ γὰρ τῶν σχοινισμάτων, τό τε πλῆθος τῶν πιστευόντων ᾐνίξατο καὶ τὴν γνωριμότητα· δύο γὰρ ἔργα ταῦτα τοῦ σχοινίσματος, ὡς ἔφημεν.

Κρατίστους δὲ λέγει, τὴν κληρονομίαν αὐτοῦ, καὶ τοῦτο παρέστησε διὰ τῶν ἑξῆς.

6β Καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν.

Ἄνω μὲν πληθυντικῶς, κρατίστους, εἶπε, διὰ τοὺς κατὰ μέρος πιστούς· κάτω δ' ἑνικῶς, κρατίστη, διὰ τὴν τῶν κατὰ μέρος μίαν συναγωγὴν καὶ ὁμοδοξίαν. Κρατίστην δὲ λέγει, τὴν ἐξαίρετον, καὶ ἠγαπημένην· ἢ καὶ τὴν γενναίαν, ὡς καταπαλαίουσαν τὸν ἀντίπαλον.

6α[2] τὴν γῆν PBV : γῆν MSC.

Νοοῦνται δὲ καὶ σχοινία, τὰ δεσμὰ, ἃ ἐπέπεσον τῷ Χριστῷ, παρὰ τῶν Ἰουδαίων ἀγομένῳ πρὸς Πιλᾶτον. Ἐπέπεσον δὲ αὐτῷ διὰ τοὺς κρατίστους, ἤτοι τοὺς πιστοὺς, ὑπὲρ ὧν ἔπασχε.

Πάλαι μὲν οὖν Ἰουδαῖοι ἦσαν Θεοῦ κληρονομία· *Ἐγενήθη γὰρ, φησὶ, μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ*. Ἀποβλήτων Dt 32.9
δὲ τούτων γενομένων, ἑτέραν ἀντέλαβε κληρονομίαν, τὴν βασιλείαν τῶν ἐξ ἐθνῶν, ἣν κρατίστην εἶπεν, ὡς ὑπὲρ τὴν παλαιοτέραν.

7α *Εὐλογήσω τὸν Κύριον, τὸν συνετίσαντά με.*

Τὰ ἐντεῦθέν φησιν ὡς ἄνθρωπος. Λέγει γὰρ ὁ εὐαγγελιστὴς περὶ αὐτοῦ, *Τὸ δὲ παιδίον ηὔξανεν, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας*. Εὐγνωμονεῖ Lk 2.40
τοίνυν περὶ τὸν δωρησάμενον αὐτῷ θησαυρὸν σοφίας.

7β *Ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.*

Νεφροὺς μὲν οἰητέον, τὸ ἐπιθυμητικὸν μέρος τῆς ψυχῆς· περὶ τοὺς νεφροὺς γὰρ τοῦτο κεῖται, καθὼς ἐν τοῖς προεξηγηθεῖσιν ἔφημεν· νύκτα δὲ, τὸν Δεσποτικὸν Ps 7.10
θάνατον. Ἄχρι γὰρ, φησὶ, θανάτου ἐπαιδαγώγησε καὶ ἐρύθμισέ με ἡ ἐπιθυμία μου, μηδενὸς τῶν γηΐνων ἐρασθεῖσα, μόνων δὲ τῶν θείων ἱμειρομένη.

Ἢ καὶ νύκτα νοητέον, τὰ ἀπόκρυφα μυστήρια, ἵν' ᾖ τοιοῦτον, ὅτι μέχρι καὶ αὐτῶν τῶν ἀγνώστων τοῖς ἄλλοις ἀνθρώποις, ἐπαιδαγώγησέ με ἡ ἐπιθυμία μου.

8α *Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός.*

Πρὸ παντὸς ἄλλου, ἔβλεπον τὸν Θεὸν διὰ παντὸς τοῖς ὀφθαλμοῖς τῆς ψυχῆς, ἐνώπιόν μου φαινόμενον.

8β *Ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.*

Ἔβλεπον δὲ αὐτὸν | ἐνώπιόν μου, διότι ἐν ταῖς δεξιαῖς μου πράξεσίν ἐστιν, ἐπαναπαυόμενος αὐταῖς· ἐγγίζει γὰρ ὁ Θεὸς δι' ἀρετῆς τοῖς ἐγγίζουσιν. Ἐκ δεξιῶν μου δέ ἐστιν, ἵνα βοηθούμενος ὑπ' αὐτοῦ, μὴ παρακινηθῶ τῆς εὐθείας ὁδοῦ πρὸς τὴν ἐναντίαν· *Φυλάσσει γὰρ Κύριος τοὺς ἀγαπῶντας αὐτόν*. Ps 144.20

9α *Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου.*

Τῆς καρδίας μου γὰρ πληρωθείσης εὐφροσύνης, ὡς ἀπολαβόντος τὴν κληρονομίαν, καὶ καταγωνισαμένου τὸν ἐχθρὸν, καὶ τοιοῦτον ἔχοντος ἐπίκουρον, παραπήλαυσε καὶ ἡ γλῶττα τῆς ἄγαν χαρᾶς, οἷα τὸν ἐπινίκιον ὕμνον ᾄδουσα, καὶ τὰ τοῦ Θεοῦ μεγαλεῖα διηγουμένη.

9β Ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾽ ἐλπίδι.

Τοῦτο, περὶ τῆς ταφῆς τοῦ Δεσποτικοῦ σώματος· κατοικήσει γὰρ τὸν τάφον ἐπ᾽ ἐλπίδι ταχείας ἀναστάσεως· εἰδὼς γὰρ, προειρήκει πολλάκις τοῖς μαθηταῖς, ὅτι *Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι.* Mt 27.63

10α Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην.

Τίθησι καὶ τῆς ἐλπίδος τὴν αἰτίαν· καὶ γὰρ οὐκ ἐγκαταλείψεις, φησὶ, τὴν ψυχήν μου εἰς ᾅδην, ὅπου τῶν τετελευτηκότων αἱ ψυχαὶ κατέχονται. Τόπος γὰρ ὁ ᾅδης ὑπὸ γῆν, ἀποκεκληρωμένος ταῖς τῶν ἀποθνησκόντων ψυχαῖς.

Ποῦ τοίνυν ὁ λῆρος Ἀπολινάριος, ὁ τὴν προσληφθεῖσαν σάρκα δογματίζων ἄψυχον καὶ ἄνουν, ὡς ἀνόητος;

10β Οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

Τοῦτο, περὶ τοῦ Δεσποτικοῦ σώματος. Οὐδὲ ἐμὲ, φησὶ, τὸν ἀνακείμενόν σοι δι᾽ ἀρετῶν οἰκειώσεως, παραχωρήσεις ὑποστῆναι τὴν κατὰ σῶμα διαφθορὰν, ἀλλ᾽ ὡς ἀναμάρτητον τοῦτο συντηρήσεις ἀδιάλυτον ἐν τοῖς οἰκείοις μέρεσιν, ἵνα τῆς ψυχῆς ἐγκατοικισθείσης αὐτῷ, παντελῶς ἀρτίῳ, θᾶττον ἀναστῶ.

Φθορὰ μὲν οὖν ἐπὶ τῶν θανόντων, ἡ διάζευξις τῆς ψυχῆς ἀπὸ τοῦ σώματος· διαφθορὰ δὲ, ἡ διάλυσις τῶν τοῦ σώματος μερῶν καὶ μελῶν εἰς χοῦν.

11α Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς.

Ἐδίδαξάς με τὰς ἀρετὰς, αἳ ποδηγοῦσι πρὸς τὴν ἀθάνατον ζωήν.

Ἢ ἀπεκάλυψάς μοι τοὺς τρόπους τῆς ἐμῆς ἀναστάσεως, περὶ ἧς ἔλεγε πολλάκις τοῖς μαθηταῖς· ἢ ἐδίδαξάς μοι ὁδοὺς ἀναστάσεως καὶ παλινζωίας, ἃς αὐτὸς βαδίσας, ταμῶ τοῖς μαθηταῖς.

11β Πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.

Πρόσωπον Πατρὸς, ὁ Υἱός. *Ὁ ἑωρακὼς γὰρ, φησὶν, ἐμὲ, ἑώρακε τὸν Πατέρα* Jn 14.9
μου, ἐπεὶ καὶ χαρακτὴρ αὐτοῦ λέγεται καὶ εἰκών. Εὐφρανεῖς οὖν με, φησὶ, τὸν Heb 1.3
προσληφθέντα ἄνθρωπον, μετὰ τοῦ προσλαβόντος Θεοῦ, μετὰ τὴν ἀνάστασιν· πρὸ ταύτης γὰρ, καὶ ἐλυπεῖτο, καὶ ἐδάκρυε, καὶ ἠγωνία, νόμῳ φύσεως.

Ἢ καὶ μετὰ τοῦ προσώπου σου, ἀντὶ τοῦ, μετὰ σοῦ, περιφραστικῶς· ὁ μὲν γὰρ ἡνωμένος ἦν τῷ Υἱῷ, ὁ δὲ Υἱὸς τῷ Πατρὶ, καὶ κοινὴν ἔσχον τὴν εὐφροσύνην ἐπὶ τῇ σωτηρίᾳ τῶν ἀνθρώπων, ἣν ὁ διὰ σταυροῦ θάνατος εἰργάσατο.

11γ Τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

10α[4] ἀποθνησκόντων MSCB : ἀποθανόντων PV. 11α[5] ταμῶ MS : τέμω P : τεμῶ V : ἐῶ CB.

Δεξιὰ τοῦ Πατρὸς, ὁ Υἱὸς, ὥσπερ καὶ βραχίων, καὶ δύναμις. Τέρψις, φησὶ, καὶ ἀγαλλίασις ἔσται τῷ Υἱῷ σου διὰ παντὸς, τοὺς πεπτωκότας συναναστήσαντι καὶ τὴν ἑαυτοῦ κληρονομίαν ἀπολαβόντι.

16 ις΄

1α Προσευχὴ τῷ Δαυίδ.

Ὑπὸ τοῦ Σαοὺλ διωκόμενος, καὶ ποικίλως ἐπιβουλευόμενος, | ἔγραψε τὸν ψαλμὸν τοῦτον, εἰς ἐπικουρίαν τὸν Θεὸν ἐκκαλούμενος.

1β Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου.

Τῆς περὶ τὸ δίκαιον διαθέσεως, ἥτις διὰ τῶν πράξεων, ὡς διὰ γλώττης βοᾷ· διαφόρως γὰρ δυνάμενος ἀνελεῖν τὸν πολεμιώτατόν μοι Σαοὺλ, ἐφεισάμην, ὡς ὑπὸ Θεοῦ βεβασιλευκότα, καὶ οὐδὲ ὑβρίσαι λόγῳ τοῦτον ἐτόλμησα. Κεφαλὴ γάρ ἐστι παντὸς τοῦ λαοῦ· δίκαιον δὲ τούτου διὰ ταῦτα φείδεσθαι κατὰ πάντα. Ex 22.28

Ἢ δικαιοσύνην ἐνταῦθα λέγει, τὴν δικαιολογίαν αὐτοῦ, καθ᾽ ἣν δικαιοῦται, ἣν καὶ προϊὼν τίθησιν. Οὕτως οὖν νοούντων ἡμῶν, οὐ δόξει κομπάζειν ὁ προφήτης, ἀλλ᾽ εὐλόγως παρακαλεῖν.

1γ Πρόσχες τῇ δεήσει μου.

Δέησιν ὑποληπτέον, τὸ σχῆμα τῆς παρακλήσεως, ἐλεεινὸν γὰρ, ὡς μεστὸν κατηφείας καὶ συντριβῆς καὶ ταπεινώσεως, καὶ μόνον ἀπὸ τῆς ὄψεως δυσωπεῖν δυνάμενον.

1δ Ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις.

Τοῦτο καθ᾽ ὑπερβατὸν ἀναγνωστέον, ἵν᾽ ᾖ, τὴν οὐκ ἐν χείλεσι δολίοις προσευχήν μου· ἢ καὶ ἐλλειπτικῶς, ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλεσι δολίοις γινομένην ἢ προσαγομένην. Καθαρὰ γὰρ δόλου καὶ ψεύδους τὰ χείλη μου, καὶ οὐ σύνοιδα λαλήσας ποτὲ δόλια τῷ Σαοὺλ, ἀλλ᾽ ὁμολογήσας τὴν εἰς αὐτὸν ἀγάπησιν, φυλάττω καθαρὰν τὴν ὁμολογίαν, εἰ καὶ αὐτὸς τὰς πρὸς ἐμὲ ψεύδεται συνθήκας.

Τρία δὲ προβάλλεται πρὸς ἀντίληψιν, τὴν δικαιοσύνην αὐτοῦ, τὸ σχῆμα τῆς δεήσεως, καὶ τὴν ἐξ ἀδόλων χειλέων προσευχὴν, ἵνα καὶ μᾶλλον ἐρεθίσῃ πρὸς ἄμυναν.

2α Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι.

Σὺ δικάσαις ἡμῖν, ὁ τὰ ἡμέτερα πρὸς ἀκρίβειαν εἰδὼς, καὶ μόνος ἀῤῥεπὴς δικαστής. Ὁ Θεὸς γὰρ, κριτὴς δίκαιος, καὶ ἰσχυρὸς περατῶσαι τὴν οἰκείαν ἀπόφασιν. Ἐκ

1α[3] Add. PHV: Ἁρμόζει δὲ καὶ παντὶ ἐναρέτῳ ἐπιβουλευομένῳ. 1β[4] βεβασιλευκότα VN : βεβασιλευκότος MPSCH. 1δ[5] ἀγάπησιν MB : ἀγάπην PSCV.

προσώπου σου δὲ, ἀντὶ τοῦ, ἐκ σοῦ, περιφραστικῶς, ἢ ἐνώπιόν σου. Τὸ κρίμα μου δὲ, τουτέστιν, ἡ περὶ ἐμοῦ ἀπόφασις. Ἄδικον γὰρ ἡγοῦμαι δικάζειν ἐμαυτῷ, καὶ κολάζειν τὸν ἀναιρεῖν ἐπειγόμενον.

2β Οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.

Ἴδοιμι ψήφους ἐφ᾽ ἡμῖν ἐξενηνεγμένας.

3α Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός.

Οὐ μόνον ἀδίκου πράξεως ἀπεσχόμην, ἀλλὰ καὶ πονηρᾶς ἐνθυμήσεως· ἠρεύνησας
γὰρ, ὁ καρδιογνώστης, καὶ οὐχ εὗρές τινα μελέτην κατὰ τοῦ Σαοὺλ ἐν τῇ καρδίᾳ Ac 15.8
μου· καὶ εἶδες αὐτὴν οὐκ ἐν τῇ εὐπραγίᾳ μόνον ὀρθῶς ἔχουσαν, ἀλλὰ καὶ ἐν τῇ νυκτὶ
τῶν πειρασμῶν καὶ θλίψεων, ἃ σκοτίζουσι τὸν νοῦν, καὶ τῆς εὐθείας ἀποπλανᾶσθαι
παρασκευάζουσι. Κατὰ γὰρ τὸν Ἰὼβ εἰπεῖν, *Ἐν τῷ φωτί σου ἐπορευόμην ἐν σκότει,* Job 29.3
ὅτι λύχνος ἦν τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ps 118.105

Ἢ καὶ νύκτα λέγει, καθ᾽ ἣν τὸν Σαοὺλ ἐν τῷ σπηλαίῳ λαβὼν ὑποχείριον,
οὐκ ἀνεῖλεν. 1Rg 24.4-5

3β Ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.

Ἐπύρωσάς με πυρὶ τῶν πειρασμῶν, ὡς οἱ τεχνῖται τῷ πυρὶ τὸν χρυσὸν, ὅπως γνοῖεν, εἴ ἐστι καθαρός· καὶ χωνευθέντος μου τούτοις καὶ βασανισθέντος, οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία κατὰ Σαοὺλ, οὐδὲ μικροψυχήσας ὑπὸ τῆς ἀνάγκης ἐβουλευσάμην τι πονηρόν.

4α Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων.

Οὐκ ἔστι τὸ παρὸν ῥητὸν ἀνακόλουθον, ὥς τινες ᾠήθησαν, ἀλλ᾽ αἰτία δοκεῖ τῆς πυρώσεως· διὰ τοῦτο γὰρ παρεχώρησας πυρωθῆναί με πειρασμοῖς, ἵνα μὴ μένων ἀνώτερος αὐτῶν ὑπε | ραίρωμαι, καὶ διαβάλλω τοὺς ἀμφὶ τὸν Σαοὺλ, θριαμβεύων ἃ πράττουσιν ἄδικα.

Ἢ καὶ ἵνα πρὸς σὲ συντόμως ἐπιστρεφόμενος, *ἐν θλίψει γὰρ ἐμνήσθημέν σου,* Isa 26.16
τὰ σὰ μᾶλλον ἔργα λαλῶ, πῶς ἅπαντα πρὸς τὸ συμφέρον οἰκονομεῖς.

4β Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.

Λόγους χειλέων Θεοῦ καλεῖ, τὰς ἐντολὰς τοῦ διὰ Μωυσέως δοθέντος νόμου· χειλέων δὲ Θεοῦ, καταχρηστικῶς, οἷα παρὰ Θεοῦ ὑφηγηθείσας. Διὰ ταύτας οὖν, φησὶν, ἐγὼ ἐφύλαξα, τουτέστιν, ἐβάδισα, ὁδοὺς σκληρὰς, τὰς τῶν ἀρετῶν· τραχεῖαι γὰρ αὗται, καὶ ἐπίπονοι, πάσης σωματικῆς ἡδονῆς ἀπεστερημέναι.

2β[2] ἡμῖν MSCBF : ὑμῖν PV.

Φυλάττειν δὲ, παρὰ τῇ συνηθείᾳ τῆς Γραφῆς, τὸ ἐνεργεῖν, ὡς ἐπὶ τὸ πλεῖστον λέγεται, ὡς τὸ, Ἐφύλαξα τὰς ἐντολάς σου, τουτέστι, πράξας ἐπλήρωσα. Ps 118.168

5 Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου.

Ἄνω μὲν ὠνόμασε διαβήματα, τὰ τοῦ νοῦ κινήματα, κάτω δὲ, τὰ τοῦ σώματος· οἷον, τέλεια καὶ ὀρθὰ ποίησον τὰ νοήματά μου ἐν τοῖς προστάγμασί σου, τοῖς φέρουσιν εἰς σὲ τοὺς δι᾽ αὐτῶν ὁδεύοντας· τούτων γὰρ τελειωθέντων, οὐδ᾽ αἱ διὰ σώματος πράξεις ἀποσφαλεῖεν ἄν.

Ἢ κατάρτισαι τὰ διαβήματά μου, τουτέστι, πᾶσάν μου ἐνέργειαν ἐν τῷ ὁδεύειν τὰς τρίβους σου, ἃς διὰ τῶν ἐντολῶν ἔτεμες τοῖς σπεύδουσιν ἐλθεῖν ἐπὶ σὲ, ἵνα μὴ παρακινηθῶσι τοῦ προσήκοντος, μὴ παρὰ σοῦ καταρτιζόμενα· σὺ γὰρ εἶ ὁ διδάσκων ἄνθρωπον γνῶσιν. Ps 93.10β

6α Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ Θεός.

Οὐ μάτην ποιοῦμαι τὴν παράκλησιν, διότι καὶ πάλιν παρακαλέσαντος, ἐπήκουσας.

6β Κλῖνον τὸ οὖς σου ἐμοὶ, καὶ εἰσάκουσον τῶν ῥημάτων μου.

Καὶ μὴν ἄκλιτόν ἐστιν ἐν ἡμῖν τὸ οὖς· ἀλλ᾽ ὅτι κλινομένης τῆς κεφαλῆς ἐπὶ τὸν λέγοντα, δοκεῖ τοῦτο κλίνεσθαι. Προείρηται δὲ, ὅτι ἀπὸ τῶν ἀνθρωπίνων ἐνεργειῶν, τὰ θεῖα χαρακτηρίζει, συγκαταβατικώτερον, διὰ τὴν τῶν ἀκροωμένων ἀσθένειαν. Οἱ γὰρ βουλόμενοί τινος ἀκριβέστερον ἀκούειν, ἀδρανῶς ὑπ᾽ ἀσθενείας Ps 6.2
φθεγγομένου, κλίνουσιν αὐτῷ διὰ τῆς κεφαλῆς τὸ οὖς.

Κλῖνον ὡς ὑψηλὸς ἐπὶ ταπεινὸν, ὡς ἰατρὸς ἐπὶ νοσοῦντα.

Εἴη δ᾽ ἂν ὅρασις μὲν Θεοῦ, ἡ ἁπλῶς γνῶσις τῶν πραγμάτων· οὖς δὲ, ἡ λεπτοτέρα· τὰ γὰρ ὁρατὰ τῶν ἀκουστῶν, παχύτερα, διὰ τὴν ὕλην.

Ἄνω δὲ καὶ κάτω τῆς παρακλήσεως τὸ, εἰσάκουσον, καὶ πρόσχες, καὶ ἐνώτισαι, καὶ τὰ τοιαῦτα, εἰς ἔμφασιν τῆς πρὸς τὴν αἴτησιν ὁλοψύχου διαθέσεως.

7α Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Θαύματος ἄξια φανῆναι ποίησον. Ἐλέη δὲ λέγει, τὴν ἀντίληψιν. Οἱ γὰρ ἰδόντες αὐτὸν ὑπερασπιζόμενον, ἐθαύμασαν αὐτὴν, ὡς ταχεῖαν καὶ πανσθενῆ, καὶ ὡς μὴ μόνον δικαίων, ἀλλὰ καὶ ἁμαρτωλῶν ἀντιλαμβανομένην.

7β-8α Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ.

6β[7] *Κλῖνον... νοσοῦντα* PCBFHV : M in marg. : om. S.

Φύλαξόν με, Κύριε, ἀπὸ τῆς ἐπιβουλῆς τῶν περὶ τὸν Σαοὺλ, οἳ ἀνθεστήκασι τῇ χειροτονίᾳ σου. Διὰ γὰρ τῆς χειρὸς, ταύτην ἐδήλωσε. Σὺ μὲν γὰρ ἐχειροτόνησάς με βασιλέα, διὰ τοῦ προφήτου τοῦ χρίσαντος· οὗτοι δὲ σπουδάζουσιν ἀνελεῖν, οὐ καταδεχόμενοι. 1Rg 16.13

Θαυμαστὴ δὲ ὄντως ἡ περὶ τὴν κόρην τοῦ ὀφθαλμοῦ φυλακή· χιτὼν γὰρ ἐπὶ χιτῶνι, | καὶ περιβολαὶ ποικίλαι ταύτην περιτειχίζουσι. Καὶ οἱ μὲν, λεπτοὶ καὶ διαφανεῖς, ἵνα μὴ τραχύνωσιν ὑγρὰν οὖσαν καὶ ἁπαλήν· ἔξωθεν δὲ, παχὺς ὁ τῶν βλεφάρων, δυσὶν ἡμικυκλίοις διῃρημένος, ἵνα καὶ τὸν κονιορτὸν ἀποσοβῇ, καὶ τὴν ἐξ ἀέρος βλάβην, καὶ τὰ πτερωτὰ ζωΰφια. Τετρίχωται δ᾽ οὗτος, ἵνα τὸν ἐγγὺς ἱδρῶτα καταῤῥέοντα κωλύῃ· δριμὺς γάρ ἐστι καὶ λυπηρός. Ἐπάνω δὲ τούτου, φάραγξ ὀφρύος ἐσχημάτισται καθάπερ τις στεῤῥεὸς ὄροφος· πεπύκασται δὲ καὶ οὗτος θριξὶν, ἵνα μὴ ὁ φερόμενος ἄνωθεν ἱδρὼς ἐπὶ τὴν σκηνὴν τῆς κόρης ἐμβάλλοι, ἀλλ᾽ ἀνακρουόμενος ἐκεῖθεν, ἐπὶ τοὺς κροτάφους μετοχετεύηται.

8β-9α *Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με.*

Ἑτέραν εἰκόνα φυλακῆς εὑρὼν, ἀξιοῖ νεοττοῦ τρόπον ἐπισκέπτεσθαι, πτέρυγας καλῶν, τὰς συνεκτικὰς καὶ φρουρητικὰς καὶ θαλπτικὰς δυνάμεις τῆς παντοδυνάμου προνοίας, ἐκ μεταφορᾶς τῶν ταῖς ἑαυτῶν πτέρυξι σκεπόντων τοὺς νεοττοὺς πετεινῶν. Τὸ γοῦν, σκεπάσεις, ἢ ἀντὶ εὐκτικοῦ νοήσομεν, πολλαχοῦ γὰρ τῆς Γραφῆς τὸ τοιοῦτον εἶδος, ἢ καὶ προφητεύει τὴν παρὰ Θεοῦ βοήθειαν.

Πρόσωπον δὲ ἀσεβῶν, αὐτοὺς λέγει τοὺς ἀσεβεῖς. Καταχρηστικῶς δὲ νῦν εἶπεν ἀσεβεῖς, τοὺς ἀμφὶ τὸν Σαοὺλ, ὡς δίκην ἀσεβῶν ζῶντας ἐν ἀνομίαις καὶ διψῶντας ἀνελεῖν τοὺς ἀθῴους, καὶ ὡς μὴ σεβομένους τὴν δηλωθεῖσαν ἐπ᾽ αὐτῷ τοῦ Θεοῦ χειροτονίαν, οἳ καὶ ἐταλαιπώρησαν αὐτὸν, παρὰ τὴν φυγὴν πᾶσαν κακοπάθειαν ὑφιστάμενον.

9β *Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον.*

Ἀπὸ τῆς ψυχῆς, ἑαυτὸν ἐνέφηνεν, ὡς ἀπὸ μέρους τὸ πᾶν. Περιέσχον δὲ, ἀντὶ τοῦ, περιεκύκλωσαν, πάντοθεν καθίζοντες λόχους.

10α *Τὸ στέαρ αὐτῶν συνέκλεισαν.*

Διὰ τοῦ στέατος, τὴν καρδίαν καὶ τὰ σπλάγχνα δηλοῖ· περὶ ταῦτα γὰρ πολλὴ πιμελή. Καί φησιν, ὅτι ἀπέκλεισάν μοι τὸν ἐκ καρδίας καὶ σπλάγχνων αὐτῶν ἔλεον, ἐξ ὧν οὗτος πρόεισιν.

Ἄλλοι δέ φασι στέαρ, τὴν εὐεξίαν καὶ εὐημερίαν, ἑρμηνεύοντες ὅτι ἀπέκλεισαν καὶ οἷον συνέσχον αὐτὴν, ὡς μηκέτι φευξομένην, ἀλλὰ δι᾽ ὅλου συνεσομένην αὐτοῖς.

10β Τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.

Ἐκόμπαζον γὰρ θᾶττον αὐτὸν συσχεῖν ὡς εὐθήρατον, μηδαμόθεν ἔχοντα βοήθειαν.

11α Ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με.

Ἐξώσαντές με τῶν ἐμῶν ἁπάντων, οὐκ ἠρκέσθησαν, ἀλλὰ καὶ νῦν περιεκύκλωσάν με, θανατῶσαι σπουδάζοντες.

11β Τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.

Ἔθεντο καὶ ἐσκέψαντο ἐκκλῖναι τοὺς ὀφθαλμοὺς αὐτῶν ἀπὸ σοῦ, τοῦ ἐν οὐρανοῖς οἰκοῦντος, καὶ τῶν σῶν προσταγμάτων, ἃ κελεύουσι μὴ ἀδικεῖν τὸν ἀναίτιον, εἰς γῆν, τουτέστιν, εἰς γεηρὰς ἐπιθυμίας, αἵτινές εἰσιν ἀλόγως ἀποπλῆσαι πᾶν τὸ καθ᾽ ἡδονήν.

Ἢ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐστήριξαν, ἐπιτηροῦντες ἐκκλῖναι καὶ καταβαλεῖν με εἰς γῆν, ὑπ᾽ αὐτῶν ἀποσφαττόμενον.

12 Ὑπέλαβόν με ὡσεὶ | λέων ἕτοιμος εἰς θήραν, καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.

Ὅσον ἐπὶ ταῖς ἑαυτῶν ἐλπίσιν, ὑπέλαβόν με, τουτέστιν, ὑπελθόντες, ἐμετεώρισαν τῆς γῆς ἀνάρπαστον φέροντες.

Διαφορὰν δὲ τῆς ἁρπαγῆς τοῦ λέοντος καὶ τοῦ σκύμνου, τοιαύτην τινὲς ἀποδεδώκασιν, ὡς ὁ μὲν ἀλκῇ πεποιθὼς, φανερός ἐστιν ἐν τῷ θηρεύειν, ὁ δὲ σκύμνος, μήπω θαῤῥῶν ἐκ τοῦ προφανοῦς ἁρπάζειν, κάθηται κρυπτόμενος.

Καὶ τῶν ἐχθρῶν αὐτοῦ τοίνυν, οἱ μὲν ἐθάῤῥουν προφανῶς αὐτὸν ἁρπάσαι, τινὲς δὲ λαθραίως, ἑαυτοῖς οὐ τεθαῤῥηκότες.

Οὐδὲν δὲ κωλύει ταὐτὸ καὶ ἄμφω δηλοῦν· εἴωθε γὰρ πολλάκις ἐν τοῖς παθητικοῖς λόγοις ὁ προφήτης ταὐτολογεῖν ἐν ὑπαλλαγαῖς λέξεων, ἵν᾽ αὐξήσας τὸ πάθος, εἰς ἔλεον ἐπισπάσηται.

13α Ἀνάστηθι, Κύριε.

Δοκῶν καθεύδειν διὰ τὴν μακροθυμίαν, κινήθητι πρὸς ἄμυναν.

13β Πρόφθασον αὐτούς.

Πρὸ τοῦ δοῦναι πέρατι τὰ μεμελετημένα, προκατάλαβε αὐτούς.

13γ Καὶ ὑποσκέλισον αὐτούς.

11α[1] Ἐκβαλόντες MPSCF [T] : Ἐκβαλλόντες HV [Ra].

Ἐμπόδισον τῷ κατ᾽ ἐμοῦ δρόμῳ· τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν βουλομένων τισὶν ἐπικόπτειν τὸν δρόμον, οἳ τρεχόντων τοῖς ποσὶν αὐτῶν ὑποτιθέασι τὰ σκέλη κατὰ πάροδον, καὶ οὕτως εὐχερῶς καταβάλλουσι.

13δ Ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίᾳ σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου.

Ἐν τῇ ῥομφαίᾳ σου ῥῦσαι τὴν ψυχήν μου καὶ ἀπὸ τοῦ ἀσεβοῦς Σαοὺλ, καὶ ἀπὸ τῶν ὑπηκόων αὐτοῦ, τῶν ἐχθραινόντων τῇ χειροτονίᾳ σου, τουτέστιν, ἐμοὶ, ἢ τῶν πολεμούντων τῇ χειρί σου, δηλαδὴ, σοὶ, περιφραστικῶς. Εἰ γὰρ οἱ μὲν ἐμοὶ πολεμοῦσιν, ἐγὼ δὲ σὸς, οἱ πολεμοῦντες τῷ σῷ, σοὶ ἄρα πολεμοῦσι. Τίνος δὲ χάριν ἀσεβῆ τοῦτον λέγει, προειρήκαμεν. Καθ᾽ ἑαυτὰ δὲ τὰ ῥητὰ ἀναγνωστέον, ἀπολύτως. Κατάλληλον δὲ καὶ τὸ, ῥῦσαι τὴν ψυχήν μου, πρὸς τὸ ῥηθὲν ἀνωτέρω· οἱ ἐχθροί μου γὰρ, εἶπε, τὴν ψυχήν μου περιέσχον. Ps 16.9β

Ἀποροῦσι δέ τινες, πῶς ὁ φεισάμενος τοῦ Σαοὺλ ἐν τῷ σπηλαίῳ, νῦν ἀναιρεθῆναι τοῦτον εὔχεται ῥομφαίᾳ Θεοῦ. Καὶ λέγομεν ὡς αὐτὸς μὲν αὐτόχειρ βασιλέως οὐκ ἠνέσχετο γενέσθαι, καθὼς ἐν προοιμίοις ἐξηγησάμεθα τοῦ ψαλμοῦ· Ps 16.1β
τὸν Θεὸν δὲ παρεκάλει πρὸς ἐκδίκησιν, ταλαιπωρούμενος ἐν πάσῃ κακοπαθείᾳ. Ὥσπερ γὰρ τὸ πρῶτον ἄδικον, οὕτω δίκαιον τὸ δεύτερον.

Ἢ καὶ ἐν ῥομφαίᾳ λέγει, οὐκ ἀναιρούσῃ, ἀλλὰ φοβούσῃ τοὺς ἐχθροὺς μόνον. Ἀνθρωποπρεπῶς δὲ εἴρηται· καὶ γὰρ ὁ θέλων ἐξελέσθαι τὸν ὑπὸ πολεμίων συνεχόμενον, ῥομφαίαν σπασάμενος, ὁρμᾷ κατ᾽ αὐτῶν. Καὶ ὅτι οὐκ ἀναιρεθῆναι τοὺς ἀμφὶ τὸν Σαοὺλ, ἀλλὰ δυσπραγῆσαι μόνον βούλεται, δηλοῖ τὰ ἑξῆς.

14α Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν.

Ἔτι ζῶντας αὐτοὺς, ἀφόρισον ἀπὸ τῶν ἀγαθῶν ἀνθρώπων, καὶ μὴ ἔστωσαν αὐτοῖς ἐναρίθμιοι· ὃ καὶ ἀλλαχοῦ φησι, Μετὰ δικαίων μὴ γραφήτωσαν· ἀφορι- Ps 68.29
σθέντες γὰρ, τὴν ἀξίαν ἀπαιτηθήσονταί ποτε δίκην.

Ὀλίγους δὲ πολλάκις ἡ Γραφὴ καλεῖ, τοὺς ἀγαθούς. Οἱ γὰρ πλείους, ἀεὶ κακοὶ, καὶ ἀεὶ τὰ χερείονα νικᾷ· Ὀλίγοι γὰρ, φησὶν, οἱ σῳ | ζόμενοι, καὶ Ὀλίγοι Lk 13.23
ἐκλεκτοί. Ὀλίγων δὲ εἰπὼν, ἐπήγαγεν, ἀπὸ γῆς, δεικνὺς ὅτι καὶ οὗτοι ἀπὸ γῆς Mt 22.14
εἰσι, καὶ ὅμως οὐδὲν ἐμπόδιον τοῦτο γέγονεν αὐτοῖς εἰς ἀρετήν.

Ἡ δὲ σύνταξις οὕτως· Διαμέρισον αὐτοὺς ἀπὸ τῶν ὀλίγων, τῶν ἀπὸ γῆς.

14β Καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν.

Κεκρυμμένα τινὲς ἔφασαν, χρυσὸν καὶ ἄργυρον, ἃ τοῖς λαγόσιν ἐγκεκρυμμένα τῆς γῆς, ἀνορύττονται, μεταλλευόμενα. Τούτων οὖν ἐπλήσθη ἡ γαστὴρ αὐτῶν, ἤγουν τὰ ταμιεῖα, δίκην γαστέρων ἐμφορούμενα· ἢ καὶ αἱ κοιλίαι αὐτῶν, ὀψωνούντων ὅσα καὶ λάβοιεν.

Ἄλλοι δὲ λέγουσι, τὰς παρὰ Θεῷ τεθησαυρισμένας τιμωρίας· ἐπεὶ καὶ Μωυσῆς

14α[4] ἀπαιτηθήσονται MSCBF : ἀποτίσονται PV. 14β[6] ἄλλοι MSCBF : πολλοί PV.

ἐν τῷ Δευτερονομίῳ περὶ ποικίλων τιμωριῶν ἐκ προσώπου τοῦ Θεοῦ διεξιὼν, ἐπήγαγεν· Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ᾽ ἐμοὶ, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου; Προφητεύει γοῦν, φασὶν, ὅτι τῶν ἀφανῶν τιμωριῶν πλησθήσεται Dt 32.34
ἡ γαστὴρ αὐτῶν, τουτέστιν, αὐτοὶ, ἀπὸ γὰρ μέρους τὸ πᾶν. Πρὸς δὲ τὴν πλησμονὴν καταλλήλως ἔθηκε τὴν γαστέρα. Τοῖς μέλλουσι δὲ, ὡς ἐνεστῶσιν ἐχρήσατο, τρόπον τινὰ θεασάμενος αὐτὰ τοῖς προορατικοῖς ὀφθαλμοῖς.

14γ Ἐχορτάσθησαν ὑῶν.

Τὸν ὗν, ἀκάθαρτον εἶχον Ἑβραῖοι, διά τε τὸ μὴ ἀνάγειν μηρυκισμὸν ἐν τοῖς διχηλοῖς, καὶ τὸ φιλεῖν τὸν βόρβορον. Διὰ γοῦν τοῦ ὑὸς ἐνταῦθα, τὴν ἀκαθαρσίαν Lev 11.7
ᾐνίξατο. Ἐχορτάσθησαν γὰρ, φησὶν, ἀκαθαρσιῶν, τὸν πλοῦτον εἰς φιληδονίαν ἀναλίσκοντες.

Οἱ δ᾽ ἀκριβέστεροι τῶν ἐξηγητῶν, υἱῶν, τῶν τέκνων φασί· βανί γὰρ ἐν τῷ Ἑβραϊκῷ κεῖται, τουτέστι, τέκνων· ἵν᾽ ᾖ τοιοῦτον, ὅτι καθάπερ χρημάτων, οὕτω καὶ τέκνων ἐχορτάσθησαν, πολύπαιδες γεγονότες.

Ἢ καὶ κατὰ τὴν διπλῆν ἐξήγησιν, ἐχορτάσθησαν τῶν εἴτε χρημάτων, εἴτε τιμωριῶν, μετὰ τῶν υἱῶν, ἐλλειπούσης τῆς προθέσεως· οὐκ αὐτοὶ γὰρ μόνον, ἀλλὰ καὶ οἱ παῖδες αὐτῶν ἐπλούτισαν ἢ ἐτιμωρήθησαν.

14δ Καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.

Διαρκέσαντα καὶ εἰς τοὺς ἐγγόνους τῶν υἱῶν· νηπίοις γὰρ αὐτῶν, δηλονότι τῶν υἱῶν, τουτέστιν, εἰς ὅλην τὴν γενεὰν παρέτεινεν, εἴτε ὁ πλοῦτος, εἴτε ἡ τιμωρία. Καὶ εἰ μὲν περὶ ποινῆς ταῦτα νοήσομεν, προφητεία ἐστὶ τῶν ἀπηντηκότων τοῖς ἐχθροῖς αὐτοῦ κακῶν· εἰ δὲ περὶ εὐδαιμονίας, αὔξησις κατηγορίας, ὅτι τοσούτων ἀγαθῶν ἀπολαύσαντες, παρανόμως ἔζων, τῆς τοῦ Θεοῦ καταφρονοῦντες μακροθυμίας.

15α Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου.

Ἡ δικαιοσύνη μου γὰρ, περὶ ἧς ἐν ἀρχῇ τοῦ ψαλμοῦ λέλεκται, ἄξιόν με ποιήσει τῆς σῆς ἐπισκοπῆς, καὶ ἐμφανισθήσομαί σοι κατὰ τὸν καιρὸν τῆς τελευταίας κρίσεως καὶ ἀνταποδόσεως.

15β Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

Καὶ ἰδὼν τὴν δόξαν σου τηνικαῦτα, πλησθήσομαι τῆς ἐπιθυμίας, ἥτις ἐστὶ, τὸ ὀφθῆναί σοι, καὶ ἰδεῖν τὴν δόξαν σου· οἱ γὰρ ἁμαρτωλοὶ Θεοῦ πρόσωπον οὐκ ὄψονται. Καὶ ὁ Κύριός δέ φησιν ἐν τοῖς Εὐαγγελίοις, Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται, δηλαδὴ τῶν ἐπιθυμουμένων Mt 5.6
αὐτοῖς | αἰωνίων ἀγαθῶν.

Ἁρμόζει δὲ ὁ παρὼν ψαλμὸς καὶ παντὶ ἐναρέτῳ ἐπιβουλευομένῳ, ὃς μὴ ἀγαπῶν δόλους, ζητήσει κριθῆναι μετὰ τοῦ ἐχθροῦ· Σαοὺλ γὰρ, τὸν ἐχθρὸν αὐτοῦ λογίσεται, εἴτε αἰσθητὸν ἴσως, εἴτε νοητόν.

Ὁ δ' αὐτὸς καὶ λόγους χειλέων τοῦ Θεοῦ νοήσει, τὰς εὐαγγελικὰς ἐντολάς. Ἀνθεστηκότας δὲ τῇ δεξιᾷ τοῦ Θεοῦ, τοὺς δαίμονας, ὡς ἀντικειμένους καὶ ὡς ἀποστάτας. Τοὺς αὐτοὺς δὲ, καὶ ἀσεβεῖς, καὶ ἐχθροὺς, οἳ ἐξέβαλον αὐτὸν ἀπὸ τῆς σκέπης τοῦ Θεοῦ, ἢ ἀπὸ τοῦ παραδείσου, καὶ τὰ ἑξῆς ἀκολούθως ἐκλήψεται.

Εὔξεται δὲ διαμερισθῆναι καὶ διασκορπισθῆναι τοὺς δαίμονας ἀπὸ τῶν ἀγαθῶν ἀνδρῶν, ἕως ἂν οὗτοι οἱ ἀγαθοὶ ζῶσι· μετὰ γὰρ θάνατον οὐ δεδοίκασι.

Καὶ τὰ περὶ τοῦ πλούτου δὲ, ἢ τῆς τιμωρίας, καὶ τὰ λοιπὰ προσαρμόσει τοῖς δαίμοσιν, ὡς κοσμοκράτορσιν, ὧν καὶ υἱοὺς καὶ ἐκγόνους νοήσει, τοὺς μαθητὰς καὶ ὑπουργοὺς αὐτῶν πονηροὺς ἀνθρώπους· τῶν γὰρ τοιούτων πατὴρ ὁ διάβολος.

17 ιζʹ

1 Εἰς τὸ τέλος· τῷ παιδὶ Κυρίου τῷ Δαυίδ·
ἃ ἐλάλησε τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ ᾗ ἐῤῥύσατο αὐτὸν ὁ Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαοὺλ,
2α καὶ εἶπεν·

Εἰς τὸ τέλος μὲν ἐπιγέγραπται, ἢ διὰ τὸ προφητείας ἐμπεριέχειν εἰς τέλος ἐκβησομένας (περὶ Χριστοῦ γὰρ καὶ κλήσεως ἐθνῶν ἐν μέρει διαλέγεται), ἢ διότι ἐπὶ συντελείᾳ τῶν ἐχθρῶν αὐτοῦ τὸν ὕμνον τοῦτον ἀνέθηκε τῷ Θεῷ, εὐχαριστήριον πάσης εὐεργεσίας ἧς ἀπήλαυσεν, ἢ καὶ διότι ἐπὶ τέλει τῆς ἑαυτοῦ ζωῆς τὸν παρόντα ψαλμὸν συνέταξε.

Τῷ παιδὶ δὲ Κυρίου Δαυὶδ, καὶ οὐ τῷ βασιλεῖ ἢ προφήτῃ, ὅτι ταῦτα μὲν δωρήματα Θεοῦ. Παῖς δέ τις γίνεται Κυρίου, ἢ δι' εὐγνωμοσύνης, ὡς πιστὸς δοῦλος, ἢ καὶ δι' εὐαρεστήσεως, ὡς ἠγαπημένον τέκνον. Οὗτος δὲ δι' ἀμφοῖν, ἄμφω τὰς τοῦ παιδὸς ἐκληρώσατο σημασίας, καὶ δοῦλος καὶ τέκνον χρηματίσας Θεοῦ, ὃ καὶ μᾶλλον ἔφερεν αὐτῷ μέγα καύχημα, διὰ φιλοπονίας κτηθέν.

Ἃ δὲ ἐλάλησε τῷ Κυρίῳ, λείποντος τοῦ, ταῦτά εἰσι, δηλαδὴ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐλάλησεν. Ὠιδῆς δὲ ἐπέγραψε, καὶ οὐ ψαλμοῦ, ὅτι οὐ διὰ μουσικῶν ὀργάνων, ἀλλ' ἀπὸ μόνου στόματος ᾖσε τὴν ᾠδὴν ταύτην, ἤδη γηράσας, ὡς ἐν τῇ
βίβλῳ τῶν Βασιλειῶν ἀναγέγραπται. Ἡμεῖς δὲ καταχρώμενοι, ψαλμὸν καὶ τὴν 2Rg 22.1
ᾠδὴν ὀνομάζομεν. § 62

Ἐν ἡμέρᾳ δὲ ᾗ ἐῤῥύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, τουτέστιν, ἐν ἡμέρᾳ, ὅτε ἔδοξεν ἐλευθερωθῆναι πάντων τῶν ἄχρι τότε πολεμίων, ἀλλοφύλων καὶ ὁμογενῶν.

Διελὼν δὲ τῶν ἄλλων ἐχθρῶν τὸν Σαοὺλ, ἰδίᾳ καὶ τελευταῖον τέθεικεν, ἢ ὡς πολεμιώτατον αὐτῷ γενόμενον, ἢ φειδόμενος τοῖς ἄλλοις ἐχθροῖς αὐτὸν συντάξαι, ὡς βασιλέα καὶ εὐεργέτην αὐτοῦ ποτε γεγονότα καὶ πενθερόν.

2β Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου.

Πολλῶν, φησὶ, καὶ μεγάλων ἀγαθῶν τετυχηκὼς ἀπὸ σοῦ, καὶ μὴ δυνάμενος ἀμείψασθαι, *Τί γὰρ ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;* ὃ μόνον δύναμαι, τοῦτο καὶ ποιήσω, ἀγαπήσω γάρ σε, οὐχ ὡς πρώην μὴ Ps 115.3
ἀγαπῶν, ἀλλ᾽ ὡς ἐπὶ μᾶλλον τοῦτο ποιήσων. Τοῦτο | γὰρ καὶ πρώτη τῶν ἐντολῶν,
Ἀγαπήσεις γὰρ, φησὶ, *Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς δυνάμεώς σου, καὶ ἐξ* Dt 6.5
ὅλης τῆς καρδίας σου. Ἰσχὺν δὲ, τὸν Θεὸν ἐκάλεσεν, ὡς τὴν ἀσθένειαν αὐτοῦ Mt 22.37
ἐνισχύσαντα κατὰ τῶν τοσούτων καὶ τοιούτων ἐχθρῶν.

3α Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου.

Στερέωμα μὲν, ὡς ἑδραιώσας αὐτὸν καὶ ποιήσας ἀκλόνητον πρὸς τὰς ἐμβολὰς τῶν ἑκάστοτε πειρασμῶν· καταφυγὴ δὲ, ὡς φεύγοντα δεχόμενος εἴσω τῆς ἑαυτοῦ σκέπης, καὶ τῷ τείχει τῆς θείας βοηθείας περιφυλάττων· ῥύστης δὲ, ὡς ἐξαιρούμενος τῶν πολιορκεῖν καὶ αἰχμαλωτίζειν ἐλπιζομένων.

3β Ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν.

Ὁ Θεός μου μόνος ἐστὶν ἀεὶ βοηθός μου, διὸ καὶ ἐπ᾽ αὐτὸν μόνον ἐλπιῶ, μὴ ἀπολιγωρῶν πρὸς τὰ συμπίπτοντα, μηδ᾽ ἀπογινώσκων τὴν σωτηρίαν.

3γ Ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου καὶ ἀντιλήπτωρ μου.

Ἐν πολέμοις τὴν σκέπην αὐτοῦ πρὸ ἐμοῦ τιθεὶς, ἵνα μὴ βληθῶ· τὰς ἀσπίδας γὰρ οἱ ὑπερασπίζοντές τινων εἰώθασι πρὸ αὐτῶν ἀνέχειν, εἰς ἀποτροπὴν τῆς ὁθενδήποτε βολῆς.

Κέρας δὲ σωτηρίας, ἀντὶ τοῦ, ἀμυντήριον σωστικόν· τὰ γὰρ κερωφόρα ζῷα τοῖς κέρασιν ἀμύνονται κραταιῶς ἐν μάχαις.

Ἐπεὶ γὰρ τὸ μέν τι φυλακτήριόν ἐστιν ὅπλον, τὸ δέ τι πολεμιστήριον, καὶ τοῦτο κἀκεῖνό μοι, φησὶν, ὁ Θεὸς ἐγένετο, καὶ σκέπων ἐν πολέμῳ, καὶ διαφθείρων τοὺς ἐχθρούς.

Ἀντιλήπτωρ δὲ, ὡς ἀντιλαμβανόμενος εἰς ἀθυμίαν καταπίπτοντος, καὶ τῶν θλιβερῶν ἄλλως ἀνακτώμενος.

4 Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.

Οὕτω ποικίλοις ὀνόμασι βοηθείας ἐξυμνήσας τὸν Θεὸν, ὡς ποικίλως αὐτῷ βοηθοῦντα, καὶ κατὰ διαφόρους τρόπους, φησὶν, ὅτι οὐ πεποίημαι τὸν κατάλογον τῶν τοσούτων καὶ τοιούτων ὀνομάτων εὐχαριστῶν μόνον ὑπὲρ τῶν προλαβόντων ὡς μηκέτι τοῦ Κυρίου δεόμενος, ἀλλὰ διὰ τούτων αἰνῶν καὶ μεγαλύνων αὐτὸν ἐφ᾽

3γ[7] μέν τι PHA : μέντοι MSCV. 4[3] τρόπους PASCH : τόπους M.

οἷς εὐηργετήθην, καὶ δεικνύων τὴν εὐγνωμοσύνην, καὶ ἔτι τοῦτον ἐπικαλέσομαι παρ' ὅλην τὴν ζωήν. Διὰ τοῦτο γὰρ εἶπεν, ὅτι *Ἐλπιῶ ἐπ' αὐτὸν*, καὶ πάντως *Ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι*. Εἰ γὰρ καὶ ἀπὸ τῶν μέχρι τοῦ νῦν πολεμίων ἐῤῥύσθην, ἀλλ' εἰκὸς καὶ ἄλλους ἐπαναστήσεσθαι, τῆς ζωῆς ἐμοὶ παρατεινομένης. Τοσαῦτα εἰπὼν, ἀνακυκλοῖ τὸν λόγον, καὶ καταλέγει τοὺς ποικίλους αὐτοῦ κινδύνους, καὶ τὰς πολυειδεῖς ἐπικουρίας τοῦ Θεοῦ· τροπικώτερον δὲ τῇ διηγήσει κέχρηται, πρὸς πλείονα τῶν πραγμάτων ἔμφασιν.

5α Περιέσχον με ὠδῖνες θανάτου.

Ἐπὶ τῶν ἀνδρῶν, ὠδῖνας νοοῦμεν, τοὺς ἐκ θλίψεων πόνους, καθάπερ καὶ ἐπὶ τῶν γυναικῶν αἱ ὠδῖνες γίνονται ἀποθλιβομένων τῶν πόρων, διὰ τὴν στενοχωρίαν· ἀλλ' ἐπ' ἐκείνων μὲν, ὠδῖνες ἂν ῥηθεῖεν ζωῆς, ὡς εἰς φῶς ζωῆς ἄγουσαι τὸ ἐνεχόμενον· ἐπὶ τούτων δὲ τοὐναντίον, ὠδῖνες θανάτου, ὡς εἰς σκότος θανάτου φέρουσαι τὸν συνεχόμενον. Βούλεται τοίνυν εἰπεῖν, ὅτι συνε | σχέθην ἀφορήτοις ὀδύναις. Διὰ γὰρ τῶν ὠδίνων, τὴν δριμύτητα τούτων παρέστησε.

5β Καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με.

Χειμάῤῥους ἀνομίας καλεῖ, τὰς τῶν ἀνόμων ἐθνῶν προσκαίρους καὶ αἰφνιδίους καὶ ῥαγδαίους προσβολάς· τοιοῦτοι γὰρ οἱ χείμαῤῥοι, χειμῶνος ῥέοντες, αἰφνίδιον καὶ ῥαγδαίως. Ἐπονηρεύοντο γὰρ φθονοῦντες, καὶ ἀνελεῖν ζητοῦντες αὐτόν.

Προσφυὲς δὲ τὸ, *ἐξετάραξαν*· κλονοῦσι γὰρ καὶ ἑλίσσουσιν οἱ χείμαῤῥοι τὰ παραπίπτοντα. Καὶ αὐτὸς οὖν κλόνον καὶ ἴλιγγον τοῖς λογισμοῖς ἔπασχεν ὑπὸ τοῦ αἰφνιδίου τῶν ἀδοκήτων.

6α Ὠδῖνες ᾅδου περιεκύκλωσάν με.

Τουτὶ τὸ ῥητὸν ταὐτὸν δύναται τῷ *Περιέσχον με ὠδῖνες θανάτου*· τό τε γὰρ, *περιεκύκλωσαν*, καὶ τὸ, *περιέσχον*, ταὐτοσήμαντα· καὶ ᾅδης καὶ θάνατος, ἀλληλουχούμενα· ᾅδην γὰρ ἔλεγον, ἀηδῆ τόπον ὑπὸ γῆν τῶν θανόντων.

Ἐπεὶ τοίνυν αἱ ὠδῖνες γεννήσεώς εἰσι, περιεκύκλωσάν με, φησὶν, ὠδῖνες γεννῶσαι θάνατον, ὑπηρέτην ᾅδου. Ὁ μὲν γὰρ χωρίζει τὴν ψυχὴν, ὁ δὲ κατέχει παραλαμβάνων.

Ἢ καὶ ὠδῖνες ᾅδου, πόνοι πρὸς ᾅδην ἄγοντες, ἢ διάκονοι ᾅδου.

6β Προέφθασάν με παγίδες θανάτου.

Προκατέλαβόν με λόχοι, θάνατον ἐργαζόμενοι· ὃ γὰρ τοῖς θηρευταῖς αἱ παγίδες, τοῦτο τοῖς πολεμίοις οἱ λόχοι.

7α Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον.

Εἰς ἀντίληψιν.

7β Καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα.

Ὕψωσα τὴν φωνήν μου, ἔτι ἀναγκαζόμενος.

7γ Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου.

Ναὸν ἅγιον, τὸν οὐρανὸν ὑποληπτέον, ὡς καὶ προλαβόντες εἰρήκαμεν, ἢ τὴν τοῦ μαρτυρίου σκηνήν. Ὁ γὰρ μέγας ἐν Ἱεροσολύμοις ναὸς ὕστερον ᾠκοδομήθη παρὰ Σολομῶντος. Ps 3.5α

Ἤκουσε δὲ, οὐκ αἰσθητῶς, ἀλλὰ θεοπρεπῶς· τὰς γὰρ συνεκτικὰς τοῦ παντὸς δυνάμεις ἀδυνατοῦντες γνῶναι καὶ εἰπεῖν, εἰς αἰσθήσεων εἰκόνας ταύτας καταμερίζομεν, δι᾽ ὧν ἡμεῖς ἀντιλαμβανόμεθα τῶν ὄντων.

7δ Καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ.

Διὰ παντὸς ἡ κραυγή μου ἐνώπιόν ἐστιν αὐτοῦ, πρὸς αὐτὸν μόνον κράζοντος ἐν ἀνάγκαις.

7ε Εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.

Καὶ ἐν καιρῷ εἰσακούσεταί μου. Τούτοις δὲ τοῖς ῥήμασι καὶ ἡμεῖς χρώμεθα, εὐχαριστοῦντες ἅμα καὶ τὰς ἐπιθέσεις τῶν δαιμόνων ἐκδιηγούμενοι.

8α Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.

Τὸ ἐντεῦθεν περὶ Χριστοῦ προφητεύει, περὶ τῶν ἐσομένων ὡς γεγενημένων διαλεγόμενος· ἰδίωμα γὰρ τοῦτο προφητικόν· καὶ γὰρ ἐπὶ Δαυὶδ οὐδέν τι τοιοῦτον γεγενημένον ἱστόρηται.

Ἀντὶ δὲ τοῦ, ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, ὁ Ἀκύλας εἶπεν, ἐκινήθη καὶ ἐσείσθη. Γῆ δὲ νῦν, οἱ ἐκ γῆς ἄνθρωποι, ἢ οἱ τὴν γῆν οἰκοῦντες.

Διδάσκοντος γὰρ τοῦ Χριστοῦ, καὶ οἱ Ἑβραῖοι καὶ τὰ ἔθνη ἐταράχθησαν ὑπὸ τῆς περὶ αὐτοῦ φήμης — σάλος γὰρ ὁ τάραχος — καὶ ἐφοβήθησαν, ὁρῶντες ἃ ἐποίει τεράστια· τρόμος γὰρ, ὁ φόβος ἐνταῦθα, διὰ τὸ τρέμειν τοὺς ἄγαν φοβουμένους. Καὶ ἄλλως δὲ, ἐκινήθησαν, συῤῥέοντες ἐπ᾽ αὐτὸν κατὰ φήμην, καὶ ἐσείσθησαν, ταῖς | ἑαυτῶν γνώμαις θορυβηθέντες.

8α[7] Διδάσκοντος MSCV : Συνεκδοχικῶς· Διδάσκοντος H.

8β Καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός.

Ὄρη νοήσεις, τοὺς δαίμονας, διὰ τὴν ἔπαρσιν καὶ ἀλαζονείαν· θεμέλια δὲ, τοὺς βαθεῖς διαλογισμοὺς αὐτῶν. Ὁρῶντες γὰρ τὴν ἄμαχον τοῦ Χριστοῦ δύναμιν, συνεχέοντο τοῖς λογισμοῖς, διαπορούμενοι, τίς ἐστι, καὶ ἀναλογιζόμενοι, οἷα πείσονται. Οἱ μὲν οὖν λογισμοὶ αὐτῶν οὕτως ἐταράχθησαν, αὐτοὶ δ' ἐσαλεύθησαν, ἀφ' ἧς ἐβεβήκεισαν δυνάμεως παρακινηθέντες. Τοῦτο δ' ἔπαθον, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεὸς, ἐπὶ τοσοῦτον τυραννήσασι καὶ καταδουλωσαμένοις τοὺς ἀθλίους ἀνθρώπους.

Δύναται δὲ ταυτὶ τὰ ῥητὰ νοεῖσθαι καὶ περὶ τῶν ἐν τῷ καιρῷ τοῦ Δεσποτικοῦ πάθους γεγενημένων, ὅτε ἡ γῆ ἐσείσθη, καὶ πέτραι ἐῤῥάγησαν, ὅτι ὁ Θεὸς ὠργίσθη Mt 27.51
αὐτοῖς, δηλονότι τοῖς Ἰουδαίοις.

9α Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ.

Ὀργισθέντος γὰρ τοῦ Δημιουργοῦ διὰ τὴν τοῦ πλάσματος ἀπώλειαν, προηγήσατο τῆς ἐκδικήσεως καπνὸς, ὃς ἦν μερικὴ τοῦ τυραννήσαντος ἐποχή. Τούς τε γὰρ πιστεύοντας ἀφήρει τῆς ἐκείνου πλάνης, καὶ ἀπὸ τῶν δαιμονιζομένων ἀπήλαυνε τὰ πονηρὰ πνεύματα. Τοῦτο δὲ προοίμιον ἦν τῆς ἐντελοῦς ἐκδικήσεως, ἐπεὶ καὶ ὁ καπνὸς, προοίμιον τοῦ πυρός. Ἐβόων γὰρ ἐλαυνόμενα τὰ δαιμόνια, *Τί ἡμῖν καὶ σοὶ, Υἱὲ τοῦ Θεοῦ· ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς;* Mt 8.29

9β Καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται.

Εἰ καπνὸς προηγήσεται, καὶ πῦρ ἕψεται, ὅ ἐστιν ἡ τελεία ἐκδίκησις, καὶ παντελὴς ἀνενεργησία τοῦ διαβόλου. Ἀπὸ προσώπου δὲ αὐτοῦ, ἀντὶ τοῦ, ἀπ' αὐτοῦ, ὃς ἦν ἓν πρόσωπον τῶν τριῶν ὑποστάσεων τῆς μιᾶς θεότητος· ἢ καὶ ἀπὸ προσώπου αὐτοῦ, τουτέστιν, ἐνώπιον αὐτοῦ. *Πῦρ γὰρ,* φησὶν, *ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ.* Καταφλεγήσεται δὲ, Ps 96.3
ἀντὶ τοῦ, ἐξαφθήσεται.

9γ Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.

Ἐπειδὴ γὰρ πῦρ ἐστιν ὁ Θεὸς, καταναλίσκον τὴν πονηρὰν δύναμιν, μετέλαβον Heb 12.29
καὶ οἱ μαθηταὶ τῆς τοιαύτης ἐνεργείας, καὶ ἀπὸ τούτου τοῦ πυρὸς ἀνήφθησαν Dt 4.24
αὐτοὶ ἄνθρακες, ἐμπιπρῶντες τὴν τοῦ ἐχθροῦ ἰσχὺν τῷ πυρὶ τῆς οἰκείας πίστεως. *Ἰδοὺ γὰρ,* φησὶ, *δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.* Lk 10.19

10α Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη.

Τὸ λεληθὸς τῆς θείας σαρκώσεως ἐμφῆναι βουλόμενος ὁ προφήτης, εἶπεν, ὅτι ἔκλινεν οὐρανοὺς ἄχρι τῆς γῆς, καὶ ἀψοφητὶ κατέβη. Λαθὼν γὰρ τὰς δυνάμεις ἁπάσας, ἐνῴκησε τῇ παρθενικῇ γαστρί. Σωματικώτερον οὖν ἐσχηματογράφησε τῷ λόγῳ τὸ πρᾶγμα, καὶ δῆλον ἀπὸ τοῦ ἑπομένου· φησὶ γάρ·

10β Καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.

Γνόφος μέν ἐστι σκότος· πόδες δὲ, ἡ πορεία· κεκρυμμένη γὰρ ἡ ὁδὸς τῆς ἐνανθρωπήσεως, καὶ ἀκατανόητος ὁ τρόπος αὐτῆς.

Ἢ καὶ ἄλλως· καθάπερ γῆ λέγονται πολλάκις οἱ γήϊνοι ἄνθρωποι ἢ οἱ τὴν γῆν οἰκοῦντες, οὕτω καὶ οὐρανοὶ πάντως, οἱ οὐράνιοι ἄγγελοι ἢ οἱ τὸν οὐρανὸν οἰκοῦντες, οὕστινας ἔκλινε κατιὼν εἰς γῆν· γέγραπται γὰρ ἐν τοῖς Εὐαγγελίοις, | ὅτι Ἄγγελοι διηκόνουν αὐτῷ. Mt 4.11

Κάθοδον δὲ Θεοῦ, μὴ σωματικῶς νοήσῃς· ἀπερίγραπτος γὰρ καὶ πάντα πληρῶν, ἀλλ᾽ ὑπὲρ κατάληψίν τινα καὶ ἄῤῥητον.

11 Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.

Ταῦτα, προφητεία περὶ τῆς ἀναλήψεως τοῦ Χριστοῦ. Ὅτι δὲ τὰ Χερουβὶμ τότε τὸν Ἰησοῦν ὑπέλαβον, Ἰεζεκιὴλ τοῦτο τοῖς προφητικοῖς θεασάμενος ὀφθαλμοῖς διδάσκει λέγων, *Καὶ ἐξῆρε τὰ Χερουβὶμ τὰς πτέρυγας αὐτῶν, καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν, καὶ ἡ δόξα Θεοῦ Ἰσραὴλ ἐπ᾽ αὐτὰ ὑπεράνω αὐτῶν· καὶ ἀνέβη ἡ δόξα Κυρίου ἐκ μέσης τῆς πόλεως.* Ἀναντιῤῥήτως γὰρ περὶ τῆς τοῦ Ez 11.22-23
Σωτῆρος ἀναλήψεως ταῦτά φησιν, ἐπεὶ καὶ Παῦλος, *ἀπαύγασμα τῆς δόξης* αὐτὸν Heb 1.3
ἐκάλεσεν.

Ἐπετάσθη δὲ ἐπὶ πτερύγων τῶν Χερουβὶμ, ἅπερ ἀνέμους ὠνόμασε, διὰ τὴν ὀξύτητα τῆς κινήσεως. Καὶ τῇ μὲν ἀληθείᾳ ἐπὶ τῶν Χερουβὶμ ἐπωχεῖτο πλησιαζόντων τῇ θεότητι, τοῖς δ᾽ ἀποστόλοις ἔδοξεν ἀνέχεσθαι πτέρυξιν ἀνέμων, τουτέστιν, ἀνέμοις. Πτερωτοὺς γὰρ εἰσήγαγε τοὺς ἀνέμους, διὰ τὴν ὀξεῖαν ἐν ἀέρι κίνησιν· πτερωτὰ γὰρ, τὰ διαπερῶντα τὸν ἀέρα, ἐπεὶ καὶ ἡ νεφέλη ἀνέμῳ Ac 1.9
φέρεται.

12α Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ.

Σκότος οἰητέον, τὸ μηκέτι βλέπεσθαι. Τοιγαροῦν ἡ ἀορασία ἀπέκρυψεν αὐτόν· ταύτην γὰρ ἔθετο περὶ ἑαυτὸν ἀπόκρυψιν. Ἀναληφθεὶς γὰρ, ἐκρύβη ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

Ἢ σκότος οἰητέον, τὴν σάρκα, κρυπτομένης ἐν αὐτῇ τῆς θεότητος.

Ἢ ἔθετο σκότος, τουτέστιν, ἀκαταληψίαν ἀποκρύπτουσαν αὐτὸν κατὰ τὴν θεότητα· σκοτίζονται γὰρ οἱ ἐντρανίζειν τῷ βάθει τῆς γνώσεως αὐτοῦ πειρώμενοι.

[10α]4 ἑπομένου MSCBF : ἐπαγομένου PV. 11[2] τὰ Χερουβίμ PSBFV : καὶ τὰ Χερουβίμ MC.

12β *Κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ.*

Σκηνὴν λέγει, τὴν προσληφθεῖσαν σάρκα, ἣν καὶ ναὸν ἐκάλεσεν ἑαυτοῦ, *Λύσατε γὰρ, φησὶ, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομήσω αὐτόν·* Jn 2.19
κύκλῳ δὲ αὐτοῦ, ὅτι ἐν αὐτῇ ἐσκήνωσεν, οὐχ ὡς ἐν αὐτῇ περιγραφόμενος, ἀλλ' ἀποῤῥήτως ἐνοικήσας, ὡς παντοδύναμος. Τοῦτο δὲ εἶπε, δεικνύων ὅτι μετὰ τῆς σαρκὸς ἀνελήφθη, καὶ οὐκ ἀπέθετο ταύτην, ὥς τινες ἐλήρησαν ὕστερον.

Ἢ καὶ σκηνὴν λέγει, τὴν ἀπροσπέλαστον αἴγλην· ὅτι καὶ *φῶς οἰκῶν ἀπρόσιτον* 1Tim 6.16
προσαγορεύεται, ὅπερ κύκλῳ τῆς θεότητος ὂν, ἀποκρύβει μὲν ταύτην, ἀποστρέφει δὲ τὰς ὄψεις τῶν θελόντων ἐνιδεῖν.

12γ *Σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.*

Ὕδωρ ἐνταῦθα λέγει, τὸ περὶ Χριστοῦ μήνυμα· νεφέλας δὲ, τὰς προφητείας· ἀέρας δὲ, τοὺς προφήτας. Καὶ δίδωσι τοιαύτην ἔννοιαν, ὅτι σκοτεινή ἐστιν ἡ περὶ Χριστοῦ προκήρυξις ἐν ταῖς προφητείαις τῶν προφητῶν, καὶ δυσθεώρητος πρὸ τοῦ τέλους· καὶ ὕδωρ μὲν, ὡς ἀναψύχουσα τοὺς λιποθυμοῦντας ἐν τῇ πλάνῃ· νεφέλαι δὲ, ὡς κεκρυμμένον ἔχουσαι τὸ μηνυόμενον· ἀέρες δὲ, διὰ τὴν καθαρότητα καὶ λεπτότητα τοῦ νοῦ. Ὅτι δὲ νεφέλας τοὺς προφήτας πολλάκις ἡ Γραφὴ καλεῖ, παρίστησιν Ἡσαΐας· τὸν γὰρ οἶκον τοῦ Ἰσραὴλ ἀμπελῶνα προσαγορεύσας, εἰσήγαγε νεφέλας ἐντελλομένας *μηκέτι βρέχειν εἰς αὐτὸν*, ὅ ἐστι, προφήτας Isa 5.6-7
μηκέτι προλέγοντας.

13α *Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον.* |

Ἀπὸ τῆς λαμπρότητος τῆς ἐπιφανείας αὐτοῦ, τῆς αὐγαζούσης, μὴ τοῖς ἐγγὺς μόνον, ἀλλὰ καὶ τοῖς πόῤῥω, αἱ σκοτειναὶ προφητεῖαι διελύθησαν, καὶ τῆς ἀσαφείας αὐτῶν ἀποσκεδασθείσης, ἀνεφάνη τὸ κεκρυμμένον. Τοῦ ἡλίου γὰρ ἀνατείλαντος, ὁ τῶν νεφελῶν διαλύεται ζόφος, καὶ τὸ κρυπτόμενον ὑπ' αὐτῶν μέρος καθορᾶται.

Ἢ καὶ νεφέλας ὑποληπτέον ἐνταῦθα, τὸ νέφος τοῦ σκοτεινοῦ νόμου· λάμψαντος γὰρ τοῦ Χριστοῦ, διελύθη τὸ κάλυμμα τῶν αἰνιγμάτων αὐτοῦ, καὶ ἐφάνησαν ταῦτα τυποῦντα καὶ προμηνύοντα τὸν Χριστόν.

Ἀλλ' ἐπὶ τούτων μὲν τῶν ἐξηγήσεων, τὸ, *ἐνώπιον αὐτοῦ*, τῷ, *ἀπὸ τῆς τηλαυγήσεως*, συνάψεις, ἵν' ᾖ, ἀπὸ τῆς τηλαυγήσεως τῆς ἐνώπιον αὐτοῦ, τουτέστι, τῆς αὐτοῦ, ἢ τῆς ἐπιφανείας αὐτοῦ.

Κατὰ δὲ τρόπον ἕτερον, διαστείλῃς μὲν τὸ, *ἀπὸ τῆς τηλαυγήσεως*, καὶ ὑποστίξας, τὸ λοιπὸν τοῖς ἔμπροσθεν ἀποδώσεις, καὶ τοιαύτην δώσεις ἔννοιαν, ὅτι τοῦ Κυρίου τηλαυγήσαντος, κατὰ τὴν ἐν σώματι πολιτείαν, ἐνώπιον αὐτοῦ, τουτέστι, προσώπῳ αὐτοῦ, καὶ ἀντ' αὐτοῦ, οἱ ἀπόστολοι τὸν τοῦ κηρύγματος λόγον ἀποσταλάζοντες, διῆλθον τὴν οἰκουμένην, τὰς ἀρούρας τῶν ψυχῶν ὡς νεφέλαι πληροῦντες, καὶ πρὸς καρπογονίαν ἀρετῶν ἐγείροντες.

13α[2] Add. H: Τηλαύγησιν λέγει, τὴν αὐγὴν τῆς ἀστραπῆς καὶ ἔξαψιν.

13β Χάλαζα καὶ ἄνθρακες πυρός.

Τοῦτο καὶ πρὸς τὴν πρώτην ἔννοιαν ἁρμόσομεν· αἱ προφητεῖαι γὰρ ἀπεικάζονται καὶ χαλάζῃ, διὰ τὸ σκληρὸν τῆς ἀσαφείας, καὶ πυρὶ, διὰ τὸ πιμπρᾶν τὰς ἀντιλογίας τῶν ἀπιστούντων. Ὥστε τὸ αὐτὸ νοεῖσθαι νεφέλην καὶ χάλαζαν καὶ πῦρ, διὰ τὰς ἀποδοθείσας αἰτίας.

Οὐχ ἧττον δὲ συμβιβάζεται καὶ πρὸς τὴν ἐσχάτην ἐξήγησιν, εἰ τοὺς ἀποστόλους ὁμοίως ὑποληψόμεθα χάλαζαν καὶ πῦρ, τὸ μὲν, ὡς τὴν πλάνην ἀποτυφλοῦντας καὶ διαφθείροντας, τὸ δὲ, ὡς τὴν ἀσέβειαν ἐμπιπρῶντας.

14 Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος, καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ.

Κύριος καὶ Ὕψιστος, ὁ Θεὸς, ὡς Δεσπότης καὶ ὑψηλός. Ἐβρόντησε δὲ καὶ ἔδωκε φωνὴν αὐτοῦ, ὅτε πρὸς τὸν Πατέρα ὁ Υἱὸς ἐβόησε, *Πάτερ, δόξασόν σου τὸ ὄνομα. Ἦλθε γὰρ, φησὶ, φωνὴ ἐκ τοῦ οὐρανοῦ· Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. Ὁ δὲ ὄχλος, ὁ ἑστὼς, ἀκούσας, ἔλεγε βροντὴν γεγονέναι.* Ὥστε τὸ μὲν, ἐβρόντησε, Jn 12.28-29
πρὸς τὴν ὑπόληψιν τῶν ἀκουσάντων εἴρηται· τὸ δὲ, ἔδωκε φωνὴν αὐτοῦ, πρὸς τὴν ἀλήθειαν. Φωνὴ γὰρ οὖσα, βροντὴ τοῖς ἀκηκοόσιν ἔδοξεν.

Οὐ χρὴ δὲ θαυμάζειν, ὅταν οὐκ ἔχωσιν ἀκολουθίαν καὶ τάξιν αἱ προφητεῖαι· δείκνυται γὰρ ἐντεῦθεν, ὡς οἱ προφῆται, οὐ προεφήτευον ἃ ἐβούλοντο, ἀλλ᾽ ἅπερ ἂν ὑπὸ τοῦ Πνεύματος ἐνηχήθησαν.

15α Ἐξαπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς.

Βέλη μὲν λέγει, τοὺς μαθητὰς, ἀποσταλέντας εἰς ἅπαντα τὸν κόσμον. Ἐσκόρπισε δὲ δι᾽ αὐτῶν ὁ Χριστὸς τοὺς δαίμονας, οὓς ἐδήλωσε διὰ τῆς ἀντωνυμίας. Μισεῖ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον, ὥσπερ αὐτοὺς, οὕτω καὶ τὴν προσηγορίαν αὐτῶν.

15β Καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐτούς.

Τοὺς αὐτοὺς οἰητέον, καὶ βέλη καὶ ἀστραπάς· ἐκεῖνο μὲν, ὡς βάλλοντας καὶ ἀνατρέποντας τὴν πλάνην ἐκείνων, τοῦτο δὲ, ὡς ἐμπιπρῶντας τὴν ἀσέβειαν καὶ τὰ τεμένη αὐτῆς. Βαλλό | μενοί τε γὰρ ταῖς εὐχαῖς, ἔπιπτον οἱ πολέμιοι, καὶ τὴν ἀστραπὴν οὐ φέροντες τοῦ ἐνοικοῦντος τοῖς μαθηταῖς ἁγίου Πνεύματος, συνεταράσσοντο καὶ εἰς ἀμηχανίαν καθίσταντο.

16α Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων.

Πηγαὶ τῶν ὑδάτων αὖθις, οἱ ἀπόστολοι, πρῶτοι διδάσκαλοι τῆς κατὰ Χριστὸν πίστεως, ὑπ᾽ αὐτοῦ χειροτονηθέντες. Ὕδωρ μὲν γὰρ, ἡ διδασκαλία τοῦ κηρύγματος· πηγαὶ δὲ, οἱ πρῶτοι ταύτης κρουνοὶ, οἳ πᾶσιν ὤφθησαν, εἰς ἅπαντας ἐκπεμφθέντες.

16β Καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης.

Οἱ αὐτοὶ, καὶ θεμέλια τῆς οἰκουμένης, ὡς πρῶτοι πιστεύσαντες, καὶ ὑποτεθέντες ἕδρα πίστεως τῇ οἰκουμένῃ στεῤῥὰ καὶ ἀπερίτρεπτος, ἐφ᾽ ᾗ πάντες ἐποικοδομοῦνται. Ἀνεκαλύφθησαν δὲ διὰ τῆς τοῦ βίου μαρμαρυγῆς καὶ τῆς τῶν ἐπιτελουμένων τεραστίων λαμπρότητος.

Καὶ τῶν μὲν ἄλλων οἰκοδομημάτων ἐν τῇ γῇ κέκρυπται τὰ θεμέλια, τὰ δὲ τῆς πίστεως, τοὐναντίον, ὑπὲρ γῆς ἐφαίνετο πᾶσι, καὶ πράξει καὶ λόγῳ λάμποντα.

16γ Ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε.

Ταῦτα δὲ γέγονεν, ἐπιτιμηθέντων ὑπὸ σοῦ, καὶ φοβηθέντων τῶν δαιμόνων.

16δ Ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.

Πυρὶ ἔοικεν ἡ ὀργὴ, καὶ ἐξαπτομένης ἀναδίδοται καπνώδης ἀτμὸς, καὶ διὰ τῶν μυκτήρων ἐμπνεῖται τῷ ἀέρι. Διὸ καὶ πνεῦμα ὀργῆς λέγεται, καὶ τοὺς
ὀργιζομένους ἄγαν, θυμοῦ πνέειν φαμέν. Διὰ τούτου δὲ, τὴν κίνησιν τῆς ὀργῆς Ps 2.5β
ᾐνίξατο, ἀνθρωποπρεπῶς περὶ αὐτῆς εἰρηκώς. Ἐς τοσοῦτον, φησὶν, ὠργίσθης, ὡς ἔμπνευσιν πνεύματος ὀργῆς τῷ ἀέρι γενέσθαι, διασκεδάζουσαν τοὺς ἐχθρούς.

17α Ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με.

Τὰ ἐντεῦθεν περὶ ἑαυτοῦ φησιν ὁ προφήτης, εἰς τὸν εἱρμὸν ἐπαναδραμὼν τοῦ λόγου. Ἐξαπέστειλε γὰρ, εἶπεν, ὁ Θεὸς ἐξ οὐρανοῦ βοήθειαν, καὶ ἐῤῥύσατό με.

17β Προσελάβετό με ἐξ ὑδάτων πολλῶν.

Τὰ ὕδατα παρὰ τῇ θείᾳ Γραφῇ ποτὲ μὲν εἰς κάθαρσιν καὶ ἀναψυχὴν λαμβάνονται, καθάπερ ὅταν ὕδατα νοήσωμεν τὴν διδασκαλίαν, ποτὲ δὲ, εἰς καταποντισμὸν καὶ ὄλεθρον, ὡς ἐπὶ τοῦ παρόντος. Τοιαύτη γὰρ ἡ τῶν ὑδάτων φύσις, τὸ μὲν καθαίρουσα, τὸ δὲ, ἀποπνίγουσα, καὶ μᾶλλον ὅταν εἴη πολλὰ καὶ βαθέα.

Χρὴ τοίνυν ὕδατα πολλὰ νομίζειν, τὸ πλῆθος τῶν συμφορῶν ἢ τῶν ἐχθρῶν. Προσελάβετο δὲ, ἀντὶ τοῦ, ἐξήγαγέ με πρὸς ἑαυτόν· ὁ γὰρ ἐξάγων τινὰ, πρὸς ἑαυτὸν ἑλκύει τοῦτον ἀντιλαμβανόμενος.

18α Ῥύσεταί με ἐξ ἐθχρῶν μου δυνατῶν.

Ἐχθροὺς δυνατοὺς ἐνταῦθα, τοὺς δαίμονας ὑποληπτέον, καὶ φανερῶς καὶ ἀφανῶς πολεμοῦντας, καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν, καὶ διὰ πάσης αἰσθήσεως, καὶ φύσιν ἔχοντας ἀκάματον ἐν μάχαις· πνεύματα γάρ.

16β[3] ὑποτεθέντες PASH : ὑποτιθέντες MCV.

Ὁ γοῦν ἐκ τῶν αἰσθητῶν με ῥυσάμενος Θεὸς, αὐτὸς ῥύσεταί με καὶ ἐκ τῶν νοητῶν ἐχθρῶν, τῶν δυνατῶν εἰς πονηρίαν καὶ ὄλεθρον.

18β Καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.

Οἱ γὰρ αὐτοὶ μισάνθρωποι ὄντες, μισοῦσι κἀμὲ, καὶ μάλιστα βοηθούμενον ὑπὸ Θεοῦ. Διὰ τοῦτο δὲ ῥύσεταί με ἐξ αὐτῶν ὁ Κύριος, διότι συνεσκευάσθησαν | καὶ συνήσπισαν καὶ ἐκραταιώθησαν ὑπὲρ ἐμὲ, μὴ φραξάμενον τοῖς ὅπλοις τῆς ἀρετῆς, ὡς ἦν εἰκὸς, ἀλλ' ὑπομαλακισθέντα.

Ἢ καὶ ὅτι οἱ μὲν φύσιν ἔχουσιν ἄϋλον, καὶ ὁρῶντες βάλλουσιν, ἐγὼ δὲ ὑλικὴν, καὶ οὐχ ὁρῶ τοὺς τιτρώσκοντας.

19α Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου.

Τὸ προφθάνειν οὐ πάντοτε σημαίνει τὸ προλαμβάνειν, ἀλλ' ἔστιν ὅτε καὶ τὸ φθάνειν ἁπλῶς, καὶ τὸ ἐπιτίθεσθαι, καθάπερ καὶ νῦν. Ἐπέθεντο γὰρ, φησὶν, οἱ ἐχθροί μου, εἴτε οἱ ὁρατοὶ, εἴτε οἱ ἀόρατοι, ἐν καιρῷ κακώσεώς μου, τουτέστιν, ἀσθενείας τῶν πολεμικῶν παρασκευῶν, εἴτε τῶν ὁρατῶν, εἴτε τῶν ἀοράτων· ἀσθενοῦντα γάρ με βλέποντες, τότε μᾶλλον ἐπετίθεντο.

19β Καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου.

Μέλλοντος καταπεσεῖν, ἀντερείσας, ἐγένετο τῇ ἀσθενείᾳ μου στηριγμὸς, ἀντὶ ῥάβδου ὑπερειδούσης.

20α Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν.

Ἀπὸ τῆς τῶν θλίψεων στενότητος εἰς εὐφροσύνης πλάτος, ἤτοι διάχυσιν, κατὰ τὸ, Ἐν θλίψει ἐπλάτυνάς με. Ps 4.2β

Ἢ καὶ ὅτι περικυκλοῦντες οἱ ἐχθροὶ, στενοῦσι τὸν ἐναπειλημμένον, ὅτε δ' ἐξενεχθῇ τούτων, ἀπολαύει εὐρυχωρίας, μηκέτι στενούμενος.

20β Ῥύσεταί με, ὅτι ἠθέλησέ με.

Τοσαύτης ἀξιώσας κηδεμονίας, καὶ εἰς τὸ μέλλον με πάντως ῥύσεται. Ἠθέλησε γάρ με, τουτέστιν, ἐξελέξατο.

21α Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου.

Μὴ ἀδικήσας γὰρ τοὺς ἐχθραίνοντάς μοι, καὶ δίκαιος τά γε πρὸς αὐτοὺς φανεὶς, κατὰ τοῦτο τεύξομαι παρὰ Θεοῦ τῆς ἀμοιβῆς, καὶ ἀντὶ τούτου ἀποδώσει μοι,

19α[5] τῶν ὁρατῶν εἴτε τῶν ἀοράτων PV : ὁρατῶν εἴτε ἀοράτων MSB. 20β[2] Τοσαύτης MSBF : Ὁ τοιαύτης PV.

καθάπερ ὀφειλὴν, τὴν ἑαυτοῦ βοήθειαν.

21β *Καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι.*

Ἡ καθαρότης τῶν χειρῶν, ἐφερμηνευτικόν ἐστι τῆς δικαιοσύνης· οὔτε γὰρ ἥρπασα, οὔτε ἐπλεονέκτησα, οὔτε ἐπεβούλευσα τοῖς ἐπιβουλεύουσιν, ἀλλὰ καθαρὰς ἔχω τὰς χεῖρας ἀπὸ παντὸς μολυσμοῦ, συγκρινομένας πρὸς τὰς αὐτῶν.

Ἢ καὶ διὰ τῶν χειρῶν, τὰς πράξεις ἁπλῶς ἐδήλωσεν, ἐπεὶ καὶ διὰ χειρῶν πράττομεν.

22 *Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου.*

Ταῦτα, αἴτια τίθησι τῆς καθαριότητος τῶν χειρῶν. Ἐκαθαρίευον γὰρ, ὅτι ἐφύλαξα τὰς ὁδοὺς, ἤτοι τὰς ἐντολὰς Κυρίου, καὶ οὐχ ὡς ἀσεβὴς ἀπέστην ἀπ᾽ αὐτοῦ. Ὁ δὲ ταύτας τηρῶν, καὶ δι᾽ αὐτῶν ὁδεύων, ἀναγκαίως καθαριεύει.

23 *Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησα ἀπ᾽ ἐμοῦ.*

Ἕτερον νόμος, καὶ ἕτερον ἐντολὴ, καὶ ἕτερον μαρτύριον, καὶ ἄλλο κρίμα, καὶ ἄλλο δικαίωμα.

Νόμος μὲν, ὁ καθόλου περιεκτικὸς τῶν ἐντολῶν, ὡς τὸ, *Ὁ νόμος διὰ Μωυσέως ἐδόθη.* Jn 1.17

Ἐντολαὶ δὲ, αἱ κατὰ μέρος, οἷον, *Οὐ φονεύσεις, οὐ μοιχεύσεις*, καὶ ὅσα κατ᾽ εἶδος εἴρηται. Ex 20. 13, 15

Μαρτύριον δὲ, ὅπερ ὁ νομοθέτης μετά τινος διαμαρτυρίας παρεγγυᾷ τοῖς ἀκούουσιν, ὡς ὅταν ὁ Μωυσῆς λέγῃ πρὸς τὸν λαὸν, ὅτι *Ἐὰν τάδε καὶ τάδε ποιήσητε, διαμαρτύρομαι ὑμῖν σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε.* Dt 4.25-26

Κρίματα δὲ, ὅσα τοῦ Θεοῦ κρίνοντος ἐγράφη, καθάπερ ἐπὶ τοῦ βλασφημήσαντος τὸ φοβερὸν ὄνομα. Μωυσῆς μὲν γὰρ ἐπὶ τὸν Θεὸν τὴν κρίσιν ἀνέφερεν· ἐκείνου Lev 24.10-23 δὲ λιθοβοληθῆναι τοῦτον κελεύσαντος, κρίμα τοῦτο | καὶ ὅρος κατὰ τῶν ἄλλων βλασφήμων γέγονε.

Δικαιώματα δὲ, τὰ τοιαῦτα προστάγματα, οἷον, *Ἐὰν κτήσῃ παῖδα Ἑβραῖον, ἓξ ἔτη δουλεύσει σοι*, καὶ τὰ ἑξῆς· ταῦτα γὰρ δικαιοσύνης ἐστὶ μεστά. Ex 21.1-2

Καὶ ἡ μὲν διαίρεσις αὐτῶν τοιαύτη· ὀνομάζονται δὲ πολλάκις ταῦτα τοῖς ἀλλήλων ὀνόμασι, καὶ μᾶλλον ἐν τῷ ριη´ ψαλμῷ.

Ἐνταῦθα δὲ, τῷ ὀνόματι τῶν κριμάτων καὶ τῶν δικαιωμάτων, ὅλας τὰς ἐντολὰς περιέλαβεν, ὡς ἀπὸ μέρους τὸ πᾶν· Πᾶσαι γὰρ, φησὶν, ἐντολαὶ αὐτοῦ ἐνώπιόν μου, ἀναγινωσκόμεναι, καὶ οὐδέποτε πόῤῥω τιθέμεναι. Dt 6.4-8

24α Καὶ ἔσομαι ἄμωμος μετ᾽ αὐτοῦ.

Ἀντὶ τοῦ, δι᾽ αὐτοῦ, ἢ μετ᾽ αὐτοῦ ὤν.

24β Καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.

Φυλακὴν μὲν λέγει νῦν, τὴν ἀποχήν· ἀνομίαν δὲ, τὴν ἁμαρτίαν.

Ἡ δὲ ἀντωνυμία πρόσκειται, διὰ τὸ τὴν ἁμαρτίαν οἰκείαν εἶναι τῆς σαρκός· ἢ καὶ κατατίθεται σφαλῆναι ὡς ἄνθρωπος· οὐδεὶς γὰρ ἐν ἀνθρώποις ἀναμάρτητος.

25 Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.

Εἰ δὲ τοιοῦτος ἤμην καὶ ἔσομαι, πάντως ἀμοιβῆς τεύξομαι, καθὼς προείρηται. Καθαριότητα δὲ τῶν χειρῶν μου, τὴν ἐνώπιον αὐτοῦ γινομένην· οὐ γὰρ εἰς ἐπίδειξιν ἀνθρώπων, ἀλλ᾽ εἰς ἀρέσκειαν Θεοῦ ταύτην ἐποιούμην.

26-27 Μετὰ ὁσίου ὅσιος ἔσῃ, καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις.

Ὅσιος μέν ἐστιν, ὁ τὰ πρὸς Θεὸν εὐσεβής· ἀθῷος δὲ, ὁ τὰ πρὸς ἀνθρώπους ἀνεύθυνος· ἐκλεκτὸς δὲ, ὁ τὰ πρὸς ἀρετὴν τέλειος· στρεβλὸς δὲ, ὁ σκολιός.

Διδασκαλικὸς οὖν ὁ λόγος, καὶ πρὸς τὸν ἐντυγχάνοντα ἀποτεινόμενος, καὶ λέγων, ὅτι οἷός ἐστιν ᾧ συνοικεῖς, τοιοῦτος ἔσῃ καὶ σὺ, πρὸς τὴν ἕξιν αὐτοῦ μεταβαλλόμενος. Τὸ δὲ, διαστρέψεις, ἀντὶ τοῦ, στρεβλὸς ἔσῃ, ἢ διαστρέψεις τὴν γνώμην.

Ἀνάγονται δὲ καὶ πρὸς τὸν Θεὸν ταυτὶ τὰ ῥητὰ, καὶ διδόασι τοιαύτην ἔννοιαν, ὅτι τὸ πρὸς ἀξίαν ἀποδώσεις ἑκάστῳ, δικαιότατος ὤν· καὶ τὸν μὲν ὅσιον, ὁσιῶν ἔσῃ· τὸν δὲ ἀθῷον, ἀθῳῶν· τὸν δὲ ἐκλεκτὸν, ἐκλεγόμενος· τὸν δὲ στρεβλὸν, διαστρέφων καὶ συμποδίζων. Καὶ ἔστι τὸ σχῆμα, ὄνομα ἀντὶ μετοχῆς, ὅσιος, ἀντὶ τοῦ, ὁσιῶν.

28 Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.

Τοὺς ἐξ ἀρετῆς ταπεινούς· ὀφθαλμοὺς δὲ ὑπερηφάνων, τοὺς ὑπερηφάνους, ἀπὸ μέρους τὸ πᾶν, ἢ καὶ ὅτι ἀπὸ τῶν ὀφθαλμῶν εἰώθασιν οἱ τοιοῦτοι χαρακτηρίζεσθαι, αἴροντες τὴν ὀφρύν· ὑπερήφανοι γὰρ, παρὰ τὸ ὑπεράνω τὰ φάη τείνειν. Τοὺς οὖν τῶν τοιούτων ὀφθαλμοὺς εἰς γῆν ὁρᾶν παρασκευάσεις ἐκ θλίψεως.

Ἢ καὶ λαὸν ταπεινὸν, τὸν ἐξ ἐθνῶν, τῷ βάρει τῶν ἁμαρτημάτων κάτω νεύειν
ἀναγκαζόμενον· ὑπερηφάνους δὲ, τῶν Ἰουδαίων, ἀλαζονευόμενον ἐπί τε τῷ νόμῳ Jn 19.7
καὶ τοῖς προγόνοις. Mt 3.9

29 Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε· ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου.

Τῆς ψυχῆς ὀφθαλμὸς, ὁ νοῦς· ὁ δὲ ὀφθαλμὸς, καὶ λύχνος, ὡς ὁδηγῶν· σκότος δὲ αὐτῆς, ὁ θυμὸς καὶ ἡ ἐπιθυμία. Λέγει γοῦν, ὅτι φωτίσεις τὸν νοῦν μου ταῖς θείαις ἐλλάμψεσι. Τοῦτον δὲ φωτίζων, φωτίσεις καὶ τὸ σκότος μου· φωτιζομένου γὰρ τοῦ νοῦ, | καὶ τ' ἄλλα μέρη τῆς ψυχῆς φωτίζονται. Καὶ τοῦτό ἐστι τὸ παρὰ τοῦ Σωτῆρος ἐν τοῖς Εὐαγγελίοις εἰρημένον, *Εἰ οὖν τὸ ἐν σοὶ φῶς σκότος ἐστὶν, τὸ σκότος πόσον;* τουτέστιν, εἰ ὁ νοῦς ἐσκοτισμένος ἐστὶ, πολλῷ πλέον αἱ ἄλογοι Mt 6.23
τῆς ψυχῆς δυνάμεις.

Ἔστι δ' εἰπεῖν τὸν νοῦν, καὶ φῶς, καὶ σκότος· πρὸς μὲν τὴν φύσιν τῶν πραγμάτων, φῶς, πρὸς δὲ τὸν Θεὸν, σκότος, ἀόρατον αὐτῷ τυγχάνοντα.

Ἢ λύχνος μὲν, ὁ Μωσαϊκὸς νόμος, ὁδηγῶν ἐπὶ τὰ καλὰ τοὺς ἀναγινώσκοντας· Ps 118.105
σκότος δὲ, τὸ ἐπικείμενον αὐτῷ κάλυμμα τῆς ἀσαφείας, οὗ τὰ κεκρυμμένα προφητεύει Δαυὶδ φωτισθῆναι καὶ ἀνακαλυφθῆναι, δηλονότι σαρκωθέντος Θεοῦ.

Ἢ λύχνος μὲν, τὸ κήρυγμα τοῦ Εὐαγγελίου, φωτισθὲν καὶ γνωρισθὲν ἡμῖν παρὰ τοῦ Σωτῆρος· σκότος δὲ, ἡ τῶν εἰδώλων πλάνη καὶ ἄγνοια τῆς ὀρθῆς πίστεως.

Ἢ λύχνος μὲν, ὁ νοῦς, ὁδηγῶν τὸν ἄνθρωπον· σκότος δὲ, τὸ σῶμα, διὰ τὴν ἐπιπρόσθησιν, καὶ παχύτητα. Φωτισθήσονται δὲ καὶ ἄμφω· ὁ μὲν, ταῖς θείαις ἐλλάμψεσι, τὸ δὲ, τῇ καθάρσει.

Τινὲς δὲ λύχνον ἐνταῦθα κληθῆναι φασὶ, τὸν ἐκ σπέρματος Δαυὶδ Ἰησοῦν, ὃν ἐφώτισεν ὁ Λόγος ἑνωθεὶς αὐτῷ, καὶ παρέσχεν ἀφιέναι τὰς ἀκτῖνας ἁπανταχῇ· φησὶ γὰρ, *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου·* σκότος δὲ, τὴν σάρκα, ἣν προσλαβὼν, Jn 8.12
ἐλάμπρυνε καὶ ἐθέωσεν.

30α Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου.

Ἐν σοὶ μὲν, ἤτοι διὰ σοῦ· πειρατηρίου δὲ, τουτέστι, πειρασμοῦ, παρ' ἀνθρώπων ἢ δαιμόνων ἐπαγομένου.

30β Καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.

Τῷ Θεῷ μου βοηθούμενος, ὑπερπηδήσω τὰ ἀποφράττοντά μοι τὴν πρὸς αὐτὸν ὁδὸν ἁμαρτήματα, οἷς ἔχει τὴν ἰσχὺν ὁ Σατανᾶς, καὶ δι' ὧν κωλύει τὴν εἰς οὐρανοὺς ἄνοδον.

Ἢ πειρατήριον μὲν, ὁ βίος, κατὰ τὸν Ἰὼβ, ἐν ᾧ δελέατα ἡδονῆς, καὶ παγίδες Job 7.1
θανάτου, καὶ λόχοι, καὶ πολέμιοι, αἰσθητοὶ καὶ νοητοί. Τεῖχος δὲ, τὸ σῶμα, προβεβλημένον τῆς ψυχῆς, καὶ ἀποφράττον αὐτῇ τὰς θείας αὐγάς· ἢ καὶ τεῖχος, οἱ ἐναέριοι δαίμονες, διαβαινούσαις ταῖς ψυχαῖς ἐμποδίζοντες.

31α Ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ.

Σχῆμα καὶ τοῦτο τῆς Παλαιᾶς Γραφῆς· ἀντὶ γὰρ τοῦ εἰπεῖν, ὅτι τοῦ Θεοῦ μου ἄμωμος ἡ ὁδὸς, εἶπεν, ὅτι *Ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ.*

Ὁδὸς δὲ Θεοῦ, ἡ ἀρετὴ, πρὸς αὐτὸν ἀνάγουσα. Χρὴ γοῦν ἄμωμον εἶναι καὶ τὸν δι᾽ αὐτῆς ὁδεύοντα.

Ἢ καὶ περὶ τοῦ Σωτῆρος ὁ λόγος· ὁδεύσας γὰρ τὸν βίον, ἁμαρτίαν οὐκ ἐποίησε. 1Pt 2.22

31β Τὰ λόγια Κυρίου πεπυρωμένα.

Ἀληθινὰ καὶ καθαρὰ ψόγου παντὸς, ὡς τὸ κεχωνευμένον χρυσίον· καὶ ἀλλαχοῦ γὰρ εἴρηκε, *Τὰ λόγια Κυρίου, λόγια ἁγνὰ, καὶ ἀργύριον πεπυρωμένον.* Ps 11.7

31γ Ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ᾽ αὐτόν.

Ἐπαγγελλόμενος γὰρ βοηθεῖν, οὐ ψεύδεται.

32α Ὅτι τίς Θεὸς πάρεξ τοῦ Κυρίου;

Τὸ, ὅτι, παρέλκον ἐνταῦθα, ἢ ἀντὶ τοῦ, ἐπειδή. Τίς ἄλλος φύσει Θεὸς χωρὶς τοῦ Κυρίου; τουτέστιν, τοῦ Πατρός.

32β Ἢ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν.

Θεὸν ἐνταῦθα, τὸν Υἱὸν ἐκάλεσεν· ἡμῶν δὲ εἰπὼν, συνέταξε καὶ ἑαυτὸν ἡμῖν τοῖς πιστοῖς, οἷα προγνοὺς τὸ ἐντελὲς τῆς πίστεως.

33α Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν.

Τοῦτο, περὶ τοῦ ἁγίου Πνεύματος.

Εἰ δὲ καὶ τοὺς τρεῖς στίχους ἐκ παραλλήλου τὸ αὐτὸ φήσει τις ἑρμηνεύειν, οὐδὲν ἀπεικός· περιζωννύων δέ με δύναμιν ἐν πολέμοις.

33β Καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.

Διὰ τῶν ἐντολῶν ἐρύθμισε τὴν κατὰ | τὸν βίον ἀναστροφήν μου.

Ἢ καὶ περὶ τοῦ Σωτῆρος ὁ λόγος, προσώπῳ τῆς Ἐκκλησίας τῶν πιστῶν, ὅτι ἐξωμάλισέ μοι τὴν ὁδὸν διὰ τῆς ἑαυτοῦ πορείας, καὶ ἄμωμον ἀπειργάσατο.

34α Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου.

Εὐτρεπίζων, τελειῶν εἰς δρόμον ἐν καιρῷ φυγῆς.

32α[2] *χωρὶς* MSCBF : *πάρεξ* PV.

34β Καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με.

Καὶ εἰς τὰ ὄρη σῴζων με, καὶ ἱστῶν, καὶ παύων τοῦ δρόμου, δίκην τῶν φευγουσῶν ἐλάφων, καὶ ἀναβαινουσῶν εἰς τὰ ὄρη, καὶ τῇ ἀπαλλαγῇ τοῦ δέους ἱσταμένων καὶ ἀναπνεουσῶν.

Ἢ καὶ δρομικώτατόν με ποιῶν, ὥστε φυγεῖν τοὺς ἑλεῖν ζητοῦντας δαίμονας, καὶ ἐπὶ τὸ ὕψος τῶν ἀρετῶν ἀνάγων.

35α Διδάσκων χεῖράς μου εἰς πόλεμον.

Αὐτός μοι καὶ τὴν σύνεσιν τῆς πολεμικῆς ἐμπειρίας δέδωκεν, οὐ μόνον τῆς κατὰ τῶν ὁρωμένων ἐχθρῶν, ἀλλὰ καὶ τῆς κατὰ δαιμόνων· ὡς εὖ μὲν τὸν θυρεὸν τῆς πίστεως, εὖ δὲ τὴν μάχαιραν τοῦ Πνεύματος μεταχειρίζεσθαι, καὶ διὰ τῶν Eph 6.16-17
πρακτικῶν ἀρετῶν, αἳ δηλοῦνται διὰ τῶν χειρῶν, καταπολεμεῖν αὐτούς. Εἴη δ᾽ ἂν καὶ ἡ πρὸς Θεὸν ἔκτασις τῶν χειρῶν, παράταξις κατ᾽ ἐχθρῶν.

35β Καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου.

Λείπει τὸ, ὡς, ἵν᾽ ᾖ, ὡς τόξον χαλκοῦν, στεῤῥοὺς καὶ μὴ κάμνοντας ἐν ταῖς ἀφέσεσι τῶν βελῶν.

36α Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας.

Ἀντίληψιν οὐκ ἀνόνητον, ἀλλὰ σῴζουσαν.

36β Καὶ ἡ δεξιά σου ἀντελάβετό μου.

Εἰώθασι γὰρ οἱ ἀντιλαμβανόμενοι τῇ δεξιᾷ χρῆσθαι χειρί· δραστικωτέρα γὰρ αὕτη καὶ δυνατωτέρα καὶ ἐπιτηδειοτέρα τῆς λαιᾶς.

Ἢ καὶ δεξιὰν οἰητέον, τὸν ἐνανθρωπήσαντα Δημιουργὸν τῆς κτίσεως, ὃς ἀντελάβετο τῆς φύσεως ἡμῶν.

36γ Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος.

Νοήσεις παιδείαν, τὸν παιδαγωγὸν νόμον, δι᾽ οὗ κατηρτίσθη παντελῶς εἰς ἀρετήν.

Ἢ καὶ παιδείαν Θεοῦ λέγει, τοὺς κατὰ παραχώρησιν Θεοῦ παιδείας ἕνεκεν ἐπενεχθέντας πειρασμούς. Ἀμφοτέρωθεν γάρ με, φησὶν, ὠφέλησας, τοῦτο μὲν, ἀντιλαμβανόμενος, τοῦτο δὲ, παραχωρῶν πειράζεσθαι.

36δ Καὶ ἡ παιδεία σου αὐτή με διδάξει.

Καὶ ἔτι με παιδεύσεις καὶ διδάξεις ὡς παῖδά σου· Ἐν θλίψει γὰρ, φησὶ, *μικρᾷ ἡ παιδεία σου ἡμῖν*. Εὐπραγοῦντες μὲν γὰρ, ἀποῤῥαθυμοῦμεν, θλίψεσι δὲ περιπίπτοντες ἐκ περιστάσεως, διεγειρόμεθα, καὶ σωφρονέστεροι γινόμεθα. Isa 26.16

37α Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου.

Ἐπλάτυνας, περιελὼν τὰς παγίδας καὶ τὰ θήρατρα, ὧν ἐν μέσῳ διαβαίνων, ἐστενοχωρούμην· καὶ νῦν ἐκτὸς φόβου βαδίζω, μηδενὸς ἐνεδρεύοντος.

37β Καὶ οὐκ ἠσθένησε τὰ ἴχνη μου.

Πρότερον μὲν γὰρ φεύγων τοὺς ἐχθροὺς, ἐπιπολαίως ἐπάτουν τὴν γῆν, ἀμυδρὰ ποιούμενος ἴχνη, διὰ τὸ σπεύδειν μὴ γνωρίζεσθαι ταῦτα τοῖς καταδιώκουσι, μή ποτε τούτοις ἕψωνται· νῦν δὲ στερεῶς βαίνω, μηδένα δεδιώς.

Εἴη δ᾽ ἂν καὶ ἀπὸ τῆς Ἐκκλησίας ὁ λόγος, εὐχαριστούσης, ὅτι πλατύνεται ἡ ὁδὸς αὐτῆς, πολλῶν καθ᾽ ἡμέραν ὁδευόντων, καὶ οὐκ ἀμαυροῦται τὰ χαράγματα τῆς εὐαγγελικῆς πολιτείας, ἀλλ᾽ αὔξει καὶ λάμπει διὰ τῆς συνεχείας τῶν πολιτευομένων.

38α Καταδιώξω τοὺς ἐχθρούς μου καὶ καταλήψομαι αὐτούς.

Ἀπὸ τῶν προλαβόντων θαυμασίων πληροφορηθεὶς, καὶ περὶ τῶν μελλόντων φησὶν, ὡς εἰ πάλιν ἐχθροί μοί τινες γένωνται, καὶ τούτους καταδιώξω, μὴ δυναμένους | ἀντιστῆναι, καὶ οὐ δὲ τὰς χεῖράς μου διαδράσουσι.

38β Καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλίπωσι.

Καταλαβὼν δὲ αὐτοὺς, οὐκ ἀναζεύξω, μεθεὶς ὡς ἡττηθέντας ἤδη, ἀλλ᾽ ἄρδην πάντας διαφθερῶ.

39α Ἐκθλίψω αὐτοὺς, καὶ οὐ μὴ δύνωνται στῆναι.

Εἰπὼν ὅτι καταδιώξω τοὺς ἐχθροὺς, λέγει καὶ τὸν τρόπον· ἀναγκάσω γὰρ αὐτοὺς, στενοχωρῶν καὶ πιέζων πάντοθεν, καὶ οὐ μὴ δυνηθῶσι στῆναι κατὰ πρόσωπον εἰς παράταξιν.

39β Πεσοῦνται ὑπὸ τοὺς πόδας μου.

Καταλαμβανόμενοι δὲ καὶ ἐν ἀφύκτῳ σαγηνευόμενοι, πεσοῦνται καθικετεύοντες.

38β[3] *γένωνται* MPSCV : *γίνονται* H.

40α Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον.

Πάλιν τὰς προγεγενημένας εὐεργεσίας τοῦ Θεοῦ καταλέγει.

40β Συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ᾽ ἐμὲ ὑποκάτω μου.

Ἐμποδίσας, κατέβαλες.

41α Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον.

Δηλαδὴ νωτίζοντας, ὅ ἐστι, φεύγοντας· οἱ γὰρ φεύγοντες, τὰ νῶτα στρέφοντες, νῶτος λέγονται. Ἢ λείπει τὸ, γενομένους, ἵνα ᾖ, νῶτον γενομένους ἐν τῷ μεταστραφῆναι· ἢ λείπει τὸ, εἰς, ἵνα ᾖ, εἰς νῶτον, ὥστε βάλλειν ἀφυλάκτους αὐτούς.

41β Καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας.

Ἐκ γῆς παντελῶς ἐθέρισας.

42 Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σῴζων· πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν.

Ἐκέκραξαν εἰπὼν, ἐπήγαγε καὶ πρὸς τίνα· καὶ γὰρ διὰ τὰς ἁμαρτίας αὐτῶν οὐκ εἰσηκούσθησαν.

43α Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χνοῦν κατὰ πρόσωπον ἀνέμου.

Ἀφανίσω αὐτοὺς, ὡσεὶ χνοῦν λεπτυνόμενον ἐνώπιον ἀνέμου· καὶ γὰρ ὁ ἄνεμος ἐπ᾽ εὐθείας ἐμπίπτων, ἀποκρίνει τῆς γῆς τὸν χνοῦν, ὡς λεπτότατον καὶ κουφότατον.

43β Ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.

Λεανῶ, τουτέστι, καταπατήσω· καὶ γὰρ ὁ ἐν ἀγυιαῖς πηλὸς καταπατούμενος λεαίνεται. Ἀπὸ τοῦ ἑπομένου τοίνυν ἐδήλωσε τὸ προηγούμενον.

Πλατεῖα δὲ, ἡ λεωφόρος, ἐπεὶ καὶ ἁμαξιτός· πλατεῖα δὲ, πρὸς σύγκρισιν τῆς ἀτραποῦ, στενοτάτης οὔσης.

44α Ῥύσῃ με ἐξ ἀντιλογίας λαοῦ.

Ἀνώτερόν με ποιήσεις τῆς ἀντιλογίας τοῦ ὑποτεταγμένου μοι λαοῦ, τρέμοντος ὡς βασιλέα, καὶ μὴ τολμῶντος ἀντιλέγειν τοῖς ἐμοῖς προστάγμασι.

44β Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν.

Οὐ μόνον πᾶσαν ἀντιλογίαν τῶν ὑπηκόων μοι περιέλης Ἰουδαίων, ἀλλὰ καὶ ἔθνη ὑποτάξεις μοι.

Ἁρμοδιώτερον δὲ πρὸς Χριστὸν ἀνάγειν τὰ ἐντεῦθεν, λέγοντα πρὸς τὸν Πατέρα, κατὰ τὸ ἀνθρώπινον, ὅτι καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν, κατὰ τὸ,
Δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. Τοῦ γὰρ πρὶν οἰκείου λαοῦ μὴ δεξαμένου Ps 2.8
αὐτὸν, ἀλλ' ἀπειθοῦντος καὶ ἀντιλέγοντος καὶ τέλος ἀνελόντος τὸν Δεσπότην, ἐῤῥύσθη μὲν αὐτῶν, περιτρέψας αὐτοῖς τὸν θάνατον, καὶ ἀναστὰς, καὶ οὕτω διαδρὰς αὐτοὺς κατασφαλισαμένους τὸν τάφον, εἰς τὰ ἔθνη δὲ ἐβασίλευσε, τὴν ἑκούσιον ὑποταγὴν τούτων δεξάμενος.

44γ Λαὸς, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι.

Λαὸς ὁ ἐξ ἐθνῶν, ἀγνοούμενός μοι πρὶν, ὡς ἀγνοῶν με· γινώσκει γὰρ Κύριος
τοὺς αὐτὸν γινώσκοντας. 1Cor 8.3

45α Εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου.

Ἐν ἀκοῇ ὠτίου παρεδέξατό μου τὸ Εὐαγγέλιον.

45β Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι. |

Τουτὶ τὸ ῥητὸν ἀπὸ τοῦ προφήτου νοήσομεν, καθαπτομένου τῶν Ἰουδαίων ὡς ψευδομένων τὸ γένος. Ἐπιγράφοντες γὰρ ἑαυτοῖς πατέρα τὸν Ἀβραὰμ καὶ τὸν
Δαυὶδ, ἐναντία τούτοις ἐπετήδευον. Καὶ υἱοὺς μὲν αὐτοὺς λέγει, διὰ τὸ ἐξ αὐτοῦ Mt 3.9
κατάγεσθαι, ἀλλοτρίους δὲ, διὰ τὴν τῶν τρόπων ἀνομοιότητα.

46 Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.

Ἠτιμώθησαν, ἄχρηστοι γεγόνασι, δίκην σκευῶν πεπαλαιωμένων, διὰ τὰς πονηρίας αὐτῶν.

Ἐχώλαναν δὲ, τουτέστι, παρετράπησαν ἀπὸ τῆς διὰ τῶν ἐντολῶν ὁρισθείσης αὐτοῖς ὁδοῦ. Τοῦ χωλοῦ γὰρ ἡ πορεία, παρατετραμμένη, διὰ τὴν παρατροπὴν τῶν ἁρμονιῶν.

47α Ζῇ Κύριος.

Τοῦτο περὶ τῆς ἀναστάσεως ὁ Δαυὶδ προαναφωνεῖ τοῖς ὑπολαμβάνουσι
τεθνάναι τὸν Χριστὸν Ἰουδαίοις, βοῶν, ὅτι ζῇ· ἀνέστη γάρ. Ro 14.9

45β[2] *νοήσομεν* MPV : *νοήσωμεν* SCH.

47β Καὶ εὐλογητὸς ὁ Θεός.

Καὶ ἄξιός ἐστιν εὐλογεῖσθαι καὶ εὐφημεῖσθαι.

47γ Καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου.

Ἐπισπεύδει αὐτὸν εἰς τὴν ἀνάληψιν, ὅπως ἀπελθὼν, πέμψῃ τὸν Παράκλητον τοῖς ἀποστόλοις, μέλλουσιν ὁδεύειν ἐπὶ τὸ κήρυγμα.
Ἀλλὰ πάλαι μὲν ἦν ὁ Υἱὸς, Θεὸς πλάσεως· νῦν δὲ, Θεὸς ἀναπλάσεως, ἤτοι σωτηρίας.
Τὴν δὲ ἀντωνυμίαν προσέθηκε, κοινούμενος ἑαυτῷ τὰ ἡμέτερα.
Ἔστι δὲ καὶ ἄλλως κατὰ τὴν τοῦ Δαυὶδ ὑπόθεσιν εἰπεῖν, ὅτι Ζῇ Κύριος, τουτέστιν, ἀΐδιός ἐστι, μήτε ἀρχὴν, μήτε πέρας ἔχων, ἀλλ᾽ ὢν ἀεί· παραμείγνυσι γὰρ ἔστιν οὗ καὶ δόγματα τοῖς λόγοις ὁ προφήτης, διὰ τὴν τῶν ἐντυγχανόντων ὠφέλειαν.
Εὐλογητὸς δὲ, δι᾽ ἃ ἐποίησε θαυμάσια· ὑψωθήτω δὲ, ἀντὶ τοῦ, μέγας λογισθήτω ἡμῖν.

48 Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ καὶ ὑποτάξας λαοὺς ὑπ᾽ ἐμέ.

Ἐκδικήσεις, κατὰ τῶν ἐχθρῶν· ὑποτάξας δὲ, τοὺς διὰ τὸν Σαοὺλ πολεμοῦντάς μοι Ἰουδαίους, οἳ καὶ ἄκοντες νῦν ὡς βασιλεῖ μοι ὑπέκυψαν.
Ἐπὶ δὲ τοῦ Χριστοῦ νοήσεις, ἐκδικήσεις μὲν κατὰ τῶν Ἑβραίων, ἐξολοθρευθέντων ὑπὸ Ῥωμαίων, ὑποταγὴν δὲ λαῶν, τὴν τῶν ἐξ ἐθνῶν.

49α Ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων.

Εὐχαριστία ταῦτα πάντα πρὸς Θεὸν, εἰς εὐθεῖαν μὲν μετασχηματισθέντα, κλητικὴν δὲ δύναμιν ἔχοντα.
Ἐχθροὺς δὲ ὀργίλους λέγει, τοὺς ἀμφὶ τὸν Σαοὺλ, μηδέποτε τὴν ὀργὴν ἀπολελοιπότας, ἕως περιῆσαν, ἢ τοὺς δαίμονας.

49β Ἀπὸ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ ὑψώσεις με.

Ἃ προλαβὼν εἶπε, ταῦτα πάλιν φησὶ, χαίρων ἐπανακυκλεῖν αὐτὰ, χαρᾶς ὄντα πρόξενα.

49γ Ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με.

Εἴτινες ἐπαναστήσονταί μοι, κατὰ τοὺς θεραπεύοντας τὸν Σαοὺλ, ἀνώτερόν με θήσεις αὐτῶν· καὶ εἴ τις ἔσται μοι κατὰ τὸν Σαοὺλ ἄδικος, ἐπιβουλεύων τῷ σῴζοντι, ῥύσῃ με καὶ τούτου.

49β[2] ἐπανακυκλεῖν MSCRF : ἐπανακυκλοῦν PV .

50α Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε.

Διότι τοιοῦτος εἶ, οἷον ὁ ἐμὸς ἐξύμνησε λόγος, εὐχαριστήσω σοι ἐν πᾶσι τοῖς ἔθνεσι· καὶ μέντοι τοῦτο πεποίηκε διὰ τῆς βίβλου τῶν οἰκείων ψαλμῶν, ἐν πᾶσιν ἔθνεσιν ἀναπτυσσομένης.

50β Καὶ τῷ ὀνόματί σου ψαλῶ.

Δηλαδὴ σοὶ, κατὰ τὸ, *Ψαλῶ σοι ἐν κιθάρᾳ.* Ps 70.22

51α Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως.

Τὸ, *Κύριε*, προσυπακουστέον ἐνταῦθα, ἵν' ᾖ, Κύριε, ὁ μεγάλας ποιῶν τὰς σωτηρίας ἐμοῦ τοῦ βασιλέως.

51β Καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ. |

Τῷ χρισθέντι ὑπὸ σοῦ, δηλαδὴ τῇ προστάξει σου.

51γ Τῷ Δαυὶδ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Εἰπὼν βασιλέα, εἶτα χριστὸν, αὖθις ἐπήγαγε καὶ τὸ ὄνομα.

Τὸ μὲν οὖν θεόθεν ἐλεεῖσθαι, προσαρμόσει τοῖς ἐκ γένους τοῦ Δαυὶδ βασιλεύσασιν Ἰουδαίων· τὸ δὲ, *ἕως αἰῶνος*, ἀνοίκειόν ἐστι· μετὰ γὰρ τὴν ἐξ αἰχμαλωσίας ἐπάνοδον, μόνος Ζοροβάβελ ἡγεμονεύσας, οὐ καταλέλοιπε κληρονόμους τῆς ἡγεμονίας.

Λείπεται τοίνυν τὸν Ἰησοῦν Χριστὸν, σπέρμα τοῦ Δαυὶδ ἐνταῦθα λέγεσθαι, διὰ τὸ ἐκ Δαυὶδ κατάγεσθαι τὴν αὐτοῦ μητέρα, *οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.* Lk 1.33
Διὸ καὶ ὁ εὐαγγελιστὴς εἴρηκε, *Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυίδ·* Mt 1.1
ποιῶν δὲ αὐτῷ ἔλεος, ὁ Λόγος καὶ Θεὸς, ὡς ἡνωμένος αὐτῷ καὶ τεθεωκώς.

18 ιη´

1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.

Εἰς τὸ τέλος καὶ οὗτος ὁ ψαλμὸς, ὅτι γηραιὸς γενόμενος, τοῦτον συνέταξεν, εἰς τέλος ζωῆς ἤδη βλέπων· ἢ ὅτι προαναφωνεῖ πρᾶγμα εἰς τέλος ἀποβησόμενον. Ἐπιστομίζει γὰρ τὴν μέλλουσαν ἀθεΐαν τῶν ληρούντων αὐτόματα γενέσθαι τὰ πάντα.

2α Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Αὐτοὶ, φησὶν, οἱ οὐρανοὶ πάντοτε κηρύττουσι τὸ μεγαλεῖον τοῦ Θεοῦ, φωνῇ χρώμενοι τῇ ὄψει. Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς, φησὶ, κτισμάτων, ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται. Καὶ πᾶς ὁρῶν οὐρανοῦ μέγεθος καὶ κάλλος καὶ σχῆμα καὶ θέσιν, καὶ τὰ τοιαῦτα, μονονουχὶ διδάσκαλον ἔχων τὴν θέαν, πιστεύει περὶ τῆς δυνάμεως τοῦ Θεοῦ.

Οὐρανοὺς δὲ λέγει, τὸν ὑπὲρ τὸ στερέωμα, πληθυντικῷ χαρακτῆρι χρησάμενος ἀντὶ ἑνικοῦ, κατὰ τὴν Ἑβραΐδα διάλεκτον, ποτὲ μὲν πληθυντικῶς, ποτὲ δὲ ἑνικῶς ὀνομάζουσαν τὸν οὐρανόν. Εἰ γὰρ καὶ ἀφανής ἐστιν, ἀλλ᾽ ἐκ τοῦ στερεώματος κἀκεῖνον συλλογιζόμεθα. Ἢ καὶ μόνον τὸ στερέωμά φησιν, ὡς μόνον ὁρώμενον, ὡς εἶναι τὸν δεύτερον στίχον τοῦ πρώτου σαφηνιστικόν.

2β Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Εἰ τοῦ πρώτου στίχου τὸν δεύτερον λάβοις ἑφερμηνευτικὸν, ὃ ἐν ἐκείνῳ κέκληκεν οὐρανοὺς, τοῦτο εἶπεν ἐν τούτῳ, στερέωμα· καὶ ὃ διηγοῦνται, τοῦτο ἀναγγέλλει· καὶ ὃ δόξαν, τοῦτο ποίησιν χειρῶν, ἤτοι ἐργασίαν.

Συντόμως δὲ εἰπεῖν, τοῦτό φησιν, ὅτι ὁ οὐρανὸς μόνον φαινόμενος, αὐτάρκης ἐστὶ διδάσκαλος τῆς τοῦ πεποιηκότος αὐτὸν Θεοῦ μεγαλουργίας· ταύτην γὰρ ὠνόμασε καὶ δόξαν καὶ ποίησιν χειρῶν.

3α Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα.

Εἰ αὐτόματος ὁ κόσμος ἐφέρετο, οὐκ ἂν ἐτήρουν τοὺς οἰκείους ὅρους αἱ ἡμέραι καὶ αἱ νύκτες. Νῦν δὲ τοσοῦτον προνοητής ἐστι τοῦ παντὸς, ὡς ὑπὸ τῆς ἄγαν εὐταξίας δοκεῖν τὴν πρώτην ἡμέραν ἀεὶ τὴν ἑξῆς διδάσκειν περὶ τοῦ ὅρου τῆς ἀποκληρωθείσης αὐταῖς τάξεως. Τρόπον γάρ τινα ἐρεύγεται αὐτῇ, τουτέστι, μηνύει ῥῆμα, ἤτοι τὸ περὶ τούτου πρόσταγμα τοῦ Θεοῦ.

3β Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.

Τοῦτο δὲ καὶ ἐπὶ τῶν νυκτῶν ἐστιν ἰδεῖν· γνῶσιν δὲ, ἤτοι διδασκαλίαν περὶ τοῦ ὅρου τῆς τάξεως, ὡς μὴ ἀλλήλαις λυμαίνεσθαι, ἀλλὰ καὶ τάξει τινὶ, τοῦτο μὲν, τὰς ἡμέρας πλεονεκτεῖν, τοῦτο δὲ τὰς νύκτας, τοῦτο δ᾽ ἰσομοιρεῖν, | καὶ διὰ πάντων εὐαρμοστεῖν.

Ἢ ἐρεύγεται ῥῆμα, καὶ ἀναγγέλλει γνῶσιν, ὅτι ἔστι πρόνοια Θεοῦ· τάξις γὰρ, προνοίας διδάσκαλος.

Ἄλλως· ἡμέρα μὲν, ὁ Πατὴρ, ἡμέρα δὲ, καὶ ὁ Υἱὸς, διὰ τὴν αἴγλην τῆς θεότητος· λέγει δὲ ὁ Πατὴρ τῷ Υἱῷ. Καὶ γάρ φησιν, Ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ᾽ ὁ πέμψας με Πατὴρ, αὐτός μοι ἐντολὴν δέδωκε, τί εἴπω, καὶ τί λαλήσω. Νὺξ Jn 12.49
δὲ πάλιν, ὁ Χριστὸς, κατὰ τὴν ἀνθρωπότητα, πρὸς σύγκρισιν τῆς θεότητος· καὶ ἀναγγέλλει τῇ νυκτὶ, τουτέστι, τοῖς ἀνθρώποις, θεογνωσίαν

4 Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν;

Ἐρωτηματικῶς ἀναγνωστέον, ὡσανεὶ λέγοντος τοῦ Δαυὶδ, Ἆρα οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι τῶν ἀψύχων τούτων κτισμάτων, ὧν αὐτῶν οὐδ᾽ αἱ φωναὶ ἀκούονται; Μὴ ἀκουομένης γὰρ τῆς αὐτῶν φωνῆς, παρὰ τὸ μὴ εἶναι, δῆλον, ὡς οὐδὲ λαλιὰ, οὐδὲ λόγος ἔσται, μέρη γὰρ ταῦτα τῆς φωνῆς. Οὕτως ἀπορήσας, ἐπάγει τὴν λύσιν.

5α Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Ναὶ, φησὶ, τοσοῦτόν εἰσιν, ὅτι καὶ πᾶσα ἡ γῆ πεπλήρωται τοῦ φθόγγου αὐτῶν, καθ᾽ ὃν εἰρήκαμεν τρόπον. Ταὐτὸ δὲ δύναται καὶ τὸ, *εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν*· ἐπαλιλλόγησε γὰρ, ἐμφάσεως ἕνεκεν. Ἐμφαντικὰ γὰρ μήκους καὶ πλάτους, τὰ πέρατα, ὥσπερ αὖ καὶ λαλιὰ καὶ λόγος, ταὐτόν. Ἔθος δὲ τοῖς προφήταις, καὶ μάλιστα τῷ Δαυὶδ, τὸ αὐτὸ νόημα δι᾽ ἄλλων καὶ ἄλλων ἐκφέρειν ὀνομάτων.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι διδάξας ὁ προφήτης, ὡς τὰ δηλωθέντα κτίσματα μονονουχὶ φωνὴν ἀφιᾶσιν, ὅτι ἔστι πρόνοια Θεοῦ, διατάττουσα τὸ πᾶν καὶ συνέχουσα, βούλεται προαγορεῦσαι, ὡς ἄρα ἐν παντὶ ἔθνει ἔσονταί τινες συνιέντες τῆς τοιαύτης τῶν ἀψύχων φωνῆς, καὶ ἀπαγγελοῦσι ταύτην διὰ τῆς ἑαυτῶν φωνῆς. Διό φησιν, οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι διαλέκτου τινὸς ἐθνικῆς, δι᾽ ὧν οὐχὶ ἀκούονται, τουτέστιν, ἀπαγγέλλονται αἱ δηλωθεῖσαι τῶν κτισμάτων ἀλάλητοι φωναί. Τοῦτο δὲ τετέλεσται πανταχοῦ γὰρ τῆς γῆς· ἐν παντὶ ἔθνει οἱ συνιέντες ἀπαγγέλλουσιν, ὅτι ἔστι πρόνοια Θεοῦ. Ἐπὶ μέντοι τοῦ παρόντος νοήματος τὸ, ἀκούονται, ἀντὶ τοῦ, ἀκουσθήσονται νοήσομεν, κατ᾽ ἀντιχρονίαν· ἢ καὶ τῷ ἐνεστῶτι ἐχρήσατο, διὰ τὴν προφητείαν, ὡς ἤδη γινόμενα τὰ μέλλοντα βλέπουσαν.

5β Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ.

Ὁ μὲν νοῦς τοῦ ῥητοῦ, τοιοῦτός ἐστιν· ὅτι τῷ ἡλίῳ ἔταξεν ὁ Θεὸς κατοικίαν ἐν τῷ οὐρανῷ· φησὶ γὰρ Μωυσῆς περὶ τῶν δύο φωστήρων τῶν μεγάλων, ὅτι καὶ *Ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς.* Gen 1.17

Ἔδοξε δὲ τοῖς πολλοῖς ἀσύντακτον· ἡμεῖς δὲ μετὰ τὸ, σκήνωμα, ὑποστίζοντες, καὶ τὸ, αὐτοῦ, νοοῦντες, μὴ ἀντωνυμικῶς, ἀλλ᾽ ἐπιῤῥηματικῶς, εὐχερῶς τὸ ῥητὸν συντάττομεν, οἷον, ἔθετο καὶ ὥρισε τῷ ἡλίῳ τὸ σκήνωμα καὶ τὴν κατοικίαν, αὐτοῦ, ὅ ἐστιν, ἐκεῖ, δηλονότι ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, περιττῆς κειμένης τῆς ἐν προθέσεως, ὡς καὶ ἄλλα πολλὰ ἐν ἄλλοις ῥητοῖς παρατετηρήκαμεν. Καὶ ὁ ἥλιος τοίνυν, μὴ ἀπολιμπάνων ποτὲ τὸ ἀφωρισμένον αὐτῷ σκήνωμα, | τὸν οὐρανὸν, κῆρυξ γίνεται τῆς τοῦ Θεοῦ δόξης καὶ προνοίας.

5α[6] *αὖ* H : *οὖν* MPSCV.

6α Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ.

Λείπει τὸ, ἔστιν. Ὡραῖός ἐστι, φησὶ, τῷ κάλλει τῶν ἀστραπτουσῶν ἀκτίνων, δίκην νυμφίου προβαίνοντος ἀπὸ τοῦ θαλάμου.

6β Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν.

Κἀνταῦθα νενοήκαμεν ἀντιχρονίαν· χαίρει γὰρ δραμεῖν τὴν ἀποκεκληρωμένην αὐτῷ πορείαν, ὡς γίγας τῇ δυνάμει τεθαῤῥηκὼς, τουτέστιν, ἀκάμας ἐστὶν ἀεὶ, τοσούτους ἐνιαυτοὺς δουλεύων τῷ Θεοῦ προστάγματι.

7α Ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ.

Ἔξοδος μὲν, ἡ ἀνατολὴ, καθ' ἣν ὑπερβαίνει τὸν ἑῷον ὁρίζοντα, κατάντημα δὲ, ἡ δύσις, καθ' ἣν εἰς τὸν ἑσπέριον ὁρίζοντα καταδύεται, καὶ διὰ μιᾶς ἡμέρας τὸ ἡμισφαίριον ὅλον διατρέχει· εἰ βούλῃ δὲ, δι' ἑνὸς ἡμερονυκτίου, τὸν σύμπαντα κόσμον.

7β Καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ.

Ὃς τόπος, ἢ ὃς ἄνθρωπος· καὶ διὰ τοῦ τόπου μὲν, τὰ ὄντα, διὰ τοῦ ἀνθρώπου δὲ, τὰ ζῶντα συμπεριέλαβε.

Τοῦτο γὰρ τὸ θαυμασιώτατον, ὅτι τῷ αὐτῷ ἀποστήματι, καὶ φωτίζει καὶ θερμαίνει· τὸ δὲ παρ' ἡμῖν πῦρ φωτίζει μὲν πόῤῥωθεν, οὐ θερμαίνει δὲ, εἰ μὴ πλησιάσεις.

Οὕτως ἐπαινέσας καὶ τὸ κάλλος αὐτοῦ καὶ τὴν ῥώμην καὶ τὸν δρόμον καὶ τὴν χρείαν, δείκνυσι κἀντεῦθεν τοῦ πεποιηκότος αὐτὸν τὴν φιλότιμον ἰσχύν.

Ἀλλ' ἡ μὲν εὐθὺς ἐξήγησις τῶν ῥητῶν, αὕτη.

Τινὲς δὲ εἰς ἀλληγορίαν ἀνάγοντες αὐτὰ, φασὶν, οὐρανοὺς μὲν εἶναι τὰ οὐράνια τῶν ἀσωμάτων τάγματα, διὰ παντὸς τὸν Θεὸν δοξάζοντα, ὡς Ἰεζεκιὴλ Ez 1.4-28
καὶ Ἡσαΐας ἤκουσαν· ἢ τοὺς ὑπερκειμένους τῶν γηΐνων ἀνθρώπους, καὶ διὰ τῆς Isa 6.1-4
θεωρητικῆς φιλοσοφίας εἰς οὐρανὸν ἀνατεταμένους.

Στερέωμα δὲ, τοὺς στερεουμένους διὰ τῆς πρακτικῆς ἄνδρας, καὶ ἀῤῥήκτους ταῖς τῶν πειρασμῶν προσβολαῖς.

Ἡμέραν δὲ πάλιν, τὰς φωτεινὰς δυνάμεις τῶν ἀσωμάτων, φῶτα γὰρ οὗτοι δεύτερα λέγονται, διαπορθμευούσας ἀλλήλαις τὰ θεῖα προστάγματα· νύκτα δὲ, τοὺς ἀνθρώπους, διὰ τὸν ἐπιπροσθοῦντα τῇ ψυχῇ ζόφον τῆς σαρκικῆς παχύτητος· καὶ τὰ ἑξῆς ἀκολούθως.

Τὸ δὲ, *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν*, ὁ μέγας Παῦλος ἐν τῇ
πρὸς Ἑβραίους ἐπιστολῇ εὐκαίρως ἐπὶ τοὺς εὐαγγελιστὰς καὶ ἀποστόλους τοῦ Ro 10.18
Χριστοῦ μετήγαγε καὶ προσήρμοσε.

Τὸ δὲ, *Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ*, τοιουτοτρόπως ἀλληγοροῦσιν, ὡς
ὁ Χριστὸς ἐν τῷ ἀνθρώπῳ οἰκεῖ, τῷ λάμποντι ταῖς τῶν ἀρετῶν ἀκτῖσιν. *Ἐγὼ γὰρ*,
φησὶ, *καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*. Jn 14.23

Ἢ καὶ σκήνωμα τοῦ Χριστοῦ, ἡ προσληφθεῖσα ἀνθρωπότης, ἣν οἰκήσας,
ἔθετο ἐν τῷ φωτὶ, πολιτευόμενος ὑπὸ τὸν ἥλιον, καὶ φανερῶς βιῶν καὶ αὐτὸς Mt 9.15
ὡς νυμφίος. *Ὡραῖος γὰρ*, φησὶ, *κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων*, οἷα Ps 44.3
περιλελαμπρυσμένος ταῖς τῶν ἀρετῶν χάρισιν. Ὃς καὶ ἠγαλλιάσατο δραμεῖν
ὑπὲρ ἡμῶν τὴν ἐπὶ θανάτῳ. Ἀπ' ἄκρου δὲ τοῦ οὐρανοῦ κατιὼν, εἰς αὐτὸ πάλιν
ἐπανῆλθεν. Οὐδεὶς δὲ ἀποκρυβήσεται τῆς θέρμης τῶν λόγων αὐτοῦ· καὶ οἱ
μὲν θαλφθήσονται, οἱ δὲ καυθήσονται, ὅτι αὐτῷ *Πᾶν γόνυ κάμψει*, κατὰ τὸν
Ἀπόστολον. Php 2.10

8α Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς.

Ἤρκει, φησὶν, εἰς διδασκαλίαν θεογνωσίας καὶ ὁ ἄγραφος νόμος, διὰ μεγέθους καὶ κάλλους καὶ εὐταξίας | τῶν κτισμάτων λαλῶν· νῦν δὲ καὶ γραπτὸν δέδωκε, δι' οὗ καταμάθοι τις τὴν αὐτοῦ καὶ πρόνοιαν καὶ σοφίαν.

Διαφόροις δὲ ὀνόμασι τὸν νόμον καλεῖ· νόμος μὲν γὰρ, ὡς ῥυθμίζων τὴν
πολιτείαν· μαρτυρία δὲ, ὡς τοὺς ἁμαρτάνοντας διαμαρτυρόμενος· δικαιώματα
δὲ, ὡς διδάσκων τὸ δίκαιον· ἐντολὴ δὲ, ὡς τὸ πρακτέον ἐντελλόμενος· φόβος δὲ,
ὡς ἀδυσώπητος· κρίματα δὲ, ὡς ψήφους ἐκφέρων, ὡς προλαβόντες πλατύτερον
ἐν τῷ ιζ' ψαλμῷ εἰρήκαμεν. Ps 17.23

Τί γὰρ ἂν ἔχοι τις αὐτοῦ μέμψασθαι; ὅς γε καὶ εἰς ἐπιστροφὴν ψυχῶν ἐτέθη, διὰ τῶν μικρῶν, τὰ μείζω διδάσκων.

8β Ἡ μαρτυρία Κυρίου πιστὴ, σοφίζουσα νήπια.

Ἀξιόπιστος, ἐπεὶ καὶ παρὰ Θεοῦ· νήπια δὲ, ἢ καθ' ἡλικίαν, ὥσπερ τὸν Δανιὴλ Da 1.19
καὶ τοὺς κατ' αὐτὸν, ἢ κατὰ ἀμαθίαν ἀνθρωπίνης σοφίας, ἢ κατὰ ἀκακίαν.

9α Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν.

Μηδὲν σκολιὸν ἔχοντα, μᾶλλον μὲν οὖν καὶ διὰ τοῦ διδάσκειν τὰς αἰτίας εὐφραίνοντα· ἢ εὐθέα, ὡς εὐθύτητος δημιουργά.

9β Ἡ ἐντολὴ Κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς.

Τοὺς τῆς ψυχῆς· δι' αὐτῶν δὲ, καὶ τοὺς τοῦ σώματος, ὥστε μὴ βαίνειν εἰς ὁδὸν πονηράν.

10α Ὁ φόβος Κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος.

Ἁγνὸς, ὡς καθαρὸς διαβολῆς· ὁ γὰρ ἀνθρώπινος φόβος διαβέβληται, δειλία καλούμενος.

Ἢ φόβον ἐνταῦθα, τὸν τελειωτικὸν λέγει, ὃς μόνος ἐστὶ καθαρὸς, διὰ μόνον τὸ μὴ ἐκπεσεῖν τῆς τοῦ Θεοῦ οἰκειώσεως συνιστάμενος. Ὁ γὰρ στοιχειωτικὸς, οὐκ ἔστιν ἁγνός· συνίσταται γὰρ διὰ τὰ οἰκεῖα πλημμελήματα, καὶ τούτων ἤρτηται.

Ἢ ἁγνὸς, ὡς ἁγνείας ποιητικός. Οὗτος δὲ, οὐκ ἔστιν πρόσκαιρος, ὡς ὁ ἀνθρώπινος, ἢ ὡς ὁ στοιχειωτικὸς, ἀλλ' ὅλῃ τῇ ζωῇ παρατεινόμενος· τὸ γὰρ διαρκὲς αὐτοῦ νῦν, οἶμαι, δηλοῖ τὸ, εἰς αἰῶνα αἰῶνος.

10β Τὰ κρίματα Κυρίου, ἀληθινά.

Ἀληθινὰ, ὡς μόνα κυρίως ἀπλανῆ, πρὸς ἀντιδιαστολὴν τῶν ἀνθρωπίνων κριμάτων, ἃ πεπλάνηνται ὅσον πρὸς τὴν ἄγαν ἀκρίβειαν, διὰ τὴν τοῦ νοῦ ἀσθένειαν.

10γ Δεδικαιωμένα ἐπὶ τὸ αὐτό.

Ἐν ταὐτῷ δὲ καὶ δίκαια· τὸ γὰρ κυρίως ἀληθὲς, ἅμα καὶ δίκαιόν ἐστιν.

11α Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν.

Ὑπὲρ τὰ παρ' ἀνθρώποις δοκοῦντα τίμια τῶν ὑλῶν· ὁ γὰρ τῆς ὀρέξεως τούτων ἀποστὰς, τῶν τοῦ Θεοῦ κριμάτων ἀκορέστως ἐπιθυμήσει, τουτέστι, τοῦ θείου νόμου.

11β Καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.

Ὑπὲρ τὸ τοῦ σίμβλου, ὅπερ ἡδύτατόν ἐστιν εἰς ὄψιν καὶ γεῦσιν.

Διὰ δὲ τῶν τιμιωτέρων ὑλῶν καὶ τοῦ ἡδυτέρου βρώματος, ἐνέφηνε τὴν ἐπιθυμίαν καὶ γλυκύτητα τῶν θείων κριμάτων.

12α Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά.

Ἢ περὶ ἑαυτοῦ τοῦτο εἶπεν, ἢ ὅτι πᾶς ὅς ἐστι δοῦλός σου, κατὰ τὴν ἀπὸ τῆς ἀρετῆς διάθεσιν, ἐξ ἀνάγκης φυλάσσει αὐτὰ, δηλαδὴ, τὰ προῤῥηθέντα πάντα. Φυλάσσει δὲ, ἀντὶ τοῦ, φιλεῖ καὶ ἐνεργεῖ.

12β Ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.

Οὐκ ἐν τῇ μελλούσῃ ζωῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ παρούσῃ.

13α Παραπτώματα τίς συνήσει;

10α[8] Add. [MPS in marg.]HV: Ἁγνὸς μὲν, ὅτι μετὰ κάθαρσιν ἐπιγίνεται, διαμένων δὲ, ὅτι ἐκεῖνος μὲν ἄχρι καθάρσεως φθάνων, ἐκβάλλεται διὰ τῆς ἀγάπης, οὗτος δὲ ἀντεισαχθεὶς, συνδιαιωνίζει. : om. C. 11β[2] τὸ τοῦ σίμβλου MSB : τὸ σίμβλον PCFV.

Ἐπεὶ ἡ τούτων φυλακὴ δι᾽ ἀποχῆς γίνεται πλημμελημάτων, τοῦτο δὲ δυσκατόρθωτον, εἰκότως διαπορεῖ, Τίς οὕτως ἔσται συνετὸς, λέγων, εἰς διάκρισιν τῶν πλημμελημάτων, | ὥστε μὴ περιπίπτειν αὐτοῖς; Τινὰ γὰρ αὐτῶν, λεπτὰ καὶ λανθάνοντα, καὶ μᾶλλον τὰ κατὰ ψυχὴν συνιστάμενα.

13β *Ἐκ τῶν κρυφίων μου καθάρισόν με.*

Κρύφια λέγει, ἢ τὰ ἐν κρυφῇ πραττόμενα πλημμελήματα, ἢ τοὺς κατὰ διάνοιαν συνισταμένους αἰσχροὺς λογισμοὺς, περὶ ὧν ἱκετεύει θερμῶς· οὗτοι γὰρ, ὅσον εἰσὶν ἀφανεῖς, τοσοῦτον καὶ δυσκαταγώνιστοι, κατὰ πᾶσαν ἄδειαν μολύνοντες. Τῶν γὰρ φανερῶν ἁμαρτημάτων, περιγενήσεταί τις, εἰ μὴ πάντη ἐκδεδιήτηται.

14α *Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου.*

Καὶ ἐν τοῖς ἀλλοτρίοις ἁμαρτήμασι, φεῖσαί μου. Ἐνέχεται γὰρ καὶ βασιλεὺς ἁμαρτίαις ὑπηκόων, καὶ ἀρχιερεὺς, ταῖς τοῦ λαοῦ, καὶ πατὴρ, ταῖς τῶν παίδων, καὶ δεσπότης, ταῖς τῶν δούλων, ὅταν ἐξ ἀμελείας αὐτῶν ἁμάρτωσιν οὗτοι.

Ἢ καὶ ἀλλοτρίων λέγει, τῶν τυχηρῶν παραπτωμάτων, ἃ μὴ κατὰ προαίρεσιν, ἀλλὰ κατὰ περίστασιν γίνονται.

Ἢ ἀλλοτρίων νοήσεις, τῶν ἐχθρῶν, εἴτε ὁρατῶν, εἴτε ἀοράτων.

14β *Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι.*

Ἐὰν μὴ ταῦτα με νικήσωσι, τότε τὸ τέλειον ἕξω. Νῦν γὰρ, εἰ καὶ φύλαξ εἰμὶ τοῦ νόμου, ἀλλά γε ταῦτα πεφόβημαι.

14γ *Καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.*

Μεγάλην ἁμαρτίαν, τὰ εἰρημένα καλεῖ, εἰ καί τισι δοκοῦσιν εὐκαταφρόνητα· καὶ ὁ κατὰ διάνοιαν γὰρ μολυσμὸς διώκει τὴν χάριν τοῦ Πνεύματος, καὶ τὸ παρορᾶν τοὺς ὑπὸ χεῖρα πλημμελεῖν, ἴσης αὐτοῖς ἐστι καταδίκης, ἢ καὶ μείζονος ἄξιον.

15α *Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου.*

Τότε, φησὶν, ἔσονταί σοι καὶ οἱ λόγοι τῆς προσευχῆς μου εἰς εὐαρέστησιν καὶ προσδέξῃ τούτους, ὅτε καὶ ἀπὸ τῶν εἰρημένων καθαρισθῶ.

15β *Καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διὰ παντός.*

Ἔσται δηλονότι· εἰ γὰρ μὴ ἀπομάθῃ μελετᾶν αὕτη τὰ αἰσχρὰ, οὐκ ἂν τὰ σὰ μελετήσῃ, καὶ οἷς χαίρεις αὐτός.

13β[5] Add. [MPS in marg.]HV: Ἢ κρυφίων νοήσεις, τῶν ἐν ἀγνοίᾳ ἡμαρτημένων. 14γ[4] ἴσης MSCBF : τῆς ἴσης PV. 14γ[4] μείζονος MSCBFV : χείρονος P. 15a[2] σοι MSCBFV : om. P.

15γ Κύριε, βοηθέ μου καὶ λυτρωτά μου.

Σὺ γάρ μοι καὶ βοηθήσεις λυτρωθῆναι, καὶ λυτρώσῃ τῶν εἰρημένων.
Ἢ, Κύριε, ὁ βοηθῶν μοι ἐν οἷς κατορθῶ, καὶ λυτρούμενος ἐν οἷς περιπίπτω.
Τὸ μέντοι, *Ἐκ τῶν κρυφίων μου καθάρισόν με*, καὶ τὰ ἑξῆς ἅπαντα, πᾶσι πιστοῖς ἁρμόζουσι λέγεσθαι.

19 ιθʹ
1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.

Εἰς τὸ τέλος καὶ οὗτος, ὡς προαγορεύων τὰ μέλλοντα τέλος λαβεῖν ἐπὶ Ἐζεκίου βασιλέως.
Τοῦ γὰρ Ἀσσυρίου Σεναχηρεὶμ διὰ Ῥαψάκου τὰ βλάσφημα ἐκεῖνα μηνύσαντος, περιαλγήσας Ἐζεκίας, ἔδραμεν εἰς τὸν θεῖον ναὸν, ὡς ἡ τῶν Βασιλειῶν βίβλος ἱστορεῖ, καὶ ἀνήγγειλε πάντα τῷ Θεῷ, πρὸς ἄμυναν ἐκκαλούμενος. Οἱ δὲ περὶ 4Rg 18-19
αὐτὸν πάντες, ἐν οἷς ἦν καὶ Ἡσαΐας ὁ προφήτης, ἰδόντες τὴν συντριβὴν τῆς Isa 36-37
ψυχῆς αὐτοῦ, ἐπεφώνησαν αὐτῷ μονονουχὶ τῶν παρόντων ῥητῶν τὴν δύναμιν, εὐχόμενοι δεχθῆναι τὴν ἱκετηρίαν τοῦ βασιλέως.
Ὅρα δὲ πῶς ἡ θεία χάρις ὑπέδειξε τῷ Δαυὶδ, οὐ τὰ πράγματα μόνον, τὰ πολλοῖς ἔτεσιν ὕστερον, ἀλλὰ καὶ ἃ ἦν εἰκὸς εἰπεῖν τότε τοὺς περὶ τὸν βασιλέα.

2α Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως.

Καὶ γὰρ ὅτε ἀπέστειλεν Ἐζεκίας καὶ οἱ μετ᾽ αὐτοῦ πρὸς Ἡσαΐαν, οὕτως εἰρήκασιν, *Ἡμέρα θλίψεως καὶ ὀνειδισμοῦ.* | Isa 37.3

2β Ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Τὸ ἐξουδενωθὲν καὶ ὑβρισθὲν ὑπὸ τῶν Ἀσσυρίων· τοῦ Ἰακὼβ δὲ ἐμνημόνευσεν, ὡς κἀκείνου πειρασμοῖς ὁμιλήσαντος μεγάλοις καὶ φόβοις, καὶ ῥυσθέντος πάντων διὰ Θεοῦ.

3α Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου.

Ἅγιον, ὁ ναὸς ὠνομάζετο, ἐν ᾧ φοιτᾶν ἐπίστευον τὸν Θεόν.

3β Καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

Ἡ Σιὼν γὰρ τῷ Θεῷ ἀνέκειτο· ὁ Θεὸς, ὁ ἐν τῇ Σιὼν ὢν, ἐξ αὐτῆς κινούμενος, βοηθῆσαι σοι.

4α Μνησθείη πάσης θυσίας σου.

Ἣν ἐν τῷ καιρῷ τῆς εἰρήνης προσῆγες, θεοσεβέστατος ὤν.

4β Καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.

Καὶ ὃ μέλλεις προσενεγκεῖν εἰς ὁλοκάρπωσιν θῦμα, πιανθείη. Πιανθήσεται δὲ, νομῆς ἐλευθερίου ἀπολαῦον· ἔσται δὲ τοῦτο, λυθείσης ποτὲ τῆς πολιορκίας, ὥστε διὰ τῆς πιότητος τοῦ θύματος, τὴν λύσιν τῆς πολιορκίας ἡ εὐχὴ βούλεται.

Ἢ πιανάτω, ἀντὶ τοῦ, πῖον ἡγησάσθω, καὶ εὐαπόδεκτον.

Ὁλοκαύτωμα δὲ ἐκαλεῖτο, διότι ὅλον ἐκαίετο· καὶ γὰρ τῶν θυμάτων, τὰ μὲν
ὡλοκαυτοῦτο, τῶν δὲ, μόριά τινα κατεκαίετο, ἐπίπλους, καὶ νεφροὶ, καὶ στέαρ, Lev 1.3-9
καὶ ἄλλα τοιαῦτα, καθὼς τὸ Λευιτικὸν ἐδίδαξε. Lev 3. 9-11

5α Δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου.

Ὡς ἡ καρδία σου βούλεται. Καρδίαν δὲ, τὴν ψυχὴν πολλάκις ὁ προφήτης λέγει, διὰ τὸ ἐξῆφθαι ταύτην τῆς ψυχῆς μάλιστα τῶν ἄλλων μελῶν, ὡς τὸ, *Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.* Ps 83.3

5β Καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.

Ἀγαθὴν καὶ δικαίαν οὖσαν.

6α Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου.

Πεποίθαμεν ὅτι διὰ τὴν αὐτοῦ χρηστότητα, καὶ τὴν σὴν καλοκἀγαθίαν, ὁ Θεὸς σωτηρίαν σοι ποιήσει, καὶ ἀκαταγώνιστον θήσει σε, ἧς καὶ ἡμεῖς ἀπολαύσομεν.

6β Καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

Εἰ γὰρ συντρίψει τοὺς ἐχθροὺς, φοβερὸς ἔσται τοῖς ἔθνεσι καὶ μόνον ὀνομαζόμενος ὁ Θεὸς τοῦ Ἰσραήλ· διὰ δὲ τοῦ τοιούτου ὀνόματος καὶ ἡμεῖς μεγαλυνθησόμεθα συνεξακουόμενοι.

6γ Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου.

Ἐπιμένουσι τῇ εὐχῇ, διὰ τὴν ἐπίμονον τοῦ βασιλέως συντριβὴν καὶ ταπείνωσιν.

7α Νῦν ἔγνων, ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτοῦ.

4β[2] ὁλοκάρπωσιν PHV : ὁλοκαύτωσιν MSC.

Τοῦτο, ὡς ἀφ᾽ ἑκάστου τῶν εὐχομένων τηνικαῦτα, πληροφορίαν τινὰ δεξαμένων παρὰ τοῦ ἁγίου Πνεύματος. Χριστὸς γὰρ, ὁ βασιλεὺς, ὡς χριόμενος.

7β Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ.

Καὶ ἐν οὐρανοῖς γὰρ κατῴκει, καὶ ἐν τῷ ναῷ ἐπεσκίαζε, διὸ ποτὲ μὲν, ἐκ τοῦ ναοῦ, ποτὲ δὲ, ἐξ οὐρανοῦ τοῦτον παρεκάλουν· ἁγίου δὲ, τοῦ ἀφωρισμένου αὐτῷ.

7γ Ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.

Ἐν ὑπερβολῇ δυνάμεως ἡ παρὰ τῆς θείας δεξιᾶς γινομένη τινὶ σωτηρία· διὸ χρὴ θαῤῥεῖν, καὶ μὴ δεδιέναι τὴν δοκοῦσαν ἀνυπόστατον τῶν πολεμίων παρασκευήν.

8α Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις.

Οἱ κυκλώσαντες ἡμᾶς ἐν ἅρμασι καὶ ἵπποις εἰσὶ καὶ πεποίθασιν. Οὗτοι δὲ καὶ οὗτοι, οἱ αὐτοί· καὶ τοῦτο γὰρ, ἰδίωμα τῆς Ἑβραΐδος διαλέκτου.

8β Ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα.

Ἡμεῖς δὲ τὸ ὄνομα Κυρίου, τὸ ἐξονειδισθὲν παρὰ τῶν ἐχθρῶν, εἰς βο | ήθειαν ἐπικαλεσόμεθα· ἢ διὰ τὸ ὄνομα Κυρίου τὸ ὑβρισθὲν, ἐπικαλεσόμεθα τὸν Κύριον βοηθόν.

9 Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν.

Τὰ μὲν προλαβόντα ῥητὰ, κατὰ τὸν καιρὸν ἦσαν τοῦ θρήνου καὶ κοπετοῦ, τὰ δ᾽ ἐντεῦθεν, μετὰ τὴν ἀόρατον ἀναίρεσιν τῶν Ἀσσυρίων ἐγίνετο, λυθείσης τῆς πολιορκίας, καὶ χαιρόντων πάντων, καὶ τὸν Θεὸν δοξαζόντων, καὶ λεγόντων τοιαῦτα· Συνεποδίσθησαν γὰρ τῇ θείᾳ δυνάμει, καὶ κατηνέχθησαν πτῶμα θανάσιμον· ἡμεῖς δὲ πεπτωκότες τῷ δέει, ἀνέστημεν τῷ φρονήματι.

10 Κύριε, σῶσον τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Ὥσπερ νῦν ἔσωσας αὐτὸν ἐκ χειρὸς ἐχθρῶν, οὕτω καὶ εἰς τὸ ἑξῆς, ἄξιον ὄντα σῴζεσθαι διὰ τὴν ἀρετὴν αὐτοῦ· καὶ ἐπάκουσον αὖθις ἡμῶν, ὡς καὶ νῦν, ὁσάκις ἂν ἐπικαλεσώμεθά σε.

Ὁ μὲν οὖν ψαλμὸς κατὰ τὸν Ἐζεκίαν ἡρμηνεύθη καὶ ἥρμοσε.

Τινὲς δὲ, τῷ Δαυὶδ αὐτὸν ἁρμόζειν βιάζονται, παραταττομένῳ πρὸς ἐπιόντας ἐχθροὺς, καί φασιν, ὡς αὐτὸς ὁ Δαυὶδ ἐσχημάτισε τὸν ψαλμὸν εἰς τὰ πρόσωπα τῶν περὶ αὐτὸν ἑταίρων.

9[3] ἐγίνετο MABF : ἐγίνοντο PSV : ἐγένετο C : ἐγένοντο H.

Ἁρμόσειε δ᾽ ἂν καὶ παντὶ πιστῷ, παραταττομένῳ κατὰ τῶν δαιμόνων, οἷα τοῦ σώματος ὑπερευχομένου τῆς ψυχῆς. Καὶ οἱ δαίμονες γὰρ ἐξουδένωσαν τὸ ὄνομα
τοῦ Θεοῦ. Ἅγιον δὲ νοήσει καὶ Σιὼν, τὸν οὐρανὸν, ὡς πολλάκις εἴρηται. Χριστὸς Ps 17. 7γ
δὲ αὐτοῦ καὶ βασιλεὺς, ὁ Χριστιανὸς, ὡς προέφημεν. Ἐν ἅρμασι δὲ καὶ ἐν ἵπποις, § 114
οἱ δαίμονες, διὰ τὸ τάχος καὶ τὴν ἐν πολέμοις παρασκευήν.

Λέγοιτο δ᾽ ἂν ὁ ψαλμὸς οὗτος καὶ κατὰ τῶν αἰσθητῶν ἐχθρῶν ἡμῶν, τῶν βαρβάρων, καὶ ὑπὲρ τοῦ βασιλέως ἡμῶν.

20 κʹ

1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.

Καὶ οὗτος εἰς τὸ τέλος, ὡς προφητείαν ἐμπεριέχων, ἣ καὶ αὐτὴ τέλος ἔλαβεν ἐπὶ Ἐζεκίου· φασὶ γὰρ ὅτι μετὰ τὴν ἀβοήθητον νόσον ἐκείνην, προστεθείσης
αὐτῷ ζωῆς ἐτῶν πέντε καὶ δέκα, ὡς ἡ τῶν Βασιλειῶν ὑφηγεῖται βίβλος, οἱ περὶ 4Rg 20.1-6
αὐτὸν ἰδόντες τὸ παράδοξον, ηὐχαρίστησαν τῷ Θεῷ. Τούτων οὖν τὰς φωνὰς ὁ παρὼν ψαλμὸς ὑποκρίνεται· *Ζωὴν γὰρ*, φησὶν, *ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ*· ἢ καὶ ὁ Δαυὶδ τοῦτο προϊδὼν, ὑπὲρ Ἐζεκίου τοῦτον ἐξεφώνησε.

2α *Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς.*

Τῇ βοηθούσῃ αὐτῷ, καὶ εἰς τὸ ἑξῆς εὐφρανθήσεται· καὶ τοῦτο πιστεύομεν ἀπὸ τῶν προλαβόντων εὐεργετημάτων.

2β *Καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.*

Ἐπὶ τῇ παρὰ σοῦ σωτηρίᾳ.

3α *Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ.*

Ἢ τὴν κατὰ τῶν ἐχθρῶν νίκην, ἢ τὴν προσθήκην τῆς ζωῆς, ἢ ἁπλῶς πᾶσαν ἀξίωσιν.

3β *Καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.*

Τὸ αὐτὸ πάλιν δεδήλωκεν, οἷον ἐνηδυνόμενος τῇ εὐχαριστίᾳ· οὗ γάρ τις ἐπιθυμεῖ, τοῦτο καὶ διὰ τῶν χειλέων αἰτεῖ. Θέλησιν γὰρ νῦν, τὴν αἴτησιν νοήσομεν.

4α *Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος.*

Ἐπειδὴ καὶ προέλαβες αὐτὸν, πρὸ τῆς αἰτήσεως εὐεργετῶν πολλάκις. Εὐλογίαν γὰρ νῦν, τὴν χάριν ὑπολῃψόμεθα· εὐλογίαις δὲ, ταῖς τῆς σῆς χρηστότητος.

3β[2] ἐνηδυνόμενος MC : ἐνηδόμενος PSHVN. 4α[3] χάριν MSCBF : εὐεργεσίαν PV.

4β Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ | λίθου τιμίου.

Καταλέγει τὰς εὐεργεσίας, ὅτι πρὸ πάντων ἐχαρίσω τὸ διάδημα τῆς βασιλείας.

5α Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ.

Ὥστε μήτε ὑπ᾽ ἐχθρῶν, μήτε ὑπὸ νόσων ἀποθανεῖν. Ἀμφότερα γὰρ ἐνταῦθα νοήσομεν.

5β Μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

Καὶ οὐ μόνον ἁπλῶς ζωὴν, ἀλλὰ καὶ μακράν.

Τὸ δὲ, *εἰς αἰῶνα αἰῶνος*, ὁ προφήτης κυρίως μὲν ἐπὶ τοῦ μέλλοντος καὶ ἀκαταλύτου αἰῶνος τίθησιν· ἔστι δ᾽ ὅτε καὶ ἐπὶ τῆς μακρᾶς χρονικῆς παρατάσεως, ποτὲ δὲ, καὶ ἐπὶ τοῦ βεβαίου καὶ ἀμεταπτώτου, ὡς ἐπὶ τοῦ προκειμένου, οἷον, ἔδωκας αὐτῷ ζωὴν, καὶ ζωὴν μακρὰν, καὶ μακρότητα ἡμερῶν βεβαίαν.

Εἰ δὲ καὶ διὰ τὴν αἰώνιον λέγει ζωὴν, οὐδὲ τοῦτο πόῤῥω σκοποῦ.

6α Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου.

Μετὰ γὰρ τὴν θείαν συμμαχίαν καὶ εὐεργεσίαν, μέγας παρὰ πᾶσι γέγονε καὶ περίβλεπτος, ὡς καὶ βασιλεῖς διαπρεσβεύεσθαι πρὸς αὐτὸν, καὶ χρήματα πέμπειν· τοῦτο δὲ γέγονε, διὰ τὴν γεγενημένην αὐτῷ θεόθεν ἐπισκοπήν. Isa 39.1

6β Δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν.

Καὶ ἔτι τοῦτον δοξάσεις, καὶ μείζονα ποιήσεις, διὰ τὴν εὐαρέστησιν αὐτοῦ.

7α Ὅτι δώῃς αὐτῷ εὐλογίαν, εἰς αἰῶνα αἰῶνος.

Ἡ εὐλογία, ποτὲ μὲν σημαίνει τὴν εὐφημίαν, ὡς τὸ, *Εὐλόγει, ἡ ψυχή μου, τὸν* Ps 102.2
Κύριον, ποτὲ δὲ τὴν χάριν, ὡς τὸ, *Προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος*, Ps 20.4
ἔτι δὲ καὶ τὴν μετάδοσιν τοῦ ἁγιασμοῦ, ὡς ἐπὶ τοῦ παρόντος.

Ἔστι δ᾽ ὅτε καὶ τὴν βλασφημίαν, ὡς τὸ, *Ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει·* Job 1.11
[ναὶ μὴν καὶ τὴν προσαγόρευσιν, ὡς ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν φησιν Ἐλισσαῖος πρὸς Γιεζῆ, *Ἐὰν εὕρῃς ἄνδρα, οὐκ εὐλογήσεις αὐτὸν, καὶ ἐὰν εὐλογήσῃ σε ἀνὴρ, οὐκ ἀποκριθήσῃ αὐτῷ*.] 4Rg 4.29

Δώῃς δὲ, ἀντὶ τοῦ, δώσεις, εὐκτικὸν ἀντὶ μέλλοντος.

7β Εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.

7α[6-8] [M in marg.]CS[2]BFV : om. P.

Ὁ Σύμμαχος ἡρμήνευσεν, *ἀπὸ τοῦ προσώπου σου*, τουτέστι, διὰ τῆς σῆς ἐπισκοπῆς· ἐπιβλέψεις γὰρ ἐπ᾽ αὐτὸν, καὶ χαρᾶς πλησθήσεται.

8 Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ.

Οὐκ ἐπὶ στρατεύμασιν, οὐδ᾽ ἐπὶ πλούτῳ πέποιθεν, ἤ τισι τοιούτοις, ἀλλ᾽ ἐπὶ μόνῳ τῷ βοηθοῦντι Θεῷ, διὸ οὐ περιτραπήσεται.

9α Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου.

Θεοῦ χεὶρ, ἡ θεία δύναμις, ᾗ περιπεσεῖν εὔχεται πάντας τοὺς τὸν Θεὸν βλασφημοῦντας· εὑρεθείη αὐτοῖς, φησὶν, εἰς τιμωρίαν. Heb 10.31

9β Ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.

Καταλήψαιτο.

10α Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου.

Ἐμπρήσεις αὐτοὺς τῷ πυρὶ τῆς ὀργῆς σου. Κλίβανος δὲ πυρὸς, τὸ ὀπτανεῖον τῶν ἄρτων.

Εἰς καιρὸν δὲ τοῦ προσώπου σου, ἀντὶ τοῦ, ἐν τῷ καιρῷ τῆς ἐπισκοπῆς σου, ὅταν ἐπίδῃς αὐτοὺς δυσμενές· *Πρόσωπον* γὰρ, φησὶ, *Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.* Ps 33.17

10β-11 Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ· τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.

Προαναφωνεῖ τὴν τῶν ἐχθρῶν ἀπώλειαν, καὶ ἀπαριθμεῖται τὰ εἴδη τῶν τιμωριῶν αὐτῶν, ὅτι πειραθέντες τῆς θείας ὀργῆς, συνταραχθήσονται πάντοθεν ἐξαπορούμενοι, καὶ πυρποληθήσονται, καὶ ὁ καρπὸς τῶν γεωργιῶν αὐτῶν διαφθαρήσεται, καὶ ἁπλῶς εἰπεῖν, ἀπο | λοῦνται παγγενῇ. Τοῦτο γὰρ νοεῖται τὸ σπέρμα νῦν· υἱοὺς δὲ ἀνθρώπων, τὸ γένος τῶν ἀνθρώπων ἐκάλεσεν.

12α Ὅτι ἔκλιναν εἰς σὲ κακά.

Ταῦτα πείσονται, διότι κεκινήκασιν εἰς σὲ κακὰ, βλασφημοῦντες τὸ σὸν ὄνομα, καὶ τοῖς σοῖς δούλοις ἐπιβουλεύοντες καὶ κακοποιοῦντες.

12β Διελογίσαντο βουλὰς, αἷς οὐ μὴ δύνωνται στῆναι.

10β5 γεωργιῶν PCHV : γεωργίων M.

Εἰ γὰρ καὶ πολλὰ κατὰ σοῦ καὶ τῶν σῶν ἐμελέτησαν, ἀλλ᾽ οὖν οὐκ ἰσχύσουσιν ἐμμεῖναι τοῖς δεδογμένοις· περιτραπήσονται γὰρ αἱ τούτων βουλαί.

13α *Ὅτι θήσεις αὐτοὺς νῶτον.*

Νῶτος γίνεται ὁ φεύγων· οὐδὲν γὰρ ἕτερον αὐτοῦ φαίνεται ἢ μόνον ὁ νῶτος. Ps 17.41α

13β *Ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.*

Τοῦτο καθ᾽ ὑπερβατὸν συντάξομεν, εἰ μέλλοιμεν συντηρῆσαι τὴν ἀκολουθίαν τῆς διανοίας· οἷον, ἐν τοῖς περιλοίποις αὐτῶν, ἑτοιμάσεις τὸ πρόσωπόν σου, τουτέστιν, οὐδ᾽ οἱ περιλειφθέντες ἀπὸ τῆς ἐν τῷ πολέμῳ σφαγῆς καὶ εἰς φυγὴν τραπέντες σωθήσονται, ἀλλὰ καὶ κατ᾽ αὐτῶν εὐτρεπίσεις τὴν σὴν ἐπισκοπὴν, ὥστε μὴ διαφυγεῖν αὐτούς.

14α *Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου.*

Ἐν τῷ ἑβδόμῳ ψαλμῷ σεσαφήνισται τί σημαίνει τὸ, *Ὑψώθητι*· τὸ παρὸν γὰρ Ps 7.7
ῥητὸν, ταὐτὸν δύναται τῷ, *Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου.*

14β *Ἄισομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.*

Ἐν τῷ τέλει τοῦ δωδεκάτου ψαλμοῦ προδιελάβομεν τί βούλονται τὸ, *ᾄσω*, καὶ τὸ, *ψαλῶ*. Ps 12.6

Τινὲς δὲ καὶ τὸν παρόντα ψαλμὸν τῷ Δαυὶδ ἁρμόζουσι, λέγοντες, ὑπὲρ ἑαυτοῦ τοῦτον ᾆσαι. Εἰ δὲ τοῦτο δεξόμεθα — κωλύει γὰρ οὐδὲν — μεθερμηνεύσομεν τὰ ῥητά.

[2] Καὶ γὰρ αὐτίκα τὸ, *ἐν τῇ δυνάμει σου εὐφρανθήσεται, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται*, διὰ τὸν Χριστὸν εἰρῆσθαι νοήσομεν. Ἐπεὶ γὰρ ὁ Χριστὸς καὶ Θεοῦ
ἐστι δύναμις, φησὶ γὰρ ὁ μέγας Παῦλος, *Χριστὸς Θεοῦ δύναμις*. Καὶ πάλιν ὁ αὐτὸς 1Cor 1.24
καὶ Σωτήρ ἐστι· φησὶ γὰρ ὁ εὐαγγελιστὴς, *Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ.* Mt 1.21

Πρὸς μὲν τὸν Πατέρα εἶπε, *Κύριε, ἐν τῇ δυνάμει σου*, πρὸς δὲ τὸν Υἱὸν, *καὶ ἐπὶ τῷ σωτηρίῳ σου*, τουτέστι, τῇ παρὰ σοῦ γινομένῃ σωτηρίᾳ τῶν ἀνθρώπων. Οὕτω δὲ καὶ εἰς τὰ ἑξῆς, τὰ μὲν πρὸς τὸν Πατέρα, τὰ δὲ πρὸς τὸν Υἱὸν λέγοιτ᾽ ἄν.

Καὶ ὄντως ηὐφράνθη, καὶ ἠγαλλιάσατο Δαυὶδ, θεασάμενος καὶ μετὰ θάνατον τὸ τῆς θείας ἐνανθρωπήσεως μυστήριον. Εἰ γὰρ τὴν ἀχλὺν τῆς σαρκὸς
περικείμενος ἔτι, τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς εἶδε τὰ μέλλοντα, πολλῷ μᾶλλον Jn 8.56
ταύτην ἀποθέμενος καθαρώτερον ἑώρα καὶ τηλαυγέστερον.

[3] Ἀκολούθως δὲ καὶ ἐπιθυμίαν καρδίας ὑποληψόμεθα, τὸν πόθον τοῦ ἰδεῖν τὴν τοῦ Σωτῆρος ἐνανθρώπησιν, ἧς προεῖδε τὸν τύπον.

Θέλησιν δὲ τῶν χειλέων, τὸ θέλειν διὰ παντὸς ᾄδειν Θεῷ· καὶ μέντοι καὶ ᾄδει
πάντοτε, τοῖς τῶν πιστῶν χείλεσι χρώμενος.

[5] Ζωὴν δὲ ᾐτήσατο, καὶ ἔλαβε, πολλάκις κινδυνεύσας ἀποθανεῖν ὑπ᾽ ἐχθρῶν,
καὶ δι᾽ εὐχῆς περισωθείς.

[6] Μεγάλη δὲ ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, τουτέστι, διὰ τὴν παρὰ σοῦ
σωτηρίαν· ἐδοξάσθη γὰρ ἀληθῶς, ὅτι ἐκ τῆς ῥίζης αὐτοῦ ἡ σωτηρία ἡμῶν ἐβλάσ- Isa 11.1
τησε, καὶ μέγας γέγονε, καὶ περιβόητος.

[7] Εὐφρανεῖς δὲ αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου, ἀντὶ τοῦ, τέρψεις αὐτὸν
διὰ τοῦ Υἱοῦ σου. Πρόσωπον γὰρ τοῦ Πατρὸς, ὁ Υἱός· φησὶ γὰρ, *Ὁ ἑωρακὼς ἐμὲ,
ἑώρακε τὸν Πατέρα.* Jn 14.9

[9] Ἐχθροὺς δὲ | τοῦ Θεοῦ νοήσεις, τοὺς μισοχρίστους Ἰουδαίους, οἷς καὶ τὰ
δεινότατα ἐπαρᾶται, καὶ προφητεύει ὅσα καὶ πεπόνθασιν, ὧν τὸ σπέρμα
πανωλεθρίᾳ διεφθάρη, δηλαδὴ τῶν σταυρωσάντων τὸν Κύριον. Οἵ γὰρ ἐν ταῖς
διασποραῖς διαπεφεύγασιν ἐκεῖνον τὸν ὄλεθρον.

[10] Θήσεις δὲ αὐτοὺς ὡς κλίβανον πυρὸς ἐν τῷ καιρῷ τοῦ προσώπου σου,
δηλαδὴ τοῦ Υἱοῦ σου, καθὼς εἰρήκαμεν. Μετὰ γὰρ τὴν ἐπιδημίαν αὐτοῦ τοῦτο
πεπόνθασι, καὶ ἤρξαντο κατ᾽ αὐτῶν φύεσθαι τὰ δεινὰ, ἀφ᾽ οὗ Χριστὸς εἶπεν
αὐτοῖς, *Ἀρθήσεται ἀφ᾽ ὑμῶν ἡ βασιλεία.* Mt 21.43

[13] Ἐν δὲ τοῖς περιλοίποις σου, τουτέστι, τοῖς ἐξ αὐτῶν πεπιστευκόσιν εἰς σὲ τὸν
Υἱὸν, καὶ ὑπολειφθεῖσί σοι. Ἑτοιμάσεις, ἤγουν κοσμήσεις, καὶ δοξάσεις τὸ γένος
αὐτῶν· δόξα γὰρ τοῖς Ἑβραίοις τέως, ὅτι πατέρες τῶν ἀποστόλων γεγόνασιν, εἰ
καὶ καθ᾽ ἑαυτοὺς ἄδοξοί εἰσι καὶ φευκτοί.

Ἁρμόζομεν δὲ τὸν ψαλμὸν τοῦτον καὶ τῷ βασιλεῖ ἡμῶν κατὰ τῶν βαρβάρων,
ὡς καὶ τὸν πρὸ τούτου.

21 ## κα´

1 ## Εἰς τὸ τέλος· ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς· ψαλμὸς τῷ Δαυίδ.

Ὁ ψαλμὸς οὗτος φανερῶς εἰς Χριστὸν ἀνάγεται· προαγορεύει γὰρ τὰ τοῦ
προσλήμματος, καὶ τὰ τοῦ σωτηρίου πάθους αὐτοῦ, ἃ τέλος εἰλήφασιν.

Ὑπὲρ τῆς ἀντιλήψεως δὲ ἐπιγέγραπται, διὰ τὸ περιέχειν ἱκεσίαν, ὑπὲρ τοῦ
ἐλθεῖν αὐτῷ παρὰ τοῦ Πατρὸς ἐν τῷ καιρῷ τοῦ πάθους ἀντίληψιν ἐνισχύουσαν. Lk 22.43

Τῆς ἑωθινῆς δὲ πρόκειται, ἀντὶ τοῦ, τῆς τοῦ Χριστοῦ· ὄρθρος γὰρ οὗτος Hos 6.3
ὀνομάζεται, ὅ ἐστιν ἡμέρας ἀρχή. Ὄντως γὰρ ἀνέτειλεν ἡμῖν τοῖς ἐν σκότει Mt 4.16
τῆς πλάνης καθημένοις, ἥλιος δικαιοσύνης, καὶ φῶς γνώσεως. Ἱκέτευε δὲ ὡς Mal 3.20
ἄνθρωπος, διδάσκων εὔχεσθαι κατὰ τὸν τοῦ θανάτου καιρόν. Φύσει γὰρ τότε καὶ Hos 10.12
ὁ πάνυ δίκαιος δειλιᾷ τὸ καινὸν τῆς διαζεύξεως.

Τινὲς δὲ νοοῦντες πρόθεσιν ἀντὶ προθέσεως, ἔθος γὰρ καὶ τοῦτο τοῖς παλαιοῖς,
φασὶ τὸν ψαλμὸν εἶναι τοῦτον, περὶ τῶν παθῶν τοῦ Χριστοῦ. Ταῦτα γάρ εἰσιν
ἑωθινὴ ἀντίληψις, ὅτι τότε μᾶλλον ἀντελάβετο ἡμῶν ὁ δηλωθεὶς ὄρθρος, ὅ ἐστι
Χριστὸς, θανάτῳ νικήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου. Heb 2.14

1[6] πρόκειται MCH : πρόσκειται PVN.

2α Ὁ Θεὸς, ὁ Θεός μου, πρόσχες μοι· ἱνατί ἐγκατέλιπές με;

Δειλίας μὲν ἀνθρωπίνης ὁ λόγος· πιστοῦται δὲ τοῦτο τὴν ἐνανθρώπησιν, ὅτι τέλειος ὢν ἄνθρωπος, καὶ τῷ φυσικῷ ὑπέκειτο φόβῳ.

Πρόσχες μοι· εἰώθασι γὰρ οἱ παραχωροῦντές τινα δημίοις, ἀποστρέφειν τὰς ὄψεις ἑαυτῶν.

Ἱνατί ἐγκατέλιπές με; καὶ μὴν οὐδέποτε διέστη αὐτοῦ, ἅπαξ ἑνωθέντος τῷ Υἱῷ, καὶ Θεῷ· ἀλλ᾽ ἐγκαταλελεῖφθαι λέγει, διὰ τὴν δειλίαν. Εἰ γὰρ μὴ σὺ, φησὶ, τὴν παρὰ σοῦ βοήθειαν ἐπέσχες, οὐκ ἂν ἐγὼ τὸν θάνατον ἐδειλίασα. Περὶ ταύτης δὲ τῆς δειλίας καὶ οἱ εὐαγγελισταὶ διεξίασιν, ὅτι προσηύξατο παρελθεῖν τὸ τοῦ
θανάτου ποτήριον. Mt 26.39
Καὶ αὐτὸ δὲ εἶπε τὸ τοῦ ψαλμοῦ ῥητὸν ἐπὶ τοῦ σταυροῦ, *Θεέ μου, Θεέ μου,
ἱνατί με ἐγκατέλιπες;* ἤγουν ἱνατί με ἐγκατέλιπες εἰς δειλίαν, εἰδὼς ὅτι *τὸ μὲν* Mt 27.46
πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής; ἢ διατί με παρεχώρησας τῷ θανάτῳ, Mt 26.41
γινώσκων, ὅτι οὐδὲν ἥμαρτον ἄξιον θανάτου;

2β Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.

Αἱ εὐθῦναι τῶν ἁμαρτιῶν μου, πόῤῥω εἰσὶ τῆς σωτηρίας μου, τουτέστιν, οὐκ
ἐμποδίζουσιν αὐτῇ, | διὰ τὸ μηδ᾽ ὅλως εἶναι αὐτάς. *Ἀνομίαν* γὰρ, φησὶν, *οὐκ* Isa 53.9
ἐποίησε. Τῶν ἁμαρτανόντων δὲ, ὁ θάνατος ἐπιτίμιον. Ro 6.23
Ἢ καὶ ἄλλως, τὸ πρόσωπον τῆς ὅλης τῶν ἀνθρώπων φύσεως, ὡς συγγενὴς ἡμῶν, ὑποδύεται, καὶ, διατί με, φησὶ, τὸν καθόλου ἄνθρωπον ἐγκατέλιπες ἀποθνήσκειν; Εἶτα ἐπιφέρει καὶ τὴν αἰτίαν· ὅτι μεμάκρυνται σωτηρίας αἱ καταδίκαι μου, αἷς ἄρα κἀγὼ συναπομεμάκρυσμαι. Εἰ γὰρ ἤγγιζον, ἐσῳζόμην ἂν ἀπὸ τοῦ θανάτου.

3 Ὁ Θεός μου, κεκράξομαι ἡμέρας καὶ οὐκ εἰσακούσῃ· καὶ νυκτὸς καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.

Τοῦτο γέγονε, καθ᾽ ἣν ἡμέραν ἔφαγε τὸ Πάσχα μετὰ τῶν μαθητῶν· ὅτι γὰρ
ἐν τῇ νυκτὶ τότε προσηύχετο, δεδηλώκασιν οἱ εὐαγγελισταί· δῆλον δὲ ἐντεῦθεν, Mt 26.36
ὅτι καὶ πρὸ τῆς ἑσπέρας ηὔξατο. Μὴ ξενίζου δὲ πῶς τὸ πρῶτον τέθεικεν ὕστερον· τοιαῦτα γὰρ ἐν πολλοῖς τὰ προφητικά. Ἡ δ᾽ αἰτία, ἵνα μὴ δοκοῖεν οἴκοθεν λαλεῖν, ἀλλ᾽ ἃ ἂν, καὶ ὡς ἂν ἀκούσειεν ὑπὸ τοῦ ἐνηχοῦντος Πνεύματος.

Καὶ ἐν τῇ ἡμέρᾳ, φησὶ, παρακαλέσω παρελθεῖν τὸν τοῦ θανάτου καιρὸν, καὶ οὐκ εἰσακούσῃ μου. Καὶ ἐν τῇ νυκτὶ πάλιν ὁμοίως, πλὴν οὐκ εἰς ἄνοιαν ἐμοὶ τὸ πῶς οὐκ εἰσακούσῃ· νενόηκα γὰρ ὅτι διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων, ἧς ἕνεκα καὶ σεσάρκωμαι.

Τινὲς δὲ ἡμέραν καὶ νύκτα, τὸν καιρὸν τῆς σταυρώσεώς φασιν· ἀπὸ γὰρ ὥρας
ἕκτης ἕως ἐνάτης, σκότος ἐγένετο, ὡς λέγεσθαι τὴν ἡμέραν ταύτην, ἡμερονύκτιον, Mt 27.45
ὅτε καὶ ἀφεθῆναι τοῖς ἐσταυρωκόσι τὴν ἁμαρτίαν παρεκάλεσε μὲν, οὐκ εἰσηκούσθη Lk 23.34

2β[6] ἐγκατέλιπες MPH : κατέλιπες CVN. 3[14] παρεκάλεσε μὲν, οὐκ εἰσηκούσθη δὲ PSHV : παρακαλέσαι μὲν, οὐκ εἰσακουσθῆναι δὲ M. 3[14] παρεκάλεσε… ἁμαρτίαν om. CF.

δὲ, πανωλεθρίᾳ παραδοθέντων· τούτου δὲ τὸ αἴτιον, εἰδέναι σαφῶς, ὅτι ἔμελλον
συκοφαντῆσαι τὴν ἀνάστασιν αὐτοῦ καὶ αὐξῆσαι τὴν ἁμαρτίαν. Mt 28.13

4 Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.

Ἅγιον καλεῖ, τὸν ἡνωμένον ἑαυτῷ Υἱὸν καὶ Θεόν. Καὶ ἐν τῷ Εὐαγγελίῳ
δέ φησιν, *Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί*. Ἔπαινος δὲ τοῦ Ἰσραὴλ, ὁ Jn 10.38
Πατὴρ, ὅτι Ἰουδαῖοι τῇ θεογνωσίᾳ μόνον ἐνεκαυχῶντο, μὴ ποιοῦντες κρίμα καὶ
δικαιοσύνην, μηδ᾿ ἔχοντες ἀρετήν. Διὰ δὲ τοῦ εἰπεῖν, ὅτι κατοικεῖς ἐν τῷ Υἱῷ, 1Rg 2.10
ἔδειξεν ὅτι θέλει καὶ ὁ Υἱὸς τὴν σωτηρίαν τῶν ἀνθρώπων, καὶ οὐκ ἀποσείεται τὸν
θάνατον τοῦ προσλήμματος· ἓν γὰρ καὶ τῷ Πατρὶ καὶ τῷ Υἱῷ θέλημα.

5-6 Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν· ἤλπισαν καὶ ἐῤῥύσω αὐτούς· πρὸς σὲ ἐκέκραξαν
καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν.

Συζεύγνυσιν ἑαυτὸν τοῖς ἐπηρεαζομένοις, καί φησιν, ὡς οἱ κατὰ σάρκα πατέρες ἡμῶν, οἱ πρὸ τῆς ἐμῆς ἐπιδημίας ἐν τῷ βίῳ λάμψαντες, ἐπὶ σοὶ ἤλπισαν, καὶ βοήσαντες, ἐῤῥύσθησαν τῶν κινδύνων. Ἐκείνους οὖν κἀγὼ μιμούμενος, ὡς ὅμοιος αὐτοῖς, ὁμοίως καὶ αὐτὸς ποιοῦμαι τὴν δέησιν.

Σύνηθες δὲ τῷ προφήτῃ τὰς λέξεις πολλάκις ἀναδιπλοῦν, καὶ τριπλοῦν, εἰς ἔμφασιν τοῦ τόνου τῆς καρδίας.

Λύτρωσιν δὲ κινδύνου λέγουσιν οἱ σοφοὶ τὰ θεῖα, οὐ μόνον ἐπὶ σώματος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ ψυχῆς, ὅταν γενναίως ἐνεγκοῦσα τὰς ὀδύνας, μηδὲν ἐντεῦθεν πάθῃ περὶ τὴν πρόθεσιν. Οὕτω γὰρ οἱ μάρτυρες ἀναιρεθέντες, νενικηκέναι λέγονται διὰ τὸ ἀήττητον τῆς ψυχῆς.

7α Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος.

Τοῦτο εἶπε τα | πεινῶν ἑαυτόν. Καὶ Δαυὶδ γὰρ ὁ προφήτης καὶ βασιλεὺς, κύνα
τεθνηκότα καλεῖ ἑαυτὸν ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν. Εἰ δ᾿ ὁ ἀναμάρτητος Ἰησοῦς 1Rg 24.9
οὕτως ἑαυτὸν φαυλίζει, τί ἂν ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ φαῦλοι ποιήσωμεν;

Φασὶ δέ τινες, διὰ τὴν ἀσυνδύαστον τοῦτο ῥηθῆναι γέννησιν· ὡς γὰρ ὁ σκώληξ, [cf. Arist. GA
ἄνωθεν ἐπελθόντος ὑετοῦ τῇ γῇ, κυΐσκεται, οὕτω καὶ ὁ Χριστὸς, ἄνωθεν ἐπελθόντος 762a 10]
τοῦ ἁγίου Πνεύματος τῇ Παρθένῳ, γεγέννηται· καὶ σκώληξ μὲν ἂν λέγοιτο διὰ
τοῦτο· οὐκ ἄνθρωπος δὲ πάλιν, διὰ τὴν ὑπερφυῆ σύλληψιν καὶ γέννησιν.

Ἢ καὶ ἄλλως, ὅτι δέλεαρ τοῖς δαίμοσιν ἐφόρει τὴν σάρκα, ὑφ᾿ ἣν τὸ τῆς θεότητος ἐκέκρυπτο ἄγκιστρον· δέλεαρ γὰρ ἰχθύων, ὁ σκώληξ. Καὶ οὐκ ἄνθρωπος ἦν ψιλός.

Ἢ καὶ ὅτι ὁ σκώληξ εὐτελὴς μὲν τὸ εἶδος, ἀφανιστικὸς δὲ τῆς ὕλης· καὶ ὁ Χριστὸς γὰρ, εὐτελὴς μὲν ἦν τὸ φαινόμενον, ἀφανιστικὸς δὲ τῆς ἀντικειμένης δυνάμεως.

[3][1] τὸ αἴτιον MB: αἴτιον PV. 4[4] Ἰουδαῖοι PCBFV : οἱ Ἰουδαῖοι M. 7α[10] ἐκέκρυπτο MSC : ἐκρύπτετο PHV.
7α Add. [P in marg.]H: Ἐγένετο γὰρ δέλεαρ εἰς ἅλωσιν τοῦ νοητοῦ κήτους, τοῦ τῇ θαλάσσῃ τοῦ παρόντος βίου ἐννηχομένου· τῷ τῆς θεότητος ἀγκίστρῳ περιτεθεῖσα ἡ ἀνθρωπότης, ὃ κῆτος τὸ δέλεαρ περιχανὸν τῷ ἀγκίστρῳ περιεπάρη. [Job 40.25].

7β Ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ.

Τοῦτο προαγορεύει σαφῶς, ἃ εἰς αὐτὸν πεπαρῳνήκασι κατὰ τὸν καιρὸν τοῦ πάθους, ἐμπαίζοντες καὶ χλευάζοντες.

Καὶ ταὐτὸν μὲν ἂν εἴη τῷ, ὄνειδος ἀνθρώπων, τὸ, ἐξουθένημα λαοῦ· ἢ ὄνειδος μὲν ἀνθρώπων, τῶν ἐκ Ῥώμης στρατιωτῶν, ἐξουθένημα δὲ λαοῦ, τῶν Ἰουδαίων.

8-9 Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν· ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν ὅτι θέλει αὐτόν.

Ταῦτα σαφῶς εὑρήσεις παρὰ τῷ Ματθαίῳ κείμενα. Φησὶ γὰρ, *Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες,* Mt 27.39
καὶ τὰ ἑξῆς.

10α Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός.

Ἀνδρὸς μὲν ὁμιλία διανοίγει τὰ παρθενικὰ κλεῖθρα τῆς γαστρός· ἀκοντιζόμενον δὲ τὸ σπέρμα, φυσικῶς ἀνοίγει τὴν μήτραν· αὕτη δὲ λοιπὸν μύσασα, συνέχει τοῦτο, μέχρις ἂν εἰς βρέφος τελεσιουργηθῇ· καὶ οὕτω στενοχωρηθεῖσα τῷ ὄγκῳ, πάλιν ἀνοίγεται καὶ παραχωρεῖ τούτῳ διολισθαίνειν.

Ἐπὶ δὲ τοῦ Σωτῆρος, ὥσπερ ἄνευ ὁμιλίας ἀνδρὸς ἡ σύλληψις, οὕτω καὶ ἡ πρόοδος τοῦ βρέφους ὑπερφυὴς, τῆς τοῦ Θεοῦ δυνάμεως ἐξελκυσάσης αὐτὸ, τῶν κλείθρων μηδ᾽ ὅλως ἀνοιγέντων.

10β Ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου.

Ὦ ἡ ἐλπίς μου, ἐξ αὐτῆς θηλῆς· ἀπὸ τότε γάρ σε ἐγνώριζον ἐλπίδα μου, συνετισθεὶς ὑπὸ τῆς ἑνωθείσης μοι θεότητος. Φησὶ δὲ περὶ τούτου Λουκᾶς, *Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ᾽ αὐτῷ.* Lk 2.40

11α Ἐπὶ σὲ ἐπεῤῥίφθην ἐκ μήτρας.

Τῇ σῇ σκέπῃ ἐπεῤῥίφθην, οἷα μὴ ἔχων ἐπὶ γῆς πατέρα.

11β Ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ.

Εὐθύς σε Θεὸν ἐπέγνων, συνετισθεὶς, ὡς προείρηται. Τὸ δὲ, *ἀπὸ γαστρὸς*, ἢ ὅτι ἐν τῇ γαστρὶ ὢν, ἢ ὅτι τῆς γαστρὸς ἐξελθών.

12 Μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ, ὅτι θλίψεις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι.

10β[5] *αὐτῷ* MPSCH : *αὐτό* V. 12[1] θλίψεις MPCBF : θλῖψις HV[TRa].

Καὶ περὶ τούτου φασὶν οἱ εὐαγγελισταὶ, ὅτι *Ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν·* Mt 26.37
καὶ πάλιν, *Τότε οἱ μαθηταὶ πάντες, ἀφέντες αὐτὸν, ἔφυγον.* Mt 26.56

13 Περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι | πίονες περιέσχον με.

Μόσχους καλεῖ, τὸ δημῶδες πλῆθος τῶν Ἰουδαίων, διὰ τὸ νεώτερον καὶ ἄτακτον· ταύρους δὲ, τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς καὶ πρεσβυτέρους τοῦ λαοῦ, διὰ τὸ προβεβηκὸς καὶ ἔξαρχον, οὓς καὶ πίονας λέγει, διότι πολλῶν ἀπήλαυσαν δωρεῶν αὐτοῦ. Προείρηκε γὰρ καὶ Μωυσῆς, ὅτι καὶ *Ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος, ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτόν.* Dt 32.15

14 Ἤνοιξαν ἐπ᾽ ἐμὲ τὸ στόμα αὐτῶν ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος.

Ὅτε συλλεγέντες ἐβόων, *Ἆρον, ἆρον, σταύρωσον αὐτόν.* Jn 19.15

15α Ὡσεὶ ὕδωρ ἐξεχύθη, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου.

Ὀστᾶ αὐτοῦ, τοὺς ἀποστόλους νοήσομεν, ὡς συνέχοντας καὶ στερεοῦντας τὸ λοιπὸν σῶμα τῆς Ἐκκλησίας Χριστοῦ· *πάντες γὰρ ἀφέντες αὐτὸν, ἔφυγον* τηνικαῦτα. Φησὶ γὰρ Ζαχαρίας, *Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται* Zach 13.7
τὰ πρόβατα. Χύσιν δὲ λέγει, τὴν ἀπ᾽ αὐτοῦ κίνησιν αὐτῶν. Mk 14.27

15β Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου.

Ἐτάκη δίκην κηροῦ, τῷ πυρὶ τῶν θλίψεων ἐκλυθεῖσα, καὶ τέλεον ἀσθενήσασα. Κοιλίαν δὲ λέγει νῦν, τὸ κοῖλον ὅλον τοῦ σώματος.

16α Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου.

Τῷ δηλωθέντι πυρὶ παγεῖσα, ἐξικμασθείσης τῆς ἐνεργείας αὐτῆς.

16β Καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου.

Ὅτε κατηγορούντων αὐτοῦ τῶν ψευδομαρτύρων, οὐδὲν ἀπεκρίνετο, ἀλλ᾽ Mt 26.63
ἵστατο σιωπῶν· ἢ ὅτε ἐδίψησεν ἐπὶ τοῦ σταυροῦ. Jn 19.28

16γ Καὶ εἰς χοῦν θανάτου κατήγαγές με.

Χοῦς θανάτου ἐστὶν ὁ τάφος, οἷα δὴ χωννυμένων τῶν θαπτομένων, εἰς ὃν ἑκὼν με, φησὶ, κατήγαγες ὑπὲρ τῶν ἀνθρώπων.

13[4] ἔξαρχον VN : ἐξάρχον MPSCH. 15α[3] τὸ λοιπὸν σῶμα τῆς Ἐκκλησίας Χριστοῦ MCB: τὸ λοιπὸν τῆς Ἐκκλησίας σῶμα P. 15β[2] ἐτάκη MPV: ἐτάκην SH. 16β[2] ἀπεκρίνετο MSCB : ἀπεκρίνατο PV : ἀπεκρίνα[ε]το F. 16β[3] τοῦ σταυροῦ MSCBF : τῷ σταυρῷ PV. 16γ[2] ἑκὼν με MSCV: ἑκόντα με H.

17α Ὅτι ἐκύκλωσάν με κύνες πολλοί.

Ταύρους μὲν, εἰκότως ἐκάλεσε τοὺς Ἰουδαίους, ὡς ὑπὸ τὸν ζυγὸν τοῦ νόμου ὄντας, εἰ καὶ τὸν νόμον παρέβαινον· κύνας δὲ λέγει, τοὺς ἐκ Ῥώμης στρατιώτας, ὡς κατὰ νόμον ἀκαθάρτους καὶ ἀναιδεῖς. Οὕτω καὶ ὁ Χριστὸς τὴν Χαναναίαν Lev 11.27
ὠνόμασεν, εἰπὼν, *Οὐκ ἔστι καλὸν τὸν ἄρτον τῶν τέκνων δοῦναι τοῖς κυναρίοις.* Mt 15.26

17β Συναγωγὴ πονηρευομένων περιέσχον με.

Τῶν φθονερῶν Ἰουδαίων.

17γ Ὤρυξαν χεῖράς μου καὶ πόδας μου.

Τῇ διατρήσει τῶν ἥλων.

18α Ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.

Γυμνὸν κρεμάσαντες, καὶ σφόδρα διατείναντες, ὡς φαίνεσθαι καὶ τὰς ἁρμονίας τῶν ὀστέων, καὶ ἀριθμεῖσθαι ταῦτα τοῖς βουλομένοις.

18β Αὐτοὶ δὲ κατενόησαν.

Ἐπολυπραγμόνησάν με κρεμάμενον εἰ υἱός εἰμι Θεοῦ· ἔλεγον γὰρ, *Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ.* Mt 27.40

18γ Καὶ ἐπεῖδόν με.

Καὶ ἐπέγνωσαν, ὅτι εἰμὶ, βλέποντες τὴν κτίσιν συμπάσχουσαν, εἰ καὶ σκληροὶ ἔτι διέμειναν. Φησὶ γὰρ ὁ Ματθαῖος, ὅτι *Ὁ ἑκατόνταρχος, καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες, Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος.* Mt 27.54

Ἢ καὶ ἄλλως· Ἐπολυπραγμόνησαν, μήποτε κατενεχθῶ ἀπὸ τοῦ σταυροῦ διὰ τῶν μαθητῶν μου, καὶ διὰ τοῦτο ἐπεῖδόν με, | τουτέστιν, ἐτήρησάν με φυλακῇ στρατιωτῶν.

19 Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Ταῦτα σαφῶς ἡρμήνευσεν ὁ εὐαγγελιστὴς Ἰωάννης· φησὶ γὰρ οὕτως, *Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄῤῥαφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου. Εἶπον οὖν πρὸς ἀλλήλους, Μὴ σχίσωμεν αὐτὸν,*

18α[2] φαίνεσθαι MSCBF : καὶ φαίνεσθαι PV. 18γ[3] ὁ Ματθαῖος PBFV : Ματθαῖος MSC. 19[2] οὕτως MPSCF : οὗτος BV.

ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται· ἵνα, φησὶν, ἡ Γραφὴ πληρωθῇ, δηλαδὴ τὰ παρόντα ῥητὰ, ἃ καὶ παρέθηκεν ἐκεῖ. Jn 19.23-24

Ὥστε ἱμάτια μὲν λέγει, τὰ ἐῤῥαμμένα, ἃ καὶ διείλοντο ἑαυτοῖς· ἱματισμὸν δὲ, τὸν ἄῤῥαφον χιτῶνα, τὸν ἐκ τῶν ἄνωθεν ὑφαντὸν, ὑπὲρ οὗ καὶ ἔβαλον κλῆρον.

20 Σὺ δὲ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ᾽ ἐμοῦ· εἰς τὴν ἀντίληψίν μου πρόσχες.

Τούτων δηλαδὴ γινομένων.

21-22 Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου· σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.

Ῥομφαίαν καλεῖ, τοὺς ἐκ Ῥώμης στρατιώτας, ὡς ξιφηφόρους· τοὺς αὐτοὺς
δὲ καὶ κύνας, καθὼς ἀνωτέρω δεδηλώκαμεν. Λέοντα δὲ, τοὺς Ἰουδαίους, διὰ Ps 21.17α
τὴν ἀπήνειαν, καὶ τὸ διψᾶν τὸν αὐτοῦ θάνατον, καὶ τὴν ἐνέδραν· οὕτω γὰρ καὶ
πρὸ μικροῦ τούτους ὠνόμασε. Τοὺς αὐτοὺς δὲ λέγει καὶ μονοκέρωτας, ὡς εἰς Ps 21.14
μίαν ὑπόστασιν Θεοῦ πιστεύοντας. Ζῷον δὲ ἄγριον ὁ μονόκερως, φερωνύμως ἓν φέρων ἐπὶ τοῦ μετώπου κέρας. Ἑνικῶς δὲ εἶπε κύνα καὶ λέοντα, διὰ τὸ γένος, δι᾽ οὗ τὸν καθ᾽ ἕκαστον γινώσκομεν.

Μονογενῆ δὲ λέγει, τὴν ἰδίαν ψυχὴν, ὡς μεμονωμένην, διὰ τὸ μόνην τῶν ἄλλων ψυχῶν ἄγευστον ἁμαρτίας εἶναι, καὶ διὰ τὸ μόνην τὸν Υἱὸν ἔχειν ἡνωμένον καθ᾽ ὑπόστασιν.

Περὶ δὲ τῆς ἑαυτοῦ ταπεινώσεως, καὶ αὐτὸς ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ἐδίδαξεν,
εἰπὼν, *Μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.* Mt 11.29

Τίνος δὲ ἕνεκεν οὕτως ηὔχετο, προειρήκαμεν· ἔτι δὲ καὶ ὁποίαν ἐζήτει Ps 21.5
λύτρωσιν.

23α Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου.

Σημείωσαι πῶς τὰ μὲν, ὡς ἤδη γεγενημένα λέγει τὸ θεῖον Πνεῦμα, προθεωροῦν αὐτὰ, τὰ δὲ, ὡς μέλλοντα, νόμῳ προφητείας.

Ὄνομα δέ φησι, τὸ τῆς πατρότητος· Θεὸν μὲν γὰρ ὡμολόγουν Ἑβραῖοι, Πατέρα δὲ Υἱοῦ οὐκ ἐγίνωσκον, ὡς καὶ ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ εἴρηκεν·
Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις. Jn 17.6

Ἀδελφοὺς δὲ καλεῖ, τοὺς ἀποστόλους, ὡς καὶ πρὸς τὰς γυναῖκας μετὰ τὴν
ἀνάστασιν εἴρηκε, *Πορευθεῖσαι, εἴπατε τοῖς ἀδελφοῖς μου.* Mt 28.10 [7]

23β Ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

[19][4] *καὶ ἔβαλον* MSCBF : *ἔβαλον* PV. 21[6] *ἐνέδραν* MPH: *ἔνεδραν* SCA.

Οὐ μόνον γὰρ ἰδίᾳ τοὺς ἀποστόλους ἐδίδασκεν, ἀλλὰ καὶ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων ἐπαῤῥησιάζετο, διηγούμενος τὰ μεγαλεῖα τοῦ Θεοῦ καὶ Πατρός. Περὶ τούτων οὖν ἡ παροῦσα προφητεία.

Τοῦτο δὲ καὶ εἰσέτι ποιεῖ διὰ τοῦ Εὐαγγελίου αὐτοῦ, καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἀναγινωσκομένου.

24α Οἱ φοβούμενοι τὸν Κύριον, αἰνέσατε αὐτόν.

Ὡς ἤδη εἰσακουσθεὶς, προτρέπεται τοὺς πιστοὺς | εἰς εὐχαριστίαν· καὶ πρῶτον,
τοὺς ἐξ ἐθνῶν, ὅτι καὶ πρῶτον εἰς τὰ ἔθνη τοὺς ἀποστόλους μετὰ τὴν ἐκ νεκρῶν
ἀνάστασιν ἐξαπέστειλε, *Πορευθέντες γάρ φησι, μαθητεύσατε πάντα τὰ ἔθνη*, οὓς Mt 28.19
καὶ φοβουμένους τὸν Κύριον καλεῖ, προαγορεύων αὐτοὺς ἀπὸ τῆς ἀρετῆς. Καὶ Ps 113.17-19
Πέτρος γὰρ οὕτως ἐν ταῖς Πράξεσιν ὠνόμασεν αὐτούς· *Ἄνδρες Ἰσραηλῖται, καὶ
οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν*. Ac 13.16 [26]

Ἐπεὶ δὲ ἡ Ἐκκλησία τῶν πιστῶν, οὐκ ἐξ ἐθνῶν μόνον, ἀλλὰ καὶ ἐξ Ἰουδαίων συνίστατο, καὶ τούτους εἰς δοξολογίαν κινεῖ· φησὶ γάρ·

24β Ἅπαν τὸ σπέρμα Ἰακὼβ, δοξάσατε αὐτόν.

Πάντες οἱ ἐξ Ἰουδαίων πεπιστευκότες· προπάτωρ γὰρ τῶν φυλῶν, ὁ Ἰακώβ.

24γ Φοβηθήτω δὴ ἀπ᾽ αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ.

Ἐνταῦθα καὶ ἄμφω τὰ μέρη λέγει, διότι πᾶς ἐπιγνοὺς Χριστὸν, Ἰσραήλ ἐστιν· Ἰσραὴλ γὰρ μεθερμηνεύεται, νοῦς ὁρῶν Θεόν. Κελεύει τοίνυν καὶ ὑμνεῖν τὸν Θεὸν καὶ ἀεὶ φοβεῖσθαι αὐτὸν, ὡς παντοδύναμον.

Ἢ καὶ τοῖς ἄλλοις Ἰουδαίοις παραγγέλλει φοβεῖσθαι αὐτὸν, ὡς ἐπάξοντα τούτοις πανωλεθρίαν, διὰ τὴν λύσσαν τὴν κατὰ τοῦ Υἱοῦ αὐτοῦ.

25α Ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ.

Οὐ παρεῖδεν, οὐδὲ φορτικὴν ἡγήσατο τὴν ἐμὴν, φησὶ, δέησιν, τὴν περὶ τοῦ τὸν διάβολον νικῆσαι, καὶ ὑμῖν τὴν νίκην δωρήσασθαι.

Πτωχὸν δὲ ὠνόμασεν ἑαυτὸν, διά τε τὴν εὐτέλειαν τῆς σαρκὸς, καὶ ὅτι καὶ ἄλλως, πένης ἦν, ὅσον εἰς χρήματα καὶ περιουσίαν.

25β Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ᾽ ἐμοῦ.

Περὶ τοῦ ἰδιώματος τούτου προειρήκαμεν ἐν τῇ ἐξηγήσει τοῦ δωδεκάτου
ψαλμοῦ. Ps 12.2β

24α[5] προαγορεύων MSCBFH : προσαγορεύων PVN.

25γ Καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν, εἰσήκουσέ μου.

Εὐθὺς ἐν τῷ βοᾶν με πρὸς αὐτὸν, ἐπήκουσε.

26α Παρὰ σοῦ ὁ ἔπαινός μου.

Ὅτε φωνὴ κατηνέχθη ἐκ τοῦ οὐρανοῦ, λέγουσα, Οὗτός ἐστιν ὁ Υἱός μου ὁ Mt 17.5
ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. Καὶ αὖθις, Ἐδόξασα, καὶ πάλιν δοξάσω. Jn 12.28

26β Ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι.

Ἐξομολόγησιν ἐνταῦθα λέγει, τὴν αἴνεσιν. Μεγάλη δὲ, ἡ τῶν πιστῶν Ἐκκλησία, ὡς μέχρι περάτων γῆς φθάνουσα, ἢ καὶ ὡς ἀπὸ μεγάλων ἀνδρῶν συνισταμένη. Ἀεὶ δὲ διὰ τοῦ Εὐαγγελίου μέσον αὐτῆς ὑμνεῖ τὸν Πατέρα.

Ἄνω μὲν οὖν ἁπλῶς ἐκκλησίαν εἶπε, τὴν τῶν Ἰουδαίων συναγωγὴν, ἢ καὶ τὴν Ps 21.23β
ἐν ἑκάστῃ παροικίᾳ μερικὴν τῶν εὐσεβῶν· νῦν δὲ μεγάλην λέγει, τὴν καθολικὴν τῶν πιστῶν.

26γ Τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.

Εὐχὰς νῦν, τὰς ὑποσχέσεις καλεῖ, δηλονότι τὸ διηγήσασθαι τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τὸ ὑμνῆσαι αὐτόν.

27α Φάγονται πένητες καὶ ἐμπλησθήσονται.

Οἱ μέχρι τότε πένητες, ὅσον εἰς εὐσέβειαν, ἢ καὶ ὅσον εἰς ἀνθρώπινον πλοῦτον· ἀκτήμονες γὰρ οἱ κατ᾽ ἀλήθειαν Χριστιανοί. Φάγονται δὲ τὴν πνευματικὴν τροφὴν τῆς εὐαγγελικῆς διδασκαλίας, τὴν αὔξουσαν τὴν ψυχήν.

27β Καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν.

Ὅτι οὐκ ἐφείσατο τοῦ Μονογενοῦς αὐτοῦ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων.

Ἐκζητεῖ δέ τις τὸν Θεὸν, ὁδεύων τὴν τρίβον τῶν ἐντολῶν αὐτοῦ, φερουσῶν ἄντικρυς εἰς αὐτόν.

Ἢ καὶ ἄλλως, φάγονται τὸ σῶμα | τοῦ Σωτῆρος, ᾧ καὶ τὸ αἷμα συμπεριλαμβάνεται, καὶ ἐμπλησθήσονται Πνεύματος ἁγίου, καὶ ὕμνοις περὶ τὴν μυστικὴν χρήσονται τράπεζαν, ὡς εἶναι τοῦτο προφητείαν, οὐ μόνον περὶ τοῦ Εὐαγγελίου, ἀλλὰ καὶ περὶ τῆς μυστικῆς τραπέζης.

27γ Ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.

26β[3] περάτων γῆς PC : περάτων τῆς γῆς H : τῶν περάτων γῆς M : τῶν περάτων τῆς γῆς S.

Φησὶν ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος, Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, καὶ πάλιν, Jn 6.35, 48
Ἐάν τις φάγῃ ἐκ τοῦ ἐμοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα, φυλάττων δηλαδὴ τὰς Jn 6.54
ἐντολάς. Διὰ δὲ τῆς καρδίας, ὅλον τὸ ζῷον ἐδήλωσεν, ἀπὸ τοῦ καιριωτέρου μέρους· εἰ γὰρ καὶ τεθνήξεται κατὰ φύσιν, ἀλλ᾽ αὖθις ἀναστήσεται εἰς ζωὴν αἰώνιον.

28α Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς.

Ἡ μνήμη ἐπὶ προεγνωσμένου πράγματος λέγεται. Φαίνεται τοίνυν, ὡς ἡ θεογνωσία τοῖς ἀνθρώποις ἔμφυτός ἐστιν· ἀλλ᾽ ἐν τοῖς ἔθνεσιν ἡ τῆς πλάνης ἀχλὺς ἐκάλυψε ταύτην· τῆς ἀχλύος δὲ σκεδασθείσης τῷ ἡλίῳ τῆς δικαιοσύνης Χριστῷ, Mal 3.20
ἐμνήσθησαν τοῦ Δημιουργοῦ, καὶ πρὸς αὐτὸν ἐπεστράφησαν.

Ἢ μνησθήσονται, ἀντὶ τοῦ, μνήμης ἀξιωθήσονται παρὰ τῷ Θεῷ, μέχρι τότε παρεωραμένοι.

Ὅρα δὲ ὅπως ἐχρήσατο τάξει, μνησθήσονται, εἰπὼν, εἶτα ἐπιστραφήσονται, εἶτα προσκυνήσουσι.

28β Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν.

Καὶ μὴν οὔτε πάντα τὰ πέρατα τῆς γῆς ἐπίστευσαν, οὔτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, ἀλλ᾽ ἐπεὶ καὶ εἰς πάντα τὰ πέρατα τῆς γῆς, καὶ εἰς πάντα τὰ ἔθνη τὸ Εὐαγγέλιον ἔφθασεν, ἀπὸ τοῦ ὅλου τὸ μέρος δεδήλωκεν, ὡς ἐν ἄλλοις τοὐναντίον, ἀπὸ μέρους τὸ ὅλον.

Ἄλλως τε δὲ πατριὰς, τὰς συγγενείας καλεῖ· δῆλον δὲ ὅτι παντὸς ἔθνους συγγενεῖς ἐπίστευσαν εἰς Χριστὸν, καὶ δι᾽ αὐτοῦ προσεκύνησαν τὸν Πατέρα.

29 Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.

Οὗτός ἐστι καὶ βασιλεὺς αὐτῶν καὶ Δεσπότης, κατὰ τὸ, Καὶ δώσω σοι ἔθνη
τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· καὶ διὰ τοῦτο Ps 2.8
προσκυνήσουσιν αὐτὸν, τῆς διαβολικῆς τυραννίδος ἐλευθερωθέντες.

30α Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς.

Πίονας, τοὺς πλουσίους λέγει, τοὺς πλουτήσαντας τὴν εὐσέβειαν, οἳ πρότερον
πένητες ἦσαν, ὡς προειρήκαμεν. Ps 21.27α

30β Ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν.

Προσκυνήσουσιν αὐτὸν πάντες οἱ ἀποθνήσκοντες, καὶ εἰς γῆν ἀναλυόμενοι.
Μετὰ γὰρ τὴν κοινὴν ἀνάστασιν, αὐτῷ πᾶν γόνυ κάμψει, κατὰ τὸν Ἀπόστολον· Php 2.10
καὶ οἱ μὲν, ἑκόντες καὶ πόθῳ, οἱ δὲ, ἄκοντες καὶ φόβῳ.

28α[4] ταύτην MSCBF : αὐτὴν PV.

30γ Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ.

Αὐτός ἐστιν ὁ ταύτην ζωῶν, καὶ μὴ ἐῶν ἀποθνήσκειν ὑπὸ τῆς ἁμαρτίας· τοῦτο δὲ καὶ ἐπὶ τοῦ Πατρὸς νοεῖται, καὶ ἐπὶ τοῦ Υἱοῦ.

Καὶ ἄλλως δὲ, ζῇ τῷ Θεῷ, φησὶν, ἡ ψυχή μου, ὡς ἐνεργὸς οὖσα πρὸς αὐτὸν, ὥσπερ ἐκ τοῦ ἐναντίου, τέθνηκε τῷ δαίμονι, ὡς ἀκινητοῦσα πρὸς τὰς ὑποθήκας αὐτοῦ.

31α Καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ.

Σπέρμα Χριστοῦ, ἤτοι τέκνα, πάντες οἱ διὰ τοῦ Εὐαγγελίου γεννηθέντες αὐτῷ, οὓς καὶ ὑπέταξε τῷ Πατρί.

31β Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη.

Γνωρισθήσεται τῷ Θεῷ ἡ ἐξ ἐθνῶν γενεὰ τῶν πιστῶν, ἡ ἐλευσομένη ἐν ταῖς ἡμέραις τῆς ἐνανθρωπήσεως | τοῦ Υἱοῦ.

32α Καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ.

Οἱ διὰ πίστεως τεχθέντες, ἀναγγελοῦσι τοῖς τεχθησομένοις, καὶ τοῦτο καθεξῆς ἀεί. Δικαιοσύνην δὲ, ὅτι καθεῖλε τὸν ἀδικοῦντα τοὺς ἀνθρώπους πολέμιον.

32β Ὃν ἐποίησεν ὁ Κύριος.

Ὃν ἐποίησεν, ἤτοι συνεστήσατο λαὸν ἑαυτῷ, πρότερον οὐ λαὸν ὄντα, ἀλλ' ἀπωσμένον· ἢ ὃν ἐδημιούργησε.

Τὸ δὲ, ἀναγγελήσεται τῷ Κυρίῳ, τινὲς ἄλλως ἡρμήνευσαν, εἰπόντες ὅτι προφητεία τοῦτό ἐστι, περὶ τῶν ἐν Ἱεροσολύμοις ζητησάντων ἰδεῖν τὸν Ἰησοῦν Ἑλλήνων. Φησὶ γὰρ ὁ εὐαγγελιστὴς Ἰωάννης, ὅτι *Οὗτοι προσῆλθον Φιλίππῳ, ὄντι ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν λέγοντες, Κύριε, θέλομεν ἰδεῖν τὸν Ἰησοῦν. Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ, ἔρχεται Ἀνδρέας καὶ Φίλιππος καὶ λέγουσι τῷ Ἰησοῦ· ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς, εἶπεν, Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου.* Ἰδοὺ τοίνυν ἀνηγγέλη τῷ Χριστῷ παρὰ Jn 12.21-23
τῶν ἀποστόλων ἡ γενεὰ ἐκείνη, τουτέστιν, οἱ Ἕλληνες, οἱ ἐρχόμενοι πρὸς αὐτὸν, προοίμιον ὄντες πάντων τῶν ἐξ ἐθνῶν ἐληλυθότων.

22 κβʹ
1α Ψαλμὸς τῷ Δαυίδ.

Ἐκ προσώπου τῶν ἐθνῶν τὸν παρόντα ψαλμὸν τὸ θεῖον Πνεῦμα τῷ Δαυὶδ ὑπηγόρευσε.

1β Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.

Αὐτὸς γὰρ ἐν τῷ Εὐαγγελίῳ φησὶν, *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός*. Ὡς πρόβατα οὖν, πλανωμένους ἐπὶ τόπους ἀπωλείας τοὺς ἐξ ἐθνῶν εὗρε, καὶ εἰς μάνδραν ἤγαγε, καὶ λοιπὸν ποιμαίνει. Διὸ καὶ ἕκαστος αὐτῶν εὐχαριστῶν, ἀπαγγέλλει τὰς εὐεργεσίας αὐτοῦ, λέγων, ὁ Κύριος ποιμαίνει με, καὶ οὐδέν με λοιπὸν ἐπιλείψει τῶν ἐπιτηδείων. Jn 10.11

Ἰστέον δὲ, ὅτι τὰ πάνυ ἐγνωσμένα χωρὶς ἄρθρου πολλάκις ἐκφέρονται.

2α Εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν.

Ἐκεῖ με, φησὶ, κατεσκήνωσεν, ὅπου τόπος χλόης. Ἐπέμεινε δὲ τῇ τροπῇ τοῦ ποιμαίνειν· χλόη γὰρ καὶ ὕδωρ, εὐθηνία ποιμνίου. Τοῦτο δὲ βούλεται δηλοῦν, ὅτι ἐν ἀπολαύσει νομῆς με κατέστησε.

Καὶ ἄλλως δὲ, τόπος μὲν χλόης, ἡ Ἐκκλησία· χλόη δὲ, οἱ πιστοὶ, ἀνθοῦντες κατ' ἀρετήν. Ἢ καὶ χλόην, τὴν τῶν Χριστιανῶν πίστιν νοήσεις, νεάζουσαν ἀεί· ἡ γὰρ τῶν Ἑλλήνων, ὡς χόρτος ἐγήρασε, καὶ ἀπεξηράνθη.

2β Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με.

Τοῦτο, διὰ τὸ λουτρὸν τοῦ βαπτίσματος· διὰ τοῦ τοιούτου γὰρ ὕδατος ῥυπτόμενοι, ῥίπτομεν τὸν πόνον καὶ τὸ βάρος τῆς ἁμαρτίας, καὶ λοιπὸν ἀναπαυόμεθα. Διὸ καὶ ὁ Κύριος ἔλεγε, *Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*. Mt 11.28

Ἢ καὶ ἄλλως· ὕδωρ, τὸ ζωηρὸν νᾶμα τῆς τοῦ Χριστοῦ διδασκαλίας, ὡς προειρήκαμεν εἰς τὸν πρῶτον ψαλμὸν, τὸ, *παρὰ τὰς διεξόδους τῶν ὑδάτων*, Ps 1.3
ἑρμηνεύοντες.

3α Τὴν ψυχήν μου ἐπέστρεψεν.

Ἀπὸ τῆς πλάνης τῶν εἰδώλων.

3β Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης.

Δικαιοσύνην ἐνταῦθα, τὴν καθόλου λέγει, τὴν ἐμπεριέχουσαν πάσας τὰς ἀρετάς· τρίβους δὲ ταύτης, τὰς μερικὰς ἀρετὰς, διότι φέρουσιν εἰς αὐτήν. Αὐτὸς γὰρ ἐνανθρωπήσας, ἔτεμε ταύτας, καὶ βαδίσας, ὑπέδειξεν ἔργῳ καὶ λόγῳ, καθοδηγήσας ἡμᾶς.

3γ Ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

1β[3] οὖν MSB : *γάρ* PCFV.
2α Add. [MP in marg.]BV: Τόπος μὲν χλόης, ἡ πρακτικὴ ἀρετὴ, ὕδωρ δὲ ἀναπαύσεως, ἡ θεωρητικὴ φιλοσοφία. : om. CSF.

Διὰ τὸ κληθῆναί με Χριστιανὸν, ἢ ἵνα μὴ βλασφημῆται τὸ ὄνομα αὐτοῦ δι' ἀτόπων | πράξεων παρὰ τοῖς ἀπίστοις. Isa 52.5

4α Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ.

Σκιά ἐστι θανάτου, πόνος κινδύνου παντὸς, οἷα ἐοικὼς θανάτῳ, διὰ τὴν πικρίαν τῆς ἀλγηδόνος· σκιὰ μέντοι, διὰ τὴν ὁμοίωσιν, κακὰ δὲ, οἱ πειρασμοί. Σύνεστι δὲ πᾶσι τοῖς ἀληθῶς Χριστιανοῖς ὁ Κύριος· αὐτοῦ γὰρ ὁ λόγος, *Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος.* Mt 28.20

4β Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.

Ῥάβδος μὲν, ἡ παιδευτικὴ τῶν σφαλλομένων, βακτηρία δὲ, ἡ ὑπερειστικὴ τῶν ὀλιγοψυχούντων· τουτέστι, καὶ ἁμαρτόντα ἐπαίδευσας, καὶ πεπονηκότα ὑπεστήριξας, καὶ δι' ἀμφοτέρων ὠφέλησας. Ἔστι δὲ ἡ σύνταξις οὕτως· αὗταί με παρεκάλεσαν, ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου. Παρεκάλεσαν δὲ, ἀντὶ τοῦ, ἐνουθέτησαν· ὁ γὰρ νουθετῶν, παρακαλεῖ καὶ ἕλκει πρὸς τὸ συμφέρον.

Τινὲς δὲ ῥάβδον καὶ βακτηρίαν, τὸν σταυρὸν ἐκάλεσαν, ὡς ἐκ δύο τμημάτων συγκείμενον, ὧν τὸ μὲν ὀρθὸν, βακτηρίαν, δι' ἧς ὠρθώθημεν, κείμενοι ἐν πλάνῃ, τὸ δὲ πλάγιον, ῥάβδον, δι' ἧς ἔπληξε, καὶ κατήραξε τοὺς δαίμονας· πλαγίως γὰρ οἱ στεῤῥῶς πλήττοντες τὴν πληγὴν καταφέρουσι. Προταγῆναι δέ φασι τὴν ῥάβδον, διότι πρῶτον διὰ τοῦ σταυροῦ καθεῖλε τὸν τύραννον, εἶτα διὰ τοῦ αὐτοῦ καὶ ἡμᾶς ἐῤῥύσατο· ὡς εἶναι τὴν ἑρμηνείαν, ὅτι ὁ σταυρός σού με παρεκάλεσεν εἰς εὐσέβειαν.

5α Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεναντίας τῶν θλιβόντων με.

Οὐ μόνον με, ὡς προεῖπον, εὐηργέτησας, ἀλλὰ καὶ τρυφὴν πνευματικὴν ἐχαρίσω· τοῦτο γὰρ νῦν ἡ τράπεζα βούλεται, καὶ ταύτην ἐνώπιον τῶν ἐχθρῶν μου, ὡς ἀνιᾶσθαι βλέποντας. Ἢ ἐξεναντίας, ἀντὶ τοῦ, τὸ ἐναντίον οὗπερ οὗτοι βούλονται· καὶ γὰρ αὐτοὶ μᾶλλον ἀεὶ ἀνιᾶν με σπεύδουσιν.

Ἢ τράπεζαν λέγει, τὴν ἀπόλαυσιν τῶν μελλόντων ἀγαθῶν, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Ἢ καὶ τὴν τοῦ θυσιαστηρίου τράπεζαν, ἐφ' ἧς πρόκειται ὁ δεῖπνος ὁ μυστικός.

5β Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου.

Τῷ τοῦ πνευματικοῦ χαρίσματος· κεφαλὴν δὲ, τὸν νοῦν οἰητέον, ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον. Τὸ χάρισμα γὰρ τοῦ Πνεύματος ἱλαρύνει καὶ πιαίνει τὸν νοῦν.

Add. [MP in marg]BV: [4α] Σκιὰ θανάτου, ὁ παρὼν κόσμος, ὥσπερ γὰρ ὁ θάνατος χωρίζει τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, οὕτω καὶ ὁ παρὼν κόσμος χωρίζει τὸν φιλόκοσμον ἀπὸ τοῦ Θεοῦ· εἴ τίς δέ ἐστι μετὰ τοῦ Θεοῦ, καὶ ὁ Θεὸς μετ'αὐτοῦ ἐστιν. [4β] Ῥάβδος μὲν, ἡ κρίσις τοῦ Θεοῦ, βακτηρία δὲ, ἡ πρόνοια αὐτοῦ, αἳ παρακαλοῦσιν εἰς σωτηρίαν. 4β3 ἁμαρτόντα MSCF : ἁμαρτάνοντα PBV.

Ἢ τὸ χρῖσμα τοῦ βαπτιστικοῦ ἐλαίου, ἢ τὸ τοῦ μύρου προαναφωνεῖ, ἐφ᾽ ὧν ἀπὸ τῆς κεφαλῆς, ὅλον τὸν ἄνθρωπον νοήσομεν.

5γ Καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.

Τὸ πόμα τῶν εὐαγγελικῶν λόγων, μεθύσκον μέ ἐστιν. Ἔκστασιν γὰρ ἐμποιεῖ τοῦ προτέρου φρονήματος, ὡς κρατῦνον κατὰ τῶν ἐχθρῶν.

Ἢ καὶ ποτήριον, τὸ τῆς ἀναιμάκτου θυσίας.

6α Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Καταδιώξει, ἀντὶ τοῦ, ἕψεται, οὕτω δηλονότι πορευομένῳ, καὶ τὴν πλάνην φεύγοντι. Ἢ καταδιώξει, ἀντὶ τοῦ, ἐκζητήσει με, καὶ οὐκ ἀποστήσεται.

6β Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.

Καταδιώξει δέ με, καὶ τὸ κατοικεῖν ἐν τῇ σκέπῃ τοῦ Κυρίου, περιφρουρούμενον. Ἢ οἶκον Κυρίου λέγει, τὴν Ἐκκλησίαν καὶ συναγωγὴν τῶν πιστῶν, ἐν ᾗ οἰκεῖ Κύριος, ὀπτανόμενος τοῖς ἀξίοις, τουτέστι, καὶ ἐλέους ἀξιωθήσομαι, καὶ φρουρηθήσομαι, καὶ πιστὸς μενῶ. Ἢ καὶ ἄλλως, τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, ἔσται μοι εἰς μακρότητα ἡμερῶν, | ἤγουν δι᾽ ὅλου τοῦ βίου.

23 κγʹ

1α Ψαλμὸς τῷ Δαυίδ· τῆς μιᾶς σαββάτων.

Ὁ ψαλμὸς οὗτος, τῆς μιᾶς σαββάτων ἐστὶν, ἤτοι τῆς ἡμέρας καθ᾽ ἣν ὁ Χριστὸς ἀνέστη, περὶ αὐτῆς προαγορευθεὶς, ἣν καὶ οἱ εὐαγγελισταὶ, μίαν Σαββάτων σαφῶς ἐκάλεσαν. Διεξέρχεται δὲ καὶ περὶ τῆς τοῦ Σωτῆρος ἀναλήψεως ἐν τῷ τέλει. Mt 28.1

1β Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.

Ὅτε δηλαδὴ τοῦ μνήματος ἐξαναστὰς, ἐνεφανίσθη τοῖς μαθηταῖς καὶ εἶπεν, Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Ἐξ ἐκείνης γὰρ τῆς ἡμέρας, Mt 28.18
τοῦ Χριστοῦ γέγονεν ἡ γῆ, πρότερον ὑπὸ τῶν δαιμόνων κυριευομένη. Πανταχοῦ γὰρ γῆς λοιπὸν ἀντὶ τῶν εἰδωλείων, θεῖοι ναοὶ καθιδρύθησαν, τοῦ κηρύγματος διαδραμόντος ἄχρι τῶν περάτων τῆς οἰκουμένης, ὡς προλαβόντες εἰρήκαμεν. Πλήρωμα δὲ αὐτῆς, οἱ ταύτην πληροῦντες ἄνθρωποι. Ἀπὸ δὲ τοῦ ὅλου, τοὺς πλείους ἐδήλωσεν· οὐ γὰρ πάντες τοῦ Κυρίου γεγόνασι. Τῷ μέντοι τῆς γῆς ὀνόματι, καὶ τὰς νήσους συμπεριέλαβεν, ὅτι γῆ καὶ αὗται.

1γ Ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

5 [MP in marg.]BV: Τράπεζα μὲν, ἡ πρακτικὴ ἀρετή· ἔλαιον δὲ λιπαῖνον τὸν νοῦν ὡς κεφαλὴν, ἡ θεωρία τῶν ἐν τοῖς οὖσι λόγων· ποτήριον δὲ, ἡ περὶ Θεοῦ γνῶσις· ἔλεος δὲ αὐτοῦ, ὁ ἐλεήμων Υἱὸς καὶ Θεὸς, ὃς διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ κατδιώκει ἀεὶ ἕως οὗ καταλάβῃ πάντας τοὺς σωθησομένους· οἶκος δὲ, ἡ βασιλεία αὐτοῦ, ἐν ᾗ ἀποκαθίστανται πάντες οἱ ἅγιοι· μακρότης δὲ ἡμερῶν, ἡ αἰώνιος ζωή.

Τοῦτο, τοῦ προῤῥηθέντος ἑφερμηνευτικόν· ὃ γὰρ εἶπεν ἐκεῖ γῆν, τοῦτο ἐνταῦθα οἰκουμένην, καὶ ὃ ἐκεῖ πλήρωμα, τοῦτο ἐνταῦθα κατοικοῦντας ἐν αὐτῇ.

Καὶ ἄλλως· εἰ καὶ μὴ πᾶσα καὶ πάντες τοῦ Κυρίου γεγόνασιν, ἀλλ' οὖν παρὰ τοῖς πιστεύσασι τοῦ Κυρίου ἔδοξαν· ἐπληροφορήθησαν γὰρ ὅτι αὐτὸς τούτων ποιητὴς καὶ Κύριος.

2 Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

Καὶ καινὸν οὐδέν· αὐτὸς γὰρ ἦν ὁ ταύτην ἐν ἀρχῇ θεμελιώσας· *Πάντα γὰρ*, φησὶ, *δι' αὐτοῦ ἐγένετο*. Εἶτα παραπλέκει καὶ τὸ καινὸν τῆς θεμελιώσεως, ὅτι ἐπάνω θαλασσῶν καὶ ποταμῶν ἥδρασεν αὐτήν. Τοῦτο δὲ λέγει πάντως, οὐ καθολικῶς, ἢ γὰρ ἂν, κατώτερον ἦν τὸ ὕδωρ. Ὁ δὲ Μωυσῆς κατωτέραν ἐδίδαξεν εἶναι τὴν γῆν. Δῆλον οὖν, ὅτι μερικῶς τοῦτό φησι, διότι ἐν πολλοῖς κοιλώμασι τῆς γῆς συραγγώδεσιν, ὑποτρέχουσι μέρη τινὰ τῆς θαλάσσης, ἃ καὶ θαλάσσας ἐκάλεσεν, τῷ τοῦ ὅλου χρησάμενος ὀνόματι. Καὶ ὁ Μωυσῆς γάρ φησιν ὅτι *Τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας*· περὶ γὰρ τῶν ποταμῶν, τί χρὴ καὶ λέγειν, ὅπως ὑποβρύχιοι μέχρι πολλοῦ φερόμενοι, ἀναδιδόασι; [Jn 1.3] [Gen 1.1] [Gen 1.10]

Θαυμαστὸν δὲ, πῶς οὐ συνιζάνει τὰ τηλικαῦτα βάρη τῆς γῆς· ὄρη γὰρ ὅλα τοῖς τοιούτοις ὕδασιν ἐφήδρασται, καὶ ὅμως μένει τεθελιωμένη ἐπ' αὐτῶν, καὶ συνεχομένη μόνῳ τῷ προστάγματι τοῦ ποιήσαντος.

Ἡτοίμασε δὲ, ἀντὶ τοῦ, ἐκόσμησε.

3 Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

Τοῦτο, περὶ τῶν ἱερέων, οἶμαι, προηγόρευται, διαγράφον οἵους αὐτοὺς εἶναι χρή. Καὶ ὄρος μὲν Κυρίου νοήσεις, τὸν καθολικὸν ἑκασταχοῦ ναὸν, διὰ τὸ ὑπερανεστηκὸς καὶ διάδηλον, καὶ τὸ περιπνεῖσθαι ταῖς ἀντιπνοίαις τῶν ἐχθρῶν τῆς πίστεως· τόπον δὲ ἅγιον, τὸν ἐνώπιον τοῦ θυσιαστηρίου. Ὅρα δὲ τῆς λέξεως τὴν ἀκρίβειαν· ἀναβήσεται γὰρ, εἶπε, διότι πρὸ τῆς εἰσόδου, βαθμίδες τινὲς εἰώθασι κατασκευάζεσθαι.

Τινὲς δὲ, ὄρος μὲν Κυρίου λέγουσι, τὸ ὕψος τῶν ἀρετῶν, ἃς ὁ Χριστὸς ἐνετείλατο διὰ τοῦ Εὐαγγελίου· τόπον δὲ ἅγιον, τὸν τῆς ἐπηγγελμένης βασιλείας τῶν οὐρανῶν.

Ἢ καὶ ἄλλως, ὄρος, τὸ ὕψος τῆς περὶ τοῦ Χριστοῦ θεολογίας, καὶ τῶν ὀρθῶν δογμάτων τῆς ἐνανθρωπήσεως αὐτοῦ.

4α Ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ. |

Εἰς ἐρώτησιν σχηματίσας ὁ προφήτης τὸ προλαβὸν ῥητὸν, εἶτα νῦν

2 [M in marg.]PBV: Χρὴ δὲ γινώσκειν, ὅτι ὁ μέγας Βασίλειος, θεμέλιον εἶναι τῆς γῆς μόνον τὸ δεσποτικὸν πρόσταγμα, λέγων, καὶ μήτε ὕδωρ, μήτε τι ἕτερον, διὰ τοῦ προκειμένου ῥητοῦ, τὴν ἐν ἀρχῇ τῆς κοσμογενείας θέσιν τοῦ ὕδατος δηλοῦσθαι φησὶν, ἐπικειμένου τῇ γῇ καὶ οἷον ἐπεωρημένου καὶ συνεχομένου καὶ μὴ ἀποῤῥέοντος· τὸ γὰρ αὐτὸ καὶ θάλασσαν καὶ ποταμὸν εἰκὸς προσαγορευθῆναι, διὰ τὸ πλῆθος, ἐπεὶ καὶ ἄβυσσον ὁ Μωυσῆς ὠνόμασεν τοῦτο διὰ τὸ βάθος· *Καὶ πνεῦμα γὰρ*, φησί, *Θεοῦ ἐπεφέρετο ἐπάνω τῆς ἀβύσσου*. Ὁ δὲ Χρυσόστομος Ἰωάννης τὸ παρὸν ῥητὸν εἰς ἐπίδειξιν μάλιστα λαμβάνει τοῦ ὑποκεῖσθαι πάσῃ τῇ γῇ δίκην θεμελίων ὕδατα.

ἀποκρίνεται. Καὶ διὰ μὲν τῶν χειρῶν, τὰς πράξεις δηλοῖ, διὰ δὲ τῆς καρδίας, τὰς ἐνθυμήσεις· ὅτι ἐκεῖνος ἀναβήσεται καὶ στήσεται, ὁ καὶ πράξεις ἀμέμπτους ἔχων, καὶ καθαρὰς ἐνθυμήσεις. Ἀθῷον γὰρ ἐνταῦθα, τὸ ἄμεμπτον, ὡς ὅγε μὴ τοιοῦτος, οὔτε ἀναβαίνει, οὔθ' ἵσταται, κἂν τοῦτο δοκῇ.

Σκόπει δὲ πῶς ἄμφω συνέζευξεν· ἑκάτερον γὰρ ἑκατέρου χωρὶς, ἀδόκιμον.

4β Ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ.

Ὃς οὐκ ἔλαβε παρὰ Θεοῦ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ματαίου, ἵνα μάταια μεταχειρίζηται· ἢ ὃς οὐκ ἐχρήσατο εἰς πονηρὰ τῇ ψυχῇ αὐτοῦ, κτισθείσῃ ἐπ' ἀγαθοῖς.

4γ Καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.

Καὶ οὐκ ἐπιώρκησεν· ὁ γὰρ ἐπιορκῶν, δολιεύεται, ἵνα ἢ ἀφεθῇ χρεωστῶν, ἢ λάβῃ μὴ χρεωστούμενος.

Τοιαῦτα εἶπε καὶ ἐν τῷ ιδʹ ψαλμῷ, καὶ ζήτει ἐκεῖ περὶ ὅρκου πλατύτερον, ἔνθα κεῖται τὸ, Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν. Ps 14.4β

5α Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου.

Χάριν δωρεὰν κατὰ τὸν παρόντα βίον, ὁ καὶ πρᾶξιν ἀγαθὸς καὶ ἐνθύμησιν καθαρὸς, καὶ τῶν ματαίων ἀφεστὼς, καὶ μὴ ἐπιορκῶν τῷ πλησίον.

5β Καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ.

Κατὰ τὸν μέλλοντα· πᾶς γὰρ, καὶ ὁ πάνυ δίκαιος, ἐλέους δεῖται παρὰ Θεοῦ. Εἰ γὰρ μὴ τὴν οἰκείαν παραμίξει συμπάθειαν, οὐ δικαιωθήσεται ἐνώπιον αὐτοῦ πᾶς ζῶν. Καὶ ἄλλως δὲ, ποῖα ἔργα ἀντάξια τῆς βασιλείας τῶν οὐρανῶν; Ps 142.2

6α Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον.

Αὕτη ἡ γενεὰ ἡ οὕτως βιοῦσα, γενεά ἐστιν ἀνδρῶν ζητούντων τὸν Κύριον, ἤτοι ἀγαπώντων· ὁ γὰρ ἀγαπῶν, ζητεῖ.

6β Ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.

Θεὸς τοῦ Ἰακὼβ, ὁ Πατὴρ ἐδόκει τοῖς Ἑβραίοις· πρόσωπον δὲ τοῦ Πατρὸς, ὁ Υἱός· Ὁ ἑωρακὼς γὰρ, φησὶν, ἐμὲ, ἑώρακε τὸν Πατέρα. Τὸν Ἰακὼβ δὲ συνεχῶς Jn 14.9
ἐν τοῖς ψαλμοῖς τίθησιν, ὡς πατέρα τῶν δώδεκα φυλῶν.

Ἢ καὶ ἄλλως, ζητούντων ἰδεῖν τὸν Θεὸν, κατὰ τὸν μέλλοντα αἰῶνα, ὅτε πρόσωπον πρὸς πρόσωπον ὄψονται αὐτὸν οἱ ἄξιοι, καθά φησι Παῦλος. 1Cor 13.12

5α[3] τῷ πλησίον MSCFV : om. PB.

6γ Διάψαλμα.

Περὶ τοῦ διαψάλματος ἱκανῶς ἐν τοῖς προοιμίοις εἴρηται τῆς παρούσης βίβλου. § 61

7α Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν.

Ἐντεῦθεν προαγορεύει καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ Σωτῆρος· εἰσάγει γὰρ τοὺς τῷ Χριστῷ διακονοῦντας ἐπὶ τῆς γῆς ἀγγέλους, συνανιόντας αὐτῷ, καὶ προάγοντας, καὶ διακελευομένους τοῖς φυλάττουσι τὴν εἰς οὐρανὸν εἴσοδον αἴρειν τὰς πύλας.

Συντάσσεται δὲ τὸ ῥητὸν οὕτως· Οἱ ἄρχοντες, ἄρατε πύλας ὑμῶν, ἤγουν οἱ ἐξουσιάζοντες τῶν πυλῶν τούτων, ἄρατε ταύτας. Ὑμῶν δὲ, ἀντὶ τοῦ, ὧν ἄρχετε. Οὐκ εἶπε δὲ, ἀνοίξατε, ἀλλ' ἄρατε παντελῶς, ἐντεῦθεν τὸ ἀχώρητον τῆς δόξης τοῦ μέλλοντος εἰσελθεῖν ἐμφαίνων· πύλας δὲ, τὴν φυλακὴν αὐτὴν οἰητέον.

7β Καὶ ἐπάρθητε, πύλαι αἰώνιοι.

Ἡ φυλακὴ ἡ αἰώνιος, διὰ τὴν ἀϊδιότητα τῶν φυλαττόντων ἀγγέλων.

Ἢ αἰώνιοι, διὰ τὸ μηδέποτε ἀνοιγῆναι. Κεκλεισμένων γὰρ αὐτῶν, κατῆλθεν εἰς γῆν, λαθὼν πάσας τὰς δυνάμεις.

7γ Καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

Βασιλεὺς τῆς δόξης λέγεται, καὶ Κύριος τῆς δόξης, ὡς ὑπερένδοξος, καὶ ὡς 1Cor 2.8
χορηγὸς αὐτῆς, καὶ ὡς βασιλεύων καὶ κυριεύων πάντων τῶν ἐνδόξων. 1Tim 6.15

8α Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; |

Ἀκούσαντες οἱ ἄρχοντες τῶν πυλῶν, ἐξηπορήθησαν, οἷα μόνον τὸν Θεὸν εἰδότες βασιλέα τῆς δόξης, ὃν ἐν τρισὶν ὑποστάσεσιν ὄντα, τὸν ὑπερουράνιον τόπον προσεδόκων οἰκεῖν. Ἄλλως τε καὶ ἡ περιβολὴ τῆς σαρκὸς ἐξέπληττε τούτους. Ὅθεν ἐρωτῶσι, καὶ αὖθις ἀκούουσι.

8β Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμοις.

Ὁ Κύριός ἐστιν ὃν οἴδατε, ὁ κραταιὸς καὶ δυνατός· εἶτα πάλιν ὁ Κύριος, ὁ δυνατὸς ἐν πολέμοις. Ἡ δὲ ἀναδίπλωσις, εἰς ἀναγνωρισμὸν αὐτοὺς ἄγει· ἅμα δὲ καὶ ἐξυμνεῖ τὴν κατὰ τοῦ τυράννου νίκην, ᾧ πολεμήσας προσβάλοντι καθεῖλε, καὶ τῷ σταυρῷ, καθάπερ δόρατι, κατηκόντισεν.

7α[4] οὐρανόν MCHN : οὐρανούς PSV.

9 Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

Οἱ ἄρχοντες τῶν πυλῶν τοῦ δευτέρου οὐρανοῦ, τουτέστι, τοῦ στερεώματος, ἀκούσαντες τὰ ῥηθέντα παρὰ τῶν προαγόντων ἀγγέλων, καὶ ἰδόντες, καὶ ὑπερευφρανθέντες διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων, προέδραμον, τὰ αὐτὰ ἐγκελευόμενοι τοῖς ἄρχουσι τῶν πυλῶν τοῦ πρώτου οὐρανοῦ, τοῦ ὑπὲρ τὸ στερέωμα.

10α Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;

Ὁμοίως ἀποροῦσι κἀκεῖνοι, καὶ τὰ αὐτὰ πυνθάνονται καὶ ἀκούουσιν·

10β Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

Ὁ δυνατὸς Κύριος, ὁ χορηγὸς τῶν δυνάμεων, ἢ δεσπότης τῶν δυνατῶν, αὐτός ἐστιν ὁ καταγγελλόμενος παρ' ἡμῶν βασιλεὺς τῆς δόξης.

Χρὴ δὲ γινώσκειν, ὡς οἱ Ἑβραῖοι καὶ τὸν παρόντα ψαλμὸν, καὶ τὸν πρὸ αὐτοῦ, τοῖς ἐν Βαβυλῶνι αἰχμαλώτοις αὐτῶν προσάπτουσιν· ἐκεῖνον μὲν, τὰ κατὰ τὴν ἐπάνοδον αὐτῶν χαρμόσυνα διηγούμενον· τοῦτον δὲ, παραμυθούμενον τὰ ἐν τῇ αἰχμαλωσίᾳ λυπηρὰ, καὶ διδάσκοντα, μὴ δυσχεραίνειν τῷ τόπῳ, οἷα πάσης γῆς τοῦ Θεοῦ οὔσης, καὶ δυναμένου παντὸς ἐν παντὶ τόπῳ εὐαρεστεῖν τῷ Θεῷ· ἐλέγχονται δὲ προδήλως καὶ ἀπὸ τῆς τάξεως· ἢ γὰρ ἂν ἐκεῖνος μετὰ τοῦτον ἐτάγη, ὡς τὰ μετὰ τὴν ἐπάνοδον τῶν αἰχμαλώτων εὐαγγελιζόμενος· ναὶ μὴν, καὶ ἀπὸ τῶν ῥητῶν· ποῦ γὰρ τὸ ἔλεος τοῦ Θεοῦ παρέμεινεν ἐν αὐτοῖς ἄχρι ζωῆς ὅλης, ὡς ὁ πρὸ τούτου λέγει ψαλμός; ποίας δὲ πύλας αἰωνίους ἔσχε τὰ Ἱεροσόλυμα, καθὼς ὁ παρών φησιν; ἵνα τ' ἄλλα παρήσωμεν.

24 κδʹ

1α Ψαλμὸς τῷ Δαυίδ.

Τινὲς λέγουσι γράψαι τὸν Δαυὶδ τουτονὶ τὸν ψαλμὸν ἱκέσιον, ἁρμοζόντα πᾶσι τοῖς ἐν ἀνάγκαις ἐπικαλουμένοις τὸν Θεὸν, καὶ διδάσκοντα πῶς δεῖ ποιεῖσθαι τὴν δέησιν· οὐδὲν δὲ κωλύει προηγουμένως ὑπὲρ ἑαυτοῦ τοῦτον ἐκφωνῆσαι, πολεμουμένου παρ' ἐχθρῶν, οἷα τὰ ἐκείνου.

1β Πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου.

Ἦρα, ὕψωσα, τῶν γηΐνων ἀποσπάσας αὐτὴν, ἀφ' ὧν οὐκ ἔστι μοι σωτηρία.

2α Ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

Ἢ εἰς τὸν παρόντα, ἢ εἰς τὸν μέλλοντα· ἢ εἰς τὸν αἰῶνα, ἀντὶ τοῦ, μέχρι πολλοῦ, καὶ ἀεί.

2β Μηδὲ καταγελασάτωσάν μου οἱ ἐχθροί μου.

Ἢ οἱ αἰσθητοὶ, ἢ οἱ νοητοί. Καταγελάσουσί μου γὰρ, εἰ νικήσουσί με.

3α Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν.

Ὑπομένοντες, | ἀντὶ τοῦ, ἀναμένοντες καὶ προσδοκῶντες· τοῦτο γὰρ ἡ λέξις ἐν πολλοῖς παρὰ τῷ Δαυὶδ βούλεται σημαίνειν, ὡς καὶ ὁ Ἀκύλας ἡρμήνευσεν. Ὁ γάρ σε βοηθὸν ἀπεκδεχόμενος, οὐ καταισχυνθήσεται.

3β Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.

Οἱ μὲν ἐκ περιστάσεως ἀνομοῦσιν, οἱ δὲ ἐκ φυσικῆς ἀσθενείας· ὅσοι δὲ μὴ διὰ ταύτας ἀνομοῦσι τὰς αἰτίας, οὗτοι διακενῆς ἀνομοῦσι, τουτέστιν, ἀνευλόγως, ὑπὸ τῆς ἄγαν κακίας ἐξαμαρτάνοντες, ὁποῖοι ἦσαν οἱ πολεμοῦντες αὐτῷ, εἴτε ὁρατοὶ, εἴτε ἀόρατοι· μάτην γὰρ ἐπολέμουν τῷ μηδὲν αὐτοὺς ἀδικήσαντι.

4 Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με.

Τὸ αὐτὸ δι' ἀμφοτέρων λέγει τῶν ῥητῶν, ὡς εἴωθε ποιεῖν ἐν πολλοῖς, ἐμφαίνων τὴν τάσιν τοῦ πόθου τῆς καρδίας. Ὁδοὶ δὲ καὶ τρίβοι, πάντα τὰ ἀρεστὰ τῷ Θεῷ, δι' ὧν βαδίζει ἀπλανῶς πρὸς Θεὸν ὁ ταῦτα πράττων. Εὔχεται δὲ παρὰ Θεοῦ διδαχθῆναι τὰ τοιαῦτα διὰ τὴν ἀκρίβειαν· οἱ γὰρ ἄξιοι, θεόθεν τὰ πρακτέα μανθάνουσι.

Τινὲς δὲ ὁδοὺς καὶ τρίβους, τὰς οἰκονομίας τῶν πραγμάτων λέγουσιν, αἷς ἡ θεία πρόνοια ἐπιπορεύεται, ζητοῦντος τοῦ προφήτου μαθεῖν, πῶς διακυβερνῶνται τὰ πάντα, ἵνα τῇ πρακτικῇ καὶ τὴν θεωρητικὴν προσλάβηται· καὶ ὁδοὺς μὲν, τὰς καθολικωτέρας, τρίβους δὲ, τὰς μερικωτέρας.

Ἄλλοι δὲ ὁδοὺς καὶ τρίβους φασὶ, τὰς ἐντολὰς, ἃς ἐν βίβλῳ μαθὼν, καὶ ἐν ἔργῳ μαθεῖν ηὔχετο, ἵνα παρὰ Θεοῦ ταύτας πράττειν ἀναγκασθεὶς, καὶ πείρᾳ γνοίη ἃ λόγῳ μόνῳ ἐγίνωσκεν.

5α Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου.

Ἵνα μὴ πλανῶμαι λογισμοῖς ἀνθρωπίνοις, ἕτερα ἀνθ' ἑτέρων αἱρούμενος.

5β Καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου.

Καὶ μὴν ᾔδει αὐτὸν, Θεὸν αὐτοῦ· ἀλλ' ἔργῳ καὶ τοῦτο ζητεῖ μαθεῖν· μαθήσεται

2β[1] καταγελασάτωσάν μου PCH[TRa] A(corr.) : καταγελασάτωσάν με MS.

δὲ, ἐν τῷ ῥυσθῆναι τῶν πολεμίων. Τότε γὰρ ἀναντίῤῥητος ἡ ἀπόδειξις, ὅτι ἐπ' αὐτῷ μόνῳ πεποιθὼς, ἐῤῥύσθη παραδόξως, μηδενὸς ἀνθρώπων βοηθήσαντος.

5γ Καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

Ἔργῳ, καθὼς εἶπον, δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς, ὁ σῴζων με, καὶ ὅτι σὲ ὄντως ἀνέμεινα, καὶ προσεδόκησα βοηθὸν, καὶ οὐ διεψεύσθην.

Τὸ δὲ, ὅλην τὴν ἡμέραν, ἀντὶ τοῦ, διαπαντὸς τίθησιν ἐν πολλοῖς ὁ προφήτης, ὥσπερ καὶ τὸ, εἰς τὸν αἰῶνα. Καὶ ἄλλως δὲ, ὅλην τὴν ἡμέραν, τὴν ὅλην αὐτῶν ζωὴν λέγουσιν Ἑβραῖοι· τῆς γὰρ νυκτὸς ὑπνοῦντες, οὐ δοκοῦσι ζῆν.

Ἀλλ' οὕτως μὲν καθ' ἱστορίαν ἡρμήνευται τὰ ῥητά. Δύνανται δὲ καὶ περὶ τοῦ Χριστοῦ νοεῖσθαι, κατ' ἀναγωγὴν, οἷα προϊδόντος τοῦ προφήτου τὴν ἐναν-
θρώπησιν αὐτοῦ τοῖς πνευματικοῖς ὀφθαλμοῖς, καὶ παρακαλοῦντος μαθεῖν
τρανότερον, ὁποίας ὁδοὺς καὶ τρίβους, σαρκωθεὶς ἔλθηται. Ἀλήθεια δὲ τοῦ
Χριστοῦ, ἡ διδασκαλία αὐτοῦ, ἣν καὶ αὐτὴν εὔχεται μαθεῖν· φησὶ γὰρ ἐν τοῖς Jn 14.6
Εὐαγγελίοις, Ἐγώ εἰμι ἡ ἀλήθεια· καὶ πάλιν, Ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν. Καὶ Jn 16.7
δίδαξόν με, φησὶν ὁ προφήτης, ταύτην. Εἶτα, στικτέον, καὶ ἀπὸ ἄλλης ἀρχῆς τὸ
ἐπαγόμενον ἀναγνωστέον, οἷον ταῦτά με δίδαξον, καὶ γὰρ σὺ εἶ ὁ Θεὸς ὁ Σωτήρ
μου, καὶ πεπληροφόρημαι περὶ τούτου. Ἰησοῦς γὰρ, Σωτὴρ ἑρμηνεύεται, καὶ Mt 1.21
ὄντως, ἔσωσεν αὐτὸν, εἰς ᾅδου | κατελθὼν ὁ Σωτὴρ, ἐξαγαγὼν ἐκεῖθεν. Σὲ οὖν, φησὶ, καὶ ἀεὶ προσδοκῶ, καὶ οὐκ ἀπελπίζω.

6 Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνος εἰσίν.

Μνήσθητι, ὅτι οἰκτίρμων εἶ καὶ ἐλεήμων ἀπὸ τοῦ αἰῶνος, τουτέστιν, ἀεὶ, καὶ κατὰ φύσιν. Τὰ ἐλέη δὲ, ἀδιαφόρως κατὰ αἰτιατικὴν πτῶσιν τεθείκασιν οἱ ἑρμηνεῖς, ἢ ὡς καὶ τῆς Ἑβραϊκῆς λέξεως ἐκείνης τοιαύτην ἐχούσης πτῶσιν, ἢ καὶ ὅτι οἱ παλαιοὶ ἄδειαν εἶχον ἐναλλάττειν τὰς πτώσεις, ὡς ἐν πολλοῖς εὑρήσομεν. Μνήσθητι δὲ, οὐχ ὡς ἐπιλαθόμενος, ἀλλ' ὡς δοκῶν ἡμῖν ἐπιλανθάνεσθαι τούτων, ὅτε βραδύνεις πρὸς τὴν ἡμετέραν ἀντίληψιν.

7α Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς.

Ὅρα ὅπως καὶ ὑπὲρ τῶν ἐν νεότητι ἁμαρτημάτων ἱκετεύει, καὶ ὑπὲρ τῶν ἐν ἀγνοίᾳ, ὅτε λοιπὸν τέλειος ἐγένετο, εἰ καὶ ἡμεῖς οὐδὲν τὰ τοιαῦτα λογιζόμεθα. Διατί δὲ μὴ καὶ περὶ τῶν ἐν γνώσει παρεκάλεσεν; Ὅτι ἐκεῖνα μὲν, προσευχῇ μόνῃ ἀφανίζονται, ταῦτα δὲ, καὶ τῆς πρακτικῆς μετανοίας δέονται.

7β Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ.

7α[4] περὶ τῶν ἐν γνώσει MPHV : τῶν ἐν γνώσει SC.

Ὥσπερ τὸ ἔλεός σου πολὺ, οὕτως ἐν πολλῷ ἐλέει μνήσθητί μου· ἢ ἐν τῷ ἐλέει σου μνήσθητί μου, τουτέστιν, ἵνα ἐλεήσης, οὐχ ἵνα κολάσης.

7γ Ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.

Διότι χρηστὸς εἶ φύσει, καὶ εἰ παρὰ φύσιν ἔρχῃ πρὸς τὸ κολάζειν διὰ τὰς ἁμαρτίας ἡμῶν.

8α Χρηστὸς καὶ εὐθὴς ὁ Κύριος.

Χρηστὸς μὲν, ὡς ἐλεῶν· εὐθὴς δὲ, ὡς δίκας ἀπαιτῶν τῶν πλημμελημάτων· εὐθὴς γὰρ νῦν, ὁ ὀρθὸς ἐν τῷ κρίνειν.

8β-9α Διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ, ὁδηγήσει πραεῖς ἐν κρίσει.

Ἐπεὶ καὶ ἐλεήμων ἐστὶ καὶ ἀῤῥεπὴς, νομοθετήσει μὲν, τουτέστι, νόμῳ ὑποθήσει, καὶ τιμωρήσεται τοὺς ἁμαρτάνοντας ἐν ὁδῷ, ἤγουν ἐν βίῳ· τοῦτον γὰρ ὁδὸν καλεῖ νῦν, διὰ τὸ πάντας δι' αὐτοῦ φέρεσθαι. Ὁδηγήσει δὲ τοὺς πραεῖς, ἵνα μὴ πλανηθῶσιν· ἐν κρίσει δὲ, τουτέστι, μετὰ διακρίσεως, ὡς ἀξίους χειραγωγίας.

Νοεῖται δὲ καὶ ἄλλως τὸ, νομοθετήσει, ὅτι νόμους θήσει τοῖς ἁμαρτάνουσιν· ἀδιάφορος δὲ κἀνταῦθα ἡ σύνταξις. Εὐθυτάτου δὲ τὸ νομοθετεῖν, ὥστε διορθωθῆναι, καὶ μὴ κολασθῆναι τὸν ἁμαρτάνοντα.

Ταῦτα δὲ καὶ εἰς Χριστὸν ἀναχθήσονται, ὃς τοῖς ἁμαρτάνουσιν ἐνομοθέτησε διὰ τῆς ὁδοῦ ἧς αὐτὸς ὥδευσεν, ὥστε ταύτην ὁδεύοντας, μηκέτι ἐξαμαρτάνειν· καὶ ὡδήγησε τοὺς πραεῖς ἐν τῷ μακαρίσαι αὐτοὺς, καὶ οὕτω παραθῆξαι· *Μακάριοι γὰρ*, φησὶν, *οἱ πραεῖς*. Mt 5.5

9β Διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

Τοῦτο, σαφῶς περὶ τοῦ Χριστοῦ καὶ τῶν μαθητῶν αὐτοῦ· πραεῖς μὲν γὰρ οὗτοι γεγόνασιν, ὡς μὴ ἀντιλέγοντες αὐτῷ. *Μάθετε γὰρ*, φησὶν, *ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ*. Ἐδίδαξε δὲ αὐτοὺς τὰς ὁδοὺς τῆς ἑαυτοῦ Mt 11.29
πολιτείας, ὡς αὐτόπτας καὶ ἑπομένους αὐτῷ.

10 Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.

Ὁδοὺς ἐνταῦθα, μόνας τὰς νομικὰς ἐντολὰς νοήσομεν, αἵτινες τοῖς ἐρευνῶσι τὸν γραπτὸν νόμον, ἔλεος καὶ ἀλήθειά εἰσι· φαίνονται γὰρ, ὅτι ἐλεῶν τοὺς ἀνθρώπους ὁ Θεὸς ἐνομοθέτησε ταύτας, καὶ ἀληθεύουσιν ἐφ' οἷς λέγουσιν, ὡς καὶ παρὰ ἀληθινοῦ Θεοῦ | ταγεῖσαι. Τὸν νόμον δὲ ἐκάλεσε, καὶ διαθήκην καὶ

8α[2] πλημμελημάτων MPSCV : πλημμεληθέντων H. 9α[10] ὁδοῦ ἧς MPSCBFH : ὁδοῦ ἣν V.

μαρτύρια· διαθήκην μὲν, ὅτι διέθετο αὐτὸν τοῖς υἱοῖς Ἰσραὴλ, μαρτύρια δὲ, ὅτι διεμαρτύρατο ἐν αὐτῷ, καθὼς ἐν τῷ ιη´ ψαλμῷ προεξηγησάμεθα. Ps 18.8α

Ἐπὶ δὲ τοῦ Χριστοῦ, σαφὴς ἔσται ἡ ἐπίλυσις· πᾶσαι γὰρ αἱ πορεῖαι τῆς ἐπὶ γῆς ἀναστροφῆς αὐτοῦ, ἔλεος καὶ ἀλήθειά εἰσι τοῖς ἐκζητοῦσι τὴν καινὴν διαθήκην αὐτοῦ, δηλαδὴ τοῖς πιστεύουσι τῇ διδασκαλίᾳ αὐτοῦ, καὶ ταῖς ὑπὲρ αὐτοῦ προφητικαῖς μαρτυρίαις· ἐν ὅλῃ γὰρ τῇ πολιτείᾳ αὐτοῦ εὐεργετῶν ἠλέει, καὶ διδάσκων ἠλήθευεν.

11 Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι.

Περιττὸς ὁ καί σύνδεσμος ἐνταῦθα· ἰδίωμα γὰρ καὶ τοῦτο τῶν Ἑβραίων ἐν πολλοῖς. Φησὶν οὖν, ὅτι διότι ὀνομάζῃ ἐλεήμων καὶ χρηστὸς, διὰ τοῦτο ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, τῇ πεπαυμένῃ πάντως· πολλὴ γάρ ἐστιν, ὅσον εἰς σύγκρισιν ἧς χρεωστῶ καθαρότητος.

Καὶ πρὸς τὸν Χριστὸν δὲ λέγοιτ' ἂν, ὅτι ὀνομάζεται ἀμνὸς, αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Jn 1.29

12α Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον;

Σπάνιος μέν· εὑρισκομένῳ δὲ, οἷαι αἱ ἀμοιβαὶ ἐπαγγέλλονται, ἄκουσον.

12β Νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ἡρετίσατο.

Διάφοροι μὲν αἱ ὁδοὶ τῶν σῳζομένων, τουτέστιν, αἱ πολιτεῖαι· ἡ μὲν γὰρ, κοινοβιακὴ, ἡ δὲ, ἀναχωρητική· καὶ ἡ μὲν, πρακτικὴ, ἡ δὲ, θεωρητικὴ, καὶ ἄλλη, ἄλλως ἔχουσα· πᾶσαι δὲ φέρουσιν εἰς Θεόν. Ὁποίαν δ' ἂν ὁ φοβούμενος τὸν Θεὸν ἕληται, ἐν ταύτῃ ὁ Θεὸς διδάσκαλος αὐτῷ γενήσεται τῶν πρακτέων, ὡς καὶ ἀνωτέρω δεδηλώκαμεν. Φόβον δὲ Θεοῦ, μὴ τὸν ἁπλῶς νοήσῃς, ἀλλὰ τὸν ἐγκάρδιον. Ps 24.4

13α Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται.

Ἀποπτᾶσα τοῦ σώματος, ἐν ἐκείνοις ἔσται τοῖς ἀγαθοῖς, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε. 1Cor 2.9

13β Καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.

Ἐπειδὴ εὐκταία ἦν τοῖς Ἑβραίοις ἡ παιδοποιΐα, καὶ ταῖς ταύτης ἐπαγγελίαις εἰς ἀρετὴν προτρέπεται, ὑπισχνούμενος ὅτι καὶ παῖδας ἕξει κληρονόμους, ἧς εἶχε γῆς.

Νοεῖται δὲ σπέρμα, καὶ ἡ διδασκαλία, καὶ διὰ ταύτης πάλιν οἱ μαθητευθέντες· λέγει γὰρ, ὡς οὐ μόνον αὐτὸς σωθήσεται, ἀλλὰ καὶ οἱ κατὰ πνεῦμα παῖδες αὐτοῦ τὴν τῶν πραέων κληρονομήσουσι γῆν. Mt 5.5

14α Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν.

Ἰσχὺς, τεῖχος.

14β Καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

Ὁ νόμος αὐτοῦ δηλώσει αὐτοῖς, ὅτι κραταίωμα τῶν τοιούτων γίνεται ὁ Θεὸς· οὕτω γὰρ ὁ νόμος ἐπαγγέλλεται.

Ἢ διαθήκην, τὴν ἁπλῶς θεόθεν ὑποθήκην νόει, δηλοῦσαν τὸ πρακτέον· οὐ μόνον δὲ τὸ πρακτέον, ἀλλὰ καὶ θεῖα μυστήρια, ὃ καὶ ὁ νόμος ποιεῖ τοῖς καθαρῶς μετερχομένοις αὐτόν.

15 Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

Οἱ τῆς ψυχῆς ὀφθαλμοὶ, οὓς ἀεὶ τεταμένους, φησὶν, ἔχω πρὸς Θεὸν, οἷα εἰδὼς, ὅτι μόνος αὐτὸς ἐκσπάσει τοὺς πόδας μου ἀπὸ τῶν βρόχων καὶ τῆς ἐνέδρας τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, εἰ καὶ ἐμπαρῶσιν.

16α Ἐπίβλεψον ἐπ᾿ ἐμὲ, καὶ ἐλέησόν με.

Πῶς ἐπιβλέπει ὁ Θεὸς, εἰρήκαμεν προλαβόντες ἐν ἄλλοις ψαλμοῖς. Ps 10.4β

16β Ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.

Καὶ μὴν πολλοὺς εἶχεν ἀδελφούς· | ἀλλὰ μονογενῆ πολλάκις, τὸν μεμονωμένον καλεῖ, ὡς μόνον γενόμενον· τοιοῦτον γὰρ ἦν τὸ, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. Πτωχὸς δὲ ἦν, ὡς γυμνὸς ἀνθρωπίνης βοηθείας. Ps 21.21

17α Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν.

Πᾶσα γὰρ θλῖψις, εἴτε ἀπὸ ἀνθρώπων πονηρῶν, εἴτε ἀπὸ λογισμῶν ἐμπαθῶν, κατὰ τῆς καρδίας φέρεται.

17β Ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.

Τῶν περιστάσεων, αἵ με βιάζουσιν.

18α Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου.

Ταπείνωσιν, αἰσθητῶς μὲν, τὴν σωματικὴν ἀσθένειαν, πρὸς τηλικαύτην δύναμιν

18α [M in marg.]B: Ἢ καὶ ἑτέρως· ἴδε τὴν ἀσθένειάν μου, ἣν πέπονθα ταπεινωθεὶς, ἤτοι καταπονηθεὶς ὑπὸ τοῦ ἐχθροῦ· ἔτι δὲ καὶ τὸν κόπον ὃν ὑφίσταμαι, μοχθῶν εἰς τὸ ἐκφυγεῖν τὴν αὐτοῦ τυραννίδα καὶ μὴ δυνάμενος διὰ τὸ πάντη κατακυριευθῆναι, καὶ διὰ τοῦτο ὡς ἐλεήμων ἄφες μοι τὰ πλημμελήματα, τυραννηθέντι καὶ ἀσθενήσαντι. : om. PCSFV.

τῶν ἐχθρῶν, νοητῶς δὲ, τὴν ψυχικὴν συντριβήν. Καὶ κόπον πάλιν, αἰσθητῶς μὲν, τὸν σωματικὸν, ὃν ὑφίστατο φεύγων καὶ ἀγωνιῶν, νοητῶς δὲ, τὸν ψυχικὸν, ἐξ ἐγκρατείας καὶ στάσεως καὶ χαμευνίας καὶ λοιπῆς ἀρετῆς.

18β Καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.

Τὰς προλαβούσας, ὧν ἀπεσχόμην. Ὅρα δὲ, ὅπως οὐ χρεία μόνον ἀποχῆς, ἀλλὰ καὶ ταπεινώσεως καὶ κόπου πρὸς τελείαν ἄφεσιν.

19α Ἴδε τοὺς ἐχθρούς μου ὅτι ἐπληθύνθησαν.

Εἴτε τοὺς αἰσθητοὺς εἴπῃς, εἴτε τοὺς νοητούς.

19β Καὶ μῖσος ἄδικον ἐμίσησάν με.

Οὔτε γὰρ τοὺς ὁρατοὺς ἠδίκησα, μηδὲν αὐτοῖς ἐπηρεάσας, οὔτε τοὺς ἀοράτους· ἁμαρτήσας γὰρ, οὐ τοὺς δαίμονας, ἀλλ' ἐμαυτὸν ἠδίκησα. Λοιπὸν οὖν, ἀνάφορμον τὸ κατ' ἐμοῦ μῖσος, καὶ ἐκ μόνου φθόνου.

20α Φύλαξον τὴν ψυχήν μου.

Ἵνα μὴ περιπέσῃ αὐτοῖς. Διὰ δὲ τῆς ψυχῆς, καὶ τὸ σῶμα νόει· ταύτῃ γὰρ τοῦτο διεξάγεται.

20β Καὶ ῥῦσαί με.

Εἴποτε περιπέσω. Ἢ καὶ ἄλλως, φύλαξον μὲν τὴν ψυχήν μου ἀπὸ τῶν ἀοράτων ἐχθρῶν, ῥῦσαι δέ με ἀπὸ τῶν αἰσθητῶν, οἳ τοῦ σώματός μου κυριεῦσαι σπεύδουσι.

20γ Μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

Εἰδὼς, φησὶν, ὅτι πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν, ὡς ἐν προοιμίοις εἴρηκα τοῦ ψαλμοῦ, μηδ' ἐγὼ καταισχυνθείην, διότι καὶ αὐτὸς ἐπὶ σὲ Ps 24.3α
ἤλπισα.

21 Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.

Περὶ παρελθόντος πράγματος λέγει· καὶ ἄλλοτε γὰρ, φησὶ, σὲ ὑπομείνας, καὶ μὴ καταισχυνθεὶς, πολλοὺς εἰς τὸν ὅμοιον ἐμοὶ ζῆλον ἐπεσπασάμην, ἐκ τῶν ἐμῶν πεισθέντας, ὅτι σὺ εἶ μόνος ἀψευδὴς βοηθὸς, οἳ καὶ ἐκολλῶντό μοι, τουτέστι,

19β[2] αὐτοῖς MPSCBF : αὐτούς HV. 20β[2] εἴποτε MSCBF : μήποτε PV. 21[3] ἐμοί MSCBF : om. P.

συνεδεσμεύοντο νόμῳ φιλίας, ἐξεχόμενοί μου, διότι σε ὑπέμεινα, φρονήσας ὀρθῶς. Τίνες δὲ οὗτοι; Ὅσοι ἄκακοι, τουτέστιν, ἀγαθοὶ καὶ εὐθεῖς, εἴτουν δίκαιοι· καὶ διὰ τοὺς τοιούτους οὖν, ἐπάκουσόν μου, ἵνα δι' ἐμοῦ καὶ ἄλλοι σοι εὐαρεστήσωσι.

22 Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

Ἱκανῶς ὑπὲρ ἑαυτοῦ δεηθεὶς, καὶ ὑπὲρ τοῦ λαοῦ παντὸς εὔχεται, συμπάσχοντος καὶ αὐτοῦ. Οὐ μόνον γὰρ ὅτε βασιλεύοντι ἐπέθεντο οἱ ἀλλόφυλοι συνέπασχεν ὁ λαὸς, εἰ τότε δώσομεν εἰρῆσθαι τὸν ψαλμὸν, ἀλλὰ καὶ ἐπὶ Σαοὺλ, ὅτε Δαυὶδ ἔφευγε, καὶ ἐπὶ Ἀβεσαλὼμ, πολλοὶ δι' αὐτὸν ἐθλίβοντο, οὓς καὶ Ἰσραὴλ ἐκάλεσεν, ὡς ἀπ' ἐκείνου καταγομένους. Οὐκ ἄλογον δὲ καὶ ἑαυτὸν εἰπεῖν Ἰσραὴλ, ὡς ἐκεῖθεν ἕλκοντα τὸ γένος.

Εἰ βούλῃ δὲ, καὶ εἰς Χριστὸν ἀνάξεις τὴν εὐχὴν, ὥστε βοηθῆσαι τοῖς δι' αὐτὸν θλιβομένοις παρὰ τῶν ἐχθρῶν τῆς πίστεως· προειρήκαμεν γὰρ, ὅτι ὀρθῶς ἂν εἶεν Ἰσραὴλ, οἱ τὸν Χριστὸν ὁρῶντες Χριστιανοὶ διὰ πίστεως· Ἰσραὴλ γὰρ Ps 21.24γ
ἑρμηνεύεται, νοῦς ὁρῶν Θεόν. |

25 κε´
1α Ψαλμὸς τῷ Δαυίδ.

Τοῦτον ἔγραψε τὸν ψαλμὸν ἐπὶ Σαοὺλ, ὅτε φεύγων, παρ' ἀλλοφύλοις διέτριβεν. 1Rg 27-31
Ἁρμόζει δὲ κατά τινα ῥητὰ καὶ τοῖς ἐν Βαβυλῶνι αἰχμαλώτοις· δικαιολογεῖται δ' ἐν προοιμίοις, εἰδὼς δίκαιον τὸν Θεόν.

1β Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην.

Κρῖνον, ἤγουν ἐξέτασον ἔτι, καίτοι προειδὼς ἅπαντα· θαῤῥῶ γὰρ, ὅτι ἐν ἀκακίᾳ μου ἀνεστράφην ἄχρι νῦν. Ἀκακίαν δὲ λέγει, τὴν ἀνεξικακίαν καὶ μακροθυμίαν. Πολλὰ γὰρ παρὰ τοῦ Σαοὺλ, φησὶν, ἀδικηθεὶς, οὐδὲν αὐτῷ ἀνταπέδωκα, καίτοι δυνάμενος ἔστιν ὅτε, ὡς ἡ τῶν Βασιλειῶν ἀνέγραψε βίβλος.

1γ Καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω.

Καὶ ἐλπίζων ἐπὶ τῷ Θεῷ, οὐ μὴ καταπέσω τῷ φρονήματι, ῥωννυομένῳ ταῖς εἰς αὐτὸν ἐλπίσι. Πρὸς τοὺς ἐχθροὺς δὲ, οὗτος ὁ λόγος.

2α Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με.

Οὐκ ἐπαιρόμενος ταῦτά φησιν, ἀλλὰ παρακαλῶν δοκιμασθῆναι μὲν, τουτέστιν, ἐξετασθῆναι ἐπὶ τοῖς προλαβοῦσι· πειρασθῆναι δὲ, ἤγουν πεῖραν δοῦναι καὶ εἰς τὰ μέλλοντα, εἰ μὴ καὶ αὖθις ὁ αὐτὸς ἔσται.

2β Πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.

Διὰ μὲν τῶν νεφρῶν, τὸ ἐπιθυμητικὸν δηλοῖ, διὰ δὲ τῆς καρδίας, τὸ θυμικόν. Arist. *de An.*
Πύρωσον δὲ, ἀντὶ τοῦ, δοκίμασον, ὡς οἱ χρυσοχόοι διὰ πυρὸς τὸν χρυσόν· οὔτε 432ᵃ25
γὰρ ἐπεθύμησα τῆς βασιλείας, οὔτε ἀνταπέδωκα τῷ Σαούλ.

3α Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστιν.

Οὕτως δὲ διάκειμαι, διότι πρὸ ὀφθαλμῶν ἔχω τὸ παρὰ σοῦ ἔλεος, ὃ παρέχεις τοῖς ἀνεξικακοῦσι.

3β Καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.

Καὶ περὶ τῶν ἄλλων κατορθωμάτων αὐτοῦ προθέμενος εἰπεῖν, ἃ προϊὼν ἐκτίθεται, θεραπεύει τὸν λόγον, καὶ τῷ Θεῷ τὴν χάριν ἀνατίθησιν, ὅτι καὶ ἄλλα τινὰ κατώρθωσα διὰ τὴν σὴν ἀλήθειαν· ἐπηγγείλω γὰρ ἐν τῷ νόμῳ τοὺς
εὐαρεστοῦντάς σοι ἐλεεῖν. Τὸ ἔλεός σου τοίνυν καὶ ἡ ἀλήθειά σου αἰτία μοι Gen 17.1-2
πάντων τούτων ἐγένοντο. Εἶτα λέγει καὶ τὰ κατορθώματα.

4α Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος.

Τῶν συνερχομένων ἐπὶ φλυαρίαις καὶ λόγοις ἀκαίροις καὶ μυθικοῖς διηγήμασι.

4β Καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω.

Τῶν ἐπιβουλευόντων ἀλλήλοις, ἢ καὶ αὐτῷ τῷ Σαούλ· εἰκὸς γάρ τινας ἐκκαλεῖσθαι αὐτὸν εἰς ἀνταρσίαν.

5α Ἐμίσησα ἐκκλησίαν πονηρευομένων.

Τὴν συναγωγὴν πάντων τῶν πονηρῶν· ὅλους γὰρ τοὺς κακοὺς συμπεριέλαβε τῷ τῆς πονηρίας ὀνόματι.

5β Καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.

Ἐνταῦθα τοὺς ἀλλοφύλους λέγει, παρ' οἷς ἦν φυγὰς, ὧν ἀπείχετο τῆς
κοινωνίας. 1Rg 27.5-7

Ἢ καθίσω, τὸ, χρονίσω, νόει.

6α Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου.

Οἱ παλαιοὶ διαμαρτύρασθαι θέλοντες ὅτι ἀναίτιοί εἰσί τινος πράγματος, ἐνώπιον τοῦ πλήθους ἐνίπτοντο τὰς χεῖρας ὕδατι, τὸ καθαρὸν τῆς συνειδήσεως διὰ τῆς καθαρότητος τῶν χειρῶν ἐμφαίνοντες, ὃ καὶ ὁ Πιλᾶτος ὕστερον ἐπὶ τοῦ Χριστοῦ πεποίηκε. Mt 27.24

Φησὶν οὖν ὁ Δαυὶδ, ὅτι καὶ αὐτὸς μετὰ ἀθῴων νίψομαι τὰς χεῖράς μου, μαρτυρόμενος, ἀναίτιος εἶναι πάντων ὧν εἶπον.

6β Καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε.

Τὸ μὲν ἱλαστήριον ἐσώτερον ἦν παρ' Ἑβραίοις, τὸ δὲ θυσιαστήριον, ἔξω τοῦ καταπετάσματος, ὃ κυκλῶσαι πλήθει θυσιῶν καὶ τῶν περὶ ταύτας διακονούντων προφη | τεύει διὰ τὴν ἀκακίαν αὐτοῦ.

7α Τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσεώς σου.

Ὥστε καὶ φωνῆς ψαλλόντων ἀκοῦσαι, χορευόντων ἐπὶ τῇ εἰρήνῃ.

7β Καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.

Διὰ τῆς κατὰ σχολὴν ἀναγνώσεως τοῦ θείου νόμου καὶ τῶν Μωσαϊκῶν βίβλων· ταῦτα γὰρ συνεχῶς τῷ λαῷ ὑπανεγινώσκετο, τοῦτο τοῦ νόμου κελεύοντος. Dt 31.11

Θαυμάσια δὲ λέγει, τὰ κατὰ τῶν Αἰγυπτίων τερατουργηθέντα, καὶ τὰ ἑξῆς, ἢ ἁπλῶς πάντα ὅσα ὁ Θεὸς ἀπ' ἀρχῆς ἐθαυματούργησε.

8α Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου.

Ἠγάπησα, διὸ καὶ θεάσασθαι πάλιν γλίχομαι. Οἴκου δὲ εὐπρέπειαν καλεῖ, τὴν εὐταξίαν τῆς Μωσαϊκῆς σκηνῆς· οὔπω γὰρ ὁ ναὸς ᾠκοδομήθη.

8β Καὶ τόπον σκηνώματος δόξης σου.

Ἀλλὰ καὶ αὐτὸν τὸν τόπον ἠγάπησα, ἐφ' οὗ ἡ σκηνὴ τῆς δόξης σου πέπηγεν. Ἢ τόπον σκηνώματος, αὐτὴν λέγει πάλιν τὴν σκηνὴν, ὡς ἔθος αὐτῷ.

9α Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου.

Παρ' οἷς διατρίβω νῦν· ἀλλὰ κατάγαγέ με θᾶττον εἰς τὴν πόλιν. Τούτους γὰρ, ὅσον οὔπω, καταλήψεται ἀπώλεια, διὰ τὰς ἀνομίας αὐτῶν.

9β Καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου.

[6α][2] ἐνίπτοντο MSCBF : ἔνιπτον P. [6α][6] ἀναίτιος MPCHFVN : ἀναίτιον S.

Οὐ μόνον γάρ εἰσιν ἀσεβεῖς, ἀλλὰ καὶ ἄνδρες αἱμάτων, τουτέστι, περὶ αἵματα διατρίβοντες.

10α Ὧν ἐν χερσὶν ἡ ἀνομία.

Ὧν ἡ ἀνομία πρόχειρος ἀεί.

10β Ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.

Καὶ οὐ μόνον εἰσὶν ἀσεβεῖς καὶ φονεῖς, ἀλλὰ καὶ δωροδόκοι, δώροις ἀπεμπολοῦντες τὸ δίκαιον.

11α Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην.

Πάλιν ὑπομιμνήσκει τὸν Θεὸν περὶ τῆς ἀκακίας αὐτοῦ, μεσίτην οἱονεὶ ταύτην προβαλλόμενος.

11β Λύτρωσαί με, Κύριε.

Τῆς ἀδίκου ταύτης φυγῆς, ἢ τῆς παρὰ τοιούτοις.

11γ Καὶ ἐλέησόν μέ.

Ὥστε μηκέτι τῶν τοιούτων τυχεῖν.

12α Ὁ πούς μου ἔστη ἐν εὐθύτητι.

Διότι ὁ πούς μου ἡδράσθη ἐν ὀρθότητι, τουτέστιν, αἱ ὁδοί μου σκολιότητος ἀπέχονται· ὅπερ ὅμοιόν ἐστι τῷ, ἐν ἀκακίᾳ μου ἐπορεύθην. Ps 25.11α

12β Ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Τούτου δὲ γινομένου, λοιπὸν συνθήσω ψαλμοὺς, δι' ὧν αἰνέσω σε παρὰ πάσαις ἐκκλησίαις· καὶ ὄντως πᾶσα Ἐκκλησία Χριστιανῶν τὸν Δαυὶδ ἔχει μελῳδὸν καὶ διδάσκαλον.

Ἁρμόσει δὲ καὶ ἑκάστῳ ἡμῶν ὁ ψαλμὸς, ἐπιβουλευομένῳ καὶ διωκομένῳ παρ' ἐχθρῶν. Δικαιολογήσεται γάρ τις, ὅτι καὶ ἐμακροθύμησα βλαπτόμενος, καὶ οὐκ ἠδίκησα τὸν πολεμοῦντά μοι· καὶ ἀσεβεῖς μὲν ὑπολήψεται, τοὺς ἑτεροδόξους, θυσιαστήριον δὲ, τὸν κατὰ χώραν ναὸν, ὡς ἀπὸ μέρους τὸ ὅλον· τὸν αὐτὸν δὲ καὶ οἶκον Θεοῦ· καὶ τὰ ἑξῆς συμβιβάσει πάντα κατ' ἀναλογίαν.

26 κϛʹ
1α Ψαλμὸς τῷ Δαυίδ· πρὸ τοῦ χρισθῆναι.

Τρὶς ἐχρίσθη Δαυὶδ εἰς βασιλείαν· πρῶτον ὑπὸ τοῦ Σαμουὴλ ἐν Βηθλεέμ· εἶτα 1Rg 16.13
ὑπὸ τῆς Ἰούδα φυλῆς ἐν Χεβρὼν μετὰ τὴν ἀναίρεσιν τοῦ Σαούλ· καὶ τρίτον, ὑπὸ 2Rg 2.4
πασῶν τῶν φυλῶν μετὰ τὸν θάνατον τοῦ Μεμφίβοσθε. Πρὸ τῆς δευτέρας οὖν 2Rg 5.3
χρίσεως ἐποίησε τὸν παρόντα ψαλμὸν, ἔτι διωκόμενος ὑπὸ τοῦ Σαούλ.

Ἁρμόζει δὲ καὶ ἡμῶν ἑκάστῳ κατά τε τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, ἀναλόγως ἐκλαμβανόμενος. |

1β Κύριος φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι;

Φωτισμὸς μὲν, ὡς τὴν ἀπὸ τῆς λύπης ἀχλὺν τῶν ὀφθαλμῶν μου διασκεδάζων, καὶ φωτίζων αὐτοὺς τῷ φωτὶ τῆς βοηθείας αὐτοῦ· σωτὴρ δὲ, ὡς ῥυόμενός με τῆς ἐπιβουλῆς τῶν ἐχθρῶν. Τίνα δὲ, ἀντὶ τοῦ, οὐδένα.

1γ Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω;

Οὗ γὰρ αὐτὸς ὑπερασπίζει, τίνα οὗτος δειλιάσει; Περὶ δὲ τοῦ ὑπερασπισμοῦ,
σαφῶς εἰρήκαμεν ἐν τῷ ιζʹ ψαλμῷ. Ps 17.36

2 Ἐν τῷ ἐγγίζειν ἐπ᾽ ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον.

Ἀπαγγέλλει μετὰ θαύματος ἃ εὐηργετήθη· ἐν τῷ ἐγγίζειν γάρ μοι, φησὶ, τοὺς λοχῶντας ἐχθροὺς ἐπὶ τῷ διαμασήσασθαι τὰς σάρκας μου — ὃ τὴν ἄγαν θηριωδίαν αὐτῶν ἐμφαίνει — αὐτοὶ ἠσθένησαν, μηδέν με βλάψαι δυνηθέντες, καὶ ἔπεσον, ἀποτυχόντες τοῦ σκοποῦ.

3α Ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου.

Παρεμβολὴ παρὰ τοῖς Ἑβραίοις, ὁ στρατός. Ἐπεὶ οὖν οὕτω παραδόξως ἐῤῥύσθην, οὐκέτι φοβηθήσομαι, οὐδὲ παρεμβολὴν ὅλην, μή τί γε λόχον.

3β Ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.

Ἐν ταύτῃ τῇ καρδίᾳ μου, τῇ μὴ φοβουμένῃ τοῦ λοιποῦ, διὰ τὴν τοῦ Θεοῦ βοήθειαν.

Τινὲς δὲ ἐλλειπτικῶς ἑρμηνεύοντες, ἔξωθεν λαμβάνουσι τὸ, τῇ ἐλπίδι, τῇ εἰς Θεόν.

1β[3] βοηθείας MPSCVL : ἀληθείας H. 2[6] ἀποτυχόντες MSCBF : μὴ τυχόντες P. 3α[3] μή τί γε MSCBF : μήτοιγε B: μήτε P.

4α Μίαν ᾐτησάμην παρὰ Κυρίου.

Μίαν, ἐπίῤῥημα, ἀντὶ τοῦ, ἅπαξ. Ἢ καὶ τοῦτο ἐλλειπές· λείπει γὰρ τὸ, αἴτησιν· σχῆμα δὲ καὶ τοῦτο τῶν ἀρχαίων.

4β Ταύτην ζητήσω.

Μετὰ τὸ ῥυσθῆναι, μίαν ᾐτησάμην αἴτησιν, ἣν καὶ ἐπιζητήσω διὰ παρακλήσεως. Τίς δὲ αὕτη, ἄκουσον.

4γ Τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Εὐλόγως τέτακται μετὰ τὸν πρὸ αὐτοῦ ὁ παρὼν ψαλμός. Ἐν ἐκείνῳ γὰρ εἶπε,
Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ νῦν ὁμοίως ζητεῖ τὴν ἐν τῇ σκηνῇ Ps 25.8α
κατοικίαν, εἴτουν παροικίαν· διατί δὲ, αὐτὸς ἐπήγαγε.

4δ Τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.

Ἵνα, φησὶ, θεωρῶν τὴν εὐπρέπειαν αὐτοῦ, τέρπωμαι, καὶ ἅμα ἐφορῶ, μή τι παραμεληθείη τῶν καθηκόντων· σφόδρα γὰρ ἦν φιλόθεος.

5α Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου.

Διότι εὐηργετήθην μεγάλα παρ᾽ αὐτοῦ· ἐν ἡμέρᾳ γὰρ κινδύνων μου, ἔκρυψέ με ἐν τῇ σκέπῃ αὐτοῦ. Ταύτην γὰρ σκηνὴν ἐκάλεσεν, ὅτι δίκην σκηνῆς τὸν προσφυγόντα ἐφύλαξεν.

5β Ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ.

Τὸ αὐτὸ λέγει πάλιν, τρανότερον ἀνακηρύττων τὴν εὐεργεσίαν. Ἀπόκρυφον δὲ, τὸ ἐνδότερον, τουτέστι, παντελῶς ἀθέατόν με τοῖς ἀνιχνεύουσιν ἐποίησεν.

5γ Ἐν πέτρᾳ ὕψωσέ με.

Ἐν ἀσφαλείᾳ καὶ ἀφοβίᾳ με κατέστησεν, ἐκ μεταφορᾶς τῶν φευγόντων καὶ εἰς πέτραν ἀπότομον ἐπαναβαινόντων.

6α Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ᾽ ἐχθρούς μου.

Αἰσθόμενος ἀποῤῥήτως θείας ἀποφάσεως, βεβαιούσης τὴν αἴτησιν αὐτοῦ, περὶ τῶν μελλόντων ὡς ἤδη γεγονότων προφητεύει λέγων, ὅτι ἐπακούσας μου Κύριος,

ἰδοὺ ὑπέρτερόν με τῶν ἐχθρῶν ἐποίησεν. Οἱ γὰρ νικῶντες ὑψαυχενοῦσι κατὰ τῶν ἡττωμένων. Ἄλλως γὰρ οὐκ ἦν πληρωθῆναι | τὴν αἴτησιν, εἰ μὴ οἱ ἐχθροὶ αὐτοῦ προκατεργασθῶσιν.

6β *Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ.*

Ὅπερ ἐν τῷ προλαβόντι ψαλμῷ εἶπεν ὡς μέλλον, τοῦτο νῦν ὡς ἐκβὰν εἰς τέλος
φησίν. Ἐκεῖ μὲν γὰρ εἴρηκε, *Καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε*, ἐνταῦθα δὲ, Ps 25.6β
ἐκύκλωσα καὶ ἔθυσα.

Ὁ δὲ Ἀκύλας, καὶ ὑψώσω, καὶ κυκλώσω, καὶ θύσω, ἐξέδωκεν, ὡς εἶναι τὸν χρόνον ἐνηλλαγμένον.

Σκηνὴν δὲ λέγει, ἣν ἔπηξεν ὁ Μωυσῆς.

6γ *Θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ.*

Αἰνέσεως μὲν, ἐφ' οἷς ἐσκεπάσθην, ἀλαλαγμοῦ δὲ, ἐφ' οἷς νενίκηκα· ἀλαλαγμὸς γάρ ἐστι βοὴ κατὰ τῶν ἐχθρῶν. Τέθειται δὲ νῦν ἀντὶ νικητηρίου παιᾶνος. Λέγει δὲ θυσίαν, εὐχαριστήριον ἅμα καὶ ἐπινίκιον.

6δ *Ἄισω καὶ ψαλῶ τῷ Κυρίῳ.*

Περὶ τῆς διαφορᾶς τοῦ ᾄσω καὶ ψαλῶ, προειρήκαμεν ἐν τῷ ιβʹ ψαλμῷ. Ps 12.6γ

7α *Εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου, ἧς ἐκέκραξα.*

Προθεσπίσας τὰ καθ' ἑαυτὸν δι' ἐπιπνοίας τοῦ ἁγίου Πνεύματος, αὖθις ἔχεται τοῦ προτέρου σκοποῦ, φωνὴν λέγων, τὴν περὶ τῆς μιᾶς ἐκείνης αἰτήσεως.

7β *Ἐλέησόν με καὶ εἰσάκουσόν μου.*

Οὐ χρεωστεῖς εἰσακοῦσαί μου διὰ τὸ ἐμὸν ἀνάξιον· ἀλλὰ διὰ τὸν οἰκεῖον ἔλεον, εἰσάκουσον.

8α *Σοὶ εἶπεν ἡ καρδία μου, Κύριον ζητήσω.*

Πρὸς σὲ εἶπεν αὐτὴ ἐκ βάθους ἡ καρδία μου, καὶ οὐκ ἐπιπολαίως τὰ χείλη μου. Εἶπε δὲ, ὅτι Κύριον ζητήσω, δηλαδὴ τὸν ἐμὸν Δεσπότην, περιφρονήσασα πᾶσαν ἀνθρωπίνην βοήθειαν.

8β *Ἐξεζήτησέ σε τὸ πρόσωπόν μου.*

Ἡ ἐξ πρόθεσις, ἐπίτασιν ἐμφαίνει. Φησὶν οὖν, ὅτι ἐπιμελῶς σε ἐζήτησα βοηθόν. Πρόσωπον δὲ τοῦ Δαυὶδ, αὐτὸς ὁ Δαυὶδ, κατὰ περίφρασιν, οἷον, ἐξεζήτησά σε αὐτός.

8γ Τὸ πρόσωπόν σου, Κύριε, ζητήσω.

Τὴν ἐπισκοπήν σου καὶ ἔτι ζητήσω, καὶ οὐδέποτε παύσομαι.

9α Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ.

Τὴν ἐπισκοπήν σου, τὴν ἐν ἀνάγκῃ σκεπάσασάν με.

9β Καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου.

Μὴ ἀναχωρήσῃς ἐν ὀργῇ ἀπ᾽ ἐμοῦ, ὁ συμπαρών μοι κηδεμονικῶς, εἰ καὶ ὡς ἄνθρωπος πλημμελήσω σοι· παιδεύσας δὲ φιλανθρώπως, αὖθις ἀντιλαβοῦ.

9γ Βοηθός μου γενοῦ.

Καὶ εἰς τὸ μέλλον.

9δ Μὴ ἀποσκορακίσῃς με.

Μὴ ἀπώσῃ με. Τὴν δὲ τοιαύτην λέξιν, ἀπὸ παροιμίας Ἑλληνικῆς ἔλαβον οἱ ἐξελληνίσαντες ἑρμηνεῖς. Hsch. *q.v.*

9ε Καὶ μὴ ἐγκαταλίπῃς με, ὁ Θεὸς ὁ σωτήρ μου.

Πυκνὰ παρακαλεῖ, δεικνὺς τὸ τῆς προσευχῆς ἔμμονον καὶ ἐγκάρδιον.

10α Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με.

Διότι καὶ αὐτῆς τῆς ἀπὸ τῶν γονέων παραμυθίας ἐστέρημαι, μὴ μόνον τῆς ἀπὸ φίλων συμμαχίας· πάντες γὰρ δεδοίκασι τὸν Σαούλ.

10β Ὁ δὲ Κύριος προσελάβετό με.

Τοῦτο παρηγορῶν ἑαυτὸν εἶπεν· Εἰ καὶ πάντες με, φησὶν, ἐγκατέλιπον, ἀλλ᾽ οὖν ὁ Κύριος προσελάβετό με, σκέπων καὶ ῥυόμενος.

11α Νομοθέτησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου.

11α Add. MP in marg.: *Ὁ Μωσαϊκὸς νόμος, καὶ ἡ κατ᾽ αὐτὸν λατρεία· Κύριος δὲ, ὁ πνευματικὸς νόμος· φησὶ γὰρ ὁ Ἀπόστολος, Ὁ δὲ Κύριος, τὸ πνεῦμά ἐστι* [2Cor. 3.17]. : om. CSBFV.

Ἀντὶ τοῦ, νομοθέτησον, συνέτισον εἶπεν ὁ Ἀκύλας· ἤτοι νόμους με δίδαξον σωτηριώδεις, βαίνοντα ἐν τῇ πνευματικῇ ὁδῷ, τῇ πρὸς σὲ φερούσῃ.

11β Καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ.

Εἰς ὀρθὴν τρίβον, τὴν τῆς σωτηρίας, ἵνα μὴ πλανῶμαι, σκολιοῖς λογισμοῖς ἐμπίπτων.

11γ-12α Ἕνεκα τῶν ἐχθρῶν μου, μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με.

Εἰς ψυχὰς θλι | βόντων, ἤγουν εἰς τοὺς θλίβοντάς με στρατιώτας, κατὰ περίφρασιν. Μὴ παραδῷς με οὖν αὐτοῖς ὑποχείριον, ἵνα μὴ οἱ ἐχθροί μου, οἱ ἀποστείλαντες αὐτοὺς εἰς τὸ συλλαβεῖν με, χαρῶσι· λέγει δὲ τὸν Σαούλ.

12β Ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι.

Κατεμαρτύρει γὰρ αὐτοῦ ὁ Σαοὺλ ἀδίκως, ὡς ἀνελεῖν αὐτὸν μελετῶντος.

12γ Καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.

Ἡ δὲ τοιαύτη μαρτυρία ἐψεύσατο ἑαυτῇ, τουτέστιν, οὐχ εὑρέθη ἀληθεύουσα. Οὐδὲν γὰρ αὐτὸν ἠδίκησα, εἰ μὴ καὶ μᾶλλον ὠφέλησα.

Ἢ καὶ ἄλλως, αὕτη ὑποσχομένη ἑαυτῇ συλλαβεῖν με, ἐψεύσατο, μὴ τυχοῦσα τοῦ σκοποῦ.

13α Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου.

Πιστεύω τῷ πληροφοροῦντί με ἁγίῳ Πνεύματι, ὅτι νικήσω, καὶ ἀπολήψομαι τὴν βασιλείαν, καὶ ἀπολαύσω τῶν ἀγαθῶν αὐτῆς.

13β Ἐν γῇ ζώντων.

Ἐν τῷ κόσμῳ· γῇ μὲν γὰρ ζώντων, οὗτος· γῇ δὲ τεθνεώτων, ὁ ᾅδης.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι περὶ τῆς ἀναστάσεως δογματίζει τῶν νεκρῶν· γῆν μὲν ζώντων λέγων, τὴν βασιλείαν τῶν οὐρανῶν· ἀγαθὰ δὲ, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. 1Cor 2.9

14α Ὑπόμεινον τὸν Κύριον.

Τοῦτο καὶ τὸ ἑξῆς ῥητὸν πρὸς ἑαυτὸν ἀποτείνεται, κατεπᾴδων ἑαυτῷ λυπουμένῳ, καὶ μὴ καταπίπτειν ἐγκελευόμενος.

Ὑπόμεινον δὲ, ἀντὶ τοῦ, ἀνάμεινον, προσδόκα βοηθόν.

14β Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.

Θαρσοποιὰ καὶ ῥωστικὰ ψυχῆς τὰ ἐπιφωνήματα· μεμονωμένος γὰρ αὐτὸς ἑαυτὸν ἀνεκτᾶτο, καὶ παρεθάῤῥυνεν. Αὖθις δὲ τὸ, ὑπόμεινον τὸν Κύριον, εἰς πλείονα παράκλησιν καὶ ψυχαγωγίαν.

27 κζʹ
1α Ψαλμὸς τῷ Δαυίδ.

Καὶ τουτονὶ τὸν ψαλμὸν ἔτι διωκόμενος ὑπὸ τοῦ Σαοὺλ ἔγραψε.

1β Πρὸς σὲ, Κύριε, κεκράξομαι.

Οἷα πρὸς μηδένα ἕτερον ἀποβλέπων, πάντων γὰρ μεμόνωμαι τῶν ἀξιομάχων. Διὰ τῆς κραυγῆς δὲ, τὸ τῆς δεήσεως ἐπιτεταμένον ἐμφαίνεται.

1γ Ὁ Θεός μου, μὴ παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ.

Μὴ παρακούσῃς μου, κατὰ μεταφοράν· εἰώθασι γὰρ οἱ παρακούοντες σιωπᾶν, καὶ μηδὲν φθέγγεσθαι πρὸς τοὺς αἰτουμένους.

1δ Μήποτε παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ.

Μηδέποτε παρακούσῃς μου, χρῄζοντος ἀεὶ τῆς σῆς ἐπικουρίας.

1ε Καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Καὶ εἰ παρακούσεις μου, εὐθὺς ὅμοιος γενήσομαι τοῖς νεκροῖς, ἤγουν θανοῦμαι· λάκκος γὰρ, ὁ τάφος.

Ἢ καὶ λάκκον, τὸν βόθρον νοήσομεν, εἰς ὃν ὁ ἐμπίπτων, ἀβοήθητος διὰ τὸ ἄφυκτον γίνεται.

2 Εἰσάκουσον, Κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί με πρὸς σὲ, ἐν τῷ αἴρειν χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.

Ναὸν, ὡς προειρήκαμεν, τὴν σκηνὴν καλεῖ, πρὸς ἣν ἔτεινε τὰς χεῖρας Ps 17.7γ
εὐχόμενος, εἰ καὶ πόῤῥω ἦν. Οὕτω γὰρ καὶ Δανιὴλ ἐν Βαβυλῶνι προσευχόμενος,
τὰς πρὸς Ἰερουσαλὴμ τετραμμένας ἀνεῴγνυ φωταγωγοὺς, οὐκ ἐκεῖ περιγράφων Da 6.11
τὸ θεῖον, ἀλλ᾽ ἐκεῖ τὴν θείαν ἐπιφάνειαν γεγενῆσθαι μεμαθηκώς.

2[2] αἴρειν χεῖρας MPSC[Ra^{S}] : αἴρειν με χεῖρας (P$^{corr.}$H)T [Ra^{A}].

Ἢ καὶ ναὸν, τὸν οὐρανὸν ὑποληπτέον, κατὰ τὸ, ὁ κατοικῶν ἐν οὐρανοῖς. Ps 2.4

3α Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν.

Οἷς πολλάκις συναναστρέφομαι. Μὴ γοῦν διὰ τὴν συναναστροφὴν συνελκύσῃς κἀμὲ μετ' αὐτῶν εἰς τὸ δοῦναι δίκην· οἶδας γὰρ, ὅτι καὶ ἄκων τοῦτο ποιῶ· περιττὴ δὲ ἡ σύν πρόθεσις.

Ἡμεῖς δὲ ὑπὲρ ἑαυτῶν ταῦτα προσευχόμενοι, ἁμαρτωλοὺς | νοήσομεν, τοὺς ἑτεροδόξους, ἢ τοὺς δαίμονας, ὁμοίως δὲ καὶ ἀνόμους.

3β Καὶ μετὰ ἐργαζομένων ἀνομίαν, μὴ συναπολέσῃς με.

Τοῦτο, τοῦ προτέρου σαφηνιστικὸν, καὶ ταὐτὸ δηλοῦν.

3γ Τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.

Τινὲς γὰρ τῶν μετὰ Σαοὺλ, ὑποκρινόμενοι φανερὰν φιλίαν πρὸς Δαυὶδ, ἐπεβούλευον αὐτῷ λάθρᾳ, καὶ μάλιστα Σαούλ.

4α Δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν.

Ἄξια τῆς κακίας αὐτῶν.

4β Καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν.

Καὶ τοῦτο, τοῦ πρὸ αὐτοῦ σαφηνιστικόν.

4γ Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς.

Διὰ τῆς ταὐτολογίας, τὴν ὀδύνην ἐμφαίνει τῆς ψυχῆς, ἐμπιπρωμένης τῷ ζήλῳ τῆς μισοπονηρίας.

4δ Ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.

Ἀπόδος αὐτοῖς τὴν κεχρεωστημένην ἐκδίκησιν, ἀντὶ τῆς κακίας. Ἐντεῦθεν δὲ φαίνεται, ὅτι οὐχ ὡς πικρὸς ἐπαρᾶται τούτοις, ἀλλ' ὡς φιλοδίκαιος ἐπιταχύνει τὴν ὀφειλομένην τιμωρίαν, ἵνα βελτίους οἱ κακοὶ γένωνται.

5α Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου.

3β[1] ἀνομίαν MPSCBFV : ἀδικίαν H [TRa].

Ὅτι μέχρι τοῦ νῦν, οὐ συνῆκαν τὰς θείας οἰκονομίας, ὡς ἀνέχεται αὐτῶν ὁ Θεὸς οὕτω πονηρευομένων, ἵνα καὶ ἡ φαυλότης αὐτῶν ἐλεγχθῇ, καὶ ἐν καιρῷ τιμωρηθῶσιν ἀσύγγνωστα.

5β Καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ.

Ἔργα δὲ λέγω, ἃ αὐτὸς ἐργάζεται μετὰ σκοποῦ· αἱ χεῖρες γὰρ ἐνταῦθα, τὸ λελογισμένον τῶν ἔργων ἐμφαίνουσι.

5γ Καθελεῖς αὐτοὺς, καὶ οὐ μὴ οἰκοδομήσῃς αὐτούς.

Τοῦτο, προφητεία τῆς ἀπωλείας αὐτῶν, ὅτι πεσόντες, οὐκέτι ἀνορθωθήσονται.

6 Εὐλογητὸς Κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

Εὐλογητὸς, ἀντὶ τοῦ, ἄξιος εὐφημεῖσθαι καὶ ὑμνεῖσθαι· οἷα δὲ πληροφορηθεὶς περὶ ὧν ἐζήτησε, φησὶν, ὅτι ἐπήκουσέ μου.

7α Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου.

Καὶ τοῦτο, πληροφορίας.

7β Ἐπ᾽ αὐτῷ ἤλπισεν ἡ καρδία μου.

Ὡς μόνῳ ἀψευδεῖ βοηθῷ.

7γ Καὶ ἐβοηθήθην.

Καὶ οὐκ ἀπέτυχον τῆς ἐλπίδος.

7δ Καὶ ἀνέθαλεν ἡ σάρξ μου.

Ἡ πρὸ τούτου ἐκτετηκυῖα ταῖς φροντίσι καὶ κακοπαθείαις.

7ε Καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.

Ἐκ καρδίας, προθύμως, οὐκ ἀναγκαστικῶς. Τοιοῦτόν ἐστι καὶ τὸ, ἑκουσίως
θύσω σοι. Ἐξομολόγησιν δὲ νῦν, τὴν εὐχαριστίαν λέγει. Ps 53.8

8 Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστιν.

5α-β Add. [M in marg.]B[ad 7ε!]: Ἔργα μὲν ἁπλῶς νοήσομεν, τὴν ἐφ᾽ οἷς ἡμάρτανον ἐκεῖνοι μακροθυμίαν τοῦ Θεοῦ· ἔργα δὲ χειρῶν Κυρίου, τὸ κρύπτειν αὐτὸν ἀναζητούμενον, τὸ συμμαχεῖν, τὸ ἐξαιρεῖσθαι κινδυνεύοντα, καὶ τὰ τοιαῦτα. Οὐ συνῆκαν οὖν ἐκ τούτων ὅτι οὐκ ἂν τοσαύτης αὐτὸν ἠξίου προνοίας εἰ μὴ εὐάρεστος ἦν αὐτῷ, ἀλλ᾽ οὐδ᾽ ὅτι τὸ μακρόθυμον τοῦ Θεοῦ καιρὸν αὐτοῖς ἐνδίδωσι μετανοίας.

Ὁ Κύριος ἐνισχύει τε τὸν ἀνατεθειμένον αὐτῷ λαὸν, καὶ ὑπερμαχεῖ τῆς σωτηρίας τοῦ χρισθέντος εἰς βασιλέα κατὰ πρόσταξιν αὐτοῦ. Λέγει δὲ περί τε τοῦ παντὸς λαοῦ καὶ περὶ ἑαυτοῦ, εἰδὼς τὴν ἐσομένην μεταβολήν.

9α Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὡς ἀποληψόμενος ὅσον οὔπω τὴν βασιλείαν, ὑπερεύχεται τοῦ λαοῦ. Ἐν δὲ τῇ βίβλῳ τῆς Ἐξόδου, ὁ Θεὸς λαὸν ἑαυτοῦ περιούσιον, ἤτοι κληρονομιαῖον, τοὺς Ἰσραηλίτας ἐκάλεσε. Ex 19.5, 23.22

9β Καὶ ποίμανον αὐτούς.

Συμβασιλεύων ἐμοί.

9γ Καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Καὶ ὕψωσον τοῖς τροπαίοις μέχρι παντός.

Δύναται δὲ ἡ ἀρὰ τοῦ, *Δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν*, καὶ τὰ ἑξῆς, καὶ κατὰ τῶν σταυρωσάντων τὸν Χριστὸν Ἰουδαίων ἕλκεσθαι, οἵτινες παμπόνηροι ὄντες, οὐ συνῆκαν εἰς ἃ εἰργάζετο τεράστια, διὸ καθαιρεθέντες, οὐκέτι ἀνωρθώθησαν· ὁ δὲ Θεὸς ἐκραταίωσε τὸν πιστὸν λαὸν, καὶ τὰ ἑξῆς. Καὶ αὖθις ἡ εὐχὴ πρὸς τὸν Χριστὸν, ὑπὲρ τοῦ ἐξ ἐθνῶν | λαοῦ αὐτοῦ, τοῦ δοθέντος αὐτῷ εἰς κληρονομίαν, ὃν καὶ ἐποίμανε καὶ ὕψωσεν ἀληθῶς. Ps 2.8α

28 κη´

1α Ψαλμὸς τῷ Δαυίδ· ἐξοδίου σκηνῆς.

Κατὰ μὲν τὴν ἱστορίαν, εἴη ἂν ὁ παρὼν ψαλμὸς, παράγγελμα τοῖς ἱερεῦσι καὶ Λευίταις περὶ τοῦ ἐξοδίου τῆς σκηνῆς, ἤτοι περὶ τῆς ἐξελεύσεως τῆς ἀπὸ τοῦ ναοῦ, τί ἐξιόντες μέλλοιεν ποιεῖν εἰς τὴν ἑξῆς ἡμέραν ἀεί· ὅτι ἄγειν κριῶν ἄῤῥενα τέκνα νεογιλὰ, ὅτι καὶ δόξαν δι᾽ εὐφημίας καὶ ψαλμῶν, ὅτι καὶ τιμὴν δι᾽ εὐταξίας καὶ εὐλαβείας, ὅτι ἐν τῇ αὐλῇ τοῦ ναοῦ, οὐκ ἐν ἑτέρῳ τόπῳ.

Κατὰ δὲ τὴν ἀναγωγὴν, εἴη ἂν περὶ τῆς ἐξελεύσεως τῆς ἀπὸ τοῦ σώματος, ὃ σκῆνος ὁ Ἀπόστολος καλεῖ· σκήνωμα γὰρ τοῦτο τῆς ψυχῆς. Παρεγγυᾷ δὲ ὁ ψαλμὸς, τί ποιεῖν ὀφείλομεν, συσκευαζόμενοι πρὸς ἔξοδον, τὴν ἀπὸ τοῦ σώματος, ἐπείπερ αἱ ἐνταῦθα πράξεις ἐφόδιον τῆς ψυχῆς τηνικαῦτα γίνονται. 2Cor 5.1, 4

1β Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν.

Υἱοὶ μὲν Θεοῦ, οἱ ἀπόστολοι· οὕτω γὰρ καὶ ὁ Κύριος αὐτοὺς προσηγόρευσεν,

εἰπὼν, *Ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν*. Υἱοὶ δὲ κριῶν, οἱ ἐξ ἐθνῶν, ὧν οἱ πατέρες, ἄλογοι διὰ τὴν πλάνην. Προτρέπεται οὖν τοὺς ἀποστόλους, προσάγειν τῷ Χριστῷ τὰ ἔθνη. Οὕτω δὲ τὰ ῥητὰ συντακτέον· Ὦ υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ, ἐνέγκατε υἱοὺς κριῶν. Ἐμφαντικὸν γὰρ σπουδῆς, ἡ ἀναδίπλωσις. Jn 20.17

Ἢ καὶ ἄλλως, υἱοὶ μὲν Θεοῦ, οἱ διὰ τῆς παλιγγενεσίας τοῦ βαπτίσματος υἱοθετηθέντες Χριστῷ καὶ τελειωθέντες εἰς ἀρετήν· υἱοὶ δὲ κριῶν, οἱ διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος γεννηθέντες τοῖς ἀποστόλοις, ἔτι δὲ ἀτελεῖς· κριοὺς γὰρ, τοὺς ἀποστόλους, εἰ βούλῃ νοήσεις, ὡς ἀγελάρχας. Οἷον, οἱ τελειότεροι, χειραγωγεῖτε τοὺς ἀτελεστέρους· τοῦτο γὰρ εὐαπόδεκτον Θεῷ. Φησὶ γὰρ πρὸς Πέτρον, *Εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου*. Jn 21.16

1γ Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.

Δόξαν μὲν, δι’ ὑμνολογίας· τιμὴν δὲ, διὰ φόβου ἢ φυλακῆς τῶν ἐντολῶν αὐτοῦ. Εἰ γὰρ, κατὰ τὸν Ἀπόστολον εἰπεῖν, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις, εὔδηλον ὡς τιμᾷς αὐτὸν διὰ τῆς φυλακῆς. Ro 2.23

2α Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ.

Δι’ ἐπαινετῶν πράξεων· εἴρηται γὰρ πρὸς τοὺς ἁμαρτάνοντας, *Τὸ ὄνομά μου δι’ ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν*. Ὁ γὰρ ἐθνικὸς, ὁρῶν τοῦ πιστοῦ τὴν διαγωγὴν, εἰ μὲν εἴη καλὴ, ἐπαινεῖ τὸν Χριστὸν, ὡς ἀρετῆς διδάσκαλον, εἰ δὲ φαύλη, διασύρει μᾶλλον, ὡς κακίας εἰσηγητήν. Ἐνέγκατε οὖν τῷ Κυρίῳ ἔπαινον τοῦ ὀνόματος αὐτοῦ, τουτέστιν, αὐτοῦ, κατὰ περίφρασιν. Isa 52.5

2β Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.

Ἦν πρότερον μὲν αὐλὴ ἁγία τοῖς Ἰουδαίοις, ἡ ἐν Ἱεροσολύμοις συναγωγή· μετὰ δὲ τὴν εἰς Χριστὸν ὕβριν, *ἐγένετο ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη*. Ὕστερον δὲ γέγονεν αὐλὴ ἁγία τοῦ Χριστοῦ, ἡ τῶν Χριστιανῶν Ἐκκλησία καὶ πίστις, ἐν ᾗ προσκυνεῖν αὐτὸν ὁ λόγος προτρέπεται, κωλύων τὰς σχισματικὰς παρασυναγωγὰς, καὶ μόνην ἐγκρίνων τὴν ἀπὸ Χριστοῦ παραδεδομένην πίστιν. Ps 68.26

Δυνατὸν δὲ νοῆσαι αὐλὴν, καὶ τὴν ἐπουράνιον. Διὰ τοῦτο οἱ πεφυτευμένοι ἐνταῦθα ἐν τῷ οἴκῳ Κυρίου, δηλαδὴ τῇ Ἐκκλησίᾳ τῶν πιστῶν, *ἐν ταῖς αὐλαῖς ἐκεῖ τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν*. Ps 91.14

3α Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

Τοῦτο, προφητεία περὶ τῆς ἐνεχθείσης ἄνωθεν φωνῆς ἐν Ἰορδάνῃ, ὅτε ὁ Χριστὸς ἐβαπτίσατο, λεγούσης, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα*. Mt 3.17

3β Ὁ Θεὸς τῆς δόξης ἐβρόντησεν.

Ὁ Πατὴρ ἀφῆκεν ἐκείνην τὴν φωνὴν, ἣν καὶ βροντὴν ὀνομάζει, διὰ τὸ ἐξ οὐρανοῦ κατενηνέχθαι, ὅθεν καὶ αἱ βρονταὶ, | καὶ διὰ τὸ στεῤῥὸν καὶ ἐξάκουστον.

Θεὸς δὲ τῆς δόξης, ἀντὶ τοῦ, ὁ ἔνδοξος, ὥσπερ καὶ Θεὸς τῆς ἀληθείας, ὁ ἀληθινὸς, καὶ Θεὸς ἐκδικήσεων, ὁ ἐκδικητὴς, καὶ Θεὸς δυνάμεων, ὁ δυνατὸς, καὶ Θεὸς ἐλέους, ὁ ἐλεήμων, καὶ τὰ τοιαῦτα· ἰδίωμα γὰρ καὶ τοῦτο τῆς Παλαιᾶς. Pss 30.6, 93.1, 58.6 Wis 9.1

3γ Κύριος ἐπὶ ὑδάτων πολλῶν.

Ὁ Χριστὸς ἐν ὕδασι, τοῖς τοῦ Ἰορδάνου, καὶ δι᾽ ἐκείνων ἐν πᾶσιν ὕδασιν, ἁγιάζων τὴν φύσιν αὐτῶν ἐν Ἰορδάνῃ.

4α Φωνὴ Κυρίου ἐν ἰσχύϊ.

Ἐν τῷ ἰσχυρῷ κατὰ τῶν παθῶν ἀνδρὶ, φωνὴ γίνεται Κυρίου, ῥωννύουσα καὶ ὑποτιθεμένη τὰ δέοντα.

4β Φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ.

Καὶ ἐν τῷ μεγαλοπρεπεῖ, τῷ καταφρονοῦντι μὲν τῶν γεηρῶν, φρονοῦντι δὲ τὰ οὐράνια, ὡς δηλοῦσθαι διὰ μὲν τῆς ἰσχύος, τὸν πρακτικὸν, διὰ δὲ τῆς μεγαλοπρεπείας, τὸν θεωρητικόν.

5α Φωνὴ Κυρίου, συντρίβοντος κέδρους.

Ἡ κέδρος ποτὲ μὲν ἐπὶ καλοῦ παραλαμβάνεται διὰ τὸ ἄσηπτον καὶ κατάκομον καὶ εὐῶδες, ὡς τὸ, *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται*· ποτὲ δὲ ἐπὶ κακοῦ διὰ τὸ ἄκαρπον καὶ δυσκαμπὲς, ὡς τὸ, *Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου.* Ps 91.13 Ps 36.35

Νῦν οὖν κέδρους ὀνομάζει, τοὺς δαίμονας, διὰ τὸ ἐπηρμένον. Ἡ ἔπαρσις γὰρ αὐτοὺς ἀπὸ τοῦ οὐρανοῦ κατεκρήμνισε. Φωνὴ, φησὶ, Κυρίου γίνεται, ὅτε συντρίβει καὶ καταράσσει τοὺς δαίμονας. Ὑποστικτέον γὰρ μετὰ τὸ, *Κυρίου*, ἵνα νοηθείη πλαγία σύνταξις· τούτῳ δὲ τῷ σχήματι καὶ ὑποκατιὼν ἐχρήσατο.

5β Καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου.

Ὁ Λίβανος, ὄρος Παλαιστίνης ὑψηλὸν, κεδροφόρον, εἰδωλικοῖς ναοῖς ἀνειμένον. Ὅθεν κέδρους Λιβάνου λέγει, τὰ τεμένη τῶν εἰδώλων τὰ ἐν αὐτῷ, ἐκ τοῦ περιέχοντος δηλῶν τὰ περιεχόμενα· καὶ ἄλλως, ἐοικότα κέδροις, διὰ τὸ ὑψηλὸν τῆς ὀροφῆς καὶ

κατάκομον καὶ ἄκαρπον. Προαγορεύει δὲ τὸ ῥητὸν τὴν τούτων κατάλυσιν· διὰ δὲ τούτων αἰνίττεται καὶ τὴν ἁπάντων τῶν τοιούτων σηκῶν.

6α Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον, τὸν Λίβανον.

Καὶ ὥσπερ τὸν ἐν Χωρὴβ κατασκευασθέντα τοῖς Ἑβραίοις μόσχον ἐλέπτυνε
διὰ Μωυσέως καὶ διεσκόρπισεν, οὕτω καὶ ταύτας. Εἶτα στικτέον, καὶ καθ' ἑαυτὸ Ex 32.20
ἀναγνωστέον, τὸν Λίβανον, ἵνα νοηθείη, ὅτι λεπτυνεῖ αὐτὰς, λέγω δὴ τὸν Λίβανον
ὅλον, οὐκ ἐκ μέρους, ἀλλὰ καθόλου αὐτοῦ γενησομένου τοῦ λεπτυσμοῦ.

6β Καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.

Περὶ τοῦ Χριστοῦ ὁ λόγος· ἠγαπημένος μὲν γὰρ ὡς μονογενής. Οὕτω γὰρ καὶ
ὁ Πατὴρ αὐτὸν ἐκάλεσεν, *Οὗτός ἐστιν*, λέγων, *ὁ Υἱός μου ὁ ἀγαπητός*. Υἱὸς δὲ Mt 3.17
μονοκερώτων, διὰ τὸ ἄμαχον καὶ ἀνυπότακτον· τοιοῦτον γὰρ εἶναι τὸ ζῷον τοῦτό
φησιν ἡ βίβλος Ἰώβ. Job 39.9

Ὅρα δὲ ὅπως ὅτε μὲν θυσίαν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἑαυτὸν ὁ Υἱὸς τῷ
Πατρὶ προσάγει, ἀμνὸς ὀνομάζεται, καὶ πρόβατον, ὡς τὸ, *Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ*, Jn 1.36
καὶ τὸ, *Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη*· ὅτε δὲ ἀμύνασθαι δέοι καὶ καθελεῖν τὴν Isa 53.7
δυναστείαν τοῦ πονηροῦ, υἱὸς μονοκερώτων.

Λέγοιτο δ' ἂν υἱὸς μονοκερώτων, καὶ ὡς ἑκατέρωθεν μονοειδῶς γεννηθεὶς, ἐκ μὲν τοῦ Πατρὸς ἄνευ μητρὸς, ἐκ δὲ τῆς μητρὸς ἄνευ ἀνδρός.

Τούτων οὖν, φησὶ, συντριβομένων καὶ λεπτυνομένων, ὁ Χριστὸς ἀήττητος
ἔσται. Πύλαι γὰρ ᾅδου οὐ κατισχύσουσι τῆς Ἐκκλησίας αὐτοῦ. Mt 16.18

7 Φωνὴ Κυρίου, διακόπτοντος φλόγα πυρός.

Λείπει κἀνταῦθα τὸ, γίνεται. Προαγορεύει δὲ, προηγουμένως μὲν, περὶ τῆς
Βαβυλωνίας καμίνου, ἥτις διακοπεῖσα, | *πνεῦμα δρόσου διασυρίζον* ἐδέξατο, Da 3.50
ἑπομένως δὲ, καὶ περὶ τῶν ὑποδεξαμένων τοὺς μάρτυρας τοῦ Χριστοῦ.

Λέγοιτο δ' ἂν καὶ περὶ τῆς ἀποφάσεως τῆς ἐν ἡμέρᾳ τῆς κρίσεως, ὅτε διακόψει καὶ διαμερίσει τὴν φλόγα τοῦ πυρὸς, ὥστε τὴν μὲν φωτιστικὴν καὶ λαμπρύνουσαν δύναμιν αὐτῆς τοῖς δικαίοις ἀποκληρωθῆναι, τὴν δὲ καυστικὴν καὶ κολάζουσαν, τοῖς ἁμαρτωλοῖς.

8α Φωνὴ Κυρίου, συσσείοντος ἔρημον.

Ἔρημον, τὰ ἔθνη καλεῖ, διὰ τὴν ἐρημίαν τῆς θεογνωσίας, καὶ τὴν ἀνυδρίαν τῆς πνευματικῆς διδασκαλίας, καὶ τὴν ἀκαρπίαν τῶν ἀρετῶν, ἥντινα ἔρημον ὁ Χριστὸς ἐπιφανεὶς, συνέσεισε, μετακινήσας εἰς ἑαυτὸν, καὶ ἀρόσας τῷ ἀρότρῳ τῆς πίστεως.

8β *Καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης.*

Συσσείσει δὲ, φησὶν, οὐ πᾶσαν τὴν ἔρημον, ἀλλὰ τὴν Κάδης, τουτέστι, τὴν ἁγίαν, τὴν ἀφωρισμένην αὐτῷ, καὶ ἀξίαν αὐτοῦ· τὸ Κάδης γὰρ, ἁγίαν ἑρμηνεύει καθ' Ἕλληνας.

9α *Φωνὴ Κυρίου, καταρτιζομένη ἐλάφους.*

Ἐντεῦθεν διϊσχυρίζονταί τινες, ὅτι τὸ, *Φωνὴ Κυρίου συντρίβοντος κέδρους*, καὶ τὰ ἄλλα τὰ τοιουτόσχημα, οὐκ εἰσὶν ἐλλειπτικὰ, οὐδὲ πλαγίας συντάξεως, ἀλλὰ σχῆμα ἑτερογενὲς ὁμοῦ καὶ ἑτερόπτωτον, συντρίβοντος γὰρ, ἀντὶ τοῦ, συντρίβουσα· ἑτερογενὲς μὲν, διὰ τὸ ἀρσενικὸν ἀντὶ θηλυκοῦ, ἑτερόπτωτον δὲ, διὰ τὴν γενικὴν ἀντὶ τῆς εὐθείας.

Ἐλάφους δὲ λέγει, τοὺς μαθητὰς τοῦ Χριστοῦ. Ὥσπερ γὰρ ἡ ἔλαφος καταφρονεῖ τῆς ἀπὸ τῶν ἰοβόλων ἑρπετῶν βλάβης, καὶ διώκει ταῦτα διὰ τῆς Physiologus,
ἰδίας ὀσμῆς, καὶ ἀνέλκουσα τῇ βίᾳ τοῦ πνεύματος τοῦ ἀπὸ τοῦ στόματος αὐτῆς, Περὶ ἐλάφου
ὄλλυσιν, οὕτω καὶ πᾶς ὁ τοῦ Χριστοῦ μαθητὴς ἔλαβεν ἐξουσίαν *πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ*. Αὐτὴ οὖν ἡ φωνὴ Lk 10.19
τοῦ Σωτῆρος, κατήρτισεν αὐτοὺς εἰς τὸν δρόμον τοῦ κηρύγματος καὶ τῆς ἀρετῆς, ἡ λέγουσα, *Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν*, καὶ τὰ ἑξῆς. Καὶ ἐδίωκον μὲν τοὺς νοητοὺς ὄφεις τῇ ὀσμῇ τοῦ πνεύματος, ὤλλυον δὲ αὐτοὺς τῇ δυνάμει τοῦ ἐκπεμπομένου λόγου τοῦ στόματος αὐτῶν.

9β *Καὶ ἀποκαλύψει δρυμούς.*

Δρυμοὺς λέγει, τὰς ὑλώδεις καὶ ἀκάρπους ψυχὰς τῶν ἐθνῶν, αἷς ἐνεφώλευον ὡς θηρία, τὰ ποικίλα καὶ ἄγρια πάθη, ἃς ἀποκαλύψει, περιελὼν τὴν πυκνότητα τοῦ σκότους αὐτῶν τῷ λόγῳ, ὅς ἐστι τομώτερος, φησὶ, *ὑπὲρ πᾶσαν μάχαιραν δίστομον*, ὡς γενέσθαι τὰ θηρία φανερὰ καὶ εὐεπιχείρητα ταῖς ἐλάφοις. Heb 4.12

9γ *Καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.*

Τῷ κατὰ πάντα τόπον, καὶ πᾶς πιστεύσας, καὶ οὐ τῷ ἐν Ἱεροσολύμοις, οὐδὲ Ἰουδαῖοι μόνον.

Λέγει δὲ δόξαν, ἀντὶ τοῦ, ᾄδει ὕμνον, εὐχαριστῶν αὐτῷ, ὡς Λυτρωτῇ καὶ Σωτῆρι. Λέγει δὲ τότε, ὅτε καιρὸς καλεῖ.

10α *Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ.*

Κατακλυσμὸν λέγει, τὰ κατακλυσθέντα τῇ πλημμύρᾳ τῶν παθῶν ἔθνη. Ταῦτα γὰρ, φησὶν, ἐνοικίσει Χριστὸς, ταῖς χώραις τῆς Ἐκκλησίας αὐτοῦ.

9α[9] ἰδίας MPSBFH : οἰκίας CV.

Ἢ κατακλυσμὸν νόει, τὸ θεῖον βάπτισμα, κατακλύζον τὰς ἁμαρτίας, ὃ ἐνοικίσει τῇ Ἐκκλησίᾳ.

10β Καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα.

Βασιλεὺς τῶν πιστῶν, τῶν ἀποκαθηραμένων· *Ἐδόθη μοι γὰρ*, φησὶν, *ἐξουσία, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς*. Καθιεῖται δὲ, ἀντὶ τοῦ, μενεῖ, διὰ τὸ ἑδραῖον τοῦ καθίζεσθαι. Mt 28.18

11α Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.

Τῷ τῶν Χριστιανῶν, πολεμουμένῳ ὑπὸ τυράννων καὶ δαιμόνων καὶ παθῶν.

11β Κύριος εὐλογήσει τὸν | λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

Πολεμούμενον μὲν, ἐνισχύσει· ἐν δὲ τῷ καιρῷ τῆς εἰρήνης, εὐλογήσει, τουτέστι, χάριτος ἀξιώσει, διὰ τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος. Ἢ εὐλογήσει, ἀντὶ τοῦ, ἐπαινέσεται, εὐαρεστοῦντα αὐτῷ.

29 κθ´

1 Ψαλμὸς ᾠδῆς· τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου· τοῦ Δαυίδ.

Τί μέν ἐστι ψαλμὸς ᾠδῆς, ἐν τῷ προοιμίῳ τῆς ἐξηγήσεως τῆς παρούσης βίβλου προείρηται· περὶ δὲ τῆς λοιπῆς ἐπιγραφῆς, διάφοροι λόγοι φέρονται. §§ 65-66

Τινὲς μὲν γάρ φασιν, οἶκον μὲν, τὴν τοῦ Δαυὶδ ψυχὴν ὀνομασθῆναι, ὡς κατοικητήριον γεγονυῖαν τοῦ προφητικοῦ χαρίσματος· ἐγκαινισμὸν δὲ, τὴν αὖθις ἀνανέωσιν, ὅτε μετὰ τὴν πορνείαν καὶ τὸν φόνον Οὐρίου, μετανοήσας θερμῶς, ἠξιώθη πάλιν τοῦ προφητεύειν ὡς τὸ πρότερον.

Τινὲς δὲ, οἶκον μὲν, τὴν Ἐκκλησίαν τῶν πιστῶν, ἐγκαινισμὸν δὲ, τὴν διὰ τῆς ἀναγεννήσεως τοῦ βαπτίσματος ἀνακαίνισιν αὐτῆς.

Ἄλλοι δὲ ἐγκαινισμὸν ἐκάλεσαν, τὴν ἐγκαινισμῷ ἐοικυῖαν ἑορτὴν, ἣν Ἐζεκίας ἑώρτασε μετὰ τὴν ἀναίρεσιν τῶν Ἀσσυρίων, ἐν τῷ ναῷ, τῷ οἴκῳ Κυρίου, ὡς εἶναι 2Par 29-31
τὸν ψαλμὸν τοῦτον, ψαλμὸν ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου, προαναφωνοῦντα τίνας εἰκὸς λόγους ῥηθῆναι τηνικαῦτα, εἴτε παρὰ τοῦ Δαυὶδ, εἴτε παρὰ τῆς Ἐκκλησίας, εἴτε παρ' Ἐζεκίου· ἑκάστῳ γὰρ τούτων ἁρμόσειεν ἄν.

Τὸ δὲ, τοῦ Δαυὶδ, ἀναγνωστέον καθ' ἑαυτὸ, δηλοῦν τὸν ποιήσαντα.

2α Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με.

Πῶς ὁ ταπεινὸς ὑψώσει τὸν ὑψηλὸν, ἢ δηλονότι, ὑψηλὸν αὐτὸν ὁμολογῶν; οὕτω γὰρ καὶ μεγαλύνει αὐτὸν ὁ μέγιστον δογματίζων, ὥσπερ ἐκ τοῦ ἐναντίου ταπεινοῖ αὐτὸν καὶ σμικρύνει ὁ ταπεινὰ καὶ σμικρὰ περὶ αὐτοῦ φθεγγόμενος.

10β[3] καθίζεσθαι MPSCV : καθέζεσθαι H.

Ὑπέλαβες δὲ, ἀντὶ τοῦ, μετεώρισας, ἐκούφισας κατεῤῥαγμένον τῇ ἁμαρτίᾳ, ὑποθεὶς τὴν χεῖρα τῆς βοηθείας σου.

2β Καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ.

Κατὰ τὸν Δαυὶδ μὲν, οἷς δοθῆναι τὴν βασιλείαν αὐτοῦ ὁ Θεὸς διὰ τοῦ προφήτου Νάθαν ἠπείλησε. Κατὰ δὲ τὴν Ἐκκλησίαν, τοὺς δαίμονας. Κατὰ δὲ τὸν Ἐζεκίαν, τοὺς Ἀσσυρίους.

Οὐκ εὔφρανας δὲ, ἀντὶ τοῦ, οὐκ ἔδωκας εὐφρανθῆναι αὐτοὺς κατ' ἐμοῦ.

3 Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σὲ καὶ ἰάσω με.

Δηλονότι οὐκ εἰς μακράν. Ὁ μὲν γὰρ Δαυὶδ εἰπὼν, ἡμάρτηκα τῷ Κυρίῳ, 2Rg 12.13
ἤκουσεν εὐθὺς, ὅτι καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. Ἡ δὲ Ἐκκλησία, Sir 47.11
ἐπικαλουμένη αὐτὸν ἐν τῷ καιρῷ τοῦ βαπτίσματος, εὐθὺς ἀπολούεται τὰς πληγὰς
τῆς ἁμαρτίας. Ὁ δὲ Ἐζεκίας, σάκκον περιβαλόμενος καὶ ἱκετεύσας, ταχέως ἰάθη 4Rg 19.1
ἀπὸ τῆς πληγῆς τῆς πολιορκίας.

4α Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου.

Κατὰ μὲν τὸν Δαυὶδ καὶ τὴν Ἐκκλησίαν, ἀπὸ τοῦ σκότους τῆς ἁμαρτίας· ἢ καὶ διὰ τὴν τοῦ ᾅδου κατάλυσιν τοῦτο, καὶ τὴν τῶν ψυχῶν ἐλευθερίαν.

Κατὰ δὲ τὸν Ἐζεκίαν, ἀπὸ τοῦ σκότους τῆς δειλίας, ἣ σκότωσιν ἐμποιεῖ.

4β Ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.

Τὸ αὐτὸ πάλιν εἶπεν· ἔθος γὰρ τοῖς εὐχαριστοῦσι, ποικίλλειν τὴν διήγησιν τῆς εὐεργεσίας. Λάκκον δὲ νοήσεις, τὸν ἄφυκτον κίνδυνον, τοιοῦτος γὰρ ὁ βόθρος, ἢ τὸν τάφον, ἢ τὸν ᾅδην· καὶ ταῦτα γὰρ ἐν τῷ βάθει τῆς γῆς εἰσι, καὶ ἄφυκτα.

Ἔσωσάς με, φησὶν, ἀπὸ τῶν καταβαινόντων εἰς κίνδυνον· κατὰ μὲν τὸν Δαυὶδ καὶ τὴν Ἐκκλησίαν, ψυχικὸν, κατὰ δὲ τὸν Ἐζεκίαν, σωματικόν.

Χρὴ δὲ γινώσκειν, ὅτι | οὐ πάντα τὰ ἑξῆς ῥητὰ, πᾶσι τούτοις ἁρμόζουσιν, ἀλλά τινα· τοιαῦτα γὰρ, ὡς ἐπίπαν, τὰ προφητικά.

5α Ψάλατε τῷ Κυρίῳ, οἱ ὅσιοι αὐτοῦ.

Οἱ δίκαιοι αὐτοῦ, οἱ ἐνάρετοι· οἱ γὰρ μὴ οὕτως ἔχοντες, ψάλλοντες οὐ
ψάλλουσιν. Οὐ γὰρ δύναται δένδρον πονηρὸν καρποὺς ἀγαθοὺς ποιεῖν, οὐδὲ Mt 7.18
καρδία θανατηφόρος, ῥήματα ἐκβάλλειν ζωῆς.

5β Καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

4α[3] καὶ διά PSBF : διά MC.

Καὶ εὐχαριστεῖτε τῇ μνήμῃ αὐτοῦ, ὅτι ἐμνημόνευσεν ἡμῶν αὕτη, τῶν ἐπιλελησμένων, διὰ τὰς ἁμαρτίας ἡμῶν.

6α Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ.

Ὀργὴν μὲν ὀνομάζει νῦν, τὴν κόλασιν· θυμὸν δὲ, τὴν ἀγανάκτησιν.

Ἔστι δὲ τοιοῦτος ὁ νοῦς, ὅτι κόλασις μέν ἐστιν ἐν τῇ ἀγανακτήσει αὐτοῦ, ζωὴ δὲ ἐν τῷ θελήματι αὐτοῦ· τουτέστιν, ἀγανακτῶν μὲν, κολάζει, ὡς δίκαιος, θέλει δὲ ἀεὶ ζωογονεῖν, ὡς ἐλεήμων· ὡς εἶναι τὸ μὲν, περιστάσει ἀπροαιρέτῳ, τὸ δὲ, φύσει θελητικῇ. Φησὶ γὰρ διὰ Ἰεζεκιὴλ, *Μὴ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.* Ez 18.23

Προτάττει δὲ ἡ Γραφὴ τὰ λυπηρὰ τῶν ἡδέων· ἡδίονα γὰρ μετὰ τὰ σκυθρωπὰ, τὰ χρηστὰ, ὡς τὸ, *Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω, κἀγὼ ἰάσομαι.* Dt 32.39

6β Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις.

Τοῦτο βούλεται δηλοῦν, ὅτι ἡ μετάνοια ταχεῖαν ἐπάγεται τὴν συγχώρησιν. Ὁ γὰρ ἑσπέρας κλαύσας, τὸ πρωῒ εὐθὺς ἀγαλλιαθήσεται, παρηγορούμενος τῇ ἐπιδημίᾳ τοῦ ἁγίου Πνεύματος.

Ἔστι δὲ καὶ προφητεία περὶ τῶν ἀποστόλων, οἷς ἐν ἑσπέρᾳ τοῦ Σαββάτου μετὰ τὴν ταφὴν τοῦ Σωτῆρος κλαίουσι, τὸ πρωῒ τῆς Κυριακῆς αἱ γυναῖκες ἐκόμισαν χαρᾶς εὐαγγέλια, ὅτι ἀνέστη ὁ Κύριος.

Καὶ οἱ περὶ τὸν Ἐζεκίαν δὲ, μετὰ τὴν φοβερὰν ἀπειλὴν τοῦ Σεναχηρεὶμ, ἑσπέρας συλλεγέντες καὶ κλαύσαντες ὡς ἤδη κατασχεθησόμενοι, τὸ πρωῒ χαρᾶς ἐπλήσθησαν διὰ τῆς νυκτὸς ἀοράτως ἀναιρεθεισῶν τῶν τοσούτων ἐκείνων χιλιάδων.

Αὐλισθήσεται δὲ, ἀντὶ τοῦ, σκηνώσει.

7 Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.

Τοῦτο, καὶ περὶ Δαυίδ ἐστι καὶ περὶ Ἐζεκίου, οἳ ἐν ταῖς εὐημερίαις αὐτῶν, ᾤοντο, μὴ δυσπραγῆσαί ποτε. Εὐθηνία μὲν γὰρ, ἡ εὐεξία· σάλευσις δὲ, ἡ παρατροπὴ τῆς εὐσταθείας.

8 Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν, ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.

Περὶ τῶν αὐτῶν καὶ ταῦτα· φησὶ γὰρ, ὅτι ἥνπερ εἶχε δύναμιν τὸ κάλλος μου πρότερον, ἤτοι ἡ λαμπρότης καὶ περιφάνεια τῆς βασιλείας μου, σοῦ θελήσαντος εἶχον, καὶ οὐκ ἐξ ἐμῆς ἀρετῆς. Ἀπέστρεψας γὰρ τὴν ἐπισκοπήν σου διὰ τὴν ἐμὴν οἴησιν, καὶ εὐθὺς ἐγενόμην ἐν θορύβῳ καὶ συμφορᾷ.

6α[5] ζωογονεῖν MSCBF : ἐλεεῖν PV. 6α[8] σκυθρωπά MSCBF : λυπηρά PV.

9α Πρὸς σὲ, Κύριε, κεκράξομαι.

Ἀπολαύσας ταχείας ἐπικουρίας, πρὸς σὲ καὶ εἰς τὸ ἑξῆς κεκράξομαι.

Παρατηρητέον δὲ, ὅτι τὸ κράζειν καὶ τὸ βοᾶν, ἐπὶ τῶν ἐκ καρδίας δεομένων τίθησιν ἡ Γραφή.

9β Καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι.

Τὸ αὐτὸ κἀνταῦθα. Ἢ πρὸς σὲ μὲν, διὰ τὸν Πατέρα· πρὸς τὸν Θεόν μου δὲ, διὰ τὸν Υἱόν.

Ἔοικε δὲ προαγορεύειν τὴν ἡμέραν, καθ' ἣν αὐτὸς | ὁ Δαυίδ, ὑπὸ Ἀβεσαλὼμ
διωκόμενος, ἐπεκαλέσατο τὸν Θεὸν, ἢ καθ' ἣν Ἐζεκίας, πληροφορηθεὶς παρὰ τοῦ 2Rg 15.31
προφήτου ὅτι αὔριον ἀποθανεῖται, ἱκέτευσε τὸν Κύριον περὶ τῆς ἑαυτοῦ ζωῆς. 4Rg 20.2

Κεκράξομαι, φησὶ, καὶ δεηθήσομαι, λέγων οὕτως·

10α Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;

Αἷμα λέγει τὴν σάρκα· ἡ σὰρξ γὰρ, αἷμα πεπηγός ἐστι. Ps 7. 6β

Ποία, φησὶν, ὠφέλεια τῇ σαρκί μου, οὕτως αὐξηθείσῃ καὶ κοσμηθείσῃ, ἐπεὶ καταβῆναι μέλλω εἰς σῆψιν. Ἄμεινον γὰρ μηδὲ γεννηθῆναί με.

Φαυλίζει δὲ τὴν φύσιν, ὡς ἐπίκηρον καὶ ὀλιγοχρόνιον. Ἄνθρωπος γὰρ, φησὶ,
ματαιότητι ὡμοιώθη. Ps 143.4

10β Μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;

Ὅμοια ταῦτα τῷ, *Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ
καταβαίνοντες εἰς ᾅδην· ἀλλ' ἡμεῖς, οἱ ζῶντες, εὐλογήσομεν τὸν Κύριον.* Θαῤῥῶν Ps 113.25-26
γὰρ τῇ ἀνεξικακίᾳ τοῦ Θεοῦ, δικαιολογεῖται, λέγων· Ἆρα εὐχαριστήσει σοι ὁ χοῦς, εἰς ὃν ἀναλυθῆναι κινδυνεύω; ἢ διδάξει τοὺς ἀγνοοῦντας, ὅτι σὺ ἀληθῶς Θεός; ἢ ὅτι ἀληθής; τὸ μὲν, ὡς τῶν ἄλλων θεῶν ψευδῶν ὄντων, τὸ δὲ, ὡς πληροῦντός σου τὰ ἐπηγγελμένα. Βέλτιον οὖν ἔτι ζῆν με, εἰ καὶ μὴ δι' ἐμὲ, ἀλλ' ἵνα δοξολογῶ σε καὶ ὑμνῶ καὶ κηρύττω τὴν ἀλήθειάν σου.

11α Ἤκουσε Κύριος καὶ ἠλέησέ με.

Αἰσθόμενος τῆς μελλούσης βοηθείας, ὡς ἤδη γεγονυῖαν αὐτὴν διηγεῖται. Ἤκουσε τῆς ἐμῆς κραυγῆς, τουτέστι, προσήκατό μου τὴν δέησιν· οἱ γὰρ μὴ προσιέμενοι, οὐδ' ἀκούειν ἀνέχονται.

11β Κύριος ἐγενήθη βοηθός μου.

Ἀκούσας, ἠλέησε, καὶ ἐλεήσας, ἐβοήθησέ μοι, ῥυσάμενος ἐκ τοῦ τηνικαῦτα θανάτου.

12α Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί.

Κοπετός ἐστι τὸ θρηνεῖν καὶ τύπτειν τὸ στῆθος καὶ τὰς παρειάς· κόπτω γὰρ, τὸ τύπτω.

Ἐνήλλαξας τὴν λύπην μου εἰς χαράν.

12β Διέῤῥηξας τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην.

Ὁ σάκκος, μετανοίας ἦν καὶ ταπεινώσεως σύμβολον· οἱ γὰρ μεγάλῃ καὶ ἀπαρηγορήτῳ συμφορᾷ περιπεσόντες, σάκκον περιεβάλλοντο, καὶ σποδὸν τῆς κεφαλῆς κατέπασσον· ὅτε δ' ἐψυχαγωγοῦντο, περιῤῥήξαντες αὐτὸν, εὐφροσύνης ἱμάτια περιεζωννύοντο. Διέῤῥηξας, ἀντὶ τοῦ, ἐξέδυσας τὸ πένθος· περιέζωσας δὲ, τουτέστιν, ἠμφίεσας εὐφροσύνην.

13α Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου.

Ἵνα ἀνυμνῇ σε ἡ δεδοξασμένη ζωή μου· δεδοξασμένη δὲ, διὰ τὴν παρὰ σοῦ βοήθειαν.

Ἢ καὶ ἄλλως, δόξαν λέγει, τὸν νοῦν, ᾧ τετιμήμεθα διὰ τὸ κατ' εἰκόνα εἶναι Θεοῦ.

[Ζήτει καὶ ἐν τῷ ρζ′ ψαλμῷ τὸ, Ἄισομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.] Ps 107.2

13β Καὶ οὐ μὴ κατανυγῶ.

Ἀντὶ τοῦ, κατανυγῶ, οὐ μὴ σιγήσω ἡρμήνευσεν ὁ Σύμμαχος· ἐκ τοῦ προηγουμένου οὖν, τὸ ἑπόμενον ἐδηλώθη· ἕπεται γὰρ τῇ κατανύξει σιγή.

Ἢ, οὐ μὴ κατανυγῶ, ἀντὶ τοῦ, οὐ μὴ ἁμαρτήσω ἔτι, ὡς δηλοῦσθαι διὰ τοῦ ἑπομένου, τὸ προηγούμενον· ἕπεται γὰρ τοῖς ἁμαρτάνουσι κατάνυξις.

13γ Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

Ἀεί σοι εὐχαριστήσω, τοιαύτης με σωτηρίας ἀξιώσαντι.

Καὶ ἄλλως γὰρ, δι' ὅλου τοῦ παρόντος αἰῶνος εὐχαριστεῖ αὐτῷ, τοῖς ἡμετέροις στόμασι χρώμενος, ὁσάκις ᾄδομεν τὸν ψαλμόν. |

13α[6] [MP in marg.]C : om. SHV.

30 λʹ

1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ· ἐκστάσεως.

Εἰς τὸ τέλος μὲν, ὡς περιέχων προφητείαν εἰς τέλος ὁρῶσαν· ἐκστάσεως δὲ ψαλμὸς, ὡς μνημονεύων τῆς παρατροπῆς ἣν παρετράπη, μοιχεύσας τὴν Οὐρίου γυναῖκα καὶ ἀνελὼν αὐτόν· ἔκστασιν γὰρ, τὴν παραφορὰν τῆς εὐθύτητος ἑρμηνεύουσιν. Ἐῤῥήθη δὲ, καθ' ὃν καιρὸν ἐδιώκετο παρὰ τοῦ υἱοῦ αὐτοῦ Ἀβεσαλώμ.

Οὐχ ἥκιστα δὲ, καὶ ἑκάστῳ ἡμῶν προσήκει τὰ ῥήματα τοῦ ψαλμοῦ, νοοῦντι Ἀβεσαλὼμ καὶ Ἀχιτόφελ καὶ τοιούτους ἐχθροὺς, τὸν διάβολον καὶ τοὺς ἄλλους δαίμονας, καὶ τ' ἄλλα οἰκείως ἐκλαμβάνοντι.

2α Ἐπὶ σοὶ, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

Τοῦτο, ταὐτὸν δύναται τῷ, *Ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα*. Καὶ ζήτει λοιπὸν τὴν ἐξήγησιν ἐν τῷ δευτέρῳ στίχῳ τοῦ κδʹ ψαλμοῦ. Ps 24.2α

2β Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.

Εἰ καὶ ἀνάξιός εἰμι βοηθείας, ἀλλάγε διὰ τὴν σὴν ῥῦσαί με δικαιοσύνην, ἥτις καταδικάζει τοὺς πατραλοίας, καὶ ἁπλῶς πάντας τοὺς ἀδικοῦντας.

Ταὐτὸν δὲ τὸ, *ῥῦσαί με*, καὶ τὸ, *ἐξελοῦ με*· δῆλον δὲ, ὅτι τοῦ θανάτου καὶ τῆς ἐνέδρας.

3α Κλῖνον πρός με τὸ οὖς σου.

Περὶ τῆς κλίσεως τοῦ θείου ὠτὸς, εἰρήκαμεν ἐν τῷ ιϛʹ ψαλμῷ, ἔνθα τὸ, *Κλῖνον τὸ οὖς σου ἐμοὶ, καὶ εἰσάκουσον τῶν ῥημάτων μου*. Ps 16.6β

3β Τάχυνον τοῦ ἐξελέσθαι με.

Μὴ μόνον ἐξελοῦ με, ἀλλὰ καὶ τάχυνον εἰς τοῦτο.

3γ Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν.

Τὸ, *εἰς Θεὸν ὑπερασπιστὴν*, ἀντὶ τοῦ, Θεὸς ὑπερασπιστής. Ἰδίωμα γὰρ καὶ τοῦτο τῆς Παλαιᾶς· ἢ ἔσο μοι εἰς τόδε καὶ τόδε.

Καὶ μὴν ἦν Θεὸς αὐτοῦ, ἀλλ' οὐχ ἁπλῶς Θεὸν αὐτοῦ τοῦτον εἶναι ζητεῖ, ἀλλὰ Θεὸν ὑπερασπιστὴν, ἐν καιρῷ ταλαιπωρίας.

3δ Καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.

Ἐπὶ τῷ σῶσαί με ἐν καιρῷ φυγῆς, καθάπερ τινὶ φρουρίῳ ἀναλώτῳ προσφεύγοντά σοι.

4α Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ.

Διότι καὶ ἄμφω ἃ ζητῶ, σύ μοι γέγονας, καὶ τῆς παρὰ σοῦ καὶ ἄλλοτε πεπείραμαι βοηθείας.

4β Καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με.

Καὶ πέποιθα, ὅτι εἰ καὶ μὴ διὰ τὴν ἐμὴν ἀρετὴν, ἀλλά γε διὰ τὸ σὸν ὄνομα — ἐλεήμων γὰρ ὀνομάζῃ — ὁδηγήσεις με εἰς τόπον ζωῆς, ἐξάγων με τοῦ κινδύνου, Ex 34.6
καὶ διαθρέψεις με, πιεζόμενον ἐνδείᾳ τῶν ἐπιτηδείων.

Ἢ, τοῦ ὀνόματός σου, ἀντὶ τοῦ, σοῦ, περιφραστικῶς.

5α Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι.

Παγίδα λέγει νῦν, τὴν συμβουλὴν Ἀχιτόφελ, ἣν τῷ Ἀβεσαλὼμ οὗτος ὑπέθετο, συγκλεῖσαι τὸν Δαυὶδ ἐν ἀφύκτῳ διασκεψάμενος. 2Rg 17.1-3

Παγὶς μὲν γὰρ, ὡς συλλαμβάνουσα τὸν περιπίπτοντα. Ἐκρύβη δὲ αὐτῷ διὰ τὸ λαθραῖον· πᾶσα γὰρ παγὶς κέκρυπται.

Ὑπολήψη δὲ καὶ ἄλλως παγίδα, τὴν πρόσφατον ἐπιβουλὴν τῶν δαιμόνων.

5β Ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε.

Πάλιν τῷ Θεῷ μόνῳ τὴν βοήθειαν ἐπιγράφει· τοῦτο μὲν εὐγνωμονῶν, ὡς προευηργετημένος, τοῦτο δὲ καὶ εἰς οἶκτον διὰ τῆς τοῦ λόγου συνεχείας ἐκκαλούμενος αὐτὸν, οἷα μηδένα ἕ | τερον βοηθὸν ἀξιόλογον ἔχειν διαβεβαιούμενος.

6α Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου.

Τῇ σῇ δυνάμει καταπιστεύσω ἤδη τὴν ψυχήν μου, τουτέστιν, ἐμαυτὸν, μηδενὶ ἄλλῳ θαῤῥῶν.

Χεῖρας γὰρ Θεοῦ, τὴν ἰσχὺν αὐτοῦ καλεῖ· ἐν ταῖς χερσὶ γὰρ ἡ δύναμις.

6β Ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας.

Πολλάκις γάρ με ἔσωσας, ἀπὸ τοῦ Γολιὰθ, ἀπὸ τοῦ Σαοὺλ, καὶ ἀπὸ κινδύνων ἄλλων. Ἢ καὶ ἄλλως, προφητεύει περὶ τῆς ἑαυτοῦ σωτηρίας.

Ὁ Θεὸς δὲ τῆς ἀληθείας, ἀντὶ τοῦ, ὁ ἀληθινὸς, ὡς ἐν τῷ ς′ στίχῳ τοῦ κη′ ψαλμοῦ προπαραδεδώκαμεν. Ps 28.3β

7α Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς.

Ἀπεστράφης τοὺς ἐφ' ἱκανὸν τηροῦντας τὰς ματαίας βουλὰς καὶ μὴ μεταγινώσκοντας ἀλλὰ θαῤῥοῦντας αὐταῖς, ὁποῖοι ἦσαν οἱ περὶ τὸν Ἀβεσαλώμ· τὸ διακενῆς δὲ πρόσκειται, ἀντὶ τοῦ, ἀχρήστως καὶ περιττῶς, διὰ τὸ ἀποτευκτικὸν τοῦ σκοποῦ.

7β Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα.

Καὶ οὐκ ἐπὶ πανουργίαις, ὡς ἐκεῖνοι.

8α Ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου.

Ἢ διὰ τῆς ταὐτολογίας τὸ ὑπερβάλλον τῆς μελλούσης ἡδονῆς παραστῆσαι βούλεται· ἢ ζήτει τὴν διαφορὰν ἐν τῷ τρίτῳ στίχῳ τοῦ ἐννάτου ψαλμοῦ. Ps 9.3α
Ἐπὶ τῷ ἐλέει δὲ, ὃ ποιήσεις εἰς ἐμὲ, τὸν ἐλέους ἄξιον δι' ἃ πέπονθα. [Ps 13.7β]

8β Ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου.

Ἡ ταπείνωσις ποτὲ μὲν δηλοῖ τὴν ἀτυφίαν, ποτὲ δὲ τὴν κακουχίαν καὶ ταλαιπωρίαν, ὡς καὶ νῦν. Πέπεισμαι, φησὶν, ὅτι ἐπεῖδες ἐπὶ τὴν συντριβὴν, ἣν ὑφίσταμαι παρὰ τῶν καταδιωκόντων με· *Ὀφθαλμοὶ γὰρ Κυρίου ἐπὶ δικαίους.* Ps 33.16

8γ Ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου.

Ἤδη προαγορεύει τὴν ἑαυτοῦ σωτηρίαν, διηγούμενος αὐτὴν ὡς γεγενημένην λοιπὸν, νόμῳ προφητείας· ἢ καὶ ἄλλως, παλαιᾶς μνημονεύει βοηθείας.
Ἀναγκῶν δὲ, τῶν περιστάσεων καὶ κινδύνων. Διὰ δὲ τῆς ψυχῆς, ὅλον ἑαυτὸν ἐσήμανε. Ποτὲ μὲν γὰρ ἀπὸ ψυχῆς δηλοῦται ὁ ἄνθρωπος, ὡς ἐν τῷ Λευϊτικῷ,
Πᾶσα ψυχὴ ἥτις φάγεται θνησιμαῖον ἢ θηριάλωτον, καὶ τὰ ἑξῆς, ποτὲ δὲ, ἀπὸ Lev 17.15
σαρκὸς, ὡς τὸ, *Πρὸς σὲ πᾶσα σὰρξ ἥξει.* Ps 64.3

9α Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν.

Τοῦτο σαφές.

9β Ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.

Ἐν εὐρυχωρίᾳ, τουτέστιν, εἰς πλάτος ἐλευθερίας, ἀπὸ τῆς στενοχωρίας τοῦ κυκλώματος τῶν ἐχθρῶν.

10α Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι.

Πάλιν ἐπὶ τὴν προτεθεῖσαν ἀνατρέχει παράκλησιν, διὰ τῆς ἐπιτεταμένης ἐλεεινολογίας ἐπιταχύνων τὴν σωτηρίαν.

10β Ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου.

Τῷ σῷ δηλονότι· εἰ μὴ γὰρ ἐθυμώθης διὰ τὰ προγεγενημένα μοι σφάλματα, οὐκ ἂν οὕτως ἐταλαιπωρούμην. Διὸ καὶ ἐταράχθη ὁ ὀφθαλμός μου ἀπὸ τοῦ συνεχῶς δακρύειν· τὸ γὰρ, ἐταράχθη, ὁ Σύμμαχος, ἐθολώθη, εἴρηκεν.

10γ Ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.

Ἡ μὲν, ἀπὸ τοῦ σφοδρῶς ἀδημονεῖν καὶ ἀκηδιᾶν, ἡ δὲ, ἀπὸ τοῦ μὴ προσίεσθαι τροφήν.

Δύναται καὶ ἀναγωγικῶς νοεῖσθαι, ὀφθαλμὸς μὲν, ὁ νοῦς, ὡς ἐν τῷ ἕκτῳ ψαλμῷ Ps 6.8α
προέφημεν· ψυχὴ δὲ, αἱ ἐλπίδες, ὡς ἀναψύχουσαι τὸν ὀλιγωροῦντα· γαστὴρ δὲ, τὸ μνημονικὸν μέρος τῆς ψυχῆς, ἐν ᾧ θησαυρίζεται | ἡ λογικὴ βρῶσις.

11α Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς.

Ἀπὸ κοινοῦ ληπτέον τὸ, ἐλέησόν με, Κύριε, ὅτι, φησὶν, ὑπὸ τῆς ἄγαν ὀδύνης ἐξέλιπεν ἡ ζωή μου, καὶ ὑπὸ τῶν πικρῶν στεναγμῶν τὰ ἔτη μου, ἤγουν αἱ ἡμέραι τῆς ζωῆς μου· ταὐτὸ δὲ δι᾽ ἀμφοτέρων σημαίνεται.

Ἰδίωμα δὲ τῆς Παλαιᾶς, τὸ ἐπὶ τῆς ἄγαν περιωδυνίας λέγειν, ὅτι ἀπέθανον, διὰ τὴν ἀσθένειαν πάντως τῶν σωματικῶν δυνάμεων.

11β Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου.

Πτωχείαν ἐνταῦθα, τὴν ἀπὸ τῆς ἀσιτίας νόει· καὶ τοῦτο γὰρ ἡ ἱστορία παρέστησε. 2Rg 17.29

11γ Καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.

Παρεκινήθησαν ἀφ᾽ ἧς εἶχον στεῤῥότητος, μὴ δυνάμενά με συνέχειν ὡς τὸ πρότερον.

Νοεῖται δὲ πάλιν, ἰσχὺς μὲν, ἡ ἀνδρεία τῆς ψυχῆς, ἐφ᾽ ᾗ πτωχείαν εἴποις, τὴν ἀπὸ τῆς θείας ἐγκαταλείψεως· ὀστᾶ δὲ, οἱ στεῤῥοὶ λογισμοί.

12α Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος.

10γ[6] βρῶσις MSCBFV : γνῶσις P. 11α[6] πάντως PSCBFHV : πάντων M. 11γ[4] ἐφ᾽ ᾗ PHV : ἐφ᾽ ἧς MCBF.

Ἀναπάντας, εἰς πάντας· ὀνειδίζουσι γάρ μοι, ὡς φεύγοντι, ἀνανδρίαν, καὶ ὡς ἡττωμένῳ διὰ τὰς ἐμὰς ἁμαρτίας.

12β Καὶ τοῖς γείτοσί μου σφόδρα.

Καὶ τοῖς γειτνιῶσι τῇ βασιλείᾳ μου ἔθνεσιν, λίαν ἐγενόμην ὄνειδος· φθονοῦντες γάρ μοι πάλαι διὰ τὰς εὐπραγίας μου, νῦν ἀφειδῶς ὀνειδίζουσι τὴν δυστυχίαν καὶ συμφοράν.

12γ Καὶ φόβος τοῖς γνωστοῖς μου.

Δεδιόσι μήπως κινδυνεύσωσι διὰ τὴν εἰς ἐμὲ οἰκείωσιν.

12δ Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ᾽ ἐμοῦ.

Ἐξετρέποντό με, μὴ δοῖεν ὑπόληψιν ὡς ἐμοὶ πρόσκεινται καὶ τὰ ἀνήκεστα πάθοιεν.

13α Ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας.

Ἐπελήσθην ἀπὸ καρδίας τῶν φίλων μου, τουτέστιν, ἠμνημονήθην ὡς ἤδη νεκρὸς, διὰ τὸ ἄφυκτον τῆς ἀναιρέσεως· ἢ ὥσπερ νεκρὸς ἐν λήθῃ ῥίπτεται, οὕτω κἀγὼ, δεδοικότων τὴν ὑποψίαν.

13β Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.

Ὥσπερ τὸ σκεῦος, σῳζόμενον μὲν, χρήσιμον δοκεῖ, ἀπολλύμενον δὲ, ἐν ἀμνημοσύνῃ γίνεται, οὕτω δὴ κἀγώ.

14α Ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν.

Κἀνταῦθα ληπτέον ἀπὸ κοινοῦ τὸ, ἐλέησον, ὅτι οἰκείοις ὠσὶν ἤκουσα ψόγον
παρὰ πολλῶν, ὧν εἷς ἦν καὶ ὁ Σεμεεὶ, λοιδορούμενος καὶ διαβάλλων φεύγοντα 2Rg 16.5-8
τὸν Δαυίδ.

14β Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ᾽ ἐμὲ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.

Συναχθέντες οἱ ἐχθροί μου ἐν ταὐτῷ, κατ᾽ ἐμοῦ ἐβουλεύσαντο, ὥστε ἀφελέσθαι ἀπὸ τοῦ σώματός μου τὴν ψυχήν μου· τὸ, ἐπ᾽ ἐμὲ, γὰρ νῦν, τὸ σῶμα δηλοῖ.

13β[2] ἀπολλύμενον MSCBFV : ἀπολόμενον P. 14β[3] ἐπ᾽ ἐμέ P : ἀπ᾽ ἐμοῦ MSCBFHV.

Λέγει δὲ περὶ τῆς βουλῆς, ἣν Ἀχιτόφελ ὑπέθετο· ἐμάνθανε γὰρ πάντα διὰ 2Rg 17.1-3
Σαδὼκ καὶ Ἀβιάθαρ τῶν ἱερέων, ὡς ἡ τῶν Βασιλειῶν ἀναπτύσσει βίβλος. 2Rg 17.15

15α Ἐγὼ δὲ ἐπὶ σοί, Κύριε, ἤλπισα.

Ἐκεῖνοι μὲν οὕτως, ἐγὼ δὲ, σοὶ μόνῳ πέποιθα.

15β Εἶπα, Σὺ εἶ ὁ Θεός μου.

Ὁ ἐξουσιαστής μου· τοῦτο γὰρ νῦν τὸ, Θεός, ἐμφαίνει· καὶ λοιπὸν, ὡς βούλῃ τὰ κατ᾽ ἐμὲ οἰκονόμησον.

16α Ἐν ταῖς χερσίν σου οἱ κλῆροί μου.

Οἱ κλῆροι καὶ τοῦ θανάτου μου καὶ τῆς ζωῆς μου, ἢ τῆς δυσπραγίας μου
καὶ εὐπραγίας μου, ἐν τῇ δυνάμει κεῖνται τῇ σῇ· χεῖρας γὰρ ἐνταῦθα, ταύτην
ὑποληπτέον. *Κύριος γὰρ θανατοῖ καὶ ζωογονεῖ, ταπεινοῖ καὶ ἀνυψοῖ*, ὥστε σοῦ 1Rg 2.6, 7
θέλοντος, ἢ νικήσας ζήσομαι, ἢ νικηθεὶς ἀποθανοῦμαι.

16β Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με.

Οἶδα ὅτι οὐ θέλεις τὸν ἐμὸν θάνατον, ὡς ἀνοσιώτατον· παῖς μου γὰρ, ὁ τοῦτον ἐπείγων. Οὐ μόνον δὲ ἦσαν ἐχθροὶ | οἱ καταγαγόντες αὐτὸν τῆς βασιλείας, ἀλλὰ καὶ φεύγοντα κατεδίωκον.

17α Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου.

Ἐπίφανον, ἀντὶ τοῦ, ἐπίστρεψον. Μὴ βοηθῶν μοι γὰρ, δοκεῖς ἀποστρέψαι τοῦτο διὰ τὸ τῶν ἁμαρτιῶν μου εἰδεχθές. Πρόσωπον δὲ, τὴν ἐπισκοπὴν καὶ οἰκείωσιν καλεῖ.

17β Σῶσόν με ἐν τῷ ἐλέει σου.

Εἰ μὴ δι᾽ ἐμὲ, ἀλλὰ διὰ τὸ σὸν ἔλεος· σὺ γὰρ εἶπας ἐν τῇ βίβλῳ τοῦ Λευϊτικοῦ,
Ἐλεήμων εἰμί. Ex 22.27

18α Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε.

Ἔοικε τοῦτο τῷ ἐν τῷ κδ´ ψαλμῷ, *Μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.* Ps 24.20γ

18β Αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾅδου.

16α[2] οἱ κλῆροι PC: οἱ κλῆροι, αἱ ψῆφοι [M in marg.]SBF : οἱ κλῆροί μου V.

Ἀσεβῆ λέγει, τὸν Ἀχιτόφελ, ὡς μὴ σεβόμενον τοὺς κατὰ πατραλοιῶν νόμους 2Rg 16.21,
τοῦ Θεοῦ ἐν τῷ ἐπεγείρειν τῷ πατρὶ τὸν υἱόν. 17.1

Τινὲς δὲ λέγουσι, τὰ παρόντα ῥητὰ, σχῆμα μὲν ἔχειν ἀρᾶς, δύναμιν δὲ προφητείας. Προείρηκε γὰρ ἃ ἔμελλε παθεῖν· καὶ ᾐσχύνθη γὰρ, προτιμηθείσης τῆς τοῦ Χουσὶ συμβουλῆς, καὶ ἀνῃρέθη, βρόχον ἀψάμενος. 2Rg 17.23

19 Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.

Χείλη δόλια, τὰ τοῦ αὐτοῦ Ἀχιτόφελ, ὡς κρύψαντα τὸν ἔκπαλαι δόλον ἄχρι τότε, ἃ καὶ ἄλαλα γεγόνασιν, ἀποπνιγέντος οὐκ εἰς μακράν. Δίκαιον δὲ, ἑαυτὸν λέγει, ὡς μὴ ἀδικήσαντα ἢ τὸν Ἀβεσαλὼμ, ἢ τὸν Ἀχιτόφελ, ἤ τινα τῶν σὺν αὐτοῖς. Ἀνομίαν δὲ, τὴν τούτου συμβουλὴν ὀνομάζει· ἄνομος γὰρ, ὡς παραθήγουσα υἱὸν κατὰ τοῦ πατρός. Ἐν ὑπερηφανίᾳ δὲ, ὅτι ἐμεγαλαύχησε δύνασθαι δι’ ὅλης τῆς νυκτὸς ἐκείνης ἐπιπεσεῖν καὶ ἀνελεῖν αὐτὸς τὸν Δαυὶδ, ὡς ἡ τῶν Βασιλειῶν ἐδίδαξε βίβλος. Ἐξουδενώσει δὲ, ὅτι καὶ ὕβρισεν αὐτόν. 2Rg 17.1

20α Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε.

Τὸ, ὡς, ἀντὶ τοῦ, λίαν. Φιλοσοφεῖ δὲ περὶ τῆς τοῦ Θεοῦ ποτὲ μὲν μακροθυμίας, ποτὲ δὲ ἀμύνης, καί φησιν, ὅτι λίαν πολλὴ ἡ χρηστότης σου, ἣν πρὸς καιρὸν ἔκρυψας τοῖς δούλοις σου, γυμνάζων τὴν ὑπομονὴν αὐτῶν, ἐν τῷ ἀναβάλλεσθαι.

20β Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

Ἐξεπλήρωσας δὲ, καὶ ἔκδηλον εἰργάσω αὐτὴν τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ὅτε ἠθέλησας ἐνώπιον πολλῶν, ἵνα μάθωσιν, ὅτι ὑπερασπίζεις τῶν σῶν.

Περὶ δὲ τῶν υἱῶν τῶν ἀνθρώπων, προείρηται ἐν τῷ γ′ στίχῳ τοῦ δ′ ψαλμοῦ. Ps 4.3α

21α Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου.

Τὴν ποικίλην τοῦ Θεοῦ βοήθειαν ὁμολογεῖ, ὅπως τοὺς φοβουμένους αὐτὸν παντοίας ἐξαιρεῖται περιστάσεως· ἀναζητουμένους γὰρ, φησὶν, ὑπ’ ἐχθρῶν, κατακρύψεις ἐν ἀποκρύφῳ σου δηλονότι τόπῳ· τοῦ προσώπου σου γὰρ, περίφρασις, ἀντὶ τοῦ, σοῦ.

21β Ἀπὸ ταραχῆς ἀνθρώπων σκεπάσεις αὐτοὺς ἐν σκηνῇ.

[18β][5] Add. [MP! in marg.]PV: *Διὰ πολλὰ ταῦτα τὴν θείαν ἀγανάκτησιν κατὰ των πολεμούντων αὐτῷ ἐκκαλεῖται· ἓν μὲν, ὥστε τούτους βελτιωθῆναι, Τύπτε γὰρ, φησὶν, ἀδόκιμον ἀργύριον, καὶ καθαρισθήσεται* [Prov. 25.4]*· ἕτερον δὲ, ἵνα ὧδε βασανισθέντες, ἐκεῖ ῥυσθῶσι τῶν αἰωνίων κολάσεων· τρίτον, ἵνα καὶ ἕτεροι διὰ τούτων σωφρονισθῶσι, Πανοῦργος γὰρ, φησὶν, ἰδὼν ἄφρονα μαστιζόμενον, κραταιῶς παιδεύεται·* [Prov. 22.3]*· τέταρτον, ὥστε καὶ τὸν βίον ἀπαλλαγῆναι λοιμώδους κακίας· πέμπτον, ἵνα μὴ καὶ ἄλλοι ἐπιτεθῶσιν αὐτῷ, τὰς ἐπενεχθείσας ἐκείνοις φοβηθέντες πληγάς· ἕκτον, ἵνα μή τινες εἴπωσιν, Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.* [Ps. 3.3α] : om. SCBF.

Ἐν δὲ καιρῷ ταραχῆς στασιαζόντων, σκεπάσεις αὐτοὺς ἐν σκηνῇ τῆς σκέπης σου, ἢ δίκην σκηνῆς.

21γ Ἀπὸ ἀντιλογίας γλωσσῶν.

Ἀπὸ κοινοῦ ληπτέον τὸ, σκεπάσεις αὐτοὺς, ἐν καιρῷ πάλιν ἀντιλογίας λαοῦ· ἀπὸ τῶν γλωσσῶν γὰρ, τοὺς λέγοντας ἐδήλωσεν· ἀντιλογία δὲ, ἡ ἀπείθεια τῶν ὑπηκόων.

22 Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

Περιοχὴ μέν ἐστι τὸ τεῖχος· πόλις δὲ περιοχῆς, ἡ πόλις | ἡ περιτετειχισμένη. Φησὶν οὖν, ὅτι αἰνετὸς ὁ Θεὸς, ὅτι θαυμάζεσθαι ἐποίησε τὸ ἔλεος αὐτοῦ ἐν ἐμοὶ, τῷ χρηματίσαντι πόλει περιτετειχισμένῃ· δίκην γὰρ πόλεως τοιαύτης, ἀνάλωτος ἔσομαι, διὰ τῆς αὐτοῦ φυλακῆς.

23α Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, Ἀπέῤῥιμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.

Ἔκστασιν, ὡς προέφημεν, λέγει, τὴν ἐκτροπὴν τῆς εὐθείας ὁδοῦ τῶν θείων Ps 30.1
ἐντολῶν· ὅτε, φησὶν, ἐπλημμέλησα τὴν μοιχείαν καὶ τὸν φόνον, μεταμεληθεὶς, εἶπον, ὅτι τοῦ λοιποῦ ἀπέῤῥιμμαι ἀπὸ τῆς ἐπιφανείας τῆς ἐπισκοπῆς σου.

23β Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Διὰ δὲ τὴν μεταμέλειαν καὶ συντριβήν μου, εἰσήκουσάς μου, βοήσαντος πρὸς σέ. Πέπεισμαι γὰρ τοῦτο, καὶ παρέξεις βοήθειαν.

24α Ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ.

Ἐξ ὧν αὐτὸς ᾐσθάνθη τῆς θείας ῥοπῆς, προτρέπεται τοὺς ὁσίους, ἤτοι τοὺς ἐναρέτους, ἀγαπᾶν τὸν Κύριον, μὴ ἁπλῶς, ἀλλ' ἐξ ὅλης καρδίας. Τοῦτο γὰρ διὰ τοῦ ἑξῆς ἐδήλωσεν, εἰπών·

24β Ὅτι ἀληθείας ἐκζητεῖ Κύριος.

Τὰς ἀληθεῖς πρὸς αὐτὸν ἀγάπας.

24γ Καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.

Τοῦτο, διὰ τὸν Ἀχιτόφελ, ὡς προειρήκαμεν. Ps 30. 19

Ἐπὶ μὲν γὰρ τοῖς ἁπλῶς ὑπερηφανευομένοις, μακροθυμεῖ, τοῖς δὲ περισσῶς τοῦτο ποιοῦσιν, οὐκ εἰς μακρὰν ἀντὶ ταύτης ἀποδίδωσι τιμωρίαν.

25 Ἀνδρίζεσθε καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

Βοηθήσει γὰρ ἀναμφιβόλως, καὶ οὐ περιόψεται. Οἱ γὰρ πεποιθότες ἐπ' αὐτὸν οὐ μὴ καταισχυνθῶσιν.

Ἐπεφώνησε δὲ ταῦτα καὶ ἑαυτῷ ἐν τῷ τέλει τοῦ κϛ' ψαλμοῦ. Ps 26. 14β

31 λα'

1α Ψαλμὸς τῷ Δαυίδ· συνέσεως.

Ὅτι συνέσεως πλησθείς, ἔγραψε ταῦτα, ἢ ὅτι χρεία συνέσεως ἐνταῦθα τῷ ἀναγινώσκοντι διὰ τὴν βαθύτητα τῶν νοημάτων, ἢ καὶ ὅτι συνετίζει τοὺς ἀναγινώσκοντας· φησὶ γάρ, *Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις.* Ps 31.9α

Εἴρηκε δὲ καὶ τὸν παρόντα ψαλμόν, μετὰ τὴν μοιχείαν καὶ τὸν φόνον Οὐρίου. Διαφόροις γὰρ περιπεσὼν ἔκτοτε συμφοραῖς, διαφόρους ψαλμοὺς συνέγραψε, μνημονεύοντας ἐκείνης τῆς ἁμαρτίας.

Πρόσφορος δὲ καὶ ἡμῖν ὁ ψαλμός, ἀναλόγως ἐκλαμβανόμενος.

1β Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

Αὐτὸς μετὰ τὴν ἁμαρτίαν, πολλὰ πονήσας ἐν τῇ μετανοίᾳ, μακαρίζει τοὺς ἀπόνως ἀπολουομένους τὰ ἐγκλήματα, τοὺς βαπτιζομένους αἰνιττόμενος.

Ἐπεὶ δὲ τούτων οἱ μὲν ἐξ ἐθνῶν εἰσιν, οἱ δὲ ἐκ περιτομῆς, ἀνομίαν μὲν εἶπεν ἐπὶ τῶν ἐξ ἐθνῶν, οἷς οὐκ ἐδόθη νόμος, ἁμαρτίαν δέ, ἐπὶ τῶν ἐκ περιτομῆς, τῶν ὑπὸ τὸν νόμον· ἁμαρτία γάρ, ἀθέτησις νόμου. Tit 1.10

2α Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν.

Ὧι οὐκ ἐπιγράψεται, οὐ μετρήσει, διὰ τὸ ἀφανισθῆναι ταύτην παρὰ τοῦ τῆς παλιγγενεσίας λουτροῦ. Ἁμαρτίαν δὲ νῦν, ἀδιαφόρως τὸ ἔγκλημα κέκληκε. Tit 3.5

Τινὲς δὲ καὶ τὰ ἄνω ῥητὰ ἀδιαφόρως λαμβάνουσιν, ἐκ παραλλήλου τὸ αὐτὸ λέγοντες ἄμφω σημαίνειν.

2β Οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.

Οὐδὲ μετὰ τὸ βάπτισμα ἐψεύσατο τὰς εἰς Θεὸν συνθήκας. Δόλον γὰρ νῦν, τὸ ψεῦδος ὑποληπτέον. Ὁμολογεῖ γὰρ ὁ βαπτιζόμενος, ἀποτάξασθαι μὲν τοῖς ἔργοις τοῦ δαίμονος, συντάξασθαι δὲ ταῖς ἐντολαῖς τοῦ Χριστοῦ.

3α Ὅτι ἐσίγησα.

Μακάριοι οὗτοι· καὶ γὰρ ἐγὼ ἀποκαμὼν ἐν τῷ κόπτεσθαι, | ἐσίγησα.

1β[1] ἐπεκαλύφθησαν PHA[corr.]F[TRa] : ἀπεκαλύφθησαν MSCBV. 1β[5] ἁμαρτίαν P : ἁμαρτίας MSCBF.

3β Ἐπαλαιώθη τὰ ὀστᾶ μου ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν.

Τοῦτο, ἡ αἰτία τῆς σιγῆς. Διὰ δὲ τῶν ὀστῶν, τὴν δύναμιν αὐτοῦ ἐσήμανε· τὰ ὀστᾶ γὰρ ὑπερείδουσι τὸ ζῷον. Ἐπαλαιώθη δὲ, ἀντὶ τοῦ, ἠσθένησαν, ὅτι τὸ παλαιὸν, ἀσθενές· ἠσθένησε, φησὶν, ἡ δύναμίς μου. Ὅλην δὲ τὴν ἡμέραν, ἀντὶ τοῦ, διὰ παντός.

Ὁσάκις γὰρ ἂν πειρασμῷ περιέπιπτεν, ὠδύρετο τὴν ἁμαρτίαν ἐκείνην, ὡς ἐκεῖθεν αὐτῷ τῆς ἀνωμαλίας τοῦ βίου ῥυείσης.

Ἐπεὶ γὰρ καὶ τῇ μοιχείᾳ καὶ τῷ φόνῳ θάνατος ἦν ἐπιτίμιον, τοῦτον μὲν
συνεχωρήθη διὰ τοῦ προφήτου Νάθαν, ὁμολογήσας ἡμαρτηκέναι, φήσαντος, *Οὐ* 2Rg 12.13
μὴ ἀποθάνῃς. Συμφοραὶ δὲ αὐτῷ οἰκειακαὶ παρὰ τούτου ἠπειλήθησαν, ἃς καὶ πρὸ 2Rg 12.10
ὀφθαλμῶν ἔχων ὠδυνᾶτο.

4α Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου.

Τοῦτο πάλιν, αἰτία τοῦ κράζειν. Χεὶρ δὲ ἐνταῦθα, ἡ κολαστικὴ δύναμις· τῇ χειρὶ γὰρ κολάζει τις. Ἐβαρύνθη δὲ, ἀντὶ τοῦ, βαρέως ἐπηνέχθη. Ἡμέρας δὲ καὶ νυκτὸς, ἀντὶ τοῦ, διὰ παντός.

4β Ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν.

Ἄκανθαν ὀνομάζει, τὴν ἁμαρτίαν, καὶ ὡς ἔξωθεν παρὰ φύσιν ἐμπειρομένην, καὶ ὡς νύσσουσαν καὶ ἀλγύνουσαν. Ἐμπαγείσης οὖν μοι ταύτης, περιετράπη μοι τὰ τῆς εὐτυχίας εἰς ἀθλιότητα.

5α Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα.

Ἵνα μὴ δόξῃ γογγύζειν, μετέβαλε τὸν λόγον, καὶ διηγεῖται πῶς ἔτυχε φιλανθρωπίας. Τοῦ γὰρ Νάθαν ἐπ' ἀλλοτρίου προσώπου δραματουργήσαντος τὴν
παρανομίαν μου, εἶτα προστεθέντος, ὅτι *Σὺ εἶ περὶ οὗ ταῦτα*, ἐγνώρισα, φησὶ, τὴν 2Rg 12.7
ἐμαυτοῦ πλημμέλειαν, καὶ οὐκ ἠρνησάμην· τοῦτο γὰρ δηλοῖ τὸ, *οὐκ ἐκάλυψα*. Ἀνομίαν γὰρ νῦν, τὴν παρανομίαν νοήσεις, ἣν καὶ ἁμαρτίαν αὖθις ἐκάλεσεν.

5β Εἶπα, Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ.

Γνοὺς ὅτι ἐν ἀφύκτῳ καταδίκης γέγονα, εἶπα ἐν ἑαυτῷ, ποιήσω τόδε· εὐθὺς
γὰρ ἐξωμολογήσατο, φήσας, *Ἡμάρτηκα τῷ Κυρίῳ*. 2Rg 12.13

5γ Καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.

Διὰ τοῦ προφήτου Νάθαν, εἰπόντος αὐτίκα, *Καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά* Sir 47.11
σου. Ἀσέβειαν δὲ λέγει καρδίας, τὴν ἁμαρτίαν, οἷα τῆς καρδίας μὴ σεβασθείσης 2Rg 12.13

5α[3] ἀλλοτρίου MSCBF : ἄλλου P.

τοὺς περὶ μοιχείας καὶ φόνου νόμους. Ἀφῆκας δὲ, ἀντὶ τοῦ, συνεχώρησας.

Ἀποροῦσι δέ τινες ὡς εἰ συνεχωρήθη τὴν ἁμαρτίαν, πῶς λέγει βαρυνθῆναι ἐπ' αὐτὸν τὴν τοῦ Θεοῦ κολαστικὴν δύναμιν· καί φαμεν, ὅτι, ἐπεὶ αὐτὸς ὁ Δαυὶδ, τὴν ὑποκριθεῖσαν τῷ Νάθαν δίκην εὐθύνων, ἀπεφήνατο ἔνοχον εἶναι καὶ θανάτῳ καὶ ζημίᾳ τὸν οὕτω πεπλημμεληκότα· τὸν μὲν θάνατον αὐτίκα συνεχωρήθη διὰ 2Rg 12.5-6
τὸ θερμὸν καὶ ἐγκάρδιον τῆς ἐξομολογήσεως, τὴν δὲ ζημίαν ἀπῃτήθη διὰ τῶν μετέπειτα συμφορῶν, κατὰ τὴν οἰκείαν ἀπόφασιν, ἵνα μὴ τέλεον καὶ τάχιον ἀπαλλαγεὶς, ἐπιλάθοιτο ῥᾳδίως, καὶ πάλιν ἐμπέσοι.

6α Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ.

Τὸ, ὑπὲρ ταύτης, ἀντὶ τοῦ, ἀπὸ ταύτης τῆς ἀφεθείσης μοι ἁμαρτίας κινούμενος, παρακαλέσει σε πᾶς θεοσεβής. Μαθὼν γὰρ ὅτι ἐξομολογησάμενος, εὐθὺς συνεχωρήθην, μιμήσεταί με ἐν καιρῷ μετανοίας· τοῦτον γὰρ εὔθετον ὡς ἐπιτήδειον εἴρηκε. Καὶ ἔσται αὕτη τοῖς μετανοοῦσιν ὑπόδειγμα· ὁ γὰρ ἀνόσιος, οὐδὲ μεταμέλεται.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι προφητεύει περὶ τῶν πιστῶν, | οἵτινες ἐν καιρῷ εὐθέτῳ, δηλαδὴ τῷ μετὰ τὸ κήρυγμα, χρώμενοι τοῖς περὶ τῆς ἁμαρτίας αὐτοῦ ψαλμοῖς, δοκοῦσιν ὑπὲρ ταύτης προσεύχεσθαι.

6β Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.

Τὸ, πλὴν, ἀντὶ τοῦ καί συνδέσμου νοοῦμεν, ἵν' ᾖ τοιοῦτον, ὅτι καὶ ἐν πλημμύρᾳ πειρασμῶν — ὕδατα γὰρ τούτους οἰητέον, ὡς τὸ, Ῥῦσαί με καὶ ἐξελοῦ με ἐξ ὑδάτων πολλῶν — οὐκ ἐγγιοῦσι ταῦτα τὰ ὕδατα πρὸς αὐτὸν, τὸν οὕτως ἐξομο- Ps 143.7β
λογησάμενον καὶ συγχωρηθέντα. Διὰ δὲ τοῦ ἐγγίζειν, τὸ ἅπτεσθαι καὶ δάκνειν ᾐνίξατο.

Ἢ καὶ ἄλλως, κατακλυσμὸς, τὸ δι' ὑδάτων βάπτισμα νοηθείη, ὡς κατακλύζον τὴν ἁμαρτίαν· ὑδάτων δὲ πολλῶν, τῇ ποιότητι καὶ δυνάμει τοῦ Πνεύματος, καὶ οὐ τῇ ποσότητι τῶν ῥείθρων· οὕτω γὰρ λέγομεν πολὺν ἄνεμον, τὸν ἰσχυρόν.

Προσεύξεται, φησὶ, πρὸς σὲ, πλὴν ἐν τῷ βαπτίσματι πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι, δηλονότι αἱ ἁμαρτίαι, κατακλυζόμεναι καὶ ἀφανιζόμεναι.

7α Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με.

Ἀπὸ ταύτης γὰρ εἰς σὲ καταφεύγω, ὡς εἰς εὐφροσύνην.

7β Τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.

Ἐνδιάθετος ἡ ἐπιφώνησις. Ὦ ἡ χαρά μου! ῥῦσαί με ἀπὸ τῶν κυκλωσάντων με πειρασμῶν, οἷς ἐναπείλημμαι, ἢ ἐχθρῶν, ὁρατῶν καὶ ἀοράτων.

6α[5] εἴρηκε MPSCV : εἰσήνεγκε H.

7γ Διάψαλμα.
8α Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ.

Τὸ Διάψαλμα προσκείμενον ἐνταῦθα, μεταβολὴν τῆς ἀκολουθίας δηλοῖ· § 61
καὶ γὰρ ὁ ἑξῆς λόγος ἀπὸ Θεοῦ λέγεται, διὰ φωνῆς ἀκουστῆς προφήταις, ἀποκρινομένου ὅτι Συνετίσω σε, πῶς ἂν ὑπερτερήσῃς, καὶ συνοδεύσω σοι ἤδη ἐν τῇ προκειμένῃ σοι πορείᾳ τοῦ πολέμου· βιβῶ γὰρ, τὸ βαίνω. Ἀδιάφορος δὲ κἀνταῦθα ἡ σύνταξις.

8β Ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.

Οὐκ ἐπιβλέψω μόνον, ἀλλὰ καὶ ἀκλινῶς, δίκην τῶν ἐν πολέμοις κηδομένων τινὸς, καὶ τοὺς ὀφθαλμοὺς ἐπ' αὐτὸν ἀπερειδόντων, ἵνα κινδυνεύοντι βοηθήσοιεν.

Εἰρήκαμεν δὲ πολλάκις, ὅτι ἀπὸ τῶν ἀνθρωπίνων διαθέσεων ἡ Γραφὴ σχηματίζει τὰ θεῖα, συγκαταβαίνουσα τῇ ἀσθενείᾳ τῶν ἀκροωμένων.

9α Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις.

Τὸ ἐντεῦθεν αὐτὸς πάλιν ὁ Δαυὶδ ἐξ ὧν πέπονθε παραινεῖ, μὴ γίνεσθε, λέγων, θηλυμανεῖς, ὡς ἵππος, καὶ διὰ τοῦτο ἄγονοι πρὸς ἀρετὴν ὡς ἡμίονος, οἵτινές εἰσιν ἀσύνετοι καλοῦ καὶ χείρονος, ὡς μὴ λόγῳ τετιμημένοι, καθὼς ὑμεῖς.

9β Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ.

Μνημονεύσας ἵππου καὶ ἡμιόνου, εἰκότως καὶ χαλινὸν ἐπήγαγεν, ἐπαρώμενος τοῖς διὰ τῆς ὁμοιώσεως τῶν δηλωθέντων ἀλόγων πόῤῥω γινομένοις Θεοῦ.

Ἄγξαις, φησὶ, καὶ δαμάσαις καὶ πιέσαις τὰς σιαγόνας αὐτῶν, τῶν μὴ ἐγγιζόντων σοι δι' ἀρετῆς.

Κημὸς μὲν οὖν, ὁ χαλινός· τὸ μὲν, ὡς κάμπτων τὸν αὐχένα, τὸ δὲ, ὡς χαλώμενος εἰς τὸ στόμα. Εἴη δ' ἂν χαλινὸς, αἱ διὰ πειρασμῶν παιδεῖαι. Ἀπὸ δὲ τῶν σιαγόνων, ὅλους αὐτοὺς ἐδήλωσεν, ὡς ἀπὸ μέρους τὸ πᾶν. Ἐπαρᾶται δὲ τούτοις, ὡς ἀναπολογήτοις, μετὰ τὸ καθ' ἑαυτὸν παράδειγμα.

Οἱ δὲ λέγουσιν τὸ, ἄγξαις, εὐκτικοῦ μὲν ἔχειν σχῆμα, δύναμιν δὲ καὶ σημασίαν μέλλοντος.

10α Πολλαὶ αἱ μάστιγες τοῦ | ἁμαρτωλοῦ.

Ταῦτα, φησὶ, λέγω, γινώσκων οἴκοθεν ὅτι πολλαὶ παιδεῖαι τὸν ἁμαρτωλὸν διαδέχονται.

10β Τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.

9α Add. [MP in marg.]B: Ὡς ἵππος μὲν, τῷ χρεμετίζειν ἐπὶ τὰς ἡδονάς· ὡς ἡμίονος δὲ, τῷ μήτε συλλαμβάνειν σπέρμα ἀρετῆς, μήτε τίκτειν καρπὸν αὐτῆς· τὸ μὲν γὰρ, ἐνέργεια κακίας, τὸ δὲ, ἀργία ἀρετῆς. : om. SCF.

Εἰ δέ τις μετὰ τὰς μάστιγας ὅλην μεταθήσει τὴν ἐλπίδα πρὸς Θεὸν, ἐλεηθήσεται πάντοθεν.

11 Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Πρὸς τοὺς ἀσθενεστέρους ποιήσας τὴν παραίνεσιν, ἤδη μεταβαίνει καὶ πρὸς τοὺς ἰσχυροτέρους, οὓς καὶ δικαίους καλεῖ, διὰ τὸ δικαίως βιοῦν, καὶ εὐθεῖς, διὰ τὴν ὀρθότητα τοῦ βίου. Καί φησιν, ὅτι *Εὐφράνθητε, καὶ ἀγαλλιᾶσθε, καὶ καυχᾶσθε*, μὴ ἐπὶ ταῖς ἀρεταῖς ὑμῶν, ἀβέβαιοι γὰρ, εἰ μὴ φυλάττοιντο παρὰ Θεοῦ, ἀλλ' ἐπὶ μόνῳ Κυρίῳ, τῷ βοηθοῦντι καὶ σκέποντι· κἀγὼ γὰρ τῇ ἀρετῇ θαῤῥήσας, ὠλίσθησα.

Προειρήκαμεν δὲ διαφορὰν εὐφροσύνης καὶ ἀγαλλιάσεως ἐν τῷ τέλει τῆς
ἐξηγήσεως τοῦ ιγʹ ψαλμοῦ· ἢ καὶ τὸ αὐτὸ σημαίνουσιν ἐκ παραλλήλου. Τὸ δὲ, Ps 13.7β
ἐπὶ Κύριον, ἀδιάφορον, ἀντὶ, *ἐπὶ Κυρίῳ*.

32 λβʹ

1α Ψαλμὸς τῷ Δαυίδ· ἀνεπίγραφος παρ' Ἑβραίοις.

Ἀνεπίγραφος οὗτος παρ' Ἑβραίοις ἐστίν. Ἔοικε δὲ πεποιῆσθαι εἰς τὴν κατὰ
τὸν Ἐζεκίαν ὑπόθεσιν, προτρέπων τοὺς ἀξίους ὑμνεῖν τὸν Θεὸν, ἀοράτως ἀνελόντα
τοὺς Ἀσσυρίους. Εἴη δ' ἂν καὶ ἡμῖν ἁρμόδιος. 4Rg 19.35

1β Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ.

Τί μέν ἐστιν ἀγαλλίασις, ἤδη προειρήκαμεν· δικαίους δὲ λέγει, τοὺς ἐναρέτους, Ps 9.3α
οὓς ἐπὶ μόνῳ τῷ βοηθῷ καὶ νικοποιῷ Χριστῷ ἀγαλλιᾶσθαι κελεύει, καὶ μὴ ἐπί τινι
τῶν ἄλλων· οὔτε γὰρ ἰσχὺς, οὔτε στρατὸς, οὔτε πλοῦτος, οὔτε τεῖχος, ὠφέλησε.

1γ Τοῖς εὐθέσι πρέπει αἴνεσις.

Διὰ τοῦ ἀγαλλιᾶσθε, καὶ τὸ αἰνεῖτε δεδήλωκεν· ὁ γὰρ ἀγαλλιώμενος ἐπί τινι,
πάντως ἐπαινεῖ αὐτό. Ἐπεὶ δὲ τοῖς ἐναρέτοις μόνοις ἀνέθηκε τὴν ἀγαλλίασιν καὶ
τὸν αἶνον, τίθησι καὶ τὴν αἰτίαν, λέγων, ὅτι τοῖς ὀρθῶς βιοῦσι πρέπει ἡ τοῦ Θεοῦ
αἴνεσις. Οὐ γὰρ ὡραῖος, φησὶν, αἶνος ἐν στόματι ἁμαρτωλοῦ, καὶ σκολιὸς ποὺς
οὐκ ἐναρμόζεται ὀρθῷ ὑποδήματι· *Εὐθὴς γὰρ Κύριος ὁ Θεὸς ἡμῶν, καὶ εὐθύτητας* Ps 91.16
εἶδε τὸ πρόσωπον αὐτοῦ. Ὁ δὲ διάβολος, σκολιὸς, ὡς ὄφις, καὶ τοῖς ὁμοίοις ἥδεται Ps 10.7
σκολιοῖς.

2 Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.

Τοῖς τότε γὰρ νόμος ἦν ὑμνεῖν τὸν Θεὸν ἐν κιθάρᾳ καὶ ψαλτηρίῳ καὶ τοῖς ἄλλοις μουσικοῖς ὀργάνοις, ὡς ἐν τῷ προοιμίῳ τῆς παρούσης βίβλου σαφῶς ἐξεθέμεθα, διδάξαντες καὶ ποίαν διαφορὰν ἔχει τὸ ψαλτήριον πρὸς τὰ ἄλλα. § 68-70

Χρὴ δὲ καὶ ἀναγωγικῶς εἰπεῖν.

Κιθάραν μὲν νόει μοι, τὸ σῶμα, διὰ τὸ κάτωθεν ἡμῖν συμπεπλάσθαι. Φησὶ γὰρ ὁ μέγας Βασίλειος, ὅτι ἐν τῇ κιθάρᾳ καὶ τῇ λύρᾳ, κάτωθεν ὁ χαλκὸς ὑπηχεῖ PG29.213B
πρὸς τὸ πλῆκτρον. Ἐξομολογεῖσθε τοίνυν, τουτέστιν, εὐχαριστεῖτε τῷ Θεῷ, διὰ τοῦ σώματος πρῶτον, ὅσοι τῆς πολιορκίας τοῦ νοητοῦ Ἀσσυρίου παραδόξως ἐῤῥύσθητε, οἷον, νηστεύετε, κλαίετε, χαμευνεῖτε, ᾄδετε, καὶ ὅσα τῆς πρακτικῆς ἀρετῆς, εὐχαριστήρια δῶρα ταῦτα προσάγοντες.

Ψαλτήριον δὲ λάβε μοι, τὸν νοῦν· ὡς γὰρ τῷ μουσικῷ ψαλτηρίῳ, δέκα μὲν ἐνετέταντο χορδαὶ, ἄνωθεν δὲ τὰς ἀφορμὰς εἶχε τῶν φθόγγων, ὡς ἐν τῷ δηλωθέντι προοιμίῳ λεπτομερῶς παραδεδώκαμεν, οὕτω καὶ τῷ νοῒ δέκα μὲν ἐπίκεινται νομικαὶ ἐντολαὶ, ἄνωθεν δὲ παρὰ Θεοῦ ἐνηχήθησαν, ἃς φυλάττων, διὰ τῆς συμφω | νίας αὐτῶν, ψάλλει τῷ Θεῷ νοητὸν μέλος. Ἀπὸ γοῦν τῆς κιθάρας, ἔλθετε ἐπὶ τὸ ψαλτήριον, καὶ ψάλατε νοερῶς, διὰ τῆς θεωρητικῆς ἀρετῆς.

3α Ἄισατε αὐτῷ ᾆσμα καινόν.

Ἱστορικῶς μὲν, πρόσφατον ἐπὶ προσφάτῳ τερατουργήματι· ἀναγωγικῶς δὲ, τὰ Χριστιανικὰ νοητέον ᾄσματα, ὅσα τῷ Χριστῷ οἱ πιστοὶ συνέθηκαν. Καινὰ γὰρ ταῦτα πρὸς τὰ τῆς παλαιᾶς νομοθεσίας.

3β Καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ.

Ἀλαλαγμός ἐστιν, ἀθρόα φωνὴ τῶν συνασπιζόντων, θαρσοποιὸς κατὰ πολεμίων· διὰ τοῦ ἀλαλαγμοῦ δὲ, τὸ θαῤῥεῖν προτρέπεται, ψάλατε, λέγων, ἐν φωνῇ ἀλαλαζούσῃ, τουτέστι, θαῤῥαλέᾳ, τροπωθέντων ἤδη τῶν ἐκφοβούντων ἐχθρῶν. Τὸ δὲ, καλῶς, ἀντὶ τοῦ, ἀμετεωρίστως, ὁλοψύχως.

4 Ὅτι εὐθὴς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει.

Ὅτι, φησὶν, ὀρθὸς ὁ λόγος, ὃν ἐμήνυσε διὰ τοῦ προφήτου Ἡσαΐου περὶ τοῦ λυθῆναι τὴν πολιορκίαν. Καὶ ἰδοὺ τὰ ἔργα ἃ ἐποίησε κατὰ τῶν Ἀσσυρίων, πιστὰ, Isa 37.21-35
βεβαιοῦντα τὸν λόγον.

Ἢ πάντα καθόλου τὰ ἔργα αὐτοῦ ἐν πίστει εἰσὶ, τουτέστιν, εἰς πίστιν τοῦ δημιουργοῦ Θεοῦ τὸν ὁρῶντα κινοῦσιν· αὐτίκα γὰρ, ἵνα τ' ἄλλα παρῶμεν, τὸ λεπτότατον κέντρον τῆς μελίσσης, σωληνοειδὲς ὂν, ὥστε δι' αὐτοῦ τὸν ἰὸν ἐκχεῖσθαι, διδακτικόν ἐστι τοῦ μὴ αὐτομάτως, ἀλλὰ θείᾳ δυνάμει κοιλανθῆναι τὴν τοσαύτην λεπτότητα.

Ἄλλως δὲ πάλιν, ὀρθὸς ὁ τῆς Νέας Διαθήκης λόγος τοῦ Σωτῆρος, μηδὲν σκολιὸν καὶ δύσλυτον ἔχων, οἷα τὰ τῆς Παλαιᾶς. Ἔτι δὲ καὶ ὅσα ἐποίησεν ἔργα,

4[10] οἷα MSCBF : οἷον P.

πολιτευόμενος ἐν σαρκὶ, πιστοῦσι τὸν λόγον αὐτοῦ, συμφωνοῦντα τούτῳ· καὶ αὐτὰ δὲ πιστά εἰσιν, ὡς ἀληθῆ καὶ ἀναντίῤῥητα.

Ἢ καὶ Λόγος, αὐτὸς ὁ Υἱὸς, ὅς ἐστιν εὐθὴς, ὡς ὁδὸς ἀπλανὴς, καὶ ὡς ἀλήθεια· ἔφησε γὰρ, *Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια*. Καὶ πάντα ὅσα ἐποίησε σημεῖα, διὰ Jn 14.6
πίστιν τῶν ὁρώντων ἐποίησεν, *ἵνα πιστεύσωσιν εἰς αὐτόν*. Jn 11.42

5α *Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος.*

Ὅρα ὅπως πρὸ τῆς κρίσεως φιλεῖ τὴν ἐλεημοσύνην· διὸ καὶ ἐπὶ τῶν ἁμαρτανόντων, πρῶτον ἀναμένει τὴν μετάνοιαν αὐτῶν, ὅπερ ἐστὶν ἐλεημοσύνης, ἔπειτα μένοντας ἀνιάτους, κολάζει, ὅπερ ἐστὶ κρίσεως.

Ἢ καὶ ὅτι ἐλέῳ πᾶσαν κρίσιν αὐτοῦ κίρνησιν· *Ἐὰν γὰρ ἀνομίας*, φησὶ, *παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσεται;* Ἢ ἀγαπᾷ ἐλεημοσύνην μὲν εἰς Ps 129.3
τοὺς διορθωθέντας, κρίσιν δὲ εἰς τοὺς ἀδιορθώτους. Ἢ ἔλεον μὲν ἐν τῷ παρόντι αἰῶνι, *Οὐ γὰρ ἦλθον*, φησὶ, *κρῖναι τὸν κόσμον*, κρίσιν δὲ ἐν τῷ μέλλοντι. Jn 12.47

Τοιοῦτόν ἐστι καὶ τὸ, *Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε*· ᾄσομαι δὲ, ἀντὶ Ps 100.1
τοῦ, ᾠδήν σοι ποιήσω καὶ ὕμνον τὸν ἔλεον καὶ τὴν κρίσιν, οἷον, ὅτι ἐλεῶν, κρίνεις, καθ' ὃν εἰρήκαμεν τρόπον· κέκραται δὲ καὶ ὁ ἔλεος κρίσει, καὶ ἡ κρίσις ἐλέῳ, ἵνα μήτε ὁ ἔλεος χαύνωσιν ἐμποιήσῃ μόνος, μήτε ἡ κρίσις ἀπόγνωσιν.

Ἐπὶ δὲ τῆς ὑποθέσεως Ἐζεκίου εἴληπται τὸ ῥητὸν, ὅτι ἐλεήσας τὴν Ἰερουσαλὴμ πολιορκουμένην, κατέκρινε τοὺς ἀδικοῦντας αὐτὴν Ἀσσυρίους.

5β Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.

Πάντας γὰρ ἐλεεῖ, καὶ τοὺς ἀθέους· ἢ γὰρ, οὐκ ἂν εἴα ζῆν· πλὴν τοὺς μὲν πεπιστευκότας μᾶλλον, ἧττον δὲ, τοὺς ἄλλους.

Ἢ καὶ ἔλεος Κυρίου νόει, τὸ κήρυγμα τοῦ Εὐαγγελίου, πλῆρες ὂν ἐλέους, ὡς καὶ δεδομένον ἐξ ἐλεημοσύνης τοῦ δημι | ουργήσαντος ἡμᾶς, οὗ πεπλήρωται πᾶσα γῆ, διὰ τῆς τῶν ἀποστόλων διδασκαλίας.

Εἶτα κινεῖ τὸν λόγον εἰς ὕμνον, διηγούμενος τὰ θαυμάσια τοῦ Θεοῦ, καί φησι.

6 Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.

Κατὰ μὲν τὸ πρόχειρον, ἐκ παραλλήλου τὸ αὐτό φησιν. Εἶπε γὰρ ὁ Θεὸς ἐφ' ἑκατέρου, *Γενηθήτω, καὶ ἐγένετο*. Καὶ ὁ λόγος γὰρ, πνεῦμά ἐστι στόματος, Gen 1.1, 6
πλῆττον τὸν ἀέρα· τοιῶσδε καὶ τὸ πνεῦμα τοῦ στόματὸς τὸ πλῆττον τὸν ἀέρα, τοιῶσδε λόγος ἐστίν. Ὁμοίως δὲ καὶ στερέωσις καὶ δύναμις, ταὐτόν· εἴη δ' ἂν τὸ δύσφθαρτον αὐτῶν καὶ εὔτονον.

Κατὰ δὲ τὸ ὑψηλότερον, περὶ τῆς ἁγίας Τριάδος ὁ Δαυὶδ ἐνταῦθα θεολογεῖ, Κύριον μὲν, τὸν Πατέρα λέγων, Λόγον δὲ, τὸν Υἱὸν, Πνεῦμα δὲ, τὸ Πνεῦμα τὸ ἅγιον.

Τοῦ στόματος δὲ εἶπε, διότι τῆς αὐτῆς οὐσίας ἐστὶ τῷ προβαλλομένῳ, καὶ οὐκ ἔξωθεν κτιστόν.

Δύναμις δὲ οὐρανῶν, αἱ ἐπουρανίαι δυνάμεις τῶν ἀγγέλων. Οὐ διῃρημένως δὲ, ὁ μὲν Υἱὸς τοὺς ἀνθρώπους ἔκτισε, τὸ δὲ Πνεῦμα, τοὺς ἀγγέλους, ἀλλ᾽ ὁ μὲν Υἱὸς πάντα παρήγαγε· *Πάντα γὰρ*, φησὶ, *δι᾽ αὐτοῦ ἐγένετο*. Τὸ Πνεῦμα δὲ τὸ ἅγιον Jn 1.3
ἡγίασε τοὺς ἀγγέλους, ἅμα τῇ κτίσει αὐτῶν· ὅθεν καὶ δυσκίνητοι πρὸς τὸ κακόν εἰσιν εὐθὺς ἐξ ἀρχῆς, οἷα βαφῇ τινι τῷ ἁγιασμῷ στομωθέντες.

Νοοῖντο δ᾽ ἂν οὐρανοὶ, καὶ οἱ ἀπόστολοι, ὡς τὰ οὐράνια φρονοῦντες καὶ ὑπερκείμενοι τῶν γηΐνων, οἳ τῷ λόγῳ τῆς τοῦ Σωτῆρος διδασκαλίας στεῤῥοὶ γεγόνασιν εἰς πίστιν καὶ εἰς θλίψεις, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν γέγονε. Τοῦτο γὰρ συνεξακούεται· *Ἐνεφύσησε γὰρ*, φησὶ, *καὶ εἶπεν αὐτοῖς, Λάβετε Πνεῦμα ἅγιον*· δύναμις δὲ, ἡ διὰ τῶν ἐπιτελουμένων Jn 20.22
σημείων.

7α Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης.

Λείπει τὸ, εἰς, ἵν᾽ ᾖ, ὡσεὶ εἰς ἀσκόν· συνάγων, φησὶν, εἰς τὰ κοιλώματα τῆς γῆς, ὡσεὶ εἰς ἀσκὸν, τὰ ὕδατα τῆς θαλάσσης.

Ἢ ὡσεὶ ἀσκὸν, ἀντὶ τοῦ, δίκην ἀσκοῦ, ἐξοιδούμενα μὲν τῇ βίᾳ τοῦ ἀνέμου, συστελλόμενα δὲ τῇ ἀπουσίᾳ αὐτοῦ.

Ἢ ἀσκὸν λέγει, τὸ ἐν τῷ ἀσκῷ ὑγρὸν, ἐκ τοῦ περιέχοντος, τὸ περιεχόμενον, οἷον συνάγων τὰ ὕδατα τῆς θαλάσσης, ὡς τὸ ἐν ἀσκῷ συνῆκται, κατεχόμενα, καὶ μὴ σκεδαννύμενα κατὰ τῆς γῆς, τῷ προστάγματί σου, καθὼς ἐκεῖνο τῷ δεσμῷ.

Τινὲς δὲ λέγουσιν, ὅτι περὶ τῶν ἀπὸ θαλάσσης ἀτμῶν ὁ λόγος, οἳ κατὰ μικρὸν ἀναφερόμενοι, συνίστανται καὶ παχύνονται δίκην ἀσκοῦ καὶ νεφέλαι γίνονται.

7β Τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.

Ἄβυσσος λέγεται, τὸ βάθος τῶν ὑδάτων, εἰς ὃ οὐ βύεταί τις. Θησαυροὶ δὲ ἀβύσσων, οἱ κόλποι τῆς γῆς, ἀφ᾽ ὧν ἀναδίδονται πηγαὶ καὶ ῥέουσι ποταμοί.

Ἢ θησαυροὶ, ὁ ἐπάνω τοῦ στερεώματος τόπος, ἐφ᾽ οὗ τὰ ἡμίση τῶν ὑδάτων καταρχὰς ὁ Θεὸς ἔθετο· θησαυροὶ δὲ, διὰ τὸ δαψιλὲς καὶ τὸ κεκρυμμένον, καὶ Gen 1.7
κατὰ χρείαν ἀνοιγόμενον καὶ κλειόμενον· ταῦτα γὰρ ἴδια θησαυροῦ.

Ἐγὼ δὲ τὸ ῥητὸν καὶ τοῖς ἀποστόλοις προσαρμόζω, οἳ θησαυροὶ καὶ φύλακες τῶν ἀβύσσων, ἤτοι τῶν βαθυτάτων μυστηρίων τῆς πίστεως, ἐγένοντο.

8α Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ.

Γῆν πολλάκις καλεῖ τοὺς ἀνθρώπους, ὡς καὶ νῦν, ἢ διὰ τὸ ἀπὸ γῆς πεπλάσθαι, ἢ διὰ τὸ ἐπὶ γῆς οἰκεῖν. Παραδείξας γὰρ ἀπὸ τῆς μεγαλουργίας τῶν κτισμάτων τὴν τοῦ κτίσαντος δύναμιν, τοῦτον φοβηθῆναι καὶ σέβεσθαι προτρέπεται, ὡς μόνον Θεόν.

Ἢ γῆν λέγει νῦν, τοὺς μόνα τὰ γεώδη φρονοῦντας (ἔστι γὰρ καὶ τοιαύτη σημασία πολλαχοῦ τῆς Γραφῆς), οὓς κελεύει φοβηθῆναι τὸν Θεὸν, καὶ φυλάξαι τὰς ἐντολὰς αὐτοῦ.

8β Ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν | πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ τρομασάτωσαν οἱ ἄνθρωποι, ὅτι μέγας καὶ φοβερός ἐστιν.

Ὁ δὲ μέγας Βασίλειος ἄλλως ἐξελάβετο τὸ ῥητόν· τὸ μὲν γὰρ, *ἀπ' αὐτοῦ*, ἀντὶ τοῦ, PG29.337C
ὡς αὐτὸς βούλεται, τὸ δὲ, *σαλευθήτωσαν*, ἀντὶ τοῦ, *κινείσθωσαν*· οἷον, ἔστω τούτοις καὶ τὰ σωματικὰ καὶ τὰ ψυχικὰ κινήματα κατὰ Θεὸν, τοῦ θείου φόβου ἐχόμενα.

Ἐγὼ δὲ καὶ εἰς τὸν Χριστὸν ἐκδέχομαι τὸ ῥητόν· ἀπὸ γὰρ τῶν λόγων καὶ ἔργων αὐτοῦ ἐσείσθησαν πάντες, οἱ μὲν μεταθέντες εἰς τὴν πίστιν, οἱ δὲ ταραχθέντες.

9α Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν.

Τοῦ φόβου τὸ εὔλογον παρίστησιν ὁ λόγος· Αὐτὸς γάρ ἐστι, φησὶν, ὁ τούτων δημιουργός· εἶπε γὰρ, Γενηθήτω τόδε, καὶ γέγονε παραυτίκα.

9β Αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἐκ παραλλήλου, τὸ αὐτό· ἢ τὸ, *ἐνετείλατο*, σαφηνιστικόν ἐστι τοῦ, *εἶπεν*· οὐ γὰρ ἁπλῶς εἶπεν, ἀλλὰ προσέταξεν, ὡς παντοδύναμος.

Ἢ τὸ μὲν, *εἶπε καὶ ἐγενήθησαν*, τακτέον ἐπὶ τῆς ἁπλῶς δημιουργίας τῶν ἀνθρώπων, τὸ δὲ, *ἐνετείλατο καὶ ἐκτίσθησαν*, ἐπὶ τῆς διὰ τοῦ κηρύγματος
ἀναγεννήσεως· ἐνετείλατο γὰρ τοῖς ἀποστόλοις, ὅτι *Πορευθέντες, μαθητεύσατε* Mt 28.19
πάντα τὰ ἔθνη, καὶ τὰ ἑξῆς· ἐπεὶ καὶ οἱ πιστοὶ, *καινὴ κτίσις* ὀνομάζονται. 2Cor 5.17

10 Κύριος διασκεδάζει βουλὰς ἐθνῶν· ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.

Διαφόρως καὶ ταῦτα νοητέον, ἐπί τε τῶν περικεκαθικότων τὴν Ἰερουσαλὴμ Ἀσσυρίων, ἐπί τε τῶν ἐσταυρωκότων τὸν Κύριον, καὶ ἐπὶ τῶν τυραννούντων τοὺς ἀποστόλους καὶ μάρτυρας.

Καὶ ἐπὶ μὲν τῶν Ἀσσυρίων, ἔθνη λέγει τούτους, ὡς ἐκ διαφόρων ἐθνῶν συστρατεύσαντας κατὰ τῆς Ἰερουσαλήμ· λαοὺς δὲ, τοὺς Ἑβραίους (τινὲς γὰρ αὐτῶν ἐλογίζοντο δεῖν σφᾶς αὐτοὺς ἐγχειρίσαι τοῖς πολεμίοις διὰ τὴν ἀνάγκην), ἄρχοντας δὲ, τοὺς στρατηγοὺς τῶν πολιορκούντων.

Καὶ ἐπὶ τῶν ἐσταυρωκότων τὸν Κύριον, εἴσῃ τὴν διαφορὰν, ἐντυχὼν τῇ
ἐξηγήσει τοῦ δευτέρου ψαλμοῦ. Ps 2.1-2α

Ἐπὶ δὲ τῶν τυράννων, ἔθνη μὲν, τὰ διάφορα κατὰ πόλεις γένη, λαοὶ δὲ, οἱ Ἑβραῖοι,

8β[5] κινείσθωσαν MPSCV : κινητήτωσαν H.

ἄρχοντες δὲ, οἱ βασιλεῖς καὶ ἡγεμόνες.

11α Ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει.

Βουλὴ τοῦ Κυρίου, τὸ εὐαγγελικὸν κήρυγμα, βουλόμενον σωθῆναι δι' αὐτοῦ πάντας τοὺς πιστεύοντας, ὃ μένει μέχρι τοῦ μέλλοντος αἰῶνος ἀήττητον.

11β Λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.

Ὥσπερ ἄνω βουλὰς καὶ λογισμοὺς εἶπεν, οὕτω καὶ νῦν. Ἔστι δὲ βουλὴ μὲν, Ps 32.10
ἡ καλῶς ἔχειν δόξασα γνώμη, λογισμὸς δὲ, ἡ ἁπλῶς ἐνθύμησις. Εἰς γενεὰν δὲ καὶ γενεὰν εἰώθασιν οἱ παλαιοὶ λέγειν τὸ ἀεὶ, τὸ εἰς πᾶσαν γενεὰν ἐκ διαδοχῆς. Καρδία δὲ Θεοῦ ἀνθρωποπρεπῶς εἴρηται, ἡ θέλησις τοῦ Θεοῦ.

Σκοπὸς δὲ τοῖς ῥητοῖς, τοιοῦτος, ὅτι ὃ βούλεται ὁ Θεὸς, ἀεὶ μένει· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὃ ἐνθυμηθῇ. Τὸ γὰρ ἐννόημα, φησὶν, ἔργον ἦν.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν· λογισμοὺς καρδίας Θεοῦ, τὴν Παλαιὰν Διαθήκην καὶ τὴν Νέαν· γενεὰν δὲ καὶ γενεὰν, τήν τε τῶν Ἰουδαίων καὶ τὴν τῶν Χριστιανῶν· ἡ μὲν γὰρ, ἐκείνοις, ἡ δὲ, τούτοις παραμένει.

Ἐκδεχόμεθα δὲ ἁπλῶς τὰ ῥητὰ καὶ ἐπὶ τῶν ἐπιβουλευόντων ἡμῖν ὁρατῶν ἢ ἀοράτων ἐχθρῶν, ὅτι Κύριος διασκεδάζει τὰς βουλὰς αὐτῶν, καὶ ὃ αὐτὸς βούλεται, ποιεῖ πρὸς σωτηρίαν ἡμῶν.

12α Μακάριον τὸ ἔθνος, οὗ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ.

Μακάριον τὸ ἔθνος, τὸ κυριευόμενον καὶ οἰκονομούμενον ὑπὸ τοῦ ἰδίου Θεοῦ· εἴη δ' ἂν τὸ τῶν Χριστιανῶν μόνον, οἷς ἐπηγγείλατο λέγων ὁ Σωτὴρ, *Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος.* Mt 28.20

12β Λαὸς, ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.

Ἡμεῖς ἐσμεν, ἔθνος μὲν, ὡς ἐξ ἐθνῶν συλλεγέντες, λαὸς δὲ, ὡς ἀντεισαχθέντες τοῦ ἀποβληθέντος λαοῦ. Ἐξελέξατο δὲ | ἡμᾶς εἰς κληρονομίαν, κατὰ τὸ, *Δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.* Μακάριον δὲ, διὰ τὴν τῶν ἡτοιμασμένων ἀγαθῶν Ps 2.8α
ἀπόλαυσιν.

13α Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος.

Τοῦτο καὶ ἐν τῷ ιγ′ κεῖται ψαλμῷ, *Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ ζήτει ἐκεῖ.* Ps 13.2

13β Εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Πάντες γὰρ ὑπὸ τὸν οὐρανὸν οἰκοῦσι, καὶ λοιπὸν οὐδεὶς λανθάνει.

14α Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ.

Τοῦ προχείρου εἰς τὸ πάντα θεᾶσθαι ῥᾷον.

14β Ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

Διὰ τῆς ἀναδιπλώσεως τοῦ, ἐπέβλεψεν, εἰς φόβον ἐμβαλεῖν πειρᾶται τοὺς ἐντυγχάνοντας, ὡς οὐ λήθοντας ἐφ' οἷς ἂν ποιῶσιν.

15α Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν.

Ἔτι φοβερώτερον τοῦτο· εἰ γὰρ ἔπλασε, πάντως καὶ οἶδε καὶ τὰς κινήσεις αὐτῶν. Χρὴ τοίνυν δεδιέναι, εἰ μὴ μόνον ἐν τῷ πράττειν οὐ λήθομεν, ἀλλ' οὐδ' ἐν τῷ διανοεῖσθαι.

Κατὰ μόνας δὲ, ἀντὶ τοῦ, μεμονωμένας καὶ κεχωρισμένας τῆς κακίας καὶ τῆς ἐπιπλοκῆς τῶν παθῶν. Ἢ κατὰ μόνας, ἀντὶ τοῦ, κεχωρισμένως παρὰ τὰς τῶν λοιπῶν ζῴων, ὡς λογικάς.

15β Ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.

Καὶ τοῦτο, μέγιστον, ὅτι μηδ' αἰσθήσεως δεῖται πρὸς κατανόησιν τῶν πραττομένων ἢ λεγομένων ἢ νοουμένων, ἀλλ' ἁπλῶς συνίησιν ἐν πᾶσιν.

16 Οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ.

Διὰ πολλὴν δύναμιν, τὴν ἐν πλήθει στρατιωτῶν καὶ ἵππων καὶ ὅπλων καὶ πλούτου· γίγας δὲ, ὁ κατὰ σῶμα γενναιότατος· ὥστε εἴ τις τούτων σωθείη, διὰ χάριν Θεοῦ σῴζεται, καὶ οὐ δι' ἐκεῖνα.

17α Ψευδὴς ἵππος εἰς σωτηρίαν.

Ἀβέβαιος· ἄδηλον γὰρ, εἰ σώσει τὸν ἐπιβάτην.

17β Ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.

Ὁ ἵππος δηλονότι· τοῖς γὰρ ἀπαριθμηθεῖσι πᾶσιν ὁ Σεναχηρεὶμ εὐθηνούμενος, οὐδὲν ἐντεῦθεν ἀπώνατο, κακὸς κακῶς διαφθαρείς.

15α[6] ἀντὶ τοῦ κεχωρισμένως MPV : ἀντὶ τοῦ κεχωρισμένας CBH : om. S.

18 Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Τοῦτο, περὶ πάντων τῶν τοιούτων, προηγουμένως δὲ, διὰ τοὺς περὶ τὸν Ἐζεκίαν· τοιοῦτοι γὰρ ἦσαν. Εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς θείας ἐποπτείας.

19α Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν.

Τοῦ προσδοκωμένου μεθ' ἡμέραν, ὡς προειρήκαμεν· *Τὸ ἑσπέρας γὰρ*, φησὶν, *αὐλισθήσεται κλαυθμός*. Ps 29.6β

19β Καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.

Τῷ ἀπὸ τῆς πολιορκίας· ἃ πάντα γεγόνασιν, ὡς ἡ τῶν Βασιλειῶν βίβλος ἑρμηνεύει. 4Rg 18-19

20α Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ Κυρίῳ.

Καὶ αὖθις ἐν καιρῷ πειρασμῶν ὑπομενοῦμεν διὰ τὸν Κύριον· δι' αὐτὸν γὰρ μισούμεθα παρὰ τοῖς ἑτεροδόξοις. Εἶτα καὶ τὴν αἰτίαν ἐπήγαγε τῆς ὑπομονῆς.

20β Ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν.

Πεπληροφορήμεθα γὰρ ἐκ πολλῶν, ὅπως ἡμῖν βοηθεῖ.

21α Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν.

Ὑπομενοῦμεν, φησὶν, ὅτι βοηθὸς ἡμῶν ἐστιν ὁ Κύριος, καὶ ὅτι δι' αὐτοῦ εὐφρανθησόμεθα νικήσαντες.

21β Καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.

Περιφραστικῶς, ἀντὶ τοῦ, ἐν αὐτῷ, ἢ ἐν τῇ ἐπιφωνήσει τοῦ ὀνόματος αὐτοῦ, δυναμένῃ τρέπειν τοὺς ἐχθρούς.

Νοοῖτο δ' ἂν τοῦτο καὶ περὶ Χριστιανῶν, οἳ ἐλπίζουσι νικᾶν ἐν τῷ ὀνομάζεσθαι τῷ ὀνόματι τοῦ Χριστοῦ· πολλὰ γὰρ τεράστια τὸ ὄνομα τοῦτο μόνον ὀνομαζόμενον ἐποίησε, καὶ ποιεῖ· *Ἐν τῷ ὀνόματι γὰρ*, φησὶ, *τοῦ Χριστοῦ, ἀνάστα*, καὶ τὰ τοιαῦτα.| Ac 3.8

22 Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Γένοιτο οὕτως, ὡς ἡμεῖς ἠλπίσαμεν· ἠλπίσαμεν δὲ θερμῶς· πολὺ οὖν γένοιτο.

33 λγ´
1 Ψαλμὸς τῷ Δαυίδ·
ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ
καὶ ἀπέλυσεν αὐτὸν καὶ ἀπῆλθεν.

Φεύγων Δαυὶδ τὸν Σαοὺλ, ἦλθεν εἰς Νομβὰ, πόλιν τῶν ἱερέων, καὶ ἐντυχὼν Ἀβιμέλεχ, τῷ ἐντιμοτέρῳ αὐτῶν, προσεποιήσατο παρὰ Σαοὺλ ἀποσταλῆναι πρός τινα χρείαν, καὶ ἐζήτησεν ἄρτους καὶ ῥομφαίαν· καὶ μὴ εὑρὼν ἄλλους, ἔλαβε τοὺς τῆς προθέσεως, καὶ ἔφαγεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ διὰ τὴν ἀνάγκην Lk 6.3
τοῦ λιμοῦ, παρὰ τὸν νόμον, τοῖς γὰρ ἱερεῦσι μόνοις ἀπονενέμηντο. Ναὶ μὴν, εἰλήφει καὶ τὸ δόρυ Γολιὰθ, ἐκεῖ φυλαττόμενον εἰς ἀνάθημα τῷ Κυρίῳ. Καὶ 1Rg 21.1-10
ἐξελθὼν, ἀπῆλθε πρὸς τὸν ἀλλόφυλον Ἀχοὺς, βασιλέα τῆς Γέθ· τῶν δὲ περὶ τὸν Ἀχοὺς ἀναγνωρισάντων αὐτὸν καὶ ὑποψιθυριζόντων, δειλιάσας, προσεποιήσατο μαίνεσθαι, καὶ παρεφέρετο, καὶ ἐτυμπάνιζεν ἐπὶ ταῖς θύραις, καὶ ἔπιπτε, καὶ τὰ σίελα κατέῤῥει τοῦ πώγωνος αὐτοῦ, καὶ οὕτω δόξας ἐπίληπτος, ἀπελύθη, καὶ διεσώθη ἐκεῖθεν. Ἡ μὲν οὖν ἱστορία, τοιαύτη. 1Rg 21.11-16

Ὀνομάζουσι δέ τινες Ἀβιμέλεχ, τὸν Ἀχιμέλεχ, ὡς διώνυμον, καὶ ἀλλοίωσιν [1Rg 30.7]
προσώπου καλοῦσι, τὴν ὑπόκρισιν τοῦ πράγματος· φεύγων γὰρ, ἐπλάσατο ἀποσταλῆναι πρός τινα χρείαν, ἵνα μὴ φωραθεὶς, καταμηνυθῇ. Πλὴν, εἰ καὶ δῶμεν διώνυμον εἶναι τὸν Ἀβιμέλεχ, ἀλλ' οὖν ἡ τῶν Βασιλειῶν βίβλος παρὰ μόνῳ τῷ Ἀχοὺς ἠλλοιωκέναι τὸ πρόσωπον αὐτοῦ τὸν Δαυὶδ ἀναγράφει, καὶ οὐ παρὰ τῷ Ἀβιμέλεχ.

Διό φησιν ὁ μέγας Βασίλειος, ὅτι τὸ Ἀβιμέλεχ ὄνομα, κοινὸν ἦν τῶν βασιλέων PG29.349
τῆς Γὲθ, ὡς καὶ παρὰ Ῥωμαίοις πάλαι, τὸ Καῖσαρ καὶ τὸ Αὔγουστος, καὶ παρ' Αἰγυπτίοις, τὸ Φαραὼ, καὶ τὰ τοιαῦτα, ὥστε κοινὸν μὲν βασιλικὸν εἶχεν ὁ Ἀχοὺς ὄνομα, τὸ Ἀβιμέλεχ, ἰδιαίτατον δὲ, τὸ Ἀχούς. Ὃν καὶ ἐφοβήθη Δαυὶδ, καὶ οὗ ἄσμενος ἀπαλλαγεὶς, ᾖσε τὸν προκείμενον ψαλμὸν, εὐχαριστήριον τῷ Θεῷ, τῷ συνετίσαντι αὐτὸν, ὥστε δι' ὑποκρίσεως μανίας, ἀπολυθῆναι.

Ἁρμόζει δὲ καὶ παντὶ ἀπαλλαγέντι κινδύνου.

2α Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ.

Διαφυγὼν ἤδη τὸν κίνδυνον, ἀμείψομαι τὸν σεσωκότα Θεὸν εὐφημίᾳ διηνεκεῖ, διηνεκῶς βοηθοῦντά μοι. Ἐντεῦθεν ὁ μέγας Παῦλος μαθητευθεὶς, φησὶν, *Ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε.* 1Thes 5.17-18

2β Διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

Καὶ πῶς περὶ βιωτικῶν ἀναγκαίως ὁμιλοῦντός τινος, ἢ ἐσθίοντος, ἢ πίνοντος, ἢ κοιμωμένου, διὰ παντὸς ἡ αἴνεσις ἔσται τῷ στόματι; ἢ δῆλον, ὥς ἐστι καὶ νοητὸν στόμα, τοῦ ἔνδον ἀνθρώπου, δι' οὗ μεταλαμβάνει τῆς τροφῆς τῶν θείων νοημάτων,

1[10] βασιλέα τῆς Γέθ MSCBF : τῆς Γὲθ βασιλεύοντα P. 1[18] Ἀβιμέλεχ PSHV : Ἀχιμέλεχ MCBF. 1[20] Ἀβιμέλεχ PSHV : Ἀχιμέλεχ MCBF. 1[25] εὐχαριστήριον PSCHBFV : εὐχαριστήριον δὲ M. 2α[3] βοηθοῦντά μοι HV : βοηθοῦντι μοι PMSCBF.

περὶ οὗ φησι, *Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα*, καὶ, *Πλάτυνον τὸ* Ps 118.131
στόμα σου, καὶ πληρώσω αὐτὸ, ὅπερ οὐκ ἐμποδίζεσθαί ποτε δύναται μνημονεῦον Ps 80.11β
ἀεὶ Θεοῦ τοῖς νήφειν ἐθέλουσι.

Καὶ ἄλλως δὲ, *ἐν παντὶ καιρῷ*, δηλονότι τῷ προσήκοντι, καὶ *διὰ παντὸς*, ὅτε δηλαδὴ χρεών. Χρὴ δὲ στόματι μὲν αἰσθητῷ τὸν Θεὸν αἰνεῖν, ὅτε μὴ χρεία τις ἀναγκαία προσίσταται, νοητῷ δὲ, ἀεί· μνημονευτέον γὰρ Θεοῦ μᾶλλον ἢ ἀναπνευστέον. Καὶ ἐν τῷ Ἄισματι δὲ τῶν ᾀσμάτων φησὶν, *Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ.* SS 5.2

3α Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου.

Οὐ δι᾽ ἀρετὴν οἰ | κείαν ἐπαινεθήσομαι παρὰ τοῖς ἀνθρώποις, ἀλλὰ διὰ τὸν Θεὸν, ὡς τὸν Θεὸν ἔχων βοηθόν. *Μακάριος* γὰρ, φησὶν, *οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ*. Ἡ ψυχή μου δὲ, ἀντὶ τοῦ, ἐγὼ, περιφραστικῶς. Ps 145.5

3β Ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.

Ἀκουσάτωσαν, ὅτι σέσωσμαι παραδόξως. Πραεῖς δὲ λέγει, τοὺς ἀνεξικάκους, οἷος ἦν αὐτός. Καὶ εὐφρανθήτωσαν, ὅτι οὐ περιορᾷ τοὺς τοιούτους ὁ Θεὸς, ἀλλὰ καὶ κινδυνεύοντας διασῴζει. Ἐμὲ, φησὶν, ἐχέτωσαν ὑπόδειγμα, καὶ θαῤῥείτωσαν.

4 Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Πρὸς τοὺς πραεῖς ἔτι ἀποτείνεται, καὶ καλεῖ τούτους εἰς τὸ μεγαλύνειν καὶ ὑψοῦν ὁμοῦ τὸν Κύριον. Πῶς δέ τις ὑψοῖ καὶ μεγαλύνει τὸν Θεὸν, εἰρήκαμεν ἐν τῇ ἀρχῇ τοῦ κθ´ ψαλμοῦ. Εἶτα διηγεῖται, πῶς ἐῤῥύσθη. Ps 29.2α

5α Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου.

Ἡ ἐξ πρόθεσις, ἐπίτασιν ἐμφαίνει ζητήσεως. Ἐν μέσοις, φησὶ, τοῖς κινδύνοις ἀπολειφθεὶς, ἐμπόνως ἐζήτησα τὸν Κύριον εἰς ἐπικουρίαν, καὶ ταχέως ἐπήκουσέ μου.

5β Καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐῤῥύσατό με.

Διάφοροι γὰρ αὐτὸν εἶχον θλίψεις, ὅτι μέλλει ἐκδοθῆναι τῷ Σαοὺλ, ὅτι αἰκισθῆναι, ὅτι προπηλακισθῆναι, ὅτι τελευταῖον, ἀναιρεθῆναι πικρῶς.

6 Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ἡμῶν οὐ μὴ καταισχυνθῇ.

5β[2] μέλλει MSCV: ἔμελλεν H.

Ἡ θλῖψις εἴωθε συγχέειν καὶ σκοτίζειν τὸν νοῦν. Οἱ ἐν σκότει οὖν θλίψεως, προσέλθετε τῷ Θεῷ, διὰ τοῦ ἐκζητεῖν αὐτὸν, ὡς ἐγὼ, καὶ φωτίσθητε τῇ εὐθυμίᾳ διασκεδαζούσῃ τὴν ἀχλὺν τῆς θλίψεως, καὶ οὐ μὴ καταισχυνθῆτε ταῖς ἐλπίσι τῆς σωτηρίας.

Ἀναγωγικώτερον δὲ, περὶ τοῦ θείου βαπτίσματος ἡ προτροπή· προσέλθετε πρὸς τὴν τοῦ Χριστοῦ πίστιν, οἱ ἐν σκότει πλάνης, καὶ φωτίσθητε διὰ τοῦ βαπτίσματος, λαμπρύνοντος τὴν ψυχὴν, καὶ τὸ ὄμμα ταύτης ἀνακαθαίροντος, καὶ οὐ μὴ καταισχυνθῆτε, διὰ τὸ ἀπολούσασθαι τὰ αἴτια τῆς αἰσχύνης.

Τὰ πρόσωπα δὲ ὑμῶν, ἀντὶ τοῦ, ὑμεῖς, ἀπὸ μέρους τὸ πᾶν.

7 Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

Οὗτος, δεικτικῶς· τουτέστιν, ἐγὼ, ὃν ὁρᾶτε. Πτωχὸν δὲ ἑαυτὸν καλεῖ, ὡς ἐνδεῆ πάσης ἀνθρωπίνης ἐπικουρίας, ἢ καὶ διὰ τὴν εὐτέλειαν τοῦ γένους αὐτοῦ.

8 Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς.

Στρατοπεδεύσει πέριξ ἑκάστου, περιτειχίζων αὐτόν.

Ὅρα δὲ τὴν δύναμιν τοῦ φύλακος τῆς ἑκάστου ζωῆς ἀγγέλου· εἷς γὰρ ὢν, ὅλῳ στρατῷ παρείκασται. Φοβουμένους δὲ λέγει, τοὺς τηροῦντας τὰς ἐντολάς. Οὗ γὰρ φόβος, ἐντολῶν τήρησις. PG36.344A

9α Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος.

Γνῶτε καὶ ὑμεῖς· γεῦσιν γὰρ ἐνταῦθα, τὴν πεῖραν ὀνομάζει.

Πῶς δὲ γεύσεσθε; Εἰ καθάπερ ἐγὼ, κράξετε ἐκ ψυχῆς, εἰ ἐκζητήσετε αὐτὸν ὁλοσχερῶς, εἰ ἐλπίσετε ἐπ' αὐτὸν ἀδιστάκτως.

Προτρέπεται δὲ καὶ ἄλλως εἰς τὴν μετάληψιν τοῦ Δεσποτικοῦ σώματος καὶ αἵματος, ὧν οἱ γευόμενοι ἀξίως, εὐθὺς αἰσθάνονται τῆς παρὰ Θεοῦ ῥοπῆς καὶ βοηθείας.

9β Μακάριος ἀνὴρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.

Εἰ γὰρ ἐπικατάρατος ὁ ἐλπίζων ἐπ' ἄνθρωπον, τοὐναντίον, μακάριος ὁ ἐλπίζων Jer 17.5
ἐπὶ Κύριον.

10α Φοβήθητε τὸν Κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ.

Ἁγίους λέγει, τοὺς ἀφωσιωμένους τῷ Θεῷ. Φοβήθητε οὖν, διότι ὁ φόβος τοῦ Θεοῦ δεσμεῖ τὰς ἀτάκτους ὁρμάς. *Καθήλωσον γὰρ, φησὶν, ἐκ τοῦ φόβου σου τὰς σάρκας μου.* Εἶτα ἐπάγει καὶ τὸ ἀπὸ τοῦ φόβου κέρδος. | Ps 118.120

[6][6] πλάνης M: πάντες P.

10β *Ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.*

Οἱ γὰρ τὸν θεῖον φόβον ἐν τῇ ψυχῇ φυτεύσαντες, οὐκ ἐλλείπουσιν εἰς ἀρετὴν, τοῦ φόβου τούτους ἀναγκάζοντος.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι οὐκ ἔστιν ἔλλειμμα τούτοις· ἔχουσι γὰρ ἔνδυμα μὲν, τὸ θεῖον βάπτισμα, τροφὴν δὲ, τὴν τοῦ ἀχράντου σώματος καὶ αἵματος, ὅπλον δὲ, τὸν τίμιον σταυρὸν, καὶ ἁπλῶς, ὧν χρῄζουσιν ἀπολαύουσιν.

11 Πλούσιοι *ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν* Κύριον *οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.*

Εἰπὼν ὅτι οὐκ ἔστιν αὐτοῖς ὑστέρημα, πιστοῦται τὸν λόγον ἀποδεικτικῶς· οἱ μὲν γὰρ πλούσιοι τοῦ βίου τούτου ἐπτώχευσαν πολλάκις καὶ ἐπείνασαν· εὐμετάπτωτος γὰρ ὁ αἰσθητὸς πλοῦτος, καὶ ἄπιστος. Οἱ δὲ διὰ τοῦ θείου φόβου καὶ τῆς ὁδοῦ τῶν ἐντολῶν ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐνδεήσουσι παντὸς ἀγαθοῦ, δηλονότι τοῦ ἀποκειμένου τοῖς εὐηρεστηκόσιν αὐτῷ. Τῶν γὰρ ἀνθρωπίνων ἀγαθῶν καὶ πάνυ ἐνδεήσουσι, διὰ στενῆς καὶ τεθλιμμένης ὁδοῦ βαδίζοντες. Mt 7.14

Αἰνίττεται δὲ ὁ λόγος καὶ τοὺς Ἰουδαίους, οἳ πλούσιοι πρότερον ὄντες ἐν πόλεσι καὶ πλήθει στρατοῦ καὶ τῷ περιωνύμῳ ναῷ καὶ τῷ θείῳ νόμῳ καὶ τῇ
πρὸς Θεὸν ὁμιλίᾳ, ἐπτώχευσαν τούτων πάντων, ἐπειδὴ τὸν πλούσιον ἐν ἐλέει καὶ Eph 2.4
πτωχὸν δι᾽ ἡμᾶς ἀπέκτειναν ἀνοήτως, καὶ ἐπείνασαν, διότι τὸν ἄρτον τῆς ζωῆς 2Cor 8.9
ἀνεῖλον· οἱ δὲ ἐκζητοῦντες τὸν Χριστὸν ἐξ ἐθνῶν αὐξήσουσιν ἔτι καὶ ἔτι. Jn 6.35

12 *Δεῦτε, τέκνα, ἀκούσατέ μου, φόβον* Κυρίου *διδάξω ὑμᾶς.*

Αὕτη διδασκάλου φωνή· τέκνον γὰρ, ὁ μαθητὴς τοῦ διδάσκοντος, πλαττόμενος εἰς ἀρετὴν καὶ οἷον μορφούμενος.

Φόβον δὲ Κυρίου εἶπε, πρὸς ἀντιδιαστολὴν τοῦ φόβου τοῦ δαίμονος, ὃν ἐκεῖνος ἐμποιεῖ, περὶ οὗ φησιν ἐν ἄλλοις, *Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.* Ps 63.2

13α *Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν;*

Εἰρηκὼς, Δεῦτε, οὐ πάντας ἁπλῶς καλεῖ, ἀλλὰ εἴ τις θέλει ζωὴν, οὐ τὴν κοινὴν ταύτην, ἣν καὶ τὰ ἄλογα ζῇ, ἀλλὰ τὴν ὄντως, τὴν ἀΐδιον· ἡ γὰρ παροῦσα, θάνατος μᾶλλόν ἐστι, περὶ ἧς ἔλεγεν ὁ Ἀπόστολος, *Τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;* θάνατον, τὸ σῶμα καλῶν, ἤτοι τὴν ἐν σώματι ζωήν. Ro 7.24

13β *Ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς.*

Οὐ τὰς τοῦ αἰῶνος τούτου. Φησὶ γὰρ ὁ Ἰακὼβ, ὅτι *Αἱ ἡμέραι τῶν ἐτῶν μου*
μικραὶ καὶ πονηραί· καὶ ὁ μέγας Παῦλος, *Ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ* Gen 47.9

ἡμέραι πονηραί εἰσιν. Eph 5.16

Ἀγαθαὶ δὲ ἡμέραι εἰσὶν, ὁ μέλλων αἰών· ἀγαθαὶ μὲν, διὰ τὴν ἄληκτον καὶ ἄῤῥητον χαράν· ἡμέραι δὲ, διὰ τὸ δι’ ὅλου φῶς.

14α Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ.

Ἐντεῦθεν ὑποτίθεται τὰ ἔργα τοῦ θείου φόβου, τοῦ στοιχειωτικοῦ.

Προτίθησι δὲ τὴν γλῶσσαν, ὡς εὐόλισθον μόριον καὶ προχειρότατον εἰς πᾶν εἶδος κακίας· ὑπουργεῖ γὰρ βλασφημίαις Θεοῦ, ὕβρεσιν ἀνθρώπων, μαστροπεύει αἰσχραῖς ἐπιθυμίαις, συκοφαντεῖ, καταλαλεῖ, κατηγορεῖ, δόλους ὑφαίνει, ἐξαπατᾷ, καταμαρτυρεῖ, ἐπιορκεῖ, καὶ ὅλως ὄργανόν ἐστι κακοῦ παντός.

14β Καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.

Δόλος ἐστὶ κακοποιΐα λαθραία, ἐν προσποιήσει καλοῦ.

Προσεκτέον οὖν, ὅτι διὰ τοῦ εἰπεῖν, *Παῦσον τὴν γλῶσσαν σου ἀπὸ κακοῦ*, καθόλου πάντα λόγον κακὸν συμπεριέλαβε· νῦν δὲ κατεξαίρετον ἐπανέλαβε τὸν δόλον, ὡς χαλεπώτατον, διὰ τὸ λαθραῖον καὶ ἄφυκτον — πρῶτον γὰρ τοῦτον τὸν ἰὸν ὁ διάβολος ἐξήμεσεν ὅτε τὴν Εὔαν ἠπάτησε — καὶ ὡς ἐπιπολάζοντα | Gen 3.5
μάλιστα τοῖς ἀνθρώποις.

15α Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν.

Ὅρα τάξιν ἀρίστην· ἐπειδὴ γὰρ ἑτοιμότερος ὁ λόγος ἐστὶ τῆς πράξεως, παραινεῖ πρῶτον ἀπέχεσθαι κακοῦ λόγου· *Παῦσον* γὰρ, φησὶ, *τὴν γλῶσσαν σου ἀπὸ κακοῦ*· ὁ γὰρ λόγος, ὁδός ἐστιν εἰς πρᾶξιν, ὡς οἱ σοφοὶ λέγουσιν. Εἶτα ἀποτρέπει καὶ τοῦ κακοῦ πράγματος· *Ἔκκλινον* γὰρ, φησὶν, *ἀπὸ κακοῦ*. Καὶ οὕτως ἀνάγει πρὸς τὴν ἀγαθοεργίαν, προεξάρας τὰ σκῶλα. Ὥσπερ γὰρ ἀμήχανον ὑγείαν ἀπολαβεῖν, μὴ ἀπαλλαγέντα τῆς νόσου, οὕτω καὶ ποιῆσαι ἀγαθὸν, μὴ ἀποστάντα τοῦ κακοῦ.

Σκόπει δὲ, ὅτι οὐκ ἀρκεῖ μόνον ἡ ἀποχὴ τοῦ κακοῦ, ἀλλὰ χρὴ καὶ ποιῆσαι τὸ ἀγαθὸν, εἰ μὴ μέλλοι τις ἀποσχέσθαι μὲν τοῦ κακοῦ, μὴ ποιῆσαι δὲ τὸ καλόν.

15β Ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.

Ἡ εἰρήνη τῶν ἀγαθῶν ἐστι τὸ κεφάλαιον, ἣν καὶ ὁ Κύριος, οἷά τινα κλῆρον, τοῖς ἑαυτοῦ μαθηταῖς ἀπολέλοιπεν· *Εἰρήνην* γὰρ, φησὶ, *τὴν ἐμὴν, ἀφίημι ὑμῖν*. Ὁ γὰρ Jn 14.27
εἰρηνεύων πρὸς Θεὸν καὶ πρὸς ἀνθρώπους, παντὸς πάθους ὑπέρκειται. Μὴ τοίνυν ἁπλῶς ζητήσῃς αὐτὴν, ἀλλὰ μετὰ σπουδῆς· τοῦτο γὰρ νῦν ἐμφαίνει τὸ, δίωξον, εἴτουν καταδίωξον, κατ’ ἴχνος αὐτῆς τρέχων, ὥστε φθάσαι καὶ λαβεῖν αὐτήν.

16 Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

15α Add. [MP in marg.]B: Τὸ μὲν, ἵνα μὴ τιμωρηθῇς, τὸ δὲ ἵνα τιμηθῇς. Καθ’ ἕτερον δὲ λόγον, καὶ τὸ μὴ ποιῆσαι τὸ ἀγαθὸν, ἑτέρα τίς ἐστι κακία· ὡς ἀργία τοῦ καλοῦ, κακία ἐστὶ προδήλως ἡ τοιαύτη ἀργία. : om. SCF.

Ὀφθαλμοὶ μὲν Κυρίου, ἡ ἐποπτικὴ αὐτοῦ δύναμις· ὦτα δὲ, ἡ ἀκουστική. Λέγει τοίνυν, ὅτι ὁ Θεὸς διὰ παντὸς ἐφορᾷ τοὺς δικαίους, ἐπευφραινόμενος ταῖς πράξεσιν τούτων, καὶ εἰσακούει τῆς δεήσεως αὐτῶν, ὡς ἀξίας εἰσακούεσθαι. Δικαίους δὲ καλεῖ νῦν, τοὺς ἐναρέτους.

17 Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ὁρᾷ, φησὶ, καὶ τοὺς τὰ πονηρὰ πράσσοντας, ἀλλ' οὐ καθάπερ τοὺς δικαίους. Ἐκείνους μὲν γὰρ, ὥστε φυλάττειν, τούτους δὲ, ὥστε δίκας εἰσπράττεσθαι. Καὶ μέντοι πᾶς τοιοῦτος, καιροῦ καλοῦντος, ἀπόλλυται ἐκ γῆς, εἴτε ταύτης, εἴτε τῆς τῶν σῳζομένων. Φοβηθήτωσαν τοίνυν πάντες οἱ ἁμαρτωλοὶ, ὡς οὐ λανθάνοντες ἐν οἷς πράττουσιν.

Ἢ πρόσωπον Κυρίου λέγει, τὴν ἐν τῇ μελλούσῃ κρίσει ἐπιφάνειαν αὐτοῦ, ὅτε πικρὸν αὐτοῖς ἐμβλέψει καὶ αὐστηρόν.

18 Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐῤῥύσατο αὐτούς.

Ὁ μὴ περὶ χαμαιζήλων καὶ γηΐνων αἰτούμενος, ἀλλὰ μεγάλων καὶ οὐρανίων, εἰ καὶ σιγᾷ τῇ γλώσσῃ, ἀλλά γε τῷ νῷ κράζει τρανῶς, καὶ ἡ κραυγὴ αὐτοῦ φθάνει μέχρι τῶν ἀκοῶν τοῦ Θεοῦ. Ἔνθεν τοι καὶ εἰσακούεται, καὶ ῥύεται πάσης θλίψεως· τοῦτο μὲν, ἀπαλλαττόμενος αὐτῆς, τοῦτο δὲ, νικῶν τῇ καρτερίᾳ τὴν ἐπίθεσιν αὐτῆς, ὃ καὶ τοῦτο λύτρωσίς ἐστιν, ὡς καὶ ἐν ἄλλοις εἰρήκαμεν. Ps 21.5-6

19α Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν.

Ὁ μὲν Θεὸς δι' ἀγαθότητα πᾶσιν ἐγγύς ἐστι· φησὶ γὰρ, Θεὸς ἐγγίζων, ἐγώ εἰμι. Jer 23.23
Ἡμεῖς δὲ, διὰ μοχθηρίαν μακρὰν αὐτοῦ γινόμεθα· φησὶ γὰρ, Ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. Συντετριμμένοι δὲ τὴν καρδίαν, οἱ κατανενυγμένοι Ps 72.27
ἐπὶ τοῖς ἑαυτῶν ἁμαρτήμασι. Σφόδρα γὰρ συντρίβει τὸ φρόνημα ἡ κατάνυξις.

19β Καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

Προηγεῖται μὲν ἡ κατάνυξις, ἕπεται δὲ ἡ ταπείνωσις. Τῷ πνεύματι δὲ ταπεινοὺς, ἤτοι τῇ ψυχῇ, καὶ μὴ τῷ σώματι, ὅ ἐστι τῷ σχήματι, μηδὲ τῷ λόγῳ, μηδ' ἐξ ἀνάγκης τινός.

20 Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ | πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

Συγχωρεῖ μὲν γὰρ ὁ Κύριος κατελθεῖν αὐτοὺς εἰς τὸ τῆς ἀρετῆς γυμνάσιον·

17[6] λανθάνοντες P : λανθάνουσιν MSCBF.

οὐκ ἐᾷ δὲ τῶν πόνων ἡττᾶσθαι, ὅπερ ἐστὶ νίκη, καθὼς προείρηται. Διό φησιν, Ps 21.5
Ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε, ἀλλὰ θαρσεῖτε, καὶ ὅσα ὁ Ἀπόστολος, Ἐν παντὶ Jn 16.33
θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι. 2Cor 4.8

21 Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν· ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.

Καὶ μὴν πολλῶν μαρτύρων ὀστᾶ συνετρίβησαν· ἀλλ' ἐπεὶ ἄνθρωπος λέγεται,
οὐχ ὁ ἐκτὸς μόνον, ἤτοι τὸ σῶμα, ἀλλὰ καὶ ὁ ἐντὸς, τουτέστιν, ἡ ψυχὴ, ἔχει
πάντως καὶ μέλη, ὁμώνυμα τοῖς τοῦ σώματος, ὡς τὸ, *Ἡ ἐντολὴ Κυρίου,* Ps 18.9
τηλαυγὴς, φωτίζουσα ὀφθαλμοὺς, δηλονότι τοὺς τῆς ψυχῆς, καὶ, *Ὁ ἔχων ὦτα* Mt 11.15
ἀκούειν, ἀκουέτω, καὶ, *Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα,* καὶ, *Ὀδόντας* Ps 118.131
ἁμαρτωλῶν συνέτριψας, καὶ, *Τὴν κοιλίαν μου ἀλγῶ,* καὶ, *Ὁ ποὺς τοῦ δικαίου, οὐ* Ps 3.8
μὴ προσκόψῃ, καὶ ὅσαι τοιαῦται δυνάμεις τῆς ψυχῆς. Οὕτως οὖν καὶ νῦν ὀστᾶ Jer 4.19
λέγει, τοὺς στερεοῦντας καὶ ἀνέχοντας τὴν ψυχὴν λογισμοὺς, ὡς καὶ τὰ ὀστᾶ τὸ Prov 3.23
σῶμα. Φυλάττει δὲ τούτους ὁ Κύριος, διὰ τὴν πρὸς αὐτὸν εὐαρέστησιν. Οὐδὲν δὲ
τούτων συντριβήσεται τῇ βίᾳ τῆς ἁμαρτίας.

22α Θάνατος ἁμαρτωλῶν πονηρός.

Ἐπίπονος, ἀλγεινός. Τότε γὰρ ὀξέως αἰσθάνονται τῆς διαδεχομένης αὐτοὺς κολάσεως· ὁ δὲ τῶν δικαίων, ἀγαθὸς, αἰσθανομένων τῆς μενούσης αὐτοὺς χαρᾶς.

22β Καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.

Μισοῦσι τὸν δίκαιον, οἱ ἐν ἁμαρτίαις· εἰ γὰρ τῷ ὁμοίῳ χαίρει τὸ ὅμοιον, δῆλον, ὡς μισεῖ τὸ ἀνόμοιον· καὶ ὧν ὁ βίος ἀνόμοιος, τούτων ἐναντίαι καὶ αἱ γνῶμαι.

Πλημμελήσουσι δὲ, ὡς τοῖς ἄλλοις αὐτῶν ἁμαρτήμασιν ἔτι προστιθέντες καὶ τὸ τοῦ μίσους αὐτοῦ ἁμάρτημα. Οὐ μόνον γὰρ οὐκ ἐμιμήσαντο τοῦτον, ἀλλὰ καὶ ἐμίσησαν. Ἢ τοίνυν τὸ, πλημμελήσουσιν, ἀντὶ τοῦ, ἁμαρτήσουσι, νοητέον, ἢ ἀντὶ τοῦ, κινδυνεύσουσι.

23α Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ.

Ἀπὸ τῶν ἀνθρωπίνων καὶ δαιμονικῶν ἐπιβουλῶν, αἳ ἡττηθήσονται τῆς ὑπομονῆς αὐτῶν.

23β Καὶ οὐ μὴ πλημμελήσωσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

Οὔτε γὰρ ἁμαρτήσουσι, τῇ πρὸς αὐτὸν ἐλπίδι χειραγωγούμενοι, οὔτε κινδυνεύσουσι ψυχικῶς.

34 λδ´
1α Ψαλμὸς τῷ Δαυίδ.

Καὶ τοῦτον εἴρηκε τὸν ψαλμὸν, ἔτι διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, καὶ μηδαμοῦ στῆναι συγχωρούμενος· προσήκει δὲ καὶ πᾶσι καταδιωκομένοις ὑπ' ἐχθρῶν.

Χρὴ δὲ ταῖς μὲν ἀραῖς ἐν πᾶσι τοῖς ψαλμοῖς κατὰ τῶν δαιμόνων κεχρῆσθαι (οὗτοι γὰρ καὶ τοὺς πολεμοῦντας ἡμῖν ἀνθρώπους διεγείρουσι), τοῖς ὀνείδεσι δὲ, κατὰ τῶν ἐπιβουλευόντων ἡμῖν ἀνθρώπων· τὰ κατορθώματα δὲ, προσώπῳ τοῦ Δαυὶδ ἀπαγγέλλειν, ὥστε κινηθῆναι πρὸς τὴν τούτων μίμησιν.

1β Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.

Πρῶτον, φησὶ, δίκασον τοὺς ἀμφὶ τὸν Σαούλ· εἶτα, πολέμησον καὶ κόλασον, ὡς ἀδίκους φαινομένους. Ἀδιάφοροι δὲ αἱ συντάξεις, νόμῳ διαλέκτου παλαιᾶς.

2-3α Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου· ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με.

Πολέμου μνημονεύσας, ἀκολούθως καὶ τὰ εἴδη τῶν ὅπλων προσέθηκεν, οὐχ ὡς τοῦ Θεοῦ τοιούτοις χρωμένου, ἀλλ' ἀνθρωποπρεπῶς τῷ φοβερῷ καταλόγῳ τοῦ σχήματος τῆς πα | νοπλίας ἐκδειματῶν τοὺς πονηρούς. Τῷ Θεῷ γὰρ ἀρκεῖ θέλησις μόνον ἢ λόγος εἰς τιμωρίαν μὲν τῶν ἀδικούντων, σωτηρίαν δὲ τῶν ἀδικουμένων.

Ἔκχεον δὲ, ἀντὶ τοῦ, ἕλκυσον· ἑλκομένη γὰρ ἡ σπάθη, ἐκχεῖσθαι τοῦ κολεοῦ δοκεῖ, διὰ τὴν λειότητα. Σύγκλεισον δὲ, ἀντὶ τοῦ, φράξον ἔμπροσθεν, ὥστε μὴ δύνασθαι αὐτοὺς ἐκφυγεῖν τὸν ἀπὸ σοῦ κίνδυνον.

3β Εἶπον τῇ ψυχῇ μου, Σωτηρία σού εἰμι ἐγώ.

Τῇ νοερᾷ σου φωνῇ, εἰπὲ τῇ νοερᾷ ψυχῇ μου, μόνον, ὅτι Μὴ φοβοῦ, σωτηρία σού εἰμι ἐγώ· ἡ γὰρ ἀρχαία διάλεκτος τὸ, εἰπὲ, εἶπον λέγει, ὡς τὸ, ποίησον.

4α Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν, ἐκ παραλλήλου τὸ αὐτὸ σημαίνουσιν, ὃ πείσονται, μὴ δυνάμενοί με ἑλεῖν. Τὴν ψυχήν μου δὲ, ἀντὶ τοῦ, ἐμέ.

4β Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω.

Κενοὶ καὶ ἄπρακτοι.

4γ Καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.

2[3] προσέθηκεν MSCBF : προστέθεικεν P.

Τὸ, *καταισχυνθήτωσαν*, ἐπίτασίς ἐστι τοῦ, *αἰσχυνθήτωσαν*· λογιζόμενοι δὲ, ἀντὶ τοῦ, *μελετῶντες*, *συσκεπτόμενοι*.

5α Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου.

Ὡσεὶ χνοῦς, ὅσον ἐπὶ τῷ σκεδαννύεσθαι ἐν τῷ φεύγειν· ἡ γὰρ λεπτὴ κόνις ἐνώπιον ἀνέμου σκεδάννυται.

5β Καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς.

Λείπει τὸ, *ἔστω*. Ἄγγελοι γὰρ πολλάκις εἰς τὸ κολάζειν ἀποστέλλονται, ὡς ὁ ὀλοθρεύσας τὰ πρωτότοκα τῶν Αἰγυπτίων, καὶ ὁ τὰς τῶν Ἀσσυρίων ἑκατὸν Ps 77.49
ὀγδοήκοντα πέντε χιλιάδας ἀνελών. 4Rg 19.35

6α Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα.

Τοῦτο, σφοδρότης τῆς ἀρᾶς· κατεύχεται γὰρ αὐτῶν, ἵνα φεύγουσιν αὐτοῖς, ἡ ὁδὸς γένηται σκοτεινὴ μὲν, ὥστε μὴ δύνασθαι βαδίζειν ὀρθῶς, ὀλισθηρὰ δὲ, ὥστε κατακρημνίζεσθαι.

6β Καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς.

Τούτους δὲ, τοσούτοις κακοῖς περιπίπτοντας, καὶ ὁ ἐκθλίβων ἄγγελος καταδιωκέτω προσέτι. Τί οὖν εἰκὸς παθεῖν, τὸν μήτε ὀφθαλμῷ, μήτε ποδὶ βοηθούμενον, ἀλλὰ καὶ κατεπειγόμενον ὑπὸ τοῦ διώκοντος;

7α Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν.

Τὸ, *δωρεὰν*, ὁ Σύμμαχος *ἀναιτίως* εἶπε. Μηδὲν ὑπ' ἐμοῦ, φησὶ, βλαβέντες, ἔκρυψάν μοι ὄλεθρον παγίδος αὐτῶν· τὸν γὰρ διὰ παγίδος ὄλεθρον κατακρύπτουσιν οἱ θηρεύοντες.

7β Μάτην ὠνείδισαν τὴν ψυχήν μου.

Τουτέστιν, ἐμὲ, κατὰ περίφρασιν. Παρατηρητέον δὲ, ὅτι πολὺ παρὰ τοῖς ψαλμοῖς τοῦ Δαυὶδ τὸ σχῆμα τῆς περιφράσεως, οἷον, ἡ ψυχή μου, ἡ ζωή μου, τὸ πρόσωπόν μου, τὸ ὄνομά σου, καὶ τὰ τοιαῦτα. Ψευδόμενοι, φησὶν, ὠνείδισάν με, ἀχάριστον ἀποκαλοῦντες καὶ τοῦ βασιλέως ἐπίβουλον.

8α Ἐλθέτω αὐτῷ παγὶς, ἣν οὐ γινώσκει.

5α[2] σκεδαννύεσθαι MPSB : σκεδάννυσθαι CFV.

Συμφορὰ ἀπρόοπτος. Αὐτῷ δὲ, τῷ κρύψαντι τὴν διαφθορὰν, καὶ ὀνειδίσαντι, εἴτε τὸν Σαοὺλ εἴποις, εἴτε καὶ ἕκαστον τῶν ἀνακαιόντων αὐτὸν κατὰ τοῦ Δαυίδ.

8β Καὶ ἡ θήρα, ἣν ἔκρυψε, συλλαβέτω αὐτόν.

Καὶ τὸ δίκτυον τῆς θήρας, ὃ λαθραίως ἥπλωσε κατ' ἐμοῦ, συλλαβέτω αὐτὸν, τουτέστι, κατ' αὐτοῦ περιτραπήτω ἡ μηχανὴ αὐτοῦ.

8γ Καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.

Τὸ αὐτὸ καὶ τοῦτο δηλοῖ· εἰπὼν δὲ, ἐν τῇ παγίδι, προσέθηκε τὸ, ἐν αὐτῇ, δηλαδὴ, τῇ παρ' αὐτοῦ παγείσῃ.

9α Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ.

Τῶν ἐχθρῶν οὕτω τιμωρηθέντων, χαρήσομαι | ἐπὶ τῷ Κυρίῳ, δικαίως αὐτοὺς κολάσαντι.

9β Τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.

Ὅτι ἐκείνους ἀπολέσας, ἐμὲ ἔσωσε.

10 Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, Κύριε, Κύριε, τίς ὅμοιός σοι, ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν;

Πάντα τὰ ἐν τῷ βάθει τοῦ σώματός μου μέλη· ἐμφαίνει δὲ διὰ τούτου, τὴν ἐκ βάθους ψυχῆς ὁλοσχερῆ εὐχαριστίαν· ἢ ὀστᾶ νοήσεις ἐπὶ ψυχῆς μᾶλλον, τοὺς στεῤῥοὺς καὶ συνεκτικοὺς λογισμοὺς, ὡς πολλάκις εἰρήκαμεν. Πτωχὸν δὲ, ἑαυτὸν λέγει, ὡς φυγάδα, καὶ τῶν ἀναγκαίων ἐπιδεῆ, καὶ μεμονωμένον· στερεωτέρους δὲ, τοὺς ἀμφὶ Σαοὺλ, οἷα πλούτῳ καὶ στρατῷ βρίθοντας· δὶς δὲ πτωχὸν εἰπὼν, καὶ τὸν πένητα προσθεὶς, τὴν ἄγαν εὐτέλειαν ἑαυτοῦ ἐνέφηνεν, ἅμα καὶ τῇ ταπεινολογίᾳ ταύτῃ πρὸς οἶκτον χρώμενος· διαρπαζόντων δὲ, ὅσον ἐπὶ ταῖς ἐκείνων ἐλπίσιν.

Ps 6.3β, 30.11γ, 33.21

11 Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με.

Αὐτός τε ὁ Σαοὺλ καὶ οἱ κόλακες αὐτοῦ· μάρτυρες μὲν, ὡς καταμαρτυροῦντες, ἄδικοι δὲ, ὡς ψευδόμενοι· οἳ καὶ χλευάζοντες, ἠρώτων αὐτὸν, εἰ οὐκ ἐπιβουλεύει τῇ βασιλείᾳ· ὅπερ αὐτοὶ μὲν κατεμαρτύρουν, αὐτὸς δὲ οὐκ ἐγίνωσκεν, ὡς ἀναίτιος.

10[9] ἅμα MPSHV : ἅμα δὲ CF.

Τοῦτο δὲ καὶ ἐπὶ τοῦ Χριστοῦ νοοῦμεν, διὰ τοὺς ψευδομάρτυρας, οἳ ἠρώτων αὐτὸν, εἰ οὐκ ἐβλασφήμησεν, ὡς ἡ τῶν Εὐαγγελίων ἱστορία διδάσκει. Mt 26.60-63

12 Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

Τὸν κοινὸν γὰρ ἐχθρὸν Γολιὰθ ἀνελὼν, καὶ τοὺς ἀλλοφύλους νικήσας, καὶ τὸ πονηρὸν πνεῦμα τοῦ Σαοὺλ διώξας, ὕστερον ἐδιώκετο. Ἀνταπεδίδοσαν δὲ καὶ ἀτεκνίαν τῇ ψυχῇ μου, τουτέστιν, ἀκαρπίαν εἰς ἀρετὴν, οἷα μελετήσαντες ἀνελεῖν με καὶ παῦσαι τὴν ψυχήν μου ἀπὸ τῆς καρποφορίας τῶν ἀρετῶν. Ἢ ἀνταπεδίδοσαν καὶ ἀτεκνίαν ἐμοὶ, κατὰ περίφρασιν, ἵνα μὴ ζήσας τεκνογονήσω.

13α Ἐγὼ δὲ, ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον, καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου.

Ἐντεῦθεν διδάσκει πῶς δεῖ λύειν τὰς συμφοράς· συκοφαντούμενος γὰρ, σάκκῳ καὶ νηστείᾳ ἔτηκε τὴν ἑαυτοῦ ψυχὴν, ἤτοι ἑαυτὸν, εὐχόμενος ἐξαιρεθῆναι τῆς ἐπιβουλῆς.

13β Καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.

Εἰσακουσθήσομαι· τοῦτο γὰρ τὸ σχῆμα, ποτὲ μὲν ἐπὶ τοῦ μὴ εἰσακουσθέντος λαμβάνεται, οἷα στρεφομένης ἀπράκτου, ποτὲ δὲ ἐπὶ τοῦ εἰσακουσθέντος, ὡς καὶ νῦν, οἷα στρεφομένης ἐμπράκτου, καὶ τοσοῦτον, ὡς εἰς κόλπον ὑποδεχθῆναι, δίκην δώρου πολυτελοῦς, ἢ ὡς ἐμπλῆσαι τὸν κόλπον τοῦ αἰτοῦντος, ὧν ᾐτήσατο.

14α Ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέστουν.

Τὸ διάπυρον τῆς πρὸς τὸν Σαοὺλ ἀγάπης παραστῆσαι θέλων, τῷ ὀνόματι τοῦ πλησίον καὶ τοῦ ἀδελφοῦ ἐχρήσατο· τοὺς μὲν γὰρ γονεῖς καὶ τοὺς κυρίους, τιμᾶν λέγομεν κυρίως, ἀγαπᾶν δὲ, τοὺς ἀδελφοὺς, ὅταν ὦμεν ἄπαιδες.

Ἀδιάφορος δὲ, ἡ τοῦ εὐηρέστουν σύνταξις.

14β Ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην.

Εἰδὼς αὐτὸν διαφθονοῦντά μοι ἐπαινουμένῳ παρὰ τοῦ πλήθους, ἐταπεινούμην 1Rg 18.8-9
ἑκὼν, σχηματιζόμενος τὸν πενθοῦντα καὶ σκυθρωπάζοντα. Καταστέλλει γὰρ τὸν φθόνον ἡ τοῦ φθονουμένου ταπείνωσις, ὥσπερ αὔξει τοὐναντίον ἡ ἔπαρσις. |

15α Καὶ κατ' ἐμοῦ εὐφράνθησαν, καὶ συνήχθησαν.

Καὶ ἐμοῦ ταῦτα ποιοῦντος καὶ οὕτως ἔχοντος, αὐτοὶ εὐφράνθησαν τότε,

δοκοῦντες ὑποῤῥεῖν ἤδη τὴν ἐμὴν δύναμιν, καὶ συνήχθησαν εἰς μελέτην ἐπιβουλῆς.

15β Συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων.

Τὰς μάστιγας ἐνταῦθα, πλήττοντας εἶπεν ὁ Σύμμαχος. Λέγει τοίνυν, ὅτι φονεῖς συνήχθησαν κατ' ἐμοῦ, ἀγνοοῦντος, ἐνεδρεύοντές μοι.

Περὶ τούτου δὲ σαφῶς ἡ ἱστορία διδάσκει, ὅτε Μελχὼλ ἡ γυνὴ αὐτοῦ κατεμήνυσεν αὐτῷ τὴν τοιαύτην ἐπιβουλὴν, καὶ φυγὼν διεσώθη. 1Rg 19.11-12

15γ Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν.

Διεσκεδάσθησαν, μὴ εὑρόντες με ἔνθα ἤλπιζον, καὶ ὅμως οὐ κατενύγησαν, οὐδὲ μετενόησαν.

16 Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν.

Οἱ περὶ Σαοὺλ, φησὶ, ποτὲ μὲν ἐπείρασάν με, δοκιμάζοντες πῶς διάκειμαι, ποτὲ δὲ ἐξεμυκτήρισαν ἐν χλεύῃ, διαγελῶντες ὡς ἀσθενῆ, νῦν δὲ φανερῶς ἐξεθηριώθησαν.

Γίνεται δὲ βρυγμὸς ὀδόντων, ὅταν ἀλλήλοις, ἐξ ὑπερβάλλοντος φόβου ἢ θυμοῦ, προσαρασσόμενοι, κτυπῶσι. Νῦν, φησὶ, τῷ θυμῷ ζέσαντες, οἷον κτυποῦσιν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν, διαμασᾶσθαι τὰς ἐμὰς γλιχόμενοι σάρκας.

17α Κύριε, πότε ἐπόψῃ;

Μακροθυμῶν γὰρ ἐπὶ τούτοις, δοκεῖς μὴ ὁρᾶν ταῦτα. Πότε οὖν ἐπόψῃ, καὶ ἐκδικήσεις;

17β Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν.

Ἀπὸ τῆς κακουργίας αὐτῶν ἐλευθερώσας με, ἀποκατάστησον εἰς τὴν προτέραν ἀφοβίαν.

17γ Ἀπὸ λεόντων τὴν μονογενῆ μου.

Τὸ βρύχειν, ἐπὶ λεόντων κυρίως λέγεται. Ἀκολούθως οὖν, ὡς βρύξαντας, λέοντας ὠνόμασε τούτους, διὰ τὴν ὠμότητα καὶ ἐπιβουλήν. Μονογενῆ δὲ λέγει τὴν ἑαυτοῦ ψυχὴν, ἤτοι ἑαυτὸν, ὡς εἰρήκαμεν ἐν τῷ κα΄ ψαλμῷ. Ps 21.21

Ἀπὸ κοινοῦ δὲ κἀνταῦθα τὸ, ἀποκατάστησον.

16[1] μυκτηρισμῷ MPHBF : μυκτηρισμόν SCV [TRa].

18α Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ.

Ἐν τῷ αὐτῷ πάλιν ψαλμῷ εἶπεν, Ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι, καὶ ζήτει τὴν ἐκείνου τοῦ ῥητοῦ ἐξήγησιν. Ps 21.26β

18β Ἐν λαῷ βαρεῖ αἰνέσω σε.

Τὸ, βαρεῖ, παμπληθεῖ εἴρηκεν ὁ Σύμμαχος· ἔστι δὲ τοῦ πρὸ αὐτοῦ ῥητοῦ ἐπεξήγησις.

19 Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεὰν, καὶ διανεύοντες ὀφθαλμοῖς.

Τὸ, δωρεὰν, ἀντὶ τοῦ, μάτην· οὐδὲν γὰρ αὐτοὺς ἠδίκησα ἢ μίσους ἄξιον ἐνεδειξάμην. Διανεύοντας δὲ ὀφθαλμοῖς, λέγει τοὺς κόλακας, οἵτινες ἐνένευον τῷ Σαοὺλ, διασύροντες τῷ τοιούτῳ σχήματι, εἴ τι παρὼν Δαυὶδ εἶπεν ἢ ἔπραξεν.

20 Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ᾽ ὀργὴν δόλους διελογίζοντο.

Εἰρηνικῶς μέν μοι ὡμίλουν, περὶ ἀγάπης διαλεγόμενοι, δι᾽ ὀργὴν δὲ, ἣν ὑπέκρυπτον, διεσκέπτοντο δόλους, πῶς ἄν με λεληθότως εἰς κίνδυνον ἐνσείσωσι.

21α Καὶ ἐπλάτυναν ἐπ᾽ ἐμὲ τὸ στόμα αὐτῶν.

Ὕστερον δὲ, καὶ παῤῥησίᾳ κατηγόρουν μου, καὶ ἀνυποστόλως· ὁ γὰρ λανθάνειν πειρώμενος, ὑποψιθυρίζει, συνεσταλμένοις τοῖς χείλεσιν.

21β Εἶπον, Εὖγε, εὖγε· εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.

Τὸ, Εὖγε, εὖγε, παλαιὸν ἦν ἐπιφώνημα τῶν ἐπιτυγχανόντων, οὗ ηὔχοντο, διὰ τοῦ διπλασιασμοῦ τὴν ἄγαν ἡδονὴν τοῦ πράγματος ἐμφαῖνον. Ἰδόντες με, φησὶ, φεύγοντα καὶ ταλαιπωρούμενον, ἐπεφώνησαν τὸ πρόσ | ρημα τῆς εὐφροσύνης, τὸ, Εὖγε, εὖγε, ὃ δηλοῖ, τὸ, καλῶς ἔχει τὸ πρᾶγμα.
Εἶτα τὸ, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν, καθ᾽ ἑαυτὸ ἀναγνωστέον, οἷον, ὅτι εἶδον, ἃ ἠθέλομεν· ἐλλείπει γὰρ, ὡς ἐνδιάθετον. Ps 53.9β
Ἢ καὶ ἡνωμένως· καλῶς εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν, τουτέστιν, εὐκτῶς.

22α Εἶδες, Κύριε.

Ἃ δηλαδὴ πάσχω.

22β Μὴ παρασιωπήσῃς.

Μὴ ὑπομείνῃς ἔτι· οἱ γὰρ ὑπομένοντες εἰώθασι παρασιωπᾶν.

22γ Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Ὧι οὐδεὶς ἄλλος ἐπίκουρος.

23α Ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου.

Ἀνθρωποπρεπῶς εἴρηται ταῦτα, καθὰ πολλάκις ἔφημεν. Ἐξεγέρθητι, φησὶ, μακροθυμῶν γὰρ καὶ μὴ βοηθῶν, δοκεῖς καθεύδειν· τὸ δὲ, *πρόσχες*, εὑρήσεις εἰς τὴν ἐξήγησιν τοῦ ε′ ψαλμοῦ. Ps 5.3α

23β Ὁ Θεός μου καὶ ὁ Κύριός μου, εἰς τὴν δίκην μου.

Ἀπὸ κοινοῦ κἀνταῦθα ληπτέον τὸ, *Πρόσχες*· δίκην δὲ, τὴν κρίσιν πάλιν ἐκάλεσε. Τὸ δὲ, *Ὁ Θεός μου καὶ ὁ Κύριός μου*, καὶ τὰ τοιαῦτα ἀλλεπάλληλα, ἐπιτεταμένης καὶ ὁλοψύχου παρακλήσεώς εἰσιν ἴδια, καὶ τοῦ πρὸς Θεὸν διαπύρου πόθου. Φέρει δὲ καί τινα τὰ τοιαῦτα ψυχαγωγίαν, *Ἐμνήσθην γὰρ, φησὶ, τοῦ Θεοῦ, καὶ ηὐφράνθην*. Ps 76.4

24α Κρῖνόν μοι, Κύριε, κατὰ τὴν δικαιοσύνην μου.

Δίκασόν μοι, ὅτι δίκαιος τὰ πρὸς αὐτοὺς ὢν, ἠδίκημαι παρ' αὐτῶν.

24β Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι.

Περιττὸς ὁ σύνδεσμος, ἢ ἐλλείπει τὸ, *ναὶ*, ἵν' ᾖ, Ναὶ, Κύριε ὁ Θεός μου.

25α Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, Εὖγε, εὖγε, τῇ ψυχῇ ἡμῶν.

Συνεξακούεται τῷ, *Εὖγε*, τὸ, *ἐγένετο*.

25β Μὴ δὲ εἴποισαν, Κατεπίομεν αὐτόν.

Τῷ στόματι τῆς ῥομφαίας· τοῦτο γὰρ ἂν εἴποιεν, εἴ με θανατώσουσιν.

26α Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου.

Τὸ, *αἰσχυνθείησαν καὶ ἐντραπείησαν*, ἐκ παραλλήλου ταὐτὸν δηλοῦσιν,

23β[5] πόθου MPSCV : πόθου τεκμήρια H. 25β[1] εἴποισαν MPSCV : εἴποιεν H [T].

ὥσπερ κἀν τοῖς ἑξῆς τὸ, ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν· αἰσχυνθήσονται δὲ, ἀποστραφέντες κενοὶ καὶ ἄπρακτοι· τὸ δὲ, ἅμα, ἀντὶ τοῦ, πάντες ἐν ταὐτῷ· κακοῖς μου δὲ, ἤγουν ταῖς δυσπραγίαις μου.

26β Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλοῤῥημονοῦντες ἐπ' ἐμέ.

Οἱ κατακαυχώμενοί μου, καὶ κακῶς με διαθήσειν φρυαττόμενοι.

27α Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν οἱ θέλοντες τὴν δικαιοσύνην μου.

Οἱ θέλοντες τὸ δίκαιόν μου. Δίκαιόν μου δέ ἐστι, τὸ μὴ πολεμεῖσθαι μάτην, ἀλλὰ μᾶλλον σῴζεσθαί με, μυρία τοὺς νῦν πολεμοῦντας εὐεργετήσαντα.

27β Καὶ εἰπάτωσαν διὰ παντὸς, Μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.

Εἴπωσι δὲ τοῦτο, θεασάμενοί με τῶν πολεμούντων ὑπερτερήσαντα. Μεγαλυνθήτω δὲ, ἀντὶ τοῦ, μέγας εἶναι πιστευθήτω παρὰ πᾶσι.

28α Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου.

Εἰ γένηται ἃ ἐζήτησα· δικαιοσύνην δὲ λέγει Θεοῦ, τὴν δικαίαν κρίσιν.

28β Ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

Ἀπὸ κοινοῦ κἀνταῦθα τὸ, μελετήσει. Ὅλην δὲ τὴν ἡμέραν, ἀντὶ τοῦ, παρ' ὅλην ζωήν· τὴν γὰρ νύκτα κοιμώμενοι, οὐ δοκοῦμεν ζῆν. Μελετήσει δὲ, ἀντὶ τοῦ, ἀπαγγελεῖ, ἔργον διηνεκὲς ἕξει.

Τοσαῦτα μὲν καὶ τοιαῦτα τὰ τοῦ ψαλμοῦ. Χρὴ δὲ τοὺς ἐντυγχάνοντας μὴ πρόφασιν εἰς τὰς κατ' ἐχθρῶν ἀρὰς ἐντεῦθεν κομίσασθαι, συνιδόντας ὅτι ὁ Δαυὶδ, νομικὴν πολιτείαν, ἀλλ' οὐκ εὐαγγελικὴν μετῄει.

Ὁ δὲ Χριστὸς τὴν τελεωτέραν ὑποδεικνὺς ἀρετὴν, εἴρηκεν· Ἐῤῥέθη τοῖς ἀρ | χαίοις· ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου· ἐγὼ δὲ λέγω ὑμῖν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς. Mt 5.43-44

Ἄλλωστε καὶ ὁ Δαυὶδ, οὐκ ἐπαρᾶται μᾶλλον, ἀλλ' ἐν ἀρᾶς τύπῳ προαγορεύει τὰ μέλλοντα συμβήσεσθαι τοῖς ἐχθροῖς αὐτοῦ. Εἰ δὲ καὶ ἐπαρᾶται, νομικὸν τοῦτο, καθὰ προείρηται.

Καὶ ἄλλως γὰρ, τύπτε, φησὶν, ἀδόκιμον ἀργύριον, καὶ καθαρισθήσεται· Prov 25.4
ἐπηρᾶτο γὰρ, οὐχ ὡς πικρὸς, ἀλλ' ὡς μισοπόνηρος, ἵνα μαστιχθέντες, φύγοιεν τὴν μέλλουσαν κρίσιν, ἢ ἵνα τούτων παθόντων, ἕτεροι γένωνται βελτίους.

28α[2] λέγει MPCV : λέγει νῦν SH[A].

Δεῖ δὲ γινώσκειν, ὅτι τὰ πλείονα καὶ καιριώτερα τοῦ ψαλμοῦ εἰς τὸν Χριστὸν ἐκλαμβάνονται, κατὰ τῶν ἀχαρίστων Ἰουδαίων, καταδιωκόντων αὐτόν.

35 λε´

1 Εἰς τὸ τέλος· τῷ παιδὶ Κυρίου τῷ Δαυίδ.

Διωκόμενος ὁ Δαυὶδ ὑπὸ Σαοὺλ, κατέφυγεν εἰς σπήλαιον κοιμηθησόμενος· ἦλθε δὲ καὶ Σαοὺλ, καὶ ἐνηυλίσθη τούτῳ, μὴ εἰδὼς, ὅτι ὁ Δαυὶδ ἐκεῖ κέκρυπται. Νυκτὸς δὲ Δαυὶδ ἀναστὰς, ἐπέστη αὐτῷ κοιμωμένῳ, καὶ φεισάμενος, περιεῖλε μόνον ξίφει τὸ πτερύγιον τῆς διπλοΐδος αὐτοῦ πρὸς ἀπόδειξιν. Εἶτα μεθ᾽ ἡμέραν, Σαοὺλ μὲν ἐξῆλθε, Δαυὶδ δὲ ἀκολουθήσας, ἐβόησε πόῤῥωθεν, καὶ ὠνείδισεν αὐτῷ τὴν ἄδικον ἐπιβουλήν· ἀνήγγειλε δὲ καὶ τὴν ἑαυτοῦ δικαιοσύνην, ὑποδείξας καὶ τὸ τῆς διπλοΐδος πτερύγιον. Ὁ δὲ καταισχυνθεὶς, ὡμολόγησε, καὶ κατενύγη, καὶ λόγοις ἐπικεχρωσμένοις ἀγάπῃ πρὸς Δαυὶδ ἐχρήσατο. Πάλιν δὲ κατεδίωκεν. Ὅθεν βαρυθυμήσας ὁ Δαυὶδ, συνέθηκε τὸν παρόντα ψαλμὸν, προηγουμένως μὲν, 1Rg 24
αὐτοῦ καθαπτόμενος, ἔπειτα καὶ παντὸς δολίου στηλιτεύων κακοτροπίαν.

Εἰς τὸ τέλος δὲ ἐπιγέγραπται, διὰ τὸ προφητεύειν ἐν αὐτῷ τὴν εἰς τέλος ἐκβεβηκυῖαν τῶν ἐχθρῶν ἀπώλειαν.

Παῖς δὲ Κυρίου, ὁ Δαυὶδ, ὡς ἐν τῇ ἐπιγραφῇ τοῦ ιζ´ ψαλμοῦ προεξηγησάμεθα. Ps 17.1

2α Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ.

Τὸ, φησὶν, ἀντὶ τοῦ, οἴεται, νοήσεις, καὶ τὸ, τοῦ, περιττὸν, ἵν᾽ εἴη τοιοῦτος ὁ νοῦς· Οἴεται ὁ παράνομος ἁμαρτάνειν ἐν ἑαυτῷ, τουτέστιν, ἐν μόνῃ τῇ ἑαυτοῦ συνειδήσει λεληθότως, ὡς μηδὲ τοῦ Θεοῦ βλέποντος.

Ἢ καὶ ἄλλως, φησὶν ἐν ἑαυτῷ ὁ παράνομος, ἤγουν μελετᾷ, ὥστε ἁμαρτάνειν· τὸ, τοῦ, γὰρ, ποτὲ μὲν ἐπιῤῥηματικῶς κεῖται, σημαῖνον τὸ, ὥστε, ποτὲ δὲ, περιττῶς. Παράνομος δὲ ὁ Σαοὺλ, ὡς μισῶν τὸν φίλον αὐτοῦ καὶ γαμβρόν.

2β Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ.

Τοῦ τοιούτου δὲ πρὸ ὀφθαλμῶν τῆς ψυχῆς οὐκ ἔστι φόβος Θεοῦ· διὸ καὶ τὰ τοιαῦτα οἴεται ἢ μελετᾷ, μὴ ἐνθυμούμενος, ὡς οὐ λέληθεν.

3 Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι.

Καὶ γὰρ, φησὶν, ὅρα τί πεποίηκε. Δόλον ἥπλωσε πρὸ ἑαυτοῦ, τουτέστιν, ἐκακούργησεν ἐπιγνῶναι τὴν ἁμαρτίαν αὐτοῦ· περιττὸν γὰρ κἀνταῦθα τὸ, τοῦ. Οὐκ ἠθέλησε διαγνῶναι ταύτην καὶ μισῆσαι.

4α Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος.

Ἃ ἐλάλησέ μοι πρὸς εἰρήνην, ἀνομίας καὶ δόλου ἦσαν μεστὰ, ὡς ἐπικεκρυμμένον ἔχοντα τὸν ἰόν. Τοῦτο γὰρ ἅμα καὶ ἄνομον καὶ δόλιον· καὶ γὰρ ἐβούλετό με θαῤῥῆσαι, καὶ οὕτως ἑαλωκέναι | ἀφύλακτον.

4β Οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι.

Οὐχ εἵλετο λαβεῖν σύνεσιν, ὥστε ποιῆσαι τὸ καλὸν, ἤτοι παύσασθαι τῆς ἐπιβουλῆς.

5α Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ.

Καὶ κοιταζόμενος πονηρὰ ἐνεθυμεῖτο· οὐδὲ γὰρ κατὰ τὸν τῆς ἀναπαύσεως καιρὸν ἡσύχαζε. Παριστᾷ δὲ διὰ τούτου τὴν ὑπερβολὴν τῆς πονηρίας αὐτοῦ.

5β Παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ.

Ἕτοιμος ἦν πρὸς πᾶσαν πρᾶξιν κακήν.

5γ Κακίᾳ δὲ οὐ προσώχθισε.

Τὴν κακίαν δὲ οὐκ ἐπιβαρῆ νενόμικε, τουτέστιν, οὐκ ἀπεσείσατο.

6-7α Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν· ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ· τὰ κρίματά σου ἄβυσσος πολλή.

Ὥσπερ ἄνω τὸ ὑπερβάλλον τῆς πονηρίας τοῦ Σαοὺλ ὑπέδειξεν, οὕτω κἀνταῦθα τὸ μεγαλεῖον τῆς τοῦ Θεοῦ μακροθυμίας καὶ τῆς ἄλλης χρηστότητος ὑπογράφει διὰ τῶν προκειμένων ῥητῶν.

Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου — ἐν τῷ οὐρανῷ, ἀντὶ τοῦ, ἕως τοῦ οὐρανοῦ, τουτέστιν, ὑψηλὸν καὶ πολύ. *Καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν* — τὸ, ἕως τῶν νεφελῶν, ἀντὶ τοῦ, ἕως τοῦ οὐρανοῦ πάλιν· μέχρι γὰρ τοῦ οὐρανοῦ αὗται ἀνίασιν. *Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ* — καὶ διὰ τῶν ὀρέων, τὸ ὕψος καὶ μέγεθος ἠνίξατο· ὄρη δὲ Θεοῦ, τὰ ὑπὸ Θεοῦ γεγενημένα. *Τὰ κρίματά σου ἄβυσσος πολλή* — αἱ οἰκονομίαι σου, βάθος ἄπειρον καὶ ἀκατάληπτον.

7β Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε.

Τὸ, *σῴζω*, ποτὲ μὲν ἐπὶ τῆς ἀϊδίου σωτηρίας λέγεται, ὡς τὸ, *Σῴζονται οἱ δίκαιοι*, ποτὲ δὲ ἐπὶ τῆς προσκαίρου, ὡς καὶ νῦν, ὃ δηλοῖ τὴν ἁπλῶς ζωοποίησιν. Prov 11.31
Τοιοῦτος γὰρ, φησὶν, ὢν, ζωοποιεῖς, οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ ἄλογα ζῷα. Διὰ γὰρ τῶν κτηνῶν, ὡς καθαρωτέρων, πᾶν ζῷον ἄλογον δεδήλωκε. Σώσεις δὲ,

ἀντὶ τοῦ, σῴζεις, ἀντιχρονίᾳ.

Ἢ ἀνθρώπους μὲν, τοὺς μετὰ λόγου ζῶντας, κτήνη δὲ, τοὺς ἀλογίστως βιοῦντας ἀνθρώπους. Ἢ ἀνθρώπους μὲν, τοὺς νόμῳ παιδαγωγουμένους Ἰουδαίους, κτήνη δὲ, τὰ φιλήδονα ἔθνη· καὶ τὸ σώσεις δὲ, τάξομεν ἐπὶ μέλλοντος, ὡς ἐν προφητείᾳ· σώσεις γὰρ αὐτοὺς πιστεύοντας τῷ κηρύγματι τοῦ Εὐαγγελίου.

8α Ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός.

Τὸ, ὡς, ἐνταῦθα, θαυμαστικόν ἐστιν. Ἐκπλαγεὶς γὰρ τὴν ὑπερβολὴν τῆς τοῦ Θεοῦ ἀγαθότητος καὶ ἐλεημοσύνης, δι᾿ ἣν σῴζει τούτους κἀκείνους, ἐπιφωνεῖ, ὅτι λίαν ἐπλήθυνας εἰς ἡμᾶς τὸ ἔλεός σου.

8β Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσιν.

Υἱοὶ τῶν ἀνθρώπων, ἀντὶ τοῦ, οἱ ἄνθρωποι, καθὼς ἐν τῷ τετάρτῳ ψαλμῷ προείρηται. Λέγει δὲ, ὅτι ὅσοι κυρίως εἰσὶν ἄνθρωποι, μὴ παραχαράξαντες Ps 4.3α
πονηραῖς πράξεσι τὴν προσηγορίαν, ἐν τῇ σκέπῃ τῆς παρὰ σοῦ θάλψεως καὶ φυλακῆς ἐλπιοῦσιν. Ἢ καὶ ἄλλως, πρόῤῥησις τοῦτο περὶ τῶν Χριστιανῶν.

9α Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου.

Μέθην ἐνταῦθα, τὴν εὐφροσύνην καλεῖ, ὥσπερ καὶ πιότητα, τὸν πλοῦτον.
Οἶνός τε γὰρ εὐφραίνει καρδίαν ἀνθρώπου· καὶ ἡ πιότης, περισσεία ἐστὶ τοῦ Ps 103.15
λίπους. Τοιαύτην δὲ διάνοιαν ἔχει τὸ ῥητὸν, ὅτι οἱ τοιοῦτοι εὐφρανθήσονται ἀπὸ τοῦ πλούτου τοῦ οἴκου σου· οἶκος μὲν γὰρ τοῦ Θεοῦ, ἡ Ἐκκλησία τῶν πιστῶν· πλοῦτος δὲ αὐτῆς, τὰ εὐσεβῆ δόγματα, εὐφραίνοντα πνευματικῶς τοὺς μεταλαμβάνοντας.

Ἢ οἶκος μὲν | τοῦ Λόγου καὶ Θεοῦ, ἡ προσληφθεῖσα ἔμψυχος σὰρξ, ἐν ᾗ ἐσκήνωσε· πιότης δὲ, ἡ περὶ τούτου διδασκαλία, ἄρδουσα ψυχὰς καὶ πιαίνουσα καὶ εὐφραίνουσα, ὡς δύνασθαι μετὰ Παύλου λέγειν, *Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;* Ro 8.35

9β Καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.

Τὸ αὐτὸ πάλιν κἀνταῦθα νόημα· μέθης γὰρ μνημονεύσας, ἀκολούθως καὶ περὶ πόματος διέλαβε. Καὶ τὸν ποταμὸν, φησὶ, τῆς παρὰ σοῦ χορηγουμένης εὐφροσύνης ποτίσεις αὐτούς. Χειμάῤῥους δὲ τρυφῆς, τὸ ῥεῦμα τῆς εὐφροσύνου διδασκαλίας· χειμάῤῥους μὲν, διὰ τὸ πρόσκαιρον τῆς διὰ στόματος τοῦ Χριστοῦ διδαχῆς, καὶ τὸ ἰσχυρὸν αὐτῆς, καὶ βίαιον εἰς ἀντίῤῥησιν, καὶ τὸ ἀπὸ προφητικῶν λόγων συγκεκροτημένον· καὶ ὁ χειμάῤῥους γὰρ, πρόσκαιρος, καὶ σφοδρὸς, καὶ βίαιος, καὶ ἀπὸ συῤῥοίας ὑδάτων συμπεφορημένος· τρυφὴ δὲ, ὡς εὐφραίνουσα καὶ πιαίνουσα, καθὼς εἰρήκαμεν.

Τινὲς δὲ, πιότητα μὲν οἴκου τοῦ Λόγου καὶ Θεοῦ λέγουσι, τὸ καταῤῥεῦσαν αἷμα τῆς ἀχράντου πλευρᾶς, χειμάῤῥουν δὲ, τὸ συνεκχυθὲν αὐτῷ ὕδωρ. Καὶ γὰρ καὶ ἐν καιρῷ χειμῶνος ἐῤῥύησαν, ἃ καὶ ἄμφω ἐμέθυσαν ἡμᾶς, ὡς ἐκβακχευθῆναι πρὸς σωτηρίαν, καὶ ἐκστῆναι τῆς προτέρας ἀπάτης καὶ πλάνης, καὶ ηὔφραναν.

10α Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς.

Τοῦτο βούλεται λέγειν· ὅτι σὺ εἶ ὁ ζωοδότης. Καὶ γάρ καὶ ὁ Σωτήρ φησιν,
Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· ἐν ἑαυτῷ γὰρ εἶχε τὴν βλύσιν τῆς ζωῆς, Jn 14.6
καὶ οὐκ ἔξωθεν, ὡς οἱ νεκροὺς ἀναστήσαντες ἅγιοι.

Ἢ ὅτι παρὰ σοὶ τῷ Πατρὶ ὁ ζωοδότης Υἱὸς ἀχώριστος· *Ἐγὼ* γὰρ, φησὶν, *ἐν*
τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί. Πηγὴ δὲ ζωῆς, ὅτι καὶ διὰ Ἱερεμίου φησὶν, *Ἐμὲ* Jn 14.10
ἐγκατέλιπον, πηγὴν ὕδατος ζωῆς. Jer 2.13

10β Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Τοῦτο, θεολογία περὶ τῆς ἁγίας Τριάδος προφητεύουσα, ὅτι ἡμεῖς οἱ πιστεύειν μέλλοντες, διὰ τοῦ Υἱοῦ σοῦ τοῦ Πατρὸς, ἐπιγνωσόμεθα τὸ Πνεῦμα τὸ ἅγιον.

Εἰ γὰρ φῶς τριλαμπὲς ὁ Θεὸς, ἕκαστον τῶν τριῶν προσώπων φῶς ἐστιν. Ὁ
Υἱὸς τοίνυν ἐδίδαξε περὶ τοῦ ἁγίου Πνεύματος, Παράκλητον αὐτὸ καλέσας, καὶ Jn 14.16, 26;
ὁμοδύναμον καὶ ἰσότιμον. 15.26

Ἢ καὶ τὸ ἀνάπαλιν, ὑπὸ τοῦ ἁγίου Πνεύματος φωτιζόμενοι, τὰς ἀκτῖνας
τοῦ Υἱοῦ θεωροῦμεν· *Οὐδεὶς* γὰρ, φησὶ, *δύναται εἰπεῖν, Κύριον Ἰησοῦν, εἰ μὴ ἐν* 1Cor 12.3
Πνεύματι ἁγίῳ· καὶ, *Ἡμῖν ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ.* 1Cor 2.10

11α Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Διηνεκῶς ἐλέει τοὺς τῆς θεογνωσίας ἠξιωμένους· λέγει δὲ τοῦτο, παρακαλῶν.

11β Καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.

Καὶ διηνεκῆ δίδου τὴν δικαίαν σου βοήθειαν τοῖς ὀρθοῖς περί τε λόγον καὶ πρᾶξιν.

12α Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας.

Τουτέστιν, ὑπερηφανία, ἀπὸ μέρους τὸ πᾶν· λέγει δὲ, ὅτι μὴ προσγένοιτό μοι ὑπερηφανία. Διὰ δὲ τῆς ὑπερηφανίας, πᾶσαν κακίαν ᾐνίξατο· κορυφαία γὰρ αὕτη καὶ γεννήτρια πάσης κακίας ἐστίν.

12β Καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με.

Τουτέστιν, ἁμαρτωλὸς, ἀπὸ μέρους τὸ πᾶν κἀνταῦθα. Λέγει δὲ, ἢ τὸν διάβολον, ἢ τὸν Σαοὺλ, ὡς παράνομον, ἢ πάντα πονηρόν. Σαλεῦσαι δὲ, τὸ παρακινῆσαι τῆς ἑδραίας βάσεως τῆς ἐν ἀρετῇ.

13α Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Τὸ, ἐκεῖ, ἀντὶ τοῦ, ἐν ἐκείνῳ τῷ τόπῳ, ἢ τῷ καιρῷ τῷ ὡρισμένῳ παρὰ Θεοῦ. Οὐκ εἶπε δὲ, πεσοῦνται, ἀλλ' ἔπεσον, οἷα τοῖς προφητικοῖς ὀφθαλμοῖς ἰδὼν τὴν πτῶσιν αὐτῶν· λέγει δὲ | Σαούλ τε καὶ τοὺς περὶ Σαοὺλ, καὶ εἴ τις πονηρός.

13β Ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι.

Ἐξώσθησαν ἤδη τῆς παρὰ Θεοῦ βοηθείας διὰ τὴν κακίαν αὐτῶν, καὶ λοιπὸν οὐ δυνήσονται στερεωθῆναι εἰς τὸ ζῆσαι.

36 λϛʹ

1α Ψαλμὸς τῷ Δαυίδ.

Νουθεσίας ὁ ψαλμὸς οὗτος περιέχει, παραινῶν παντὶ μακροθύμως τὰ συμπίπτοντα φέρειν, καὶ μὴ προσέχειν ταῖς εὐημερίαις τῶν πονηρῶν.

1β Μὴ παραζήλου ἐν πονηρευομένοις.

Ἔστι μὲν εἰπεῖν παραζήλωσιν, τὴν μίμησιν, οἷον, μὴ μιμοῦ τοὺς πονηρευομένους, εἰ εὐπραγοῦσιν. Ἔστι δὲ εἰπεῖν καὶ τὸν ἐρεθισμὸν, οἷον, μὴ ἐρεθίζου πρὸς λύπην, τοὺς πονηροὺς βλέπων εὐροοῦντας.

Ἡ δὲ σύνταξις ἀδιαφόρως κεῖται, καθ' Ἑβραϊκὸν ἰδίωμα.

1γ Μὴ δὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν.

Πολλοὶ γὰρ βλέποντες τοὺς κακοὺς εὐθηνουμένους παροξύνονται πρὸς μίμησιν αὐτῶν ἐκ μικροψυχίας, ὅπερ, ὡς ὀλέθριον, ἀποτρέπει.

Ἔστι δὲ ζῆλος, ὄρεξις κτήσεως τοῦ δοκοῦντος προσεῖναι τῷ πέλας ἀγαθοῦ. Τάττεται δὲ κυρίως μὲν ἐπὶ καλοῦ, πολλάκις δὲ ἐπὶ κακοῦ. Οὗτος δὲ ὁ στίχος σαφηνιστικός ἐστι τοῦ πρώτου καὶ συνῳδός.

Ἢ μὴ ζήλου, ἀντὶ τοῦ, μὴ μακάριζε, μηδ' εὔχου ὁμοιωθῆναι.

2α Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται.

Μὴ ἔχοντες ῥίζαν ἰσχυράν.

2β Καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.

Τὸ αὐτὸ πάλιν δηλοῖ. Λάχανα δὲ χλόης, ἀντὶ τοῦ, χλοάζοντα καὶ θάλλοντα, ἢ τὰ ὄντα τοῦ γένους τῆς χλόης· ταῦτα γὰρ ξηραινόμενα, ἀποῤῥεῖ.

3α Ἔλπισον ἐπὶ Κύριον καὶ ποίει χρηστότητα.

Ἔλπισον, ὅτι οὐ περιόψεται τοὺς πόνους τῶν ἐναρέτων, καὶ μόνον ἐργάζου τὸ καλόν· τοῦτο γὰρ νῦν ἡ χρηστότης ἀποσημαίνει.

3β Καὶ κατασκήνου τὴν γῆν.

Οὕτω δὲ ποιῶν, ἀφόβως κατασκήνου· τὸν Θεὸν γὰρ ἔχεις φύλακα.

3γ Καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς.

Καὶ ποιμανθήσῃ παρὰ Θεοῦ ἐπὶ τοῖς ἀγαθοῖς αὐτῆς, ὥστε τῶν μὲν χρησίμων ἀπολαύειν, τῶν δὲ βλαβερῶν ἀπέχεσθαι.

4α Κατατρύφησον τοῦ Κυρίου.

Ἐνηδύνθητι τῷ Κυρίῳ, διὰ τῆς ἀκορέστου ἀγάπης αὐτοῦ, ἢ διὰ τῆς ἀπλήστου μελέτης τῶν ἐντολῶν αὐτοῦ.

4β Καὶ δῴη σοι τὰ αἰτήματα τῆς καρδίας σου.

Δῴη, ἀντὶ τοῦ, δώσει, εὐκτικὸν ἀντὶ μέλλοντος. Ἀγαπῶν γὰρ τὸν Θεὸν, οὐδὲν αἰτήσεις ἀνάξιον.

5α Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου.

Ὁδὸν νῦν, τὴν πολιτείαν ὑποληπτέον, ἣν κελεύει ποιῆσαι ἀξίαν ἐπισκοπῆς Θεοῦ· γινώσκει γὰρ Κύριος ὁδὸν δικαίων· καὶ ζήτει σαφέστερον εἰς τὸ τέλος τοῦ πρώτου ψαλμοῦ. Ps 1.6α

5β Καὶ ἔλπισον ἐπ᾽ αὐτόν.

Πάλιν τὴν ἐλπίδα προτείνει, ὡς ἀναγκαίαν τοῖς ἐν θλίψεσι· μόνη γὰρ αὐτοῖς ἐπικουφίζει τὸ ἄλγος.

5γ Καὶ αὐτὸς ποιήσει.

Ποιήσει, ἃ ἐλπίζεις, ἃ αἰτεῖς, ἃ συμφέρει.

6α Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου.

Δικαιοσύνην ληπτέον ἐνταῦθα, τὴν δικαίαν ἀπόφασιν. Καὶ ἐξενέγκῃ, φησὶ, τὴν περὶ σοῦ δικαίαν ἀπόφασιν, ὡς φῶς λαμπρὰν ἐνώπιον ἁπάντων. *Ὁ Πατήρ σου γὰρ, φησὶν, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ.* Mt 6.4
Ἢ ἐξενέγκῃ τὴν ἀρετήν σου εἰς τὸ μέσον, ὡς φῶς καθαρὸν, δημοσιεύων αὐτὴν, καὶ ἀνακηρύττων ἐν καιρῷ τῷ προσήκοντι.

6β Καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν.

Ἢ ταὐτὸν λέγει τῇ προτέρᾳ ἐξηγήσει, τῇ περὶ τῆς ἀποφάσεως· μεσημβρία γὰρ, τὸ ἀκραιφνὲς καὶ ἀκμαῖον τοῦ φωτὸς τῆς ἡμέρας. Ἢ | πάλιν τὸ κρίμα σου, τουτέστιν, ἣν ἔκρινας καὶ εἵλου πολιτείαν, δημοσιεύσει ὡς μεσημβρίαν· πᾶσι γὰρ ἡ μεσημβρία κατάδηλος, οἷα λαμπροτάτη.

7α Ὑποτάγηθι τῷ Κυρίῳ.

Φυλάττων τὰς ἐντολὰς αὐτοῦ, ἢ καὶ μὴ δυσανασχετῶν πρὸς τὰς ἐπαγομένας μάστιγας, ἀλλ' εὐχαριστῶν παιδεύοντι.

7β Καὶ ἱκέτευσον αὐτόν.

Ὥστε ἐλεηθῆναι καὶ σκεπασθῆναι.

7γ Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν.

Ταῦτα, ταὐτὸν μὲν δύνανται τῷ, *Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν*, κεῖνται δὲ φανερώτερον. Ps 36.1
Εἰπὼν δὲ, *ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ*, διέστειλε περὶ ποίου λέγει, ὅτι περὶ τοῦ παρανόμου· τὸν γὰρ δίκαιον εὐοδούμενον μιμεῖσθαι χρεών.

8α Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν.

Βλέπων τοὺς ἀδίκους εὐημεροῦντας, μὴ ὀργίζου, μηδὲ θυμοῦ, μήτε κατ' αὐτῶν, ὡς παρ' ἀξίαν εὐτυχούντων, μήτε κατὰ σεαυτοῦ, ὡς διὰ τὸ φιλεῖν τὴν ἀρετὴν μᾶλλον δυστυχοῦντος.
Ἐκ παραλλήλου δὲ νῦν, ὀργὴ καὶ θυμός· εἰ δὲ καὶ διαφορὰν αὐτῶν ζητεῖς, Ps 6.2
εὑρήσεις ἐν ἀρχῇ τοῦ ϛ' ψαλμοῦ. [Ps 2.5β]

8β Μὴ παραζήλου ὥστε πονηρεύεσθαι.

Ἐπεὶ γὰρ παραζηλοῖ τις καὶ εἰς πονηρὸν καὶ εἰς ἀγαθὸν, τὸ πρῶτον ἀποτρέπει· τὸ γὰρ παραζηλοῦν, ὥστε χρηστεύεσθαι, καλόν ἐστιν.

Ὅρα δὲ ὅπως ἐν ἀρχῇ μὲν τὸ, μὴ παραζήλου, δύσφραστον τέθεικε· παρακατιὼν δὲ, σαφέστερον αὐτὸ προσέθηκε· νῦν δὲ, τέλεον αὐτὸ ἐσαφήνισε. Πολλάκις δὲ τὰ αὐτὰ λέγει, καὶ ἄνω καὶ κάτω στρέφει, βεβαίαν τὴν διδασκαλίαν ταῖς τῶν ἀκροατῶν ψυχαῖς ἐναπεργάσασθαι διὰ τῆς συνεχείας πραγματευόμενος.

Εἶτα τίθησι καὶ τὴν αἰτίαν τοῦ μὴ δεῖν πονηρεύεσθαι.

9α Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται.

Τοῦτο μὲν, σωματικῶς κινδυνεύοντες, τοῦτο δὲ, ψυχικῶς.

9β Οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν.

Τὴν ἐπουράνιον κατοικίαν· πολλάκις δὲ, καὶ τὴν ἐνταῦθα. Ἔστι γὰρ καὶ γῆ ἐπουράνιος, ἐπεὶ καὶ Ἱερουσαλὴμ ἐπουράνιος. Ἢ γῆν, τὴν τοῦ παραδείσου. Heb 12.22

10α Καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός.

Οὐ μακροχρονήσει· σβεσθήσεται γὰρ ἡ πονηρία αὐτοῦ, εἰ δὲ καὶ δοκεῖ μακροχρονεῖν. Ἀλλ᾿ οὐ πρὸς τὴν ἡμετέραν εἴρηται τοῦτο μικροψυχίαν, πρὸς δὲ τὴν μακροθυμίαν τοῦ Θεοῦ.

10β Καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς.

Οὐ μὴ εὕρῃς αὐτὸν τὸν ἁμαρτωλὸν, ἤδη τεθνηκότα, ἢ τὸν τόπον αὐτοῦ, γεγενημένον εὐθὺς ἑτέρου.

11α Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν.

Οἱ μακρόθυμοι καὶ ὑπομονητικοί. Τοῦτο δὲ καὶ ὁ Σωτὴρ εἶπεν ἐν τοῖς τοῦ Εὐαγγελίου μακαρισμοῖς, ἃ διὰ τῶν προφητῶν εἴρηκε, ταῦτα καὶ δι᾿ οἰκείας γλώττης ὕστερον βεβαιώσας. Mt 5.5

Εἰκότως δὲ τὴν ἐκεῖ γῆν κληρονομήσουσι, διότι ταύτης καὶ τῶν ταύτης ἀποστεροῦνται, διὰ πραότητα.

11β Καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.

Καὶ καταπολαύσουσι τῆς γῆς ἐκείνης ἐν πολλῇ εἰρήνῃ· ἐκεῖ γὰρ ἀπέδρα ὀδύνη,

8β[5] αὐτό PSCV[A] : αὐτῷ M.

λύπη καὶ στεναγμός. Isa 35.10

12α Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον.

Λοξῶς ὑποβλέψει, πονηρὰ μελετῶν.

12β Καὶ βρύξει ἐπ’ αὐτὸν τοὺς ὀδόντας αὐτοῦ.

Τρίσει, πρίσει, ζητῶν μονονοὺ διαμασήσασθαι τοῦτον, ὅ ἐστι τῆς ἐν τῇ καρδίᾳ μανίας σύμβολον.

Νοεῖται δὲ ἁμαρτωλὸς, καὶ ὁ διάβολος, ὃς παρατηρεῖ καὶ βρύχει νοητῶς, ὡς ἀσώματος.

13α Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν.

Φαυλίσει ὡς ἀσθενῆ καὶ μηδὲν ἕτερον ἢ πονηρόν.

13β Ὅτι προβλέπει ὅτι ἥξει | ἡ ἡμέρα αὐτοῦ.

Προορᾷ γὰρ ὡς Θεὸς ἐρχομένην τὴν ἡμέραν τῆς καταστροφῆς αὐτοῦ.

14 Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοὶ, ἐνέτειναν τόξον αὐτῶν τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ.

Μὴ φέροντες ὅλως αὐτοὺς ὁρᾶν. Τὴν γὰρ δικαιοσύνην τούτων, ἔλεγχον τῆς ἑαυτῶν ἡγοῦνται παρανομίας.

Πρὸς μὲν οὖν τὸ τόξον, τὸ, *καταβαλεῖν*, τέθειται, πρὸς δὲ τὴν ῥομφαίαν, τὸ, *σφάξαι*. Τῇ διαφορᾷ δὲ τῶν ὅπλων, τὰς διαφόρους ἐπιβουλὰς αἰνίττεται.

Πτωχὸν δὲ καὶ πένητα, ἀδιαφόρως εἴρηκεν, εἰς ἔμφασιν οἴκτου.

15 Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη.

Αἱ ἐπιβουλαὶ αὐτῶν κατ’ αὐτῶν περιτραπείησαν, καὶ ἐμπέσοιεν εἰς βόθρον ὃν εἰργάσαντο. Ἐπαρᾶται δὲ τούτοις, ὡς πονηροῖς· *Πᾶς γὰρ*, φησὶν, *ὁ λαβὼν* Ps 7.16
μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανεῖται. Mt 26.52

Εἶεν δ’ ἂν ῥομφαία καὶ τόξον, καὶ αἱ γλῶσσαι τῶν πονηρῶν· *Οἱ ὀδόντες γὰρ*, φησὶν, *αὐτῶν, ὅπλα καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν, μάχαιρα ὀξεῖα.* Ἡ γλῶσσα Ps 56.5
οὖν αὐτῶν, θανατώσοι αὐτούς· καὶ τὰ χείλη αὐτῶν, σβεσθείη θανάτῳ.

16 Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.

15[7] θανατώσοι MSCF : θανατώσει PBV.

Κρεῖσσον ἀληθῶς νομίζεται τῷ δικαίῳ τὸ ὀλίγον μετὰ δικαιοσύνης, καὶ οὐκ ὀρέγεται πλείονος ἀδίκου· διὸ οὐ χρὴ παραζηλοῦν τὴν τούτων εὐημερίαν.

17α Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται.

Βραχίονας, τὰς δυνάμεις ἐκάλεσεν· ἐν τούτοις γὰρ ἡ τοῦ ἐργαζομένου δύναμις.

17β Ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ Κύριος.

Ὠθουμένους καὶ παρὰ πονηρῶν ἀνδρῶν καὶ παρὰ δαιμόνων.

Σκόπει δὲ ὅπως ἀμφοτέρωθεν, καὶ διὰ τῆς τῶν ἁμαρτωλῶν συντριβῆς, καὶ διὰ τῆς τῶν δικαίων ἀντιλήψεως, εἰς ἀρετὴν προτρέπει τοὺς ἐντυγχάνοντας.

18α Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων.

Αὐτὸς γὰρ ταύτας ἐνομοθέτησε· ζήτει δὲ καὶ ἄλλως εἰς τὸ τέλος τοῦ α´ ψαλμοῦ. Ps 1.6

18β Καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται.

Κληρονομία τῶν δικαίων, ἡ βασιλεία τῶν οὐρανῶν. Δεῦτε γὰρ, φησὶν, *οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν*. Mt 25.34

Τὸ δὲ, *εἰς αἰῶνα*, ἀντὶ τοῦ, ἀΐδιος, *ἧς οὐκ ἔσται τέλος*· ἢ εἰς τὸν αἰῶνα ἔσται Lk 1.33
τὸν μέλλοντα· ἐν τῷ παρόντι γὰρ οὗτοι κληρονομίαν οὐκ ἔχουσι, ξένους ἑαυτοὺς εἰδότες καὶ παρεπιδήμους. Heb 11.13

19α Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ.

Οὐχ ἡττηθήσονται ἐν καιρῷ ἐπιπόνῳ, ἤγουν ἐν πειρασμῷ· ἔχουσι γὰρ τὸν ἀντιλαμβανόμενον.

Ἢ καιρὸν πονηρὸν λέγει, τὴν ἡμέραν τῆς μελλούσης κρίσεως, ἥτις ἐστὶν ἐπίπονος τοῖς ἁμαρτωλοῖς.

19β Καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.

Ὡς ὁ Ἠλίας τρεφόμενος ὑπὸ κόρακος, καὶ ἄλλοι πολλοὶ παραδόξως ἐκ Θεοῦ 3Rg 17.6
δεχόμενοι τὴν τροφήν.

Ἢ χορτασθήσονται ταῖς ἐλπίσι τῶν μελλόντων ἀγαθῶν, μὴ ἐπιθυμοῦντες τῆς φθαρτῆς βρώσεως. *Οὐκ ἐπ᾽ ἄρτῳ γὰρ, φησὶ, μόνῳ ζήσεται ἄνθρωπος*. Mt 4.4

Ἢ λιμὸν λέγει τροπικῶς, παντοίαν ἀνάγκην· χορτασίαν δὲ, τὴν θείαν ἐπίσκεψιν.

19β[3] δεχόμενοι MSCBFV : ἐκδεχόμενοι P.

20α *Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται.*

Οὐ γὰρ παραμένει τούτοις ἡ εὐπραγία· οὐ μόνον δὲ νοητέον ἀπώλειαν, τὴν βιωτικὴν δυστυχίαν, ἀλλὰ καὶ ἐπὶ τοῦ μέλλοντος αἰῶνος, ἀπώλειαν λέγομεν, τὴν ἔκπτωσιν τῆς σωτηρίας· ἀφανίζεται γὰρ ἀπὸ τοῦ κλήρου τῶν δικαίων ὁ ἁμαρτωλός.

20β *Οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἅμα | τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον.*

Τοῦτο, περὶ τῶν χριστοκτόνων Ἰουδαίων. Δοξασθέντες γὰρ ὑπὸ τοῦ πλήθους οἱ προέχοντες αὐτῶν, καὶ ὑψωθέντες ἐπὶ τῇ ἀναιρέσει τοῦ Σωτῆρος, οὐκ εἰς μακρὰν πανωλεθρίᾳ διεφθάρησαν ὑπὸ τῶν Ῥωμαίων, καπνοῦ δίκην σκεδασθέντες καὶ ἀφανισθέντες.

Ῥηθείη δ᾽ ἂν τοῦτο καὶ περὶ τῶν εἰδώλων, ἃ μέχρι τινὸς δοξαζόμενα καὶ ὑψούμενα, ὕστερον ἠφανίσθησαν· διὰ τούτων δὲ, καὶ οἱ ἐνοικοῦντες αὐτοῖς δαίμονες.

21α *Δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτίσει.*

Οὐ μόνον γὰρ οὐ μεταδίδωσιν οἴκοθεν, ἀλλ᾽ οὐδὲ τὸ κεχρεωστημένον ἀποδίδωσι· τοσοῦτόν ἐστιν ἀπηνὴς καὶ παράνομος.

21β *Ὁ δὲ δίκαιος οἰκτείρει καὶ δίδωσιν.*

Οἰκτείρει μὲν οἴκοθεν· δίδωσι δὲ τὸ δεδανεισμένον, ἤγουν ἀποδίδωσι, βαδίζων τὴν ἐναντίαν τῷ ἁμαρτωλῷ.

Ἢ καὶ ἄλλως, ὁ δίκαιος, εἰδὼς τὸν ἁμαρτωλὸν ἀγνώμονα χρεωφειλέτην, ὅμως ἐν καιρῷ ἀνάγκης δανείζει.

22 *Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν· οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται.*

Τοσοῦτον μέλει τῷ Θεῷ περὶ τοῦ δικαίου, ὥστε τοὺς μὲν εὐφημοῦντας αὐτὸν ἐλεεῖ, τοὺς δὲ ὑβρίζοντας τοῦτον κολάζει. Ἔφησε γὰρ ὁ Θεὸς πρὸς Ἀβραάμ, *Εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε, καταράσομαι·* Gen 12.3 κατάραν δὲ νῦν, τὴν ὕβριν ἐκάλεσε.

Τὸ δὲ, ὅτι, οὐκ ἔστιν αἰτιολογικὸν, ἀλλ᾽ ἀποφαντικὸν, δοκοῦν περιττόν· ἐν πολλοῖς δὲ τῷ ἰδιώματι τούτῳ κέχρηται.

23α *Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται.*

21β[2] βαδίζων PSCH : καὶ βαδίζων MV.

Διδάσκει σαφῶς ὅτι χωρὶς τῆς παρὰ Θεοῦ βοηθείας, οὐ δύναταί τι κατορθοῦν ἄνθρωπος· *Ἐὰν γὰρ μὴ Κύριος, φησὶν, οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ* Jn 15.5
οἰκοδομοῦντες. Τῇ γὰρ προθυμίᾳ συνεργεῖν εἴωθεν. Ps 126.1

Ἀνθρώπου δὲ λέγει, τοῦ δικαίου.

23β Καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα.

Τὴν πολιτείαν τοῦ δικαίου ἀποδέξεται Κύριος, ὡς ἀμώμητον. Ὁ Σύμμαχος δὲ, ἀντὶ τοῦ, θελήσει, εὐοδώσει εἶπεν.

24 Ὅταν πέσῃ, οὐ καταῤῥαχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτῷ.

Καὶ βιωτικῶς δυσπραγήσας, ὡς ὁ Ἰὼβ, καὶ ψυχικῶς ὀλισθήσας, ὡς ὁ Δαυὶδ, οὐκ ἐναπομενεῖ τῷ πτώματι, διότι Κύριος ἀντιστηρίζει, τουτέστιν, ὑποτίθησιν αὐτῷ χεῖρα ἑαυτοῦ, φημὶ δὴ, βοήθειαν· καὶ ἡ μετανοία γὰρ, Θεοῦ χείρ ἐστιν, ὡς θεόθεν ἐπιφοιτῶσα καὶ ἀνέλκουσα τοῦ πτώματος.

25α Νεώτερος ἐγενόμην καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον.

Περιττὸς ὁ γάρ σύνδεσμος. Ἔστι δὲ τοιοῦτος ὁ νοῦς, ὅτι νέος ἐγενόμην, καὶ ἐγήρασα ἤδη, καὶ παρ' ὅλην τὴν ἐν τῷ μεταξὺ ζωὴν, οὐκ εἶδον ἐγκαταλελειμμένον ὑπὸ Θεοῦ δίκαιον. Φυλάσσει γὰρ, φησὶ, *Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν.* Ps 144.20
Εἰ δὲ καὶ πρὸς μικρὸν ἐγκαταλιπεῖν τινας ὁ Θεὸς ἔδοξεν, ὡς καὶ αὐτὸν, ἀλλ' οὐκ ἐγκατέλιπε τέλεον· οἰκονομικῶς δὲ παρεχώρησεν, ἵνα παθόντες, τοῦ λοιποῦ προσεκτικώτεροι γένωνται.

25β Οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.

Οὐδὲ τὸ τέκνον αὐτοῦ πενόμενον· εἰ γὰρ καὶ πρὸς καιρόν ποτε κακοπαθήσει, ἀλλ' οὐ μέχρι τέλους. Ἄλλωστε δὲ, μερικὸς ὁ λόγος· αὐτὸς γὰρ τέως ὁ Δαυὶδ μὴ ἰδεῖν τοιοῦτον ἰσχυρίζεται.

26α Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δα | νείζει ὁ δίκαιος.

Ὅλην τὴν ἡμέραν, ἀντὶ τοῦ, ἀεί· καὶ ποτὲ μὲν δανείζει τοῖς αἰτοῦσι χρήματα, ποτὲ δὲ λόγους ὠφελείας.

26β Καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.

Εἶπε γὰρ πρὸς Μωυσῆν ὁ Θεὸς, ὅτι ἐλεεῖ τέκνα διὰ πατέρων εὐαρέστησιν, Gen 48.15
καὶ αὖθις ἀποδίδωσι διὰ πατέρων κακίαν. Ex 20.5

25β3 καιρόν MSCBF : μικρόν PV. 25β4 Add. [M in marg.]PBV: Ἢ καὶ ὑψηλότερον εἰπεῖν ἔστι τοῦτο· λιμῶττον τροφῆς πνευματικῆς, κατὰ τὸ, *Οὐ λιμοκτονήσει Κύριος ψυχὰς δικαίων* [Prov. 10.3]· ἄλλως γὰρ τὸ σπέρμα τοῦ Ἰακὼβ ἐζήτησεν ἄρτους ἐν Αἰγύπτῳ. : om. SCF.

Εἰς εὐλογίαν δὲ, ἀντὶ τοῦ, εὐλογημένον καὶ ἐπαινετὸν, διὰ τὸν πατέρα.

27α *Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν.*

Τοῦτο εἴρηται ἐν τῷ λγ′ ψαλμῷ. Ps 33.15

27β *Καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος.*

Ἤδη, φησὶ, μαθὼν τίνα μὲν τὰ ἐπίχειρα τῆς ἀρετῆς, τίνα δὲ τὰ τῆς κακίας, ἑλοῦ τὰ κρείττονα, καὶ κατασκήνου μακροχρονίως· τοῦτο γὰρ δηλοῖ τὸ, *εἰς αἰῶνα αἰῶνος*. Οἱ γὰρ πάλαι δίκαιοι, μακρόβιοι ἐτύγχανον· εἰ δὲ καί τινες ἐν νεότητι τεθνήκασιν, ἀλλὰ κατ' οἰκονομίαν τοῦτο. Καὶ Σολομὼν γὰρ μακρὸν γῆρας τοῖς φοβουμένοις τὸν Κύριον ἐπαγγέλλεται. Sir 1.12

Ἢ, κατασκήνου εἰς τὸν αἰῶνα τὸν μέλλοντα, ἐν τῷ νῦν αἰῶνι παροικῶν, διὰ τὸ πρόσκαιρον τῆς ζωῆς.

28α *Ὅτι Κύριος ἀγαπᾷ κρίσιν.*

Τουτέστι, κριτής ἐστιν· ἢ καὶ κρίσιν, τὸ δίκαιον λέγει.

28β *Καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ.*

Δίκαιον γὰρ μὴ ἐγκαταλιπεῖν τοὺς μὴ ἐγκαταλιπόντας αὐτόν. Ὅσιος δὲ νῦν, ὁ δίκαιος, ἤτοι ἐνάρετος.

28γ *Εἰς τὸν αἰῶνα φυλαχθήσονται.*

Καὶ εἰς τὸν παρόντα, καὶ εἰς τὸν μέλλοντα.

28δ *Ἄνομοι δὲ ἐκδιωχθήσονται.*

Καὶ ἀπὸ τῶν παρόντων ἀγαθῶν, καὶ ἀπὸ τῶν μελλόντων.

28ε *Καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται.*

Προείρηται περὶ τούτου μικρὸν ἀνωτέρω, εἰς τὸ, *Καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.* Ps 36.26β

29 *Δίκαιοι δὲ κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς.*

Καὶ περὶ τούτου μικρὸν ἀνωτέρω προείρηται, εἰς τὸ, *Οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν*, καὶ εἰς τὸ, *Καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα* Ps 36.9β
ἔσται. Τὰ αὐτὰ δὲ ἐπαναλαμβάνει, τῇ πυκνότητι μονιμωτέραν, ὡς εἴρηται, τὴν Ps 36.18β
μνήμην βουλόμενος ἐμποιῆσαι ταῖς τῶν ἀκροωμένων ψυχαῖς.

30α *Στόμα δικαίου μελετήσει σοφίαν.*

Ἡδέως ὁ Δαυὶδ τὰ ἔργα τοῦ δικαίου διηγεῖται, προτροπῆς ἕνεκεν· μελέτην γὰρ, φησὶν, ἕξει, τὴν ἐν Γραφαῖς δοθεῖσαν σοφίαν τοῦ Θεοῦ.

30β *Καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.*

Τὴν ἐμφαινομένην τοῖς νόμοις τοῦ Θεοῦ· ἢ κρίσιν λέγει, τὸν μετὰ διακρίσεως λόγον, ὅτι οὐκ ἀπερισκέπτως τὸ ἐπιὸν φθέγξεται.

31α *Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ.*

᾿Ανεξάλειπτος, καὶ ὁ ἄγραφος καὶ ὁ γραπτός.

31β *Καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.*

Ἡ πρὸς Θεὸν ὁδὸς οὐκ ἐμποδισθήσεται, οὔτε παρὰ τῶν ὁρατῶν ἐχθρῶν, οὔτε παρὰ τῶν ἀοράτων· οὐδὲν γὰρ τῇ ἀρετῇ ἐμποδίσαι δύναται.

32 *Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν.*

Τὸ, κατανοεῖ, ἀντὶ τοῦ, παρατηρεῖ, ἐνεδρεύει. Ἁμαρτωλὸν δὲ νοήσεις, οὐ μόνον τὸν ἄδικον ἄνθρωπον, ἀλλὰ καὶ τὸν διάβολον, ὡς αἴτιον καὶ πατέρα τῆς ἁμαρτίας.

33α *Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ.*

Οὐκ ἐγκαταλίπῃ αὐτὸν παντελῶς, ὥστε μετὰ τοῦ σώματος, κυριεῦσαι καὶ τῆς προαιρέσεως αὐτοῦ· πειρασθέντα γὰρ ἐξαιρεῖται, καὶ νικητὴν κατὰ ψυχὴν ἀναδείκνυσιν· ἢ καὶ πολλάκις παράγει τὴν ἐπιβουλὴν τέλεον, φειδοῖ τοῦ οἰκείου θεράποντος.

33β *Οὐδ᾽ οὐ μὴ καταδικάσηται αὐτὸν, ὅταν κρίνηται αὐτῷ.*

Οὔτε κατὰ τὸν παρόντα βίον ἐγκαταλίπῃ αὐτὸν οὕτως, οὔτε κατὰ τὸν καιρὸν τῆς μελλούσης κρίσεως καταδικά | σηται τὸν δίκαιον ὁ Θεὸς, ὅταν ὁ

33α[2] οὐκ ἐγκαταλίπῃ MPSC : οὐκ ἐγκαταλείπει V : οὐ καταλείπει H.

ἁμαρτωλὸς ἀντικρίνηται τῷ ἐπιβουλευθέντι ὑπ' αὐτοῦ δικαίῳ· τοῦτο γὰρ δηλοῖ τὸ, *κρίνηται*. Ps 42.1β

Καὶ ἄλλως γὰρ, οἱ δαίμονες ἀντικριθήσονται τότε τοῖς δικαίοις, ἐγκαλοῦντες αὐτοῖς, εἴπου τι καὶ μικρόν ποτε ἡμαρτήκασιν.

34α *Ὑπόμεινον τὸν Κύριον.*

Ἐπιβουλευόμενος καὶ πειραζόμενος, περίμεινον τὸν Θεὸν, ἐξαιρήσοντά σε, τουτέστιν, ἔλπισον ἐπὶ τὸν Κύριον.

34β Καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ.

Ἣν διὰ τῶν ἐντολῶν αὐτὸς ὑπέδειξε. Φύλαξον δὲ, ἀντὶ τοῦ, ἀγάπησον.

34γ *Καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν.*

Καὶ ἀνώτερόν σε ποιήσει τῶν ἐπιβουλευόντων· ἢ ὑψηλόν σε καὶ μέγαν παρὰ τοῖς ἀνθρώποις δείξει.

Ἐπεὶ δὲ ἡ κληρονομία τῆς γῆς, καὶ ἡ τῶν ἀγαθῶν ταύτης ἀπόλαυσις, καὶ ἡ μακροζωΐα, καὶ ἡ παιδοποιΐα, καὶ ἡ τῶν ἐχθρῶν ἐξολόθρευσις, καὶ τὰ τοιαῦτα, τοῖς πολλοῖς ἦσαν περισπούδαστα, ταῖς ἐπαγγελίαις τῶν τοιούτων εἰς ἀρετὴν προτρέπεται. Καὶ αὕτη μὲν ἡ αἰτία τοῦ πολλάκις ἐπανακυκλεῖν αὐτά· νοοῦνται δὲ τοῖς ὑψηλοτέροις, ὑψηλότερον, ὡς προείπομεν. Ps 36.9β

34δ *Ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψῃ.*

Παραμυθούμενος τὴν μικροψυχίαν τῶν πολλῶν, δυσφορούντων ἐπὶ τῇ κατὰ τῶν πονηρῶν ἀνεξικακίᾳ τοῦ Θεοῦ, φησὶν, ὅτι θάῤῥει, ὄψῃ γὰρ τὴν ἐξολόθρευσιν τῶν ἁμαρτωλῶν. Πιστοῦται δὲ τὸν λόγον, ἐξ ὧν αὐτὸς εἶδεν· ἐπάγει γάρ·

35 *Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου.*

Αὐτὸς μὲν ἀδήλως τὸν ἀσεβῆ εἶπε, νοοῦμεν δὲ τὸν Γολιὰθ, ἢ τὸν Σαοὺλ, ἢ Ναὰς τὸν Ἀμμανίτην, ἢ ἄλλους τοιούτους, ὧν εἶδε καὶ τὴν ἔπαρσιν καὶ τὴν καταστροφήν. 1Rg 11.1-2.11

Ὑπερυψούμενον μὲν οὖν ὑπὸ τῶν ὑπηκόων, ἐπαιρόμενον δὲ οἴκοθεν· ἢ καὶ ἄμφω ταὐτὸν ἐκ παραλλήλου δηλοῦσι.

Ταῖς κέδροις δὲ αὐτὸν ἀπείκασε, διὰ τὸ ἄκαρπον ὕψος καὶ τὴν πικρίαν.

36α *Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν.*

[33][3] τότε PV : om. MSCBF. 34γ[7] ἐπανακυκλεῖν MPSCBF : ἐπανακυκλοῦν V. 34δ[2] κατά MPBF : om. SCV.

Καὶ ἀφῆκα τοῦτον οὕτως ἔχειν, καὶ εὐθὺς, οὐκ ἔζη· τὸ γὰρ, ἰδοὺ, τὸ, εὐθὺς, ἐνταῦθα σημαίνει.

36β Καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.

Καὶ μετὰ καιρὸν, τῷ λογισμῷ ἐζήτησα αὐτὸν ἰδεῖν, καὶ οὐχ εὑρέθη ὁ τόπος ὁ περιέχων αὐτὸν, ὡς ὄντα. Πῶς γὰρ ἂν εὑρέθη, μὴ ὄντος αὐτοῦ;

Ἢ τόπον αὐτοῦ, τὸ σῶμα ὑποληπτέον· οἶκος γὰρ τοῦτο τῆς ψυχῆς ὂν, διαλύεται σαπέν.

37α Φύλασσε ἀκακίαν.

Ἁπλότητα εἶπεν ὁ Σύμμαχος.

37β Καὶ ἴδε εὐθύτητα.

Καὶ τήρησον τὴν ὀρθότητα.

37γ Ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.

Ἐγκατάλειμμα λέγει, τὸ μνημόσυνον· τοῦτο δὲ, διττόν ἐστιν, ἢ ἐν παιδοποιΐᾳ, ἢ ἐν ἀγαθοεργίᾳ.

38α Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτό.

Ἐπὶ τὸ αὐτὸ, ἀντὶ τοῦ, ὁμοῦ, σὺν τῷ μνημοσύνῳ αὐτῶν, ὃ καὶ διὰ τοῦ ἑξῆς ἐσαφήνισε στίχου, εἰπών·

38β Τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται.

Ἀσεβεῖς νόει, πάντας τοὺς πονηρούς.

39-40 Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως, καὶ βοηθήσει αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτοὺς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν, καὶ σώσει αὐτοὺς, ὅτι ἤλπισαν ἐπ' αὐτόν.

Ὅρα ὅπως τὴν ποικίλην παρὰ Θεοῦ τῶν δικαίων ἀντίληψιν, ποικίλως ἀπήγγειλε· διάφοροι γὰρ οἱ ταύτης τρόποι, καὶ διαφόρως ἐνεργούμενοι, κατὰ τὴν | πολυποίκιλον τοῦ Θεοῦ σοφίαν.

Σαφῆ δὲ τὰ ῥητὰ, καὶ οὐδὲν ἔχοντα δυσκατάληπτον.

37 λζʹ

1 Ψαλμὸς τῷ Δαυίδ· εἰς ἀνάμνησιν.

Οὗτος ὁ ψαλμὸς, παραπλήσιός ἐστι τῷ ἕκτῳ, ἀπὸ τῶν αὐτῶν τε ἀρχόμενος, καὶ ὁμοίως ἐκείνῳ τὰς διὰ τὴν ἁμαρτίαν ἐπενεχθείσας συμφορὰς ἀπολοφυρόμενος, καὶ παρακαλῶν ἀπαλλαγῆναι τούτων καὶ τυχεῖν ἀνέσεως.

Εἰκὸς δὲ ῥηθῆναι καὶ τοῦτον, ὅτε ὑπὸ τοῦ Ἀβεσαλὼμ ἐδιώκετο.

Εἰς ἀνάμνησιν δὲ ἐπιγέγραπται, δηλαδὴ τῶν πεπλημμελημένων, καὶ τῶν διὰ ταῦτα κακοπαθειῶν τε καὶ συμφορῶν.

2 *Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.*

Προείρηται τὰ περὶ τούτων ἐν τῷ ϛʹ ψαλμῷ· θυμὸν δὲ Θεοῦ καὶ ὀργὴν, οὐ πάθη Ps 6.2 οἰητέον, ἀλλὰ τὰς σφοδροτάτας ἀποφάσεις, τὰς ὀφειλομένας τοῖς ἁμαρτάνουσιν.

3α *Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι.*

Βέλη Θεοῦ νῦν, τοὺς ἐλεγκτικοὺς λόγους νόει, τοὺς διὰ τοῦ προφήτου Νάθαν ἀφεθέντας κατ' αὐτοῦ· ἢ τοὺς κατὰ μοιχῶν καὶ φονέων νόμους, τοσοῦτον ἐμπαγέντας, ὡς νύττειν ἀεὶ, καὶ ἀλγύνειν τὴν ψυχὴν αὐτοῦ.

Ἢ βέλη, τὰς ἐκ τῶν ἐπενεχθεισῶν συμφορῶν ὀδύνας, βελῶν δίκην, ἐμπειρομένας καὶ δακνούσας τὴν καρδίαν· βέλη δὲ καὶ αὗται Θεοῦ λέγονται, ὡς κατὰ παραχώρησιν αὐτοῦ ἐπαγόμεναι.

Τὸ δὲ, *ἐνεπάγησαν*, ὁ Σύμμαχος, *καθίκοντο*, εἶπε.

3β *Καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.*

Ἐπεστήριξας, ἀντὶ τοῦ, πυκνῶς κατήνεγκας, ἐν τῷ συνεχῶς μαστίζειν· ἢ βαρεῖαν αὐτὴν ἐπήνεγκας, ὡς μὴ δύνασθαί με ταύτην ὑποφέρειν, βαρέως πλήττουσαν· χεῖρα δὲ, τὴν τιμωρητικὴν δύναμιν ὑποληπτέον.

4α *Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου.*

Τὸ, *ἀπὸ προσώπου τῆς ὀργῆς σου*, καὶ, *ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου*, καὶ, *ἀπὸ προσώπου τῆς ἀφροσύνης μου*, καὶ τὰ τοιαῦτα, κατὰ περίφρασιν εἴρηται, Ps 37.4β, 6 ἀντὶ τοῦ, διὰ τὴν ὀργήν σου, καὶ διὰ τὰς ἁμαρτίας μου, καὶ διὰ τὴν ἀφροσύνην μου.

Οὐκ ἔστιν οὖν, φησὶ, τῇ σαρκί μου ἴασις, ἤγουν ἀπαλλαγὴ τῆς κακοπαθείας, ἣν αὐτὸς ἐμαυτῷ ἐπήγαγον, διὰ τὴν ὀργήν σου, τουτέστι, τὴν ἀπειλήν σου, τὴν διὰ τοῦ προφήτου Νάθαν ἢ τὴν διὰ τῶν νόμων ἠπειλημένην.

Περὶ τῆς τοιαύτης δὲ κακοπαθείας ἐν ἑτέροις λέγει ψαλμοῖς, *Ἐταπείνουν ἐν* Ps 34.13
νηστείᾳ τὴν ψυχήν μου, καὶ, *Ἡ σάρξ μου ἠλλοιοῦτο δι᾽ ἔλαιον*, καὶ *Ἐκολλήθη τὸ* Ps 108.24
ὀστοῦν μου τῇ σαρκί μου, καὶ, *Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου*, Ps 101.6
καὶ ὅσα τοιαῦτα. Ps 68.4

4β Οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Οὐκ ἔστιν εὐστάθεια καὶ στερέωσις ἐν αὐτοῖς, διὰ τὰς ἁμαρτίας μου κλονουμένοις καὶ τρέμουσιν.

5α Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου.

Αὐξηθεῖσαι καὶ κορυφωθεῖσαι· τὸ μέγεθος δὲ αὐτῶν ἐντεῦθεν αἰνίττεται, καθάπερ ἀλλαχοῦ τὸ πλῆθος, ὡς τὸ, *Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου*. Ps 39.13

5β Ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ.

Καὶ βαρεῖαί μοί εἰσι, διὰ τὸ μὴ δύνασθαί με τὴν μνήμην αὐτῶν βαστάζειν, ἢ διὰ τὸ κατακάμπτειν με δίκην φορτίου· καὶ γὰρ οἱ σκυθρωπάζοντες εἰς γῆν βλέπουσιν, ὥσπερ οἱ ἀχθηφοροῦντες.

6 Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. |

Οἱ μώλωπες τῆς ψυχῆς μου, οἱ γεγονότες ἐκ τῶν πεπυρωμένων τοῦ διαβόλου βελῶν, προσώζεσαν, καὶ οὐκ ἐπιπολαίως ὤζεσαν, ἀλλὰ καὶ τέλεον ἐσάπησαν· διὰ τοῦτο δὲ, τὴν λύμην τῆς ψυχῆς αἰνίττεται, ὡς μὴ δύνασθαί με τὴν δυσωδίαν ὑπομένειν· τοῦτο δὲ γέγονε διὰ τὴν ἀφροσύνην μου. Εἰ γὰρ μὴ ἀπώλεσα τὰς φρένας, οὐκ ἂν οὕτως ἐτραυματίσθην.

Ὅρα δὲ πῶς αὔξει τὰ πεπλημμελημένα, θερμῶς ἐξομολογούμενος· εἶπε γὰρ, ὅτι μεγάλα εἰσὶ, καὶ ὅτι βαρέα, καὶ ὅτι δυσώδη.

Σημεῖον δὲ μετανοίας, τὸ τῆς δυσωδίας τῆς ἁμαρτίας αἰσθάνεσθαι· τότε γάρ τις ὁλοσχερῶς βδελύσσεται ταύτην.

7α Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους.

Ἀποκαμὼν πρὸς τὰ ῥηθέντα.

Ἢ καὶ ἄλλως, ἰατρεύων ἐμαυτὸν, οὕτω διακείμενον χαλεπῶς, ἐταλαιπώρησα, καὶ ἀσθενήσας, κατεκάμφθην· τὸ δὲ, ἕως τέλους, ἀντὶ τοῦ, παντελῶς.

7β Ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

6[7] *πεπλημμελημένα* HV : *πεπλημμένα* MPSC.

Ἀεὶ μετὰ σκυθρωπότητος ἀνεστρεφόμην, εἰ καὶ ἐν βασιλείᾳ διῆγον, οἷα κεντούμενος ὑπὸ τοῦ συνειδότος, καὶ διαχεῖσθαι μὴ συγχωρούμενος.

8α Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων.

Τὰς ψόας, λαγόνας εἶπεν ὁ Σύμμαχος· σημαίνουσι δὲ καὶ ἄμφω τὸ ἐπιθυμητικὸν μέρος· περὶ ταύτας γὰρ οἱ νεφροὶ, καθ' οὓς αἱ ὀρέξεις τῆς συνουσίας συνίστανται. Φησὶν οὖν, ὅτι ἡ ἐπιθυμία μου ἐπλήσθη ἐμπαιγμάτων τοῦ δαίμονος· ἐνέπαιξε γὰρ αὐτῇ, διερεθίσας εἰς ἀτόπους καὶ παρανόμους κινήσεις.

8β Καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Καὶ λοιπὸν οὕτως ἐμπαιχθέντος μου, οὐκ ἔστιν ἄνεσις τῇ σαρκί μου· κολάζω γὰρ αὐτὴν, ὡς προείρηται, καὶ δίκας ἀπαιτῶ τῆς φιληδονίας.

9α Ἐκακώθην.

Πεινήσας, διψήσας, ἀγρυπνήσας, χαμευνήσας, καὶ εἴ τι τοιοῦτον.

9β Καὶ ἐταπεινώθην ἕως σφόδρα.

Τὸ, ἕως σφόδρα, ἰδίωμα Ἑβραϊκὸν, ἀντὶ τοῦ, λίαν.

9γ Ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Ἀπὸ τῆς ἀγριότητος τοῦ στεναγμοῦ τῆς καρδίας μου, κεντουμένης καὶ ὀδυνωμένης πικρῶς, ἐδόκουν βρύχειν ὡς λέων· τὸ γὰρ, ὠρυόμην, ἔβρυχον εἶπεν ὁ Ἀκύλας.

Ἁμαρτωλὸς μὲν γὰρ εἰς βάθος κακῶν ἐμπεσὼν, καταφρονεῖ, δίκαιος δὲ, καὶ τὰ ἐλάχιστα τῶν ἁμαρτημάτων διαφερόντως δέδοικε.

10α Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου.

Ἡ μετὰ τὴν ἁμαρτίαν· οἶδας γὰρ, ὅτι σωτηρίας καὶ ἀπαλλαγῆς ἀεὶ τοῦ ἄλγους ἐπιθυμῶ.

10β Καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἐνωτίζῃ γὰρ τοῦτον, ὡς φωνὴν ἐκ βάθους ἀναπεμπόμενον.

11α Ἡ καρδία μου ἐταράχθη.

8α Add. [MF in marg.]PBV: Εἰ ἐμπαιγμός ἐστι καὶ ψεῦδος ἡ ἐμπαθὴς ἐπιθυμία, οὐκ ἔστιν ἡδονὴ, ἀλλὰ σκιὰ ἡδονῆς· διό φησιν ὁ Ἀπόστολος, Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ [Eph. 6.14], τουτέστι τῇ ἀληθινῇ ἡδονῇ, τῇ ἀπὸ σωφροσύνης καὶ δικαιοσύνης. : om. SC. 8α^5 αὐτῇ MSCF : αὐτὴν PBV.

Ὑπὸ τοῦ συνειδότος καὶ τῆς μεταμελείας.

11β Ἐγκατέλιπέ με ἡ ἰσχύς μου.

Ταλαιπωρηθέντα, καθὼς εἴρηται, πάσῃ κακοπαθείᾳ.

11γ Καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.

Ὑπὸ τῆς ἄγαν σκληραγωγίας καὶ τῶν πυκνῶν δακρύων εἰς ἀμβλυωπίαν ἦλθον.

Ἔστι δὲ ἡ σύνταξις οὕτως· καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ, ἀπολωλὸς, περιττῶς κειμένου τοῦ δευτέρου συνδέσμου.

Ἢ φῶς τῶν ὀφθαλμῶν τῆς ψυχῆς αὐτοῦ, τὸ Πνεῦμα τὸ ἅγιον, ἀποπτὰν ἐκ μέρους, διὰ τὴν ἁμαρτίαν.

12α Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν.

Τὸν Ἀχιτόφελ αἰνίττεται, καὶ ἄλλους πολλοὺς τοιούτους. Οἱ φίλοι μου, φησὶ, καὶ οἱ οἰκεῖοί μου, ἀπεναντίας μου ἦλθον· | τοῦτο γὰρ σημαίνει τὸ, ἤγγισαν καὶ ἔστησαν κατ' ἐμοῦ, πάντως τοῦ Θεοῦ τοῦτο παραχωρήσαντος διὰ τὰ ἐμὰ παραπτώματα. Ἐντεῦθεν γάρ μοι ἡ τῶν συμφορῶν θάλασσα ἐπεκύμηνε.

12β Καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Τοὺς αὐτοὺς νοητέον, οἵτινες τῇ μὲν δυσμενείᾳ ἤγγισαν, οἷα καταδιώκοντες, τῇ δὲ εὐνοίᾳ πόῤῥω γεγόνασιν, ὡς ἀποστάντες τῆς φιλίας αὐτοῦ.

Ἢ ἑτέρους ὑποληπτέον, φυγόντας διὰ τὸν τοῦ Ἀβεσαλὼμ φόβον.

13α Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου.

Καὶ ἠνάγκαζον κακοῦντές με πάσῃ μηχανῇ οἱ ζητοῦντες τὴν ψυχήν μου, τουτέστιν, ἐμὲ, κατὰ περίφρασιν· ἢ οἱ ζητοῦντες τὴν ψυχήν μου, ὥστε ἐξᾶραι αὐτὴν, ὡς ἐν τῷ λθ´ φησὶ ψαλμῷ. Ps 39.15

13β Καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας.

Καὶ οἱ θέλοντες τὴν πτῶσίν μου ἐλάλησαν κατ' ἐμοῦ βλασφημίας, λοιδοροῦντές με καὶ διαβάλλοντες· ματαιότητας δὲ, ταύτας ἐκάλεσεν, ὡς ψευδεῖς.

13γ Καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐπιβουλάς· πῶς ἂν ἀπατήσαντές με θηρεύσωσιν.

11γ[2] ὑπό MSCF : ἀπό PBV. 11γ[6] Add. [M in marg.]B: Τοῦτον τὸν στίχον καὶ τὸν ἑξῆς τινες ὡς ἀπὸ τοῦ Χριστοῦ προῤῥηθῆναι περὶ τῶν μαθητῶν αὐτοῦ νενοήκασιν : ad 12α[5] PV : om. SCF. 12α[5] ἐπεκύμηνε MSCF : ἐπεκύμανε PV. 13β[2] τὴν πτῶσίν μου MPHV : τὴν τὰ πρὸς θλῖψιν μου πτῶσίν μου [M in marg.]S : τὰ πρὸς θλῖψιν μου τὴν πτῶσίν μου C : τὴν πτῶσίν μου, ἤγουν τὰ πρὸς θλῖψίν μου [A].

14α Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον.

Τῇ μὲν ἀληθείᾳ ἤκουον, τῇ δὲ δοκήσει, οὐκ ἤκουον, οἷα σιγῶν καὶ μὴ ταρασσόμενος· ἄλλων τε γὰρ ὡς εἰκὸς, καὶ αὐτοῦ δὴ τοῦ Σεμεεὶ προδήλως ὑβρίζοντος 2Rg 16.10
αὐτὸν καὶ καταρωμένου, ἐσίγα, ὡς μὴ ἀκούων.

14β Καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

Λείπει τὸ, ἤμην· τῷ γὰρ μὴ ἀκούειν, ἀκόλουθον τὸ μηδὲ λαλεῖν, περὶ ὧν οὐκ ἤκουσε.

15 Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

Ταῦτα, σαφηνιστικὰ τῶν προλαβόντων δύο στίχων· ἐλεγμοὺς δὲ λέγει, τὰς ἀντιῤῥήσεις, δι’ ὧν τις ἐλέγχει τὸν κακῶς λέγοντα.

16α Ὅτι ἐπὶ σοὶ, Κύριε, ἤλπισα.

Ἐκωφώθην καὶ ἐσίγησα, διότι παρὰ σοῦ ἤλπισα τυχεῖν ἐκδικήσεως. Ἐμοὶ Dt 32.35
γὰρ, φησὶν, ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. Heb 10.30

16β Σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.

Καὶ διότι σὺ ἐνωτισθήσῃ ἀεὶ τὰς τοιαύτας βλασφημίας καὶ ἀνταποδώσεις τοῖς ὑβρισταῖς. Ἢ, σὺ ἐπακούσῃ τῶν τοιαῦτα πασχόντων καὶ σιγώντων.

17α Ὅτι εἶπον, Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου.

Καὶ γὰρ εἶπον ἐν ἐμαυτῷ εὐχόμενος· Μὴ ἐπιχαρείησάν μοί ποτε οἱ ἐχθροί μου.

17β Καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ’ ἐμὲ ἐμεγαλοῤῥημόνησαν.

Καὶ ἰδοὺ παρατραπείσης τῆς πορείας μου ἀπὸ τῆς ὁδοῦ τῶν θείων ἐντολῶν, εὐθὺς ἔλαβον αὐτοὶ παῤῥησίαν ἀναισχυντίας, μεγαλοῤῥημονήσαντες ἀνελεῖν με.

18α Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος.

Διότι ἁμαρτήσας καὶ γυμνωθεὶς τῆς θείας βοηθείας, πρόχειρος ἐγενόμην τοῖς κολάζειν ἐθέλουσιν.

Ἢ τὸ μὲν, ὅτι, διηγηματικῶς, περιττὸν νοήσεις· τὸ δ' ἑξῆς, ἐγὼ εἰς τὴν παρὰ σοῦ παιδείαν πρόχειρος, ἀπεκδεχόμενος αὐτὴν πάντοτε διὰ τὰς ἁμαρτίας μου.

18β Καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Καὶ ἡ μνήμη τῆς ἁμαρτίας, ἡ ἀλγύνουσά με, πρὸ ὀφθαλμῶν μού ἐστιν ἀεὶ, νύττουσα, καὶ οὐκ ἐπελαθόμην ταύτης, ὥς τις ἀνάλγητος.

19α Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ.

Διότι τὴν ἁμαρτίαν μου ἐγὼ δημοσιεύσω, καὶ κατήγορος ἐμαυτοῦ γενήσομαι.

19β Καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Καὶ φροντίσω τῆς ἰατρείας αὐτῆς. Ἀδιαφόρως δὲ ἀνομίαν καὶ ἁμαρτίαν, τὰ πλημμελήματα κέκληκεν.

20α Οἱ δὲ ἐχθροί μου ζῶσιν. |

Οἱ τῷ Ἀβεσαλὼμ συστρατευόμενοι. Ζῶσι δὲ, ἀντὶ τοῦ, ἔῤῥωνται, ἀσθενήσαντος ἐμοῦ.

20β Καὶ κεκραταίωνται ὑπὲρ ἐμέ.

Τοῦτο, τοῦ, ζῶσιν, ἐπεξηγητικόν. Ἢ τὸ μὲν, ζῶσιν, ἀντὶ τοῦ, ὑγιαίνουσι, τὸ δὲ, κεκραταίωνται, ἀντὶ τοῦ, ἐνεδυναμώθησαν.

20γ Καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.

Οὐ μόνον ζῶσι καὶ κεκραταίωνται, ἀλλὰ καὶ ἐπληθύνθησαν αὐξανόμενοι. Ἀδίκως δέ εἰσι μισοῦντες, ὡς οὐδὲν εὔλογον ἐγκαλεῖν ἔχοντες αἴτιον τοῦ μίσους.

21 Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.

Τοῦτο, διὰ τὸν Ἀβεσαλώμ· οὗτος γὰρ ἀμειβόμενος τὴν εἰς αὐτὸν ἀγαθότητα καὶ στοργὴν τοῦ πατρὸς φθόνῳ καὶ ἐπιβουλῇ, ἐνδιέβαλλεν αὐτὸν παρὰ τοῖς δικαζομένοις ἐν ταῖς κρίσεσιν, ὡς ἄδικον καὶ παράνομον, προσεταιριζόμενος ἀεὶ τοὺς τοιούτους, ὡς ἡ τῶν Βασιλειῶν ἐδίδαξε βίβλος. 2Rg 15.2-6

Ἐνδιέβαλλον δέ με, φησὶ, διότι ἐξεζήτουν καὶ ἔστεργον τὴν ἀγαθωσύνην, καὶ οὐκ ἤθελον κακῶσαι αὐτὸν, οὕτω διακείμενον· ἐντεῦθεν γὰρ ηὔξησε τὴν πονηρίαν, καὶ μοχθηρότερος γέγονεν.

Ἢ ἀγαθοσύνην ἐνταῦθα λέγει, τὴν δικαιοσύνην. Ἐλοιδόρει γάρ με, φησὶ, διότι προετίμων τὴν δικαιοσύνην, καὶ οὐχ ὡς αὐτὸς, ἠγάπων τὴν ἀδικίαν.

22 Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Μεμόνωμαι γὰρ ἀξιολόγου συμμαχίας, καὶ σὲ μόνον ἔχω βοηθὸν καὶ φύλακα.

23 Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

Ἐπιμελήθητι τῆς βοηθείας μου, ἐξουσιαστὰ τῆς ἐμῆς ζωῆς.

Ἀλλὰ ταῦτα μὲν κατὰ τὴν ἱστορίαν ἥρμοσε τῷ Δαυίδ· ἁρμόζει δὲ καὶ πᾶσι τοῖς ἐν ἁμαρτίαις, ἐφ' ὧν φίλους καὶ πλησίον εἴποιμεν ἂν, τοὺς ἀγαθοὺς ἀγγέλους, οἳ χαίροντες ἐπὶ τοῖς κατορθώμασιν ἡμῶν, καὶ φυλάττοντες ἡμᾶς, ἐπὰν ἴδωσιν ἁμαρτήσαντας, ἐνώπιον ἡμῶν ἔρχονται καὶ ἵστανται στυγνάζοντες, καὶ ἔγγιστα πρῶτον ὄντες, ὕστερον μακρύνονται, διὰ τὴν δυσωδίαν τῆς ἁμαρτίας.

Λοιπὸν δὲ οἱ πονηροὶ δαίμονες ἐκβιάζονται ἡμᾶς εἰς χείρονα πταίσματα, καὶ λαλοῦσιν ἐν τοῖς ὠσὶν ἡμῶν ἀφανῶς λόγους ματαίους καὶ φαύλους, καὶ δόλους ἡμῖν κατασκευάζουσιν.

Οἱ δὲ τὴν νῆψιν τοῦ Δαυὶδ ἀπομιμούμενοι, βύουσι τὰ ὦτα τῆς ψυχῆς, καὶ οὐδὲ λόγου τούτους ἀξιοῦσι· μόνον δὲ τὸν Θεὸν ἐπικαλοῦνται πρὸς ἄμυναν.

Οἱ αὐτοὶ δὲ πάλιν δαίμονες, καὶ διότι αἱροῦνται τὴν ἀγαθὴν μετάνοιαν οἱ ἐκνήψαντες, σφοδρότερον κακοῦντες αὐτοὺς διὰ συνεχείας πειρασμῶν, ἔτι καὶ διαβάλλουσι παρὰ πᾶσιν, ὡς ἁμαρτωλούς.

38 λη´

1 Εἰς τὸ τέλος· τῷ Ἰδιθούμ· ᾠδὴ τῷ Δαυίδ.

Ὅπως μὲν τοῦ Δαυὶδ ὢν ὁ ψαλμὸς, καὶ τὸν Ἰδιθοὺμ ἔχει προσεπιγεγραμμένον, ἱκανῶς εἰρήκαμεν ἐν τῷ προοιμίῳ τῆς ὅλης βίβλου. § 49

Εἰς τὸ τέλος δέ φησι, διότι τραγῳδῶν τῆς ἀνθρωπίνης φύσεως τὴν εὐτέλειαν, περὶ τοῦ τέλους αὐτῆς διέξεισι, *Γνώρισόν μοι, Κύριε,* λέγων, *τὸ πέρας μου,* καὶ Ps 38.5
τὰ ἑξῆς.

2α Εἶπα, Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου.

Καὶ τοῦτον εἴρηκε τὸν ψαλμὸν, μνημονεύων ὧν πέπονθεν, ὅτε τὸν Ἀβεσαλὼμ ἔφευγεν. Ἀποδιδράσκων γὰρ, φησὶν, εἶπα ἐν ἑαυτῷ, ὅτι τοῦ λοιποῦ, φυλάξω τὰς

[22][5] προετίμων MSCBF : προτιμητέαν ἡγούμην PV. 23[5] ἐπὰν MSCBF : ἐπειδ' ἂν PV.

ὁδούς μου, τὰς διὰ γλώττης, ἤτοι τοὺς λόγους μου, ὥστε μὴ ἁμαρτάνειν με διὰ γλώσσης, βλάσφημον λόγον ἐκ μικροψυχίας προέμενον. *Παιδεύων γὰρ ἐπαίδευσέ με ὁ Κύριος.* | Ὅτι δὲ καὶ οἱ λόγοι ὁδοὶ λέγονται, φησὶν ὁ μέγας Παῦλος πρὸς Ps 117.18
Κορινθίους, *Ἔπεμψα ὑμῖν Τιμόθεον, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου.* 1Cor 4.17

2β Ἐθέμην τῷ στόματί μου φυλακὴν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.

Προχειρότατον εἰς ἁμαρτίαν ἡ γλῶσσα· διὰ τοῦτο καὶ πολλὴν αὐτῆς πρόνοιαν ἐποιήσατο.

Συστῆναι μὲν οὖν ἐνταῦθα, τὸ παρατάττεσθαι· ἁμαρτωλὸν δὲ λέγει, τὸν Σεμεεὶ, καὶ διὰ τὸν ἠμελημένον αὐτοῦ βίον, καὶ διὰ τὴν τηνικαῦτα ἀναισχυντίαν
καὶ ἀπήνειαν· παρείπετο γὰρ προπηλακίζων καὶ λιθοβολῶν. 2Rg 16.5-8

Φησὶν οὖν, ὅτι ὑβριζόμενος ὑπ' αὐτοῦ, σεσίγηκα πρὸς αὐτόν.

3α Ἐκωφώθην.

Ἑκών.

3β Καὶ ἐταπεινώθην.

Μνημονεύσας, ὅτι διὰ τῆς ἁμαρτίας μου καὶ οὗτος κατεξανέστη μου.

3γ Καὶ ἐσίγησα ἐξ ἀγαθῶν.

Ἐξ ἀγαθότητος· δυνάμενος γὰρ αὐτὸν ἀμύνασθαι, οὐκ ἠθέλησα δι' ἐπιείκειαν. Εἷς γὰρ τῶν περὶ Δαυὶδ, ὁρμήσας ἀνελεῖν αὐτὸν, ἐπεσχέθη παρ' αὐτοῦ, φήσαντος,
Ἄφετε αὐτὸν καταρᾶσθαί με, διότι Κύριος εἶπεν αὐτῷ κακολογεῖν τὸν Δαυὶδ, καὶ 2Rg 16.10
τὰ ἑξῆς.

3δ Καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.

Καὶ ὁ διὰ τὰς ἁμαρτίας μου πόνος ἀνεκαινίσθη τῇ μνήμῃ· τότε γὰρ ἔγνων σαφῶς, ὅτι δίκας τίνω τῶν πεπλημμελημένων.

4α Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου.

Ὑβριζόμενος, ἐπυρώθην ὑπὸ τοῦ θυμοῦ· ἐμακροθύμησα δέ.

Ἐντός μου δὲ εἶπε, δηλῶν ὅτι οὐκ ἐξέφηνε τὸν θυμόν.

Τὸ μὲν γὰρ μὴ παθεῖν ὅλως πρὸς τὴν ὕβριν, τελείου· τὸ δὲ πράως ἐνεγκεῖν, προκόπτοντος.

4β Καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ.

Καὶ ἐν τῷ μελετᾶν με καὶ ἀναπολεῖν ἅ τε πέπραχα πονηρὰ, καὶ ἃ πάσχω δεινὰ, ἀεὶ ἀναφλεγήσεταί μοι πῦρ λύπης, ἐμπιπρῶν τὴν ἐμὴν ψυχήν.

4γ Ἐλάλησα ἐν γλώσσῃ μου.

Πρὸς μὲν τὸν ἐχθρὸν, ἐσίγησε, πρὸς δὲ τὸν Θεὸν, ἐλάλησεν. Ἐν γλώσσῃ μου δὲ, ἀντὶ τοῦ, ἠρέμα καὶ ὡς ἐν ψιθυρισμῷ. Εἶτα λέγει καὶ τί ἐλάλησε.

5α Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου.

Πότε ἔσται, ἢ ὁποῖον ἔσται· μέχρι γὰρ πότε τὰ λυπηρά;

5β Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ.

Καὶ γνώρισόν μοι τὸν ἀριθμὸν τῶν ἡμερῶν τῆς ὅλης μου ζωῆς, πόσος ἐστὶ σύμπας, ἵνα συναριθμήσας τὰ ἔτη ὅσα μέχρι τοῦ νῦν ἔζησα, γνώσομαι τὸ λεῖπον· τὸ γὰρ μέτρον μαθὼν, οὐ τὴν τυχοῦσαν ἐντεῦθεν ἕξω παραμυθίαν τῶν ἐπαγομένων μοι συμφορῶν.

6α Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου.

Μέτρα διὰ χειρός εἰσιν, ὀργυιὰ, πῆχυς, σπιθαμὴ, παλαιστής. Ἔστιν οὖν ὁ παλαιστὴς, τὸ πάντων τούτων ἐλάχιστον, ὃς ἀποτελεῖται τῇ συμπτύξει τῶν τεσσάρων μόνων δακτύλων, τριτημόριον ὢν τῆς σπιθαμῆς. Διὰ τούτου τοίνυν τὴν ὀλιγότητα τοῦ μέτρου τῆς ἐπιλοίπου ζωῆς αὐτοῦ παρέστησε, παλαιστὰς εἰπὼν τὰς ἡμέρας, ἀντὶ τοῦ, ἐλαχίστας εἰς μέτρον, ὡς καὶ ὁ παλαιστής.

Ἢ παλαιστὰς, ἀντὶ τοῦ, ἐναγωνίους, ἐπιμόχθους, πάλης μεστάς· λέγει δὲ, ὡς εἴρηται, τὰς λειπούσας, καὶ ὅτι μὲν ὀλίγον ἐπιζήσεται οἶδε· φησὶ γὰρ ἐν ἑτέρῳ ψαλμῷ, *Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι*. Πόσον δὲ ἔσται Ps 101.24
τὸ ὀλίγον, ἀγνοεῖ, καὶ τοῦτο ζητεῖ μαθεῖν. Ὀλίγον δὲ καλεῖ τὸ λεῖπον, πρὸς σύγκρισιν τοῦ πλήθους τῶν παρεληλυθότων ἐνιαυτῶν τῆς ζωῆς αὐτοῦ.

Χρὴ δὲ γινώσκειν ὅτι τὸ, *ἰδοὺ*, ἐπίῤῥημα | μέν ἐστι· κέχρηται δὲ τούτῳ συνεχῶς ἡ τῶν Ἑβραίων διάλεκτος· σημαίνει δὲ, καθολικώτερον εἰπεῖν, ἢ δεῖξιν, ἢ ἐγγύτητα. Ἐπὶ δὲ τοῦ παρόντος, τὸ, ὡς ὁρᾷς, δηλοῖ, ὅπερ ἐστὶ δείξεως, ὥσπερ πάλιν ἐγγύτητος τὸ, *Παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν*· ἐγγύτης γὰρ χρόνου, τὸ, εὐθύς. Ps 36.36

6β Καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου.

Ἐντεῦθεν ἄρχεται φαυλίζειν τὸ τῆς ἀνθρωπίνης φύσεως πρόσκαιρον καὶ

4γ$^{2-3}$ Ἐν γλώσσῃ... ἐλάλησε. MSCBF : P in marg.. 6α^{4} ὢν MSCBF : ὂν PV.

ἐπίκηρον· φησὶ γὰρ, ὅτι καὶ ἡ ὑπόστασίς μου, τουτέστιν, ἡ ὕπαρξίς μου, ὅ ἐστιν, ἐγὼ ὅλος, ὡσεὶ οὐθέν εἰμι πρὸς τὴν σὴν μακαριότητα καὶ ἀϊδιότητα· τοῦτο γὰρ σημαίνει τὸ, *ἐνώπιόν σου*. *Σὺ μὲν γὰρ, ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου*, φησὶν, *οὐκ ἐκλείψουσιν*· ἐγὼ δὲ ἠλλοίωμαι, φυγὰς ἀντὶ βασιλέως γενόμενος, *καὶ αἱ ἡμέραι* Ps 101.28
μου, ὡσεὶ σκιὰ παράγουσι. Ps 143.4

6γ Πλὴν τὰ σύμπαντα ματαιότης.

Τὸ, *πλὴν*, ἐνταῦθα περιττόν τινες ἐνόμισαν· οἱ δέ φασιν, ἀντὶ τοῦ, *ἀληθῶς*, κεῖσθαι τοῦτο. Ἀπιδὼν οὖν ὁ Δαυὶδ, εἴς τε τοὺς παλαιοὺς καὶ εἰς τὰ καθ' ἑαυτὸν, καὶ σκεψάμενος ὅτι ἀνώμαλος ὁ βίος καὶ ἄπιστος, ἀποφαίνεται ὅτι ἀληθῶς τὰ σύμπαντα ματαιότης, τουτέστιν, ἀβέβαια, καὶ πλοῦτος καὶ δόξα καὶ νεότης καὶ κάλλος καὶ μέγεθος καὶ ῥώμη, καὶ ἁπλῶς ὅσα ἀνθρώπινα ἀγαθά. Δῆλον δὲ, ὅτι τὰ πνευματικὰ ἀγαθὰ διαφερόντως ὑπεξήρηνται τῆς τοιαύτης ἀποφάσεως.

6δ Πᾶς ἄνθρωπος ζῶν.

Ἀντὶ τοῦ, πᾶσα ἀνθρωπίνη ζωή· σχῆμα δὲ καὶ τοῦτο τῆς Ἑβραΐδος φωνῆς, ὡς τὸ, *Πᾶς ἄνθρωπος ψεύστης*, ἀντὶ τοῦ, πᾶσα ἀνθρωπίνη δόξα, ψευδής. Ps 115.2

Πᾶσα οὖν φησιν ἀνθρωπίνη ζωὴ, ματαιότης· ἐφερμηνευτικὸν δὲ τοῦτο τοῦ, *τὰ σύμπαντα ματαιότης*. Ἀνθρωπίνην δὲ ζωὴν λέγει, τὴν σαρκικὴν, ἀλλ' οὐ τὴν πνευματικήν.

7α Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος.

Τὸ, *μέντοιγε*, καὶ τὸ, *μενοῦνγε*, τὸ, *ὄντως*, δηλοῦσι· τὸ δὲ, *ἐν εἰκόνι*, ἀντὶ τοῦ, δίκην εἰκόνος βιοῖ. Ὥσπερ γὰρ τὴν γεγραμμένην εἰκόνα, οὐδὲν ὠφελεῖ τὸ ἀπὸ τῶν χρωμάτων κάλλος καὶ μέγεθος καὶ ὅσα ἐκ τούτων, οὕτως οὐδὲ τὸν ἄνθρωπον ὀνίνησιν ἡ ἀνθρωπίνη μακαριότης.

Ἢ ἐν εἰκόνι, ἀντὶ τοῦ, ἐν σκιᾷ, διὰ τὸ τῶν ἀνθρωπίνων πραγμάτων ἀβέβαιον.

7β Πλὴν μάτην ταράσσεται.

Τοῦτο τὸ, *πλὴν*, ἀντὶ τοῦ, *λοιπὸν*, κεῖται. Μάτην, φησὶν, ἀγωνίζεται καὶ περισπᾶται.

7γ Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.

Καὶ τὸ χαλεπώτερον, ὅτι περὶ συλλογὴν χρημάτων ταλαιπωρούμενος, οὐδὲ τὸν κληρονόμον ἑαυτοῦ γινώσκει. Καὶ ἡ μὲν συντριβὴ, τοῦ συνάγοντός ἐστι, τὸ Lk 12.20
δὲ κέρδος, ἄλλου.

6γ[3] τὰ καθ' ἑαυτόν MSCBFV : τοὺς καθ' ἑαυτόν P.

8α Καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος;

Καὶ λοιπὸν τούτων οὕτως ἐχόντων, τίς ἡ ἐλπίς μου; οὐχὶ Κύριος μόνος; Κατ' ἐρώτησιν δὲ τὸν στίχον ἀναγνωστέον.

8β Καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν.

Καὶ ἡ ὕπαρξίς μου, λέγω δὴ, αὐτὸ τὸ ὅλως εἶναί με, ἀπὸ σοῦ ἐστι. Διὸ φρόντισον τοῦ σοῦ πλάσματος, εὐγνωμόνως ἐπιγινώσκοντος τὸν ἴδιον πλάστην.

9α Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με.

Αἱ ἀνομίαι γὰρ ἐπάγουσι τοὺς πειρασμούς· ὅθεν τῶν αἰτίων ἀπαλλαγῆναι παρακαλεῖ.

Ἢ καὶ ἀνομίας τροπικῶς καλεῖ, τοὺς πειρασμοὺς, ἀπὸ τῶν αἰτίων, τὰ αἰτιατά.

9β Ὄνειδος ἄφρονι ἔδωκάς με.

Τῷ Σεμεεί· ὠνείδιζε γὰρ αὐτὸν, ἄνδρα παράνομον καὶ ἄνδρα αἱμάτων
ἀποκαλῶν. | Ἐπανέλαβε δὲ τὸν λόγον, εἰς οἶκτον τὸν εὔσπλαγχνον διὰ τῆς 2Rg 16.7
συνεχοῦς ἐλεεινολογίας ἐπισπώμενος. Ps 38.2β

Ὀνειδίζει δὲ καὶ ὁ διάβολος τοῖς ἡττωμένοις ὑπ' αὐτοῦ τὴν τοιαύτην ἧτταν.

10α Ἐκωφώθην.

Ἑκὼν, ὥστε μὴ ἀκούειν δοκεῖν.

10β Καὶ οὐκ ἤνοιξα τὸ στόμα μου.

Οὐκ ἀντεῖπον ὅλως.

10γ Ὅτι σὺ ἐποίησας.

Ὅτι σὺ προσέταξας ἐκείνῳ μὲν, ὑβρίζειν με — *Κύριος γὰρ, φησὶν, εἶπεν* 2Rg 16.10
αὐτῷ κακολογεῖν τὸν Δαυὶδ — ἐμοὶ δὲ, σιγᾶν· *Ἥμαρτες γὰρ, φησὶν, ἡσύχασον.* Ps 49.21

11α Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου.

Τοὺς κατὰ σὴν παραχώρησιν ἐπαγομένους ἔξωθεν πειρασμοὺς, καὶ τὰς ἔνδοθεν ἀπὸ τοῦ συνειδότος πληγάς.

8β2 δή P : δέ MSCBFV. 9β5 ὑπ' αὐτοῦ PHV : αὐτοῦ MSCBF.

11β Ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.

Χεῖρα νῦν, τὴν κολαστικὴν δύναμιν λέγει· ἐξέλιπον δὲ, ἀντὶ τοῦ, τέλεον ἠσθένησα.

Σκόπει δὲ, πῶς ἐν μὲν τῷ προλαβόντι ψαλμῷ, παρέχων ἑαυτὸν ταῖς παιδευτικαῖς πληγαῖς, ἔλεγεν, Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος· νῦν δὲ, μαστιγωθεὶς Ps 37.18
ἱκανῶς, ἀνεθῆναι καθικετεύει, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ.

12α Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον.

Ἐν τῷ ἐλέγχειν, τουτέστιν, ἰατρεύειν, ἐπαίδευσας ἄνθρωπον, ἕνεκεν ἀνομίας, οὐ δι' ἕτερόν τι, ὥστε σωτήριος ἡ παιδεία σου· ἄνθρωπον δὲ λέγει, ἑαυτόν.

12β Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ.

Καὶ ἐλέπτυνας ταύτην τοῖς πειρασμοῖς, περικαθαίρων τὸ ἀπὸ τῆς ἁμαρτίας πάχος αὐτῆς· λεπτότατον δὲ ζῷον, ὁ ἀράχνης, καὶ μᾶλλον ἐπὶ τοῖς σκέλεσι. Παχύνει μὲν γὰρ τὴν ψυχὴν, ἡ ἁμαρτία, λεπτύνει δὲ, ἡ κακοπάθεια.

12γ Πλὴν μάτην πᾶς ἄνθρωπος.

Πάλιν ἐπανέλαβε τὸν περὶ τούτου λόγον, πρὸς βεβαιοτέραν πληροφορίαν· Ps 38.7β
λείπει δὲ, τὸ, ταράσσεται.

13α Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου ἐνώτισαι.

Ἐκ παραλλήλου τὸ αὐτό φησιν, ὡς ἔθος αὐτῷ.

13β Τῶν δακρύων μου μὴ παρασιωπήσῃς.

Ἀντὶ τοῦ, μὴ παρίδῃς· οἱ γὰρ παρορῶντές τινα, σιωπῶσιν. Ἀδιάφορος δὲ νῦν ἡ σύνταξις τοῦ, ἐνώτισαι, καὶ τοῦ, μὴ παρασιωπήσῃς.

Ὅρα δὲ, ὅτι οὐχ ἁπλῶς, ἀλλὰ μετὰ δακρύων ἱκέτευεν.

13γ Ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοὶ, καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.

Κάτοικος μέν ἐστιν ὁ μόνιμος οἰκήτωρ, πάροικος δὲ, ὁ πρόσκαιρος, ὁ μετοικιζόμενος, κελεύοντος τοῦ τῆς γῆς δεσπότου.

Πρὸς μὲν οὖν τοὺς ἀνθρώπους, κάτοικός εἰμι, φησὶν, ἀντεχόμενος τῆς ἐμῆς γῆς ὡς ἰδίας. Παρὰ σοὶ δὲ, τουτέστι, πρὸς σὲ, πάροικος· σοῦ γὰρ κελεύσαντος τοῦ
Κυρίου τῆς γῆς, μετοικίζομαι πρὸς ἕτερον κόσμον. Ps 23.1β

Καὶ ὁ παρεπίδημος δὲ, πρὸς ὀλίγον τισὶν ἐπιδημήσας, αὖθις ἄπεισιν ὅθεν ἦλθε. Τοῦτο δὲ ποιεῖ πᾶς ἄνθρωπος, πρὸς καιρὸν βιώσας, εἶτα θανὼν καὶ ἀναλυθεὶς εἰς τὰ ἐξ ὧν συνέκειτο. Gen 3.19

14α Ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν.

Φεῖσαί μου, στῆσον τὴν μάστιγα, ἵνα μικρὸν παρηγορηθῶ καὶ ἀποσείσωμαι τὰς θλίψεις πρὸ τοῦ ἀποθανεῖν με.

14β Καὶ οὐκέτι οὐ μὴ ὑπάρξω.

Καὶ ἀπελθὼν ὅπου καὶ οἱ πατέρες μου, οὐκέτι ὑπάρξω, τουτέστιν, οὐκέτι βιώσομαι, ἢ οὐκέτι ὑπάρξω ἐν τῷ παρόντι κόσμῳ. Δυσωπητικὰ δὲ καὶ ἄγαν οἰκτρὰ τὰ ῥήματα. Τὸ δὲ, *οὐ μή*, πρὸς βεβαίωσιν τοῦ λόγου παρείληπται.

39 λθ′

1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.

Οὗτος ὁ ψαλμὸς ἐνηχήθη τῷ Δαυὶδ ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐκ προσώπου τῆς Ἐκκλησίας τῶν Χριστιανῶν, εὐχαριστούσης μὲν ἐφ᾽ οἷς | ἠξιώθη τῆς θείας χάριτος, δεομένης δὲ περὶ τῶν ἐπανισταμένων αὐτῇ τυράννων.

Εἰς τὸ τέλος δὲ ἐπιγέγραπται, διὰ τὸ τὰ γεγραμμένα πρὸς τέλος ἀφορᾶν· γέγονε γὰρ πάντα.

2α Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Ὁ τοιοῦτος διπλασιασμὸς, συνήθης μὲν τοῖς Ἑβραίοις, ἔστι δὲ ἐμφαντικὸς ἐπιτάσεως, ὡς τὸ, *Ἰδὼν εἶδον*, καὶ, *Γινώσκων γνώσῃ*, ἀντὶ τοῦ, ἀκριβῶς εἶδον, Ex 3.7
καὶ ἀκριβῶς γνώσῃ, καὶ τὰ τοιαῦτα. 1Rg 28.1

Ὑπομένων οὖν ὑπέμεινα, ἀντὶ τοῦ, σφόδρα προσεδόκησα βοηθὸν τὸν Χριστόν. Καὶ *αὐτὸς* γὰρ, φησὶ, *προσδοκία ἐθνῶν*· περὶ τούτου γὰρ οἱ προφῆται Gen 49.10
προκατήγγειλαν.

2β Καὶ προσέσχε μοι.

Καὶ ἐπιμελῶς ἅμα καὶ εὐμενῶς εἶδέ με, ταλαιπωρουμένην ὑπὸ τῆς πλάνης τῶν εἰδώλων.

2γ Καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Τῆς ὑπὲρ ἐμοῦ δεήσεως· ἐδέοντο γὰρ ὑπὲρ αὐτῆς οἱ προφῆται.

3α Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος.

Τοὺς μεγίστους κινδύνους, τοιούτοις οἱ παλαιοὶ ὀνόμασιν ἀπεσήμαινον.

Λέγοιτο δ᾽ ἂν λάκκος μὲν ταλαιπωρίας, ὁ βόθρος τῆς πλάνης, ὑφ᾽ ἧς ἐταλαιπώρει κατὰ ψυχήν· πηλὸς δὲ ἰλύος, ἤτοι ἰλυώδης καὶ δυσώδης, ἡ σύστασις τῶν ἐμπαθειῶν, ἡ φθοροποιὸς καὶ ἐφεκτικὴ τῆς ἐμπιπτούσης αὐτῇ ψυχῆς.

3β Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Ἐπὶ πέτραν καὶ ἀσφάλειαν πίστεως.

3γ Καὶ κατεύθυνε τὰ διαβήματά μου.

Καὶ ὑποδείξας μοι τὴν ὁδὸν τῆς σωτηρίας διὰ τῶν εὐαγγελικῶν ἐντολῶν, ἐξῆρε πᾶν σκῶλον, καὶ ἀπηύθυνε τὴν πορείαν μου, ὡς μηκέτι σκολιῶς καὶ πεπλανημένως βαίνειν με.

4α Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν.

Τὰς ᾠδὰς ἃς οἱ Χριστιανοὶ συνέθηκαν ἐπὶ καινοῖς τοῦ Σωτῆρος κατορθώμασιν.

Ἢ τὴν εὐχὴν τοῦ, *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς*, ἣν ὁ Χριστὸς ὑφηγήσατο. Mt 6.9

4β Ὕμνον τῷ Θεῷ ἡμῶν.

Τοῦτο, τοῦ ᾄσματος ἐπεξήγησις.

4γ Ὄψονται πολλοί.

Φῶς ἐπιγνώσεως, τυφλοὶ πρὸς τὴν ἀλήθειαν πρότερον ὄντες· ἢ ὄψονται τὰ σημεῖα καὶ τέρατα τοῦ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ.

4δ Καὶ φοβηθήσονται.

Τὸν ἐνεργοῦντα τοιαῦτα Χριστόν.

4ε Καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.

Τὸ, *ἐλπιοῦσιν*, ἀντὶ τοῦ, *πιστεύσουσιν*· ἐλπίζει γὰρ ὁ πιστεύων. Ἢ ἐλπιοῦσιν ὅτι σώσει αὐτούς, πεπιστευκότας εἰς αὐτόν. Κύριον δὲ νόει, τὸν Χριστόν.

5α Μακάριος ἀνὴρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ.

3α[2] *ἀπεσήμαινον* MPS : *ἐπεσήμαινον* CBH. 3α[5] *αὐτῇ* MPCBH : *αὐτῷ* SV. 4β[2] *Τοῦτο, τοῦ ᾄσματος ἐπεξήγησις* MSCBF : *Τοῦτο, ἐπεξηγητικόν ἐστι τοῦ καινοῦ ᾄσματος* PV.

Τὸ ὄνομα Κυρίου, ἀντὶ τοῦ, ὁ Κύριος.

Μακαρίζει δὲ τὸν ἐπὶ μόνῳ πεποιθότα Θεῷ, καὶ μὴ ἐφ' ἑτέρῳ πράγματι· καὶ ἀλλαχοῦ γάρ φησι, *Μακάριος ἀνὴρ, ὁ ἐλπίζων ἐπὶ Κύριον.* Ps 83.13

Ἔστι δὲ ἡ τοῦ παρόντος ῥητοῦ σύνταξις οὕτως· Μακάριος ἀνὴρ, οὗ αὐτοῦ ἐστι τὸ ὄνομα Κυρίου ἐλπίς.

Δυνάμεθα δὲ τοῦτο καὶ ἄλλως νοῆσαι, περὶ τῶν Χριστιανῶν, καθ' ὑπερβατὸν συντάττοντες οὕτως· Μακάριος, οὗ ἐστιν ἐλπὶς τὸ ὄνομα τοῦ Κυρίου αὐτοῦ· παντὶ δὲ Χριστιανῷ τὸ ὄνομα τοῦ Χριστοῦ ἐστιν ἐλπὶς καὶ σωτηρία. Καὶ τοῦτο οἱ μάρτυρες ἔδειξαν ἐνώπιον τυράννων, δόξαν καὶ πλοῦτον καὶ ἐλπίδα ἑαυτῶν τὸ τοῦ Χριστιανισμοῦ ὄνομα ὁμολογήσαντες.

5β Καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας.

Καὶ ὁ τοιοῦτος οὐκ ἐσπούδασεν εἰς τὰ μάταια, δηλαδὴ εἰς τὰ δοκοῦντα τοῖς πολλοῖς ἀγαθά.

5γ Καὶ μανίας ψευδεῖς.

Ἀπὸ κοινοῦ πάλιν τὸ, *οὐκ ἐπέβλεψε*· μανίαι δὲ ψευδεῖς, αἱ μαντεῖαι· οἱ γὰρ μάντεις, βακχεύοντες, ἐξίσταντο μὲν τοῦ καθεστηκότος, καὶ παρεφέροντο δίκην μαινομένων· ἐψεύδοντο δὲ περὶ ὧν ἔλεγον. Ἀπὸ δὲ τῆς μαντείας, ὅλην τὴν εἰδωλολατρείαν ᾐνίξατο, ὡς | ἀπὸ μέρους τὸ πᾶν.

6α Πολλὰ ἐποίησας σὺ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου.

Ἐκπλαγεὶς ὁ μέγας Δαυὶδ, τὸ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ παράδοξον μυστήριον, καὶ μὴ δυνηθεὶς ἄξιον λόγον εὑρεῖν, τοῦτο μόνον ἐπεφώνησεν, ὅτι πολλὰ τὰ θαυμάσιά σου ἐποίησας, σὺ Κύριε ὁ Θεός μου· ὃ καὶ ὁ Ἀπόστολος πέπονθε Παῦλος· ὑπερθαυμάσας γὰρ, ἀνεβόησεν, *Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ!* Ro 11.33

Θαυμάσια δὲ λέγει, οὐ μόνον τὰ ἐπὶ Μωυσέως καὶ Ἰησοῦ τοῦ Ναυῆ καὶ Σαμουὴλ, καὶ τὰ τούτων παλαιότερα τερατουργήματα, ἀλλ' ἔτι μᾶλλον, τὰ κατὰ τὴν ἐνανθρώπησιν τοῦ Σωτῆρος, ἃ προϊδὼν ἐν πνεύματι, θεσπεσίως βοᾷ τὸ ῥηθέν.

6β Καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι.

Καὶ οὐκ ἔστιν ὅστις ὁμοιωθήσεταί σοι ἐν τοῖς διαλογισμοῖς σου, λέγω δὴ, τοῖς περὶ τῆς προνοίας καὶ σωτηρίας τῶν ἀνθρώπων. Ἰδοὺ γὰρ οἷον πρᾶγμα διελογίσω, γενέσθαι ἄνθρωπος διὰ τὸν ἄνθρωπον.

6γ Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.

Ἀπήγγειλα, φησὶ, καὶ ἐδίδαξα περὶ πολλῶν θαυμασίων σου ἐν πολλοῖς ψαλμοῖς, ἀλλ' ἐπληθύνθησαν ἔτι καὶ ἐφάνησαν ἀναρίθμητα, μὴ δυνάμενα ὑποπεσεῖν ἀριθμῷ· ἃ γὰρ νῦν ἔγνων, ἀπερίληπτά εἰσι διὰ τὸ μεγαλεῖον τῆς φύσεως αὐτῶν.

Ἢ καὶ ἄλλως, μηδὲν ἕτερον εἰπεῖν δυνάμενος, ἀπήγγειλα καὶ ἐλάλησα νῦν τοῦτο μόνον περὶ αὐτῶν, ὅτι ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.

7α *Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας· σῶμα δὲ κατηρτίσω μοι.*

Τὰ ἐντεῦθεν ἐκ προσώπου τοῦ Χριστοῦ ῥηθῆναι Παῦλος ὁ Ἀπόστολος ἐδίδαξεν
ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ. Φησὶ γὰρ ὁ Υἱὸς καὶ Θεὸς πρὸς τὸν Πατέρα, Heb 10.5
μετὰ τὴν ἐνανθρώπησιν, ὅτι τοῦ λοιποῦ ἀπεδοκίμασας τὴν νομικὴν θυσίαν καὶ τὴν ἐκεῖθεν προσφοράν. Σῶμα δὲ κατεσκεύασάς μοι ἐκ παρθενικῶν αἱμάτων, εἰς τὸ θυσιασθῆναι τοῦτο ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων.

7β *Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας.*

Ἐν τῇ βίβλῳ τοῦ Λευϊτικοῦ καὶ τοῦ Δευτερονομίου σαφῶς εὑρήσεις, τίνα μὲν Lev 1-7
τὰ ὁλοκαυτώματα, τίνα δὲ τὰ περὶ ἁμαρτίας θύματα, καὶ ἁπλῶς, διαφορὰς τῶν Dt 12-16
θυσιῶν καὶ προσφορῶν.

Τέως δ' οὖν φησιν, ὅτι ἐμοῦ σαρκωθέντος, τοῦ λογικοῦ καὶ ἀληθινοῦ θύματος,
τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, οὐδὲν θῦμα νομικὸν ἐζήτησας. Jn 1.29

8α *Τότε εἶπον, Ἰδοὺ ἥκω.*

Τότε· πότε; Ὅτε τὰ νομικὰ θύματα ἀπηυδόκησας, τότε γὰρ εἶπον αὐτὸς, ὅτι
Πάτερ, ἤγγικεν ἡ ὥρα· δόξασόν σου τὸν Υἱόν· τὸ γὰρ, *ἰδοὺ ἥκω*, ἀντὶ τοῦ, ὡς ὁρᾷς Jn 17.1
ἡτοίμασμαι.

8β *Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ.*

Οἱ Ἑβραῖοι, βιβλία μὲν καλοῦσι τὰ συγγράμματα, κεφαλίδας δὲ, τὰ
εἰλητάρια, ὡς τὸ, *Υἱὲ ἀνθρώπου, φάγε τὴν κεφαλίδα ταύτην*. Εἰληταρίοις γὰρ Ez 3.1
ἐνέγραφον, καὶ οὐ τεύχεσι τετραγώνοις, ὡς ἡμεῖς.

Φησὶν οὖν ὁ Σωτὴρ, ὅτι ἐν εἰληταρίῳ βιβλίου γέγραπται περὶ ἐμοῦ, βιβλίου δὲ, προφητικοῦ δηλαδή· τουτέστι, τὰ περὶ τῆς ἐμῆς ἐνανθρωπήσεως προκατήγγειλαν οἱ προφῆται. Τοῦτο καὶ Ἰουδαίοις ὕστερον ἔλεγεν, ὡς τὸ, *Εἰ ἐπιστεύετε Μωυσῇ,
ἐπιστεύετε ἂν ἐμοί*, καὶ ἄλλα πολλά. Jn 5.46

9α *Τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου, ἠβουλήθην.*

Καὶ ἐπεὶ τὰ περὶ ἐμοῦ προώριστο καὶ | προκατήγγελτο, ποιῆσαι τὸ θέλημά

σου ἠβουλήθην. Περιττὸν γὰρ ἐνταῦθα τὸ, τοῦ.

Θέλημα δὲ τοῦ Πατρὸς, ἡ ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας κατὰ σάρκα σφαγὴ τοῦ Υἱοῦ αὐτοῦ. Περὶ τούτου καὶ αὐτὸς ὕστερον εἶπεν ὁ Χριστὸς, ὅτι *καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα* Jn 6.38
τοῦ πέμψαντός με. Jn 5.30

9β Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.

Τὸ, *ἐν μέσῳ τῆς κοιλίας μου*, ἀντὶ τοῦ, *ἐκ μέσης τῆς κοιλίας μου*, τουτέστιν, ἐκ καρδίας, ὁλοψύχως, πρόθεσις ἀντὶ προθέσεως.

Ἀπὸ κοινοῦ δὲ ληπτέον πάλιν τὸ, *καὶ ἠβουλήθην ποιῆσαι*, ἤτοι πληρῶσαι τὸν νόμον σου, φημὶ δὴ, τὰς ἐντολὰς ἅς μοι δέδωκας, ἐκ καρδίας μου.

10α Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ.

Δικαιοσύνην λέγει, τὸ Εὐαγγέλιον, ὡς δικαιοῦν πάντας τοὺς πιστεύοντας καὶ τηροῦντας τὰς ἐντολὰς αὐτοῦ, ὁποῖοί ποτ' ἂν ὦσιν οὗτοι· καὶ ὅτι ὁ μὲν Μωσαϊκὸς νόμος μόνοις τοῖς Ἰουδαίοις ἐδόθη, τὸ δὲ Εὐαγγέλιον, ἅπασι τοῖς ἔθνεσι. Δίκαιον δὲ, τὸ μὴ τόνδε καὶ τόνδε μόνον, ἀλλὰ πάντας ἐπίσης εἰς σωτηρίαν καλεῖν.

Ἐκκλησίαν δὲ μεγάλην φησὶ, τὰς πολυανθρώπους συναγωγὰς τῶν Ἰουδαίων, ἐν αἷς ἐπαῤῥησιάζετο.

10β Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε, σὺ ἔγνως.

Ὡς ὁρᾷς, οὐ μὴ κωλύσω τὰ χείλη μου λέγειν τὰ σωτήρια. Ὅμως σὺ ἔγνως, ὅτι οὐ μὴ κωλύσω αὐτὰ, εἰδώς με, ὡς κἀγὼ, σέ. Jn 10.15

11α Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου.

Περὶ τοῦ Εὐαγγελίου πάλιν φησὶν, ὅτι οὐκ ἐσίγησα τὰ κατ' αὐτὸ, ἀλλ' ἀνεκάλυψα ταῦτα πᾶσι.

11β Τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα.

Τὸ Εὐαγγέλιον αὖθις οὕτως ὀνομάζει· οὐ μόνον γὰρ δικαιοσύνης ἐστὶ μεστὸν, ἀλλὰ καὶ ἀληθείας, *Ἐγὼ γὰρ*, φησὶ, *τὴν ἀλήθειαν λέγω ὑμῖν*· καὶ οὐ ταῦτα μόνον, Jn 16.7
ἀλλὰ καὶ σωτηρίαν τοῖς πιστεύουσιν ἐπαγγέλλεται.

11γ Οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.

Περὶ τοῦ Εὐαγγελίου καὶ ταῦτα· ἔλεος γάρ ἐστιν, ὡς δεδομένον ἡμῖν διὰ τὴν

εἰς ἡμᾶς ἐλεημοσύνην τοῦ Θεοῦ, μὴ ἀνασχομένου τυραννεῖσθαι πλέον τὸ οἰκεῖον πλάσμα, καὶ μηδὲ τοῦ μονογενοῦς Υἱοῦ φεισαμένου διὰ τὴν σωτηρίαν ἡμῶν. Ro 8.32
Οὕτω διαφόροις ὀνόμασι τὸ Εὐαγγέλιον ἐκάλεσε διὰ τὴν ποικίλην χάριν αὐτοῦ.

12α Σὺ δὲ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ.

Τὰ ἐντεῦθεν ἀπὸ προσώπου πάλιν εἴρηται τῆς Ἐκκλησίας τῶν πιστῶν, ἱκετευούσης μετὰ τὴν σφραγῖδα τῆς χάριτος μὴ ἐγκαταλειφθῆναι, προκειμένων αὐτῇ κινδύνων πολλῶν ἐξ ἀνθρώπων καὶ δαιμόνων.

12β Τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ παντὸς ἀντιλάβοιντό μου.

Ἡ ἀλήθειά σου, τουτέστιν, ἡ ἀληθὴς ὑπόσχεσις· ἔφης γὰρ, *Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας.* Mt 28.20

Τινὰ δὲ τῶν ἀντιγράφων, *ἀντελάβοντο* γράφουσι, καὶ νοεῖται ὅτι ἄχρι τοῦ νῦν ἀντελάβοντο· ἄμεινον δὲ τὸ, *ἀντιλάβοιντο.*

13α Ὅτι περιέσχον με κακὰ, ὧν οὐκ ἔστιν ἀριθμός.

Προβλέπω γὰρ, φησὶ, τὰς ποικίλας ἐπιβουλὰς, καὶ ἤδη ταύταις περικεκύκλωμαι.

13β Κατέλαβόν με αἱ ἀνομίαι μου.

Ὅρα ὅπως ὑπὸ τῆς ἄγαν μετριοφροσύνης οἱ δίκαιοι ταῖς ἑαυτῶν ἁμαρτίαις ἐπιγράφουσιν ἀεὶ τοὺς οἱουσδήποτε πειρασμούς. Οὕτω καὶ οἱ Τρεῖς Παῖδες ἐν τῇ
καμίνῳ συμφώνως ἔλεγον, | *Ἡμάρτομεν, ἠνομήσαμεν,* καὶ τὰ ἑξῆς, καίτοι διὰ Da 3.29
Θεὸν πάσχοντες.

13γ Καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν.

Σκοτίζουσι μὲν οἱ πειρασμοὶ τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς, ὡς μὴ δύνασθαι ὁρᾶν τὰ συμφέροντα· λύει δὲ τὴν ἐντεῦθεν ἀχλὺν τὸ φῶς τῆς ἐκ Θεοῦ παρακλήσεως. Περιττὸν δὲ κἀνταῦθα τὸ, τοῦ.

13δ Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου.

Εἰσὶ μὲν καὶ μετριοφροσύνης τὰ τοιαῦτα ῥήματα. Οὐκ ἀπεικὸς δὲ καί τινας ἀναμεμεῖχθαι τοῖς πιστοῖς, ἀμελῶς βιοῦντας, ὧν τὰς ἁμαρτίας οἰκειοῦνται οἱ δίκαιοι, διὰ τὴν ἑνότητα καὶ κοινωνίαν τῆς πίστεως.

11γ[1] τυραννεῖσθαι πλέον MSCBF : ἐπὶ πλέον τυραννεῖσθαι PV. 12α[3] ἐγκαταλειφθῆναι MSCV : ἐγκαταλελεῖφθαι H.
13α[2] προβλέπω MSCBF : περιβλέπω PHV(L). 13β[3] πειρασμούς MSCBF : κινδύνους καὶ πειρασμούς PV.
13γ[1] ἠδυνήθην PCBHV[TRa] : ἐδυνήθην MSF.

13ε Καὶ ἡ καρδία μου ἐγκατέλιπέ με.

Τῷ δοκεῖν, ἀπέβαλον καὶ τὴν καρδίαν μου, οἷα μὴ ῥωννύμενος εἰς εὐτολμίαν· ἡ καρδία γὰρ θαῤῥύνει καὶ διεγείρει.

14α Εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με.

Θέλησον εἰς τὸ ἐξελέσθαι με τούτων.

14β Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες.

Πρόσχες, ἀντὶ τοῦ, ἐπιμελῶς ἴδε.

15α Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν.

Ἅμα καὶ ἄμφω ταυτὶ παθέτωσαν· καταισχυνθείησαν μὲν, ὡς ἡττηθέντες τῆς ἡμετέρας ὑπομονῆς· ἐντραπείησαν δὲ, ὡς ὁρῶντες τὴν περὶ ἡμᾶς ἄμαχόν σου δύναμιν οἱ ζητοῦντες τὴν ψυχήν μου ἐπὶ τῷ ἐξαγαγεῖν αὐτὴν διὰ τιμωρίας παντοδαπῆς. Ἢ τὸ, ἅμα, ἀντὶ τοῦ, ὁμοῦ πάντες.

15β Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν οἱ θέλοντές μοι κακά.

Ἀποστραφείησαν ἄπρακτοι, μὴ περιγενόμενοι τῆς ἐμῆς ἐνστάσεως, καὶ διὰ τοῦτο καταισχυνθείησαν. Ποικίλλει δὲ τὴν ἀρὰν, εἰς ἔμφασιν τῆς ἐν τῇ ψυχῇ ὀδύνης.

16 Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι· Εὖγε εὖγε.

Περὶ τοῦ, Εὖγε, εὖγε, προειρήκαμεν ὅτι ἐπιτωθαστικόν ἐστιν ἐπίῤῥημα. Ps 34.21β

17α Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, Κύριε.

Τὸ ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν, εἰ μὲν βούλῃ, ταὐτοσήμαντα νόμισον· εἰ δ' οὖν, ἔχεις καὶ τὴν τούτων διαφορὰν ἐν τῷ τρίτῳ στίχῳ τοῦ θ´ ψαλμοῦ. Ps 9.3α

Ἐπὶ σοὶ δὲ, ἀντὶ τοῦ, ἐπὶ τῇ εἰς σὲ πίστει.

17β Καὶ εἰπάτωσαν διὰ παντὸς, Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Οἱ ἀγαπῶντες τὴν σωτηρίαν, τὴν ἀπὸ σοῦ. Ἢ σωτήριον αὐτοῦ λέγει, τὴν

13ε[2] ῥωννύμενος MPHF : ῥωννυόμενος SCBV.

ἐνανθρώπησιν αὐτοῦ· σωτήριος γὰρ αὕτη τοῖς ἀπολωλόσιν ἐγένετο. Εἰπάτωσαν δὲ οὕτως, οἷα τῆς παρὰ σοῦ ἐπικουρίας τυγχάνοντες. Μεγαλυνθήτω δὲ, ἀντὶ τοῦ, μέγας νομισθήτω.

18α Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης.

Τοῦτο, προσώπῳ τοῦ καθ' ἕκαστον πιστοῦ. Πτωχὸς γὰρ, ὡς πάντα διὰ Χριστὸν προέμενος, καὶ πένης, ὡς αὐτουργὸς τῶν ἀναγκαίων· τὸ μὲν, ἀπὸ τοῦ ἐκπεσεῖν ὧν εἶχε, τὸ δὲ, ἀπὸ τοῦ πένειν, ἤτοι ἐνεργεῖν καὶ πονεῖν.

18β Κύριος φροντιεῖ μου.

Ἐπὶ τοῦτον γὰρ καὶ μόνον κατέφυγον, καὶ οὐ περιόψεταί με, τὸν ἐλπίζοντα ἐπ' αὐτόν.

18γ Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σὺ, ὁ Θεός μου· μὴ χρονίσῃς.

Ὁ Θεός μου, μὴ βραδύνῃς εἰς τὸ βοηθῆσαι ἡμῖν.

Ἐγὼ δὲ βαθύτερόν τι κατανενόηκα. Τὸ γὰρ, *Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης*, τῷ μακαρίῳ προσαρμόζων Δαυὶδ, εὑρίσκω ὅτι προϊδὼν τὸν ἐκχυθησόμενον πλοῦτον τῆς χάριτος εἰς τοὺς Χριστιανοὺς, ἐπεθύμησεν αὐτοῦ, καὶ οἷα μακρὰν ὢν τῶν ἡμερῶν τούτων, ἠθύμησε, καὶ ὑποταλανίζων ἑαυτὸν εἶπεν, ὅτι *Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης*, μὴ τυχὼν τοῦ τοιούτου πλούτου. Ὅμως, ὁ Θεὸς φροντιεῖ μου, ὥστε κοινωνῆσαι | κἀμὲ τῆς ἐσύστερον δόξης τῶν πιστῶν ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ. Φησὶ γὰρ καὶ ὁ Χριστὸς, ὅτι καὶ Δαυὶδ ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν τὴν ἐμήν· διὸ Mt 13.7
καὶ μὴ βραδῦναι πρὸς τὸ ἐνανθρωπῆσαι παρακαλεῖ τὸν Υἱὸν τοῦ Πατρός.

40 μ´

1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.

Εἰς τὸ τέλος ἐπιγέγραπται, ὡς περιέχων προφητείαν εἰς τέλος ἐπειγομένην· προαγορεύει γὰρ περὶ τῆς ἀποστασίας Ἰούδα.

Καὶ φανερὰ μὲν ὑπόθεσις τῷ παρόντι ψαλμῷ, ἡ φιλοπτωχία. Ἀναφέρεται δὲ μυστικώτερον οὗτος εἰς Χριστὸν, τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν πτωχεύσαντα, 2Cor 8.9
ὡς αὐτὸς ἐδίδαξεν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ. Εἴρηκε γὰρ οὕτως πρὸς τοὺς ἀποστόλους· *Οὐ περὶ πάντων ὑμῶν λέγω· οἶδα οὓς ἐξελεξάμην· ἀλλ' ἵνα ἡ Γραφὴ* Jn 13.18
πληρωθῇ· Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ.

Ἄλλη δὲ οὐχ εὑρίσκεται Γραφὴ τοῦτο λέγουσα, εἰ μὴ μόνον ἡ τοῦ παρόντος ψαλμοῦ· φησὶ γὰρ, *Ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.* Ps 40.10

2α Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα.

18α[2-3] διὰ Χριστόν MSCBF : om. PV. 18α[4] πένειν MPSCFH : πένεσθαι V.

Ὁ συνιὼν, ἀντὶ τοῦ, ὁ φρονῶν τὸ δέον· σύνεσις γὰρ, τὸ φρονεῖν εὖ.

Πτωχὸν δὲ καὶ πένητα ἀδιαφόρως εἴωθε καλεῖν τὸν ἄπορον. Οἱ δὲ παλαιοὶ, πτωχὸν μὲν ἔλεγον τὸν ἐπαίτην, ἐκ τοῦ κατεπτηχέναι· πένητα δὲ, τὸν πόνῳ χειρῶν τὴν ἐφήμερον τροφὴν ποριζόμενον.

Μακάριος τοίνυν ὁ τοιοῦτος, ὡς χρεωφειλέτην ἔχων τὸν Θεόν. Φησὶ γὰρ διὰ μὲν Σολομῶντος, ὅτι *ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ*· δι' οἰκείας δὲ γλώττης, ὅτι *ἐφ'* Prov 19.17
ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Mt 25.40

Οὕτω μὲν, περὶ τῶν ἁπλῶς πενήτων· βαθύτερον δὲ, καὶ περὶ Χριστοῦ ῥηθείη ἂν, ὅτι μακάριος ὁ φρονῶν, ὅτι Θεός ἐστιν οὗτος, ὁ ἐν ἀπορίᾳ περιερχόμενος, καὶ *μὴ ἔχων ποῦ κλίνῃ τὴν κεφαλὴν* εἰς ἀνάπαυσιν· συνήσει δὲ τοῦτο, ἀφ' ὧν ὁ Mt 8.20
Χριστὸς ποιεῖ καὶ διδάσκει.

2β Ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.

Διδάσκει τὸ κέρδος τῆς τοιαύτης συνέσεως. Ποία δέ ἐστιν ἡμέρα πονηρὰ, προειρήκαμεν ἐν τῷ λϛ´ ψαλμῷ, τὸ *Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ* Ps 36.19α
διερμηνεύοντες. Ταὐτὸν γὰρ εἰπεῖν καιρὸν πονηρὸν, καὶ ἡμέραν πονηράν.

3α Κύριος διαφυλάξαι αὐτόν.

Ἐπεύχεται τῷ τοιούτῳ ὁ προφήτης ὡς ἀγαθῷ.

3β Καὶ ζῆσαι αὐτόν.

Καὶ ζωοποιῆσαι.

3γ Καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ.

Καὶ μακάριον ἀναδεῖξαι καὶ ζηλωτὸν, οὐκ ἐν τῇ παρούσῃ γῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῆς βασιλείας τῶν οὐρανῶν.

3δ Καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ.

Μήτε ὁρατῶν, μήτε ἀοράτων.

4α Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ.

Ἐπὶ κλίνης ὀδύνης, ἤτοι τῆς ὑποδεχομένης αὐτὸν ὀδυνώμενον ἐν νόσῳ.

Ἀκύλας δὲ καὶ Θεοδοτίων, οὐ τὸ εὐκτικὸν εἶδος, ἀλλὰ τὸ τοῦ μέλλοντος ἐπὶ τῶν ῥηθέντων ἐκδεδώκασιν, οἷον διαφυλάξει καὶ ζήσει, καὶ τὰ τοιαῦτα, ὡς ἀντιμισθίαν ἅπαντα ταῦτα κρίναντες.

4β Ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ.

Κοίτην μὲν λέγει, τὴν κατάκλισιν· ἔστρεψας δὲ, ἀντὶ τοῦ, ἤλλαξας. Τοῦ τοιούτου γοῦν, φησὶ, τὴν κατάκλισιν, ἐν καιρῷ ἀῤῥωστίας ἤλλαξας, ἀπὸ νοσερᾶς εἰς ὑγιεινήν· ὅλην δὲ, ἀντὶ τοῦ, παντελῶς.

Ἔστρεψας δὲ, ἀντὶ τοῦ, στρέψεις· ἢ στοχαστικῶς, μᾶλλον δὲ προφητικῶς, ὡς γεγονὸς εἶπε τὸ γενησόμενον.

5α Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με.

Τὰ ἐντεῦθεν πάντα, προσώπῳ τοῦ Χριστοῦ λέγονται· παρακαλεῖ δὲ τὸν Θεὸν ὡς ἄνθρωπος, δεικνύων | ὅτι πᾶς ἄνθρωπος δεῖται τοῦ ἐλέους Θεοῦ.

5β Ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Καὶ μὴν ἁμαρτίαν, φησὶν, *οὐκ ἐποίησεν*· ἀλλ᾽ ἐπεὶ δι᾽ ἡμᾶς γέγονε καθ᾽ ἡμᾶς, 1Pt 2.22
οἰκειοποιεῖται τῶν οἰκείων καὶ τὰ πάθη καὶ τὰς φωνάς· καὶ ὅπερ ὀφείλει βοᾶν ἡ ἁμαρτήσασα φύσις ἡμῶν, τοῦτο βοᾷ πρὸ ταύτης, ὑπὲρ ταύτης, αὐτὸς, οἷα τῆς αὐτῆς καὶ αὐτὸς ὢν, εἰ καὶ χωρὶς ἁμαρτίας.

Ὥσπερ δὲ τὸ θυόμενον ὑπὲρ ἁμαρτίας κατὰ τὸν νόμον, εἰς ἑαυτὸ τὴν ἁμαρτίαν Lev 4.1-12
ἀνεδέχετο, καὶ συγκατέκαιε ταύτην ἑαυτῷ· οὕτω καὶ οὗτος, θυόμενος ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, εἰς ἑαυτὸν ταύτας ἀνεδέξατο, καὶ ὡς αὐτὸς ἁμαρτήσας, οὕτω καὶ ἐδεῖτο, καὶ ἔθνησκε διὰ φιλανθρωπίας ὑπερβολήν.

6α Οἱ ἐχθροί μου εἶπον κακά μοι.

Ἐχθροὶ τοῦ Χριστοῦ, οἱ Ἰουδαῖοι, οἵτινες τῷ φθόνῳ διαπριόμενοι, εἶπον κακά· νοεῖται δὲ τὸ, ῥήματα· κακὰ δὲ, ἀντὶ τοῦ, πονηρά μοι.

Τίνα δὲ εἶπον, ἄκουσον διὰ τῶν ἑξῆς.

6β Πότε ἀποθανεῖται;

Βαρὺς γὰρ, φησὶν, ἡμῖν ἐστι καὶ βλεπόμενος.

6γ Καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;

Ἑώρων γὰρ αὐτὸ πολλῆς πεπληρωμένον δυνάμεως, καὶ πᾶσαν νόσον καὶ
πᾶσαν μαλακίαν ἰώμενον, καὶ ᾤοντο θανάτῳ ποτὲ σβεσθῆναι. Mt 4.23

7α Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν.

5α[3] ἐλέους Θεοῦ MPSBF : ἐλέους τοῦ Θεοῦ CV.

Ὁ προδότης Ἰούδας οἷα συνήθης, ἀκωλύτως, φησὶν, εἰσεπορεύετο, ἔνθα κατηγόμην, ἐπὶ τῷ ἰδεῖν, εἰ ἔστιν εὐκαιρία, ἵνα με παραδῷ.

7β Ματην ἐλάλει ἡ καρδία αὐτοῦ.

Μάτην ἐλάλει αὐτὴ καθ' ἑαυτὴν τὰ περὶ τῆς προδοσίας, ὅτε οὗτος εἰσεπορεύετο τοῦ ἰδεῖν, ἤτοι μάτην ἐσπούδαζε λαθεῖν με· ἐγίνωσκον γὰρ, οἷα καρδιογνώστης, ὅσα βούλεται καὶ βουλεύεται.

7γ Συνήγαγεν ἀνομίαν ἑαυτῷ.

Οὐδὲν ἕτερον ἐποίησε, ταῦτα λογισάμενος, ὁ ἄθλιος, ἢ μόνον ἐθησαύρισεν ἑαυτῷ ἀνομίαν, ὡς ἐπιβεβουλευκὼς τῷ διδασκάλῳ καὶ Σωτῆρι.
Τινὲς δὲ, μετὰ τὸ, μάτην ἐλάλει, στίζουσι τελείαν, ἵν' ᾖ, ὅτι μάτην ἐλάλει μοι εἰρηνικῶς, ἐχθρὰ βουλευόμενος· ἄμεινον δὲ τὸ πρῶτον.

7δ Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτό.

Λαβὼν γὰρ, φησὶ, τὸ ψωμίον ἐκεῖνος, εὐθέως ἐξῆλθε. Jn 13.30
Τὸ δὲ, *ἐπὶ τὸ αὐτὸ*, ἀντὶ τοῦ, ὁμοῦ αὐτοῖς τοῖς ἐχθροῖς μου· συνελάλει γὰρ αὐτοῖς περὶ τῆς προδοσίας· *Τί μοι θέλετε δοῦναι;* καὶ τὰ ἑξῆς. Mt 26.15
Πάντα γὰρ ταῦτα σαφῶς ἱστοροῦσιν οἱ εὐαγγελισταὶ γενόμενα.

8α Κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου.

Ἐψιθύριζον ἀλλήλοις εἰς τὸ οὖς τὰ τῆς ἐπιβουλῆς, φοβούμενοι τὸν ὄχλον. Mk 12.12

8β Κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι.

Κατ' ἐμοῦ ἐμελέτων θανατηφόρα μοι. Συμβούλιον γὰρ, φησὶν, ἔλαβον *κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν.* Mt 27.1

9α Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ.

Κατέθεντο, ἀντὶ τοῦ, ἀπεκρίθησαν· ἐρωτηθέντες γὰρ ὑπὸ Πιλάτου, *Τί ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; ἀπεκρίθησαν, Σταυρωθήτω.* Mt 27.22
Παράνομος δὲ ὁ λόγος· οὐ γὰρ ἐξῆν παραδοῦναι τὸν ἀθῷον εἰς θάνατον. Τοῦτο δὲ αὐτοῖς ὠνείδισε καὶ ὁ Πιλᾶτος, πολλάκις εἰπὼν, ὅτι οὐδὲν αἴτιον θανάτου εὗρον Jn 18.38
ἐν αὐτῷ, καὶ ὅτι ὑμεῖς ὄψεσθε. Mt 27.24
Ἢ τὸ, *κατέθεντο*, ἀντὶ τοῦ, συνεσκεύασαν· εἶπον γὰρ, ὅτι ἀνασείει τὸν ὄχλον κατὰ τοῦ Καίσαρος. Lk 23.5

Παράνομος δὲ καὶ οὗτος ὁ λόγος· οὐ γὰρ ἐξῆν ψευδῶς καταμαρτυρεῖν. Ex 20.16

9β Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;

Κατ' ἐρώτησιν τοῦτό φησιν, ὡς Θεὸς, ὅτι ἆρα ὁ κοιμώμενος οὐ θελήσει ἀναστῆναι; | Τὸ, *προσέθηκε*, γὰρ, ἐπὶ τοῦ, *ἠθέλησε*, πολλάκις οἱ Ἑβραῖοι λαμβάνουσιν. Ps 76.8

Εἰ δὲ ὁ κοιμώμενος ἀναστήσεται, κἀγὼ σαρκὶ θανὼν, ἀναστήσομαι θᾶττον· ὁ γὰρ ἐμὸς θάνατος, ὕπνῳ ἔοικεν. Ὡς γὰρ αὐτεξουσίως ὑπνοῖ τις, οὕτως αὐτεξουσίως ἀποθανοῦμαι κἀγώ.

10 Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.

Ὁ σύνδεσμος ὁ *γάρ*, περιττὸς κἀνταῦθα· ἔστι δὲ τοιοῦτος ὁ νοῦς, ὅτι καὶ ὁ ἐμὸς, κατ' ἐμοῦ γέγονεν. Ἄνθρωπον δὲ εἰρήνης, τὸν εἰρηνικὸν Ἑβραῖοι καλοῦσι. Ps 5.13β Φησὶν οὖν, ὅτι καὶ ὁ εἰρηνικός μου, τουτέστιν, ὁ φίλος μου, λέγει δὲ τὸν Ἰούδαν, ἐφ' ᾧ ἐθάῤῥησα ὡς ἐμῷ, ὃν ἐγὼ μετὰ τῶν ἄλλων μαθητῶν ἔτρεφον, ἐμεγάλυνεν, ἤγουν ἐκραταίωσε κατ' ἐμοῦ δόλον. Πτερνισμὸς γὰρ, ὁ δόλος, ἐκ μεταφορᾶς τοῦ ὑποσκελίζοντος ἐν πτέρνῃ τὸν τρέχοντα. Ἐκραταίωσε δὲ τοῦτον, διὰ τῆς πρὸς τοὺς ἀρχιερεῖς καὶ Γραμματεῖς συμφωνίας.

11 Σὺ δὲ, Κύριε, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.

Τὸ μὲν, *ἐλέησον καὶ ἀνάστησον*, ἀνθρωπρεπές· ἄνθρωπος γὰρ γεγονὼς, οὐ παρῃτεῖτο τὴν εἰς Θεὸν ἱκεσίαν, ὃ τῆς φύσεως ἴδιον· προσηύξατο γὰρ πολλάκις. Τὸ δὲ, *ἀνταποδώσω*, θεοπρεπές· ἀνταπέδωκε δὲ αὐτοῖς, παραδοὺς Ῥωμαίοις.

12 Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ.

Τεθέληκας, ἀντὶ τοῦ, ἠγάπησας· ὃ γάρ τις ἀγαπᾷ, τοῦτο καὶ θέλει. Ἐν τούτῳ, φησὶν, ἔγνων ὅτι ἠγάπησάς με, ἐν τῷ μὴ ἐπιχαρῆναι τὸν ἐχθρόν μου ἐπ' ἐμὲ, τουτέστιν, ἐν τῷ ἀναζῆσαί με, καὶ ἐν τῷ κηρυχθῆναι τὸ ὄνομά μου εἰς ὅλην τὴν οἰκουμένην, ὃ λύπη ἐστὶν αὐτῷ. Ἐκεῖνος γὰρ τοῦτο ζητεῖ, τὸ ἀποθανεῖν με καὶ ἀπολέσθαι τὸ ὄνομά μου. Ps 40.6β-γ

Ἐχθρὸν δὲ νοήσεις, καὶ τὸν διάβολον καὶ τὸν Ἰουδαῖον.

13α Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου.

Καὶ ταῦτα, ὡς ἀπὸ τοῦ προσλήμματος· ἀκακίαν δὲ λέγει, τὴν καθαρότητα· *ἀνομίαν γὰρ*, φησὶν, *οὐκ ἐποίησε*. Isa 53.9

12[7] Ἰουδαῖον MPSCBF : Ἰούδαν HVL.

13β Καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.

Καὶ ἵδρυσάς με παρὰ σεαυτῷ· Κάθου γὰρ, φησὶν, ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ps 109.1

14 Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα· γένοιτο γένοιτο.

Προαγορεύσας ὁ Δαυὶδ τὰ ῥηθέντα, καὶ τὴν ἄῤῥητον συγκατάβασιν καὶ φιλανθρωπίαν τοῦ Σωτῆρος ἀποθαυμάσας, ὕμνον αὐτῷ σχεδιάζει, λέγων, εὐφημητέος ὁ Θεὸς τοῦ κυρίως Ἰσραὴλ, ὅ ἐστι, τῶν πιστῶν, ὡς ἐν τῷ κα′ ψαλμῷ προέφημεν, ἑρμηνεύοντες τὸ, *Φοβηθήτω δὴ ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραὴλ,* Ps 21.24
ἀπὸ δὲ τοῦ νῦν αἰῶνος, καὶ ἄχρι τοῦ μέλλοντος.

Εἶτα καὶ ἐπεύχεται, ταχῦναι τοῦ Δεσπότου τὴν ἐνανθρώπησιν, ἐν τῷ εἰπεῖν, *Γένοιτο, γένοιτο·* νοεῖται δὲ τὸ, τὰ ῥηθέντα· ἐπίτασιν δὲ εὐχῆς ὁ διπλασιασμὸς τοῦ *γένοιτο* παριστᾷ. Ps 71.19β

41 μα′

1 Εἰς τὸ τέλος· εἰς σύνεσιν· τοῖς υἱοῖς Κορέ.

Περὶ μὲν τῶν υἱῶν Κορὲ, προειρήκαμεν ἐν τῷ προοιμίῳ τῆς παρούσης βίβλου. § 49

Εἰς τὸ τέλος δὲ ἐπιγέγραπται, διὰ τὰς ἐν τούτῳ προφητείας, εἰς τέλος ἐπειγομένας.

Ἐπεὶ γὰρ ἔμελλον Ἑβραῖοι χρόνοις ὕστερον παρὰ Βαβυλωνίων αἰχμαλωτισθῆναι διὰ τὰς ἀνομίας αὐτῶν καὶ διαγαγεῖν | ἑβδομήκοντα ἔτη ἐν Βαβυλῶνι, κινηθεὶς ὑπὸ τοῦ διορατικοῦ πνεύματος ὁ Δαυὶδ, ἀνέλαβε πρόσωπον ἑκάστου τῶν εὐσεβεστέρων ἐν τοῖς αἰχμαλώτοις, οἷον τοῦ Δανιὴλ, τοῦ Ἰεζεκιὴλ, τῶν Τριῶν Παίδων, καὶ τῶν τοιούτων, καὶ τὰ προκείμενα διέξεισι.

Τὸ δὲ, *εἰς σύνεσιν,* πρόσκειται, διδάσκον, ὅτι συνετισθεὶς ἕκαστος αὐτῶν, ταῦτα ἐβόα πρὸς τὸν Θεόν· ἢ ὅτι χρεία συνέσεως τοῖς ἀναγινώσκουσι ταῦτα.

2 Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός.

Τὸ σφοδρὸν τῆς ἐπιθυμίας παραστῆσαι βουλόμενος, παράδειγμα τὴν διψητικωτάτην ἔλαφον ἔλαβεν. Αὕτη γὰρ φύσει οὖσα θερμὴ, καὶ μᾶλλον ἐκκαιομένη ταῖς σαρξὶ τῶν ὄφεων οὓς ἀεὶ λαφύσσει, σφοδρὸν ἔχει τῶν πηγῶν ἔρωτα. Ps 28.9α

Τὸ δὲ, *ἐπιποθεῖ,* σημαίνει τὸ σπεύδει, καὶ ἐπείγεται, κατὰ τὸν Ἀκύλαν.

Πρὸς σὲ δὲ, δηλονότι τὸν κατοικοῦντα ἐν Ἰερουσαλήμ· ἐν Βαβυλῶνι γὰρ, οὐκ ᾤοντο ἐντυχεῖν τῷ Θεῷ, διὰ τὴν τῆς χώρας εἰδωλολατρείαν.

1[10] πρόσκειται MPSBF : πρόκειται CV. 2[5] τῶν πηγῶν MPSCBF : τὸν τῶν πηγῶν H : τῶν πηγῶν τὸν V.

3α *Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα.*

Ἐδίψησεν, ἀντὶ τοῦ, ἐπιθυμητικῶς ἔσχε· τὸ γὰρ διακαὲς τῆς ἐπιθυμίας ἡ λέξις ἐμφαίνει· ἰσχυρὸν δὲ καὶ ζῶντα λέγει τὸν Θεὸν, διὰ τοὺς ἀσθενεῖς καὶ νεκροὺς θεοὺς τῶν Βαβυλωνίων.

Τινὲς δέ φασιν ἐντεῦθεν πεποιῆσθαι τὸν ὕμνον τοῦ Τρισαγίου. PG103.772B

3β *Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;*

Ἐπιθυμοῦντος ὁ λόγος· πότε, φησὶν, ἥξω πρὸς σὲ, ὦ Ἰερουσαλὴμ, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; τουτέστι, τῷ Θεῷ, κατὰ περίφρασιν· ὀφθήσομαι δὲ, διὰ τῆς ἐν τῷ ναῷ λατρείας καὶ παραστάσεως, ὅπερ οὐκ ἔστιν ἐν Βαβυλῶνι.

4 *Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς, ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν, Ποῦ ἐστιν ὁ Θεός σου;*

Ἐν τῷ ὀνειδίζειν μοι τοὺς Βαβυλωνίους τοῦ Θεοῦ μου ἀσθένειαν, ἐγένοντό μοι τὰ δάκρυά μου ἄρτος, οὐχ ὅσον εἰς τροφὴν, ἀλλ' ὅσον εἰς ὄρεξιν. Ὠρεγόμην γὰρ δακρύων, ὡς ἄρτου, καὶ ἦσάν μοι ἀναγκαῖα ταῦτα, ὡς ἡ τροφὴ πᾶσιν ἀνθρώποις. Ἡ δὲ τοιαύτη ὄρεξις καὶ ἡ ἀνάγκη, οὐ μόνον ἐν ἡμέρᾳ ἦσαν, ἀλλὰ καὶ ἐν νυκτί.

5α *Ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου.*

Ταῦτα, ἀντὶ τοῦ, τὰ τοιαῦτα, φημὶ δὲ τὸ, *Ποῦ ἐστιν ὁ Θεός σου;* Ἐξέχεα δὲ, ἀντὶ τοῦ, ἐχαύνωσα ἐν ἐμαυτῷ τὴν ψυχήν μου, παρέλυσα τοῦ τόνου· τὸ μὲν γὰρ συνεστὼς, ἐστερέωται, τὸ δὲ διαῤῥέον, κεχαύνωται.

Χρὴ δὲ καθόλου γινώσκειν, ὡς ἡ τῶν Ἑβραίων διάλεκτος, ἀδιαφόρως, ὡς ἐπὶ τὸ πλεῖστον, ταῖς συντάξεσι κέχρηται, καθάπερ καὶ νῦν, ἐπ' ἐμὲ εἰποῦσα, ἀντὶ τοῦ, ἐν ἐμοί.

Εἰ δὲ τὸ, ταῦτα ἐμνήσθην, πρὸς τὸν ἐφεξῆς στίχον ἀποδώσεις, ἕτερον νόημα ποιήσεις, ὅτι ταῦτα ἐμνήσθην καὶ διέχυσα, τουτέστιν, ἀνῆκα ἐστενοχωρημένην ἐν ἐμαυτῷ τὴν ψυχήν μου.

Ταῦτα δὲ ποῖα; δηλαδὴ τὰ τοῦ ἐφεξῆς στίχου· φησὶ γάρ·

5β *Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ.*

Ἀνείθην, φησὶ, μνησθεὶς ὅτι περιπατήσω πάλιν ἐν τῷ ναῷ, μέχρι τῶν ἀδύτων αὐτοῦ. Σκηνὴν μὲν γὰρ θαυμαστὴν λέγει, τὸν περιώνυμον τοῦ Σολομῶντος ναόν· οἶκον δὲ τοῦ Θεοῦ, τὰ ἄδυτα τοῦ ναοῦ. Πρὸς δὲ τὴν προτέραν ἐξήγησιν, τὸ, ὅτι, βεβαιωτικὸν νοήσεις, ὡς προφητεύοντος | τοῦ λέγοντος.

3β[2] ὦ MSCBF : ἐν PV. 5α Add. [MP in marg.]BV: Σκηνὴ μὲν, ἡ ἐξ ἡμῶν ἁγία τοῦ Λόγου σάρξ· θαυμαστὴ δὲ αὕτη, ὡς δίχα σπορᾶς συμπαγεῖσα· οἶκος δὲ, ἡ νοερὰ ταύτης ψυχὴ, διὰ μέσης γὰρ αὐτῆς ὁ Θεὸς ὡμίλησε τῇ σαρκί· τόπος δὲ, αὐτὸς ὁ Λόγος, ἐν ἑαυτῷ τὴν προσληφθεῖσαν φύσιν ὑποστήσας τε καὶ πηξάμενος. Διελεύσομαι οὖν, φησὶ, διὰ τοῦ Λόγου Θεοῦ χειραγωγούμενος, ἕως τῆς ψυχῆς τοῦ προσλήμματος, φιλοσοφῶν περὶ αὐτῶν καὶ θεωρῶν κατὰ δύναμιν· περαιτέρω δὲ προβαίνειν, οὐκέτι συγχωρηθήσομαι. : om. SCF.

5γ Ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος.

Διελεύσομαι δὲ ἐν φωνῇ χαρᾶς καὶ ἐν φωνῇ εὐχαριστίας, ἤχου ἑορταστικοῦ, τουτέστιν, ἑορτάσω πάλιν ὡς πρότερον, καὶ τῇ τοῦ νόμου λατρείᾳ χρήσομαι.

6α Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;

Διατί θλίβῃ, καὶ διατί συγχεῖς με, καὶ οὐκ ἐᾷς ἠρεμεῖν; Ταῦτα δὲ ἔλεγε, πληροφορίαν περὶ τῆς ἐπανόδου δεξάμενος.

6β Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ.

Ὅτι εὐχαριστήσω αὐτῷ, ἐπανελθὼν δηλαδή.

6γ Σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.

Τῆς ὕστερον εὐεργεσίας τοῦ Θεοῦ μνησθεὶς, ἡδέως ἐπικαλεῖται αὐτὸν, λέγων, Ὦ σωτηρία μου, περιφραστικῶς, καὶ, Ὦ ὁ Θεός μου.

7α Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη.

Πρὸς ἐμαυτὸν, ἀντὶ τοῦ, ἐν ἐμαυτῷ, μηδενὸς τῶν ἔξω συνειδότος μοι τὴν τοιαύτην λύπην. Ἐταράχθη δὲ, ἀναλογιζομένη τὰς ἁμαρτίας, δι' ἃς παρεδόθημεν τοῖς ἐχθροῖς, ἢ τὴν βραδυτῆτα τῆς ἐπανόδου.

7β Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιεὶμ, ἀπὸ ὄρους μικροῦ.

Διὰ τοῦτο νῦν θλιβόμενος, μνησθήσομαί σου, τουτέστι, μνημονεύσω τῆς περὶ ἡμᾶς κηδεμονίας σου, ἀφ' ὧν ἐν τῇ γῇ τῆς ἐπαγγελίας ἀπηλαύσαμεν ἀγαθῶν.

Διὰ γὰρ τοῦ Ἰορδάνου καὶ τοῦ πλησιάζοντος αὐτῷ ὄρους, ὃ καὶ Ἑρμωνιεὶμ καλεῖται καὶ Ἀερμὼν, ὅλην τὴν Ἰουδαίαν ἐδήλωσε. Προσέθηκε δὲ καὶ τὴν ἰδιότητα τοῦ ὄρους, ὅτι τοῦ μικροῦ.

8α Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται, εἰς φωνὴν τῶν καταῤῥακτῶν σου.

Τῆς εὐεργεσίας μνησθεὶς, ἐκτραγῳδεῖ καὶ τὴν ἐγκατάλειψιν, ἄβυσσον καλῶν, τὸ βάθος τῶν συμφορῶν. Βαθεῖα θλῖψις, φησὶ, βαθεῖαν θλῖψιν ἐκκαλεῖται, εἰς βοὴν τῶν κατεῤῥαγμένων σου, τουτέστιν, οὕτως ἀλλεπαλλήλως ἡμῖν τοῖς κατεῤῥαγμένοις δούλοις σου ἐπίασιν, ὡς δοκεῖν ἀλλήλαις ἐγκελεύεσθαι, καὶ τοσοῦτον δάκνουσιν, ὡς βοᾶν ἡμᾶς ὑπὸ τῆς ὀδύνης. Καταῤῥακτῶν δὲ, ἀντὶ τοῦ, κατεῤῥαγμένων, ἐνεργητικὸν ἀντὶ παθητικοῦ.

8α[4] βοήν MPSCV : σύνεσιν H. 8α[7] Add. [M in marg.]PBV: Καὶ ἄλλως· τὸ ἄμετρον τῶν ἡμετέρων ἁμαρτιῶν, τὸ ἄμετρον τῶν σῶν ἐπικαλεῖται οἰκτιρμῶν, ὥστε τὴν φωνὴν τῶν ἀποστολικῶν κηρυγμάτων ἀκουσθῆναι [M] / ἀκουτισθῆναι [P]. Καταῤῥάκται γὰρ, καὶ οἱ ἀπόστολοι, καταῤῥασσοντες πᾶσαν ἔπαρσιν διαβολικήν. : om. SCF.

Νοεῖται δὲ καὶ ἀναγωγικώτερον· ἄβυσσος καὶ ἄβυσσος, ἡ Παλαιὰ Γραφὴ, καὶ ἡ Νέα, διὰ τὰ βάθη τῶν ἀποκρύφων νοημάτων. Ἡ Νέα γοῦν ἐπικαλεῖται τὴν Παλαιὰν, διὰ τὴν φωνὴν τῶν προφητῶν· καὶ οὗτοι γὰρ, καταῤῥάκται λέγονται, διὰ τὸ ἄνωθεν καταχεῖν τὸ ὕδωρ τῆς προφητείας. Ἐπικαλεῖται τοίνυν αὐτὴν, ὡς μάρτυρα, ἕνεκεν τοῦ δεῖξαι ὅτι οἱ προφῆται περὶ τοῦ Χριστοῦ προκατήγγειλαν.

8β Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

Μετεωρισμοὺς λέγει, τὰς ἐπαναστάσεις τῶν πειρασμῶν· ὁμοίως δὲ, καὶ κύματα. Φησὶν οὖν, ὅτι πᾶσαι αἱ μάστιγές σου ἐπάνω μου ἐβάδισαν. Πάντες δὲ εἶπε, διὰ τὸ πολυειδὲς αὐτῶν.

9α Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ.

Ἡμέρας, ἀντὶ τοῦ, ἐν ἡμέρᾳ, τουτέστι, φανερῶς· φῶς γὰρ ἡ ἡμέρα.
Ἐντελεῖται δὲ, ἀντὶ τοῦ, ἀποστείλῃ· ὁ γὰρ ἀποστέλλων, ἐντέλλεται· ἢ καὶ προστάξει τὸ παρ' αὐτοῦ ἔλεος.
Προαγορεύει δὲ νῦν ὁ λόγος, ὅτι δήλη πᾶσιν ἡ ἀνάκλησις αὐτῶν γενήσεται.

9β Καὶ νυκτὸς ᾠδὴ αὐτοῦ παρ' ἐμοί.

Ἐν νυκτὶ δὲ, παρ' ὅλην μου τὴν αἰχμαλωσίαν, ᾄσω αὐτῷ, τότε τινὸς ἀδείας ἐπιλαβόμενος· ἐν ἡμέρᾳ γὰρ οὐκ ἔχω σχολὴν, δουλεύων τοῖς δεσπόταις καὶ μὴ λαμβάνων καιρόν.

9γ Προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.

Καὶ οὐ μόνον ᾠδὴ αὐτοῦ | παρ' ἐμοὶ ἔσται, ἀλλὰ καὶ προσευχή· ᾠδὴ μὲν, ἐπ' εὐχαριστίᾳ τῆς εὐκαίρου ἀπολυτρώσεως, προσευχὴ δὲ, ἐφ' ἱκεσίᾳ τοῦ ταχῦναι τὴν ἐλευθερίαν.
Τῷ Θεῷ δὲ τῆς ζωῆς μου, ἀντὶ τοῦ, τῷ ζωοδότῃ μου, ὡς καὶ τὸ, Ὁ Θεὸς τῆς σωτηρίας μου, ἀντὶ τοῦ, ὁ Σωτήρ μου. Ps 50.16

10 Ἐρῶ τῷ Θεῷ, Ἀντιλήπτωρ μου εἶ· διατί μου ἐπελάθου; καὶ ἱνατί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;

Ἐπιλελῆσθαι δοκεῖ, διὰ τὸ ἐγκαταλελεῖφθαι ἔτι παρὰ τοῖς ἐχθροῖς, καὶ ἐν τῷ οὕτως ἐκθλίβεσθαι, οἷα εἰκὸς τοὺς ἐν αἰχμαλωσίᾳ κακοπαθοῦντας.

11 Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου ὠνείδιζόν με οἱ ἐχθροί μου, ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν, Ποῦ ἐστιν ὁ Θεός σου;

9β[1] αὐτοῦ MPSCBFV[Ra^{A}] : αὐτῷ H[T].

Συντριβομένων τῶν ὀστῶν μου, τῷ ἄχθει τῶν φόρτων ἢ καὶ ταῖς ῥάβδοις, καὶ καταπονουμένης τῆς ἐν ἐμοὶ δυνάμεως, ἣν ἐδήλωσε διὰ τῶν ὀστῶν, ἐπετώθαζον οἱ ἐχθροί μου, ἐν τῷ λέγειν ἀεὶ, *Ποῦ ἐστιν ὁ Θεός σου;* ἵνα ἐξελεῖταί σε.

12 Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.

Ἐπανέλαβε τὰ προειρημένα περὶ ὧν ἀνωτέρω διελάβομεν· ἐπανέλαβε δὲ Ps 41.6α-γ
ταῦτα, θάρσους ἑαυτὸν ἐμπιπλῶν καὶ ὑπομονῆς.

Ἁρμόζει δὲ τὰ τοῦ παρόντος ψαλμοῦ καὶ παντὶ κατὰ Θεὸν ἱκανῶς ἐν τῷ βίῳ
τούτῳ κακοπαθήσαντι καὶ ἐπιποθοῦντι τὴν πρὸς Θεὸν ἀνάλυσιν καὶ ἐπάνοδον, ὃς Php 1.23
ὀνειδίζοντας νοήσει, οὐ μόνον τοὺς δαίμονας, ἀλλὰ καὶ τοὺς βαρβάρους ἐχθρούς· γῆν δὲ Ἰορδάνου, τὴν κατωτάτην, ὅσον πρὸς τὸν οὐρανόν· Ἰορδάνης γὰρ ἑρμηνεύεται, γῆ κατωτάτη, Ἑρμωνιεὶμ δὲ, τόπος λύπης· καὶ τὰ λοιπὰ δὲ, καταλλήλως ἀποδώσει.

42 μβʹ
1α Ψαλμὸς τῷ Δαυίδ· ἀνεπίγραφος παρ᾽ Ἑβραίοις.

Ἀνεπίγραφός ἐστιν, ὡς τῆς αὐτῆς τῷ πρὸ αὐτοῦ διανοίας· δοκεῖ γὰρ μέρος αὐτοῦ, διὰ τὸ πολλὴν ἔχειν συμφωνίαν· ὁ γοῦν τὰ ἐν ἐκείνῳ φθεγξάμενος, φθέγγεται καὶ τὰ ἐν τούτῳ. Εἷς δέ τίς ἐστιν ὁ λέγων, καὶ τὰ πάθη τοῦ γένους εἰς ἑαυτὸν ἀναδεχόμενος, διότι καὶ σπάνιος ὁ τοιοῦτος.

1β Κρῖνόν μοι, ὁ Θεός.

Τὸ, *κρῖνον*, εἰ μὲν αἰτιατικῇ πτώσει συνταγείη, σημαίνει κυρίως, τὸ,
κατάκρινον, ὡς τὸ, *Κρῖνον αὐτοὺς, ὁ Θεός*, εἰ δὲ δοτικῇ, τὸ, *κριτὴς γενοῦ*. Ps 5.11

1γ Καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου.

Ἐξ ἔθνους, ἀντὶ τοῦ, μετὰ ἔθνους· ἢ τὴν ἐξ ἔθνους ἀνοσίου καὶ τὰ εἰς Θεὸν ἀδίκου· τοιοῦτος γὰρ ὁ ἀνόσιος· λέγει δὲ, τοὺς Βαβυλωνίους.

1δ Ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με.

Ἀδίκου μὲν, ὡς ἀνόμου, δολίου δὲ, ὡς ἀπατεῶνος.

Δηλοῖ δὲ τοῦτο καὶ ἡ προσευχὴ τῶν Τριῶν Παίδων· *Παρέδωκας γὰρ*, φησὶν,
ἡμᾶς βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. Da 3.32

Ποτὲ μὲν οὖν πληθυντικῶς, ποτὲ δὲ ἑνικῶς αὐτῶν κατηγορεῖ, διότι καὶ κοινῇ καὶ ἰδίᾳ πονηρίᾳ συνέζων.

[11][3] *ἐξελεῖταί σε* MPSCHBF : *ἐξέληταί σε* V.

Σὺ δὲ νοήσεις ἔθνος, καὶ τοὺς δαίμονας, ὁμοίως δὲ καὶ ἄνθρωπον ἄδικον καὶ δόλιον, τὸν διάβολον, ὡς προείρηται.

2α *Ὅτι σὺ εἶ, ὁ Θεὸς, κραταίωμά μου.*

Στερέωσις, ἰσχύς μου.

2β *Ἵνα τί ἀπώσω με;*

Ἐκδοὺς εἰς αἰχμαλωσίαν· σὸς μὲν γὰρ ἐγὼ δοῦλος, οὗτοι δὲ, ἐχθροί σου.

2γ *Καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;*

Οὐκ ἐγκαλῶν ταῦτά φησιν, ἀλλὰ δυσωπῶν.

3α *Ἐξαπόστειλον | τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου.*

Ἀναγωγικῶς μὲν, τὸν Χριστὸν αἰνίττεται· φησὶ γὰρ, *Ἐγώ εἰμι τὸ φῶς καὶ ἡ* Jn 8.12
ἀλήθεια καὶ ἡ ζωή. Jn 14.6

Καθ' ἱστορίαν δὲ, φῶς μὲν καλεῖ, τὴν θείαν ἐπισκοπὴν, ἥτις τῷ φωτὶ τῆς χαρᾶς λύει τὸ σκότος τῆς θλίψεως· ἀλήθειαν δὲ, τὴν ἀληθινὴν βοήθειαν.

3β *Αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου.*

Ἐνήλλακται ὁ χρόνος, ἀντὶ τοῦ, ὁδηγήσουσι καὶ ἄξουσιν. Αὐτὰ δὲ, δηλαδὴ τὸ φῶς σου καὶ ἡ ἀλήθειά σου. Καὶ ὄρος μὲν ἅγιον, τὸ Σιών· σκηνώματα δὲ, ὁ θεῖος ναός.

Ἀναγωγικῶς δὲ, ὁ Χριστὸς ὁδηγήσει καὶ ἄξει τοὺς πιστοὺς εἰς τὴν ἄνω Σιὼν καὶ εἰς τὰ οὐράνια σκηνώματα· *Ἐγὼ γὰρ*, φησὶν, *εἰμὶ ἡ ὁδός.* Jn 14.6

4α *Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ.*

Λατρεύσων αὐτῷ, καὶ θύσων.

4β *Πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου.*

Τοῦτο, προσώπῳ φησὶ τῶν ἐν αἰχμαλωσίᾳ γεννηθέντων καὶ νέων ἀναβαινόντων εἰς Ἰερουσαλήμ· εἰκὸς γὰρ τοὺς πατέρας αὐτῶν ἀποθανεῖν.

Ἢ νεότητα λέγει, τὴν κατὰ προαίρεσιν· ἐνέαζον γὰρ ταῖς εἰς τὴν τοῦ Θεοῦ λατρείαν προθυμίαις.

[1δ][2] Add. [M in marg.]PCHBVL: *Οὐδὲν γὰρ ἀνθρώπου διαφέρει, κατὰ τὸ ἐμπαθὲς, καὶ φιλήδονον, ὁμοίως ἀνθρώπῳ φιλοσωματῶν, καὶ τοῖς πάθεσιν ἀναφυρόμενος.* : om. SF.

Ἀναγωγικῶς δὲ, νεότης, ἡ διὰ τοῦ βαπτίσματος ἀνανέωσις καὶ τοῦ παλαιοῦ ἀνθρώπου ἀπέκδυσις. Col 3.9

4γ Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ Θεὸς ὁ Θεός μου.

Τὴν προτέραν ἀπολήψομαι κατάστασιν· τοῦτο γὰρ ἐδήλωσε διὰ τῆς κιθάρας. Καὶ μετὰ ὀργάνων εὐχαριστήσω σοι, ἃ αἰχμαλωτισθέντες ἐπὶ ταῖς ἰτέαις ἐκρεμάσαμεν, ὡς ἀργίαν ἤδη καταψηφισθέντα. Ps 136.2

Ἀναγωγικῶς δὲ, κιθάρα, ἡ πρακτικὴ ἀρετὴ, ὡς ἐν ἄλλοις εἰρήκαμεν. Ps 32.2

Τὸ δὲ, ὁ Θεὸς ὁ Θεός μου, τὴν εἰς Θεὸν ἐμφαίνει διαπυρωτάτην διάθεσιν.

5 Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.

Τὰ αὐτὰ πάλιν ἑαυτῷ πρὸς ἐπίῤῥωσιν ἐγκελεύεται.

43 μγʹ

1 Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορέ· εἰς σύνεσιν.

Τοιαύτη μὲν καὶ ἡ τοῦ μαʹ ψαλμοῦ ἐπιγραφή· προειρήκαμεν δὲ περὶ αὐτῆς ἐν ἐκείνῳ. Ps 41.1

Νῦν δὲ χρὴ τοσοῦτον εἰπεῖν, ὅτι προσώπῳ Ματθίου τοῦ Μακκαβαίου καὶ τῶν παίδων αὐτοῦ τὸν παρόντα προαναφωνεῖ ψαλμὸν ὁ Δαυίδ· οἵ, καταπονηθείσης τῆς Ἰουδαίας ὑπ' Ἀντιόχου τοῦ Ἐπιφανοῦς καὶ τῶν Μακεδόνων, καὶ διαρπαγείσης, φυγάδες ὄντες, ἀνεθάῤῥησαν ὀψέ ποτε, καὶ συναγαγόντες ὅσους ἠδύναντο, πρὸς ἄμυναν παρεσκευάσθησαν, τῷ Θεῷ θαῤῥήσαντες, ὧν τὴν ἱστορίαν ἀκριβῶς τὰ Μακκαβαϊκὰ διδάσκουσιν Ἰωσήπου. Κατεπτηχόσι δὲ τοῖς ἐκ φυγῆς συνειλεγμένοις διὰ τὴν τῶν Μακεδόνων ἀπήνειαν, προσάγουσι παραίνεσιν ἐν εὐχῆς τύπῳ, τῇ ἀναμνήσει τῶν κατὰ τοὺς πατέρας αὐτῶν γεγενημένων τεραστίων παραθαῤῥύνοντες αὐτοὺς καὶ εἰς τὸν πόλεμον διεγείροντες. 1Macc 2; AJ xii.270; BJ i.36

2 Ὁ Θεὸς, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν, ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.

Τὸ, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, εἰς βεβαίωσιν τοῦ λόγου πρόσκειται. Καὶ γὰρ εἰώθαμεν, ὅταν διηγώμεθα περὶ ὧν πεπληροφορήμεθα, μάρτυρας αὐτὰ παραλαμβάνειν | τὰ αἰσθητήρια, ὡς τὸ, ἃ ἑωράκασιν οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν. Εἰπόντες δὲ, ὅτι ἠκούσαμεν, ἐπάγουσι καὶ παρὰ τίνων, ὅτι παρὰ τῶν πατέρων. Δῆλον δὲ, ὅτι διὰ τῶν συγγραμμάτων ὧν ἀπολελοίπασι. 1Jn 1.1

Τί δέ ἐστιν ὃ ἤκουσαν, καὶ ὃ εἰργάσατο ὁ Θεὸς, ἄκουσον διὰ τῶν ἑξῆς.

3α Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς.

Ἔθνη, τὰ τῶν Χαναναίων καὶ τῶν ἄλλων τῶν κατοικούντων πρότερον ἐν τῇ γῇ τῆς ἐπαγγελίας· χεῖρα δὲ λέγει Θεοῦ, τὴν θείαν δύναμιν· κατεφύτευσας δὲ, ἀντὶ τοῦ, ἐγκατῴκισας τοὺς πατέρας ἡμῶν.

Ὅρα δὲ τῶν λέξεων τὴν ἀκρίβειαν· ἐπ' ἐκείνων μὲν, ἐξωλόθρευσε, διὰ τὴν πανωλεθρίαν· ἐπὶ τούτων δὲ, κατεφύτευσε, διὰ τὴν ἐνρίζωσιν. Εἰ γὰρ καὶ μετανάσται γεγόνασιν ὕστερον, ἀλλ' οὐκ αὐτοὶ πάντως, ἀλλὰ τὰ τέκνα αὐτῶν, καὶ ταῦτα διὰ τὰς οἰκείας ἁμαρτίας. Τὰ προλαβόντα δὲ θαύματα παραλιπὼν ὁ λόγος, μόνον τοῦτο τίθησιν, ὡς οἰκεῖον πρὸς τὴν ὑπόθεσιν. Εἰ γὰρ τοὺς ξένους ἐπὶ τῆς ἀλλοτρίας ἵδρυσε, πολλῷ μᾶλλον τούτους ἐκβεβλημένους τῆς πατρίδος ἀποκαταστήσει πάλιν καὶ συναγάγῃ.

3β Ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς.

Τὰ ἔθνη· οὐ γὰρ ἐξεβλήθησαν μόνον, ἀλλὰ καὶ πρῶτον ἐκακώθησαν, πολέμῳ καὶ θεομηνίᾳ.

4α Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν.

Οὐκ ἐν τοῖς ὅπλοις ἐκληρονόμησαν γῆν τὴν τῆς ἐπαγγελίας.

4β Καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς.

Οὐδὲ ἡ δύναμις αὐτῶν ἐῤῥύσατο αὐτοὺς ἀπὸ τοσούτων καὶ τηλικούτων ἐθνῶν.

4γ Ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου.

Τινὲς δεξιὰν μὲν λέγουσι Θεοῦ, τὴν βοήθειαν, βραχίονα δὲ, τὴν δύναμιν· ἄλλοι δὲ, καὶ ἄμφω τὴν δύναμιν σημαίνειν ἐκ παραλλήλου.

4δ Καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου.

Καὶ ἡ ἐπισκοπή σου· *Ἐπίφανον γὰρ, φησὶ, τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα·* Ps 79.4,8,20
Ἐπισκοπὴ δὲ Θεοῦ, ἡ ἀντίληψις. Ὁρῶν γάρ τις, ἀντιλαμβάνεται.

4ε Ὅτι εὐδόκησας ἐν αὐτοῖς.

Ὅτι τὸ ἀγαθὸν ἠθέλησας ἐν τοῖς πατράσιν ἡμῶν· τοῦτο γὰρ σημαίνει, τὸ, εὐδόκησας.

5α Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.

Ὁ ἐκεῖνα ἐργασάμενος, σὺ εἶ αὐτὸς καὶ νῦν, ὡς ἀναλλοίωτος· καὶ ἡμεῖς, ἐκείνων ἔκγονοι. Καὶ λοιπὸν, ὁμοίως τερατούργησον, ὃν καὶ βασιλέα καὶ Θεὸν ἔχω, καθάπερ ἐκεῖνοι.

5β Ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ.

Τοῦτο, διὰ τὴν εὐχέρειαν καὶ ταχυτῆτα τῆς βοηθείας. Ὁ λόγῳ μόνῳ χρώμενος εἰς τὸ σῶσαι τὸν ἐξ Ἰακὼβ καταγόμενον λαόν. Ἢ ὁ ἐν πολέμοις ὑποτιθέμενος πῶς ἂν σωθείη· ποιήσατε γάρ φησι τάδε καὶ τάδε.

6α Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν.

Καταγωνισόμεθα, ἐκ μεταφορᾶς τῶν ζῴων, ἃ τοῖς κέρασι καταπαλαίουσι πᾶν ἀντίπαλον.

6β Καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.

Πεποίθαμεν, φησὶν, ὅτι τὸ ὄνομά σου μόνον ἐπισείσαντες αὐτοῖς, καὶ μόνον ἐμβοήσαντες ὅτι ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὡς οὐδὲν αὐτοὺς ἡγησόμεθα καὶ εὐκαταφρονήτους ποιήσομεν.

7 Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαίᾳ μου οὐ σώσει με.

Εἰ γὰρ καὶ τούτοις ὥπλισμαι, νόμῳ πολέμου, ἀλλ' οὐκ ἐπὶ τούτοις τεθάῤῥηκα. Ῥομφαία δέ ἐστιν ἡ σπάθη.

8 Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.

Πεῖραν γὰρ τῆς παρὰ σοῦ βοηθείας καὶ πρότερον ἐλάβομεν, καὶ οἴδαμεν | ὅπως ἀντιλαμβάνῃ.

9α Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν.

Τὸ, ἐπαινεθησόμεθα, καυχησόμεθα εἶπεν ὁ Σύμμαχος· ὁ γὰρ καυχώμενος, ἑαυτὸν ἐπαινεῖ. Οὐκ ἐν ἑτέρῳ, φησὶ, πράγματι τῶν ἁπάντων καυχησόμεθα, καίτοι πολλὰ λέγειν ἔχοντες, ἀλλ' ἢ ἐν μόνῳ τῷ ἐπιγινώσκειν τὸν Θεόν.

Τὸ δὲ, ὅλην τὴν ἡμέραν, κατὰ πᾶσαν τὴν ἡμέραν ὁ Σύμμαχος ἐκδίδωσι πανταχοῦ· ὁ δὲ Ἀκύλας, καθ' ὅλην τὴν ζωήν.

9β Καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.

Τὸ, ἐξομολογησόμεθα, ἀντὶ τοῦ, διηγησόμεθα, τινὲς νενοήκασιν, οἷον, ἐν τῷ ὀνόματί σου διήγησιν ποιησόμεθα, καταλέγοντες πᾶσιν, ὅσα ἔν τε τοῖς πατράσι καὶ ἐν ἡμῖν ἐνήργησε τοῦτο μεγαλεῖα.

Ἢ καὶ ἄλλως, τῷ ὀνόματί σου εὐχαριστήσομεν, τῆς προθέσεως περιττῆς κειμένης· τὸ δὲ, εἰς τὸν αἰῶνα, τὸ ἀεὶ σημαίνειν πάντες πανταχοῦ φασι.

10α Νυνὶ δὲ ἀπώσω καὶ κατήσχυνας ἡμᾶς.

Ἀπώσω μὲν, ὡς ἀναξίους· κατήσχυνας δὲ, ἀντὶ τοῦ, αἰσχυνθῆναι πεποίηκας, μὴ ἀντιλαμβανόμενος ἡμῶν, τοιαῦτα πασχόντων.

10β Καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεὸς, ἐν ταῖς δυνάμεσιν ἡμῶν.

Κἀνταῦθα, ἀντιχρονία, καθὼς ὁ Σύμμαχος ἐξέδωκε, καὶ οὐ συνεξέρχῃ τοῖς στρατεύμασιν ἡμῶν· ταῦτα γὰρ, δυνάμεις ἐκάλεσεν.

11α Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν.

Πρώτους παρὰ τῇ σῇ ἐπισκοπῇ τεταγμένους, ἀπέστρεψας εἰς τὴν ἐσχάτην τάξιν, καὶ ὑπεβίβασας ἡμᾶς τοῖς ἐχθροῖς ἡμῶν.

11β Καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.

Διήρπαζον τὰ ἡμέτερα.

12α Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως.

Τὸ, ἔδωκας, ἀντὶ τοῦ, παρέδωκας, ἐξέδωκας, καὶ οὐδ' ὡς πρόβατα κτήσεως, ἀλλὰ βρώσεως· ταῦτα γὰρ ἐκείνων φαυλότερα, ὡς εἰς σφαγὴν μόνην ἐπιτήδεια.

12β Καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς.

Εἰς δουλείαν· διάφορα γὰρ ἔθνη τοῖς Μακεδόσι συνεστρατεύοντο. Οἰκειοῦται δὲ τὸ πρόσωπον τῶν ἑαλωκότων.

13α Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς.

Ἐξέδωκας εἰς δουλείαν τὸν πρὶν ἠγαπημένον σοι λαὸν, ἄνευ τιμήματος. Τοῦτο δὲ λέγει, τὴν φαυλότητα τοῦ λαοῦ δηλῶν. Εἰώθαμεν γὰρ τοὺς ἄγαν

πονηροὺς οἰκέτας, ὡς ἀχρήστους καὶ ἀτίμους, ἄνευ τιμήματος ἀποδίδοσθαι, κέρδος ἡγούμενοι τὴν τούτων ἀπαλλαγήν.

Τοῦτο δὲ καὶ διὰ Ἡσαΐου φησὶν ὁ Θεὸς, ὅτι Δωρεὰν ἐπράθητε. Isa 52.3

13β Καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν.

Καὶ οὐκ ἦσαν πολλὰ τὰ τιμήματα ἡμῶν· ἄλλαγμα γὰρ οἰκέτου, τὸ ἀντιδιδόμενον τίμημα. Ἑαυτῶν δὲ κατειρωνεύονται τοῦτο λέγοντες· ἄνευ γὰρ τιμῆς ἀπεδόθησαν.

Τινὰ δὲ τῶν ἀντιγράφων, ἐν τοῖς ἀλαλάγμασιν ἔχουσιν, οἷον, οὐκ ἦν πλῆθος ἐχθρῶν ἐν τῷ καθ' ἡμῶν ἀλαλάζειν τὰ ἐπινίκια. Κεκρατήκασι γὰρ ἡμῶν, ὄντες πρὸς ἡμᾶς ὀλίγοι.

14 Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν.

Μυκτηρισμὸν λέγει, τὴν ἐξουδένωσιν· χλευασμὸν δὲ, τὸ σκῶμμα. Γείτονες δὲ καὶ κύκλῳ αὐτῶν, οἱ ἀλλόφυλοι, Ἰδουμαῖοι καὶ Μωαβῖται καὶ Ἀμμανῖται καὶ ἄλλοι τοιοῦτοι.

15α Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσιν.

Ἀντὶ τοῦ, εἰς παράδειγμα· λέγειν γὰρ εἰώθασιν, ὅτι πάθοιεν οἱ ἐχθροὶ ἡμῶν πάντες, οἷα καὶ οἱ Ἰσραηλῖται. Ἢ εἰς διήγησιν· διηγοῦνται γὰρ τὰς ἡμετέρας συμφοράς.

15β Κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.

Ἀπὸ κοινοῦ τὸ, ἔθου· εἰς κίνησιν κεφαλῆς, ἐν τοῖς λαοῖς τῶν ἐθνῶν· κινοῦσι | γὰρ ἐφ' ἡμῖν τὰς κεφαλὰς, οἱ μὲν, κατοικτιζόμενοι, οἱ δὲ, μᾶλλον ἐπιχαίροντες, καὶ οἷον λέγοντες, Εὖγε, εὖγε.

16α Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστι.

Διαπαντὸς ἐνώπιόν μού ἐστι.

16β Καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με.

Οὕτως αἰσχρῶς διηρπασμένον καὶ διεσπαρμένον. Τὸ αὐτὸ δὲ καὶ τοῦτο σημαίνει.

15α[3] οἱ Ἰσραηλῖται PBFV : Ἰσραηλῖται MSC. 15β[3] κατοικτιζόμενοι MSCBF : κατοικτειριζόμενοι PV.

17 Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.

Αἰσχύνη μοι, φησὶν, ἐστὶ, καὶ ἀφ' ὧν λέγουσιν οἱ ὀνειδίζοντες γείτονες, καὶ ἀφ' ὧν ὁρῶσι σοβαρὸν οἱ ἐχθροὶ, καὶ οὐδ' ἀντιβλέπειν αὐτοῖς ἰσχύω.
Τὸ, *καταλαλοῦντος* δὲ, βλασφημοῦντος εἶπεν Ἀκύλας.

18α Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς.

Ταύτας πάσας τὰς κακώσεις ὑπέστημεν.

18β Καὶ οὐκ ἐπελαθόμεθά σου.

Ὥστε ὀνομάσαι Θεὸν ἕτερον.

18γ Καὶ οὐκ ἠδικήσαμεν ἐν τῇ διαθήκῃ σου.

Οὐ παρέβημεν τὸν νόμον σου· ἀδικεῖ γὰρ τὸν νόμον, ὁ παραβαίνων αὐτόν.

19α Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν.

Καὶ οὐκ ἀπέστη ἐπὶ τὰ χείρω. Ταῦτα δὲ πάντα λέγουσιν οἱ θεοσεβέστεροι τοῦ λαοῦ, οἳ καὶ ἐν τοῖς τοιούτοις πάθεσι φυλάττοντες τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ ὑπὲρ ὅλων τῶν ὑπολελειμμένων δικαιολογοῦνται πρὸς τὸν Θεὸν, ἀλείφοντες καὶ τούτους εἰς εὐψυχίαν.

19β Καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.

Καὶ μετέστρεψας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ τῆς πρὸς τὸν ναόν σου, ὡς μηκέτι δύνασθαι πρὸς αὐτὸν βαδίζειν, τῶν μὲν, αἰχμαλωτισθέντων, τῶν δὲ, φυγόντων ἀπὸ τῆς πατρίδος.

20α Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως.

Τῷ τῆς φυγῆς καὶ τῷ τῆς αἰχμαλωσίας.

20β Καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.

Θλῖψις ἐοικυῖα θανάτῳ, διὰ τὴν πικρίαν· ἔοικε γὰρ ἡ σκιὰ τῷ πρωτοτύπῳ, καὶ μιμεῖται τοῦτο.

17[5] Ἀκύλας MPSBF : ὁ Ἀκύλας CHV. 19α[2] χείρω MSBF : χείρονα PV.

21α Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν.

Τοῦ Θεοῦ ἡμῶν, περιφραστικῶς.

21β Καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον.

Τοῦτο, τοῦ ῥηθέντος ἐπεξήγησις.

22α Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα;

Εἰ τόδε καὶ τόδε πεποιήκαμεν, ἆρα οὐχὶ ὁ Θεὸς ἐξετάσει ταῦτα;

22β Αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.

Ὡς οὐδ᾽ ἐνεθυμήθημέν τι τοιοῦτον.

23α Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν.

Τῇ προαιρέσει· καὶ γὰρ δυνάμενοι συνθέσθαι τοῖς εἰδωλολάτραις καὶ διάγειν ἐν ἀνέσει, διὰ σὲ πάντα ὑπομένομεν, καὶ πρόθυμοί ἐσμεν εἰς σφαγήν.

Τὸ δὲ, ὅτι, περιττόν.

23β Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

Διὰ τὸ πρὸς ἀναίρεσιν εὐχερὲς ἡμῶν, καὶ τὸ μὴ δύνασθαι ἀμύνειν ἑαυτοῖς.

24α Ἐξεγέρθητι.

Εἰς ἐκδίκησιν τοῦ λαοῦ σου.

24β Ἱνατί ὑπνοῖς, Κύριε;

Ἱνατί ἡσυχάζεις, ἐπὶ πλέον μακροθυμῶν; ἡσυχάζει γὰρ ὁ ὑπνῶν.

24γ Ἀνάστηθι.

Εἰς βοήθειαν. Ταὐτὸν δὲ τοῦτο, τῷ, ἐξεγέρθητι. Ἀπὸ τῶν ἀνθρωπίνων δὲ ἐνεργειῶν καὶ παθῶν, εἴωθε χαρακτηρίζειν τὸ θεῖον, ὡς πολλάκις εἰρήκαμεν, μὴ δυνάμενος ἄλλως διαλεχθῆναι, διὰ τὴν τῶν ἀκροωμένων ἀσθένειαν.

24δ Καὶ μὴ ἀπώσῃ εἰς τέλος.

Ἐκ μέρους ἡμᾶς καὶ πρὸς καιρὸν ἀπωσάμενος, μὴ διαπαντὸς ἀπώσῃ.

25α Ἱνατί τὸ πρόσωπόν σου ἀποστρέφεις;

Τὴν ἐπισκοπήν σου, ὡς ἀπὸ ἀναξίων.

25β Ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;

Ἀπὸ κοινοῦ πάλιν τὸ, ἱνατί. Πτωχείαν δὲ λέγει | νῦν, τὴν κακουχίαν· ἴδιον γὰρ πτωχείας, ἡ κακουχία. Ἐπιλανθάνῃ δὲ, ἀντὶ τοῦ, ἐν οὐδενὶ λόγῳ τίθης ταῦτα.

26α Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν.

Ἡ ψυχὴ ἡμῶν, ἀντὶ τοῦ, ἡμεῖς, περιφραστικῶς· λέγει δὲ, ὅτι κατηνέχθημεν εἰς γῆν, καὶ πεπτώκαμεν.

26β Ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.

Ἀπὸ χαμευνίας, ἢ τοῦ κύπτειν ἀεὶ πρὸς γῆν, κατακαμπτομένους τῷ βάρει τῶν θλίψεων.

Ταπεινοῦται δὲ εἰς χοῦν καὶ ὁ τοῖς γηΐνοις προστετηκὼς, καὶ κολλᾶται εἰς γῆν καὶ ὁ γαστρίμαργος, καὶ ὁ πόρνος, καὶ πᾶς φιλήδονος.

27α Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν.

Δοκεῖς γὰρ καθέζεσθαι, περιορῶν οὕτως ἀπολλυμένους ἡμᾶς.

27β Καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

Οὐ διὰ τὰς ἡμετέρας ἀρετὰς, οὐκ ἄξιαι γὰρ, ἀλλ’ ἵνα φοβερὸν εἴη καὶ μὴ βλασφημῆται τὸ σὸν ὄνομα παρὰ τοῖς εἰδωλολάτραις. Isa 52.5

Κατὰ μὲν οὖν τὴν ἱστορίαν, ἱκανῶς ὁ ψαλμὸς ἡρμήνευται· κατὰ δὲ τὴν ἀναγωγὴν, λέγοιεν ἂν τὰ τοῦ ψαλμοῦ τούτου πρὸς τὸν Χριστὸν πάντες οἱ μάρτυρες, οἱ μυρία δι’ αὐτὸν παθόντες καὶ θανατούμενοι ὅλην τὴν ἡμέραν, ἀλλὰ καὶ πάντες Ro 8.36
εὐσεβεῖς, ὑπὸ τῶν μιαιφόνων ἐθνῶν ἐπηρεαζόμενοί τε καὶ καταδαπανώμενοι.

44 μδʹ

1 Εἰς τὸ τέλος· ὑπὲρ τῶν ἀλλοιωθησομένων· τοῖς υἱοῖς Κορέ· εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ.

27[5] κατὰ δὲ τὴν ἀναγωγήν MSCBF : κατὰ δὲ ἀναγωγήν PV.

Εἰς τὸ τέλος μὲν, διὰ τὰς ἐν τούτῳ προφητείας, εἰς τέλος ἐλαυνούσας.

Ὑπὲρ τῶν ἀλλοιωθησομένων δὲ, τουτέστιν, ὑπὲρ τῶν Χριστιανῶν, οἳ ἀλλοιωθήσονται διὰ τῆς παλιγγενεσίας τοῦ ἁγίου βαπτίσματος, ἀπεκδυόμενοι μὲν Col 3.9
τὸν παλαιὸν ἄνθρωπον, ἐνδυόμενοι δὲ τὸν νέον· Τὰ ἀρχαῖα γὰρ, φησὶ, παρῆλθεν, 2Cor 5.17
ἰδοὺ γέγονε τὰ πάντα καινά· ἀλλοίωσις γὰρ, ἡ μεταποίησις, καὶ ἡ τῆς πολιτείας ἐναλλαγή.

Τοῖς υἱοῖς δὲ Κορὲ, ὅτι τούτοις ὁ ψαλμὸς ὑπὸ τοῦ Δαυὶδ ἐνεχειρίσθη πρὸς τὸ διὰ τούτων μελῳδηθῆναι, καθὼς ἐν προοιμίοις τῆς βίβλου τῶν ψαλμῶν προ- § 50
παραδεδώκαμεν.

Εἰς σύνεσιν δὲ, ὅτι χρεία συνέσεως τοῖς ἀναγινώσκουσι διὰ τὰ ἐγκεκρυμμένα θεῖα νοήματα.

Ὠιδὴ δὲ, ὅτι οὐ σὺν ὀργάνοις, ἀλλ᾽ ἀπὸ γλώττης μόνης, ἐμελῳδήθη.

Τὸ δὲ, *ὑπὲρ τοῦ ἀγαπητοῦ*, συγκεφαλαίωσις τῆς ὅλης ἐπιγραφῆς, ὅτι περὶ τοῦ Χριστοῦ διέξεισιν ὁ ψαλμός. Οὗτος γὰρ, ἀγαπητὸς, τῷ Πατρὶ μὲν, ὡς Υἱὸς μονογενὴς, ἡμῖν δὲ, ὡς πατὴρ ἡμῶν κηδεμονικώτατος. Περὶ τούτου γάρ φησιν
ὁ Πατὴρ, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός*. Ὑπὲρ τοῦ ἀγαπητοῦ δὲ, ἀντὶ τοῦ, Mt 3.17
περὶ τοῦ ἀγαπητοῦ, καθάπερ καὶ ἐν ἄλλοις εἰρήκαμεν, πρόθεσις ἀντὶ προθέσεως.

2α *Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.*

Συνεὶς ὁ προφήτης, ὅτι μεγάλα περὶ τοῦ Χριστοῦ μέλλει προαγορεῦσαι, προοιμιάζεται, ὅτι λόγον ἀγαθὸν καὶ σωτήριον ἐρεῖ.

Σκόπει δὲ τὴν ἔμφασιν τοῦ, ἐξηρεύξατο. Μονονουχὶ γάρ φησιν, ὅτι καθάπερ ἡ ἐρυγὴ, μὴ βουλομένων ἡμῶν πρόεισι, τῆς κοιλίας ταύτην ἀναπεμπούσης, οὕτω καὶ τὸν περὶ τοῦ Χριστοῦ λόγον ἀνέπεμψεν ἤδη κάτωθεν ἡ καρδία μου, πλησθεῖσα τῆς τροφῆς τοῦ ἁγίου Πνεύματος.

2β *Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ.*

Προσφωνῶ λοιπὸν ἐγὼ τῷ Βασιλεῖ Χριστῷ τὰ ἔργα μου, τουτέστι, τὰς περὶ αὐτοῦ προφητείας μου. Προφήτου γὰρ ἔργον, ὑφαίνειν προφητείαν.

2γ *Ἡ γλῶσσά μου κάλαμος γραμ | ματέως ὀξυγράφου.*

Καὶ διὰ τούτου παρίστησιν, ὡς οὐκ οἴκοθεν ἐρεῖ. Καθάπερ γάρ φησιν ὁ κάλαμος ὑπηρετεῖ μόνον τῇ χειρὶ τοῦ γραφέως, κινούμενος ἔνθα ἂν ἐκείνη τοῦτον κινήσῃ, οὕτω καὶ ἡ ἐμὴ γλῶσσα, κάλαμός ἐστι γραμματέως, ἤτοι γραφέως, δηλαδὴ τοῦ ἁγίου Πνεύματος, κινουμένη καθὼς ἂν ἐκεῖνο κινήσῃ ταύτην.

Ὀξυγράφου δὲ εἶπε, διὰ τὴν εὐχέρειαν τῆς ἀπαγγελίας. Ἄνθρωποι γὰρ, σχολαίτερον ὑπαγορεύουσι καὶ γράφουσιν, ἀπασχολούμενοι πρὸς εὕρεσιν νοημάτων, καὶ συνθήκην λέξεων, διὰ τὴν τῆς διανοίας ἀσθένειαν.

Μέχρι τούτου συμπεράνας τὸ προοίμιον, ἄρχεται τοῦ λόγου, πρὸς τὸν Χριστὸν ἤδη ἀποτεινόμενος, περὶ τῶν ἀρετῶν τοῦ προσλήμματος.

3α *Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.*

Λείπει τὸ, ὑπάρχεις· ὡραιότητα δὲ κάλλους, οὐ σωματικὴν, ἀλλὰ ψυχικήν λέγει. Διετήρησε γὰρ αὐτὴν ἄσπιλον, μόνος παρὰ πάντας μείνας ἀναμάρτητος.

Ἡσαΐας δὲ λέγων, ὅτι *καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων*, περὶ Isa 53.2-3
τοῦ σώματος λέγει, οἷον ἦν ἐν τῷ τοῦ πάθους καιρῷ, προπηλακιζόμενον καὶ μαστιζόμενον καὶ μυρία πάσχον.

3β *Ἐξεχύθη χάρις ἐν χείλεσί σου.*

Φησὶν ὁ εὐαγγελιστὴς, ὅτι *ἐθαύμαζον οἱ ὄχλοι ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις διὰ στόματος αὐτοῦ.* Lk 4.22

Νοοῦνται δὲ χείλη Χριστοῦ, καὶ οἱ ἀπόστολοι, εἰς οὓς ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἐξεχύθη δαψιλῶς, ὡς ἐπιστομίζειν πάντας τῇ δυνάμει τοῦ λόγου, καὶ πείθειν ῥᾷον οὓς ἂν ἐθέλωσιν.

3γ *Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.*

Διὰ ταύτας οὖν σου τὰς ἀρετὰς, εὐλόγησε, τουτέστιν, ἐδόξασέ σε ὁ Θεός· φησὶ γὰρ, *Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω.* Jn 12.28

Ἢ τὸ, εὐλόγησεν, ἀντὶ τοῦ, εὐλογητὸν ἐποίησεν, ὡς ἀεὶ εὐφημεῖσθαι καὶ ὑμνεῖσθαι παρὰ τῶν εὐσεβῶν. Ὁ μὲν γὰρ παλαιὸς Ἀδὰμ κεκατήραται διὰ τὴν παρακοὴν, ὁ δὲ νέος, ηὐλόγηται διὰ τὴν ὑπακοήν· μετέδωκε δὲ καὶ ἡμῖν τῆς εὐλογίας· φησὶ γὰρ ὁ Δαυὶδ, *Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ.* Ps 113.23

4α *Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ.*

Ὡραῖον καὶ κάλλιστον αὐτὸν προσειπὼν καὶ εὔστομον, ἄρτι καὶ στρατιώτην δείκνυσιν, ὅτι ἐκεῖνα μὲν ἦν γνωρίσματα τῆς ἀναμαρτησίας καὶ τῆς διδασκαλίας· ταῦτα δὲ, τῆς κατὰ τοῦ διαβόλου μάχης. Καλεῖ γὰρ αὐτὸν εἰς τὸν κατ᾽ αὐτοῦ πόλεμον, ἵνα τρόπαιον στήσας, ἐλευθερώσῃ τοὺς αἰχμαλωτισθέντας ἡμᾶς. Ὁπλίζει δὲ τοῦτον ἀνθρωπίνως, ἵνα δείξῃ φοβερόν· οἱ στρατιῶται γὰρ τὴν σπάθην ἐπὶ τὸν μηρὸν περιζώννυνται.

Ἔστι δὲ συντόμως ἡ ἔννοια τοῦ λόγου, ὅτι ὁπλίσθητι καὶ πολέμησον τῷ τυράννῳ. Ὅπλα δὲ τοῦ Χριστοῦ, ἡ κολαστικὴ δύναμις, ᾗ κατὰ τῶν δαιμόνων ἐκέχρητο· δυνατὸν δὲ αὐτὸν ἐκάλεσε, κατὰ τὴν ἡνωμένην Θεότητα.

4α[9] δαιμόνων MSCBF : ἐχθρῶν PV.

4β Τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου.

Περίζωσαι τὴν ῥομφαίαν σου, φησὶ, μετὰ τῆς ὡραιότητός σου καὶ τοῦ κάλλους σου, ἵνα τῇ ῥομφαίᾳ μὲν τοὺς ἐχθροὺς φοβήσῃς, τῇ ὡραιότητι δὲ τῆς ψυχῆς καὶ τῷ κάλλει τῶν ἀρετῶν τοὺς φίλους ἑλκύσῃς. Οὐκ ἀπεικὸς δὲ ὡραιότητα καὶ κάλλος ταὐτὸ σημαίνειν.

5α Καὶ ἔντεινον.

Καὶ ἐπίτεινον τὴν ὁρμήν σου.

5β Καὶ κατευοδοῦ.

Καὶ κατόρθου πᾶν ὃ θέλεις.

5γ Καὶ βασίλευε.

Καὶ κυρίευε τῶν ἐπερχομένων σοι.

Εἰ δὲ καὶ προστακτικὰ ταῦτα δοκεῖ, ἀλλ' οὕτως ἡ Γραφὴ τὰ εὐκτικὰ σχηματίζει.
Ἁγιασθήτω γὰρ, φησὶ, τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, καὶ τὰ ἑξῆς. Mt 6.9-10

5δ Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης.

Πάντα ταῦτα κα | τεργάζου, καὶ νίκα, ὡς ἀληθὴς, καὶ ὡς πρᾶος, καὶ ὡς δίκαιος. Jn 14.6
Φησὶ γὰρ αὐτὸς ὁ Κύριος, Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια, καὶ, Μάθετε ἀπ' ἐμοῦ, Mt 11.29
ὅτι πρᾶός εἰμι, καὶ, Οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην. Mt 2.15

Ἢ, τὰ ῥηθέντα ποίησον, ἵνα κατασπείρῃς ἐπὶ γῆς ἀλήθειαν καὶ πραότητα καὶ δικαιοσύνην, ἀντὶ ψεύδους καὶ ἀγριότητος καὶ ἀδικίας.

5ε Καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

Ἀγάγῃ σε ἐπὶ τὰ τοιαῦτα κατορθώματα ἡ δεξιότης σου, τουτέστιν, ἡ ἀγαθή σου φύσις· αὐτὸς γὰρ ἑαυτῷ ἀρκέσεις, μηδενὸς ἑτέρου δεόμενος. Θαυμαστὸν δὲ τὸ ὑφ' ἑαυτοῦ ὁδηγεῖσθαί τινα.

6 Τὰ βέλη σου ἠκονημένα, δυνατὲ, λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.

Πάντες οἱ ἐξηγηταὶ καθ' ὑπερβατὸν συντάττουσιν ἐνταῦθα τὸ ῥητὸν, οἷον, τὰ βέλη σου ἠκονημένα, δυνατὲ, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως· εἶτα, λαοὶ ὑποκάτω σου πεσοῦνται, κατὰ παρένθεσιν.

Βέλη δὲ τοῦ Χριστοῦ, οἱ τοῦ Εὐαγγελίου λόγοι, διά τε τὸ ταχέως διαδραμεῖν τὴν οἰκουμένην καὶ διὰ τὸ εὔστοχα βαλεῖν τὰς εὐαισθήτους ψυχάς. Ἠκονημένα δὲ, διὰ τὸ λαμπρὸν καὶ τὸ τμητικόν· λάμπουσι γὰρ τῇ ἀληθείᾳ καὶ τέμνουσι τὴν ἁμαρτίαν. Δυνατὸν δὲ λέγει, τὸν Χριστὸν, οὐ μόνον διὰ τὴν παντοδύναμον θεότητα, ἀλλὰ καὶ διὰ τὸ νικῆσαι τὸν διάβολον τῇ ἀνδρείᾳ τῶν τῆς ἀνθρωπότητος ἀρετῶν. Ταῦτα δὴ τὰ βέλη ἐν τῇ καρδίᾳ πεπήγασι τῶν πρὶν ἐχθρῶν τοῦ βασιλέως
Θεοῦ, ὡς δύνασθαι τὴν πληθὺν αὐτῶν λέγειν, *Τετρωμένη ἀγάπης ἐγώ εἰμι.* SS 2.5
Τρώσαντες γὰρ, οὐκ ἀνεῖλον, ἀλλὰ μᾶλλον νεκροὺς ὄντας εἰς ἀρετὴν, ἐζώωσαν, καὶ εἵλκυσαν πρὸς τὸν θεῖον ἔρωτα. Λαοὶ δὲ ὑποκάτω σου πεσοῦνται, τουτέστιν, ὑποπεσοῦνταί σοι δι᾽ ὑποταγῆς πολλοὶ, ὅσοι δηλαδὴ ἐτρώθησαν.

Εἶεν δ᾽ ἂν βέλη Χριστοῦ, καὶ οἱ ἀπόστολοι, ἠκονημένα διὰ τὸ λαμπρὸν τοῦ βίου καὶ τὸ παρεισδύεσθαι ταῖς καρδίαις τῶν μαθητευομένων διὰ τῆς διδασκαλίας.

Μέχρι τούτου τοῖς τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ λόγοις ἐνδιατρίψας, ἄνεισιν ἤδη καὶ ἐπὶ τοὺς τῆς θεότητος αὐτοῦ.

7α Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ὁ θρόνος, βασιλείας ὢν σύμβολον, τὴν βασιλείαν αἰνίττεται. Λέγει δὲ, ὅτι ἡ βασιλεία σου, ἀΐδιος. Ὅρα δὲ ὅπως Θεὸν φανερῶς τὸν Χριστὸν ὠνόμασε.

7β Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

Ἡ ῥάβδος, τῆς δικαστικῆς ἐξουσίας σύμβολον. Ἡ δικαστική σου οὖν, φησὶν, ἐξουσία, εὐθύτητός ἐστιν, ὀρθῶς δικάζουσα. Ἢ καὶ ἄλλως, ῥάβδον νόει μοι, τὴν παιδευτικὴν δύναμιν· αὕτη οὖν, εὐθύτητός ἐστι, δικαίως μαστίζουσα.

8α Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν.

Ἀνομίαν λέγει, τὴν ἀδικίαν. Ποικίλως δὲ τῷ Χριστῷ προσμαρτυρεῖ τὴν
δικαιοσύνην, ὡς ἅπαντας κρῖναι μέλλοντι. 2Tim 4.1

Εἶτα πάλιν πρὸς τὸ πρόσλημμα ποιεῖται τὸν λόγον.

8β Διὰ τοῦτο ἔχρισέ σε, ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

Μέτοχοί εἰσιν οἱ κοινωνοί. Κοινωνοῦσι δὲ τῷ Χριστῷ τοῦ τοιούτου ὀνόματος πάντες οἱ βασιλεῖς, χριστοὶ καὶ οὗτοι καλούμενοι, παρὰ τὸ χρίεσθαι· ἀλλ᾽ ἐκείνους
μὲν προφῆται ἔχριον, καὶ ἔλαιον σκευαστὸν, εἰς σύμβολον βασιλείας· σὲ δὲ τρόπον 1Rg 10.1
ἕτερον παρ᾽ αὐτοὺς ὁ Θεὸς ἔχρισεν εἰς βασιλέα· *Ἐγὼ δὲ, φησὶ, κατεστάθην*
βασιλεὺς ὑπ᾽ αὐτοῦ, καὶ οὐ τοιοῦτον ἔλαιον, ἀλλὰ χρῖσιν ἀγαλλιάσεως. Ps 2.6α

Ὥσπερ οὖν ῥομφαίαν Θεοῦ καὶ τόξα καὶ βέλη ἀκούοντες, καὶ εἴ τι τοιοῦτον,

οὐ ταῦτα παχυμερῶς νοοῦμεν, ἀλλὰ τὴν τούτων ἐνέργειαν, οὕτω καὶ ἔλαιον νῦν, τὴν χρῖσιν νομίζομεν· | χρῖσις δὲ ἀγαλλιάσεως, ἡ ἐπιφοίτησις τοῦ ἁγίου Πνεύματος· χαροποιὸν γὰρ τὸ ἅγιον Πνεῦμα. 1Thes 1.6

Καθόλου δὲ ἡ χρῖσις, ὅτι καὶ ὅλον ὅλῳ συνῆν, καὶ οὐκ ἐκ μερικοῦ χαρίσματος, ὡς ἐπὶ τῶν πνευματοφόρων ἀνδρῶν· καὶ κατὰ τοῦτο γὰρ διέφερε.

9α *Σμύρνα καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου.*

Ἱμάτια τῆς τοῦ Λόγου θεότητος, ἡ τοῦ προσλήμματος ψυχὴ καὶ σὰρξ, οἷς ἐκείνη ἀποῤῥήτως ἐνεχωρήθη, ἃ καὶ παραπετάσματα καλεῖ Παῦλος ὁ Ἀπόστολος. Heb 10.20

Βούλεται δὲ νῦν ὁ προφήτης εἰπεῖν, ὅτι ἐκ μὲν τῆς σαρκός σου, νέκρωσις ἔσται καὶ ἀδιαφθορία· τούτων γὰρ σύμβολον, ἡ σμύρνα, τοῖς νεκροῖς γὰρ σώμασιν ἀδιαφθορίας ἕνεκεν ἐπαλείφεται· ἐκ δὲ τῆς ψυχῆς σου, κάθοδος εἰς ᾅδην· ἡ στακτὴ γὰρ, τὸ ὑγρὸν τῆς σμύρνης ἐστὶν, ὅσον αὐτῆς ἀπολειβόμενον καταστάζει· πᾶσα δὲ σταγὼν, κατωφερὴς, ὡς ὁ μέγας ἐξηγήσατο Βασίλειος· ἡ δὲ κασσία, φλοιῶδες PG29.408 *ἄρωμα εὐωδέστατον· αἰνίττεται δὲ διὰ ταύτης, τὴν εὐωδίαν τοῦ Δεσποτικοῦ σώματος· φύσει γὰρ ἦν εὐώδης, διὰ τὴν ἀναμαρτησίαν.*

9β *Ἀπὸ βάρεων ἐλεφαντίνων.*

Βάρεις ἐκαλοῦντο, οἱ οἶκοι καὶ οἱ ναοί. Τὴν ψυχὴν δὲ καὶ τὸ σῶμα τοῦ προσλήμματος, πάλιν ὀνομάζει βάρεις· ὡς γὰρ ἱμάτια ταῦτα, οὕτω καὶ οἶκος καὶ ναὸς τῆς θεότητος· οἷον ἔσται τὰ ῥηθέντα, ἀπὸ τῶν ἱματίων σου, λέγω δὴ, ἀπὸ βάρεων· τὸ δὲ, ἐλεφαντίνων, ἀντὶ τοῦ, λαμπρῶν· λαμπρὰ γὰρ τὰ ἐλεφάντινα, διὰ τὴν ἄγαν στιλπνότητα.

9γ-10α *Ἐξ ὧν ηὔφρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου.*

Ὧν ἕνεκεν, ἤτοι διὰ τὴν νέκρωσιν καὶ ἀφθαρσίαν καὶ εἰς ᾅδου κάθοδον, καὶ ὅσα περὶ τὸ ἑκούσιον ὑπὲρ ἀνθρώπων πάθος σου, ηὔφρανάν σε αἱ πιστεύσασαί σοι ψυχαί· ταύτας γὰρ ὑποληπτέον, θυγατέρας βασιλέων. Εἰ γὰρ υἱοὶ καὶ συγκληρονόμοι τῆς οὐρανίου βασιλείας οἱ ἀπόστολοι, δῆλον ὡς καὶ βασιλεῖς· οὗτοι δὲ τὰς ψυχὰς τῶν πιστευσάντων διὰ τοῦ θείου βαπτίσματος ἐγέννησαν. Φησὶ γὰρ ὁ Παῦλος, ὅτι Διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Ηὔφραναν δέ σε πῶς; ἐν 1Cor 4.15 *τῷ τιμᾶν σε ἀψευδῶς.*

Ἀλλὰ ταῦτα μὲν, καθ' ὑψηλοτέραν ἐπιβολήν· κατὰ δὲ τὸ πρόχειρον, ἑτέρως τὰ ῥητὰ νοήσεις, ὅτι ποικίλη ἀρετῶν εὐωδία ἀποπνεῖ τοῦ προσλήμματός σου· καὶ οὐ τούτου μόνον, ἀλλὰ καὶ τῶν κατὰ τόπους ναῶν σου τῶν λαμπρῶν· ἡ γὰρ ποικιλία τῶν ἀρωματικῶν εἰδῶν, τὴν ποικιλίαν τῆς εὐωδίας τῶν ἀρετῶν ὑποσημαίνει. Ἐξ ὧν ναῶν ηὔφρανάν σε οἱ τούτους φιλοτίμως ἐκ πίστεως δειμάμενοι. Τὸ δὲ, ηὔφραναν, ὡς ἤδη γεγονὸς λέγει, νόμῳ προφητείας, ὡς ποιήσει καὶ παρακατιών·

9α[10] *εὐώδης* MSCBF : *εὐῶδες* PHV. 9α[14] *καὶ παρακατιών* MSCBF : om. PV.

εἶτα τὸ, θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου, ὅτι οὐκ ἰδιῶται μόνον, ἀλλὰ καὶ βασιλεῖς σε τιμήσουσι, καὶ τὸ παραδοξότερον, αἱ μυρίοις ὀφθαλμοῖς φυλαττόμεναι καὶ ἐν τοῖς ἀδύτοις τῶν βασιλειῶν θαλαμευόμεναι θυγατέρες τῶν βασιλέων, ὡς ἡ σοφωτάτη Αἰκατερίνα, καὶ ἄλλαι πολλαί.

10β *Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.*

Βασίλισσαν ἐνταῦθα λέγει, τὴν συναγωγὴν τῶν εὐσεβεστάτων Χριστιανῶν, ἣν ὁ βασιλεὺς Χριστὸς ἐνυμφεύσατο ἑαυτῷ, διὰ τῆς εἰς αὐτὸν πίστεως, πρότερον τοῖς εἰδώλοις κεκολλημένην, ἥτις ἐβασίλευσε μὲν τῶν παθῶν, συνεβασίλευσε δὲ τῷ νυμφίῳ βασιλείαν οὐράνιον.

Καὶ ὁ μὲν νυμφίος κάθηται ἐν δεξιᾷ τοῦ Πατρὸς, ὡς ὁμοούσιος καὶ ὁμότιμος· αὕτη δὲ παρέστηκεν ἐκ | δεξιῶν τοῦ νυμφίου, μετὰ τῶν ἀσωμάτων δυνάμεων. Εἰ γὰρ καὶ νύμφη ἐστὶ καὶ βασίλισσα, ἀλλὰ κτιστῆς ἐστι φύσεως, καὶ ὑπέρμεγα ταύτῃ, τὸ καὶ τοιαύτης ἀξιωθῆναι τάξεώς τε καὶ παραστάσεως.

Οὐκ ἐναντία δέ φησιν ὁ Παῦλος, λέγων περὶ τοῦ Θεοῦ, ὅτι *Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ.* Διὰ Χριστοῦ γὰρ, φησὶ, Eph 2.6
τοῦ Κυρίου γὰρ καθίσαντος οἷα κεφαλῆς ἡμῶν, συμμετέσχε τῆς τιμῆς καὶ τὸ λοιπὸν σῶμα τῆς Ἐκκλησίας.

10γ *Ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.*

Περιβεβλημένη μὲν ἐν ἱματισμῷ λαμπρῷ, ἤτοι τῇ χάριτι τοῦ θείου βαπτίσματος ἢ τῇ περιβολῇ τοῦ ἁγίου Πνεύματος· πεποικιλμένη δὲ τῇ ποικιλίᾳ τῶν εὐπρεπῶν ἀρετῶν. Νοητὴν γὰρ λέγει περιβολὴν καὶ ποικιλίαν, ὡς προϊὼν διδάξει φανερώτερον. Ps 44.14α

11α *Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου.*

Ὅρα πῶς προμνηστεύεται ταύτην τῷ Χριστῷ. Θυγατέρα δὲ τοῦ Χριστοῦ, τὴν αὐτὴν πάλιν ὀνομάζει. Ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων, οὐκ ἔνεστι τὴν αὐτὴν εἶναι καὶ νύμφην τοῦ αὐτοῦ καὶ θυγατέρα. Ἐπὶ δὲ τοῦ Χριστοῦ, καὶ ἀμφότερα, πνευματικὰ γάρ· καὶ ἐνυμφεύσατο μὲν αὐτὴν, διὰ τοῦ Εὐαγγελίου, ἀνεγέννησε δὲ, διὰ τοῦ βαπτίσματος. *Ἄκουσον,* φησὶν, ἃ λέγω, *καὶ ἴδε* ὅσα διὰ σὲ πέπονθεν ὁ νυμφίος, ἢ ὅσα πεποίηκε θαύματα· *καὶ κλῖνον τὸ οὖς σου,* ὑπόθες αὐτὸ ταῖς ἐντολαῖς αὐτοῦ.

11β *Καὶ ἐπιλάθου τοῦ λαοῦ σου.*

Τοῦ ἔθνους σου, τουτέστι, τῆς πονηρᾶς αὐτῶν πολιτείας καὶ τῆς προτέρας διαγωγῆς.

11γ Καὶ τοῦ οἴκου τοῦ πατρός σου.

Καὶ τοῦ ναοῦ τοῦ διαβόλου, τοῦ πατρός σου. *Πᾶς γὰρ, φησὶν, ὁ ποιῶν τὴν* 1Jn 3.8
ἁμαρτίαν, ἐκ τοῦ διαβόλου γεγέννηται. Ἐπιλάθου καὶ τῶν μιαρῶν θυσιῶν καὶ Jn 8.34, 44
τῶν ἐναγῶν ἐκείνων τελετῶν. Καὶ ἄλλως γὰρ τὰ ἔθνη πατέρας ἑαυτοῖς ἐπέγραφον τοὺς μυθευομένους θεούς.

Τί δ' ἂν εἴποιεν Ἰουδαῖοι πρὸς ταῦτα; Προδήλως γὰρ οὐ τὴν αὐτῶν λέγει συναγωγὴν, οἷς μάλιστα νόμος, μὴ ἀφίστασθαι τῶν πατρίων.

12α Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.

Καὶ ἀγαπήσει σε, εἰ ποιήσεις ἃ εἶπον. Κάλλος δὲ ταύτης, ἡ ψυχικὴ ὡραιότης, ὡς εἰρήκαμεν.

12β-13α Ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ.

Νυμφεύθητι αὐτῷ, καὶ υἱοποιήθητι, ὅτι Δεσπότης σού ἐστιν, ὡς δημιουργός. Ὢ τῆς ἀπείρου συγκαταβάσεως καὶ φιλανθρωπίας! Καὶ προσκυνήσεις αὐτῷ δουλικῶς, εἰ καὶ νύμφην καὶ θυγατέρα σε πεποίηκε.

13β Καὶ θυγάτηρ Τύρου ἐν δώροις.

Κατείδωλος ἦν ἡ Τύρος, καὶ δυσσεβεστάτη μάλιστα τῶν ἄλλων πόλεων. Προφητεύει οὖν, ὅτι καὶ αὐτὴ δωροφορήσει τῷ Χριστῷ ναῶν οἰκοδομὰς, καὶ ἀναθήματα, καὶ τὴν ἄλλην λατρείαν. Ἔσται, φησὶν, ἐν δώροις.

Θυγάτηρ δὲ Τύρου, ἀντὶ τοῦ, ἡ θυγάτηρ Τύρος· ἰδίωμα γὰρ καὶ τοῦτο
Ἑβραϊκόν· οὕτω γὰρ καὶ τὸ, *θυγάτηρ Βαβυλῶνος*, καὶ εἴ τι τοιοῦτον. Θυγατέρα Ps 136.8
δὲ καλοῦσι τὴν πόλιν, ὡς πρὸς τὴν ὅλην χώραν, ἧς αὕτη μέρος ἐστί.

13γ Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Πρόσωπον ἐνταῦθα, τὴν κεφαλὴν καλεῖ· κεφαλὴ δὲ τῆς συναγωγῆς τῶν πιστῶν, ὁ Χριστὸς, ὃν λιτανεύσουσι, τουτέστιν, ἱκετεύσουσιν — ἢ τιμήσουσιν, ὡς ὁ Θεοδοτίων εἶπε — βασιλεῖς καὶ ἡγεμόνες· εἰ δὲ οὗτοι, πολλῷ μᾶλλον οἱ τούτων ὑπήκοοι.

Ἢ πρόσωπον τῆς Ἐκκλησίας, οἱ ἱερεῖς, οὓς τιμῶσι καὶ αὐτοὶ βασιλεῖς, ὡς παραστάτας Θεοῦ.

14α Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν.

Ἵνα μὴ νομίσῃ τις, ὅτι περὶ αἰσθητῶν εἴρηκεν ὀπίσω περιβλημάτων ἢ κάλλους,

13β[7] Add. MSC in marg.: Ζήτει περὶ τοῦ ἰδιώματος τούτου εἰς τὸν οβ´ ψαλμὸν, ἐν τῷ τέλει. [Ps 72.28] : Περὶ δὲ τοῦ ἰδιώματος τούτου ζητῶν, εὑρήσεις καὶ εἰς τὸν οβ´ ψαλμὸν, ἐν τῷ τέλει. PV : om. BF.

μεθιστᾷ τὸν νοῦν τῶν ἀκροατῶν ἐπὶ τὰ νοητὰ, λέγων, ὅτι πᾶσα ἡ ὡραιότης καὶ ἡ εὐπρέπεια καὶ ὁ | κόσμος αὐτῆς ἐν τῇ ψυχῇ αὐτῆς ἐστι. Τὸ ψυχικὸν γὰρ κάλλος καὶ τὴν ἐξ ἀρετῶν στολὴν ὁ Θεὸς ἀποδέχεται.

14β Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.

Ἄνω μὲν εἶπεν, *ἐν ἱματισμῷ*, ἐνταῦθα δὲ, *ἐν κροσσωτοῖς*, τουτέστι ζώναις· τινὲς γὰρ, ἐν συσφιγκτῆρσιν ἐκδεδώκασιν, ὧν ἀπαιωροῦνται κροσσοί. Ζώνην δὲ νοήσεις, τὴν σωφροσύνην, συσφίγγουσαν τὸ ἐπιθυμητικὸν μέρος, ἧς ἀπαιωροῦνται ἀρεταὶ πολλαί· ὁ γὰρ χαλινώσας τὴν ἐπιθυμίαν, κατορθώσει πολλά.

Ἄλλοι τὸ, *ἐν κροσσωτοῖς*, ἐν κροσσοῖς εἶπον, κροσσοὺς λέγοντες, τὰς διαφορὰς τῶν ἀρετῶν, ἢ τὰς διαφορὰς τῶν πνευματικῶν χαρισμάτων.

15α Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς.

Προφητεύει ὅτι οὐχ ἅμα τῷ συστῆναι τὴν συναγωγὴν τῶν πιστῶν ἡ παρθενία πολιτευθήσεται, ἀλλ᾽ ὀπίσω ταύτης, τουτέστιν, ὕστερον· μετὰ γὰρ τὸ παγιωθῆναι τὴν Ἐκκλησίαν ἀπηνέχθησαν τῷ Χριστῷ, διὰ τῆς τῶν ἀποστόλων διδασκαλίας, παρθένοι.

Ἄλλος δέ φησιν, ὅτι νύμφη μὲν καὶ θυγάτηρ ἐστὶ, πᾶσα ψυχὴ διὰ τελειότητος οἰκειωθεῖσα Θεῷ· παρθένος δὲ, ἡ καθαρεύσασα μὲν τῶν παθῶν, ἔτι δ᾽ ἀτελὴς, ἥτις ἀπάγεται τῷ Θεῷ, δευτερεύουσα τῆς τελειοτέρας.

15β Αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.

Αἱ καὶ βίῳ καὶ δόγμασιν ἐγγίζουσαι τῇ νύμφῃ καὶ θυγατρὶ, καὶ μικρὸν ταύτης ἀπολειπόμεναι.

16α Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει.

Φησὶν ὁ ἀπόστολος Παῦλος, ὅτι *θλῖψιν τῇ σαρκὶ ἕξουσιν* αἱ γαμούμεναι, 1Cor 7.28
δηλαδὴ μεριμνῶσαι περὶ τοῦ ἀνδρὸς, περὶ τῶν τέκνων, περὶ τῶν οἰκετῶν, περὶ τῆς οἰκίας, καὶ τῶν τοιούτων, ὧν τῆς φροντίδος ἡ παρθένος ἀπαλλαγεῖσα, καὶ πρὸς μόνον τὸν νοητὸν ὁρῶσα νυμφίον, χαίρει πνευματικῶς.

16β Ἀχθήσονται εἰς ναὸν βασιλέως.

Ἢ ὅτι καὶ παρθένων τάγματα τῷ κλήρῳ τῆς Ἐκκλησίας ἀφορισθήσονται, ἢ ναὸν, τὸν ἐπουράνιον, καὶ τὰ ἐν οὐρανῷ λέγει βασίλεια, εἰς ἃ παρὰ τῶν ἀγγέλων ἀχθήσονται.

15α Add. [M in marg.]B: *Ἀναγωγικῶς δέ· ὅσαι ἂν τὴν παρθενίαν ἀγαπήσωσι, μιμοῦνται τρόπον τινὰ τὴν Θεοτόκον, κατακολουθοῦσαι δηλαδὴ αὐτὴν διὰ τῆς μιμήσεως, ὥστε κατ᾽ αὐτὸ δὴ τὸ παρθενεύειν, εἶεν ἂν μητέρες Χριστοῦ· φησὶ γὰρ ὁ ἐν θεολόγοις μέγας Γρηγόριος· Χριστὸς ἐκ Παρθένου· γυναῖκες, παρθενεύετε, ἵνα Χριστοῦ γένησθε μητέρες.*
15α[8] δευτερεύουσα MSCBF : δευτέρα οὖσα PV. 16β[2] τάγματα... ἀφορισθήσονται PB(V) : τάγμα... ἀφορισθήσεται MSCF.

17α Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σοι.

Τοῦτο πρὸς τὴν συναγωγὴν τῶν πιστῶν ὁ Δαυὶδ εἴρηκεν· ἐπειδὴ γὰρ ἐκέλευσεν αὐτὴν ἀποστῆναι τοῦ πατρῴου οἴκου, παραμυθεῖται ταύτην, ὅτι τὰ τέκνα αὐτῆς, ἤγουν οἱ πιστεύσαντες καὶ ἀναγεννηθέντες διὰ τοῦ βαπτίσματος, γενήσονται ἀντὶ τῶν πατέρων αὐτῆς ὅσον εἰς προστασίαν· κατέστησαν γὰρ ἐπίσκοποι καὶ προστάται τῶν κατὰ τόπους Ἐκκλησιῶν, ὃ καὶ διὰ τῶν ἑξῆς ἐδήλωσεν, εἰπών·

17β Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

Ἢ καὶ πρὸς τὸν Χριστὸν ὁ λόγος, οὗ πατέρες μὲν, ὅσον ἀπὸ τῆς μητρὸς αὐτοῦ, Ἀβραὰμ καὶ οἱ λοιποὶ πατριάρχαι ἢ καὶ οἱ προφῆται· υἱοὶ δὲ, οἱ ἀπόστολοι, οἵτινες ἐπανέβησαν εἰς τὸ ἀξίωμα τῶν πατέρων αὐτοῦ, πατριάρχαι τε γενόμενοι, ἐν τῷ γεννῆσαι διὰ τοῦ βαπτίσματος πάντα τὰ ἔθνη, καὶ ἀξιωθέντες τοῦ προφητικοῦ χαρίσματος, ἀλλὰ καὶ ἀπεστάλησαν παρ᾿ αὐτοῦ ἄρχοντες εἰς πᾶσαν τὴν γῆν· *Πορευθέντες γὰρ, φησὶ, μαθητεύσατε πάντα τὰ ἔθνη*. Οὐ μόνον δὲ ζῶντες ἦρξαν, Mt 28.19
ἀλλὰ καὶ μετὰ θάνατον· πάντες γὰρ οἱ πιστοὶ πανταχοῦ τοῖς νόμοις αὐτῶν καὶ ταῖς παραγγελίαις πείθονται καὶ ἰθύνονται. Δειξάτωσαν οὖν Ἰουδαῖοι, τίνες υἱοὶ αὐτῶν ἦρξαν πάσης τῆς γῆς, οἳ καὶ μᾶλλον πάσῃ τῇ γῇ δουλεύουσι.

18α Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Τοῦτο ἡ Ἐκκλησία φησὶ, τοιούτων ἀξιωθεῖσα· ἡ ἀναδίπλωσις δὲ τῆς γενεᾶς, τὴν εἰς ἀεὶ διαδοχὴν σημαίνει. Καὶ μὴν καὶ μιμνήσκεται ἀεὶ τοῦ Χριστοῦ, ἐπεὶ καὶ ἀπ᾿ αὐτοῦ Χριστιανὴ κέκληται.

18β Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα.

Διότι τοσαύτης με προμηθείας ἠξίωσας, πλήθη πιστῶν εὐχαριστήσουσί σοι, παρ᾿ ὅλον τὸν ἀνθρώπινον βίον.

18γ Καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ οὐκ εἰς τὸν τοῦ παρόντος κόσμου αἰῶνα μόνον, | ἀλλὰ καὶ εἰς τὸν τοῦ μέλλοντος· οὗτος γὰρ αἰῶνος αἰὼν, ὡς τιμιώτερος καὶ ἀπέραντος.

45 με΄
1 Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορέ· ὑπὲρ τῶν κρυφίων· ψαλμός.

Εἰς τὸ τέλος μὲν, ὅτι πρὸς τέλος ὁρῶσιν αἱ ἐν τούτῳ προφητεῖαι· προαγορεύει δὲ τὰς κατὰ τῆς Ἐκκλησίας ἐν ἀρχῇ τοῦ κηρύγματος ἐπαναστάσεις τῶν τυράννων, καὶ

17α[1] οἱ υἱοί MPSCBHFV : υἱοί [TRa]. 17α[2] ἐκέλευσεν PSCBFV : ἐγκέλευσεν M. 17β[5] προφητικοῦ MSCBF : πνευματικοῦ PV. 17β[9] Ἰουδαῖοι MSCBF : οἱ Ἰουδαῖοι PV. 18α[3] Καὶ μήν MSCBFV : Ναὶ μήν H. 18γ[2] ἀλλὰ καὶ PCHBV : ἀλλὰ MSF.

τὴν ταύτης ὑπομονὴν, καὶ τὴν ἐφεξῆς εἰρήνην. Διὸ καὶ μετὰ τὸν προλαβόντα δικαίως τέτακται· ἐκεῖνος μὲν γὰρ τὴν κλῆσιν αὐτῆς περιέχει· οὗτος δὲ τὰ μετὰ τὴν κλῆσιν.

Ἔν τισι δὲ τῶν ἀρχαίων ἀντιγράφων, οὐχ ὑπὲρ τῶν υἱῶν Κορὲ, ἀλλὰ τοῖς υἱοῖς Κορὲ, ἐπεγέγραπτο, καὶ δῆλον, ὡς λήθη τοῦτο τοῦ κατ' ἀρχὰς μεταγράψαντος, ἀφ' οὗ τινος διεδόθη καὶ πρὸς τοὺς ἄλλους.

Δυνάμεθα δὲ καὶ οὕτως ἑρμηνεῦσαι τὴν ἐπιγραφὴν, τὴν ὑπέρ πρόθεσιν ἀντὶ τῆς διά λαμβάνοντες, οἷον, διὰ τῶν υἱῶν Κορέ· ἐποιήθη μὲν γὰρ τῷ Δαυὶδ, ἐμελῳδήθη δὲ διὰ τῶν υἱῶν Κορέ. Φασὶ γὰρ τὴν Ἑβραϊκὴν λέξιν καὶ τὸ, διὰ τῶν υἱῶν, καὶ τὸ, ὑπὲρ τῶν υἱῶν, ὁμοίως σημαίνειν.

Ὑπὲρ τῶν κρυφίων δὲ, ἀντὶ τοῦ, περὶ τῶν κεκρυμμένων τοῖς πολλοῖς· αἰνιγματώδη γὰρ ἐν τούτῳ τὰ πολλά.

Εἴρηται δὲ προσώπῳ τῶν ἀποστόλων καὶ τῶν μαρτύρων.

2α *Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις.*

Ὁ Χριστὸς, εἰς ὃν ἡμεῖς πεπιστεύκαμεν, φεύγουσι μὲν ἡμῖν, καταφυγή ἐστιν, ἀνθισταμένοις δὲ, δύναμις· αὐτὸς γὰρ ἐνετείλατο φεύγειν μὲν τοὺς πειρασμοὺς, ἐμπίπτοντας δὲ, ἀνθίστασθαι δι' ὑπομονῆς, ὥστε μὴ ἡττᾶσθαι τούτων.

2β *Βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.*

Τὸ, σφόδρα, πρὸς τὸ, βοηθὸς, ἀποδίδωσιν ὁ Χρυσόστομος. PG55.204

Σκόπει δὲ, ὅτι αἱ θλίψεις εὑρίσκουσι τοὺς κατὰ Θεὸν ζῶντας, καταδιώκουσαι αὐτοὺς, τοῦ Θεοῦ παραχωροῦντος, ἵνα γυμνασθέντες, δοκιμώτεροι γένωνται. Ἡ θλῖψις γὰρ, φησὶν, ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ, δοκιμήν. Ὁ γὰρ Rom 5.3 *Θεὸς οὐ κωλύει μὲν τοὺς πειρασμοὺς, διὰ τὴν ῥηθεῖσαν αἰτίαν· ἐπιόντων δὲ, παρίσταται βοηθός.*

3 *Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.*

Τουτὶ τὸ χωρίον, οὔτε ὁ μέγας Βασίλειος κατ' ἀναγωγὴν ἔλαβεν, οὔτε ὁ PG29.420B *Χρυσόστομος, ἀλλὰ συμφώνως εἶπον, ὅτι λέγουσιν οἱ ἅγιοι, ὡς ἄρα τοῦ Χριστοῦ* PG55.204 *βοηθοῦντος ἡμῖν σφόδρα, οὐδέποτε φοβηθησόμεθα, οὐδ' εἰ πᾶσα ἡ γῆ συνταραχθείη σεισμοῖς ἐξαισίοις, οὐδ' εἰ τὰ ὄρη, τῆς φυσικῆς ἕδρας ἀνασπασθέντα, εἰς τὰ βάθη τῆς θαλάσσης ἀποσφενδονηθεῖεν. Εἰ δὲ τῶν στοιχείων οὕτω συγχεομένων οὐ δείσομεν, πολλῷ μᾶλλον οὐδὲ τῶν τυράννων ἐπιτιθεμένων ἡμῖν. Ὅθεν καὶ Παῦλος ἔλεγε, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; τόδε; ἢ τόδε;* Rom 8.35

4 *Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν· ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.*

Τοῦτο λέγουσιν, ὅτι παντοδύναμος ὁ βοηθὸς ἡμῶν· πολλάκις γὰρ τὰ ὕδατα τῶν θαλασσῶν ἤχησαν καὶ ἐταράχθησαν κυκώμενα καὶ ἀναβρασσόμενα ταῖς βίαις τῶν ἐμπιπτόντων ἀνέμων. Ἔτι δὲ καὶ τὰ ὄρη ἐσαλεύθησαν σεισμῷ. Ταῦτα δὲ γίνεται ἐν τῇ δυνάμει αὐτοῦ· *Ὁ μεταστρέφων γὰρ, φησὶ, τὸ κύτος τῆς θαλάσσης,* Ps 64.8 [65.6]
καὶ *Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν.* Ps 103.32

Θαλασσῶν δὲ πληθυντικῶς εἶπε, κατὰ τὴν Ἑβραΐδα συνήθειαν, ὡς ἐν ἄλλοις Ps 2.2α, 8.4α,
εἰρήκαμεν. Ἢ θαλάσσας καλεῖ, τοὺς διαφόρους κόλπους — τὸν Αἰγαῖον, τὸν 18.2α
Ἰόνιον, καὶ τὰ τοιαῦτα.

Οὐκ ἄκαιρον δὲ καὶ ἀναγωγικῶς ἑρμηνεῦσαι τὰ προῤῥηθέντα. Οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, ἤτοι τοὺς | γηΐνα φρονοῦντας τυράννους καὶ ὑπηκόους· ἐταράσσοντο γὰρ, μετατιθεμένης τῆς πατρίου πολιτείας αὐτῶν. Ναὶ μὴν, οὐδ᾽ ἐν τῷ μετατίθεσθαι, εἴτουν εἰσέρχεσθαι τὰ ὄρη, τουτέστι, τοὺς ἐπηρμένους δαίμονας, εἰς τὰς καρδίας τῶν ἁλμυρῶν καὶ πικρῶν ἀνθρώπων, ἐκμαίνοντας αὐτὰς εἰς τὸν καθ᾽ ἡμῶν φόνον· πολλὰ γὰρ τοιαῦτα γεγονέναι παρίστησιν ἡ βίβλος τῶν ἀποστολικῶν Πράξεων. Ὕδατα δὲ αὐτῶν, ἤγουν τῶν δαιμόνων, οἱ εἰδωλολάτραι, δίκην ὑδάτων τῇδε κἀκεῖσε μεταφερόμενοι τοῖς πνεύμασι τῆς τούτων ἀπάτης, οἳ ἤχησαν μὲν, βοῶντες καὶ ἀλλήλους παραθήγοντες, ἐταράχθησαν δὲ, θορυβηθέντες ἐπὶ ταῖς παραδοξοποιΐαις τῶν δούλων τοῦ Θεοῦ καὶ τῇ ἀνταγωνίστῳ δυνάμει· ἐταράχθησαν δὲ καὶ τὰ ὄρη, τουτέστι, καὶ αὐτοὶ οἱ δαίμονες, ἀτονοῦντες καὶ ἐλαυνόμενοι.

5α Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.

Ἐνταῦθα τὰ κρύφια καὶ μυστικά. Ps 45.1

Ποταμὸς μὲν γὰρ, ὁ Χριστὸς, διὰ τὰ γλυκύτατα ῥεύματα τῆς διδασκαλίας αὐτοῦ ἄρδοντα καὶ πιαίνοντα καὶ πρὸς καρπογονίαν ἀρετῶν ἄγοντα τὰς τῶν πιστῶν ψυχάς· φησὶ γὰρ δι᾽ ἑνὸς τῶν προφητῶν, *Ἰδοὺ ἐγὼ ἐκκλίνω ἐπ᾽ αὐτοὺς,*
ὡς ποταμὸς εἰρήνης. Ὁρμήματα δὲ αὐτοῦ, οἱ θεῖοι ἀπόστολοι, παρορμηθέντες ὑπ᾽ Isa 66.12
αὐτοῦ πρὸς τὴν τῶν πιστῶν διδασκαλίαν· *Πορευθέντες γὰρ, φησὶ, μαθητεύσατε*
πάντα τὰ ἔθνη. Πόλις δὲ τοῦ Θεοῦ, τὸ σύστημα τῶν πιστῶν, ἡ τῶν Χριστιανῶν Mt 28.19
Ἐκκλησία, διὰ τὸ θεοφιλὲς τῆς πολιτείας αὐτῶν. Εὐφραίνουσιν οὖν τὴν Ἐκκλησίαν οἱ ἀπόστολοι, καὶ βίῳ καὶ λόγῳ.

Καὶ ἄλλως δὲ, ποταμὸς μὲν, τὸ Πνεῦμα τὸ ἅγιον, ὁρμήματα δὲ αὐτοῦ, τὰ διάφορα χαρίσματα, οἷς ἡ Ἐκκλησία κατακεκόσμηται.

5β Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Ἡ αὐτὴ πόλις ἐστὶ καὶ σκήνωμα τοῦ Θεοῦ· *Ἐνοικήσω γὰρ, φησὶν, ἐν αὐτοῖς* 2Cor 6.16
καὶ ἐμπεριπατήσω. Lev 26.12

6α Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται.

4[14] αὐτάς MSCBF : αὐτούς PV. 5α[6-7] ὑπ᾽ αὐτοῦ πρὸς MSCBF : παρ᾽ αὐτοῦ εἰς PV.

Καὶ ἰδοὺ φησὶν, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, καὶ, Ὅπου εἰσὶ δύο ἢ Mt 28.20
τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. Mt 18.20
Οὐ σαλευθήσεται δὲ, ταῖς βίαις τῶν ἀνατρέπειν ἐπιχειρούντων ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν· *Πύλαι γὰρ, φησὶν, ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.* Mt 16.18

6β Βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ.

Βοηθήσει αὐτῇ ἐν περιστάσεσι ταχύτατα. Τὸ γὰρ, *πρὸς πρωῒ πρωΐ*, τάχους ἐπίτασιν σημαίνει, καὶ σύγκρισιν τοῦ πρωῒ, πρὸς ἕτερον πρωΐ· διὸ τὸ ἄρθρον τῷ δευτέρῳ πρωῒ συντάξεις· οἷον, τὸ πρωῒ, ὅσον πρὸς πρωῒ ἕτερον.

7α Ἐταράχθησαν ἔθνη.

Τοῦ εὐαγγελικοῦ κηρύγματος κατασπειρομένου, συνεκινήθησαν πάντες, οἱ μὲν προστρέχοντες τῇ πίστει, οἱ δὲ κατατρέχοντες αὐτῆς.

7β Ἔκλιναν βασιλεῖαι.

Αἱ πολεμοῦσαι τῇ Ἐκκλησίᾳ ἡττήθησαν ἀπειποῦσαι, ἢ ὑπεκλίθησαν αὐτῇ διὰ πίστεως· καὶ τοῦτο γὰρ κἀκεῖνο γέγονεν ἐπὶ διαφόρων πόλεων.

7γ Ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος, ἐσαλεύθη ἡ γῆ.

Τὸ μεγαλοδύναμον τοῦ Θεοῦ δεδήλωκεν ἐντεῦθεν, ὅτι μόνον λέγει, καὶ εὐθὺς τρέμει ἡ γῆ. Καὶ ἀλλαχοῦ γάρ φησιν, *Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν.* Τὰ τοιαῦτα δὲ, κατὰ μεταφορὰν εἴρηνται τῶν ἐγκελευόντων τιμωρηθῆναί Ps 103.32
τινας, ἢ ὀργίλως ἐνορώντων· ὀργὴν δὲ Θεοῦ λέγομεν, τὴν ἀπόφασιν.
Ἢ καὶ ἄλλως, ἔδωκεν εἰς τὸν κόσμον τὴν διὰ τοῦ Εὐαγγελίου φωνὴν αὐτοῦ, καὶ συνεκινήθησαν πάντες, ὡς προειρήκαμεν· γῆν γὰρ νοήσεις, τοὺς κατοικοῦντας τὴν γῆν, ὡς τὸ, *Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν.* | Gen 11.1

8 Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Ταῦτα ἡ Ἐκκλησία φησὶν, ἐνισχύουσα ἑαυτὴν, καὶ παραθαῤῥύνουσα.
Εὐκαίρως δὲ τοῦ Ἰακὼβ ἐμνημόνευσεν, ὅτι τε κἀκεῖνον, ἐπιβουλευόμενον, τοῦτο μὲν, ὑπὸ Ἠσαῦ, τοῦτο δὲ, ὑπὸ Λάβαν, τοῦτο δὲ, ὑπὸ διαφόρων ἄλλων, ὁ Θεὸς ἐῤῥύσατο, καὶ ὅτι πρῶτος αὐτὸς τὴν τῶν ἐθνῶν κλῆσιν προεφήτευσεν, εἰπὼν, *Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν.* Gen 49.10

9 Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς.

Συγκαλεῖ τοὺς ὀξύτερον τῶν ἄλλων ὁρᾶν καὶ συνιέναι δυναμένους ὁ προφήτης. Ἔργα δὲ λέγει, τὰ τοῦ Εὐαγγελίου κατορθώματα, ἃ καὶ τέρατα προσηγόρευσε· ταῦτα γὰρ, φησὶν, ὁ Θεὸς τέρατα ἐπὶ τῆς γῆς ἔθετο, ὥστε δι' αὐτῶν κηρύττεσθαι τὴν ἄῤῥητον δύναμιν τῆς αὐτοῦ θεότητος. Οὐ γὰρ κατ' ἀκολουθίαν φύσεως προέβησαν· οἱ γὰρ ἁλιεῖς ἐνίκων τοὺς φιλοσόφους, οἱ ὀλίγοι, τὸν σύμπαντα κόσμον, οἱ γυμνοὶ, τοὺς ὁπλίτας, οἱ πένητες, τοὺς βασιλεῖς, οἱ θνητοὶ καὶ ὁρατοὶ, τοὺς ἀθανάτους καὶ ἀοράτους δαίμονας.

10α Ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς.

Τοῦ γὰρ Ἰησοῦ γεννηθέντος, ἐπαύθησαν οἱ κατ' ἀλλήλων πόλεμοι τῶν ἐθνῶν, τῆς κατὰ πάντων μοναρχίας εἰς μόνην τὴν Ῥώμην περιστάσης. Ἐξῆλθε γὰρ, φησὶ,
δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην· καὶ Lk 2.1
λοιπὸν, εἰρήνης βαθείας οὔσης, ἄχρηστα γεγόνασι τὰ ὅπλα, πάντων εἰς γεωργίαν καὶ τὰς ἄλλας τέχνας τραπέντων. Ὃ καὶ Ἡσαΐας δηλῶν, ἔλεγε, Συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται
ἔθνος ἐπὶ ἔθνος μάχαιραν. Isa 2.4

Ὅρα δὲ καὶ τὴν δύναμιν τῆς λέξεως τοῦ, ἀνταναιρῶν· πρὸ τοῦ Χριστοῦ μὲν γὰρ οἱ πόλεμοι τοὺς ἀνθρώπους ἀνῄρουν· ὁ δὲ Χριστὸς αὐτοὺς τοὺς πολέμους ἀνεῖλεν, ἀνθ' ὧν ἀνῄρουν· ἀνταναιρῶν οὖν, ἀντὶ τοῦ, σβεννύων.

10β Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.

Ταῦτα πάντα γεγόνασι καθ' ἱστορίαν, ὡς καὶ Ἰεζεκιὴλ διδάσκει. Ez 39.3

Ὅπλον δὲ λέγει, τὴν σπάθην, καὶ εἴτι ἐγχέμαχον. Τῷ Θεῷ δὲ τὴν πρᾶξιν τοῦ κατορθώματος εἰκότως ὁ Δαυὶδ ἀνατίθησι.

11α Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός.

Σχολάσατε ἀπὸ τῶν συνεχῶν πολέμων, ὁρατῶν καὶ ἀοράτων, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ κυρίως Θεὸς, ἐκ τῶν σημείων τῶν ἐνεργουμένων διὰ τῆς εὐαγγελικῆς δυνάμεως.

11β Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν.

Μέγας ὢν φύσει, καὶ διὰ τῶν θαυμάτων μέγας νομισθήσομαι ἐν τοῖς ἔθνεσιν.

11γ Ὑψωθήσομαι ἐν τῇ γῇ.

Ἐν μὲν γὰρ τῷ οὐρανῷ, πᾶσαι αἱ ἀσώματοι δυνάμεις οἴδασι τὸ ἐμὸν ὕψος· λοιπὸν δὲ καὶ ἐν τῇ γῇ τοῦτο γνωρισθήσεται· ἐν τῇ γῇ δὲ, πάσῃ δηλονότι.

11β[2] νομισθήσομαι MSCBFV : ὀνομασθήσομαι P.

12 Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Ἐπανέλαβεν ἡ Ἐκκλησία τὸ προῤῥηθὲν θαρσοποιὸν ἐπιφώνημα, πρὸς αὔξησιν εὐψυχίας καὶ καρτερίας, ἐπεμβαίνουσα καὶ ἐναλλομένη τῷ ἐχθρῷ. Ps 45.8

46 μς΄

1 Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορέ· ψαλμὸς τῷ Δαυίδ.

Εἰς τὸ τέλος μὲν, διὰ τὰς ἐν τούτῳ προφητείας, ὡς πολλάκις εἰρήκαμεν· προαγορεύει γὰρ ἀκολούθως | καὶ οὗτος ὁ ψαλμὸς τὸ ἀήττητον κράτος τοῦ εὐαγγελικοῦ κηρύγματος. Τὸ δὲ, ὑπὲρ τῶν υἱῶν Κορέ, προηρμηνεύσαμεν ἐν τῷ πρὸ τούτου ψαλμῷ· οὕτω γὰρ ἐπιγέγραπται κἀκεῖνος.

Οὐδὲν δὲ κρύφιον ἐν τῷ παρόντι· σαφῆ δὲ πάντα καὶ εὐδιάγνωστα. Προλέγει δὲ τὰ τοῦ ψαλμοῦ ὁ Δαυὶδ, προσώπῳ τῶν ἀποστόλων, οἳ κατευοδούμενοι, καὶ πολλοὺς τῇ πίστει προσάγοντες, ὑπὸ περιχαρείας ἐνεκελεύοντο τοῖς ἔθνεσι χαίρειν εἰς ἃ παρὰ τοῦ Σωτῆρος ἀπεστάλησαν· χαίρειν δὲ, ὅτι γεγόνασι κληρονομία Θεοῦ.

2α Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας.

Ὁ κρότος τῶν χειρῶν, σύμβολόν ἐστιν ὑπερβαλλούσης χαρᾶς. Ἀπὸ τοῦ συμβόλου τοίνυν, τὴν χαρὰν ἐπέτρεψεν, οὐχ ὅτι πατάγῳ χειρῶν σωματικῶς χρήσασθε, ἀλλ' ὅτι ψυχικῶς χάρητε, τοιούτου Δεσπότου καταξιωθέντες, φιλανθρώπου καὶ παντοδυνάμου.

2β Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

Μεταφορικὸν ἐνταῦθα τὸ, ἀλαλάξατε, ἀντὶ τοῦ, ἐπινίκιον ὕμνον ᾄσατε τῷ Θεῷ. Κυρίως γὰρ ἀλαλαγμός ἐστιν, ἐνυάλιος φωνὴ τῶν νικώντων ἐν μάχῃ, καταπλήττουσα τοὺς ἤδη κλινομένους ἐχθρούς. Φωνὴ δὲ ἀγαλλιάσεως, ἡ εὐφροσύνης μεστή. Εἶτα ἐπάγει καὶ τὴν αἰτίαν.

3 Ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

Διότι ὁ Χριστὸς, ὁ ὕψιστος κατὰ τὴν θεότητα, φοβερὸς νῦν ἀπὸ τῶν σημείων, ὧν καθ' ἑκάστην τερατουργεῖ, οὗ καὶ τὸ ὄνομα μόνον μαστίζει καὶ ἀπελαύνει τοὺς δαίμονας καὶ λύει τὰς νόσους. Καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· ἐν πάσῃ γὰρ γῇ κλῆρον ἑαυτῷ συνεστήσατο, διὰ τῶν ἀποσταλέντων ἡμῶν. Τὸ, μέγας δὲ, διὰ τοὺς προσκαίρους εἴρηται βασιλεῖς, μικροὺς ὄντας, καὶ μικρὸν βασιλεύοντας.

4α Ὑπέταξε λαοὺς ἡμῖν.

3[3] ὧν καθ' ἑκάστην MSCBFV : ἃ καθ' ἑκάστην P. 3[6] μικρόν SF : μικρῶν MPCHBV.

Τοὺς ἐξ Ἰουδαίων· οὗτοι γὰρ πρῶτοι ἐπίστευσαν, τρισχίλιοι καὶ πεντακισχίλιοι, ἀποβαλόντες τὴν ἔχθραν, καὶ προσδραμόντες τοῖς ἀποστόλοις εὐθὺς μετὰ τὴν εἰς αὐτοὺς ἐπιδημίαν τοῦ Παρακλήτου, πρὸ τοῦ ἐξιέναι ἐπὶ τὰ ἔθνη. Ac 2.41, 4.4

4β Καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.

Τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, οἳ καὶ θερμῶς ὑπεκλίνοντο τοῖς ποσὶ τῶν ἀποστόλων, καὶ τὰ ἴχνη τούτων εὐλαβῶς κατησπάζοντο. Ac 10.25

5α Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ.

Ἐξελέξατο δι᾽ ἡμῶν, τῶν οἰκονόμων τῆς Ἐκκλησίας αὐτοῦ, τοὺς ἐξ ἐθνῶν ἀξίους εἰς κληρονομίαν αὐτοῦ, κατὰ τὸ, *Δώσω σοι ἔθνη τὴν κληρονομίαν σου*· οὓς Ps 2.8α
καὶ δι᾽ ἡμῶν, ὡς διά τινων στρατηγῶν, ὁ μέγας οὗτος βασιλεὺς ἐστρατολόγησεν ἑαυτῷ.

5β Τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν.

Καὶ οὐ τούτους μόνον, ἀλλὰ καὶ τοὺς χρησιμωτέρους ἐκ γένους Ἰακώβ· τούτους γὰρ, καλλονὴν Ἰακὼβ ὠνόμασεν, ὡς καλλίονας ἐξ Ἰακώβ· ἣν καλλονὴν, τουτέστιν, οὓς καλοὺς ἠγάπησεν, ὡς κεκαλλωπισμένους ταῖς ἀρεταῖς.

Ἄνω μὲν οὖν, προέταξε τοὺς Ἰουδαίους, ὡς πρώτους μετὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ πιστεύσαντας· ἐνταῦθα δὲ, τοὐναντίον ἐποίησε, διὰ τὸ παμπληθεῖς πιστεύειν ἀεὶ τοὺς ἐξ ἐθνῶν, καὶ βραχύ τι μέρος εἶναι πρὸς τοὺς ἐθνῶν τοὺς ἐξ Ἰσραὴλ πιστεύοντας.

6 Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

Ἐνταῦθα, τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ Χριστοῦ προκαταγγέλλει Δαυὶδ, ὡς καὶ ἐν τῷ κγ᾽ ψαλμῷ ἐπεσημηνάμεθα. Ἀλαλαγμὸν δὲ καὶ φωνὴν σάλπιγγος, Ps 23.7-10
τὰς φωνὰς λέγει τῶν τηνικαῦτα προπορευομένων ἀγγέλων. Ἀλαλαγμὸν μὲν, διὰ τὸ, *Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ*· τοῦτο γὰρ, ὕμνος ἐπινίκιος, ἐπεὶ καὶ ὁ ἀλαλαγμὸς, φωνή ἐστιν ἐπινίκιος. Φωνὴν δὲ σάλπιγγος, διὰ τὸ, *Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν*, καὶ τὰ ἑξῆς· ὁδοποιεῖ γὰρ ἡ σάλπιγξ τοῖς ἀναζευγνύουσιν ἐκ πολέμου βασιλεῦσιν.

Ἢ καὶ ἄλλως εἶπε τὰς φωνὰς τῶν ἀγγέλων, ἀλαλαγμὸν καὶ φωνὴν σάλπιγγος, διὰ τὸ | τρανῶς καὶ ὀξέως ἐξακουσθῆναι τὰ τοιαῦτα ῥήματα πρὸς ἅπαντα τοῦ κόσμου τὰ πέρατα, διὰ τῆς τῶν ἀποστόλων διδασκαλίας.

7 Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε.

5β[7] πρὸς τοὺς ἐθνῶν MSCF : πρὸς τούτους PH : πρὸς τοὺς ἐξ ἐθνῶν BV. 6[10] ἐξακουσθῆναι MSCBF : ἀκουσθῆναι PV.

Διηγησάμενος τὸ μέγεθος τῶν τοῦ Χριστοῦ κατορθωμάτων, καλεῖ τὴν οἰκουμένην εἰς εὐφημίαν μετὰ πολλῆς τῆς σπουδῆς· τοῦτο γὰρ ὁ διπλοῦς τοῦ ψάλατε παρίστησι διπλασιασμός. Ψάλατε δὲ, ἀντὶ τοῦ, μελῳδήσατε.

Εἶτα καὶ ἡ αἰτία τοῦ, ψάλατε·

8 Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεὸς, ψάλατε συνετῶς.

Μελῳδήσατε, φησὶ, τῷ Θεῷ, τῷ βασιλεῖ ἡμῶν, ἤτοι τῷ Χριστῷ, διότι βασιλεὺς πάσης τῆς γῆς ἐστιν· Ἐδόθη μοι γὰρ, φησὶ, πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Ψάλατε δὲ, μὴ ἁπλῶς, ἀλλὰ συνετῶς, ἤγουν μὴ γλώττῃ μόνον, ἀλλὰ Mt 28.18
καὶ νοΐ, συνιέντες, τίνι μελῳδεῖτε, καὶ ἐπὶ ποίοις κατορθώμασιν.

9α Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη.

Πρότερον μὲν ἐβασίλευεν αὐτῶν ἀκόντων, ὡς δημιουργὸς, νῦν δὲ, ἑκόντων, ὡς λυτρωτής. Καὶ ἐπεὶ διπλοῦς ἦν, πρὸ μὲν τῆς ἐνανθρωπήσεως, ὡς Θεὸς εἶχε τὴν βασιλείαν, μετὰ δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἔλαβεν αὐτὴν καὶ ὡς ἄνθρωπος. Τότε γὰρ εἶπε τὸ, Ἐδόθη μοι πᾶσα ἐξουσία, καὶ τὰ ἑξῆς.

Ἐπὶ πάντα δὲ δηλονότι τὰ ἔθνη, ὅτι ἐν ἅπασιν ἔθνεσι πεπιστεύκασι, καὶ πῇ μὲν, καθόλου τὸ ἔθνος ἅπαν, πῇ δὲ, ἐξ ἡμισείας, πῇ δὲ, ἐκ μέρους. Εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἀποστόλων.

Ps 18.5

9β Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.

Ὁ μὲν θρόνος, βασιλείας σύμβολον· τὸ δὲ καθῆσθαι, βεβαιότητος. Λέγει οὖν, ὅτι ὁ Χριστὸς βεβεβαίωται ἐπὶ τῆς βασιλείας αὐτοῦ, κατὰ τὸ, Ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς· τοῦ μεγάλου δὲ Παύλου τὸ ῥητόν. Ἅγιον δὲ τὸν θρόνον εἶπεν, ὡς καθαρὸν πάσης προσωποληψίας, καὶ ἀπαράγραπτον. Heb 1.3

10α Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ.

Ἐνταῦθα δείκνυσι τοῦ εὐαγγελικοῦ κηρύγματος τὴν ἰσχὺν, ὅτι οὐκ ἰδιωτῶν μόνον, ἀλλὰ καὶ βασιλέων καὶ ἡγεμόνων ἥψατο. Καὶ αὐτοὶ γὰρ οὗτοι συνήχθησαν μετὰ τοῦ Χριστοῦ, τῆς μερίδος αὐτοῦ γενόμενοι.

Θεοῦ δὲ Ἀβραὰμ εἶπεν, ἐμφαίνων, ὅτι οὗτος ἦν ὁ κἀκείνου καὶ τῶν ἐξ ἐκείνου Θεὸς, καὶ εἷς οὗτος νομοθέτης τῆς Παλαιᾶς Διαθήκης καὶ τῆς Καινῆς.

10β Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

Συνήχθησαν δὲ μετὰ τοῦ Θεοῦ, διότι οἱ ἀπόστολοι — τούτους γὰρ ὠνόμασε

[7][2] διπλοῦς PC : om. MSHBFV. 8 Add. [M in marg.]B: Τοῦ μεγάλου Βασιλείου [PG31.1280A]· Ὅπερ ἐστὶν ἐπὶ τῶν βρωμάτων ἡ αἴσθησις τῆς ποιότητος ἑκάστου βρώματος, τοῦτό ἐστιν ἐπὶ τῶν ῥημάτων τῆς ἁγίας Γραφῆς ἡ σύνεσις· λάρυγξ μὲν γὰρ σῖτα γεύεται, νοῦς δὲ ῥήματα διακρίνει [Job 12.11]· ἐὰν οὖν τις οὕτω συνδιατεθῇ τὴν ψυχὴν τῇ δυνάμει ἑκάστου ῥήματος, ὡς συνδιατίθεται τὴν γεῦσιν τῇ ποιότητι τοῦ ἑκάστου βρώματος, ἐπλήρωσε τὴν ἐντολὴν τοῦ λέγοντος· Ψάλατε συνετῶς.

κραταιοὺς τοῦ Θεοῦ, ὡς τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος κεκραταιωμένους, καὶ δαιμόνων καὶ τυράννων κεκρατηκότας — σφόδρα τῶν γηΐνων πάντων ἀνώτεροι γεγόνασι, μήτε ἡδοναῖς, μήτε λύπαις ἑαλωκότες, ἀλλὰ καὶ βίῳ καὶ λόγῳ λάμψαντες, ὑφ᾽ ὧν οὗτοι πρὸς τὸν Χριστὸν ἐχειραγωγήθησαν.

47 μζʹ

1 Ψαλμὸς ᾠδῆς· τοῖς υἱοῖς Κορέ· δευτέρᾳ σαββάτου.

Τί μὲν ἑρμηνεύει ψαλμὸς ᾠδῆς, ἐν τοῖς προοιμίοις τῆς παρούσης βίβλου § 65
προδιελάβομεν, ἔνθα καὶ τὸ, τοῖς υἱοῖς Κορὲ, σεσαφήνισται. § 50

Τὸ, δευτέρᾳ δὲ Σαββάτου, τὴν ἡμέραν δηλοῖ, καθ᾽ ἣν ἐμελῳδήθη· Σάββατον γὰρ Ἑβραῖοι, τὴν ὅλην ἑβδομάδα καλοῦσιν.

Εὐχαριστίαν δὲ περιέχει ὁ ψαλμὸς οὗτος τῶν ἐκ τῆς αἰχμαλωσίας Βαβυλῶνος ἐπανελθόντων αὖθις εἰς Ἱερουσαλήμ.

Ἁρμόσει δὲ καὶ τοῖς ἐκ τῆς αἰχμαλωσίας τῶν εἰδώλων ἐπανελθοῦσιν εἰς θεογνωσίαν πιστοῖς.

2α Μέγας Κύριος.

Μέγας, τῇ δυνάμει, τῇ σοφίᾳ, τῇ ἀγαθότητι.

2β Καὶ αἰνετὸς σφόδρα.

Καὶ σφόδρα ἄξιος αἰνεῖσθαι διὰ τὰ εἰς ἡμᾶς γεγενημένα τεράστια, ὅπως οἱ ἐπιλελησμένοι παρα | δόξως ἀνεκλήθημεν, καὶ τῆς φιλανθρωπίας αὐτοῦ τετυχήκαμεν.

2γ Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.

Αἰνεῖσθαι δὲ ἐν τῇ Ἱερουσαλὴμ, τῇ γνωριζούσῃ αὐτόν· οἱ γὰρ ἀγνοοῦντες οὐκ ἐπαινοῦσιν.

2δ Ἐν ὄρει ἁγίῳ αὐτοῦ.

Πόλιν εἰπὼν, καὶ τοῦ ὄρους Σιὼν ἐμνημόνευσεν, ὡς ἡνωμένου αὐτῇ διὰ τὴν ἄγαν ἐγγύτητα· πολλάκις δὲ καὶ ἀπὸ μόνου τοῦ ὄρους τούτου δηλοῖ τὴν Ἱερουσαλήμ.

Εἴη δ᾽ ἂν πόλις Θεοῦ, καὶ ἡ Ἐκκλησία τῶν πιστῶν, ἐν ᾗ οἰκεῖν πιστεύεται· ἡ δ᾽ αὐτὴ καὶ ὄρος, ὡς ὑπερκειμένη πάσης χαμερποῦς κακίας, καὶ πρὸς οὐρανὸν ἀνατεταμένη.

3α Εὐρίζῳ, ἀγαλλιάματι πάσης τῆς γῆς.

Ὄρει δὲ, τῷ εὖ ἐῤῥιζομένῳ, τῷ ἀγαλλιάματι πάσης τῆς γῆς· μετὰ γὰρ τὸ, εὐρίζῳ, στικτέον· εἶτα τὸ, ἀγαλλιάματι, ἀναγνωστέον. Ἀγαλλιάματι δὲ πάσης τῆς γῆς, ἀντὶ τοῦ, τῇ τερπνότητι.

3β Ὄρη Σιὼν, τὰ πλευρὰ τοῦ βοῤῥᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.

Ὁ ἐκ πλαγίου μοι τετραμμένος, πλευρά μου λέγοιτ' ἂν, κατὰ πλευρὰν γὰρ, τὸ πλάγιον· ἐπεὶ οὖν καὶ τὸ Σιὼν ὄρος, οὐ κατ' εὐθεῖαν, ἀλλ' ἐκ πλαγίου κεῖται πρὸς τὸν βοῤῥᾶν, οὐ γὰρ ἐπ' εὐθείας τοῦτο καταπνεῖ, πλευρὰν αὐτοῦ τοῦτο κέκληκε, λέγων, Ὦ ὄρη Σιὼν, τὰ πλάγια τοῦ βοῤῥᾶ, τὰ κατὰ πλευρὰν αὐτῷ κείμενα. Περιχαρῶς δὲ ἀνακαλεῖται καὶ τὸ ὄρος καὶ τὴν πόλιν· καὶ ὄρη μὲν λέγει, τὸ ὄρος, κατὰ διάλεκτον Ἑβραΐδα, καθὼς πολλάκις εἰρήκαμεν· μέγαν δὲ βασιλέα, τὸν Ps 45.4
Θεόν· μόνῳ γὰρ τούτῳ, μόνη αὕτη ἀνέκειτο.

Κατὰ δὲ ἀναγωγὴν, ἑτέραν ἐροῦμεν ἔννοιαν, ὅτι βοῤῥᾶν μὲν, ἡ Γραφὴ πολλάκις καλεῖ τὸν διάβολον· Ἀπὸ βοῤῥᾶ γὰρ, φησὶν, ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πᾶσαν Jer 1.14
τὴν γῆν· καὶ πάλιν, Τὸν βοῤῥᾶν ἐκδιώξω ἀφ' ὑμῶν. Πλευρὰ δὲ αὐτοῦ, ἤγουν Joel 2.20
μέλη, τὰ ἔθνη. Φησὶ τοίνυν, ὅτι τὰ μέλη τοῦ διαβόλου, ὅσων αὐτὸς ἐκυρίευσεν, ὄρη Σιὼν γεγόνασι, τουτέστιν, ὕψος καὶ πρόβολοι τῆς Ἐκκλησίας τῶν πιστῶν, διὰ τὸ ὑπεραναστῆναι τῶν κάτω συρομένων πραγμάτων, καὶ διὰ τὴν ἀνδρείαν αὐτῶν. Καὶ τί λέγω ὕψος καὶ πρόβολοι; Ἡ πόλις τοῦ βασιλέως Χριστοῦ, ταῦτά εἰσιν· ἐκ τούτων γὰρ ἡ Ἐκκλησία συνέστηκεν.

4 Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.

Βάρεις, οἱ ἐπιφανεῖς οἶκοι· εἶεν δ' ἂν ταῦτα νῦν, ὁ ναὸς τῆς Ἰερουσαλὴμ, ἐν ᾧ, φησὶν, ἐμφανίζεται τοῖς ἱερεῦσιν, ὁπηνίκα, πολέμου καταλαβόντος, μέλλει βοηθεῖν αὐτοῖς· εἶπε δὲ τοῦτο πρὸς ἔπαινον τῆς πόλεως.

Ἀναγωγικῶς δὲ, πόλις μὲν, ἡ πολιτεία τῆς πίστεως τῶν ἁπανταχῇ Χριστιανῶν· μία γὰρ αὕτη, διὰ τὴν ἕνωσιν καὶ κοινωνίαν τῆς εὐσεβείας. Βάρεις δὲ καὶ οἶκοι, οἱ κατὰ τόπους ναοὶ αὐτῶν, ἐν οἷς ὁ Χριστὸς ἐμφανίζεται, ὅταν, διωγμοῦ καταλαβόντος, ὑπερασπίζῃ αὐτῆς.

Χρὴ δὲ γινώσκειν, ὅτι τῶν πιστῶν, καὶ μία Ἐκκλησία λέγεται, καὶ πολλαί· καὶ μία μὲν, διὰ τὴν μίαν πολιτείαν τῆς πίστεως, πολλαὶ δὲ, διὰ τοὺς πολλοὺς κατὰ πόλεις καὶ τόπους ναούς.

5α Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν.

Κατὰ τῆς Ἰερουσαλὴμ, ἢ κατὰ τῆς Ἐκκλησίας τῶν πιστῶν.

3α4 τῇ τερπνότητι MPC : τερπνότητι SHV. 3β2 πλευρά μου MSCBF : πλευρά μοι PHV. 3β12 ἐκυρίευσεν MPSHV : ἐκυρίευεν CBF[A corr.]. 44 αὐτοῖς MPSCFV : αὐτῇ H. 48 αὐτῆς MSCBFV : αὐτῶν H.

5β Διήλθοσαν ἐπὶ τὸ αὐτό.

Παρῆλθον ἐπ' αὐτὴν ὁμοῦ, συνασπίζοντες ἀλλήλοις.

6α Αὐτοὶ ἰδόντες, οὕτως ἐθαύμασαν.

Τὸ, οὕτως, ἀντὶ τοῦ, μετὰ τὸ ἰδεῖν· πρὸ τοῦ ἰδεῖν γὰρ, οὐκ ἐθαύμαζον.

6β Ἐταράχθησαν.

Ἐθορυβήθησαν.

6γ Ἐσαλεύθησαν.

Κατεσείσθησαν ἀπὸ τοῦ φρονήματος, οὗ εἶχον.

7α Τρόμος ἐπελάβετο αὐτῶν.

Ἄγαν φοβηθέντων.

7β Ἐκεῖ ὠδῖνες ὡς τικτούσης.

Ἐν αὐτοῖς ἀγωνίαι καὶ ὀδύναι καὶ ὑποψίαι κινδύνων, | δίκην τικτούσης.

8 Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς.

Ἐν κινήματι σφοδρῷ ὀργῆς συντρίψεις αὐτοὺς, οὕτως εὐχερῶς, ὡς πλοῖα Θαρσεῖς· λείπειν γὰρ, φησὶ, τὸ, ὡς. Τόπου δὲ κλῆσις, οἱ Θαρσεῖς, ὅθεν ἐναυπηγοῦντο πλοῖα εὐμεγέθη καὶ κάλλιστα.

Ἢ καὶ αὐτὰ, φησὶ, συντρίψεις τὰ πλοῖα Θαρσεῖς, πολεμίους ἄγοντα.

Τινὲς δὲ Θαρσεῖς λέγουσι, τὴν Λιβυκὴν Καρχηδόνα.

9α Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.

Ταῦτά φασιν οἱ διαπεφευγότες τὰς ἐπαναστάσεις τῶν ἐχθρῶν, ὅτι σύμφωνα οἷς ἠκούσαμεν, εἴδομεν νῦν ἐν τῇ πόλει τοῦ δυνατοῦ Θεοῦ ἡμῶν· ἠκούσαμεν γὰρ, ὅτι πολλὰ ὑπὲρ τοῦ λαοῦ αὐτοῦ τετερατούργηκεν ὁ Θεός. Εἴδομεν δὲ τὰς τερατουργίας αὐτοῦ καὶ νῦν, καὶ ἃ εἴδομεν βεβαιοῦσιν ἃ ἠκούσαμεν.

9β Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

Τοῦτο μόνῃ τῇ Ἐκκλησίᾳ τῶν πιστῶν ἁρμόζει. Πύλαι γὰρ, φησὶν, ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· τὰ γὰρ Ἱεροσόλυμα κατεσκάφησαν ἐξ αὐτῆς κρηπῖδος, καὶ οὐδὲν ἔχουσιν ἐρεῖν πρὸς τοῦτο οἱ Ἰουδαῖοι. Mt 16.18

10 Ὑπελάβομεν, ὁ Θεὸς, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου.

Προσεδοκήσαμεν τὴν βοήθειάν σου, καὶ οὐκ ἠστοχήσαμεν.

Τινὲς δὲ λέγουσι τὸ, ὑπελάβομεν, σημαίνειν ἐνταῦθα, τὸ, διέγνωμεν.

11α Κατὰ τὸ ὄνομά σου, ὁ Θεὸς, οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς.

Ὥσπερ τὸ ὄνομά σου διεδόθη ἐπὶ τὰ πέρατα τῆς γῆς διὰ τὰ τεράστια, οὕτως διαδοθήσεται καὶ ἡ αἴνεσίς σου. Καὶ πάντες σε εὐφημήσουσιν ὡς μεγαλοδύναμον.

11β Δικαιοσύνης πλήρης ἡ δεξιά σου.

Ὡς δικαίως ἀμυνομένη τοὺς ἀδικοῦντας ἡμᾶς.

12α Εὐφρανθήτω ὄρος Σιὼν, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας.

Διὰ τοῦ ὄρους, τοὺς ἐνοικοῦντας αὐτῷ προτρέπεται χαίρειν.

Θυγατέρας δὲ τῆς Ἰουδαίας λέγει, ἢ τὰς γυναῖκας, ὡς δειλοτέρας καὶ λυπηροτέρας τῶν ἀνδρῶν· εἰ δὲ τὰς γυναῖκας, πολλῷ μᾶλλον, τοὺς ἄνδρας· ἢ τὰς πέριξ πόλεις, τὰς ὑποκειμένας τῇ Ἱερουσαλήμ.

Εἴη δὲ καὶ ὄρος μὲν, ἡ μία Ἐκκλησία τῶν πιστῶν, ὡς εἰρήκαμεν· θυγατέρες Ps 47.12α
δὲ τῆς Ἰουδαίας, ἤτοι τῆς ἐξομολογήσεως καὶ πίστεως, αἱ ψυχαὶ τῶν πιστῶν, ἢ Ps 75.2α
αἱ κατὰ τόπους Ἐκκλησίαι.

12β Ἕνεκεν τῶν κριμάτων σου, Κύριε.

Τοῦτο, αἰτία τῆς χαρᾶς, διότι, φησὶν, ἔκρινας ἡμῖν καὶ κατέκρινας τοὺς ἐχθρούς. Ps 42.1β

13α Κυκλώσατε Σιὼν καὶ περιλάβετε αὐτήν.

Ἐπειδὴ ἐρείπιον γέγονε πρότερον ἡ Ἱερουσαλὴμ, μετὰ δὲ τὴν αἰχμαλωσίαν ᾠκίσθη καὶ ἐκραταιώθη παρὰ δόξαν, προτρέπεται ὁ προφήτης τὸν λαὸν περιελθεῖν αὐτὴν καὶ ἰδεῖν ὅτι πάλιν τὴν προτέραν ἀπέλαβεν ἰσχύν τε καὶ εὐκοσμίαν.

Κυκλώσατε δὲ καὶ περιλάβετε, ἀντὶ τοῦ, κύκλῳ περιλάβετε· ἢ καὶ ταὐτὸν ἄμφω σημαίνουσι.

13α[3] παρὰ δόξαν MSCBF : παραδόξως PV.

13β Διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς.

Διηγήσασθε ἐπὶ τῶν πύργων αὐτῆς καθίσαντες, τί μὲν πέπονθε πρότερον ὑπὸ τῶν Βαβυλωνίων, ποία δὲ γέγονε νῦν.

Ὁ δὲ Χρυσόστομος, τὸ, διηγήσασθε, ἀντὶ τοῦ, μετρήσατε τοὺς πύργους αὐτῆς πόσοι εἰσὶν, ἐδέξατο. PG55.221

14α Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς.

Θέσθε τὸν νοῦν ὑμῶν, τουτέστι, κατανοήσατε τὴν ἄρτι δύναμιν αὐτῆς.

14β Καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς.

Βάρεις λέγονται, οὐ μόνον οἱ οἶκοι, | ἀλλὰ καὶ οἱ πύργοι.

Φησὶν οὖν, ὅτι ἀπομερίσατε ἑαυτοῖς ἕκαστος τοὺς πύργους αὐτῆς, ὥστε κατὰ σχολὴν, ἰδίᾳ τούτους περιεργάσασθαι.

14γ- Ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν, ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν
15α αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ταῦτα δὲ, φησὶν, ἃ εἶπον, πάντα ποιήσατε, ἵνα μαθόντες ἀκριβῶς ἐντεῦθεν τὴν δύναμιν τοῦ Θεοῦ, διηγήσησθε καὶ τοῖς μεταγενεστέροις, ὅτι οὗτος ὁ Θεὸς ἡμῶν ἐστιν εἰς τὸν αἰῶνα τοῦτον καὶ εἰς τὸν ἀΐδιον, τουτέστιν, ὅτι ἀεί ἐστιν.

Ἀλλ᾽ οὕτω μὲν καθ᾽ ἱστορίαν· κατὰ δὲ τὴν ἀναγωγὴν, προτρέπεται τοὺς ἀποστόλους καὶ διδασκάλους ὁ προφήτης κύκλῳ περιλαβεῖν τὴν Ἐκκλησίαν τῶν πιστῶν, διὰ τοὺς ὁρατοὺς καὶ ἀοράτους ἐπιβούλους. Πύργους δὲ τῆς καθολικῆς Ἐκκλησίας νόει, τὰς μερικὰς, τὰς κατὰ τόπον, ἃς καὶ βάρεις καλεῖ· καὶ παρακελεύεται διηγεῖσθαι ἐν αὐταῖς τὰ μεγαλεῖα τοῦ Θεοῦ, καὶ ἀπομερίζειν ἑαυτοῖς εἰς προστασίαν, καὶ τιθέναι τὰς καρδίας, ἤτοι προσέχειν εἰς τὸ ἐνισχύειν αὐτὴν, ὅπως ἂν ταύτην καταρτίσαντες, διηγήσωνται καὶ τοῖς μεταγενεστέροις, χρώμενοι διακόνῳ τῇ γλώττῃ τῶν πεπιστευκότων.

15β Αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

Φησὶ γὰρ, Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Jn 10.11

48 μη´

1 Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορέ· ψαλμός.

Περὶ τῆς μελλούσης κοινῆς κρίσεως ὁ ψαλμὸς διαλέγεται, ἥτις ἐστὶ τέλος τῆς παρούσης ζωῆς· διὸ καὶ εἰς τὸ τέλος ἐπιγέγραπται, ὅτι περὶ τῆς τελευταίας

14γ[6] κατὰ δὲ τὴν ἀναγωγήν MSCBF : κατὰ δὲ ἀναγωγήν PV.

ἡμέρας ἐρεῖ. Τὸ δὲ ἑξῆς τῆς ἐπιγραφῆς, δῆλον ἀπὸ τῶν προηρμηνευμένων.

2 Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη· ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Πᾶσαν ὁ προφήτης τὴν φύσιν τῶν ἀνθρώπων εἰς ἀκρόασιν συγκαλεῖ.

Ἐπεὶ δὲ ἔθνη μέν εἰσιν ἁπλῶς, πάντα τὰ γένη τὰ διαφόρῳ γλώσσῃ χρώμενα, καὶ κατὰ πλῆθος οἰκοῦντα ἐν πόλεσιν, ἐν κώμαις, ἐν ἀγροῖς, τινὲς δὲ, οὐ κατὰ πλῆθος οἰκοῦσιν, ἀλλὰ καταμόνας, ἐν ὄρεσιν, ἐν σπηλαίοις, ἐν σχισμαῖς πετρῶν, Heb 11.38 ἐπήγαγε τὸ καθολικώτερον, ὅτι πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην ὅπως δήποτε, ἵνα μηδεὶς ἀπολειφθείη τῆς κλήσεως.

Τὸ δὲ, ἐνωτίσασθε, εἰ καὶ ταὐτὸν δοκεῖ τῷ, ἀκούσατε, ἀλλ᾽ ἔχει καί τινα ἐπίτασιν, τὸ μὴ ἁπλῶς ἀκούειν, ἀλλὰ καὶ εἰς τὸ οὖς βάλλειν τὸ ἀκουόμενον.

3α Οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων.

Ὁ μέγας Βασίλειος γηγενεῖς μὲν λέγει, τοὺς γήϊνα πάντῃ φρονοῦντας καὶ περὶ PG29.433B τὴν γῆν ὅλως ἐπτοημένους· υἱοὺς δὲ τῶν ἀνθρώπων, τοὺς λόγῳ κοσμουμένους· ἴδιον γὰρ ἀνθρώπου τὸ λογικόν.

Ὁ δὲ Χρυσόστομος ἑτέρως μετεχειρίσατο τὴν ἐξήγησιν· φησὶ γὰρ, ὅτι PG55.223 συγκαλέσας ὁ προφήτης ἅπαντας ἁπλῶς τοὺς ἀνθρώπους, κατέστειλεν ἐκ προοιμίων, εἴ τις αὐτοῖς ἐνῆν φυσίωσις κατ᾽ ἀλλήλων, ὑπομνήσας ὅτι πάντες ἐκ γῆς εἰσιν, ἐξ ὕλης ἀτίμου· εἶτα ἵνα μὴ δόξαιεν ἀπὸ γῆς καταρχὰς βλαστῆσαι, κατὰ τοὺς περὶ τῶν σπαρτῶν μύθους τῶν Ἑλλήνων, ἐπήγαγε, καὶ υἱοὶ τῶν ἀνθρώπων. Ἀκούσατε, φησὶν, οἱ ἄνθρωποι, οἱ γηγενεῖς τε, διὰ τὸν ἐκ γῆς πλασθέντα προπάτορα, καὶ υἱοὶ τῶν ἀνθρώπων, διὰ τὴν ἐκ συνουσίας εἰς τὸ ἑξῆς γονήν.

3β Ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.

Οὐ διαστέλλω, φησὶ, πλούσιον ἀπὸ πένητος· ὁμοτίμως γὰρ ἅπαντας καλεῖ τὸ Πνεῦμα τὸ ἅγιον, ψυχὴν ἐπιζητοῦν συνιέναι δυναμένην, ἣν οὐ πλοῦτος, ἀλλὰ θεῖος φόβος χαρίζεται. Ἐπὶ τὸ αὐτὸ δὲ, ἀντὶ τοῦ, ὁμοῦ, ὁμοίως. Ps 13.2

4α Τὸ στόμα μου λαλήσει σοφίαν.

Διεγείρει τοὺς ἀκροατὰς εἰς προσοχὴν, ὡς οὐ | περὶ προσκαίρων τινῶν πραγμάτων μέλλων ἐρεῖν, ἀλλὰ περὶ μεγάλων καὶ φοβερῶν.

Σοφίαν δὲ λέγει, τὰ σοφίας πεπληρωμένα λόγια.

4β Καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

3α[1] υἱοί MPS : οἱ υἱοί CBFV[RaT]. 3α[2] πάντῃ PCFV : πάντι S : πάντα MB. 4α[2] οὐ περί MSCF : οὐχ ὑπέρ PV.

Ἐνταῦθα κατατίθεται μὴ ἀπερισκέπτως ἐρεῖν, ἀλλ' ἐκ μελέτης. Λαλήσει γὰρ, φησὶ, καὶ ἡ μελέτη τῆς καρδίας μου, τουτέστιν, ἡ ἀκριβὴς τοῦ νοός μου διάσκεψις, συνέσεως γέμοντα ῥήματα, ἢ συνέσεως δεόμενα εἰς τὸ νοηθῆναι.

5α Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου.

Διαλεγόμενος δὲ πρὸς ὑμᾶς, φησὶ, κλινῶ ἐν μέρει τὸ οὖς τῆς ψυχῆς μου εἰς τὴν ἐνηχουμένην αὐτῷ παρὰ τοῦ ἁγίου Πνεύματος παραβολήν· λέγει δὲ νῦν παραβολὴν, τὰ αἰνίγματα· καὶ γὰρ αἰνιγματώδη τὰ προφητικά εἰσι, διὰ τὴν ἀσάφειαν τῶν ἐγκεκρυμμένων νοημάτων. Ἀξιοπιστίαν δὲ τοῖς ἑαυτοῦ λόγοις περιέθηκεν, ὡς ἐμπνεομένοις ἄνωθεν.

5β Ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

Πρόβλημα καλεῖ, τὸν λόγον, τὸν προβεβλημένον εἰς παραίνεσιν καὶ ὠφέλειαν τῶν ἀκροωμένων.

Ἀνοίξω δὲ, τουτέστι, φανερώσω τὸν λόγον μου μετὰ μέλους ψαλτηρίου· ὁ γὰρ ἀνοίγων θύραν, φανεροῖ τὰ ἔνδον. Ἐκ τοῦ προηγουμένου τοίνυν ἐδήλωσε τὸ ἑπόμενον. Μετὰ μέλους δὲ ὀργανικοῦ, ἵνα γένηται ὁ λόγος ἡδύτερος.

Ἀνοίγει δὲ ἐν ψαλτηρίῳ τὸ πρόβλημα αὐτοῦ, ὁ ποιῶν καὶ διδάσκων, καὶ τὴν πρᾶξιν ἔχων τῷ λόγῳ σύμφωνον. Τὸ γὰρ μέλος τοῦ ψαλτηρίου διὰ χειρῶν ἀπαρτίζεται· τῆς πρακτικῆς δὲ σύμβολον, αἱ χεῖρες.

6α Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ;

Κατ' ἐρώτησιν ἀναγνωστέον. Βούλεσθε μαθεῖν διατί φοβοῦμαι ἐν τῇ ἡμέρᾳ τῆς μελλούσης κρίσεως; ταύτην γὰρ λέγει πονηρὰν, ὡς ἐν τῷ δευτέρῳ στίχῳ τοῦ μ΄ ψαλμοῦ προαποδεδώκαμεν· λοιπὸν οὖν ἀκούσατε. Ps 40.2β

6β Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.

Φοβοῦμαι ὅτι κυκλώσει με τότε ἡ ἀνομία τῆς ἁμαρτίας μου. Πτέρνα μὲν γὰρ, ἡ ἀπάτη, ὡς ἐν τῷ δηλωθέντι ψαλμῷ προείπομεν· ἀπάτη δὲ, ἡ ἁμαρτία, ὡς Ps 40.10 ἀπατῶσα τὸν ἁμαρτάνοντα· ἡ ἀνομία τῆς ἁμαρτίας μου, τουτέστιν ἡ ἁμαρτία μου, κατὰ περίφρασιν.

Εἶδες σοφὸν λόγον καὶ συνετόν; ὅπως διὰ τοῦ εἰσαγαγεῖν ἑαυτὸν φοβούμενον, παρῄνεσε φοβεῖσθαι τὴν ἁμαρτίαν, διδάξας ἅμα καὶ ὅτι κρίσις ἔσται ἀδέκαστος.

7 Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι.

6β7 καὶ ὅτι PSCHFV : ὅτι MB.

Προσυπακουστέον, τὸ, ἀκούσατε. Δυνατοὺς δὲ λέγει νῦν, οὐ τοὺς ἐν ἔργῳ μόνον, ἀλλὰ καὶ τοὺς ἐν λόγῳ· καὶ πλουσίους, οὐ τοὺς ἐν χρήμασι μόνον, ἀλλὰ καὶ τοὺς ἐν λογικοῖς θεωρήμασι. Καλέσας δὲ τούτους ἰδίᾳ, φησίν.

8α Ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος;

Ἐκεῖ, φησὶν, οὐδὲ ἀδελφὸς δύναται λυτροῦσθαι τῆς κολάσεως, ὁ φύσει φίλτατος· ἡ γὰρ ἰσχὺς καὶ τὰ χρήματα οὐ συνδιαβαίνουσι. Καὶ εἰ ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ξένος ἄνθρωπος; Τὸ μὲν γὰρ, ἀδελφὸς οὐ λυτροῦται, κατὰ ἀπόφασιν ἀναγνωστέον· τὸ δὲ, λυτρώσεται ἄνθρωπος, κατ' ἐρώτησιν, μετὰ βαρύτητος.

Λοιπὸν οὖν, οὐκ ἔστιν ἐκεῖ λύτρωσις, ἀλλ' ἐνταῦθα χρὴ διὰ μετανοίας ἑαυτόν τινα λυτροῦσθαι. Φησὶ γὰρ ἡ Γραφὴ, *Ἐὰν ἀναστῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ,* Ez 14.14-20
υἱοὺς αὐτῶν καὶ θυγατέρας οὐ μὴ ῥύσωνται. Ps 98.6

8β Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ.

Οὔτε ὁ ἀδελφὸς, οὔτε ὁ ξένος ἄνθρωπος δώσει ἐκεῖ ἐξίλασμα, εἴτουν λύτρον ἑαυτοῦ, κολάσει καὶ αὐτὸς ὢν ὑπεύθυνος.

9 Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ.

Καὶ οὐ δώσει τὴν τιμὴν, ἤγουν ἐξώνησιν τῆς ἐλευθερίας τῆς ψυχῆς αὐτοῦ· ψυχῆς γὰρ ἀνθρωπίνης, | οὐδὲ ὁ κόσμος ὅλος ἀντάξιος. Mt 16.26

Ἐπεὶ καὶ ὁ Σωτὴρ ἡμῶν, μέλλων λυτροῦσθαι τὴν ἀνθρωπίνην ψυχὴν, αἰχμαλωτισθεῖσαν ὑπὸ τοῦ διαβόλου, οὐ γῆν ἔδωκεν, οὐ θάλασσαν, οὐ κόσμον, ἀλλὰ τὸ ἑαυτοῦ τίμιον αἷμα. Ποῖον οὖν εὑρήσει τις ἐκεῖ λύτρον ἄξιον;

Ὅρα καὶ σοφὰ ῥήματα, καὶ συνετὰ, καὶ αἰνιγματώδη.

10α Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος.

Καθαψάμενος τῶν ἀμετανοήτων, τρέπεται καὶ πρὸς τοὺς μετανοοῦντας, καὶ παρηγορεῖ τὸν κόπον τῆς μετανοίας ταῖς ἐλπίσι τοῦ μέλλοντος. Καὶ ἐκοπίασε, φησὶν, εἰς τὸν αἰῶνα τοῦτον ὁ μετανοῶν, καὶ λοιπὸν ζήσεται διαπαντός· τοῦτο γὰρ σημαίνει τὸ, εἰς τέλος.

Ζωὴν δὲ λέγει, τὴν κυρίως, τὴν ἄπονον· ἡ γὰρ ἐνταῦθα, καταχρηστικῶς, ὡς προπαραδεδώκαμεν. Τέλος δὲ νοήσεις, καὶ τὸν μέλλοντα αἰῶνα· τέλος γὰρ Ps 33.13α
ἐκεῖνος τοῦ παρόντος.

10β Οὐκ ὄψεται καταφθορὰν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας.

8α[2] λυτροῦσθαι MSCBF : λυτρώσασθαι PV.

Ὁ τοιοῦτος πεπληροφορημένος περὶ τῆς μελλούσης κρίσεως, ὅταν ἴδῃ τοὺς σοφοὺς τὰ θεῖα, ἤτοι τοὺς ἐναρέτους, ἀποθνῄσκοντας, οὐ βλέπειν δόξει Wis 3.2
καταφθορὰν εἰς τὸ μηκέτ' εἶναι, ἀλλ' ἐναλλαγὴν ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν. 1Cor 15.42

Ἢ καὶ ὅταν ἴδῃ τοὺς σοφοὺς τὰ μάταια ἀποθνῄσκοντας, οὐ δόξει βλέπειν καταφθορὰν σώματος ὁμοῦ καὶ ψυχῆς, ὡς αὐτοὶ ζῶντες ὡρίζοντο τὸν θάνατον, ἀλλὰ μετοικίαν εἰς κόσμον ἕτερον.

Ἀλλὰ ταῦτα μὲν, κατὰ τὴν ἁπλουστέραν ἐξήγησιν. Ὁ δὲ μέγας Βασίλειος PG29.441
ἀνάγων τὰ ῥητὰ, φησὶν, ὅτι τὸ, λυτρώσεται ἄνθρωπος, καὶ τὰ ἑξῆς, περὶ τοῦ Χριστοῦ προεφητεύθησαν· ἐπεὶ γὰρ ᾐχμαλωτίσθημεν πάλαι τῷ διαβόλῳ, προεῖπεν ὁ Δαυὶδ, ὅτι ἀδελφὸς οὐ λυτροῦται τοὺς αἰχμαλωτισθέντας, τουτέστι, προφήτης· ἀδελφοὶ γὰρ ἡμῶν, οἱ δι' ἡμᾶς ἐλθόντες προφῆται, τῆς αὐτῆς ὄντες φύσεως. Λοιπὸν λυτρώσεται ἄνθρωπος, ἤγουν ὁ Χριστὸς, ὁ τέλειος ἄνθρωπος, ὡς καὶ τέλειος Θεὸς, ὁ φυλάξας ἀκέραιον τὸ τῆς ἀνθρωπότητος ἀξίωμα, καὶ διὰ τοῦτο κυρίως ἄνθρωπος· ὃς οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ, οὐδὲ τὴν
τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ· Ἁμαρτίαν γὰρ, φησὶν, *οὐκ ἐποίησεν*· 1Pt 2.22
ὑπὲρ ἡμῶν οὖν, καὶ οὐχ ὑπὲρ ἑαυτοῦ, δέδωκεν ἐξίλασμα τὸ οἰκεῖον αἷμα. Ὃς καὶ
ἐκοπίασεν ἐν τῷ παρόντι αἰῶνι, ἡνίκα *κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέσθη* Jn 4.6
ἐπὶ τῆς πηγῆς· ὃς καὶ οὐκ ὄψεται καταφθορὰν, ὅταν οἱ λοιποὶ ἀποθνῄσκωσιν. *Οὐ*
γὰρ δώσεις, φησὶ, *τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν*. Ps 15.10β

11α Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται.

Ὁμοίως ἀφανισθήσονται ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τῆς μερίδος τῶν σῳζομένων, καὶ ὁ ἄφρων, εἴτουν ὁ μὴ εἰδὼς τὸν ὄντως Θεόν· *Εἶπε γὰρ*, φησὶν, *ἄφρων ἐν*
καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός· καὶ ὁ ἄνους, ἤγουν ὁ εἰδὼς μὲν τὸν Θεὸν, περὶ τὰ Ps 52.2
γήϊνα δὲ μόνον ἐπτοημένος καὶ μηδὲν οὐράνιον ἐννοῶν.

11β Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν.

Αἰφνίδιον ἀποθανόντες, ὃν πόνῳ πολλῷ συνέλεξαν.

12α Καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα.

Αὐτοὶ μὲν οἴκους πολυτελεῖς ἑαυτοῖς κατεσκεύασαν, ἀλλὰ τούτους ἄλλων λαβόντων, αὐτοῖς οἶκοι ἔσονται δι' ὅλου τοῦ παρόντος αἰῶνος, οἱ τάφοι αὐτῶν.

12β Σκηνώματα αὐτῶν, εἰς γενεὰν καὶ γενεάν.

Τὸ αὐτὸ πάλιν φησὶ, πλέον διασύρων τὴν τούτων κακοβουλίαν. Ἔσονται γὰρ, φησὶν, οἱ τάφοι αὐτῶν, σκηνώματα αὐτῶν. |

[10β][14] ἐξίλασμα ἑαυτοῦ MSCBFV : ἐξίλασμα ἑαυτόν P. [10β][17] ἐκαθέσθη MSCBF : ἐκάθισεν PV. 11α[4] περὶ τά MSCBF : ἐπὶ τά PV.

12γ Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν.

Ὅρα καὶ ἕτερον εἶδος μοχθηρίας· ὑπὸ γὰρ φιλοδοξίας ἐπωνόμασαν τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν χωρίων εἰς μνήμην ἀνέκλειπτον.

Τὸ μὲν οὖν Βυζάντιον, ἀπὸ Βύζαντος ἐπωνόμασται· ὁ δὲ Διογενιανὸς ἀγρὸς, ἀπὸ Διογενιανοῦ· τὸ δὲ Ἑρμώνειον θέατρον, ἀπὸ Ἕρμωνος, καὶ εἴ τι τοιοῦτον· δέον, μὴ τοῦ ὀνόματος, ἀλλὰ τῆς ψυχῆς ποιήσασθαι ἐπιμέλειαν.

13α Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν.

Ἐν τιμῇ ὢν, οἷα μόνος κατ' εἰκόνα Θεοῦ δημιουργηθεὶς, οὐ συνῆκε τὸ οἰκεῖον ἀξίωμα, ἀλλ' ἀφεὶς μιμεῖσθαι τὸ ἀρχέτυπον, ὅρα τί πεποίηκε.

13β Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.

Παρασυνεβλήθη, ἀντὶ τοῦ, συνετάγη· λόγῳ γὰρ τιμηθεὶς, καὶ τούτῳ τῶν ἀλόγων ἄρχειν κελευσθεὶς, συνέταξεν ἑαυτὸν τοῖς κτήνεσιν, ὅσον εἰς ἀλογίαν, οἷα μὴ Gen 1.28 λογιζόμενος τὰ οὐράνια, ἀλλὰ περὶ μόνα τὰ γεηρὰ στρεφόμενος, καὶ δίκην ἀλόγων, ἐπὶ τὰ πάθη φερόμενος, ὁσάκις ἂν ἢ θυμὸς ἢ ἐπιθυμία κινήσῃ, καὶ τὸ τῆς σαρκὸς ἡδὺ πᾶσι τρόποις μεταδιώκων. Κτήνη δὲ νῦν ἁπλῶς, πάντα καλεῖ τὰ ἄλογα.

14α Αὕτη ἡ ὁδὸς αὐτῶν, σκάνδαλον αὐτοῖς.

Ἡ πρὸς τὰ κτήνη ὁμοίωσις, ἐμπόδιον αὐτοῖς ἐστι, καὶ βλάβη μεγάλη.

14β Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσι.

Καὶ μεθ' ὃ ὁμοιοῦνται τοῖς κτήνεσιν οἱ τοιοῦτοι, πράξαντες τὰ φαῦλα, καὶ διὰ στόματος ἀρεσθήσονται τοῖς πεπραγμένοις· τοῦτο γὰρ τὸ, εὐδοκήσουσιν, ἐνταῦθα σημαίνει· ὃ καὶ μᾶλλον κατηγορίας ἄξιον, ὅτι οὐ μόνον πράττουσι τὸ κακὸν, ἀλλὰ καὶ λόγῳ τοῦτο σεμνύνουσιν.

15α Ὡς πρόβατα ἐν ᾅδῃ ἔθετο.

Λοιπὸν ὁ Θεὸς τοὺς τοιούτους ἔθετο ἐν ᾅδῃ ὡς πρόβατα, τουτέστιν, ὡς ἀλόγους γενομένους, ἢ ὡς μὴ δυναμένους ἑαυτοῖς βοηθεῖν, ἢ ὡς προχείρους εἰς σφαγήν.

15β Θάνατος ποιμανεῖ αὐτούς.

Πρόβατα εἰπὼν, προσέθηκε καὶ ποιμένα, φυλάξας τὴν τοῦ λόγου τροπήν. Θάνατον δὲ νῦν λέγει, τὴν τιμωρίαν· οὐδὲ γὰρ ἀναιρεθέντες τῆς τιμωρίας

15α[3] βοηθεῖν MSCBF : βοηθῆσαι PV.

ἀπαλλαγήσονται. Ποιμανεῖ δὲ, ἀντὶ τοῦ, ῥυθμίσει. Χρὴ δὲ γινώσκειν, ὡς εἴωθεν ἡ Γραφὴ θάνατον ψυχῆς καὶ ἀπώλειαν ψυχῆς, ὀνομάζειν τὴν τιμωρίαν.

15γ Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τῷ πρωΐ.

Τῷ πρωῒ μὲν, ἀντὶ τοῦ, ταχέως· κατακυριεύσουσι δὲ, ἀντὶ τοῦ, κρείττους ἔσονται. Λέγει δὲ, ὅτι οἱ ὀρθῶς βιοῦντες, οἱ ἐνάρετοι, ταχέως κρείττους τῶν τοιούτων ἔσονται, καίτοι πένητες ὄντες· καὶ οὐκ ἐκεῖ μόνον, ἔνθα οἱ στέφανοι, ἀλλὰ κἀνταῦθα, σκεπόμενοι παρὰ Θεοῦ καὶ τιμώμενοι παρ' ἀνθρώπων καὶ μὴ ἡττώμενοι τῆς πονηρίας αὐτῶν. Ὅρα γὰρ τὸν Ἰωσὴφ, ὃς ἐν δουλείᾳ ὢν, κρείττων γέγονε τῆς αὐτοῦ δεσποίνης. Gen 39.7-23

15δ Καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ.

Παλαιωθήσεται, ἀντὶ τοῦ, ἄχρηστος ἔσται, τουτέστιν, οὐκ ἔσται. Τὸ μὲν γὰρ παλαιὸν, ἄχρηστον, τὸ δ' ἄχρηστον, ἤδη μὴ ὄν.

Ἐθάῤῥησαν, φησὶ, τῇ βοηθείᾳ τοῦ πλούτου καὶ τῶν φίλων, ἥτις ἐν τῷ ᾅδῃ οὐ χρησιμεύσει, μὴ συνδιαβαίνουσα.

15ε Ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν.

Καὶ οὐ ταῦτα μόνον πεπόνθασιν, ἑλόμενοι τὴν ἀλογίαν, ἀλλὰ καὶ τὴν δόξαν ἀπώλεσαν, δι' ἣν ἄρα καὶ ἀπώλοντο. Ἐσπούδασαν μὲν γὰρ μνήμην ἐπαίνου καταλιπεῖν ἑαυτοῖς· ἀπέβαλον δὲ καὶ ταύτην, ἢ ἀμαυρωθεῖσαν, ἢ καὶ εἰς ψόγον ἀντιπεριχωρήσασαν.

16 Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. |

Προφητεία τοῦτο, περί τε τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ καὶ τῆς ἐλευθερίας τῶν ἐν ᾅδου ψυχῶν. Λυτρώσεται, φησὶ, τὴν ψυχήν μου, ὅταν λαμβάνῃ με οἶκον ἑαυτῷ, διὰ τῆς ἐνανθρωπήσεως.

17-18 Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.

Ἄνθρωπον ἐνταῦθα λέγει, τὸν ἄδικον. Μὴ πτοηθῇς, φησὶν, ὡς μὴ ἐφορῶντος τοῦ Θεοῦ τὰ ἀνθρώπινα· οὐδὲν γὰρ τούτων συγκαταβήσεται αὐτῷ εἰς ᾅδην, ἀλλὰ γυμνὸς πάντων ἀπελεύσεται. Δόξαν δὲ οἴκου λέγει, τὴν μεγαλωσύνην, τὸν ὄγκον, τὴν περιφάνειαν.

17-18 Add. [M in marg.]PCBV: Δόξα μὲν οἴκου, στοαὶ, περίπατοι, χρυσοῦς ὄροφος, ἔδαφος ψηφῖσι διηνθισμένον, λειμῶνες, παράδεισοι, ἀνδραπόδων ἀγέλαι, πολυτελῆ ἔπιπλα καὶ σκεύη, καὶ τὰ τοιαῦτα. Δόξα δὲ σώματος μὲν ἀνθρώπου, τά τε εἰρημένα καὶ ῥώμη καὶ κάλλος καὶ μέγεθος καὶ εἴ τι τοιοῦτον· ψυχῆς δὲ δόξα, μόνον ἡ ἀρετή. Λοιπὸν οὖν τὸ, Πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου [Isa. 40.6] περὶ τῆς σωματικῆς εἰρῆσθαι νοοῦμεν. : om. SF.

19α Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται.

Καὶ γὰρ αὐτὸς ἕως ἂν ζῇ, μακαρισθήσεται, εὐφημούμενος παρὰ τῶν ἀγνοούντων τίς ἡ μακαρία ζωή· τελευτήσας δὲ, τἀναντία πείσεται.

19β Ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ.

Πρὸς τὸν πένητα ὁ λόγος, ὅτι ὅταν ἀγαθὰ, τουτέστιν, εὐάρεστα ποιήσῃς αὐτῷ, τότε μόνον εὐχαριστήσει σοι· τὸ δ' ἑξῆς, καταφρονήσει καὶ ὑπερόψεται, καὶ εἰ κατορθώσεις ἅπασαν ἀρετήν.

Ἢ καὶ πρὸς τὸν Θεὸν εἴρηται ταῦτα, ὅτι ὅταν ἀγαθὰ ποιήσῃς αὐτῷ, εὐχαριστήσει· ὅταν δὲ συντύχῃ λύπαις, βλασφημήσει· ὁ δὲ δίκαιος εὐλογήσει τὸν Κύριον *ἐν παντὶ καιρῷ*. Ps 33.2α

20α Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ.

Ἀποθανὼν, εἰσελεύσεται εἰς τὰ κατώτατα τῆς γῆς, ἕως τοῦ ᾅδου, ὅπου ἐστὶν ἡ γενεὰ τῶν πατέρων αὐτοῦ.

20β Ἕως αἰῶνος οὐκ ὄψεται φῶς.

Ἕως ἐστὶν αἰών· ἀεὶ δέ ἐστιν αἰών. Αἰωνίως οὖν οὐκ ὄψεται φῶς, εἰς τὸ σκότος παραπεμφθείς.

21 Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.

Σχετλιάζει πάλιν, ὅτι καὶ ὁ ἄνθρωπος, ὁ *βραχύ τι παρ' ἀγγέλους ἐλαττωθεὶς*, Ps 8.6α
περὶ οὗ φησιν ὁ Σολομὼν, *Μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ*, παρασυνεβλήθη τοῖς Prov 20.6
κτήνεσι τοῖς ἀνοήτοις.

49 μθ´

1α Ψαλμὸς τῷ Ἀσάφ.

Καὶ περὶ τῆς τοῦ Ἀσὰφ ἐπιγραφῆς, ἐν τῷ προοιμίῳ τῆς βίβλου τῶν ψαλμῶν διελάβομεν, καὶ περιττὸν ἡγοῦμαι περὶ αὐτοῦ παλιλλογεῖν. § 50

Εὐλόγως δὲ ὁ ψαλμὸς οὗτος ἀκολουθεῖ τῷ πρὸ αὐτοῦ· καὶ γὰρ καὶ ἐν τούτῳ, διαμαρτυρία καὶ ἔλεγχος. Πλὴν ἐν ἐκείνῳ μὲν, πᾶσα φύσις ἀνθρώπων συγκαλεῖται πρὸς ἀκρόασιν, ἐνταῦθα δὲ, ὁ οὐρανὸς καὶ ἡ γῆ, *Προσκαλέσεται γὰρ*, φησὶ, *τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν*. Καὶ ἐν ἐκείνῳ μὲν, ἁπλῶς πᾶς πονηρῶς Ps 49.4
βιῶν κατηγορεῖτο, ἐν τούτῳ δὲ, οἱ Ἰουδαῖοι ἐλέγχονται.

Καὶ ἄλλος δὲ προφήτης εἰσάγει τὸν Θεὸν οὕτω δικαζόμενον καὶ ἐλέγχοντα, λέγων, *Ἀκούσατε, φάραγγες καὶ θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Θεῷ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ Ἰσραὴλ διελεγχθήσεται·* καὶ Ἡσαΐας, *Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ.* Καὶ σύνηθες τῇ Γραφῇ τὸ τοιοῦτον σχῆμα, ὅπερ ἐστὶ πληκτικώτατον καὶ ἐντρεπτικώτατον, ὅτι τὰ ἄψυχα καθίζονται κριταὶ τῶν ἐμψύχων, ἅμα δὲ καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀποδεικτικώτατον, τοσοῦτον συγκαταβαίνοντος, ὥστε καὶ κρίνεσθαι μετὰ τῶν ἀνθρώπων. Mic 6.2 Isa 1.2

1β Θεὸς θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν.

Τέσσαρα σημαινόμενα τοῦ Θεός ὀνόματος εὑρίσκομεν παρὰ τῇ Γραφῇ.

Τὸ μὲν κυρίως λεγόμενον, ὡς ὁ Θεὸς πάντων καὶ δημιουργός.

Τὸ δὲ, κατὰ μίμησιν καὶ ὁμοίωσιν, ὡς τὸ, *Θεὸς θεῶν Κύριος, ἐλάλησε*, καὶ, *Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ*, καὶ, *Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες*, καὶ, *Θεοὺς | οὐ κακολογήσεις, καὶ ἄρχοντας τοῦ λαοῦ σου, οὐκ ἐρεῖς κακῶς.* Δῆλον γὰρ, ὅτι θεοὺς ἐν ταύταις ταῖς χρήσεσι καλεῖ, τοὺς δι' ἀρετῆς μιμουμένους τὸν Θεὸν, καὶ τοὺς ὁμοιουμένους τῷ Θεῷ κατὰ τὸ ἄρχειν καὶ τὸ κρίνειν, ὡς οἱ ἄρχοντες καὶ οἱ κριταί. Ps 81.1 Ps 81.6 Ex 22.27

Τρίτον δὲ σημαινόμενον, τὸ κατ' ἀναλογίαν, ὡς ὁ Μωυσῆς, *θεὸς Φαραὼ* λεγόμενος, οἷα τερατουργῶν κατ' αὐτοῦ, καὶ τιμωρούμενος αὐτὸν, καὶ τῷ βουλήματι χρώμενος εἰς παραγωγὴν τῶν κολάσεων, καὶ προφήτην τοῦ βουλήματος ἔχων τὸν Ἀαρὼν, καὶ δοκῶν τῷ Φαραὼ θανάτου καὶ ζωῆς κύριος. Διαφέρει δὲ τοῦτο τοῦ δευτέρου σημαινομένου, ὅτι οὐχ ἁπλῶς θεός λέγεται, καθάπερ ἐκεῖνο, ἀλλὰ θεὸς Φαραώ. Ex 7.1

Τέταρτον, τὸ κατὰ πλάνην, ὡς τὸ, *Βαδίζετε καὶ βοᾶτε πρὸς τοὺς θεοὺς, οὓς ἐξελέξασθε*, καὶ, *Οὐ ποιήσετε ὑμῖν θεοὺς ἀργυροῦς ἢ χρυσοῦς.* Jdc 10.14 Ex 20.23

Φησὶν οὖν διὰ Δαυὶδ τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι ὁ Δημιουργὸς τῶν ἀρχόντων καὶ τῶν κριτῶν τῆς γῆς, ὁ Κύριος πάντων ἁπλῶς, ἐλάλησε.

Τί δὲ ἐλάλησεν, εἶπε προφήτης ἕτερος, ὡς ἀνωτέρω εἰρήκαμεν· *Ἀκούσατε, φάραγγες καὶ θεμέλια τῆς γῆς.* Καὶ ἐκάλεσε τὴν γῆν διὰ τῆς λαλιᾶς ταύτης εἰς ἀκρόασιν. Mic 6.2

1γ Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν.

Τουτέστι, πᾶσαν· ἐν ταύταις γὰρ σύμπασα περατοῦται.

2α Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ.

Τοῦτο καὶ τὰ ἑξῆς ῥητὰ, διὰ μέσου κεῖνται, προφητείας ἔχοντα· τὸ δὲ ῥηθὲν, τοιαύτην παρίστησιν ἔννοιαν, ὅτι καὶ πρότερον ἐν Σιὼν ἦν ὁ ναὸς τοῦ Πατρὸς, ὃς ἦν κόσμος καὶ δόξα τῆς θεότητος αὐτοῦ, καὶ ὕστερον ἐκ Σιὼν ἔσται ὁ ναὸς τοῦ Υἱοῦ,

[1α][3] Ἰσραὴλ διελεγχθήσεται [Ra] : λαοῦ διελεγχθήσεται F : λαοῦ διαλεχθήσεται MPSBV.

τουτέστι, τὸ πρόσλημμα, ὃς ὁμοίως ἔσται κόσμος καὶ δόξα τῆς ἐνοικούσης αὐτῷ θεότητος· ὡραιότητα γὰρ, τὴν θεότητα νοήσεις· τί γὰρ θεότητος ὡραιότερον;

2β-3α Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται.

Τοῦτο, προφητεία περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας.

Ἐν μὲν γὰρ τῇ πρώτῃ, ἀσυμφανῶς ἦλθε, λαθὼν καὶ αὐτὸν τὸν διάβολον· οὐ γὰρ ἂν ἠρώτα αὐτὸν ἐπὶ τοῦ ὄρους, εἰ Υἱός ἐστι τοῦ Θεοῦ. Mt 4.3

Ἐν δὲ τῇ δευτέρᾳ, φανερῶς ἐλεύσεται *μετὰ δυνάμεως καὶ δόξης πολλῆς*. Τότε Mt 24.30
μὲν γὰρ, ὡς θηρατὴς τοῦ ἀφηνιάσαντος ἧκεν, ἐν οἰκέτου σχήματι· ὕστερον δὲ, Php 2.7
ὡς κριτὴς τοῦ πλάσματος ἥξει. *Ὥσπερ γὰρ ἡ ἀστραπὴ*, φησὶν, *ἐκπορεύεται ἐξ ἀνατολῶν ἡλίου, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου*, πᾶσι φανερά τε καὶ φοβερά. Οὐ παρασιωπήσεται δὲ, ἀντὶ τοῦ, Mt 24.27
οὐκ ἀνεξικακήσει διαπαντός.

3β Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.

Τὸ φρικτὸν αὐτοῦ καὶ ἀνυπόστατον διὰ τούτων προαγορεύει. Οὕτω γὰρ καὶ Δανιὴλ ἐθεάσατο· *Ποταμὸς γὰρ*, φησὶ, *πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· ὁ θρόνος αὐτοῦ, φλὸξ πυρός· οἱ τροχοὶ αὐτοῦ, πῦρ φλέγον*. Da 7.9-10

Καταιγὶς δέ ἐστι, ῥαγδαία ῥύμη πνεύματος, ἀφόρητος.

4 Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ.

Τὸν ἄνω οὐρανὸν, καθ' ὑπερβατόν. Προσκαλεῖται δὲ ταῦτα, ἕνεκεν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ, κακῶς πολιτευόμενον· διακρῖναι δὲ νῦν, τὸ ἐλέγξαι λέγει.

Σκόπει δὲ, ὅτι καὶ Μωυσῆς εἰσάγων τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τὸν οὐρανὸν καὶ τὴν γῆν μάρτυρας τῶν συνθηκῶν παρέλαβεν, ὡς μονιμώτερα σώματα, καὶ ὡς περιεκτικὰ τῶν ἁμαρτανόντων ἢ κατορθούντων. Dt 32.1

Ἔστι δὲ τὸ σχῆμα προσωποποιΐα, ὅτε τοῖς ἀψύχοις ἐμψύχων πρόσωπα περιτιθέαμεν.

5α Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ.

Ὁσίους λέγει, τοὺς Ἰσραηλίτας, ὡς ἀφωσιωμένους, καὶ ἀνατεθειμένους μόνῳ αὐτῷ. |

5β Τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.

Τοὺς διοικοῦντας καὶ ἐκπληροῦντας, ὡς οἴονται, τὴν πρὸς αὐτοὺς διαθήκην τοῦ Θεοῦ ἐν ταῖς θυσίαις.

4[8] περιτιθέαμεν MPSC : περιτίθεμεν V. 5α[1] συναγάγετε[αι] P : συναγάγετε V[Ra] : συναγάγεται MSCBF[T].

Διαθήκην δὲ λέγει, τὸν νόμον. Μόνα γὰρ τὰ τῶν θυσιῶν φυλάττοντες, ᾤοντο πάντα τὸν νόμον τηρεῖν, καὶ ἐπὶ ταῖς θυσίαις ἐμεγαλαύχουν, ὡς θεοσεβέστατοι.

Συναγάγετε δὲ αὐτῷ τούτους ἐν τοῖς ἀφωρισμένοις ταῖς ἀναγνώσεσι τῶν προφητικῶν λόγων καιροῖς. Dt 31.10-13

6α Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ.

Μέλλων εἰσάγειν τὸν Θεὸν δικαιολογούμενον, προλαμβάνει καὶ ἀνακηρύττει, ὅτι δικαίως ὁ Θεὸς ἐρεῖ. Καὶ γὰρ, φησὶν, αὐτὰ τὰ ἄψυχα ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ.

Ἢ οὐρανοὺς λέγει, τὰς ἐπὶ τοῦ οὐρανοῦ τάξεις τῶν ἀσωμάτων, ἅτε περὶ Θεὸν οὔσας ἀεί.

6β Ὅτι ὁ Θεὸς κριτής ἐστι.

Τοῦτο, κατασκευὴ τῆς δικαιοσύνης, διότι ὁ Θεὸς μέλλων δικαιολογεῖσθαι, πάντων κριτής ἐστι, καὶ λοιπὸν δίκαια ἐρεῖ, φύσει τὴν δικαιοσύνην ἔχων.

7α Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι.

Ἐντεῦθεν αἱ τοῦ Θεοῦ φωναί. Ἐπιτάττει δὲ αὐτοῖς πρὸ πάντων προσοχήν· ἄκουσον γὰρ, φησὶ, τουτέστι, πρόσχες.

7β Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι.

Ἀπὸ κοινοῦ πάλιν λαμβάνεται τὸ, ἄκουσον. Εἰπὼν δὲ λαὸν, προσέθηκε καὶ τὸ ἴδιον τοῦ λαοῦ καὶ τὸ ἥδιστον ὄνομα, ὅτι, ὦ Ἰσραήλ. Διαμαρτύρομαι δὲ, ἀντὶ τοῦ, διαλεχθήσομαί σοι.

7γ Ὁ Θεὸς, ὁ Θεός σού εἰμι ἐγώ.

Ἐγὼ ὁ διαλεγόμενός σοι, ὁ Θεός σού εἰμι· φρῖξον. Τοῦτο δέ φησι καὶ πρὸς ἔνδειξιν τῆς ἀρρήτου μακροθυμίας, ὡς καὶ διαλέγεσθαι τοῖς δούλοις αὐτοῦ.

Ἐδιπλασίασε δὲ τὸ, ὁ Θεὸς, εἰς διασυρμὸν τῆς ἀναισθησίας καὶ παχύτητος τῶν ἀκοῶν αὐτῶν.

8 Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστι διὰ παντός.

Οὐ τὸν παρόντα, φησὶν, ἔλεγχον ἐνεστησάμην, ἐγκαλῶν σοι περὶ θυσιῶν, ὡς ἀμελουμένων· οὐμενοῦν· καὶ γὰρ τὰ ὁλοκαυτώματά σου διαπαντὸς ἐν τῷ βωμῷ

[5β][3] Συναγάγετε[αι] δὲ αὐτῷ P: Συναγάγετε δὲ αὐτῷ V[Ra] : Συναγάγεται δὲ αὐτῷ M : Συναγάγεται δὲ ἑαυτῷ SCBF[A].
6α[5] τὰς ἐπὶ τοῦ οὐρανοῦ MSCBF : τὰς ἐπουρανίους P(V). 6β[2] μέλλων MSCF : ὁ μέλλων P(corr.?)[A]B.

τοῦ ναοῦ μού εἰσι, καὶ τόγε ἐπὶ ταῖς θυσίαις ἀνέγκλητος μεμένηκας· ἀλλ’ ἕτερά σου κατηγορῶ.

9 Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.

Θύων ἐπιμελῶς, μὴ οἴου με θεραπεύειν ἐν τούτῳ· οὐ δέομαι γὰρ θυσίας, ἀνενδεὴς πάντων ὢν, καὶ πάντων μάλιστα πᾶσι χορηγός· ὅθεν τοῦ λοιποῦ οὐ δέξομαι τὰς τοιαύτας θυσίας.

Εὐτονώτερον δὲ καθάπτεται τούτων διὰ Ἡσαΐου λέγων, *Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; πλήρης εἰμί· ὁλοκαυτώματα κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;* Isa 1.11, 12
καὶ Ἰερεμίας δέ φησιν, *Ἱνατί μοι λίβανον ἐκ Σαβᾶ φέρεις, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν;* καὶ πάλιν, *Οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν περὶ θυσιῶν,* Jer 6.20
καὶ περὶ ὁλοκαυτωμάτων οὐκ ἐνετειλάμην αὐτοῖς· καὶ ἄλλα τοιαῦτα διάφοροι Jer 7.22
προφῆταί φασι.

Καὶ μὴν πολλὰ περὶ θυσιῶν διὰ Μωυσέως ἐνομοθέτησεν. Ἔστι δὲ λύσις τῆς δοκούσης ἐναντιότητος, ὅτι οὐ προηγουμένως δι’ ἐμαυτὸν ἐνομοθέτησα περὶ θυσιῶν, μὴ γὰρ ἔχρηζον τούτων, ἀλλὰ συγκαταβατικῶς, διὰ τὴν ὑμῶν σκληρότητα. Εἰδὼς γὰρ ὑμᾶς ἅπαξ ἐν Αἰγύπτῳ μεμαθηκότας θύειν, καὶ ἡδέως πρὸς τοῦτο καὶ δυσαποσπάστως ἔχοντας, συνεχώρησα τοῦτο κατ’ οἰκονομίαν, μεταστήσας τὰς θυσίας εἰς ἐμαυτὸν, ἵνα τῇ συνεχείᾳ τούτων, μνημονεύητέ μου, καὶ ἡ τῶν θυσιῶν ἡδονὴ φυλάξῃ τὸ πρὸς ἐμὲ σέβας ἐν ἀνθρώποις ἀχαρίστοις καὶ ῥᾷον ἐπιλανθανομένοις. Νῦν δὲ τοῦ μακροῦ χρόνου καὶ τῶν τοσούτων ἑκάστοτε σημείων βεβαιωσάντων ὑμῖν ὅτι ἐγώ εἰμι Θεὸς μόνος, ἀπογυμνῶ | τὴν ἐμὴν γνώμην, καὶ διαῤῥήδην ἀπαγορεύω τὰς θυσίας, ὡς ἀχρήστους καὶ περιττάς.

Αἰσχυνέσθωσαν Ἰουδαῖοι, παρατρέχοντες τὴν ἀλήθειαν, καὶ μύοντες πρὸς τὸ ἐν τοῖς ῥήμασι τούτοις φῶς.

10 Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες.

Οὐ δέξομαι, φησὶ, τὰ ῥηθέντα, ὅτι ἐμά ἐστι πάντα. Θηρία δὲ ἀγροῦ λέγει, τὰ ἐν τοῖς ἀγροῖς νεμόμενα καθαρὰ τετράποδα· τὸ γὰρ τῶν θηρίων ὄνομα, ποτὲ μὲν ἐπὶ τῶν ἀγρίων, ποτὲ δὲ ἐπὶ τῶν ἡμέρων τίθησιν ἡ Γραφή. Ἐμὰ οὖν ἐστιν, ὡς ἐμοῦ ταῦτα κτίσαντος.

Τινὰ δὲ τῶν ἀντιγράφων, *θηρία τοῦ δρυμοῦ* γράφουσιν, ἐν οἷς μᾶλλον θηρία νοήσεις τὰ ἄγρια· ἀγροὶ μὲν γὰρ, τὰ ἥμερα χωρία, δρυμοὶ δὲ, τὰ ὑλώδη καὶ θηροτρόφα· καὶ ἀποδώσεις ἐξήγησιν, ὅτι οὐ τὰ ἥμερα μόνον ἐμά εἰσιν, ἀλλὰ καὶ τὰ ἄγρια. Ἐξ ὀλίγων δὲ ζῴων, ὅλα τὰ θυσιαζόμενα δηλοῖ.

11α Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ.

10[8] θηροτρόφα MSCBF : θηριότροφα PV.

Γνωρίζω ταῦτα· ἠριθμημένα ἔχω, ὡς Δεσπότης αὐτῶν. Mt 10.29-30

11β Καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν.

Ὡραιότητα ἐκάλεσεν ἀγροῦ, τοὺς ἐξ ἀγρῶν φυομένους καρπούς· ταῦτα γὰρ καὶ κάλλος εἰσὶ τῶν ἀγρῶν, καὶ ὡραῖα διὰ τὰς ὥρας τοῦ ἐνιαυτοῦ ὀνομάζονται. Μετ' ἐμοῦ δέ ἐστιν, ἀντὶ τοῦ, παρ' ἐμοὶ, ἐν ἐξουσίᾳ μου.

Ὅρα δὲ πῶς συνοπτικῶς ἐμνημόνευσε πάντων· προσεφέροντο γὰρ εἰς θυσίαν, ἀπὸ μὲν τῶν τετραπόδων, βόες καὶ τράγοι καὶ πρόβατα, ἀπὸ δὲ τῶν πετεινῶν, περιστεραὶ καὶ τρυγόνες, ἀπὸ δὲ τῶν καρπῶν, σεμίδαλις καὶ οἶνος καὶ ἔλαιον.

12α Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω.

Τοῦτο, κατ' εἰρωνείαν εἶπε, διασύρων τὴν αὐτῶν παχύτητα, οἰομένων τὸν Θεὸν δεῖσθαι τῶν θυσιῶν εἰς βρῶσιν. Φησὶν οὖν, ὅτι καὶ εἰ ὀρθῶς ὑπελάμβανες, οὐκ ἂν ἐζήτησα φαγεῖν ἀπὸ σοῦ. Καὶ ἄκουσον τὴν αἰτίαν.

12β Ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.

Ἐμῆς οὖν οὔσης, ἔλαβον ἂν αὐτός.

13 Μὴ φάγω κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;

Κατ' ἐρώτησιν ἔτι πλατύτερον ἐλέγχει τὴν ἄνοιαν αὐτῶν. Μὴ γὰρ, φησὶν, ὡς οἱ ψευδώνυμοι θεοὶ τῶν ἐθνῶν, τοιαύτης βρώσεως καὶ πόσεως ἐπιδέομαι; ὅπουγε καὶ πολλοὶ τῶν ἐπιεικεστέρων ἀνθρώπων ἀποστρέφονται ταύτην καὶ διαπτύουσι.

14α Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως.

Ὅρα φανερῶς ἐκβαλλομένην τὴν νομικὴν λατρείαν καὶ ἀντεισαγομένην τὴν εὐαγγελικήν. Ἡ γὰρ δι' αἰνέσεως θυσία τοῖς Χριστιανοῖς ἀποκεκλήρωται.

Αἴνεσιν δὲ λέγει, τὴν εὐφημίαν ἢ τὴν εὐχαριστίαν· καὶ ἀμφότερα γὰρ δεῖ ποιεῖν, ἐφ' οἷς ἐκ τοῦ μὴ ὄντος τε παρήχθημεν καὶ τὰ πρὸς χρείαν καὶ ἀπόλαυσιν ἐκτησάμεθα καὶ φῶς γνώσεως προσελάβομεν, καὶ ἁπλῶς εἰπεῖν, τηλικαῦτα εὐηργετήθημεν.

14β Καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου.

Τὰς προσευχὰς, τὰς ὑπὲρ τῆς σωτηρίας σου· χρεωστεῖς γὰρ τοῦτο ποιεῖν.

Ἢ εὐχὰς λέγει, τὰς ὑποσχέσεις, τὰς ὑπὲρ τοῦ εὐαρεστεῖν αὐτῷ· οὕτω γὰρ

ποιεῖν καὶ Ἰουδαῖοι ἐπηγγείλαντο, καὶ ἡμεῖς ἐπαγγελλόμεθα, ὡς δοῦλοι Δεσπότῃ. Εὐαρεστεῖ δὲ μόνος ὁ ἐνάρετος· τὸ δὲ θύειν ζῷα, οὐκ ἀρετὴ, καὶ γὰρ οὐδὲ τὰ ἔθνη παρὰ τοῦτο ἐνάρετα.

15 Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με.

Οὕτω θῦσον, καὶ ἀπόδος, ὃ ποιεῖν χρεωστεῖς, καὶ τότε θαῤῥούντως *ἐπικάλεσαί με, καὶ ἐξελοῦμαί σε* τῆς θλίψεως, τῆς εἴτε παρ' ἀνθρώπων, εἴτε παρὰ δαιμόνων. Καὶ δοξάσεις με, ὡς ἀψευδῆ καὶ ταχὺν βοηθόν.

Παρατηρητέον δὲ, πῶς ἀνοίγων τῇ εὐαγγελικῇ λατρείᾳ θύραν ὁ Θεὸς, εὐθὺς καὶ περὶ | τῆς ἁγίας ἐνέφηνε Τριάδος. *Θῦσον* γὰρ, φησὶ, *τῷ Θεῷ*, εἶτα, *καὶ ἀπόδος τῷ Ὑψίστῳ*, ἔπειτα, *καὶ ἐπικάλεσαί με*, οὐχ ὥστε νοηθῆναι μόνον τὸν Πατέρα Θεὸν, καὶ μόνον ὕψιστον, τὸν Υἱὸν, καὶ μόνον ἐπικαλεῖσθαι ἄξιον, τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ὥστε τῇ τοιαύτῃ διαιρέσει, τὴν διαίρεσιν τῶν ὑποστάσεων ὑποδηλωθῆναι.

16-17 Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; σὺ δὲ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.

Ἁμαρτωλὸν καλεῖ, τὸν δῆμον τῶν ἱερέων καὶ γραμματέων τῶν ἐν Ἰουδαίοις, οἵτινες διηγοῦντο μὲν τῷ λαῷ τὰ δικαιώματα τοῦ νόμου, καὶ διὰ στόματος μόνον εἶχον ὅλην τὴν νομικὴν διαθήκην, οὐ διὰ καρδίας· μεγαλαυχοῦντες δὲ ἐπὶ τούτῳ μόνῳ, καὶ δικαιοῦντες ἐντεῦθεν ἑαυτοὺς, πᾶσαν ἁμαρτίαν διεπράττοντο. Περὶ ὧν ὁ Χριστὸς εἶπε πρὸς τὸν λαὸν, ὅτι, *Ἃ λέγουσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν, μὴ ποιεῖτε.* Mt 23.3

Διατί, φησὶ, διδάσκεις μὲν ἄλλους, σὺ δὲ ἐμίσησας τὴν ἀφ' ὧν διδάσκεις παίδευσιν καὶ ῥύθμισιν τῆς ψυχῆς, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω, τουτέστιν, ἀπώσω αὐτούς; Ὀπίσω γάρ τις ὠθεῖ τὸν μισούμενον. Ἀπώσω δὲ αὐτοὺς, ὡς μὴ ποιῶν ἃ ἐντέλλονται· ὥστε λόγῳ μὲν ἀναλαμβάνεις αὐτοὺς, ἔργῳ δὲ ἀπωθεῖς.

18α Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ.

Ὅρα καθάπερ ἐν πίνακι τὰ τῆς ἁμαρτίας χρώματα· *εἰ ἐθεώρεις κλέπτην*, ἢ *συνέπραττες*, ἢ *συνηυδόκεις τῷ πράττοντι*, διὰ τοῦ μὴ σωφρονίζειν, ἀλλὰ συγκαλύπτειν.

18β Καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις.

Καὶ τῷ μοιχῷ ἐκοινώνεις διὰ τοῦ αὐτοῦ τρόπου, καθ' ὃν καὶ τῷ κλέπτῃ συνέτρεχες· μοιχὸν δὲ ἐνταῦθα, καὶ τὸν πόρνον καλεῖ, καὶ παντοῖον ἀκόλαστον.

19α Τὸ στόμα σου ἐπλεόνασε κακίαν.

Ἐπληρώθη ψεύδους· ἀδιάφορος δὲ ἡ σύνταξις.

19β Καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητα.

Τοῦτο δῆλον.

20α Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις.

Συγκαθήμενός τισι.

20β Καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.

Τὸ αὐτὸ λέγει πάλιν, διὰ τῆς ἐπεξηγήσεως αὔξων τὴν κατηγορίαν.
Σκάνδαλον δὲ, ἡ παγίς.

21α Ταῦτα ἐποίησας, καὶ ἐσίγησα.

Ἐμακροθύμησα, ἀπεκδεχόμενος τὴν μετάνοιάν σου.

21β Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος.

Σὺ δὲ οὐ μόνον οὐ διωρθώσω, ἀλλὰ καὶ ἐνεθυμήθης ἀνοσιότητα· αὕτη δὲ ἦν, ὅτι ἔσομαί σοι ὅμοιος, ὅσον εἰς τὸ συνευδοκεῖν τοῖς ἁμαρτάνουσιν.

21γ Ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου.

Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

22α Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ.

Νοήσατε τὰ ῥηθέντα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, διότι μακροθυμεῖ ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν.

22β Μήποτε ἁρπάσῃ καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος.

Ὢ ἀνεικάστου μακροθυμίας! ἔτι μακροθυμῶν, ἐξασφαλίζεται αὐτούς. Μήποτε, φησὶν, ἁρπάσῃ τὰς ψυχὰς ὑμῶν δι' ἀγγέλων ἀποτόμων αἰφνίδιον.

23α Θυσία αἰνέσεως δοξάσει με.

Πάλιν παραγγέλλει περὶ τῆς καινοφανοῦς θυσίας· ὅτι αὕτη με, φησὶ, δοξάσει, εἴτουν τιμήσει, καὶ οὐχ ἡ διὰ ζῴων.

23β Καὶ ἐκεῖ ὁδὸς, ᾗ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Καὶ ἐν ἐκείνῃ τῇ θυσίᾳ ἐστὶν ὁδὸς εἰς σωτηρίαν, δι' ἧς ὁδοῦ, αὐτῷ τῷ θύοντι δείξω τὴν παρ' ἐμοῦ σωτηρίαν.

Τινὰ δὲ τῶν ἀντιγράφων, ἣν δείξω γράφουσι, καὶ νοεῖται τὸ, *καθ' ἥν*.

Τινὲς δὲ καὶ μετὰ τὸ, *δείξω*, ὑποστίζοντες, *αὐτὸ τὸ σωτήριόν μου*, φασίν. |

Ὁδὸν δὲ εἰς σωτηρίαν ὑποληπτέον, τὸ βάπτισμα ἢ τὴν μετάνοιαν.

50 ν´

1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ·

2 ἐν τῷ εἰσελθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην,
ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεὲ τὴν γυναῖκα Οὐρίου.

Εἰς τὸ τέλος μὲν, ὅτι προφητείας ἔχει παραπεμπούσας εἰς τὸ τέλος αὐτῶν τοὺς ἐντυγχάνοντας.

Οὐ μόνον γὰρ κατάλληλον θεραπείαν ἐξομολογήσεως τῷ τραύματι τῆς μοιχείας Βηρσαβεὲ καὶ τοῦ φόνου τοῦ ἀνδρὸς αὐτῆς Οὐρίου διὰ τοῦ παρόντος ψαλμοῦ κατεσκεύασεν, ἀλλὰ καὶ περὶ διαφόρων ἄλλων.

Ἔτι δὲ καὶ τῆς ἀνοικοδομῆς Ἰερουσαλὴμ, τῆς μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον τῶν αἰχμαλώτων, προεῖπεν· οὐ γὰρ ἀπέπτη παντελῶς ἀπ' αὐτοῦ τὸ προφητικὸν χάρισμα, οἷα τοῦ Θεοῦ προγινώσκοντος, ὅτι θᾶττον ἀπολούσεται τὸν ῥύπον καὶ λαμπρότερος γενήσεται. Οὐ δὲ γὰρ ἀπολαβεῖν ἐζήτησε τὸ ἅγιον Πνεῦμα, ἀλλὰ μὴ ἀφαιρεθῆναι ἀπ' αὐτοῦ· εἶπε γὰρ, ὅτι *Καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ*. Ps 50.13

Ἁρμόζει δὲ καὶ πᾶσιν ἡμαρτηκόσιν ἡ παροῦσα ἐξομολόγησις, ἥτις συνετέθη καὶ ἀπηρτίσθη, ὅτε εἰσῆλθε πρὸς αὐτὸν Νάθαν ὁ προφήτης· τότε γὰρ εἰς συναίσθησιν ἦλθε, τὸν παρελθόντα καιρὸν ἀφροντίστως διακείμενος.

Τὸ δὲ, *ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεὲ*, οὐχ ὅτι παραυτίκα πρὸς αὐτὸν εἰσῆλθεν ὁ Νάθαν· καιρὸς γὰρ διῆλθεν ἱκανὸς, ὡς ἡ πρώτη βίβλος τῶν Βασιλειῶν ἱστορεῖ· 2Rg 11.27
ἀλλὰ τὸ, *ἡνίκα*, ὑστεροχρονίαν ἐπὶ τοῦ παρόντος ἀποσημαίνει, οἷον, μεθ' ὃ εἰσῆλθε πρὸς Βηρσαβεὲ καὶ ἐγκύμονα πεποίηκεν.

3α Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἐλέησόν με ἀξίως τοῦ μεγάλου ἐλέους σου, ὅτι μεγάλα ἥμαρτον.

3β Καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὸ αὐτὸ ἐδιπλασίασε νόημα· σύνηθες γὰρ τοῦτο τοῖς δεομένοις.

Ἀνόμημα δὲ λέγει, τὴν παρανομίαν τῆς μοιχείας καὶ τοῦ φόνου· καὶ ἄμφω γὰρ ὁ νόμος ἐκώλυεν. Ἀνόμημα δὲ ταύτην ἐκάλεσεν, ὅτι δίκην ἀλλοφύλου, τοῦ μὴ ὑπὸ τὸν νόμον, ἐπλημμέλησεν. Ex 20.13, 15

4α Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου.

Συνεχωρήθη γὰρ καὶ διὰ τοῦ Νάθαν, εἰπόντος, ὅτι *Καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου*. Ἀλλ' ὑπὸ θερμότητος, ἔτι πλυθῆναι παρακαλεῖ· ἢ τὸ, ἐπὶ πλεῖον, ἀντὶ τοῦ, ἄγαν. Sir 47.11 2Rg 12.13

4β Καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Τὸ αὐτὸ λέγει πάλιν, ἁμαρτίαν, ὅτι κυρίως ἁμαρτία, ἡ τοῦ νόμου παράβασις. Πλὴν, ὡς ἐπὶ τὸ πλεῖστον, τῷ τῆς ἀνομίας καὶ παρανομίας καὶ ἁμαρτίας ὀνόματι ἀδιαφόρως χρῆται, καὶ ἀντ' ἀλλήλων.

5 Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Ἐλέησόν με, φησὶ, καὶ καθάρισόν με, διότι οὐκ ἐπελαθόμην τῆς ἁμαρτίας μου, ὡς εὐκαταφρονήτου διὰ τὸν ὄγκον τῆς βασιλείας· ἀλλ' εἰ καὶ τοὺς ἀνθρώπους ἔλαθον, ὅμως ἐγὼ γινώσκω ταύτην, ἡλίκη· καὶ βλέπω αὐτὴν νύκτωρ καὶ μεθ' ἡμέραν, τοῖς τοῦ συνειδότος ὀφθαλμοῖς, πικρῶς πλήττουσαν τὴν ἐμὴν ψυχήν· ὅπερ μετανοίας ἐστὶν εἰλικρινοῦς τεκμήριον καὶ πρόξενον συγχωρήσεως.

6α Σοὶ μόνῳ ἥμαρτον.

Ὡς σοὶ μόνῳ δικαστῇ ὑποκείμενος· βασιλεὺς γὰρ ὢν, σὲ μόνον ἔχω τῶν πεπραγμένων μοι δικαστὴν, τῶν ἄλλων ἁπάντων κύριος ὢν, καὶ κατ' ἐξουσίαν ποιῶν ἃ βούλομαι.

Ἢ καὶ ὅτι τοὺς σοὺς νόμους παραβὰς, σοὶ μόνῳ τῷ νομοθέτῃ τούτων ἡμάρτηκα.

6β Καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα.

Πάντα γὰρ ὁρᾷς, καὶ οὐχ ὅτε γίνονται μόνον, ἀλλὰ καὶ ὅτε μέλλουσι. Τοῦτο δὲ εἶπε, καταισχύνων ἑαυτὸν, ὡς οὐκ αἰσχυνθέντα τὸν Θεὸν, ὁρῶντα γινομένην τὴν ἁμαρτίαν.

Ὅρα δὲ πῶς ὡς περὶ | ἑνὸς ἁμαρτήματος δοκεῖ λέγειν, διὰ τὸ ἀπηρτῆσθαι τῆς μοιχείας τὸν φόνον· ἐκείνη γὰρ εἰργάσατο τοῦτον.

6γ Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἐποίησα δὲ τὸ κακὸν ἐνώπιόν σου, κατὰ τῆς ἐμαυτοῦ κεφαλῆς, ἵνα ἐν ταῖς δικαιολογίαις σου ταῖς πρὸς ἐμὲ, καὶ ἐν τῷ κρίνεσθαί σε ἐμοὶ — περὶ ὧν σὺ μὲν βασιλέα με πεποίηκας καὶ οὕτως ἐδόξασας, ἐγὼ δὲ τοὺς σοὺς ἠθέτησα νόμους καὶ παρώργισά σε — δικαιωθῇς μᾶλλον σὺ, καὶ καταδικάσῃς με τὸν ἄθλιον, ὡς περὶ τὸν εὐεργέτην ἀγνώμονα. Τοιοῦτος γὰρ ἦν ὁ σκοπὸς τοῦ βιασαμένου καὶ νικήσαντός με δαίμονος, αὐτὸν ἐμὲ καταστῆναί μοι καταδίκης πρόξενον.

Ἐδικαιολογήθη δὲ καὶ ἀντεκρίθη πρὸς τὸν Δαυὶδ ὁ Θεὸς διὰ Νάθαν καὶ ἤλεγξεν, ὅπως προβατέα τοῦτον λαβὼν, εἰς βασιλέα μέγαν κατέστησε καὶ μυρίων ἐπιβουλῶν ἐῤῥύσατο, καὶ ὅπως αὐτὸς πονηρᾷ πράξει τὸν εὐεργέτην ἠμείψατο. Ἐπήγαγε δὲ καὶ τὴν καταδίκην, ὅτι *Τάδε λέγει Κύριος, Ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπὶ σὲ κακὰ ἐκ τοῦ οἴκου σου*, καὶ τὰ ἑξῆς, ὡς ἡ δηλωθεῖσα βίβλος παρίστησιν. 2Rg 12.11

7 Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Εἰς συμπάθειαν τὸν Θεὸν ἐπισπώμενος, ἐπὶ τὴν ἑαυτοῦ γέννησιν ἀνατρέχει τῷ λόγῳ. Εἰ γὰρ μὴ ἥμαρτεν ὁ Ἀδὰμ, οὐκ ἂν συνήφθη τῇ Εὔᾳ. Ὥστε ἡ μὲν ἁμαρτία γεγέννηκε τὴν συνάφειαν, ἡ δὲ συνάφεια, τοὺς ἐξ Ἀδὰμ καὶ Εὔας, καὶ οὗτοι τοὺς ἑξῆς, καὶ οὕτως ἄχρι Δαυίδ. Καὶ γὰρ εἰ καὶ τῷ νόμῳ τίμιος ὁ γάμος γέγονε διὰ τὴν παιδοποιΐαν, ἀλλά γε τῷ τρόπῳ, ἐκ τῆς ἁμαρτίας ἔχει τὴν πρόοδον. Ὥστε ἐξ ἁμαρτίας καὶ συνελήφθην καὶ ἐγεννήθην· τὸ γὰρ, ἐκίσσησεν, ἐγέννησεν εἶπεν ὁ Σύμμαχος. Καὶ οὐδὲν μέγα, εἰ καὶ αὐτὸς ἥμαρτον, παθὼν τὸ τοῦ γένους.

8α Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας.

Τοῦτο πρὸς τὴν ῥηθεῖσαν ἐξομολόγησιν εἴρηται· φησὶ γὰρ, ὅτι ἀλήθειαν ἠγάπησας, καὶ διὰ τοῦτο ὡμολόγησα ταύτην, ὅτι ἥμαρτον.

Τὸ δὲ, *ἰδοὺ γὰρ*, περιττὸν κεῖται, καὶ ἐπὶ τοῦ παρόντος στίχου καὶ ἐπὶ τοῦ προλαβόντος, καθ᾽ Ἑβραΐδα συνήθειαν· πολλὰ γὰρ τοιαῦτα περιττὰ τίθησιν.

8β Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Τοῦτο πρὸς οἰκείαν εἶπεν αἰσχύνην, ὅτι τοσοῦτόν με ἠγάπησας, ὅτι καὶ τὰ ἀπόῤῥητα τῆς σοφῆς σου προνοίας ἐδήλωσάς μοι διὰ τοῦ προφητικοῦ πνεύματος, ἐγὼ δὲ ἐφάνην ἀγνώμων.

9α Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι.

Πολλοὶ περὶ τούτου λόγοι τοῦ ῥητοῦ πολλοῖς γεγόνασιν· οὐδεὶς δὲ σαφὲς οὐδὲν, οὐδ᾽ ἀναντίῤῥητον ἀπήγγειλεν.

7[6] τῷ τρόπῳ MSB : τῇ ἀρχῇ [M in marg.] : τῷ τρόπῳ τῇ ἀρχῇ F : τῇ φύσει PCV. 7[8] τοῦ γένους MSB : τῆς φύσεως PCV.

Ἐγὼ δέ φημι προφητεύειν περὶ ἑαυτοῦ τὸν Δαυὶδ ἐν τούτοις, ὅτι καὶ συγχωρηθήσεται τὴν ἁμαρτίαν τελεώτερον, καὶ χαρᾶς πλησθήσεται.

Ἐπεὶ γὰρ ὁ νόμος ὑσσώπου ῥαντίσματί τινας τῶν μιαινομένων ἐκάθαιρεν Lev 14.4-7 (ἔστι δὲ τὸ ὕσσωπον, εἶδος πόας, ἄγαν σμηκτικῆς), κατὰ μεταφορὰν ἐκείνης τῆς καθάρσεως εἶπεν, ὅτι ῥαντιεῖς με ῥαντίσματι σμηκτικῷ.

Εἴη δ᾽ ἂν τοῦτο, λόγος ἀφέσεως, ἢ καὶ τὸ δάκρυον τῆς μετανοίας· καὶ τοῦτο γὰρ θεόθεν χαρίζεται.

9β Πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Τὸ αὐτὸ λέγει πάλιν ὑφ᾽ ἡδονῆς.

10α *Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην.*

Ταῖς ἀκοαῖς τῆς ψυχῆς μου ἐνηχήσεις χαρὰν, ὅτι συνεχώρησάς μοι.

Ἀγαλλίασις δὲ νῦν καὶ εὐφροσύνη, ταὐτὸν σημαίνουσιν.

10β *Ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.*

Τὰ ὀστᾶ μου, φησὶ, τὰ τεταπεινωμένα τῷ βάρει τῆς ἁμαρτίας, ἀγαλλιάσονται, κουφισθέντα διὰ τῆς ἀφέσεως· | ἀπὸ μέρους δὲ τῶν ὀστῶν, ὅλον ἑαυτὸν ἐνέφηνε.

Τινὲς δέ φασιν, ὅτι τὸ, *ἀκουτιεῖς με ἀγαλλίασιν*, περὶ τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος εἴρηκεν, ὅτι ἀναγγελεῖς μοι τὴν παγκόσμιον χαρὰν, ἤτοι τὴν ἀπόῤῥητον ἐνανθρώπησιν, καὶ εὐθὺς ἄγαν ἁλοῦνται καὶ σκιρτήσουσιν ὑφ᾽ ἡδονῆς τὰ τεταπεινωμένα ὀστέα μου.

11 *Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.*

Γυμνὰ πρόκεινται τῇ παντεφόρῳ ἐπισκοπῇ σου τὰ ἐμὰ ἁμαρτήματα. Ἀπόστησον ταύτην ἀπ᾽ αὐτῶν, καὶ ὅλας μου τὰς ἀνομίας ἐξάλειψον ἀπὸ τῆς βίβλου τῶν ἔργων μου.

12α Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός.

Οὐχ ἑτέραν οὐσιώσας, ἀλλὰ τὴν οὖσαν εἰς τὸ ἀρχαῖον κάλλος ἀποκαταστήσας. Εἰ γὰρ ταύτης περιέλῃς τὴν παλαιότητα, τὴν ἀπὸ τοῦ ῥύπου τῆς ἁμαρτίας, κτίσεις ἐν ἐμοὶ καρδίαν καθαράν. Κτίσον οὖν, ἀντὶ τοῦ, ἀποκατάστησον.

12β Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

12α Add. [MF in marg.]PBV: Ἡ καρδία πολλὰ σημαίνει· ποτὲ μὲν τὸ σωματικὸν μόριον· ποτὲ δὲ, τοῦ ἡγεμονικοῦ τὸ βαθύτατον, ὡς τὸ, *Καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν* [Lk 24.38]· ποτὲ δὲ τὴν γνώμνην καὶ προαίρεσιν, ὡς τὸ, *Ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ᾽ ἐμοῦ* [Isa 29.13]· ποτὲ δὲ τὴν εὐδοκίαν καὶ ἀρέσκειαν, ὡς τὸ, *Εὗρον Δαυὶδ ἄνδρα κατὰ τὴν καρδίαν μου* [Ac 23.22]· ποτὲ δὲ τὴν ψυχὴν, ὡς ἐπὶ τοῦ προκειμένου, *Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.* : om. C.

Ἐγκαίνισον, ἀντὶ τοῦ, ἔμβαλε καινῶς, ἤτοι ἀπὸ τοῦ νῦν, χάρισμα εὐθύτητος, εὐθύνον τὰς ἐγγινομένας μοι παρὰ τοῦ δαίμονος σκολιότητας· ἔγκατα δὲ λέγει, τὰ ἐνδότατα μέρη ἑαυτοῦ.

Φησὶ δὲ καὶ διὰ Ἰεζεκιὴλ ὁ Θεὸς πρὸς τοὺς ἐν Βαβυλῶνι, ὅτι *Δώσω αὐτοῖς καρδίαν καινὴν καὶ πνεῦμα καινὸν*, τουτέστιν, ἀνακαινίσω ἀσθενήσασαν καὶ τὴν Ez 11.19
καρδίαν αὐτῶν καὶ τὴν προθυμίαν.

13α *Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.*

Ὡς γενόμενον ἀνάξιον τῆς ἐπισκοπῆς σου.

13β *Καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.*

Τὸ χάρισμα λέγει τῆς προφητείας· μὴ ἀνθ᾽ ὧν ἥμαρτον, ἀφέλῃς τοῦτο ἀπ᾽ ἐμοῦ.

14α *Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου.*

Τὴν χαρὰν ἣν εἶχον ἀπὸ τοῦ σῴζεσθαι διὰ σοῦ. Ὅρα δὲ, ὅπως ὃ μὲν οὐκ ἀπώλεσε, μὴ ἀφαιρεθῆναι παρακαλεῖ, ὃ δὲ ἀφῃρέθη, τοῦτο ἀποδοθῆναι αὐτῷ δέεται· πρὸ γὰρ τῆς ἁμαρτίας ἔχαιρε, Σωτῆρα τοιοῦτον ἔχων.

14β *Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.*

Καὶ κραταίωσόν με χαρίσματι κυριευτικῷ τῶν παθῶν, ἢ ὁδηγῷ πρὸς τὰ κρείττονα. Χάρισμα δὲ εὐθύτητος καὶ χάρισμα ἡγεμονικὸν, εἶεν ἂν αἱ παρὰ τοῦ ἁγίου Πνεύματος ἐγγινόμεναι τῇ ψυχῇ διάφοροι δυνάμεις.

15 *Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.*

Καὶ τοῦτο, προφητεία τοῦ μέλλοντος· τοῦ γὰρ εὐαγγελικοῦ κηρύγματος εἰς τὰ ἄνομα ἔθνη διαδραμόντος, ἡ βίβλος τῶν ψαλμῶν τοῦ Δαυὶδ ἀεὶ διδάσκαλος αὐτοῖς τῶν ἀρετῶν γίνεται.

16α *Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου.*

Ἱστορικῶς μὲν, αἵματα καλεῖ, τοὺς ἀδίκους φόνους, τὸν Οὐρίου φόνον ἐνθυμούμενος.

Ἀναγωγικῶς δὲ, αἵματα λέγονται καὶ οἱ δαίμονες, ὡς αἵμασι χαίροντες καὶ ἐγκαλινδούμενοι, ἀνθρώπων ἀναιρουμένων καὶ ζῴων ἄλλων θυομένων.

Ὁ Θεὸς δὲ τῆς σωτηρίας μου, ἀντὶ τοῦ, ὁ Σωτήρ μου, ὡς πολλάκις εἰρήκαμεν. Ὁ δὲ διπλασιασμὸς, τὸ ἐγκάρδιον καὶ ἐπιτεταμένον τῆς δεήσεως ἐμφαίνει.

16β Ἀγαλλιάσεται ἡ γλῶσσά μου τῇ δικαιοσύνῃ σου.

Χαρήσεται καὶ αὐτὴ ἡ γλῶσσά μου τῇ τῆς δικαιοσύνης σου ἀπαγγελίᾳ. Δικαιοσύνην δὲ λέγει νῦν, τὴν παρὰ Θεοῦ δεδομένην αὐτῷ δικαίωσιν, εἴτουν ἐλευθερίαν τῆς ἁμαρτίας· δικαιοῦται γὰρ ὁ ἐλευθερούμενος.

Τινὰ δὲ τῶν ἀντιγράφων, τὴν δικαιοσύνην σου γράφουσιν, ἐφ' ὧν νοεῖται, ὅτι ἀγαλλίασιν ποιήσεται ἡ γλῶσσά μου, αὐτὴν τὴν παρὰ σοῦ δικαίωσιν, διὰ ταύτην σκιρτῶσα πρὸς ὑμνολογίαν.

17 Κύριε, τὰ | χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Μαθὼν διὰ τοῦ προφητικοῦ πνεύματος, οἶδα ὅτι πάλιν ἀνοίξεις πρὸς ὕμνον σου, καθὼς καὶ πρὸ τῆς ἁμαρτίας, τὰ κεκλεισμένα νῦν ὑπὸ τῆς καταγνώσεως χείλη μου.

18 Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Ὅρα πάλιν τὰς νομικὰς καὶ ἀλόγους θυσίας ἀποδοκιμαζομένας. Εἰ ἤθελες, φησὶν, ἔδωκα ἄν· ἀλλ' οὐδὲ ὁλοκαυτώματα ἀποδέξῃ· τὰ γὰρ ὁλοκαυτώματα, τιμιώτερα τῶν ἄλλων ἦσαν. Ὥστε ὁ Δαυὶδ, εἰ καὶ μετὰ ταῦτα ἔθυεν, ἀλλ' ἀπροαιρέτως ἐποίει τοῦτο διὰ τὸν νόμον, καὶ ὅτι οὔπω τῆς καινῆς θυσίας ὁ καιρὸς ἐλήλυθε.

19α Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον.

Εὐπρόσδεκτος θυσία τῷ Θεῷ, ψυχὴ συντετριμμένη ἐξ ἑκουσίου ταπεινώσεως.

19β Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Καρδίαν, τὴν ψυχὴν πολλάκις ἡ Γραφὴ καλεῖ, διὰ τὸ καὶ τὴν καρδίαν ἄγαν ἔχεσθαι τῆς ψυχῆς, καὶ τὴν ψυχὴν ἄγαν ἐμπεφυκέναι τῇ καρδίᾳ. Ὅθεν καὶ παθούσης τῆς καρδίας, ἡ ψυχὴ ἀφίπταται τοῦ σώματος ὅλου.

Ἐξουδένωσιν δὲ λέγει, τὴν ἀποστροφήν.

20α Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών.

Ἐνταῦθα παρακαλεῖ περὶ τῆς μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον ἀνοικοδομῆς τῆς Ἱερουσαλήμ· τὸ δὲ, ἀγάθυνον, ἀντὶ τοῦ, ἀγαθοποίησον, εὐεργέτησον.

Τινὰ δὲ τῶν ἀντιγράφων, τῇ Σιὼν γράφουσιν, ἐφ' ὧν τὸ, ἀγάθυνον, ἑρμηνεύσεις, ἀντὶ τοῦ, ἀγαθὰ ποίησον· ἕτερον γὰρ παρ' ἐκεῖνο τοῦτο, ὡς τὸ, Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς. Ps 124.4

Ἐν τῇ εὐδοκίᾳ σου δὲ, τουτέστι, τῇ συνεργίᾳ σου.

17[2] ὕμνον MSCBF : ὑμνολογίαν PV. 18[5] ἐλήλυθε MSCBF : ἐληλύθει PV.

20β Καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τὸ, *οἰκοδομηθήτω*, παρακλητικόν ἐστιν, εἰ καὶ προστακτικὸν φαίνεται.

21α Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης.

Τότε ἀποδέξῃ θυσίαν δικαίαν· ἐν ἑτέρῳ γὰρ τόπῳ οὐκ ἔστι δικαίως θύειν· ἐν Dt 12.11
μόνῃ γὰρ τῇ Ἰερουσαλὴμ θύειν ὁ νόμος ἐπέτρεψεν. 2Par 7.12

21β Ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Ἀναφορὰν μὲν λέγει, τὰ ἀφαιρέματα, τὰ ἐκ μέρους προσφερόμενα· Num 18.27
ὁλοκαυτώματα δὲ, τὰ καθ' ὁλοκληρίαν καιόμενα.

21γ Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ταῦτα μὲν καθ' ἱστορίαν· ἀναγωγικῶς δὲ, περὶ τῆς Ἐκκλησίας τῶν πιστῶν καὶ τῆς εὐαγγελικῆς θυσίας προφητεύει· εὐδοκίαν μὲν λέγων, τὴν ἐνανθρώπησιν τοῦ Σωτῆρος, ὡς ἀγαθὴν βούλησιν· Σιὼν δὲ, τὴν πολιτείαν τῶν Χριστιανῶν· Lk 2.14 τείχη δὲ αὐτῆς, τοὺς ἐπισκόπους καὶ διδασκάλους· τότε δὲ ἀποδέξεται καὶ θυσίαν δικαιοσύνης, ἤγουν ἀρετῆς. Καὶ ἀναφορὰν μὲν, τὰς διὰ Χριστὸν ἐκ μέρους καύσεις τῶν ὁμολογητῶν, ὁλοκαυτώματα δὲ, τὰς καθ' ὁλόκληρον τῶν μαρτύρων· ἢ τὸ μὲν, τοὺς διὰ ξίφους ἀκροτηριασμοὺς τῶν ὁμολογητῶν, τὸ δὲ, τὰς τῶν μαρτύρων σφαγάς· ἢ τὸ μὲν, τὴν ἐκ μέρους ἀρετὴν, ὡς τὴν ἐν γάμῳ ἢ ἐν ἄλλῳ βιωτικῷ σχήματι, τὸ δὲ, τὴν τελείαν, ὡς τὴν ἐν ἀγαμίᾳ ἢ ἐν μοναδικῇ πολιτείᾳ. Μόσχοι δὲ, σιτιστοὶ τῇ χορηγίᾳ τῶν ἀρετῶν καὶ πίονες τῷ ἁγίῳ Πνεύματι καὶ κερατίζοντες τὸν διάβολον, καθόλου πάντες οἱ τέλειοι καὶ πράξει καὶ λόγῳ, οἳ καὶ εἰς τὸ ἐπουράνιον ἀνάγονται θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ.

Χρὴ δὲ γινώσκειν, ὅτι πολλοὶ πολλάκις τὴν διάθεσιν τοῦ μέλλοντος χρόνου ἀντὶ εὐκτικοῦ λόγου παραλαμβάνουσιν, ἰδίωμα καὶ τοῦτο τῆς Ἑβραΐδος διαλέκτου λέγοντες, ὡς τὸ, *Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι*, καὶ ὅσα τοιαῦτα. |

51 να´
1 Εἰς τὸ τέλος· συνέσεως τῷ Δαυίδ·
2 ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ,
καὶ εἰπεῖν αὐτῷ, Ἦλθε Δαυὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ.

Φεύγων ὁ Δαυὶδ τὸν Σαοὺλ, ἐπείνασε, καὶ ἀπελθὼν εἰς Νομβὰ τὴν πόλιν τῶν ἱερέων πρὸς Ἀβιμέλεχ τὸν ἀρχιερέα, ἐποίησεν ὅσα ἐν τῇ ἐπιγραφῇ τοῦ λγ´ ψαλμοῦ ἐξηγησάμεθα. Ps 33.1

Τοῦτον ἰδὼν Δωὴκ, ὁ τῶν βασιλικῶν ἡμιόνων ἐπιμελητὴς, κατεμήνυσε τῷ Σαούλ· καὶ κατὰ τοῦ Ἀβιμέλεχ ἐξέμηνε τοσοῦτον, ὡς ἀγαγεῖν μὲν καὶ ἀνελεῖν διὰ τοῦ Δωὴκ τοὺς ἑκατὸν καὶ πεντήκοντα ἱερεῖς, κατασφάξαι δὲ καὶ πᾶσαν ἡλικίαν τῆς πόλεως, καὶ πανωλεθρίᾳ ταύτην διαφθεῖραι. Ὃ μαθὼν ὁ Δαυὶδ, 1Rg 22.9-19
ἔγραψε τὸν παρόντα ψαλμὸν, εἰς ὑπομονὴν τῶν ἀδικουμένων.

Εἰς τὸ τέλος δὲ ἐπιγέγραπται, παρεγγυῶν εἰς τὸ τέλος τῶν ἀδικούντων ἀποβλέπειν, καὶ μακροθυμεῖν.

Συνέσεως δὲ, ὅτι συνέσεως δεῖ τῷ ἀδικουμένῳ, πρὸς ὑπομονήν.

3α Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός;

Πρὸς τὸν Δωὴκ ὁ λόγος, ὃν ἔδει μᾶλλον ἐγκαλύπτεσθαι ἐπὶ τῇ κακίᾳ. Κακίαν δὲ λέγει, καθόλου τὴν πονηρίαν· δυνατὸν δὲ αὐτὸν εἶπε, διὰ τὴν πρὸς τὸν Σαοὺλ οἰκείωσιν, ἢ δυνατὸν εἰς τὸ κακῶσαι.

3β-4α Ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου.

Τὸ, ἐλογίσατο, ἐφθέγξατο εἶπεν ὁ Θεοδοτίων· τὸ δὲ, ὅλην τὴν ἡμέραν, καθ' ἑκάστην ἡμέραν φησὶν ὁ Σύμμαχος.

Ἔστι δὲ ἡ σύνταξις οὕτως· ἀεὶ ἐφθέγξατο ἡ γλῶσσά σου ἀνομίαν, ἀδικίαν, ἀσυνδέτως, ἤγουν ἄνομα καὶ ἄδικα.

Διασύρει δὲ ὅλον τὸν βίον αὐτοῦ, ὡς πάντῃ διεφθαρμένον· οὐ γὰρ ἂν τοιαύτην πόλιν ἀπώλεσεν, εἰ μὴ παντάπασιν ἀνίατος ἦν.

4β Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.

Δόλον ἐνταῦθα, τὴν διαβολὴν καλεῖ, ἣν παρεσκεύασεν οὕτω δραστήριον, ὡς δίκην ξυροῦ ἐκθερίσαι τὴν πόλιν τῶν ἱερέων· διέβαλε γὰρ τοὺς περὶ τὸν Ἀβιμέλεχ ὡς συνεργοὺς τοῦ Δαυίδ.

5 Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην.

Ἀεὶ τὸ κακὸν μᾶλλον ἢ τὸ ἀγαθὸν ἠσπάσω, καὶ τὸ λέγειν ἄδικα μᾶλλον ἢ τὸ λέγειν δίκαια.

6 Ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ γλώσσῃ δολίᾳ.

Πάντα ῥήματα καταποντίζοντα καὶ ἀφανίζοντα τοὺς ἀνθρώπους, καθ' ὧν ἂν χεθῶσιν ὡς κύματα· ταῦτα δὲ ἠγάπησας ἐν γλώσσῃ δολερᾷ, ἤγουν ἐπιβούλῳ.

Τινὰ δὲ τῶν ἀντιγράφων, γλῶσσαν δολίαν γράφουσιν, ἐφ' ὧν ἀποδιαιρήσεις τὸ, γλῶσσαν δολίαν, ἵν' ᾖ, ἠγάπησας πάλιν γλῶσσαν δολίαν.

7α Διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος.

Ὡς κακῶς ᾠκοδομημένον, εἰ καὶ ὑψώθης ἐκ τῆς καταμηνύσεως.
Εἰ δὲ καὶ εὐκτικὰ τὰ ῥήματα, ἀλλ' ἐν τύπῳ ἀρᾶς προφητεῖαι τῆς τούτου πανωλεθρίας εἰσίν.

7β Ἐκτίλαι σε.

Ὡς πονηρῶς πεφυτευμένον ἐν τῷ ἀμπελῶνι αὐτοῦ.

7γ Καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου.

Τὴν ψυχήν σου ἀπὸ τοῦ σώματός σου· ἢ σὲ ὅλον ἀπὸ τῆς οἰκίας σου, νεκρὸν ἐκφερόμενον.

7δ Καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.

Καὶ τὸ γένος σου. Ῥίζα γὰρ τοῦ Δωὴκ, καὶ ὁ πατὴρ αὐτοῦ καὶ ὁ παῖς αὐτοῦ· ὁ μὲν, ὡς τὸν Δωὴκ ἐκφύσας, ὁ δὲ, ὡς ῥίζα τοῦ ἑξῆς γένους ὑποληφθείς. Διὰ τῆς ῥίζης οὖν, καὶ τοὺς ἀνιόντας, καὶ τοὺς κατιόντας, καὶ σύμπαν ἁπλῶς τὸ γένος ἐδήλωσε.
Γῆν δὲ ζώντων, καὶ τὴν παροῦσαν λέγει, ἣν οἰκοῦσιν οἱ ζῶντες, καὶ τὸν ἐν οὐρανοῖς τόπον τῶν ἀεὶ ζώντων.

8α Ὄψονται δίκαιοι καὶ φοβηθήσονται.

Ὄψονται τὴν μέλλουσαν πανωλεθρίαν τοῦ Δωὴκ, καὶ φοβηθέντες τὴν ἄφυκτον δίκην, ἀσφαλέστεροι γενήσονται.

8β Καὶ ἐπ' αὐτὸν γελάσονται.

Καὶ ἐπ' αὐτῷ, δόντι δίκην, χαρήσονται· Εὐφρανθήσεται γὰρ, φησὶ, δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν. Ἀδιάφορος δὲ κἀνταῦθα ἡ σύνταξις. Ps 57.11

8γ-9α Καὶ ἐροῦσιν, | Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ.

Ἐν τῷ συγκαλύψαι μᾶλλον τὸν ἠδικημένον· ἀλλὰ προδοὺς αὐτὸν, ἐχθρὸν ἑαυτοῦ κατέστησε τὸν ὑπέρμαχον τῶν ἀδικουμένων.

9β Ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ.

Εἰκὸς γὰρ πλούσιον αὐτὸν εἶναι. Ἢ πλοῦτον λέγει, τὴν κακίαν, ἐφ’ ᾗ καὶ δυνατὸν αὐτὸν εἴρηκε. Ps 51.3α

9γ Καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.

Τὸν ῥηθέντα πλοῦτον, ὠνόμασε ματαιότητα, ὡς ἐν τῷ κινδύνῳ αὐτοῦ μηδὲν ὠφελήσαντα.

10α Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ.

Προφητεύει καὶ νῦν περὶ ἑαυτοῦ· ὅτι ἐκεῖνοι μὲν, οὕτως ἐμμανῶς ἐπιβουλεύοντές μοι, καὶ πόλεις ἐξολοθρεύουσι καὶ οὐδενὸς φείδονται· ἐγὼ δὲ φυλαχθήσομαι οὕτως ἀκέραιος, ὥσπερ ἐλαία κατάκαρπος, ἧς οὐ διεφθάρη καρπός. Φυλαχθήσομαι δὲ ἐν τῇ σκέπῃ τοῦ Θεοῦ, ὡς ἐκείνη ἐν τῷ κήπῳ· ἢ οἶκον Θεοῦ, τὴν σκηνὴν λέγει, προαγορεύων, ὅτι νικήσας τὸν Σαοὺλ, ἕξει καὶ τὴν βασιλείαν καὶ τὰς πόλεις καὶ τὴν σκηνήν.

10β Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἤλπισα οὐκ ἐπὶ πλούτῳ ἢ δυνάμει τινὶ καθάπερ ἐκεῖνοι, ἀλλ’ εἰς μόνον τὸ παρὰ Θεοῦ ἔλεος, ὃ δίδωσιν αὐτὸς τοῖς ἀδικουμένοις· τὴν δὲ εἰς τὸ ἔλεος τοῦ Θεοῦ ἐλπίδα, καὶ ἐν τῷ νῦν αἰῶνι ἔχω, καὶ ἐν τῷ μέλλοντι, ὅτε τὸ τῶν ἔργων κριτήριον.

11α Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας.

Εὐχαριστήσω σοι, Κύριε, ἀεὶ, ὅτι ἐποίησας· προσυπακούεται δὲ τὸ, ἐκδίκησιν. Ἐνδιάθετος δὲ ἡ φωνὴ τοῦ, ἐποίησας, ἀπὸ καρδίας ἀναπεμπομένη, διὸ καὶ ἐλλείπει.

Εἰώθασι γὰρ οἱ ἐκδικούμενοι προφέρειν ἐλλιπεῖς τοὺς λόγους, οἷα τῆς χαρᾶς ἐπικοπτούσης τὸ λεῖπον, ὡς τὸ, εἶδον, καὶ τὸ, ἔδωκας, οἷον εἶδον ἐκδίκησιν καὶ Ps 34.21β
ἔδωκας δίκην· προέγνω γὰρ τὸν ὄλεθρον τῶν ἐπιβουλευόντων.

11β Καὶ ὑπομενῶ τὸ ὄνομά σου.

Καὶ περιμενῶ σε ἐκδικητήν· κατὰ περίφρασιν δὲ ὁ λόγος. Ἢ καὶ ὑπὸ πολλῆς εὐλαβείας, τὸ ὄνομα τοῦ Θεοῦ πολλάκις ἀντὶ τοῦ Θεοῦ λαμβάνει.

11γ Ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

Ὅτι ὠφέλιμον τοῦτο παρὰ τοῖς ἀφωσιωμένοις καὶ ἀνακειμένοις σοι.

Λέγοιτο δ' ἂν παρ' ἡμῶν ὁ ψαλμὸς καὶ κατὰ τοῦ δαίμονος, ἀνομοῦντος ἀεὶ καὶ
δολιευομένου. Καὶ μέχρι μὲν τοῦ, μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, εὐχερῶς
ἁρμόζουσι τὰ ῥητά· σκήνωμα δὲ νοήσεις τοῦ δαίμονος, τὴν παρ' ἡμῖν προσεδρίαν·
ῥίζωμα δὲ, τὴν ἑδραίωσιν τῆς προσεδρίας. Ὄψονται δὲ δίκαιοι, τὴν τοῦ ἐχθροῦ ἧτταν,
καὶ ἔτι φοβηθήσονται τὸν Θεὸν, τὸν βοηθοῦντα τοῖς φοβουμένοις αὐτόν. Ἄνθρωπον
δὲ ἐνταῦθα, τὸν διάβολον ὑποληψόμεθα, ὡς καὶ ἐν τῷ πρώτῳ στίχῳ τοῦ πεντηκοστοῦ
πέμπτου ψαλμοῦ παραδοθήσεται. Καὶ τὰ ἑξῆς δὲ ῥητὰ, προσφυῶς δεξόμεθα. Ps 55.2α

52 νβ'
1 Εἰς τὸ τέλος· ὑπὲρ μαελέθ· συνέσεως τῷ Δαυίδ.

Οὗτος ὁ ψαλμὸς, ταὐτός ἐστι τῷ τρὶς καὶ δεκάτῳ, δύο στίχους μόνον πλείονας ἔχων παρ' ἐκεῖνον, οὓς καὶ διερμηνεύσομεν. Τὴν ἄλλην γὰρ πᾶσαν αὐτοῦ ἐξήγησιν ἐν τῷ ιγ' ἀποδεδώκαμεν.

Οἱ δύο δὲ στίχοι πλεονάζουσιν, ὥστε μὴ δόξαι, ὅτι δὶς ὁ εἷς ψαλμὸς ἐνετάγη, ἀλλ' ὥστε διδάξαι, ὅτι εἰ καὶ τῇ ἀπαγγελίᾳ ταὐτόν εἰσιν, ἀλλάγε τῇ ἐννοίᾳ διεστήκασιν· ἐκεῖνος μὲν γὰρ κατηγορεῖ τῆς μανίας τοῦ Σεναχηρεὶμ καὶ τοῦ Ῥαψάκου, | τῆς κατὰ τοῦ Ἐζεκίου· οὗτος δὲ, τῆς λύττης τῶν Ἰουδαίων, τῆς κατὰ τοῦ Χριστοῦ. Οὐ γὰρ ἂν, εἰ μὴ τοῦτο ἦν, οὕτως ἔλαθε πάντας τοὺς ἐξηγητὰς, ἀλλ' οὐδὲ τοὺς Ἑβραίους αὐτοὺς, δὶς ἐνταγεὶς, ἢ ἀλόγως δευτερωθείς. Νῦν δὲ λόγον οὐκ ἔχουσιν, εἰ καὶ ἐθελοτυφλώττουσιν Ἰουδαῖοι.

Καὶ γὰρ καὶ ἄλλην οὗτος παρ' ἐκεῖνον εἴληχεν ἐπιγραφὴν, εἰς τὸ τέλος μὲν παραπέμπουσαν, διὰ τὰς κατὰ τῶν Ἰουδαίων ἐν αὐτῷ προφητείας, ὅτι χρὴ τοὺς ἀναγινώσκοντας ἀποβλέπειν εἰς τὸ τέλος αὐτῶν.

Τὸ δὲ, ὑπὲρ μαελὲθ, ἀντὶ τοῦ, περὶ χορείας, ἑρμηνεύεται. Τοῦτον γὰρ νῦν
ἀναγινώσκοντες, χορεύομεν οἱ Χριστιανοὶ διὰ τὴν ἔκβασιν τῶν προφητευθέντων·
Ἀγαλλιάσεται γὰρ, φησὶν, Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραὴλ, ὅ ἐσμεν ἡμεῖς, Ps 52.7
ὡς ἐν τῷ ιγ' ψαλμῷ διελάβομεν. Ps 13.7

Τὸ δὲ, συνέσεως, διδάσκει ὅτι συνέσεως χρεία τοῖς ἀναγινώσκουσιν εἰς τὸ ἐπιγνῶναι, ὅτι εἰ καὶ τῇ ἀπαγγελίᾳ ταὐτόν ἐστι τῷ ιγ', ἀλλάγε τῇ ἐννοίᾳ διαφορὰν ἔχει μυστηριώδη. Λοιπὸν οὖν τοὺς δύο στίχους μόνον ἑρμηνευτέον.

2 Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός.
Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις.
Οὐκ ἔστι ποιῶν ἀγαθόν.
3 Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν ἢ ἐκζητῶν τὸν Θεόν.
4 Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν ἀγαθὸν, οὐκ ἔστιν ἕως ἑνός.
5 Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν;
Οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου, τὸν Θεὸν οὐκ ἐπεκαλέσαντο.
6α Ἐκεῖ φοβηθήσονται φόβον, οὗ οὐκ ἦν φόβος.

1^{7} μανίας MSCBF : κακονοίας PV. 1^{21} Λοιπὸν... ἑρμηνευτέον MSCBF : om. P. 2-6α P : om. MSCBF.
Add. P: 2^{1-2} Ζήτει τὴν ἐξήγησιν ἐν τῷ ιγ' ψαλμῷ· τὸ δὲ, ἐν ἀνομίαις, ἐνταῦθα, ἐν ἐπιτηδεύμασιν, ἐκεῖ. 2^{3} Ἐν τῷ ῥηθέντι ψαλμῷ, οὐκ ἔστι ποιῶν χρηστότητα γέγραπται. 3 Ζήτει ὁμοίως καὶ τὴν τούτων ἐξήγησιν ἐν τῷ ῥηθέντι ψαλμῷ.

6β Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων.

Ἀνθρωπαρέσκους ὀνομάζει, τοὺς Ἰουδαίους, ὃ καὶ ὁ Χριστὸς αὐτοῖς πολλάκις ὠνείδισεν, ὑποκριτὰς λέγων, καὶ κατ' ὄψιν κρίνοντας· οἵ καὶ τὸν Καίσαρα θεραπεύοντες, *Οὐκ ἔχομεν*, ἐβόων, *βασιλέα, εἰ μὴ Καίσαρα*, καὶ πρὸς τὸν Πιλᾶτον, *Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος.* Ὧν τὰ ὀστᾶ διεσκόρπισεν, ἤτοι τὰς φυλὰς, δι' ὧν συνίσταντο. Διεσπάρησαν γὰρ εἰς δουλείαν ἔθνους παντός. Ἢ καὶ ὅτι διαφθαρέντες ὑπὸ τῆς Ῥωμαϊκῆς ῥομφαίας, ἑλκύσματα καὶ σπαράγματα τοῖς θηρίοις καὶ πετεινοῖς γεγόνασι. Mt 15.7 Jn 7.24 Jn 19.15 Jn 19.12

6γ Κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.

Αἰσχύνη πᾶσιν ἔθνεσι προετέθησαν, κακοδαιμονέστατοι καὶ ἀτυχέστατοι καὶ βαρυσυμφορώτατοι τῶν πώποτε ἀνθρώπων γενόμενοι· τοῦτο δὲ πεπόνθασι, διότι ὁ Χριστὸς ἐξουδένημα καὶ ὄνειδος αὐτοὺς ἐποίησεν.

7 Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;
Ἐν τῷ ἐπιστρέψαι τὸν Θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ
ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ.

53 νγ´
1 Εἰς τὸ τέλος· ἐν ὕμνοις· συνέσεως τῷ Δαυίδ·
2 ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ,
Οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται παρ' ἡμῖν;

Φεύγων τὸν Σαοὺλ ὁ Δαυὶδ, ἐκάθισεν εἰς τὴν ἔρημον Ζίφ· οἱ δὲ Ζιφαῖοι τὴν μὲν πρὸς Δαυὶδ φιλίαν ὑπεκρίθησαν, κατεμήνυσαν δὲ αὐτὸν τῷ Σαοὺλ, καὶ ὃς ἐπεστράτευσε. Πόλεμος δὲ τῶν ἀλλοφύλων ἐπιγενόμενος, ἀντιπεριέσπασεν ἐφ' ἑαυτὸν αὐτίκα τὸν Σαοὺλ, καὶ λοιπὸν ἀπαλλαγεὶς ὁ Δαυὶδ, ἔφυγεν ἐκεῖθεν, καὶ συνέθηκε τὸν παρόντα ψαλμὸν, εὐχαριστήριον, τοῦ Θεοῦ διασκεδάσαντος εὐμηχάνως τὴν ἐπιβουλήν. 1Rg 23.14-29

Διὸ καὶ ἐν ὕμνοις ἐπιγέγραπται· φησὶ γὰρ, *Ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθὸν, ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με.*

Εἰς τὸ τέλος δὲ, ὅτι πρὸς τέλος ἐπείγεται ἡ ἐγκειμένη τούτῳ πρόῤῥησις. Προηγόρευσε γὰρ τὸν ὄλεθρον τῶν ἐπιβουλευόντων αὐτῷ, φήσας, *Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου*, καὶ, *Ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου*, ἃ σαφῶς ἐν τοῖς οἰκείοις τόποις ἐξηγησόμεθα.

Συνέσεως δὲ, ὅτι συνετοῦ ἐστι τὸ ἐν καιρῷ τοιούτῳ, πάντων ἀφέμενον, ὑμνεῖν τὸν Θεὸν, καὶ τοῦτον ἐπικαλεῖσθαι κριτήν.

3α Ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου σῶσόν με.

7 P: om. MSCBF. 7 Add. P : Καὶ ἡ τούτων ἐξήγησις ἐν τῷ ῥηθέντι ψαλμῷ ἀνατάττεται.

Διὰ τὸ σὸν ὄνομα, διότι ὀνομάζῃ Σωτὴρ, καὶ ἐλεήμων, καὶ δίκαιος· σῶσόν με δὲ, ἔτι καὶ ἔτι, πανταχόθεν γὰρ ἐπιβουλαί. |

3β Καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Καὶ δυνατὸς ὢν, κρινεῖς με, εὖ οἶδα, μετὰ τοῦ καταδυναστεύοντος τῆς ἐμῆς ἀσθενείας, λέγω δὴ τοῦ Σαοὺλ, καὶ ποιήσεις τὴν ἐκδίκησιν.

Τοῦ δὲ, *κρινεῖς*, ἀδιάφορος νῦν ἡ σύνταξις. Ps 42.1β

4 Ὁ Θεὸς, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τὸ, *εἰσάκουσον*, καὶ τὸ, *ἐνώτισαι*, καὶ τὰ τοιαῦτα, φαίνονται μὴ διαφορὰν σημαίνειν, ἀλλ' ἐπιμονὴν καὶ ἐπίτασιν δεήσεως· οὕτως γὰρ καὶ ἐν ἀρχῇ τοῦ ε′ ψαλμοῦ, καὶ ἐν ἀρχῇ τοῦ ις′, καὶ ἐν ἀρχῇ τοῦ νδ′, καὶ ἐν πολλοῖς ἄλλοις, εἰ καὶ διαφοράν τινα προσεξευρίσκουσιν οἱ φιλοπονώτεροι.

Δυνάμεθα δὲ προσευχὴν μὲν ἐνταῦθα, τὴν κατὰ νοῦν εἰπεῖν· ῥήματα δὲ στόματος, τὴν διὰ χειλέων ἐκπορευομένην ἱκεσίαν· αὕτη δὲ ἦν τὸ, *Ὁ Θεὸς, ἐν τὸ ὀνόματί σου σῶσόν με*, καὶ εἴ τι τοιοῦτον.

5α Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου.

Τοὺς ἀμφὶ Σαοὺλ οὕτως ὀνομάζει, ἀλλοτρίους μὲν, ὡς ἐχθροὺς αὐτῷ, κραταιοὺς δὲ, ὡς δυνατοὺς ἐν πολεμικῇ παρασκευῇ.

Ἢ ἀλλοτρίους μὲν, τοὺς Ζιφαίους, ὡς ἀλλοτριωθέντας τῆς ὀρθῆς πρὸς αὐτὸν εὐνοίας, κραταιοὺς δὲ, τοὺς περὶ τὸν Σαούλ.

5β Καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν.

Οὐ προέθεντο, ἀντὶ τοῦ, οὐ προεστήσαντο νοερῶς· ὁ γὰρ φοβούμενος τὸν Θεὸν, δι' ἀνατυπώσεως ἱστᾷ τὸν Θεὸν πρὸ προσώπου τῆς ψυχῆς αὐτοῦ, ἀπαγορεύοντα τὸ κακόν.

6 Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.

Περιττὸς ὁ *γάρ* σύνδεσμος. Ἤδη δὲ πληροφορίαν δεξάμενος περὶ τῆς ἄνωθεν ἀντιλήψεως, ὑφ' ἡδονῆς ἐξαγγέλλει ταύτην· τὸ δὲ, *ἰδού*, ἀντὶ τοῦ, οὐκ εἰς μακρὰν, ἀλλὰ νῦν.

7α Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου.

Ἃ κατ' ἐμοῦ ἐμελέτησαν.

7β Ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

Ἀλήθειαν ἐνταῦθα, τὴν δικαιοσύνην καλεῖ. Ἢ καὶ ὅτι ἐπεὶ ἡ ἀλήθεια ἀφανίζει τὸ ψεῦδος, σὺ, ἐν τῷ εἶναι ἀληθὴς, ἐξολόθρευσον αὐτοὺς, ὄντας ψευδεῖς· οἵ τε γὰρ Ζιφαῖοι ἐψεύσαντο τὴν πρὸς αὐτὸν διάθεσιν· ἔτι δὲ καὶ ὁ Σαοὺλ, πολλάκις διαβεβαιωσάμενος μηκέτι ἐπιβουλεύειν αὐτῷ.

8α Ἑκουσίως θύσω σοι.

Ἑκουσίως, ἀντὶ τοῦ, προθύμως, περιχαρῶς. Οὐ τοσοῦτον γὰρ ἐξ ἀνάγκης νομικῆς, ὅσον ἐκ προαιρέσεως θερμῆς, θύσω σοι, τῷ τοιούτῳ βοηθῷ τῶν ἀδικουμένων.

8β Ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε.

Εὐχαριστήσω.

8γ Ὅτι ἀγαθόν.

Δηλαδὴ τὸ εὐχαριστεῖν· Ἀγαθὸν γὰρ, φησὶ, τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Ps 91.2

9α Ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με.

Διασκεδάσας καὶ νῦν τὴν ἐπίθεσιν τοῦ Σαοὺλ, καὶ ἀνθελκύσας αὐτὸν εἰς
ἕτερον πόλεμον. 1Rg 23.27

9β Καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

Ὡς προφήτης ἰδὼν τῷ τῆς ψυχῆς ὀφθαλμῷ τὴν καταστροφὴν τοῦ τε Σαοὺλ καὶ τῶν Ζιφαίων, προεῖπεν, ὅτι ἤδη ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου· λείπει
δὲ τὸ, ἃ ἐβουλόμην, ἤ, ἃ πείσονται, ὡς ἐν τῷ λδʹ ψαλμῷ προαποδεδώκαμεν. Ps 34.21β

Λέγοιτο δ’ ἂν καὶ οὗτος ὁ ψαλμὸς παρ’ ἡμῶν κατὰ τῶν δαιμόνων, οἳ καὶ ἀλλότριοί εἰσι τοῦ Θεοῦ, ὡς ἀποστάται καὶ ὡς ἀντικείμενοι, καὶ κραταιοὶ εἰς
κακίαν, ὡς ἀσώματοι καὶ ὡς κοσμοκράτορες. Eph 6.12

54 νδʹ
1 Εἰς τὸ τέλος· ἐν ὕμνοις· συνέσεως· τῷ Δαυίδ.

Καὶ τοῦτον συνέθηκε τὸν ψαλμὸν, φεύγων τὸν Σαοὺλ καὶ περιπολῶν τὴν ἔρημον. Ἐν τοῖς καθ’ ἑαυτὸν | δὲ πάθεσι προδιαγράφει καὶ τὰ τοῦ Χριστοῦ· διὸ καὶ εἰς τὸ τέλος ἐπιγέγραπται, καὶ ἐν ὕμνοις, καὶ συνέσεως, οἷα παραπέμπων τὸν

ἀκροατὴν εἰς τὸ τέλος τῶν ἐν τούτῳ περὶ Χριστοῦ προφητευθέντων, καὶ ὑμνεῖν τὸν δι' ἡμᾶς τοιαῦτα καταδεξάμενον προτρεπόμενος, καὶ μετὰ συνέσεως ἀξιῶν ἀκροᾶσθαι, διὰ τὸ συνεσκιασμένον τῆς προφητείας.

2-3α Ἐνώτισαι, ὁ Θεὸς, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου· πρόσχες μοι καὶ εἰσάκουσόν μου.

Προείρηται περὶ τούτων ἐν τῷ δευτέρῳ στίχῳ τοῦ νγ' ψαλμοῦ. Ps 53.4
Παρατηρητέον δὲ, ὅτι ὁ ις' ψαλμὸς ἀνάπαλιν ἔχει πρὸς τὸν παρόντα· πρῶτον Ps 16.1
γὰρ ἐν ἐκείνῳ, τὸ εἰσάκουσον, εἶτα τὸ πρόσχες, καὶ τελευταῖον τὸ ἐνώτισαι, ὡς εἶναι φανερὰν ἤδη τῶν λέξεων τὴν ἀδιαφορίαν.

3β Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου.

Τὸ τῆς ἀδολεσχίας ὄνομα κυρίως μὲν ἐπὶ τῆς φλυαρίας τάττεται· λαμβάνει δὲ τοῦτο πολλάκις ὁ προφήτης καὶ ἐπὶ τῆς συνεχοῦς ἐμμελετήσεως, ὡς τὸ, *Καὶ*
ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου, τουτέστιν, ἐμελέτων ἐν τῷ νόμῳ σου. Καὶ Ps 118.48
νῦν οὖν ὁμοίως φησὶν, ὅτι ἐλυπήθην ἐν τῇ μελέτῃ μου, τῇ περὶ τοῦ πῶς ἂν ἐκφύγω τὰς ἐπιβουλὰς τῶν ἐχθρῶν· ἐλυπήθην δὲ, μὴ εὑρίσκων μηχανήν.

3γ-4α Καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.

Τὸν Σαοὺλ ὀνομάζει, ἐχθρὸν μὲν, ὡς ἐπίβουλον, ἁμαρτωλὸν δὲ, ὡς ἁμαρτάνοντα εἰς τὸν δίκαιον. Τὸν γὰρ ἀθῷον κατεδίωκε, καὶ ἀνελεῖν ἐζήτει τὸν εὐεργέτην. Καὶ φωνὴν μὲν λέγει, τὰς ὕβρεις αὐτοῦ, θλῖψιν δὲ, τὸν διωγμόν.

4β Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν.

Διότι, φησὶν, οἱ περὶ τὸν Σαοὺλ ἐκίνησαν ἐπ' ἐμὲ ἀνομίαν, τουτέστιν, ἐπήγαγόν μοι ἔγκλημα, προσάπτοντες ἐμοὶ μᾶλλον ἐπιβουλὴν κατὰ τοῦ Σαούλ.

Τινὰ δὲ τῶν ἀντιγράφων, ἀνομίαι γράφουσιν, ἐφ' ὧν νοοῦμεν, ὅτι ἐκινήθησαν ἐπ' ἐμὲ ἄνομοι· οὕτω γὰρ καὶ ἀδικίαν, πολλάκις τὸν ἄδικον λέγομεν, σφοδρότερον αὐτοῦ καθαπτόμενοι.

4γ Καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.

Καὶ ἐν τῷ ὀργίζεσθαι κατ' ἐμοῦ, ἐμνησικάκουν μοι· κότος γὰρ, παρὰ τὸ κεῖσθαι καὶ βραδύνειν τὴν ὀργήν.

5α Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί.

3β Add. [MF in marg.]PCBVL : *Λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ κατὰ θέαν μετεωρισμοῦ, ὡς τὸ, Ἐξῆλθεν Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ πρὸς δείλης* [Gen 24.63]. : om. S.

Καρδίαν λέγει, τὴν ψυχὴν, ἣν καὶ τεταράχθαι, στροβουμένην ταῖς ἐπιβουλαῖς τῶν ἐχθρῶν.

5β Καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ.

Πῶς ἐν ἄλλοις μὲν λέγει, *Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαῶν, τῶν κύκλῳ συνεπιτιθεμένων μοι*, καὶ πολλὰ τοιαῦτα, νῦν δὲ προδήλως ὁμολογεῖ δειλιᾶν; Ὅτι, ὅτε μὲν ᾐσθάνετο τῆς θείας ἐπικουρίας, ἐθάῤῥει, ὅτε δὲ κατ' οἰκονομίαν
ἐγκατελιμπάνετο πρὸς τὸ φανῆναι τὴν ὑπομονὴν αὐτοῦ καὶ τὴν ἐπιμονὴν τῆς εἰς Ps 3.7
Θεὸν παρακλήσεως, τότε καὶ ἠγωνία, καὶ τὸν φόβον οὐκ ἔκρυπτε.

6α Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ.

Τὸ αὐτὸ πάλιν φησὶν, ἐμφαίνων τὴν ἐπίτασιν τῆς δειλίας· δειλία μὲν γὰρ αὐξηθεῖσα, γίνεται φόβος· οὗτος δὲ πάλιν ἐπιταθεὶς, γίνεται τρόμος.

6β Καὶ ἐκάλυψέ με σκότος.

Τὸ τῆς ἀθυμίας καὶ λύπης· αὗται γὰρ διαφερόντως σκοτίζουσι, συγχέουσαι τὴν ψυχήν.

7 Καὶ εἶπα, Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι καὶ καταπαύσω;

Περιστερᾶς ἐζήτησε πτέρυγας, ὅτι ὀξέως πέταται, καὶ ὅτι ἥμερον τὸ ζῷον τοῦτο καὶ ἀπόνηρον, ὡς καὶ αὐτός. Καὶ πετασθήσομαι, φησὶν, εἰς τόπους ἀσφαλεῖς, καὶ καταπαύσω ἀπὸ τῶν συνεχῶν φόβων καὶ πόνων.

8 Ἰδοὺ ἐμάκρυνα φυ | γαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

Φυγαδεύων, ἀντὶ τοῦ, φεύγων.

9 Προσεδεχόμην τὸν Θεὸν, τὸν σῴζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος.

Ἐν τῇ ἐρήμῳ αὐλιζόμενος, οὐδένα ἕτερον ἄχρι καὶ νῦν ἐξεδεχόμην βοηθὸν ἢ μόνον σὲ τὸν Θεόν.

Καταιγίδα δὲ λέγει, τὴν σφοδρότητα καὶ ζάλην τῶν πειρασμῶν.

10α Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν.

Τὸ ἑξῆς, κατὰ τῶν Ἰουδαίων καὶ περὶ τοῦ Χριστοῦ.

5β[3] δειλιᾶν MPCB : δειλίαν SFV. 7 Add. MPF in marg.: Εἴτε ὡς τὸ πνεῦμα σκιαγραφοῦσαν, ᾧ μόνῳ τὰ δεινὰ φεύγομεν.

Καταπόντισον, φησὶν, ὦ Κύριε, τὰς γλώσσας αὐτῶν, τὰς βλασφημούσας τὸν σὸν Υἱὸν, τουτέστι, βύθισον, ἐναποπνίξας τῷ βάθει τοῦ στόματος· καὶ καταδίελε αὐτὰς, ποιήσας ἀσυμφώνους ἀλλήλαις, ὡς μηκέτι δύνασθαι συσκέπτεσθαι κατὰ τοῦ Σωτῆρος, ἃ δὴ καὶ πεπόνθασιν ὕστερον, διαφθαρέντες ὑπὸ Ῥωμαίων.

10β Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.

Διότι, φησὶν, εἶδον τοῖς προφητικοῖς ὀφθαλμοῖς ἐν τῇ πόλει Ἰερουσαλὴμ, ἀνομίαν μὲν, ὅτι παρανόμως ἐζήτουν ἀνελεῖν τὸν χορηγὸν τῆς ζωῆς, ἀντιλογίαν δὲ, ὅτι ἀντέλεγον αὐτῷ, διδάσκοντι τὰ σωτήρια.

11α Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς.

Ἡμέρας καὶ νυκτὸς, ἀντὶ τοῦ, ἐπὶ πολὺ συνέξει αὐτὴν ἡ ἀνομία, εἴτουν παρανομία, μέχρι καὶ τῶν τειχῶν αὐτῆς, τουτέστιν, ὅλην τὴν πόλιν.

Τοιοῦτοι γὰρ οἱ Ἰουδαῖοι καὶ μετὰ τὴν ἀναίρεσιν τοῦ Χριστοῦ μεμενήκασιν, ἄχρις ἂν ἐπιστρατευσάντων αὐτοῖς Ῥωμαίων, πανωλεθρίᾳ διεφθάρησαν.

11β Καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία.

Πάλιν ἐπαναλαμβάνει τὴν ἀνομίαν, ἐπιμονώτερον διασύρων αὐτοὺς, ὅτι κατὰ νόμον ζῆν αὐχοῦντες, παρηνόμουν ἀεί. Εἰπὼν δὲ, ὅτι περιλάβῃ αὐτὴν ἄχρι καὶ τῶν τειχῶν ἡ παρανομία, διδάσκει ὅτι οὐδὲ τοῦ μέσου τῆς πόλεως ἀφέξεται, ἀλλ' ἐν μέσῳ αὐτῆς ἔσται παρανομία μὲν, ἐν ταῖς κρίσεσι, κόπος δὲ, ἐν ταῖς κατὰ τῶν ἀναιτίων μηχαναῖς καὶ σκευαῖς, ἀδικία δὲ, ἐν ταῖς πλεονεξίαις.

12 Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.

Ἐν πάσῃ πόλει, καὶ πλατεῖαί εἰσιν ὁδοὶ, καὶ στενωποί· καὶ πλατεῖαι μὲν, αἱ πρὸς ἅμαξαν, ἃς λέγομεν ἡμεῖς ἐξαέρους· στενωποὶ δὲ, αἱ τῶν ἐμβόλων. Τὰς πλατείας οὖν ἔλαβεν ἐνταῦθα, διότι ἐν ταῖς πλατείαις ἦσαν αἱ ἀγοραὶ καὶ τὰ συμβόλαια.

Τόκους μὲν οὖν εἶπεν, ὅτι καὶ ἐτόκιζον λανθάνοντες, τοῦτο τοῦ νόμου κωλύοντος· δόλον δὲ, διὰ τὰς ἐν τοῖς συναλλάγμασιν ἀπάτας, ἢ καὶ τὰς ἄλλας ἐπιβουλάς. Οὕτω πᾶσαν αὐτοῖς κακίαν προσεμαρτύρησεν.

13 Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ.

Τὰ ἐντεῦθεν, προσώπῳ τοῦ Χριστοῦ λέγονται κατὰ τοῦ Ἰούδα.

[10α][3] βάθει MSCBFV : βυθῷ P. 10β[3] χορηγόν MSCBF : ἀρχηγόν PV. 11β[3] περιλάβῃ MSCBF : κυκλώσει PV.
12[6] τόκους MPSCBF : τόκον V.

Τὸ μὲν οὖν, ὠνείδισεν, ἀντὶ τοῦ, ἐξουδένωσε καὶ διέβαλεν εἴληπται· τὸ δὲ, ἐμεγαλοῤῥημόνησεν, ἀντὶ τοῦ, ἠναισχύντησε καὶ ἠπείλησε. Καὶ ἄμφω γὰρ ἐκεῖνος πεποίηκε· διεκωμῴδησε γὰρ αὐτὸν παρὰ τοῖς Ἰουδαίοις, καὶ ἠπείλησε παραδοῦναι εἰς θάνατον.

Τὸ δὲ, ὅτι, προκαταρκτικὸς ἂν εἴη σύνδεσμος, ὃν λέγουσι καὶ διηγηματικόν.

14 Σὺ δὲ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου.

Ἀπὸ κοινοῦ ληπτέον τὸ, ὠνείδισας. Κεῖται δὲ τὸ μὲν, ἰσόψυχε, ἀντὶ τοῦ, φίλε. Ἡγεμόνα δὲ αὐτοῦ, αὐτὸν εἶπε, διότι καὶ αὐτὸς μετὰ τῶν ἄλλων μαθητῶν ἡγεμὼν ἐχειροτονήθη τῶν πιστευόντων· *Καταστήσεις γὰρ*, φησὶν, *αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν*. Γνωστέ μου δὲ, ἀντὶ τοῦ, ἐγνωσμένε, | γνησιώτατέ μου. Ps 44.17β

15α Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα.

Ἐπὶ τὸ αὐτὸ μὲν, ἀντὶ τοῦ, σὺν ἐμοὶ ὤν· ἐγλύκανας δὲ, ἀντὶ τοῦ, ἐσκεύασας· πᾶν γὰρ βρῶμα σκευαζόμενον, ἡδύτερον γίνεται.

Ἢ ἐδέσματα νοήσεις, τὴν διδασκαλίαν τοῦ κηρύγματος, ᾗ ἐτρέφοντο αἱ ψυχαὶ τῶν πιστευόντων· ταύτην δὲ καὶ Ἰούδας ὡς ἀπόστολος ἐγλύκαινεν, εἴτουν εὐαπόδεκτον ἐποίει τῷ Χριστῷ.

15β Ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.

Εἰς τὸ ἱερὸν ἐπορεύθημεν ὁμογνωμόνως. Ἐπὶ τοσοῦτον σε ἀχώριστον καὶ γνήσιον εἶχον.

16α Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς.

Ταῦτα προϊδὼν ὁ Δαυὶδ, ἐπαρᾶται τῷ τε Ἰούδᾳ καὶ τοῖς ἀμφὶ τὸν Ἄνναν καὶ Καϊάφαν χριστοκτόνοις Ἰουδαίοις.

16β Καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες.

Καὶ εἰ ἔλθοι θάνατος ἐπ' αὐτοὺς, πῶς καταβήσονται εἰς ᾅδου ζῶντες; Ὅτι οἱ μὲν αὐτῶν, βιαίως ἀπέθανον· θάνατον γὰρ, οὐ τὸν κατὰ φύσιν, φησὶν, ἀλλὰ τὸν ἀπὸ ἀγχόνης καὶ πολέμου, καὶ εἴ τις τρόπος πικρός· οἱ δὲ, ὑπὸ τῆς ἀνάγκης καὶ τοῦ Ῥωμαϊκοῦ πολέμου εἰς κρημνὸν ἑαυτοὺς καθῆκαν, καὶ διῆγον ἐν τῷ λάκκῳ μέχρι πολλοῦ, λιμῷ καὶ δίψῃ καὶ φόβῳ ταλαιπωρούμενοι, καθὼς Ἰώσηπος ἱστορεῖ· BJ iii.34ff
διὸ καὶ ᾅδην, τὸν βόθρον ἐκεῖνον ἐκάλεσεν, ἐπεὶ καὶ τάφος αὐτοῖς ἐγένετο, διαφθαρεῖσιν ἐν ἐκείνῳ κατὰ μικρόν.

Τινὲς δὲ λέγουσιν, ὡς ἐπεὶ τῷ Χριστῷ, καὶ Ἰουδαῖοι ἐπεβούλευον καὶ οἱ δαίμονες,

14[2] ὠνείδισας MPSCBF : ὠνείδισε V.

ἐκείνοις μὲν, ἐπηράσατο θάνατον τιμωρητικὸν, τοῖς δαίμοσι δὲ, τὴν εἰς τὰ καταχθόνια καταγωγὴν, τούτους δὲ καλέσας ζῶντας, ὡς ἀθανάτους. Καταβήτωσαν γὰρ, φησὶν, εἰς ᾅδου, ζῶντες, διὰ τὴν φύσιν.

16γ Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν.

Διότι πονηρία ἐμπολιτεύεται ταῖς ἐν τῇ πόλει παροικίαις αὐτῶν· καὶ οὐκ ἐπιπόλαιον, ἀλλ' ἐν μέσῳ, τουτέστιν, εἰς βάθος, ἐν ταῖς καρδίαις αὐτῶν.

Παροικίας δὲ εἶπε, τὰς κατοικίας αὐτῶν, διὰ τὸ πρόσκαιρον αὐτῶν, ὅσον οὔπω διαφθαρῆναι μελλόντων.

17 Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.

Ἤδη πληροφορηθεὶς, φησὶν, ὅτι εἰσήκουσέ μου.

Ἔστι δὲ γλαφυρώτερον εἰπεῖν, ὅτι ἐγὼ μὲν πρὸς τὸν Πατέρα ἐκέκραξα· ὁ δὲ Υἱὸς εἰσήκουσέ μου· ἐπεὶ καὶ αὐτὸς ἀπώλεσε τοὺς Ἰουδαίους, κατὰ τὸ, Σὺ δὲ, Κύριε, ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. Ps 40.11

18 Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας, διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.

Τοὺς καιροὺς δηλοῖ τῶν τριῶν μεγάλων συνάξεων, ἃς ἡμεῖς καλοῦμεν ἑσπερινὸν, ὄρθρον καὶ λειτουργίαν.

Διηγήσομαι τὰ τοῦ Θεοῦ θαυμάσια, καὶ ἀπαγγελῶ ταῦτα, πᾶσι τοῖς σὺν ἐμοί· ὡς εἶναι ταὐτὸν, τὸ, διηγήσομαι, καὶ τὸ, ἀπαγγελῶ· ἢ διηγήσομαι μὲν τὰ παλαιὰ, ἀπαγγελῶ δὲ τὰ εἰς ἐμὲ γεγενημένα.

19 Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.

Ἐν εἰρήνῃ, ἀντὶ τοῦ, χωρὶς πολέμου.

Ἐγγίζοντας δὲ καλεῖ, τοὺς ἀμφὶ τὸν Σαοὺλ, ὡς συγγενεῖς καὶ συστρατιώτας. Εἶτα τίθησιν τὴν αἰτίαν τῆς ἐγγύτητος, ὅτι, φησὶ, μετὰ πολλῶν καὶ ἄλλων στρατιωτῶν, σὺν ἐμοὶ ἦσαν διαιτώμενοι καὶ στρατευόμενοι.

20α Εἰσακούσεται ὁ Θεὸς, καὶ ταπεινώσει αὐτοὺς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.

Αὐτὸς γὰρ ἐποίησε τοὺς αἰῶνας· διὸ καὶ πρὸ τῶν αἰώνων ὑπάρχειν λέγεται.

20β Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν Θεόν.

[16β][3] ζῶντες PSCB : οἱ ζῶντες MF. 19[3] πολέμου MSCBF : πόνου PV.

Οὐκ ἔστιν, φησὶν, αὐτοῖς ἐναλλαγὴ ἀπὸ τῆς κακίας | εἰς ἀγαθοσύνην· ἀλλ' ἀμετάβλητοι μένουσιν· οὕτω γὰρ ὁ Σύμμαχος ἐξέδωκε.

Λέγοιντο δ' ἂν ταῦτα καὶ κατὰ τῶν χριστοκτόνων Ἰουδαίων· ἐπαρασάμενος γὰρ αὐτοῖς ἄνω, φησὶ νῦν, ὅτι εἰσακούσεταί μου ὁ Χριστὸς, καὶ ταπεινώσει αὐτούς. Καὶ γὰρ οἱ μὲν ἀνῃρέθησαν, οἱ δὲ, περιλειφθέντες, τεταπεινωμένοι, παντὶ ἔθνει δουλεύσουσι τὰς ἐσχάτας ὑπηρεσίας.

Ὁ ὑπάρχων δὲ πρὸ τῶν αἰώνων, κατὰ τὴν θεότητα· αὐτοὶ γὰρ, ἠργμένον ἐκ τῆς μητρὸς μόνον ἔλεγον αὐτόν.

Τὸ δὲ, *οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα*, προσέτι νοεῖται καὶ ἄλλως ἐπὶ τούτων, ὅτι αὐτὸς ἦν τὸ δεδομένον ὑπὲρ πάντων ἀνθρώπων ἀντάλλαγμα, ὃν ἐπεὶ οὐκ ἐδέξαντο, οὐκ ἔστιν αὐτοῖς ἕτερον ἄξιον ἀντάλλαγμα.

21α Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι.

Ἐξέτεινεν ὁ Θεὸς τὴν κολαστικὴν αὐτοῦ δύναμιν, ἐπὶ τῷ ἀποδιδόναι αὐτοῖς τὴν ὀφειλομένην τιμωρίαν.

21β Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ.

Οἱ περὶ τὸν Σαοὺλ μὲν ἐβεβήλωσαν, εἴτουν περιεφρόνησαν τὸν νόμον, ὅς
φησιν, *Ἀγαπήσεις τὸν πλησίον σου*, καὶ ὅσα τοιαῦτα, οἱ δὲ χριστοκτόνοι, τὸ Lev 19.18
Εὐαγγέλιον. Βέβηλον γὰρ, τὸ κοινὸν καὶ ἀνίερον. Mt 19.19

22α Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν.

Ἀπὸ ὀργῆς δηλαδὴ τοῦ Χριστοῦ· τοῦ Ῥωμαϊκοῦ γὰρ πολέμου πολιορκοῦντος
αὐτοὺς, διεμερίσθησαν. Τινὲς γὰρ αὐτῶν ἔλεγον, διὰ τὸν Ἰησοῦν ταῦτα πάσχειν,
ὧν εἷς ἦν καὶ Ἰώσηπος, μικροῦ Θεὸν αὐτὸν ὁμολογήσας ἐν τῇ βίβλῳ τῆς ἁλώσεως
Ἱερουσαλήμ. Καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν τῇ ἀληθείᾳ, λογιζομένων, ὅτι ἴσως AJ 18.3.3
Θεὸς ἦν· ἐγγύτης γὰρ, ὁ ἐνδοιασμός.

22β Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες.

Τοῦτο, κοινῶς περὶ πάντων τῶν χριστοκτόνων, οἳ πρὸ τοῦ ἀνελεῖν αὐτὸν, ἐν
ὑποκρίσει λόγους αὐτῷ προσέφερον ἁπαλοὺς, Ῥαββὶ καλοῦντες καὶ λέγοντες, Mt 26.49
Οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὸν λόγον τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ τὰ Mt 22.16
τοιαῦτα. Αὐτοὶ δὲ ἦσαν ἔνδον ἠκονημένα βέλη, ὀρεγόμενοι τοῦ αἵματος αὐτοῦ.

Λέγοιτο δ' ἂν ταῦτα καὶ περὶ τοῦ Σαοὺλ, ὃς ὑποκρινόμενος ἔλεγε, *Τέκνον* 1Rg 24.17,
Δαυὶδ, καὶ εἴ τι τοιοῦτον. 26.17, 21

23α Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει.

20β Add. [M in marg.]B: ἀντάλλαγμα λέγοιτ' ἂν καὶ ἡ μετάνοια καὶ ἡ ὁπωσδήποτε ἐξιλέωσις.
20β[9] προσέτι νοεῖται MSCBF : προσεπινοεῖται PV. 22β[4] τὸν λόγον MPSCBFL : τὴν ὁδόν V [Mt 22.16].

Κοινὴν ποιεῖται πρὸς ἅπαντας ἐπιβουλευομένους παραίνεσιν· αὐτὸς γάρ σε διαθρέψει, καὶ κατὰ σῶμα καὶ κατὰ ψυχήν· εἰ δὲ διαθρέψει, καὶ ἐνδύσει· εἰ δὲ καὶ ἐνδύσει, καὶ φυλάξει καὶ ῥύσεται. Mt 6.25

23β Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.

Οὐ δώσει μέχρι πολλοῦ κλύδωνα πειρασμοῦ τῷ δικαίῳ· φησὶ γὰρ ὁ Ἀπόστολος, ὅτι *Πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε.* 1Cor 10.13

Οὐ δώσει δὲ εἶπεν, ὅτι παραχωρῶν ἐπάγεσθαι ὑπὸ τοῦ διαβόλου τοὺς πειρασμοὺς, δοκεῖ αὐτὸς τούτους ἐπάγειν, ὅτι κωλῦσαι δυνάμενος, οὐκ ἐκώλυσε.

24α Σὺ δὲ, ὁ Θεὸς, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς.

Τοὺς ἐπιβουλεύοντας τοῖς ἀθῴοις· φρέαρ δὲ διαφθορᾶς εἶπε, τὸ βαθὺ καὶ ἄφυκτον τῆς τιμωρίας· τοιοῦτον γὰρ τὸ φρέαρ.

24β Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν.

Καὶ μὴν ἐν ἑτέρῳ ψαλμῷ περὶ τῶν τοιούτων λέγει, ὅτι *Καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.* Δῆλον οὖν ὅτι ἐν ἐκείνῳ πλήρεις τὰς ἡμέρας φησὶν, οὐ Ps 72.10 πρὸς τὸ μέτρον τῆς ζωῆς, ἀλλὰ πρὸς τὴν κακίαν, ὅτι αἱ ἡμέραι αὐτῶν, πλήρεις τῆς κακίας εἰσίν. Ἐνταῦθα δέ φησιν, ὅτι προειδὼς | ὁ Θεὸς τὴν ἀμετρίαν τῆς κακίας αὐτῶν, προεκθερίζει τούτους, ἵνα μὴ πλεῖον ἁμάρτωσι, καὶ γίνεται φιλανθρωπία, ἡ τιμωρία.

Ὁ δὲ λόγος οὐκ ἔστι καθολικὸς, ἀλλ' ἀπὸ τοῦ πλεονάζοντος, ἐπεί τινες τοιοῦτοι, τῇ κακίᾳ συγκατεγήρασαν· εἶπε δὲ τοῦτο, ἐκδειματῶν τοὺς φονικοὺς καὶ δολίους.

Ἄνδρας δὲ αἱμάτων καὶ δολιότητος εἴρηκεν, ὡς ἀνδριζομένους εἰς φόνους καὶ δόλους· διὰ δὲ τοῦ δόλου, πᾶσαν ᾐνίξατο κακίαν. Ἄλλως τε, ὥσπερ ἄνθρωπον εἰρήνης λέγει, τὸν εἰρηνικὸν, οὕτω καὶ ἄνδρα αἱμάτων, τὸν αἱμοχαρῆ, καὶ ὅσα τοιαῦτα.

24γ Ἐγὼ δὲ, Κύριε, ἐλπιῶ ἐπὶ σέ.

Τοῦτο, σύνηθες ἀεὶ ἐπιφώνημα τῷ Δαυίδ· ἅπαξ γὰρ πειραθεὶς τοῦ καρποῦ τῆς εἰς Θεὸν ἐλπίδος, καὶ ἐλπίζει διόλου, καὶ ἐλπίζειν ὁμολογεῖ.

Ἁρμόσειε δ' ἂν καὶ ἡμῖν ὁ ψαλμὸς, χωρὶς ὀλίγων ῥητῶν, ἃ καὶ προϊόντες σημειωσόμεθα. Τὰ μὲν οὖν εὔληπτα, παρήσομαι νοεῖσθαι κατὰ τὴν προαποδεδομένην ἐξήγησιν· τὰ δυσχερέστατα δὲ, μεταχειρισόμεθα.

[3] Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, δηλαδὴ, τῇ πρὸς τοὺς ἐμπαθεῖς λογισμοὺς ὁμιλίᾳ μου — λύπην γὰρ ὕστερον ἐκ μεταμελείας ἐπιφέρει — ἢ τῇ πρὸς τοὺς τυχόντας ἀνθρώπους ἀκαιρολογίᾳ μου· καὶ ἐταράχθην, ἀπὸ τῆς ὑποβολῆς τοῦ

23β3 ὑμᾶς... δύνασθε MSCBF : ἡμᾶς... δυνάμεθα PV. 24β2 ἐν ἑτέρῳ ψαλμῷ SF : ἐν τῷ οβ′ ψαλμῷ PCV : ἐν ἑτέρῳ ψαλμῷ, ἐν τῷ οβ′ MB.

ἐχθροῦ μοι καὶ ἁμαρτωλοῦ δαίμονος.

[8] Ἐμάκρυνα δὲ ἀπὸ τοῦ Θεοῦ, κολληθεὶς τοῖς δαίμοσι, διὰ τῆς τοῦ βίου μου μιαρότητος· καὶ ηὐλίσθην ἐν τῇ ἐρημίᾳ καὶ ἀκαρπίᾳ.

[10] Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας τῶν δαιμόνων, ὥστε
μὴ δύνασθαι συμφωνεῖν εἰς τὰς κατ' ἐμοῦ ἐπιβουλάς· Ὅτι εἶδον ἀνομίαν καὶ
ἀντιλογίαν ἐν τῇ πόλει, ἤγουν ἐν τῇ πολιτείᾳ αὐτῶν· ἀνομοῦσι γὰρ ἁμαρτάνοντες,
[11] καὶ ἀντιλέγουσι τοῖς σοῖς προστάγμασι. Τείχη δὲ αὐτῆς, οἱ ἰσχυρότεροι ἐξ αὐτῶν·
κόπος δὲ ἐν μέσῳ αὐτῆς, διὰ τοὺς στεῤῥῶς αὐτοῖς ἀνταγωνιζομένους· πλατεῖαι
[12] δὲ αὐτῆς, αἱ ὁδοὶ αὐτῶν, ὡς ἀντικείμεναι τῇ στενῇ ὁδῷ τοῦ Θεοῦ· τόκος δὲ, ἡ Mt 7.13-14
προσθήκη καὶ ἐπαύξησις τῆς ἁμαρτίας.

[13] Τὸ δὲ, *Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με*, καὶ τὰ ἑξῆς, ἄχρι τοῦ, *Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτοὺς*, προσώπῳ τοῦ Χριστοῦ λέγομεν, κατὰ τοῦ Ἰούδα, καθὼς εἰρήκαμεν· ἐλθέτω δὲ θάνατος ἐπὶ τοὺς δαίμονας, ἤτοι παντελὴς ἀνενεργησία. Τὸ δ' ἑξῆς προηρμήνευται.

[16] Παροικίαι δὲ αὐτῶν, οἱ πλησιασμοὶ αὐτῶν πρὸς ἡμᾶς. Τοὺς αὐτοὺς δὲ νόει μοι
[19] καὶ ἐγγίζοντας, ὡς ἀεὶ προσβάλλοντας ἡμῖν. Ἐν πολλοῖς δὲ ἦσαν σὺν ἐμοὶ, ἀντὶ
τοῦ, σὺν πολλοῖς ἦσαν ἐν ἐμοὶ, κατ' ἐναλλαγὴν τῶν προθέσεων, ὅ ἐστι, πολλοὶ
συνῆλθον κατ' ἐμοῦ.

[20] Οὐκ ἔστι δὲ αὐτοῖς ἀντάλλαγμα, εἴτουν ἐναλλαγὴ ἀπὸ κακίας εἰς ἀγαθοσύνην, ὡς προαποδέδοται.

[21] Ἐβεβήλωσαν δὲ τὴν διαθήκην αὐτοῦ, ἀντὶ τοῦ, ἐξουδένωσαν. Ἤγγισαν δὲ ἡμῖν αἱ
[22] καρδίαι αὐτῶν, εἴτουν τὰ βουλεύματα αὐτῶν. Ἡπαλύνθησάν τε οἱ λόγοι αὐτῶν ἐν τῷ
συμβουλεύειν· σαίνουσι μὲν γὰρ τῷ χρηστῷ, τελευτῶσι δὲ εἰς πονηρόν.

55 νε´

1 Εἰς τὸ τέλος·
ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου·
τῷ Δαυίδ· εἰς στηλογραφίαν· ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ.

Ὥσπερ οἱ ψαλμοὶ ὅσοις ἐπεγέγραπτο, *συνέσεως*, ἐχόμενοι ἀλλήλων ἐτέθησαν, Pss 51-54
οὕτω καὶ οἱ ἐπιγεγραμμένοι τὸ, *εἰς στηλογραφίαν*, ὧν πρῶτος, ὁ παρών. Pss 55-59

Λαὸν δὲ λέγει, τὸν Ἰουδαϊκὸν, ὃς δορυάλωτος παρὰ Βαβυλωνίοις δουλεύων, μεμακρυμμένος ἦν ἀπὸ τῶν ἁγίων, εἴτουν ἀπὸ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ. Διὸ καὶ, *εἰς τὸ τέλος*, ἐπιγέγραπται, ὡς εἰς τὸ τέλος ἐπειγόμενος τῶν ἐν τούτῳ περὶ τοῦ λαοῦ προφητευθέντων. Νοεῖται δὲ λαὸς, καὶ πάντες ἁπλῶς | οἱ πρὸς καιρὸν μεμακρυμμένοι ἀπὸ τῶν ἁγίων ἀνδρῶν, διὰ τὸ αἰχμαλωτισθῆναι ταῖς ἁμαρτίαις. Ὑπὲρ τοῦ λαοῦ δὲ, ἀντὶ τοῦ, προσώπῳ τοῦ λαοῦ.

Εἶτα καὶ δευτέρα πρόσκειται ἐπιγραφή· *τῷ Δαυὶδ, εἰς στηλογραφίαν*, καὶ τὰ ἑξῆς· ὡς εἶναι διπλῆν τὴν ὑπόθεσιν τοῦ ψαλμοῦ.

Προείρηται δὲ ἡμῖν ἐν τῷ λγ´ ψαλμῷ, ὅτι φεύγων τὸν Σαοὺλ, ἀπῆλθεν εἰς Γὲθ πρὸς τὸν Ἀχοὺς, καὶ ὑποπτευθεὶς ὅστις ἦν, ἔμελλε κινδυνεύειν. Εἶτα μανίαν ὑποκριθεὶς,

[13][2] λέγομεν MSCBF : λέγονται PV.

ὡς ἐπίληπτος, ἀφείθη, καὶ διεσώθη παραδόξως. Τηνικαῦτα τοίνυν καὶ τοῦτον ἔγραψε τὸν ψαλμὸν, ἁρμόζοντα καὶ τοῖς τότε ἑαυτοῦ πάθεσι, καὶ τοῖς τοῦ λαοῦ μετέπειτα. Ps 33.1

Βουλόμενος δὲ ἀεὶ κηρύττεσθαι τὴν θείαν εὐεργεσίαν, ἐπέγραψε τὸ, *εἰς στηλογραφίαν*, τουτέστιν, εἰς ἀνεξάλειπτον γραφὴν, ἐκ μεταφορᾶς τῶν λιθίναις ἢ χαλκαῖς στήλαις ἐγγραφόντων ῥήματά τινα εἰς μνήμην διηνεκῆ. Ps 15.1α

2α *Ἐλέησόν με, ὁ Θεὸς, ὅτι κατεπάτησέ με ἄνθρωπος.*

Κατεπάτησεν, ἀντὶ τοῦ, συνέτριψεν. Ἀπὸ μὲν οὖν τοῦ δορυαλώτου λαοῦ λεγόμενος ὁ λόγος, ἄνθρωπον καλεῖ, τὸν Βαβυλώνιον βασιλέα· ἀπὸ δὲ τῶν ἐν ἁμαρτίαις, τὸν διάβολον· οὕτω γὰρ αὐτὸν ἡ Γραφὴ πολλάκις ὀνομάζει, διὰ τὸ φιλήδονον αὐτοῦ, ὡς ἐπὶ τῆς παραβολῆς τῶν ζιζανίων, *ἐχθρὸν ἄνθρωπον*, αὐτὸν ἐκάλεσεν· ἀπὸ δὲ τοῦ Δαυὶδ, αἰνίττεται τὸν Σαούλ. Mt 13.28

Τὸ μέντοι, *κατεπάτησε*, σημαίνει καὶ τὸ, *κατεφρόνησεν*, ὡς τὸ, *Ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας*. Heb 10.29

2β *Ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με.*

Ὅλην τὴν ἡμέραν, ἀντὶ τοῦ, καθ’ ἡμέραν· πολεμῶν δὲ, ἀντὶ τοῦ, ἐπηρεάζων ἐπιτιθέμενος.

3α *Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν.*

Οἱ περὶ τὸν Βαβυλώνιον, ἢ αἱ περὶ τὸν δαίμονα ἀποστατικαὶ δυνάμεις, ἢ οἱ περὶ τὸν Σαούλ.

3β *Ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους.*

Ὕψος ἐνταῦθα, τὴν δυναστείαν λέγει, ἢ τὴν εὐστοχίαν· οἱ γὰρ ἀπὸ ὕψους ἄνωθεν βάλλοντες τοὺς κάτω καὶ ταπεινότερον ἑστῶτας εὐστοχοῦσιν.

4 *Ἡμέρας οὐ φοβηθήσομαι· ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.*

Ἡμέρας νῦν, τὰς εὐημερίας λέγει τῶν ἐχθρῶν· ἀνακτώμενος γὰρ ἑαυτὸν, καὶ τὴν ἀπαλλαγὴν προφητεύων, φησὶν, ὅτι οὐ φοβηθήσομαι τὰς τοιαύτας εὐημερίας.

5α *Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου.*

Τὸ ἐπαινέσω νῦν, ἀντὶ τοῦ, *κοσμήσω*, παρείληπται· ἐπαινετοὺς, φησὶ, ποιήσω τοὺς λόγους μου, ἐν τῷ περὶ Θεοῦ λέγειν· μόνος γὰρ κοσμεῖται λόγος, ὁ μνημονεύων Θεοῦ.

2α[2] οὖν PSCB : om. MFV. [1][4] ἀνεξάλειπτον MCBF : ἀνέκλειπτον PSV.

Ἢ ἐπειδὴ ἐκαυχήσατο εἰπὼν, ἡμέρας οὐ φοβηθήσομαι, θεραπεύει τὸν λόγον, ὅτι ἐν τῷ Θεῷ ἐπαινέσω, τουτέστιν, ὀγκώσω εἰς μεγαλοῤῥημοσύνην τοὺς λόγους μου.

5β Ἐπὶ τῷ Θεῷ ἤλπισα· οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.

Σὰρξ, εἴτουν ἄνθρωπος ἐμπαθής.

6α Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο.

Κατεφρόνουν, εἴ τι καὶ εἶπον, ἅπαξ ἐμοῦ καταφρονήσαντες.

6β Κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.

Εἰς τὸ κακῶσαί με.

7α Παροικήσουσι καὶ κατακρύψουσιν.

Παραμενοῦσι μοι, καὶ κατακρύψουσί μοι ἐνέδραν καὶ παγίδας.

7β Αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι.

Τὴν πορείαν τοῦ βίου μου ἐπιτηρήσουσιν, ὥστε συσχεῖν με ταῖς παγίσιν· ἐμφαίνει δὲ διὰ τούτων, τὰς ποικίλας αὐτῶν ἐπιβουλάς.

7γ-8α Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου, ὑπὲρ τοῦ μηθενὸς ὥσεις αὐτούς.

Ὥσπερ αὐτοὶ ἐνεδρεύοντες περιέμεινάν με, κατὰ περίφρασιν, οὕτω καὶ σὺ ὥσεις αὐτοὺς, | εἴτουν ἀπελάσεις· ἡ δὲ ὑπέρ πρόθεσις, ἀντὶ τῆς, ἀντὶ, κεῖται νῦν, οἷον, ἀντ' οὐδενὸς ὥσεις αὐτοὺς, ὅ ἐστι, ῥᾳδίως, ὡς οὐδὲν ὄντας.

8β Ἐν ὀργῇ λαοὺς κατάξεις.

Μόνον ὀργισθεὶς, πλήθη ὅλα κατάξεις, ἤγουν συντρίψεις.

9α Ὁ Θεὸς, τὴν ζωήν μου ἐξήγγειλά σοι.

Τὴν πολιτείαν μου ἐφανέρωσά σοι, ἣν ἄρτι πολιτεύομαι.

9β Ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου.

Ἐπεῖδες τὰ δάκρυά μου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου ὑπέσχου. Νομοθετῶν

7α[2] ἐνέδραν PV : ἔνεδραν MCBF : ἔνεδρας S.

γὰρ, ἐπηγγείλατο περὶ τοῦ ἀδικουμένου, ὅτι στενάξει πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· Ἐλεήμων γάρ εἰμι. Ex 22.26

10α Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω.

Ἀποστραφήσονται εἰς τὰ ὀπίσω, τουτέστι, φεύξονται· προφητεία δὲ καὶ τοῦτο.

Ἀναγωγικῶς δὲ, κυριεύοντες μὲν ἡμῶν οἱ δαίμονες, προηγοῦνται, ὑποδεικνύοντες ἡμῖν τὴν εἰς ἀπώλειαν φέρουσαν ὁδόν· ἡττώμενοι δὲ, ἕπονται καθυλακτοῦντες.

10β Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ἰδοὺ ἔγνων ὅτι Θεός μου εἶ σύ.

Ὅταν σε, φησὶν, ἐπικαλέσωμαι θερμῶς, εὐθὺς ἔγνων, ἀντὶ τοῦ, γινώσκω, ὅτι Θεός μου εἶ σύ· ἀντιχρονία. Πῶς δὲ γινώσκω; Πάντως ἐν τῷ εἰσακούεσθαι.

11 Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον.

Τὸ *αἰνέσω* κἀνταῦθα τοιοῦτόν ἐστιν, οἷον εἴπομεν καὶ τὸ, *Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου.* Ps 55.5α

Ῥῆμα μὲν οὖν λέγει, τὸν βραχὺν λόγον, λόγον δὲ, τὸν μείζονα.

12 Ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

Ὃν εἶπεν ἐν ἀρχῇ, ἄνθρωπον, *Ὅτι κατεπάτησέν με ἄνθρωπος*, τοῦτον καὶ Ps 55.2α
νῦν λέγει.

13 Ἐν ἐμοὶ, ὁ Θεὸς, εὐχαὶ, ἃς ἀποδώσω αἰνέσεώς σου.

Ἐν τῇ μνήμῃ μού εἰσιν αἱ ὑποσχέσεις τῆς αἰνέσεώς σου, ἃς ἀποδώσω· ὑπέσχετο γὰρ αἰνέσαι τὸν εὐεργέτην Θεόν.

14α Ὅτι ἐῤῥύσω τὴν ψυχήν μου ἐκ θανάτου.

Τὴν ψυχήν μου, ἀντὶ τοῦ, ἐμὲ, περιφραστικῶς. Εἰ δὲ καὶ τὴν ψυχὴν αὐτὴν θελήσεις νοῆσαι, θάνατον καλέσεις τὴν ἁμαρτίαν, ὡς αἰτίαν θανάτου καταρχὰς γενομένην τῷ πρωτοπλάστῳ.

14β Τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.

Ὀλίσθημα νόει μοι, τὸν κρημνὸν ἢ τὴν παγίδα· ὥσπερ καὶ πόδας, εἰ βούλῃ, τὴν πορείαν τοῦ βίου.

14γ Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν φωτὶ ζώντων.

Εὐάρεστα πράξω, ἕως ἂν τὸ φῶς τοῦτο βλέπω, τὸ φαῖνον τοῖς ζῶσι· μετὰ γὰρ θάνατον, εὐαρέστησις οὐκ ἔστι.

Καὶ ἄλλως δὲ, φῶς ζώντων ἐστὶν, αἱ ἐντολαὶ τοῦ Θεοῦ· Ἡ ἐντολὴ γὰρ, φησὶ, *Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμοὺς*, καὶ, *Λύχνος τοῖς ποσί μου, ὁ νόμος* Ps 18.9
σου. Ἢ, εὐάρεστος ὀφθήσομαι ἐν τῷ αἰωνίῳ φωτὶ τῶν ἀεὶ ζώντων. Ps 118.105

56 νς´
1 Εἰς τὸ τέλος· μὴ διαφθείρῃς·
τῷ Δαυῒδ εἰς στηλογραφίαν·
ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.

Καὶ τὸν ἐν τῷ σπηλαίῳ τῆς ἐρήμου Γαδδὶ κίνδυνον παραδόξως διαφυγὼν, ὅτε 1Rg 24
ἐγκεκρυμμένου αὐτοῦ, ἐπεισῆλθε Σαοὺλ καὶ ἐνηυλίσατο, καθὼς προειρήκαμεν, Ps 35.1
τὸν ψαλμὸν τοῦτον συνέταξε, καὶ ὁμοίως δὲ τῷ πρὸ αὐτοῦ, τὸ εἰς στηλογραφίαν
ἐπέγραψε, δι' ἣν αἰτίαν εἰρήκαμεν. Ps 55.1

Εἰς τὸ τέλος δὲ καὶ οὗτος, ὡς ἐπειγόμενος εἰς τὸ τέλος τῶν ἐν τούτῳ περὶ τῆς κλήσεως τῶν ἐθνῶν προφητευθέντων.

Τὸ δὲ, *μὴ διαφθείρῃς*, ἰδίᾳ καὶ καθ' ἑαυτὸ ἀναγνωστέον· ἐν τῇ νυκτὶ γὰρ ἐκείνῃ, κοιμωμένῳ τῷ Σαοὺλ, ἐπελθὼν ξιφήρης, τοῦτο τὸ πρόσρημα | κατεπᾴδων ἑαυτοῦ συνεχέστερον, κατέστειλε τὸν θυμὸν, καὶ οὐκ ἀνεῖλεν αὐτόν. Ὅθεν ἔγραψε καὶ τοῦτο, ἅμα μὲν διδάσκων πῶς αὐτὸς ἐκράτησε τοῦ θυμοῦ, ἅμα δὲ καὶ παραινῶν παντὶ, μὴ διαφθείρειν τὴν ἀνεξικακίαν.

Χρὴ δὲ γινώσκειν, ὅτι τοῦτον μὲν τὸν ψαλμὸν ἐξελθὼν ἀπὸ τοῦ σπηλαίου συνέγραψε, τὸν δὲ ρμα´ ἔτι ἐνὼν αὐτῷ καὶ ἀγωνιῶν, ὡς ἤδη συγκεκλεισμένος.

2α Ἐλέησόν με, ὁ Θεὸς, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου.

Ὁ διπλασιασμὸς τοῦ, *ἐλέησον*, τὴν ἐπίτασιν ἐμφαίνει τῆς δεήσεως. Οὐ πέποιθα, φησὶν, ἐπ' ἄλλῳ τινὶ τῶν ἁπάντων, εἰ μὴ ἐπὶ μόνῳ σοί. Διὸ ἐλέησόν με, τὸν οὕτω καταδιωκόμενον.

2β Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία.

Σκιὰν πτερύγων λέγει, τὴν σκέπην, περὶ ἧς εἰρήκαμεν σαφῶς ἐν τῷ ις´
ψαλμῷ, εἰς τὸ, *Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με*. Ps 16.8β

Ἀνομίαν δὲ, τὴν ἐπιβουλὴν ὁ Ἀκύλας ἐξέδωκε· νοοῖτο δ' ἂν, ἡ παρά τε τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Παρέλθῃ δὲ πάντως, ὅταν πρὸς Θεὸν ἀναλύσῃ
στεφανωθησόμενος. Php 1.23

1[9] κλήσεως MSCF : παρακλήσεως B : Ἐκκλησίας PV. 1[11] ἑαυτοῦ MSCBF : ἑαυτῷ PV. 2β[3] ἐν σκέπῃ [Ps 16 ad loc.] : ἐν τῇ σκέπῃ MPSCBFV [cf. Ps 60.5α].

3 Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με.

Ὕψιστον μὲν, ὡς ὑπερουράνιον· εὐεργετήσαντα δὲ, ὡς καὶ πρότερον καὶ νῦν ἀξιώσαντα βοηθείας.

4α Ἐξαπέστειλεν ἐξ οὐρανοῦ, καὶ ἔσωσέ με.

Ἐξαπέστειλε δύναμιν ἐξ ὕψους· οὐ γὰρ ἐξ ἀνθρωπίνης ἐπικουρίας ἐῤῥύσθη Ps 17.17
τοῦ ἐν τῷ σπηλαίῳ προσδοκωμένου κινδύνου. Lk 24.49

4β Ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με.

Μαθόντες γὰρ οἱ περὶ Σαοὺλ τὸ γεγονὸς, ἄγαν ᾐσχύνθησαν, ὡς τηλικαῦτα σφαλέντες, καὶ καταγέλαστοι δόξαντες.

Τί δέ ἐστι τὸ, *καταπατεῖν*, εἴρηται ἐν τῷ πρὸ τούτου ψαλμῷ. Ps 55.2α

4γ-5α Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐῤῥύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων.

Εἰπὼν πρῶτον, ὅτι ἐξαπέστειλεν ἁπλῶς, νῦν ἐπήγαγε καὶ τίνα ἀπέστειλε. Παρατηρητέον δὲ, ὅτι ἐν πολλοῖς, ἀλήθειαν, τὴν δικαιοσύνην ὀνομάζει, καθὼς καὶ νῦν. Διότι καὶ ἐξ ἀληθείας, ἡ δικαιοσύνη καταλαμβάνεται. Ἐξαπέστειλεν οὖν τὸ ἔλεος μὲν, ἵνα ἐλεήσῃ με, τὴν δὲ δικαιοσύνην, ἵνα καταδικάσῃ τοὺς ἀδικοῦντάς με.

Σκύμνους δὲ λέγει, τοὺς περὶ Σαοὺλ, ὡς ἐν ἀκμῇ δυνάμεως, καὶ ὡς ἀπηνεῖς καὶ φονικούς. Τοιοῦτοι γὰρ οἱ σκύμνοι τοῦ λέοντος.

Νοεῖται δὲ καὶ προσώπῳ τῆς Ἐκκλησίας τῶν πιστῶν ὁ λόγος, ὅτι ὁ Πατὴρ ἐξαπέστειλε τὸν Υἱὸν, καὶ ἔσωσέ με τὴν ἀπολωλυῖαν. Ἔδωκεν εἰς ὄνειδος τοὺς πρὶν καταπατοῦντάς με δαίμονας. Ἔλεος δὲ ἐνούσιον καὶ ἀλήθεια, ὁ Υἱός· ἐλεήσας
γὰρ ἀπολλυμένους ἡμᾶς, ἐνηνθρώπησε· καὶ αὐτὸς εἴρηκεν, *Ἐγώ εἰμι ἡ ἀλήθεια.* Jn 14.6
Καὶ κατὰ τὴν σημασίαν δὲ τῆς δικαιοσύνης, αὐτὸς, ὥς φησιν ὁ Ἀπόστολος,
Ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. 1Cor 1.30
Σκύμνους οὖν κἀνταῦθα, νόει τοὺς δαίμονας.

5β Ἐκοιμήθην τεταραγμένος.

Ὅτε ἐν τῷ σπηλαίῳ ἐπεισῆλθον οἱ περὶ τὸν Σαούλ· ἐκοιμήθην γὰρ μικρὸν ὕπνον, ἀλλὰ τεταραγμένον ὑπὸ τοῦ περιστοιχίσαντος κινδύνου.

5γ Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν, ὅπλα καὶ βέλη· καὶ ἡ γλῶσσα αὐτῶν, μάχαιρα ὀξεῖα.

5β[3] τεταραγμένον MPCFV : τεταραγμένος S.

Ὦ υἱοὶ ἀνθρώπων, ἀκούσατε· οἱ ὀδόντες τῶν ἐπιβουλευόντων μοι δίκην θηρίων, ὅπλα καὶ βέλη, καὶ τὰ ἑξῆς.

Διὰ δὲ τῶν ὀδόντων καὶ τῆς γλώσσης, τοὺς λόγους αὐτῶν ἐδήλωσεν, ὅτι ταῖς διαβολαῖς καὶ συσκευαῖς τῶν δόλων τιτρώσκουσι, καὶ τὸ ἐπ' αὐτοῖς, ἀναιροῦσιν· ὅπλα δὲ νῦν, οὐ τὰ φυλακτικά φησιν, ἀλλὰ τὰ ἀναιρετικά.

6 Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς, ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Ὑψηλὸς καὶ ἐπουράνιος γνω | ρίσθητι καὶ τοῖς μὴ εἰδόσι σε, καὶ δραμέτω ἐπὶ πᾶσαν τὴν γῆν ἡ μεγαλειότης σου, δι' ὧν τερατουργεῖς οὕτω παράδοξα.

Τινὲς δὲ καὶ πρὸς τὸν Χριστὸν ἀποστρέφουσι τὸν λόγον, ὅτι τελέσας τὸ μυστήριον τῆς ἐνανθρωπήσεως, ἄνιθι πάλιν εἰς οὐρανοὺς, ἀφ' ὧν κατελήλυθας, Jn 6.38
καὶ ἐπὶ πᾶσαν τὴν γῆν ὁδευέτω ἡ τιμή σου.

7α Παγίδα ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου.

Θήρατρά μοι κατεσκεύασαν, καὶ ἐταπείνωσάν με· λέγει δὲ, τὰς ποικίλας ἐπιβουλάς.

7β Ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσον εἰς αὐτόν.

Εὐτρέπισαν ἔμπροσθέν μου κίνδυνον· ἐνέπεσον δὲ αὐτοί. Ἐγὼ μὲν γὰρ θεόθεν σκεπασθεὶς, διέφυγον ἀβλαβής· αὐτοὶ δὲ, ἐκινδύνευσαν, ἐν ταῖς χερσί μου γενόμενοι.

8α Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου.

Ἕτοιμός εἰμι τοῦ λοιποῦ πρὸς τοὺς ἐπερχομένους πειρασμοὺς, σὲ ἔχων ἀντίληψιν, ἢ πρὸς τὰ σὰ θελήματα, ἢ πρὸς αἶνόν σου.

8β Ἄισομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.

Περὶ τοῦ, ᾄσομαι καὶ ψαλῶ, πολλάκις εἰρήκαμεν· δόξαν δὲ ἑαυτοῦ καλεῖ, τὴν Ps 12.6γ
σύνεσιν, δι' ἣν ἐδοξάζετο.

9α Ἐξεγέρθητι, ἡ δόξα μου.

Δόξαν αὖθις, τὸ πνευματικὸν ὀνομάζει χάρισμα.

9β Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα.

Ψαλτήριον μὲν λέγει, τὴν ψυχὴν, κιθάραν δὲ, τὸ σῶμα, δι' ἃς αἰτίας προλαβόντες ἀποδεδώκαμεν — [ἐν τῷ μη΄ καὶ τῷ μβ΄ καὶ πρὸ τούτων ἐν τῷ λβ΄]. Ps 48.5β, 42.4γ, 32.2

Διεγείρει δὲ ὅλον ἑαυτὸν εἰς ὕμνον Θεοῦ, ἵνα καὶ πνεύματι καὶ ψυχῇ καὶ σώματι ὑμνήσῃ τὸν Εὐεργέτην.

9γ Ἐξεγερθήσομαι ὄρθρου.

Ταχέως.

10 Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν.

Ἐξομολογήσομαι, ἀντὶ τοῦ, εὐχαριστήσω· λαοῖς δὲ, τοῖς Ἰουδαίοις. Καὶ ἐν Ἰουδαίοις γὰρ, καὶ ἐν τοῖς ἐξ ἐθνῶν, ὁ Δαυὶδ εὐχαριστεῖ καὶ ψάλλει Θεῷ.

11 Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

Ταῦτα εἶπε καὶ ἐν τῷ λε΄ ψαλμῷ, *Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν*, καὶ ζήτει ἐκεῖ τὴν ἐξήγησιν. Ps 35.6

Λέγει δὲ ὅτι πολὺ καὶ ὑψηλὸν τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου, ὡς διήκειν ἀπὸ γῆς ἄχρις οὐρανοῦ καὶ νεφελῶν.

12 Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς, ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Περὶ τούτων, μικρὸν ἀνωτέρω διελάβομεν. Ps 56.6

57 νζ΄

1 Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυὶδ εἰς στηλογραφίαν.

Μετὰ τὸν πρὸ τούτου ψαλμὸν ἔγραψε τὸν παρόντα, τῆς αὐτῆς ἐχόμενον ὑποθέσεως· διὸ καὶ τὴν αὐτὴν ἐκείνῳ εἴληχεν ἐπιγραφήν.

2 Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε, υἱοὶ τῶν ἀνθρώπων.

Προηγουμένως μὲν, πρὸς τὸν Σαοὺλ καὶ τοὺς περὶ αὐτὸν ὁ λόγος· ἑπομένως δὲ, καὶ πρὸς πάντας τοὺς μιμουμένους τὴν πονηρίαν αὐτῶν.

Λέγει δὲ, ὅτι εἰ ἀληθῶς δίκαια λαλεῖτε, λέγοντες ἐν ἑαυτοῖς εὐλόγως με καταδιώκειν, ὡς ἐπίβουλον ὑμῶν, αὐτοὶ γενόμενοι δικασταὶ τοῦ πράγματος, εὐθείας κρίσεις κρίνατε, εἴτουν ὀρθὰς ἀποφάσεις ἐξενέγκατε, ἐν τίνι με πονηρὸν ἐγνώκατε.

9β[3] ἐν... τῷ λβ΄ [M in marg]PCBV : om. SF. 1[4] εἴληχεν MSCBF : εἴληφεν PV.

3 Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ· ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.

Παρῆκε τὸ, ἀλλ' οὐ δύνασθε ὀρθῶς κρῖναι, ὡς νοούμενον· καὶ γὰρ ἐν καρδίᾳ ἄνομα μελετᾶτε, καὶ αἱ χεῖρες ὑμῶν ἄδικα πράττουσι.

Συμπλέκουσι δὲ εἶπεν, ἐκ μεταφορᾶς τῶν πλεκόντων παγίδας, διὰ τὸ ποικίλον τῶν ἐπιχειρημάτων. Τὸ δὲ, *ἐν τῇ γῇ* πρόσκειται, ὅτι ἐν τῇ γῇ ταῦτα ποιεῖτε· ἐν δὲ τῷ ᾅδῃ, οὐχ οὕτως ἕξετε.

4α Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας.

Στηλιτεύει τοὺς ἀνεπιστρόφους ἁμαρτωλοὺς, καὶ διδάσκει διὰ βραχέων, ὁποῖοι ὄντες, ὁποίαν λαμβάνουσι καταστροφήν.

Ἔτι βρεφουρ | γούμενοι, φησὶν, ἀπηλλοτριώθησαν τοῦ Θεοῦ, κατὰ τὴν αὐτοῦ πρόγνωσιν, καὶ ἀπηλλοτριωμένοι διὰ τὸ μέλλον ἐλογίσθησαν.

4β Ἐπλανήθησαν ἀπὸ γαστρός.

Ἐπλανήθησαν πόῤῥω τῆς εὐθείας ὁδοῦ τῶν θείων ἐντολῶν, οὐκ ἐνεργείᾳ, ἀλλ' ὡς εἴρηται, τῇ προγνώσει τοῦ Θεοῦ. Οὕτω γὰρ εἶπε καὶ πρὸς τὸν Ἰερεμίαν ὁ Θεὸς, *Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε.* Jer 1.5

4γ Ἐλάλησαν ψευδῆ.

Τοῦτο, οὐκ ἀπὸ γαστρὸς, ἀλλ' εἰς ἡλικίαν ἐλθόντες.

5α Θυμὸς αὐτοῖς, κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως.

Φασὶ τὸν ὄφιν ἐπιμανέντα τινὶ, μηδέποτε μεθεῖναι τὸν θυμὸν, ἄχρις ἂν ἢ δράσῃ τι κακὸν ἢ προαποθάνοι. Θυμὸς οὖν καὶ τούτοις, ἀνένδοτος καὶ διαπαντὸς ἐπίβουλος.

5β Ὡσεὶ ἀσπίδος κωφῆς, καὶ βυούσης τὰ ὦτα αὐτῆς.

Μεταφέρει τὸ παράδειγμα τοῦ θυμοῦ καὶ ἐπὶ τὴν ἀσπίδα. Θυμὸς, ὡσεὶ ἀσπίδος κωφῆς, καὶ οὐ φύσει κωφῆς, ἀλλὰ πανουργίᾳ. Διὰ τοῦτο γὰρ προσέθηκε τὸ, *καὶ βυούσης τὰ ὦτα αὐτῆς*· εἶτα διέξεισι καὶ πότε κωφεύει.

6 Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων, φαρμακοῦ τε, φαρμακευομένη παρὰ σοφοῦ.

3[2] κρῖναι MSCBF : κρίνειν PV. 4α Add. [M in marg.]PCRVL: Ἀπὸ τῆς Ἐκκλησίας· μήτρα γὰρ αὕτη καὶ γαστὴρ τῶν υἱοθετουμένων τῷ Θεῷ, ἀναγεννῶσα τούτους, διὰ τοῦ ἁγίου βαπτίσματος : om. SF. 5α[3] προαποθάνοι MPSCF : προαποθάνῃ V.

Ἐπᾴδοντας λέγει, τοὺς καλουμένους ἐπαοιδοὺς, οἵτινες διά τινων ἐπῳδῶν καταγοητεύοντες τοὺς θυμοὺς τῶν ἑρπετῶν, καὶ τὸ ἀγριαῖνον οὕτως ἐξημεροῦντες, λαμβάνουσι καὶ χρῶνται πρὸς ἰατρείαν. Ἡ γοῦν ἀσπὶς, καὶ μᾶλλον ἡ ἐπονομαζομένη παλαμναῖα, ἀπό τινων τεκμηρίων προαισθανομένη, βύει τὰ ἑαυτῆς ὦτα, καὶ οὕτω διαδιδράσκει.

Ἔστι δὲ ἡ σύνταξις τῶν ῥητῶν οὕτως· ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων, καὶ φαρμακοῦ, τουτέστι, γόητος, γοητευομένη παρὰ σοφοῦ ἀνδρός. Σοφὸν δὲ νῦν, τὸν τεχνίτην ἐκάλεσε.

Προσφυῶς δὲ καὶ τὸν ὄφιν καὶ τὴν ἀσπίδα τέθεικεν εἰς παράδειγμα· ὁ Σαοὺλ γὰρ, καὶ ἐνεκότει ὡς ὄφις, καὶ πολλάκις κατεπᾳδόμενος λόγοις ἀγαθοῖς παρὰ τοῦ Δαυὶδ, ὅτι αὐτὸς μέν ἐστι κύριος καὶ δεσπότης καὶ βασιλεύς, οὗτος δὲ, δοῦλος καὶ κύων τεθνηκὼς καὶ ψύλλος, ἐθελοκωφῶν ἦν, ὡς ἀσπίς. 1Rg 24.15

7α Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν.

Ὀδόντας ὀνομάζει, τὰς κακωτικὰς τῶν τοιούτων δυνάμεις· ὀδόντας δὲ εἰπὼν, καὶ στόματος ἐμνημόνευσεν, ὃ νοήσεις τὴν περιεκτικὴν πονηρίαν.

7β Τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος.

Ἐν τῷ προλαβόντι ψαλμῷ σκύμνους αὐτοὺς καλέσας, ἐν τῷ παρόντι, καὶ περὶ Ps 56.5
ὀδόντων φησίν· ἔστι δὲ ὁ στίχος οὗτος, διπλασιασμὸς τοῦ πρὸ αὐτοῦ, καθὼς ἐν πολλοῖς εἰρήκαμεν, ἐπεὶ καὶ αἱ μύλαι, ὀδόντες εἰσίν.

Εἰ δὲ βούλῃ, ὀδόντας μὲν εἰπὲ, τοὺς τομεῖς, μύλας δὲ, τοὺς ἐνδότερον ὀδόντας, οὓς καὶ λεαίνοντας λέγομεν, ὡς νοεῖσθαι διὰ τούτων, τὰς ἧττον καὶ μᾶλλον βλάβας, αἷς ἔβλαπτον τοὺς παραπίπτοντας.

Ὅρα δὲ ὅπως ποτὲ μὲν ὡς ἐπὶ μέλλοντος λέγει, *συντρίψει*, ποτὲ δὲ ὡς ἐπὶ παρεληλυθότος, *συνέθλασε*· τοιοῦτος γὰρ ὁ νόμος τῶν προφητευόντων, ὡς πολλάκις εἴρηται.

8α Ἐξουδενωθήσονται, ὡσεὶ ὕδωρ διαπορευόμενον.

Οὐ ποτάμιον, οὐδὲ πηγαῖον, ἀλλ' ὑπό τινος χεθὲν, καὶ ὡς ἔτυχε φερόμενον, ἐσκεδασμένον. Ἐξουδενωθήσονται δὲ, ἀντὶ τοῦ, καταφρονηθήσονται.

8β Ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσουσιν.

Ἐντενεῖ τὴν κολαστικὴν αὐτοῦ δύναμιν κατ' αὐτῶν καὶ βαλεῖ.

9α Ὡσεὶ κηρὸς τακεὶς, ἀνταναιρεθήσονται.

[6][11] *κύριος καί* PV : om. MSCBF.

Ἀνταξίως τῆς φονικῆς αὐτῶν γνώμης ἀναιρεθήσονται εὐκόλως, δίκην τακέντος κηροῦ · ἅμα γὰρ οὗτος πλησιάζει πυρὶ, καὶ ἅμα τήκεται.

9β Ἔπεσε πῦρ ἐπ᾽ αὐτοὺς, καὶ οὐκ εἶδον τὸν ἥλιον.

Κηροῦ μνησθεὶς, καὶ πῦρ προσέθηκε, πῦρ λέγων, τὸν θεήλατον θυμὸν, καὶ εὐθὺς εἰς τὴν ἐπιοῦσαν ἡμέραν οὐκ ἔφθασαν. |

10α Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον.

Πρὸς τὸν Σαοὺλ κατὰ ἀποστροφὴν ὁ λόγος· ὅτι τοῦτο πεσεῖται τὸ πῦρ, πρὸ τοῦ αὐξηθῆναι τὰς ἁμαρτίας ὑμῶν.

Ἵνα δὲ καὶ σαφὲς εἴη τὸ λεγόμενον, ἄκανθαν μὲν ἡ Γραφὴ καλεῖ τὴν ἁμαρτίαν· ῥάμνος δέ ἐστιν εἶδος ἀκάνθης, μέγιστον καὶ σκληρότατον. Φησὶν οὖν, ὅτι τὸ δηλωθὲν πῦρ πεσεῖται, πρὸ τοῦ τὰς ἀκάνθας ὑμῶν, ἤτοι τὰς ἁμαρτίας, συνιένει τὴν ῥάμνον, τουτέστι, μαθεῖν καὶ εἰς ἕξιν ἐλθεῖν τοῦ μεγέθους καὶ τῆς σκληρότητος τῆς ῥάμνου, ὅ ἐστι τῆς ὑπερβαλούσης κακίας. Οὕτω γὰρ καὶ Σαοὺλ, ὀλίγον καιρὸν ἐπέζησε τῇ κακίᾳ. Ps 31.4β

10β Ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ, καταπίεται αὐτούς.

Τὸ ῥηθὲν πῦρ· ὡσεὶ ζῶντας δὲ, διὰ τὸ τὸν Σαοὺλ μὴ κυρίως ζῆν ἀφότου παρὰ τῆς ἐγγαστριμύθου μεμάθηκε τὴν πανωλεθρίαν ἑαυτοῦ. Ὡσεὶ ζῶντας οὖν, ἀντὶ τοῦ, μὴ κυρίως ζῶντας. Ὡσεὶ ἐν ὀργῇ δὲ, διὰ τὸ ἀπότομον καὶ ἀσυμπαθὲς τοῦ ὀλέθρου· καταπίεται δὲ εἶπε, διὰ τὸ εὐχερές. 1K 28.7, 19

11α Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν.

Δίκαιον λέγει, τὸν ἀδίκως ἐπιβουλευόμενον. Εὐφρανθήσεται δὲ, οὐκ ἐπὶ τῇ πτώσει τοῦ πονηροῦ, ἀλλ᾽ ἐπὶ τῇ δικαιοσύνῃ τοῦ Θεοῦ, ὅτι οὐ περιορᾷ τοὺς ἀδικουμένους, ἵνα μὴ βλαβεῖεν οἱ μικρόψυχοι.

11β Τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.

Οὐ βάπτων αὐτὰς ἐν τῷ αἵματι, ἀλλ᾽ ἐπὶ τῷ αἵματι αὐτοῦ νίψεται ὡς ἀθῷος τοῦ τοιούτου αἵματος. Εἴρηται δὲ περὶ τοῦ τρόπου τῆς ἀπονίψεως ταύτης ἐν τῷ κε´ ψαλμῷ, εἰς τὸ, Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου.

Τινὲς δὲ λέγουσιν, ὅτι ἐν τῷ χεθῆναι τὸ αἷμα τοῦ ἁμαρτωλοῦ, ὁ δίκαιος καθαρίσει τὰς ἑαυτοῦ ἔτι χεῖρας, εἴτουν πράξεις, εὐλαβέστερος διὰ τὸν φόβον γενόμενος. Ps 25.6

10α[8] ὑπερβαλούσης MSBV : ὑπερβαλλούσης PCF.

12 Καὶ ἐρεῖ ἄνθρωπος, Εἰ ἄρα ἔστι καρπὸς τῷ δικαίῳ, ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

Καὶ ὁ συνετὸς ἄνθρωπος, ἰδὼν τὸν ἀδικούμενον μάλιστα νικήσαντα, ἐρεῖ συλλογιστικῶς, εἰ ἄρα ἔστι καρπὸς τῷ δικαίῳ, καὶ εἰ οὐ μάτην ἐργάζεται τὴν ἀρετὴν — δῆλον δὲ ὅτι καρπός ἐστιν αὐτῷ ἡ ἐκδίκησις — ἄρα ἐστὶν ὁ Θεὸς καὶ ἐνταῦθα κρίνων αὐτοὺς, δηλαδὴ αὐτόν τε τὸν οὕτω συλλογιζόμενον καὶ τοὺς ἄλλους ἀνθρώπους, καὶ λοιπὸν βελτίων ἐντεῦθεν εἰς ἀρετὴν γενήσεται.

58 νη΄
1 Εἰς τὸ τέλος μὴ διαφθείρῃς·
τῷ Δαυὶδ εἰς στηλογραφίαν·
ὁπότε ἀπέστειλε Σαοὺλ,
καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν.

Ὁ Σαοὺλ διαφθονῶν τῷ Δαυὶδ, ἐπεβούλευεν αὐτῷ συνεχέστερον, καί ποτε συνεστιωμένῳ, τὸ δόρυ λαβὼν, ἐπαφῆκεν· ἐκκλίναντος δὲ καὶ ἀναχωρήσαντος, ἀποστείλας, περιέστησε φρουρὰν εἰς τὸν οἶκον αὐτοῦ. Τοῦτο δὲ Μελχὼλ, ἡ θηγάτηρ μὲν Σαοὺλ, γυνὴ δὲ Δαυὶδ, καταμηνύσασα τῷ ἀνδρὶ, παρεσκεύασε διὰ φωταγωγοῦ τινος ἀποδρᾶναι, καθὼς ἡ πρώτη βίβλος τῶν Βασιλειῶν πλατύτερον ἱστορεῖ. 1Rg 19.9-12

Διαφυγὼν δὲ, συνέταξε τὸν προκείμενον ψαλμόν. Ἐπὶ τοῦ παρόντος οὖν, ἄλλως ἐξηγητέον τὴν τοῦ εἰς τὸ τέλος μὴ διαφθείρῃς προγραφήν· παρεγγυᾷ γὰρ εἰς τὸ τέλος τῶν πειρασμῶν ὁρᾶν, καὶ μὴ διαφθείρειν τὴν ὑπομονήν.

Εἶτα τὸ ἑξῆς τῆς ἐπιγραφῆς, τῷ Δαυὶδ, φησὶ, πεποίηται εἰς ἀνεξάλειπτον μνήμην τῶν γεγενημένων.

2-3 Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεὸς, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με· ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.

Ἐπανισταμένους λέγει, τοὺς ἐπιτιθεμένους καὶ ἐφορμῶντας αὐτῷ, | δηλαδὴ Σαοὺλ καὶ τοὺς περὶ αὐτὸν στρατιώτας καὶ τοὺς συνεργοῦντας αὐτοῖς δαίμονας. Τοὺς αὐτοὺς δέ φησι καὶ ἐργαζομένους τὴν ἀνομίαν, καὶ ἄνδρας αἱμάτων· τό τε γὰρ ἐπιβουλεύειν τοῖς ἀναιτίοις, ἄνομον, καὶ ἀνὴρ αἱμάτων, ὁ χαίρων αἵμασιν.

4α Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου.

Ὅτι ὡς ὁρᾷς, τὸ ἐπ᾽ αὐτοῖς, συνέλαβόν με, περικυκλώσαντες τὸν οἶκόν μου, εἰ καὶ διὰ σοῦ σέσωσμαι.

4β *Ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί.*

Ἰσχυροὺς αὐτοὺς ὀνομάζει, διά τε τὸν πλοῦτον καὶ τὸ πλῆθος καὶ τὴν ἐντεῦθεν ἰσχύν.

4γ Οὔτε ἡ ἀνομία μου οὔτε ἡ ἁμαρτία μου, Κύριε.

Λείπει τὸ, *αἰτία*· οὔτε γὰρ ἠνόμησα, οὔτε ἡμάρτηκα εἰς αὐτοὺς, ἵνα καὶ αἰτίαν ἔχοιεν τῆς κατ' ἐμοῦ μανίας.

Εἰ δὲ καὶ διαφορὰν ἐνταῦθα ζητεῖς, ἀνομίαν μὲν νόει, τὴν μεγάλην πλημμέλειαν, ἁμαρτίαν δὲ, τὴν μικράν.

5α *Ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα.*

Χωρὶς πταίσματος ἐπολιτευσάμην παρ' αὐτοῖς, καὶ διὰ τοῦτο μεγάλα κατώρθωσα· ἢ καὶ χωρὶς ἀνομίας κατώρθωσα ὅσα κατώρθωσα.

Ἁρμόσειε δ' ἂν μάλιστα τῷ Χριστῷ τὸ, *οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου*, καὶ τὰ ἑξῆς, ἀδίκως ἐπιβουλευομένῳ παρὰ τῶν Ἰουδαίων.

5β *Ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἴδε.*

Ἐλθὲ εἰς τὸ συναντῆσαί μοι φεύγοντι, καὶ ἐπιῤῥῶσαι, καὶ ἴδε οἷα πάσχω. Ταῦτα δὲ ἀνθρωποπρεπῶς εἴρηται, καθὼς πολλάκις εἰρήκαμεν· ἀκίνητον γὰρ τὸ θεῖον καὶ παντεπίσκοπον.

6α Καὶ σὺ, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τοῦ Ἰσραὴλ, πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη.

Δυνάμεις λέγει, τὰ ἀγγελικὰ τάγματα· ἢ ὁ Θεὸς τῶν δυνάμεων, ἀντὶ τοῦ, ὁ δυνατὸς ἢ ὁ δυνάμεως χορηγός.

Εἶτα παρακαλεῖ αὐτὸν ἐπισκέψασθαι πάντα τὰ ἔθνη διὰ τοῦ ἐνανθρωπῆσαι, προεγνωκὼς τουτὶ τὸ μυστήριον.

6β Μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Τοὺς ἀνεπιστρόφως ἔχοντας — ὅσοι περὶ τὸν Σαοὺλ, καὶ περὶ τὸν Ἄνναν καὶ Καϊάφαν, καὶ τοὺς δαίμονας — ἵνα σωφρονέστεροι διὰ τοῦ ὑποδείγματος οἱ ἄνθρωποι γένωνται.

7 Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.

Τὸ ἑσπέρας, τὸ ὀψέ ποτε σημαίνει. Προφητεύει δὲ, ὅτι ἔσται καιρὸς, ὅτε τινὲς τῶν Ἰουδαίων ἐπιστρέψουσιν εἰς Ἰερουσαλὴμ ἀπὸ τῆς διασπορᾶς αὐτῶν, καὶ μὴ εὑρόντες ἐν αὐτῇ τροφὰς, διὰ τὸ ἀλλόφυλον τῶν κυριευόντων αὐτῆς, λιμώξουσι σφοδρῶς καὶ οὐδὲ ἐν τῇ Ἰερουσαλὴμ στῆναι συγχωρηθήσονται, ἀλλ' ἀπελαυνόμενοι ὡς ἄγος, κύκλῳ τῆς ποτε πόλεως αὐτῶν αὐλισθήσονται, ὃ μέχρι καὶ νῦν ὁρᾶται γινόμενον.

Εἰς παράδειγμα δὲ τὸν κύνα παρέλαβε, διά τε τὸ λιμώττειν ἄγαν τουτὶ τὸ ζῷον καὶ διὰ τὴν ἀναίδειαν.

8α Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν.

Ἀπόφασιν ἐξενέγκωσι κατὰ τοῦ Χριστοῦ, τὸ Σταυρωθήτω. Mt 27.22

Παρατηρητέον δὲ, ὡς προείπομεν, ὅτι τὸ, *ἰδοὺ*, πλεονάζον παρὰ τῇ διαλέκτῳ Pss 38.6α,
τῶν Ἑβραίων, ὡς ἐπὶ τὸ πλεῖστον περιττὸν τέθειται. 50.8α

8β Καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν.

Ῥομφαίαν καλεῖ, τὸν θανατηφόρον λόγον, ὅς ἐστιν ἡ δηλωθεῖσα ἀπόφασις.

8γ Ὅτι τίς ἤκουσε;

Τοιαῦτα δὲ λέγουσιν, ὅτι ὡς δοκεῖ αὐτοῖς, οὐδεὶς ἤκουσεν, ἐκδικεῖν τὸν ἐπιβουλευόμενον δυνάμενος.

Ἀντὶ γὰρ τοῦ, *τίς*, οὐδεὶς ἐξέδωκεν ὁ Σύμμαχος· οἴονται γὰρ, φησὶν, αὐτὸν ἀβοήθητον.

9α Καὶ σὺ, Κύριε, ἐκγελάσεις αὐτούς.

Τοῦτο, ὅμοιόν ἐστι τῷ, *Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς*, περὶ οὗ ἐν τῷ β′ ψαλμῷ προείρηται. | Ps 2.4

9β Ἐξουδενώσεις πάντα τὰ ἔθνη.

Τὰ μὴ δεχόμενα τὸ κήρυγμα τοῦ Εὐαγγελίου, τὰ πολεμοῦντα τοῖς δούλοις σου. Λέγει δὲ καὶ ἄλλως, τὰ συστήματα τῶν δαιμόνων.

10α Τὸ κράτος μου πρὸς σὲ φυλάξω.

Τοῦτο, περὶ ἑαυτοῦ φασιν εἰπεῖν τὸν Δαυὶδ, ὅτι τὴν ὀφειλομένην μοι βασιλείαν, οὐκ αὐτὸς σφετερίσομαι, ἀνελὼν τὸν Σαοὺλ, ἀλλὰ παρὰ σοὶ ταύτην ἐάσω — τοῦτο γὰρ τὸ, *φυλάξω*, σημαίνει νῦν — δοθησομένην μοι, ὅταν σὺ θελήσῃς.

Τὸ δὲ, *πρὸς σὲ*, ἀντὶ τοῦ, *παρὰ σοί*.

10α[2] ἑαυτοῦ PV : αὐτοῦ MSCBF.

10β Ὅτι σὺ, ὁ Θεὸς, ἀντιλήπτωρ μου εἶ.

Διότι σύ μοι βοηθεῖς, ὁ πάντα δυνάμενος.

11α Ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με.

Ὁ Θεός μου οἷός ἐστι· τὸ ἔλεος αὐτοῦ προλάβῃ τὴν ἐμὴν αἴτησιν· οὕτω ταχύς ἐστιν εἰς βοήθειαν.

11β Ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου.

Λείπει τὸ, ὅσα βούλομαι, ἢ ὅσα εἰκός ἐστι· τοιοῦτον ἦν τὸ, Καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου, ἐν τῷ νγʹ ψαλμῷ κείμενον. Ps 53.9β

12 Μὴ ἀποκτείνῃς αὐτοὺς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου· διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου, καὶ κατάγαγε αὐτοὺς, ὁ ὑπερασπιστής μου, Κύριε.

Ὅρα τοῦ προφήτου τὴν ἀνεξικακίαν, ἣν χρὴ μιμεῖσθαι καὶ ἡμᾶς. Παρακαλεῖ γὰρ μὴ ἀναιρεθῆναι τοὺς ἐχθροὺς αὐτοῦ, ἵνα μὴ προαναιρεθέντες, ἐπιλάθωνται τῶν θείων ἐντολῶν τοῦ λοιποῦ — ὁ γὰρ ἀποθανὼν, ἐπιλανθάνεται ἤδη τοῦ
νόμου, φησὶ γὰρ, Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου — ἀλλὰ Ps 6.6α
διασκορπισθῆναι αὐτοὺς, ἡττηθέντας, καὶ ταπεινωθῆναι, καὶ οὕτω βελτιωθῆναι.

Ὁ μὲν οὖν Δαυὶδ οὕτως ἐζήτησεν, ὁ δὲ Θεὸς ἐδίκασε δικαίως, καὶ τοὺς μὲν ἀνιάτους ἀνεῖλε, τοὺς δὲ βελτιωθῆναι μέλλοντας φυγεῖν παρεσκεύασε, καὶ οὕτως ἐπλήρωσε τοῦ δεηθέντος τὴν αἴτησιν. Κατάγαγε δὲ, ἀντὶ τοῦ, ταπείνωσον.

13α Ἁμαρτία στόματος αὐτῶν, λόγος χειλέων αὐτῶν.

Ἐπὶ τὸν λόγον πάλιν τῶν χριστοκτόνων ἐπανατρέχει, λέγων, ὅτι ἁμαρτία τοῦ
στόματος αὐτῶν ἐστιν ὁ ἀνόσιος λόγος τῶν χειλέων αὐτῶν, ὃν εἶπον, Σταυρωθήτω, Mt 27.23
καὶ εἴ τι τοιοῦτον.

13β Καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν.

Μετὰ τῆς ὑπερηφανίας αὐτῶν ἐξέδωκεν ὁ Σύμμαχος· ἠλαζονεύοντο γὰρ, ὡς
Ἀβραὰμ ἔκγονοι καὶ ὡς τοῦ νόμου φύλακες. Jn 8.33, 19.7

Συλληφθήτωσαν δὲ, ὑπὸ Ῥωμαίων.

13γ Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται ἐν συντελείᾳ.

Ἀρὰν ἐνταῦθα, τὴν βλασφημίαν λέγει, ἣν κατέχεον τοῦ Χριστοῦ· ψεῦδος

δὲ, ὃ κατεμαρτύρησαν αὐτοῦ, ὅτι κελεύει, μὴ δοῦναι κῆνσον τῷ Καίσαρι, καίτοι Lk 23.2
σαφῶς εἰπόντος, Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι. Mt 22.21

Διὰ τὴν βλασφημίαν οὖν, φησὶ, καὶ διὰ τὸ ψεῦδος, διάγγελμα καὶ περιλάλημα πᾶσι γενήσονται, οὐκ ἐπί τινι κατορθώματι, ἀλλ' ἐπὶ καταστροφῇ, καθ' ἣν ἀπώλοντο· ταύτην γὰρ εἶπε, συντέλειαν.

14α Ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσι.

Καὶ οὐκ ἐπὶ συντελείᾳ ἁπλῇ, ἀλλ' ἐπὶ ὀργῇ συντελείας, καὶ λοιπὸν οὐκέτι πολιτευθήσονται.

14β Καὶ γνώσονται ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακὼβ, καὶ τῶν περάτων τῆς γῆς.

Θεὸν ἐνταῦθα, τὸν Χριστόν φησιν.

15 Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.

Τὴν ἄνω ῥηθεῖσαν πρόῤῥησιν ἐπιβεβαιοῖ διὰ τῆς τῶν ῥητῶν ἀναδιπλώσεως. Ps 58.7

16α Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν.

Οἱ περιλειφθέντες αὐτῶν, μὴ ἔχοντες ἰδίαν ἔτι πόλιν, διασπαρήσονται, τροφὴν ἑαυτοῖς ζητοῦντες, ὡς προσαῖται.

16β Ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσι.

Διασύρει αὐτοὺς, | ὡς τὸν προγονικὸν γογγυσμὸν μηδ' ἐν τῇ διασπορᾷ Ex 16.7-9
καταλιπόντας· γογγύσουσι γὰρ καὶ τότε κατὰ τοῦ Θεοῦ.

17α Ἐγὼ δὲ ᾄσομαι τὴν δύναμίν σου.

Ἄισομαι, ἀντὶ τοῦ, ὑμνήσω ἐν ᾠδῇ.

17β Καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου.

Καὶ ἀγαλλιάσομαι τῷ ἐλέει σου, ἢ εἰς τὸ ἔλεός σου, τὸ πρωῒ, ἤτοι ταχέως· οὐκ εἰς μακρὰν γὰρ ἐλεηθήσομαι.

Τὸ δὲ, ἀγαλλιάσομαι, ἀδιάφορον τὴν σύνταξιν ἔσχεν.

17γ- Ὅτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου ἐν ἡμέρᾳ θλίψεώς μου. Βοηθός
18 μου εἶ· σοὶ ψαλῶ, ὅτι, ὁ Θεὸς, ἀντιλήπτωρ μου εἶ, ὁ Θεός μου, τὸ ἔλεός μου.

Ταῦτα πάντα σαφῆ· εὐχαριστεῖ γὰρ τῷ εὐεργέτῃ Θεῷ.

59 νθ΄

1 Εἰς τὸ τέλος· τοῖς ἀλλοιωθησομένοις·
εἰς στηλογραφίαν τῷ Δαυίδ· εἰς διδαχήν·
2 ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σοβὰλ,
καὶ ἐπάταξε τὴν φάραγγα τῶν ἁλῶν, δώδεκα χιλιάδας.

Εἰς τὸ τέλος μὲν, ὅτι παρεγγυᾷ βλέπειν εἰς τὸ τέλος τῶν ἐμπεριεχομένων προῤῥήσεων· προαγορεύει γὰρ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον τῶν ὕστερον αἰχμαλωτισθέντων Ἰουδαίων καὶ τὴν τῆς Ἱερουσαλὴμ ἐπανόρθωσιν.

Τοῖς ἀλλοιωθησομένοις δὲ τοῦτο παρεγγυᾷ, τουτέστι, τοῖς ἐκ δουλείας εἰς ἐλευθερίαν ἐπανελευσομένοις.

Καὶ εἰς στηλογραφίαν μὲν, ἤγουν ἀνεξάλειπτον καὶ πᾶσι γνώριμον μνήμην τῆς τοιαύτης εὐεργεσίας τοῦ Θεοῦ, συνεγράφη τῷ Δαυίδ.

Εἰς διδαχὴν δὲ εὐχαριστίας ἢ ὑπομονῆς.

Τὸ δ᾽ ἑξῆς, διδάσκει καὶ τὸν καιρὸν, ὅτε ταῦτα ἐνηχηθεὶς ὑπὸ τοῦ ἁγίου Πνεύματος συνέγραψεν.

Ἐν οὐδεμιᾷ δὲ ἱστορίᾳ τὰ περὶ τῆς Μεσοποταμίας Συρίας, καὶ τῆς Συρίας Σοβὰλ, καὶ τῆς Φάραγγος τῶν ἁλῶν, φανερῶς εὕρηνται, εἰ μὴ ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν τινα τούτων ἀμυδρῶς. 2Rg 8/10

Εἰκὸς δὲ πραχθῆναι καὶ ταῦτα καὶ παραλειφθῆναι μετὰ καὶ ἄλλων πολλῶν· τόπος δὲ ἡ φάραγξ τῶν ἁλῶν· διὰ δὲ τῆς κλήσεως τοῦ τόπου, τοὺς κατοικοῦντας αὐτὸν ἐδήλωσεν ἡ ἐπιγραφὴ, προσθεῖσα καὶ τὸν ἀριθμὸν τῶν ἀνῃρημένων.

Ὁ δέ γε μέγας Βασίλειος, ἀλλοιωθησομένους, τοὺς Χριστιανοὺς μάλιστα λέγει, διά τε τὴν ἀπὸ τοῦ βαπτίσματος μεταποίησιν καὶ τὴν ἐκ δουλείας τῶν δαιμόνων ἐλευθερίαν, περὶ ὧν ὕστερον ἐροῦμεν. PG29.464B

Νῦν δὲ τοῖς ἐν Βαβυλῶνι αἰχμαλώτοις ἀναθετέον τὸν ψαλμόν.

3α Ὁ Θεὸς, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς.

Ἀπώσω μὲν, ὡς παροργίσαντάς σε· καθεῖλες δὲ, παραδοὺς εἰς πολιορκίαν τοῖς Βαβυλωνίοις. Καθηρέθησαν γὰρ καὶ τῆς βασιλείας καὶ τῆς δυνάμεως.

3β Ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς.

Ὠργίσθης ἐφ᾽ οἷς ἡμαρτάνομεν, καὶ ᾠκτείρησας τέως ἡμᾶς, οἷα μὴ εὐθὺς τοῖς ἄλλοις συναπωλέσας, ἀλλὰ θελήσας διὰ τὸ δουλεύειν τοῖς Βαβυλωνίοις σωφρονισθῆναι ἡμᾶς.

4α Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν.

Σεισμὸν καὶ τάραχον τῆς γῆς τῶν Ἰουδαίων λέγει, τὴν καταστροφὴν τῶν ἐν αὐτῇ πόλεων, καὶ τὴν λεηλασίαν καὶ τὴν σύγχυσιν τῶν ἀνθρώπων.

4β Ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.

Σεισμὸν εἰπὼν, ἀκολούθως ἐπήγαγε, καὶ συντρίμματα καὶ σάλευσιν· ἔργα ταῦτα σεισμοῦ· αἰνίττεται δὲ τὴν πτῶσιν τῆς Ἰερουσαλὴμ.

5α Ἔδειξας τῷ λαῷ σου σκληρά.

Σκληρὰ νόει, τὰ ἐπίπονα, τά τε τῆς πολιορκίας καὶ τὰ τῆς αἰχμαλωσίας καὶ τὰ τῆς δουλείας.

5β Ἐπότισας ἡμᾶς | οἶνον κατανύξεως.

Οἶνον κατανύξεως φησὶ, τὰς θλίψεις, τὰς φερούσας κατάνυξιν καὶ μεταμέλειαν, ὧν ἡμαρτήκεσαν τῷ Θεῷ.

6 Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.

Οἱ διαφυγόντες, φησὶ, τὴν ἀναίρεσιν, σημεῖον εἶχον ζωῆς, παρὰ σοῦ ἐνσημανθὲν αὐτοῖς ἀφανῶς, ὡς δούλοις σου. Καὶ διὰ τοῦτο, συμβολῆς περὶ τὰ τείχη τῆς Ἰερουσαλὴμ γενομένης, οὐκ ἀνῃρέθησαν, ἀλλ' ἐζωγρήθησαν.

Περὶ τούτου δὲ τοῦ σημείου, προεῖπε καὶ Ἰεζεκιὴλ, *Ἀποκτείνατε εἰς ἐξάλειψιν, ἐπὶ δὲ πάντας ἐφ' οὕς ἐστι τὸ σημεῖον ἐπὶ τῶν μετώπων, μὴ ἐγγίσητε.* Ez 9.6

Πρόσωπον δὲ τόξου, τὸ βέλος, ὡς προβεβλημένον αὐτοῦ· ἢ κατὰ περίφρασιν, αὐτὸ τὸ τόξον. Διὰ δὲ τοῦ τόξου, πᾶν ὅπλον δεδήλωται, ὡς ἀπὸ μέρους τὸ ὅλον.

7α Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου.

Τοῦτο, αἰτία τῆς σημειώσεως.

7β Σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.

Δεξιὰ νῦν, ἡ δύναμις. Ἐπάκουσον δὲ ἐμοῦ, τοῦ ἐν αἰχμαλωσίᾳ λαοῦ.

8α Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ.

Τὰ μὲν ἄλλα, προσώπῳ τῶν αἰχμαλώτων εἴρηκεν ὁ Δαυίδ· τοῦτο δὲ τὸ ῥητὸν, οἴκοθεν προάγει, ἅγιον μὲν λέγων ἢ ἑαυτὸν, ὡς ἀφωσιωμένον τῷ Θεῷ, ἢ τὸ θεῖον Πνεῦμα, διδάσκων δὲ, ὅτι ὁ Θεὸς ἐλάλησεν αὐτῷ καὶ ἃ ἐρεῖ. Τίνα δέ εἰσιν, ἄκουσον.

8β Ἀγαλλιάσομαι.

Τῇ εὐαρεστήσει δηλαδὴ τῶν αἰχμαλωτισθέντων.

8γ Καὶ διαμεριῶ Σίκιμα.

Σίκιμα, πόλις τῆς φυλῆς Ἐφραίμ· ταύτην οὖν, φησὶν, ἀπὸ τῶν κατεχόντων Gen 48.22
ἐχθρῶν ἀναῤῥύσομαι, καὶ διαμεριῶ τῷ λαῷ μου εἰς κατοικίαν. 3Rg 12.25

8δ Καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

Καὶ ἡ κοιλὰς τῶν σκηνῶν, χωρίον ἦν, πρὸ τῶν Σικίμων κείμενον, ὃ καὶ αὐτὸ Gen 33.17
μέτρῳ διανεῖμαι τοῖς αἰχμαλώτοις ὑπισχνεῖται. Διὰ δὲ τούτων τῶν τόπων, καὶ τὴν σύμπασαν Ἰουδαίαν, ὡς ἐκ μέρους τὸ πᾶν, ἐδήλωσεν.

9α Ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι Μανασσῆς.

Ἀπὸ τοῦ ἀπογόνου ἐπὶ τὸν πρόγονον ἀνῆλθε· πρόγονος γὰρ ὁ Μανασσῆς τοῦ Gen 46.20
Γαλαάδ· διὰ δὲ τοῦ Μανασσῆ, τὴν φυλὴν αὐτοῦ δηλοῖ· καὶ διὰ τῶν ἄλλων ὀνομάτων, τὰς ἄλλας φυλὰς, τὰς ἐπισημοτέρας, αἷς καὶ αἱ λοιπαὶ συμπεριλαμβάνονται. Λέγει δὲ, ὅτι ἐμός ἐστι νῦν, καὶ εἰ ἀπωσάμην αὐτὸν, ὅτε με παρώργισε.

9β Καὶ Ἐφραὶμ, κραταίωσις τῆς κεφαλῆς μου.

Κεφαλὴν ἐνταῦθα, τὴν ἀρχὴν ὀνομάζει· οὕτω γὰρ ὁ Σύμμαχος ἐξέδωκε. Φησὶν οὖν, ὅτι κραταιὸν μέρος τῆς Ἑβραίων βασιλείας ἔσονται οἱ ἀπὸ γένους Ἐφραίμ.

Διὰ δὲ τῆς μοῦ ἀντωνυμίας, οἰκειοῦται τὴν βασιλείαν αὐτῶν ὁ Θεὸς, ὡς ἰδίου λαοῦ, θαῤῥύνων αὐτούς.

9γ Ἰούδας βασιλεύς μου.

Καὶ ἀπὸ τῆς Ἰούδα φυλῆς ἔσται ὁ βασιλεὺς αὐτῶν· ὁ Ζοροβάβελ γὰρ μετὰ
τὴν αἰχμαλωσίαν ἐβασίλευσεν αὐτῶν, ἐκ τῆς τοιαύτης φυλῆς καταγόμενος. 1Par 3.19
Κἀνταῦθα δὲ τὸ, μοῦ, οἰκείωσιν ἐμφαίνει τῆς τοιαύτης βασιλείας.

10α Μωὰβ λέβης τῆς ἐλπίδος μου.

Ὑπηρετικόν ἐστι σκεῦος ὁ λέβης· αἰνίττεται δὲ, ὅτι τὸ Μωαβιτῶν ἔθνος ὑποταγήσεται αὐτοῖς, καὶ ὑπηρετοῦν ἔσται.

Τῆς ἐλπίδος μου δὲ, ἀντὶ τοῦ, τῶν ἐλπιζόντων εἰς ἐμέ· ἢ ἐν οἷς ἐλπίζω, ὅτι ἐμοὶ ἔσονται.

9β[4] ἰδίου MSCBF : οἰκείου P. 9γ[2] ὁ βασιλεὺς αὐτῶν MSCBFV : βασιλεὺς αὐτοῖς P.

10β Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου.

Ὑπόδημα, τὴν πορείαν λέγει, τουτέστι, καὶ ταύτην ὑποτάξω τῷ λαῷ μου, *συνεκστρατεύσας αὐτῷ.*

10γ Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

Οἵ τε ῥηθέντες Μωαβῖται καὶ Ἰδουμαῖοι, καὶ οἱ πέριξ. Τὸ δὲ ὑπετάγησαν, κατὰ προφητικὸν ἰδίωμα εἴρηται, διὰ τὸ μέλλον. |

11α Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;

Προσώπῳ τῶν αἰχμαλώτων ὁ λόγος· πόλις δὲ περιοχῆς, ἡ Ἰερουσαλὴμ ἐκαλεῖτο, διὰ τὸ εὐτείχιστον αὐτῆς καὶ ὠχυρωμένον.

Ὑπὸ περιχαρείας δὲ τοῦτο λέγουσιν, ὅτι καὶ ἐν ἀφύκτῳ κατείχοντο παρὰ τῇ αἰχμαλωσίᾳ.

11β Ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

Ὡς μὴ μόνον τὴν πατρίδα ἀπολαβεῖν, ἀλλὰ καὶ τοὺς πέριξ ἐχθροὺς δουλώσασθαι.

12α Οὐχὶ σὺ, ὁ Θεὸς, ὁ ἀπωσάμενος ἡμᾶς;

Τοῦτο κατ' ἐρώτησιν ἀναγνωστέον· ὁμοίως δὲ καὶ τὸ ἑξῆς ῥητόν· ἐρωτῶσι δὲ, ὡς οὐδαμόθεν ἄλλοθεν προσδοκῶντες τοιαύτης σωτηρίας τυχεῖν.

12β Καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεὸς, ἐν ταῖς δυνάμεσιν ἡμῶν;

Τοῦτο τὸ ῥητὸν κεῖται καὶ ἐν τῷ μγʹ ψαλμῷ, καὶ ἐν ἐκείνῳ εὑρήσεις τὴν ἐξήγησιν. Ps 43.10β

13 Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου.

Περιττὸς ὁ *καί* σύνδεσμος ἐνταῦθα· ὁ γὰρ Σύμμαχος οὕτως ἐξέδωκε· *Σὺ δὸς ἡμῖν βοήθειαν· ματαία γὰρ ἡ παρὰ ἀνθρώπου σωτηρία.*

14 Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

Τὸ, *ποιήσομεν*, ἀντὶ τοῦ, *κτησόμεθα*· ἐν ἑαυτοῖς γὰρ ἀσθενοῦμεν.

10β Add. [MF in marg.]: Τοῦ Μεγάλου Βασιλείου ἐκ τῆς ἑρμηνείας τοῦ τοιούτου νθʹ Ψαλμοῦ [PG29.468]· Πάντες ἀλλόφυλοι ὑπετάγησαν, τῷ ζυγῷ τοῦ Χριστοῦ ὑποκύψαντες· διὰ τοῦτο ἐπιβάλλει τὸ ὑπόδημα αὐτοῦ ἐπὶ τὴν Ἰδουμαίαν. Ὑπόδημα δὲ τῆς θεότητος, ἡ σὰρξ ἡ θεοφόρος, δι' ἧς ἐπέβη τοῖς ἀνθρώποις. Ἀντὶ γὰρ τοῦ ἐκτενῶ, ἐπιβαλῶ κεῖται ἐν τῷ ρζʹ ψαλμῷ. .
14[1] ποιήσομεν MSCBF[TRa] : ποιήσωμεν P [Hol iii.288]. 14[2] ποιήσομεν... κτησόμεθα MSCBF : ποιήσωμεν... κτησώμεθα P.

Ἀλλ’ οὕτω μὲν, περὶ τῶν κατὰ τὸν Ζοροβάβελ αἰχμαλώτων. Προσαρμοστέον δὲ τὸν ψαλμὸν καὶ τοῖς πρὶν οὖσιν ἐν αἰχμαλωσίᾳ τῶν δαιμόνων Χριστιανοῖς.

[3] Ὁ Θεὸς, ἀπώσω ἡμᾶς, πρὸ τῆς πίστεως, καὶ καθεῖλες ἡμᾶς, παραχωρήσας φθείρεσθαι πολέμοις καὶ ἀλληλοφονίαις καὶ τοιούτοις κακοῖς. Καὶ ὠργίσθης μὲν, ὅτι σὲ τὸν πλάστην ἠγνοήσαμεν· ᾠκτείρησας δὲ ἡμᾶς, ὅτι παρὰ τῶν δαιμόνων ἠπατήθημεν.

[4] Συνέσεισας δὲ τὴν γῆν καὶ συνετάραξας αὐτὴν, ὅτε ἐπὶ γῆς πολιτευόμενος, ἐδίδασκες. Τότε γὰρ ἡ φήμη τῶν ἔργων καὶ λόγων σου πάντας τοὺς ἐπὶ γῆς διεθορύβησεν. Ἴασαι οὖν τὰς κακώσεις αὐτῶν, ὅτι παρετράπησαν τοῦ δέοντος.

[5] Ἔδειξας ἡμῖν, διὰ τοῦ Εὐαγγελίου, σκληρὰς ὁδοὺς, τὴν στενὴν λέγω
καὶ τεθλιμμένην. Ἐπότισας ἡμᾶς οἶνον κατανύξεως, τὸ κήρυγμα, οἶνον μὲν Mt 7.14
λεγόμενον, διὰ τὸ εὐφραίνειν, κατανύξεως δὲ, διὰ τὸ φέρειν εἰς μετάνοιαν τῶν ἡμαρτημένων.

[6] Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τὴν σφραγῖδα τοῦ ἁγίου βαπτίσματος, καὶ τὸν τύπον τοῦ ζωηφόρου σταυροῦ, ὥστε δι’ αὐτοῦ, φυγεῖν ἀπὸ τοῦ ποικίλου τόξου τῶν δαιμόνων, καὶ τὰ ἑξῆς.

[8] Ἔτι δὲ, τὸ, Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, καθὼς προηρμήνευται νοήσεις, πλὴν ὅτι, Θεὸν, τὸν Χριστὸν ἐκδέξῃ· ὁμοίως δὲ καὶ τὸ, ἀγαλλιάσομαι.

Διαμεριῶ δὲ τὰ Σίκιμα τῶν Ἑβραίων τῷ ἐμῷ λαῷ, τοῖς Χριστιανοῖς, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω αὐτοῖς· πάντα γὰρ ὕστερον οἱ Χριστιανοὶ κατέσχον καὶ ἐκκλησίας ἐν τοῖς χωρίοις πᾶσι τούτοις ἐπήξαντο.

[9] Τὸ δὲ, Ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ τὰ ἑξῆς, ὁ Χριστός φησι, διδάσκων, ὅτι συγγενὴς αὐτῶν ἐστι κατὰ τὸ ἀνθρώπινον. Καὶ οἰκειοῦται αὐτοὺς διὰ τὴν αἰτίαν ταύτην. Ἢ καὶ ἄλλως, ἰδιοποιεῖται τοὺς Ἰσραηλίτας διὰ τοὺς ἐξ αὐτῶν πιστεύσοντας.

[10] Ὑπόδημα δὲ τῆς αὐτοῦ θεότητος, ἡ θεοφόρος σὰρξ, δι’ ἧς ἐπεδήμει τοῖς κατὰ χώραν ἀνθρώποις καὶ τοῖς ἀλλοφύλοις, ὑποτάσσων αὐτοὺς καὶ εἰς πίστιν ἄγων.

[11] Εἶτα ὁ προφήτης ἐπιθυμήσας ἰδεῖν καὶ αἰσθητῶς ἃ εἶδε τῷ πνεύματι, φησὶ,
Τίς ἀπάξει με εἰς τὴν Ἐκκλησίαν τῶν πιστῶν, τὴν πολιτευομένην μὲν τοῖς νόμοις
τοῦ Εὐαγγελίου, τετειχισμένην δὲ τῷ αἵματι τοῦ Χριστοῦ καὶ τῷ βαπτίσματι καὶ
τῷ σταυρῷ, ἢ τοῖς ἀγγέλοις καὶ τοῖς διδασκάλοις, ἢ καὶ τὴν περιέχουσαν ἐν ἑαυτῇ
[12] πᾶσαν ἀρετήν; καὶ τίς ὁδηγήσει με καὶ ἀπαγάγῃ εἰς τὴν γῆν τῶν ἀπίστων, ἵνα
ἴδω αὐτὴν πιστεύουσαν; Οὐχὶ σὺ, ὁ Θεὸς, ὁ ἀπωσάμενος ἡμᾶς; εἴτουν ὁ τοὺς | ἐξ
ἐμοῦ καταγομένους χριστοκτόνους Ἰουδαίους ἀποβαλών.

Τὰ δὲ ἑξῆς, προσώπῳ τῶν πιστῶν, πλὴν ὡς προαποδέδοται.

60 ξʹ

1 Εἰς τὸ τέλος· ἐν ὕμνοις· ψαλμὸς τῷ Δαυίδ.

Εἰς τὸ τέλος καὶ ὁ παρὼν ψαλμὸς παρεγγυᾷ βλέπειν τῆς ἐν τούτῳ προφητείας. Εἴρηται γὰρ καὶ οὗτος προσώπῳ τοῦ ἐν Βαβυλῶνι αἰχμαλώτου λαοῦ. Προαγορεύει

[3][3] πλάστην MSBF : πλάστην ὑμῶν PCV. [9][4] πιστεύσοντας MSF : πιστεύσαντας PBV : πιστεύοντας C. [12][2] πιστεύουσαν MSCF : πιστεύσασαν PBV.

δὲ τὴν ἐπάνοδον. *Παροικήσω* γὰρ, φησὶν, *ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας.* Ps 60.5α
Διὸ καὶ ἀκολούθως τῷ προλαβόντι τέτακται.

Ἁρμόζει δὲ καὶ τῷ λαῷ τῶν Χριστιανῶν, ὁμοίως ἐκείνῳ.

Ἐν ὕμνοις δὲ ἐπιγέγραπται, ὅτι ὑμνεῖ τὸν εὐεργέτην, ἐν οἷς διηγεῖται τὰς εὐεργεσίας αὐτοῦ. Παρατηρητέον δὲ, ὅτι ἔνθα μὲν ἐπιγέγραπται τὸ, *ἐν ὕμνοις* μόνον, ἀπὸ στόματος ἐκεῖνος ὁ ὕμνος ᾔδετο, χωρὶς ὀργανικῆς μελῳδίας, ἔνθα δὲ τὸ, *ἐν ὕμνοις ψαλμὸς*, μετ' ὀργάνου τινὸς οὗτος ἐμελῳδεῖτο.

2 *Εἰσάκουσον, ὁ Θεὸς, τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου.*

Περὶ τοῦ, *εἰσάκουσον*, καὶ, *πρόσχες*, εἴρηται ἐν τῷ ιϛʹ ψαλμῷ. Ps 16.1

3α *Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.*

Πέρατα τῆς γῆς ἱστορικῶς λέγει, τὴν Βαβυλῶνα, διὰ τὸ ἐσχάτην αὐτὴν κεῖσθαι τῆς ἡμερωτέρας οἰκουμένης.

Εἶεν δ' ἂν ἔσχατα γῆς ἀναγωγικῶς, αἱ μακρύνουσαι ἀπὸ τοῦ Θεοῦ γήϊνοι φροντίδες.

3β *Ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με.*

Πέτραν ὀνομάζει, τὴν πρὸς αὐτὸν ἐλπίδα, διά τε τὸ στεῤῥὸν καὶ ἀσφαλὲς, καὶ διὰ τὸ ὑψηλὸν καὶ μετεωρίζον αὐτῆς. Ὁσάκις, φησὶν, ἠκηδίασα, ἀποκαμὼν ταῖς θλίψεσιν, ἀνῆγές με ἐπὶ τὴν εἰς σὲ ἐλπίδα, ὡς εἰς πέτραν τινά.

4α *Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου.*

Ὡδήγησάς με πάλαι ἐπὶ τὰ καλά. Καὶ γὰρ σὲ μόνον ἔσχον ἐλπίδα σωτηρίας.

4β *Πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.*

Ἀπὸ κοινοῦ ληπτέον τὸ, *ἐγενήθης*. Πύργος δὲ ἰσχύος, ἀντὶ τοῦ, πύργος ἰσχυρός· ἐνώπιον ἐχθροῦ, ὥστε κωλύειν αὐτόν.

5α *Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας.*

Τοῦτο, προφητεία περὶ τῆς ἐπανόδου καὶ ἀποκαταστάσεως. Σκήνωμα δὲ τοῦ Θεοῦ λέγει, τὸν θεῖον ναὸν, ὡς πολλάκις εἰρήκαμεν. Εἰς τοὺς αἰῶνας δὲ, ἀντὶ τοῦ, διαπαντός.

Ἐφ' ἡμᾶς δὲ ἡ πρόῤῥησις αὕτη μετέπεσε διὰ τὴν δυστροπίαν τῶν Ἰουδαίων. Ἐκεῖνοι γὰρ ὑπὸ Ῥωμαίων ἀφανισθέντες, οὐκ ἔτι τῷ ναῷ παρῴκησαν, καὶ αὐτῷ

ῥιζόθεν καταστραφέντι. Ὁ Χριστιανικὸς δὲ λαὸς ἀεὶ τῷ κατὰ τόπον ἕκαστον παροικεῖ ναῷ τοῦ Θεοῦ. Πανταχοῦ γὰρ θεῖοι ναοὶ καθίδρυνται.

5β Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

Τοῦτο ἔοικε τῷ, *Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με*, περὶ οὗ εἰρήκαμεν ἐν τῷ ις′ ψαλμῷ. Ps 16.8β

6α Ὅτι σὺ, ὁ Θεὸς, εἰσήκουσας τῶν εὐχῶν μου.

Ὅτε δηλαδὴ ἐπεκαλεσάμην σε.

6β Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.

Κληρονομίαν ἱστορικῶς μὲν λέγει, τὴν κάτω Ἰερουσαλὴμ, ἀναγωγικῶς δὲ, τὴν ἄνω. *Δεῦτε γὰρ*, φησὶν, *οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν.* Mt 25.34

7α Ἡμέρας ἐφ᾽ ἡμέρας τοῦ βασιλέως προσθήσεις.

Ἡμέρας περισσὰς προσθήσεις ἐπὶ τὰς ἡμέρας τῆς ζωῆς τοῦ βασιλέως Ζοροβάβελ, διὰ τὴν θεοφίλειαν αὐτοῦ καὶ τὴν σύνεσιν.

Τὰ δὲ ἑξῆς, οὐχ ἁρμόζουσι Ζοροβάβελ, ἀλλὰ τῷ νέῳ Ζοροβάβελ κατὰ σάρκα Χριστῷ· ἐπεὶ καὶ Ζοροβάβελ τύπος ἐγένετο τοῦ Χριστοῦ. Ὥσπερ γὰρ ἐκεῖνος τὴν ἀπὸ Βαβυλῶνος αἰχμαλωσίαν εἰς τὴν πατρῴαν ἐπανήγαγε γῆν, οὕτω καὶ ὁ Χριστὸς Esdr 2.2
τὴν ἀπὸ τῆς πλάνης τῶν εἰδώλων αἰχμαλωσίαν εἰς τὸν | οὐρανὸν ἐπανήγαγεν, ὅπου ἦν αὐτῶν ἡ πατρίς. Ἄνωθεν γὰρ τοῖς ἀνθρώποις ἡ ψυχὴ δεδώρηται.

7β Τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.

Ἔσονται, φησὶ, τὰ ἔτη αὐτοῦ, ἕως τῆς τελευταίας ἡμέρας τῶν δύο γενεῶν, τοῦ τε παλαιοῦ λαοῦ καὶ τοῦ νέου, τουτέστιν, ἕως τῆς συντελείας. Ἄχρι γὰρ τότε ἐκταθήσεται αὕτη κἀκείνη ἡ γενεά.

8α Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ.

Τοῦτο, σαφηνισμὸς τοῦ προλαβόντος στίχου· ἐκ πάντων δὲ τῶν ἀπ᾽ αἰῶνος βασιλέων, μόνος ὁ Χριστὸς ζῇ ἐνώπιον τοῦ Θεοῦ. Εἰ γὰρ καὶ ἀπέθανεν, ἀλλ᾽ ἀνέστη μετὰ τρεῖς ἡμέρας, *καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ.* Heb 10.12

8β Ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει;

7α[2] τὰς ἡμέρας MSCBF: ταῖς ἡμέραις PV.

Τίς κατανοήσει; Ὄντως οὐδείς· πέλαγος γάρ ἐστιν ἐλέους, καὶ αὐτοαλήθεια. Προείρηται δὲ περὶ τοῦ ἐλέους καὶ τῆς ἀληθείας καὶ ἐν τῷ νς΄ ψαλμῷ. Ps 56.4γ

9α Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας.

Οὕτως ὥσπερ νῦν ψάλλων σοι, ὑμνήσω σε διαπαντός.

9β Τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

Ὥστε ἀποδοῦναί μέ σοι τὰς ὑποσχέσεις μου, καθ' ἡμέραν ἐξ ἡμέρας, εἴτουν ἐν διαδοχῇ ἡμερῶν. Ὑπέσχετο γὰρ πολλάκις ἐν τοῖς προλαβοῦσι ψαλμοῖς ἀεὶ ὑμνεῖν τὸν Θεόν.

61 ξα΄

1 Εἰς τὸ τέλος· ὑπὲρ Ἰδιθούμ· ψαλμὸς τῷ Δαυίδ.

Εἰς τὸ τέλος μὲν, διὰ τὸ τέλος τῆς ἐν τούτῳ προφητείας· προαγορεύει γὰρ τὴν τῶν Μακκαβαίων ὑπὲρ τῆς εὐσεβείας ἔνστασιν. Τὸ δὲ, ὑπὲρ Ἰδιθοὺμ, ἀντὶ τοῦ, παρὰ Ἰδιθούμ· παρ' αὐτοῦ γὰρ ἐμελῳδήθη. Χοράρχης γὰρ ἦν ὁ Ἰδιθοὺμ, ὡς ἐν τῷ προοιμίῳ τῆς βίβλου τῶν ψαλμῶν παραδεδώκαμεν. Ἔστι δὲ ὁ ψαλμὸς οὗτος § 50
προτροπή τις εἰς ὑπομονὴν καὶ εἰς ἐλπίδα τὴν εἰς Θεόν.

2 Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ' αὐτῷ γὰρ τὸ σωτήριόν μου.

Προσώπῳ τοῦ συστήματος τῶν εὐσεβῶν Μακκαβαίων ταῦτα εἴρηται πρὸς τοὺς τυραννοῦντας ἐχθροὺς, πειρωμένους ἀποστῆσαι τούτους τῶν νόμων τοῦ Θεοῦ καὶ τῶν πατρίων ἐθῶν. Ἁρμόζουσι δὲ καὶ πᾶσι τοῖς μιμουμένοις τὴν ὑπὲρ ἀρετῆς ἔνστασιν αὐτῶν.

Κατ' ἐρώτησιν δὲ ὁ λόγος, ὅτι οὐχὶ πεισθήσομαι μᾶλλον τῷ Θεῷ, κελεύοντι μὴ ἀποστῆναι τῶν νόμων αὐτοῦ; Ναὶ, παρ' αὐτῷ γὰρ κεῖται ἡ σωτηρία μου.

3 Καὶ γὰρ αὐτὸς Θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον.

Οὐ μὴ φοβηθῶ ἔτι, εἰ καὶ πρὸ τοῦ ἐμπεσεῖν τοῖς πειρασμοῖς ἀνθρωπίνως ἐφοβήθην· σάλον γὰρ νῦν, τὴν δειλίαν ἐκάλεσεν.

4 Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; φονεύετε πάντες ὑμεῖς, ὡς τοίχῳ κεκλιμένῳ, καὶ φραγμῷ ὠσμένῳ;

Ἕως πότε ἐπεμβαίνετε ἐπ' ἄνθρωπον ἀσθενῆ, ὡς ἐπεμβαίνει τις τοίχῳ

[8β][1] αὐτοαλήθεια MSCBF : αὐτοαλήθεια λέγεται P.

κεκλιμένῳ εἰς πτῶσιν καὶ φραγμῷ ἐκτετιναγμένῳ, ἵνα τέλεον καταστραφῶσι; Τὸ δὲ, ἕως πότε, δηλοῖ ὅτι πολλάκις ἐπέθεντο. Εἶτα τὸ ἐν μέσῳ, ἀπὸ κοινοῦ λαμβανομένου τοῦ, ἕως πότε, οἷον, ἕως πότε φονεύετε πάντες ὑμεῖς;

Ἀσθένειαν δὲ ὁμολογοῦσιν, ὡς ἡμαρτηκότες εἰς Θεὸν, καὶ διὰ τοῦτο πολλὰ παθόντες, καὶ προκατεργασθέντες.

5α Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι.

Οἱ ἐχθροὶ, φησὶν, οὗτοι, ἐμελέτησαν ἀπ' ἐμοῦ ῥῖψαι τὴν δουλείαν τοῦ Θεοῦ, καὶ γυμνῶσαι με ταύτης, ἥτις ἐστὶν ἐμοὶ τιμὴ, διὰ ταύτην δοξαζομένῳ. Εἰ γὰρ τὸ δουλεύειν βασιλεῖ, τιμὴ τῷ δούλῳ, πολλῷ μᾶλλον τὸ δουλεύειν Θεῷ. |

5β Ἔδραμον ἐν δίψῃ.

Οὐχ ἁπλῶς ἐπεχείρησαν, ἀλλ' ἔσπευσαν ἐν ἐπιθυμίᾳ πολλῇ· τοῦτο γὰρ δίψαν ὠνόμασε. Πάντα γὰρ τρόπον ἐκίνησαν οἱ περὶ τὸν Ἀντίοχον, ἵνα πείσωσιν αὐτοὺς ἀθετῆσαι τὸν Θεὸν, ὡς εὕρωμεν ἐν τοῖς Μακκαβαϊκοῖς λόγοις. 2Macc 6.1-2

5γ Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.

Τῷ στόματι μὲν εὐφήμουν με, κολακεύοντες, τῇ δὲ καρδίᾳ, ὕβριζον ὡς ἐχθρὸν, διὰ τὸ διάφορον τῆς πίστεως· καὶ τῷ φαινομένῳ μὲν, συνεβούλευον ὡς φίλοι, τῷ κεκρυμμένῳ δὲ, ἠπάτων ὡς ἔχθιστοι.

6 Πλὴν τῷ Θεῷ ὑποτάγηθι, ἡ ψυχή μου, ὅτι παρ' αὐτῷ ἡ ὑπομονή μου.

Παρ' αὐτῷ ἐστιν ἡ ὑπομονή μου, καὶ αὐτός μοι δίδωσι τὴν ἐν ταῖς θλίψεσι καρτερίαν. Ταῦτα δὲ συνεβούλευον ἑαυτοῖς, εἰς εὐψυχίαν ἀλείφοντες.

7 Ὅτι αὐτὸς Θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ μεταναστεύσω.

Οὐ μὴ μεταναστεύσω ἀπὸ τῆς δουλείας τοῦ Θεοῦ πρὸς τὴν τοῦ βασιλέως Ἀντιόχου.

8α Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου.

Ἐπὶ τῷ Θεῷ κεῖται καὶ τὸ σῴζεσθαί με καὶ τὸ δοξάζεσθαι, καὶ οὐκ ἐπ' ἀνθρώπῳ.

Ἢ ἐν τῷ Θεῷ ἔχω καὶ τὴν σωτηρίαν καὶ τὴν δόξαν, καὶ οὐκ ἐν οἱῳδήτινι ἄλλῳ πράγματι.

5β[4] ὡς εὕρωμεν MSF : ὥς φησιν Ἰώσηπος PCBV.

8β Ὁ Θεὸς τῆς βοηθείας μου.

Ὦ ὁ Θεὸς, ὁ βοηθός μου· καλοῦσι γὰρ αὐτὸν ὑφ' ἡδονῆς τῶν περὶ αὐτοῦ λόγων.

8γ Καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ.

Τὰ αὐτὰ λέγουσιν, ἐνηδόμενοί τε καὶ παῤῥησιαζόμενοι. Εἶτα καὶ τοὺς ἄλλους ἐγείρουσιν εἰς τὸν ὅμοιον ζῆλον, ἐν τῷ λέγειν·

9 Ἐλπίσατε ἐπ' αὐτὸν, πᾶσα συναγωγὴ λαῶν· ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, ὅτι ὁ Θεὸς βοηθὸς ὑμῶν.

Καρδίας ἐνταῦθα λέγει, τὰς δεήσεις· Ἐκχεῶ γὰρ, φησὶν, ἐνώπιον αὐτοῦ τὴν δέησίν μου· ἡ γὰρ εἰλικρινὴς δέησις ἐκ μέσης καρδίας εἴωθεν ἀναπέμπεσθαι. Ps 141.3
Ἐκχέατε δὲ εἶπεν, ὅτι ῥεῖ ὁ λόγος ἀπὸ τοῦ στόματος.

Καὶ ἄλλως δὲ, κενώσατε ἐνώπιον αὐτοῦ τὰ τῆς καρδίας κρυπτὰ πάθη δι' ἐξομολογήσεως.

10α Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων.

Τὸ, πλὴν, ἄνω μὲν περιττὸν κεῖται, ἐνταῦθα δὲ, τὸ, ἀληθῶς, ἀποσημαίνει. Ps 61.6

Παραινέσας γὰρ, εἶτα συνεὶς, ὅτι οἱ πονηροὶ οὐ πεισθήσονται, γνωμολογεῖ, ὅτι ὄντως μάταιοί εἰσιν οἱ ἄνθρωποι, ὡς ἐπὶ ματαίοις πονοῦντες· μάταιον δὲ, τὸ ἀνόνητον καὶ ἄκαρπον.

10β Ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι.

Ψευδεῖς εἰσιν ἐν ταῖς διακρίσεσι· ταύτας γὰρ καλεῖ ζυγούς. Διέφθορε, φησὶν, αὐτοῖς τὸ κριτήριον· ἀνθαιροῦνται γὰρ τῶν ἑστώτων τὰ ἄστατα, καὶ τοῦ καλοῦ τὸ κακόν.

Ψευδεῖς δέ εἰσιν, ὥστε ἀδικῆσαι· ἀδικοῦσι δὲ πρὸ πάντων ἑαυτοὺς, ἀποστεροῦντες τῆς ἀρετῆς.

Ἀφορᾷ δὲ ὁ λόγος καὶ πρὸς πάντας μὲν πονηροὺς, μάλιστα δὲ, πρὸς τοὺς περὶ τὸν Ἀντίοχον, ἀδικοῦντας τοὺς Ἰουδαίους διὰ πλεονεξίαν.

10γ Αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.

Ἐκ ματαιότητος ὁμονοοῦσιν ὥστε ἀδικεῖν.

11α Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε.

8γ[2] ἐνηδόμενοι MV : ἐνηδυνόμενοι PSCBF. 10β[1] οἱ υἱοί PV[TRa] : υἱοί MSCBF : [M in marg.: γρ[άφεται] καὶ οἱ υἱοί].

Πρὸς πάντας ἀνθρώπους ποιεῖται τὴν παραίνεσιν ὁ Δαυίδ· ἀδικίαν γὰρ λέγει, τὸν ἐξ ἀδικίας πλοῦτον.

Τῷ δὲ, ἐπὶ ἅρπαγμα, περιττὴ ἡ πρόθεσις, ἵν' ᾖ, καὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε.

11β Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.

Ἐὰν μεταφέρηται ἀπὸ τούτων εἰς ἐκείνους, | ὡς ῥοώδη φύσιν ἔχων καὶ ἄστατον, ἢ ἀπ' ἄλλων εἰς ὑμᾶς, μὴ προσηλοῦτε αὐτῷ τὴν καρδίαν, ὥστε καὶ προσπάσχειν αὐτῷ.

Τινὰ δὲ τῶν ἀντιγράφων, καρδίᾳ γράφουσιν, ὃ δηλοῖ, ὅτι μὴ πρόσκεισθε αὐτῷ ἐκ καρδίας, εἴτουν ὁλικῶς.

12- Ἅπαξ ἐλάλησεν ὁ Θεὸς, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοῦ,
13α Κύριε, τὸ ἔλεος.

Ἔστι καὶ ἅπαξ λαλήσαντα περὶ πλειόνων εἰπεῖν· τὸ μὲν γὰρ, ἅπαξ, ἐπὶ τῆς ὁμιλίας ὅλης, ἡ δ' ὁμιλία, διαφόρων περιεκτική.

Βέλτιον δὲ νῦν τὸ, ἅπαξ, ἀντὶ τοῦ, βεβαίως, λαβεῖν· βεβαίως, φησὶν, ἐλάλησέ μοι διὰ τοῦ ἁγίου Πνεύματος ὁ Θεός.

Τίνα δέ εἰσι τὰ δύο; Ὅτι μόνος κραταιὸς ὁ Θεὸς, καὶ ὅτι μόνος ἐλεήμων.

Τί δὲ θέλει ταῦτα δηλοῦν; Ὅτι δυνατός ἐστιν ἀπώσασθαι μὲν τοὺς ἐχθροὺς ἡμῶν, ἐλεῆσαι δὲ ἡμᾶς· καὶ ἵνα, ὡς μὲν κραταιὸν, φοβηθῶμεν, ὡς ἐλεήμονι δὲ, προσδράμωμεν.

Νοεῖται δὲ καὶ ἁπλῶς τὸ, ἐλάλησε· πολλάκις γὰρ τοιαῦτα πρὸς τὸν Μωυσῆν εἴρηκεν, ὥστε ἀναγγεῖλαι τῷ λαῷ.

13β Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Σὺ γὰρ ἐν τῷ μέλλοντι κριτηρίῳ ἀπονείμῃς ἑκάστῳ τὰ πρὸς ἀξίαν, ὧν ἔπραξε καλῶν ἢ κακῶν.

62 ξβ´

1 Ψαλμὸς τῷ Δαυίδ·

ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας.

Φεύγων τὸν Σαοὺλ ὁ Δαυὶδ, κατέλαβε τὴν ἔρημον τὴν λεγομένην Αὐχμώδη, 1Rg 23.14
ἐν ᾗ τὸν παρόντα συνέταξε ψαλμὸν, διδάσκων, ὁποῖον εἶχε πρὸς Θεὸν ἔρωτα, καὶ προαγορεύων τὸν ὄλεθρον τῶν καταδιωκόντων αὐτὸν, ἵνα καὶ ἡμῶν οὕτω πρὸς Θεὸν διακειμένων ἐν τῇ ἐρημίᾳ τῶν ἡδέων, ὀλοθρεύωνται οἵ τε ὁρατοὶ καὶ ἀόρατοι ἐχθροὶ ἡμῶν.

Τινὰ δὲ τῶν ἀντιγράφων, ἐν τῇ ἐρήμῳ τῆς Ἰδουμαίας γράφουσιν· εἰκὸς δὲ

[11α][3] τῷ MPFV : τὸ SCB. 13α Add. [MSF in marg.]PV: Τοῦτο, τινὲς περὶ τῆς θείας ἀποφάσεως ἐνόησαν, ὅτι τῇ ἀπειλητικῇ ἀποφάσει τοῦ Θεοῦ συνεξακούεται πάντοτε καὶ λύσις αὐτῆς· διὰ τοῦτο γὰρ ἀπειλεῖ, ἵνα μεταμεληθέντων [μεταβληθέντων PV] τῶν ἁμαρτανόντων, μὴ γένηται τὰ τῆς ἀπειλῆς. : om. CB. 1[6] ὀλοθρεύωνται PFV : ὀλοθρεύονται MSCB.

τὴν ἔρημον ἐκείνην, πρότερον τῆς Ἰδουμαίας γῆς οὖσαν, ὕστερον γενέσθαι μέρος τῆς Ἰουδαίας.

2α Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.

Πρὸς σὲ, τὸν ὄρθρον τῆς ἡμέρας διάγω. Ἀφυπνιζόμενος γὰρ, εὐθὺς πρὸς σὲ Hos 6.3
γίνομαι τοῖς λογισμοῖς, πρὸ παντὸς λόγου καὶ ἔργου, τὴν πρὸς σὲ ποιούμενος ὁμιλίαν, καὶ ἀπαρχήν σοι τῆς ἡμέρας τὴν τοιαύτην ὁμιλίαν ἀνατιθείς.

2β Ἐδίψησέ σε ἡ ψυχή μου.

Διὰ τοῦ δίψους, τὴν σφοδρότητα τῆς ἀγάπης ᾐνίξατο. Εἴρηται δὲ περὶ τούτου
ἐν τῷ τρίτῳ στίχῳ τοῦ μα΄ ψαλμοῦ. Ps 41.3α

2γ Ποσαπλῶς σοι ἡ σάρξ μου.

Τὸ, *ποσαπλῶς*, *ποσαχῶς* ἐξέδωκεν ὁ Θεοδοτίων· φησὶν οὖν, ὅτι *ποσαχῶς σοι εἰς ἀγάπην ἐγώ*.

Ψυχὴν γὰρ ἑαυτοῦ καὶ σάρκα ἑαυτοῦ, ἀδιαιρέτως ἑαυτὸν λέγει κατὰ περίφρασιν· διὰ δὲ τοῦ ποσαχῶς, τὸ πολλαπλῶς, καὶ τὸ ὑπερβαλλόντως εἰσάγεται.

2δ Ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.

Οὕτω δ᾽ ἔχω ἐν ταύτῃ τῇ ἐρήμῳ ὢν, ὥστε τὸ ἀπαρηγόρητον τοῦ παρόντος τόπου τὸν πρὸς σέ μου πόθον οὐκ ἤμειψεν.

3α Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι.

Οὕτως ἔχων, ὤφθην σοι ἐν τῇ σκηνῇ, ὅτε ἐλάτρευον ὡς ὁ νόμος πᾶσιν ἐκέλευε· ταύτην γὰρ ἅγιον καλεῖ· οὕτως, ὡς ἔχων νῦν.

Λέγει δὲ, ὅτι καὶ ἐκεῖ εὐχόμενος καὶ ἐνταῦθα, ἴσην φυλάττω τὴν διάθεσιν.

3β Τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

Τοῦτο δὲ ποιῶ, ὥστε ἰδεῖν τὴν μὲν δύναμίν σου, ἐν τῷ τροπωθῆναι τοὺς ἐχθρούς μου, τὴν δὲ δόξαν σου, ἐν τῷ πάντας δοξολογῆσαί σε, τὸν βοηθοῦντα τοῖς εἰς σὲ ἐλπίζουσιν.

4α Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς.

Ζωὰς λέγει, τοὺς τρυφηλοὺς βίους καὶ τὰς | ἀπολαυστικὰς διαίτας. Κρεῖσσόν

μοι, φησὶν, ἐν ἐρήμῳ ἐλεεῖσθαι παρὰ σοῦ, ἢ ἐν τρυφῇ καὶ ἀπολαύσει τῶν ἀνθρωπίνων ἡδέων διάγειν.

4β Τὰ χείλη μου ἐπαινέσουσί σε.

Διὰ τοῦτο καὶ ὑμνήσω σε.

5α Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου.

Οὕτως, ὡς νῦν, τουτέστιν, εἰλικρινῶς, ἐξ ὅλης ψυχῆς.

5β Ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

Εἰς σὲ μόνον ἐκτενῶ τὰς χεῖράς μου· ἢ τὸ σὸν ὄνομα ἐπικαλούμενος ἐκτενῶ αὐτὰς, καὶ οὐχ ἕτερόν τινα τῶν ἁπάντων.

6α Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου.

Ὥσπερ ἐκ στέατος καὶ λίπους ἐμπιμπλᾶταί τις, πιαντικὰ γὰρ ταῦτα, οὕτως ἐμπλησθείη ἡ ψυχή μου τοῦ ἐλέους σου. Περὶ τούτου γὰρ ἦν ὁ λόγος.

6β Καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.

Καὶ λοιπὸν ἐν χείλεσιν ἀγαλλιωμένοις αἰνέσω σε ἔτι.

7 Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

Εἰ ἐν στρωμνῇ κείμενος μνημονεύω σου, ἐν τοῖς ὄρθροις μελετῶ εἰς σὲ, τουτέστιν, εὑρίσκομαι λογιζόμενος περὶ σοῦ. Λέγει δὲ, ὅτι μετὰ τῆς σῆς μνήμης ὑπνῶν, μετὰ τῆς αὐτῆς πάλιν ἀφυπνίζομαι, καὶ οὐδ' ὁ ὕπνος διακόπτει ταύτην.

Μέγα γοῦν ἀγαθὸν, τὸ μετὰ τῆς τοῦ Θεοῦ μνήμης ὑπνοῦν, καὶ τῶν αἰσχρῶν φαντασιῶν ἀλεξίκακον.

Ἐνήλλακται δὲ ὁ χρόνος τοῦ, μνημονεύω, καὶ τοῦ, μελετῶ.

8α Ὅτι ἐγενήθης βοηθός μου.

Τοῦτο δὲ ποιῶ, ὅτι σὲ μόνον ἔχω βοηθόν. Καὶ λοιπὸν, οὐ χρεία μοι ἕτερόν τι διὰ μνήμης ἔχειν· περιττὰ γὰρ τἄλλα ὡς ἀνόνητα.

8β Καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Περὶ τῆς σκέπης τῶν πτερύγων εἴρηται ἐν τῷ ις΄ ψαλμῷ. Ps 16.8β

9α Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου.

Ἐδέθη τῷ δεσμῷ τοῦ πόθου κατόπιν σου, ὡς μηδέποτε χωρισθῆναι τῆς μνήμης σου.

9β Ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Ἐντεῦθεν προφητεύει τὴν ἑαυτοῦ μὲν βοήθειαν, τῶν δὲ περὶ Σαοὺλ ἐχθρῶν αὐτοῦ ἀπώλειαν.

10α Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου.

Ὁ Θεὸς γὰρ βοηθεῖ μοι.

10β Εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.

Ἀποθανόντες, κατελεύσονται εἰς τὸν ᾅδην.

11α Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας.

Εἰπὼν ὅτι ἀποθανοῦνται, λέγει καὶ τὸν τρόπον. Χεῖρας δὲ ῥομφαίας μεταφορικῶς εἶπε, διὰ τὸ ἄφυκτον τοῦ ξίφους.

11β Μερίδες ἀλωπέκων ἔσονται.

Ἀποσφαγέντας αὐτούς, αἱ ἀλώπεκες εἰς θοίνην διαμερίσονται.

Ἢ ὅτι οὐδὲ γενναῖοι τούτους διαφθεροῦσιν ἐχθροί, ἀλλ' εὐτελεῖς καὶ ἀσθενεῖς καὶ δολεροί· τοιοῦτον γὰρ ἡ ἀλώπηξ. Τῶν τοιούτων οὖν διασπαράγματα ἔσονται· αἰνίττεται δέ, τοὺς περιοίκους ἀλλοφύλους.

12α Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ.

Ἑαυτὸν λέγει, ὡς Θεοῦ ψήφῳ κεχρισμένον. Εὐφρανθήσεται δέ, οὐκ ἐπὶ τῇ ἀναιρέσει αὐτῶν, ὡς καὶ ὕστερον ἔδειξε, θρηνῶν καὶ κοπτόμενος, ἀλλ' ἐπὶ τῷ Θεῷ, ὡς ῥυομένῳ τοὺς ἀγαπῶντας αὐτόν.

12β Ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ.

Ἔθος ἦν ἐν τῷ βασιλεῖ ὀμνύειν, οἷον, Μὰ τὴν σωτηρίαν τοῦ βασιλέως. Ἀλλὰ

12α[4] ῥυομένῳ MSCBF : ῥυσαμένῳ PV. 12α[4] Add[M in marg.]PV: Ἢ βασιλέα μὲν νοήσεις, τὸν κατακυριεύοντα τῶν παθῶν, ἐπαινούμενον δέ, τὸν ἐπαγγελλόμενον ἐν τῷ Θεῷ, ἤτοι τῷ Θεῷ τὸν ἐνάρετον βίον ἐπαγγελλόμενον καὶ βεβαιοῦντα τὴν ὁμολογίαν διὰ τῶν ἔργων. : om. CSBF.

ζῶντος μὲν Σαοὺλ, ἐκακίζετο καὶ ἐκινδύνευεν εἴ τις ἐτόλμησεν ὀμνῦναι ἐν τῷ βασιλεῖ Δαυίδ· μετὰ δὲ τὴν τελευτὴν αὐτοῦ, μᾶλλον ἐπῃνεῖτο, ὡς φιλῶν αὐτόν.

12γ *Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.*

Ἐνεφράγη τῷ θανάτῳ· λαλούντων δὲ ἄδικα κατ' αὐτοῦ, ἐν τῷ συκοφαντεῖν καὶ διασύρειν αὐτὸν, καὶ ἐν τῷ ἐντέλλεσθαι ἀλλήλοις τὸν αὐτοῦ θάνατον.

Ἀλλ' οὕτω μὲν ἐπὶ τῶν ὁρατῶν ἐχθρῶν· | ἐπὶ δὲ τῶν ἀοράτων, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, ἤτοι εἰς τὸν Τάρταρον· φησὶ γὰρ Πέτρος ὁ ἀπόστολος, ὅτι Ὁ *Θεὸς αὐτοὺς ταρταρώσας, παρέδωκεν εἰς κρίσιν*· λέγεται γὰρ ὑπὸ γῆν εἶναι 2Pt 2.4
τὸν Τάρταρον· ῥομφαίαν δὲ νοήσεις ἐπὶ τούτων, τὴν τιμωρίαν.

63 ξγ′

1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.

Καὶ οὗτος ὁ ψαλμὸς τῆς αὐτῆς ἔχεται ὑποθέσεως. Διηγεῖται γὰρ τὰς τῶν ἀνωτέρω ῥηθέντων ἐχθρῶν ἐπιβουλὰς, καὶ προφητεύει τὴν τούτων ἀπαλλαγὴν, ἧς ἕνεκεν καὶ εἰς τὸ τέλος ἐπιγέγραπται.

2-3 *Εἰσάκουσον, ὁ Θεὸς, φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ· ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου· σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν.*

Τὰ μὲν ἄλλα, σαφῆ· συστροφὴν δὲ λέγει, τὸ σύστημα, τὸ σύνταγμα.

4α *Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν.*

Εἰς τὸ ῥᾳδίως συκοφαντεῖν καὶ σκευάζειν ἐπιβουλάς.

Ἔοικε δὲ ὁ λόγος τῷ, *Καὶ ἡ γλῶσσα αὐτῶν, μάχαιρα ὀξεῖα*, περὶ οὗ εἴρηται ἐν τῷ νϛ′ ψαλμῷ. Ps 56.5γ

4β-5α *Ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρὸν, τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον.*

Ἄμωμον λέγει, τὸν ἀθῷον, εἴτουν ἑαυτόν. Καθ' ὑπερβατὸν δὲ ἡ σύνταξις, οἷον, ηὐτρέπισαν τόξον αὐτῶν, ὥστε κατατοξεῦσαι ἐν τῷ λεληθότι τὸν ἀναίτιον, ὅπερ ἐστὶ πρᾶγμα πικρὸν, τουτέστι, χαλεπὸν ἢ δολερόν· λέγω δὴ, τὸ ἐν ἀποκρύφοις κατατοξεύειν, διὰ τὸ ἀφύλακτον.

Τόξον δὲ αὐτῶν, τὴν γλῶσσαν αὐτῶν καλεῖ· ῥομφαίαν μὲν γὰρ εἶπεν αὐτὴν, ὡς τοὺς πλησίον ἀναιροῦσαν, τόξον δὲ, ὡς καὶ τοὺς πόῤῥω βάλλουσαν. Ἐκ τοῦ προφανοῦς γὰρ ἐπαινοῦντες καὶ εὐλογοῦντες, λαθραίως συνεσκευάζοντο.

[12β][1] Σαούλ MPSV : τοῦ βασιλέως Σαούλ C. 12γ[6] γῆν MPSV : γῆς C. 1[2] αὐτῆς PSCV : τοιαύτης M.

5β Ἐξάπινα κατατοξεύσουσιν αὐτὸν καὶ οὐ φοβηθήσονται.

Ἐξάπινα μὲν, ἀντὶ τοῦ, αἰφνιδίως, μὴ προησθημένον· οὐ φοβηθήσονται δὲ, οὔτε τὴν παρὰ Θεοῦ ὀργὴν, οὔτε τὴν παρὰ τῶν ἀνθρώπων κατάγνωσιν.

6α Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν.

Ἐκύρωσαν παρ᾽ ἑαυτοῖς τὸν λόγον τῆς ἐπιβουλῆς, ὡς βεβαίως ἀποτελεσθησόμενον.

6β Διηγήσαντο τοῦ κρύψαι παγίδας.

Εἰσηγήσαντο, ἐξέδωκεν ὁ Σύμμαχος. Συνεβούλευσαν γὰρ, ὥστε κρύψαι θήρατρα, ἐν τῷ καθίσαι λόχους.

6γ Εἶπον, Τίς ὄψεται αὐτούς;

Τίς ὄψεται αὐτοὺς, ἔκδικος τοῦ ἐπιβουλευομένου; ὅ ἐστιν, οὐδείς.

7α Ἐξηρεύνησαν ἀνομίαν.

Ἐζήτησαν ὥστε χρήσασθαι αὐτῇ.

7β Ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις.

Ἠτόνησαν ζητοῦντες ζητήσεις δολερὰς, καὶ μηχανώμενοι μηχανάς.

7γ-8α Προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα, καὶ ὑψωθήσεται ὁ Θεός.

Προσελεύσεται αὐτοῖς μηχανωμένοις ἄνθρωπος ὑπηρετήσων κατ᾽ ἐμοῦ τῇ πονηρίᾳ αὐτῶν. Καὶ οὗτος ἔσται βαθεῖα καρδία, τουτέστι, βαθυγνώμων, ἀλλ᾽ ἐπὶ κακῷ· ἔστι γὰρ καὶ ἐπὶ καλῷ βαθυγνώμων. Καὶ μηδὲ τούτου ἀνύοντος, ἔτι μεγαλυνθήσεται ὁ Θεὸς, *ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν*, καὶ 1Cor 3.19
δεικνύων ἀπράκτους τὰς ἐπιβουλὰς αὐτῶν. Εἰκὸς γάρ τινας, χαριζομένους τοῖς ἐχθροῖς, προσιέναι καὶ ἐπαγγέλλεσθαι κατὰ τοῦ δικαίου.

8β Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν.

Ἀνενέργητοι· τοιαύτη γὰρ ἡ παρὰ τῶν νηπίων βολὴ, διὰ τὴν ἀσθένειαν τῶν βαλλόντων. Πληγὰς δὲ νόει, τὰς κακώσεις.

9α Καὶ ἐξησθένησαν ἐπ’ αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. |

Γλώσσας καλεῖ, τὰς συκοφαντίας καὶ συσκευὰς, αἳ διὰ γλώσσης ῥάπτονται, καὶ γλώσσης εἰσὶν ἀποτελέσματα· ἐξησθένησαν οὖν ἐν αὐτοῖς, μηδέν τι πλέον ἀνύσασαι.

9β Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς.

Ἐθορυβήθησαν οἱ θεωροῦντες τοὺς τοιούτους καὶ τοσούτους τῶν ἐγχειρημάτων ἀποτυγχάνοντας.

10α Καὶ ἐφοβήθη πᾶς ἄνθρωπος.

Πᾶς τῶν θεωρούντων αὐτοὺς ἐφοβήθη καθ’ ἑαυτὸν, γνοὺς ὅτι ὁ Θεὸς ἐκδικητής ἐστι τῶν ἀδικουμένων.

10β Καὶ ἀνήγγειλε τὰ ἔργα τοῦ Θεοῦ.

Ἀνήγγειλε πρὸς ἕτερον τὰ δι’ ἐμὲ γενόμενα τεράστια.

10γ Καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.

Καὶ ἔγνωσαν οἷα ποιεῖ βοηθῶν τοῖς δούλοις αὐτοῦ· ὡς γενόμενα δὲ εἶπε, τὰ γενησόμενα, νόμῳ προφητείας.

11α Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ’ αὐτόν.

Εὐφρανθήσεται καὶ ἐλπιεῖ, βλέπων τὴν ἐπ’ ἐμοὶ κηδεμονίαν αὐτοῦ.

11β Καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Ἐπαινεθήσονται παρὰ τῶν ἀνθρώπων, οἱ μηδὲν σκολιὸν ἐν τῇ καρδίᾳ φέροντες, οἷος ἦν αὐτὸς, ὡς τοῖς τοιούτοις βοηθοῦντος ἀεὶ τοῦ Θεοῦ. Ὡς ἀγαθὸς γὰρ, φησὶν, ὁ Θεὸς τοῖς εὐθέσι τῇ καρδίᾳ. Ps 72.1

Τινὲς δὲ περὶ τοῦ Ἰούδα προειρῆσθαί φασι τὸ, προσελεύσεται ἄνθρωπος, ὃς, παμπόνηρος ὢν, προσῆλθε τοῖς ἐχθροῖς τοῦ Χριστοῦ καὶ ὑπέσχετο προδοῦναι αὐτόν. Ἐμεγαλύνθη δὲ μᾶλλον ὁ Χριστὸς, φοβερά τε παρὰ τὸν καιρὸν τῆς σταυρώσεως τερατουργήσας καὶ ἀναστὰς ἐκ νεκρῶν. Αἵ τε τιμωρίαι ἃς ἐπήγαγον αὐτῷ, εἰς οὐδὲν ἐλογίσθησαν, διά τε τὸ τῆς θεότητος ἀπαθὲς, καὶ διὰ τὸ μὴ δυνηθῆναι ἀφανίσαι αὐτὸν, ὡς ἐκεῖνοι ᾤοντο. Πάντες δὲ οἱ ἐν τοῖς ἔθνεσι θεωροῦντες τοὺς

9α[4] ἀνύνασαι MSCBF : ἀνῦσαι δυνηθεῖσαι P : ἀνῦσαι δυνάμεναι V. 11β[8] τερατουργήσας... ἐκ νεκρῶν MSCBF : θαυματουργήσας... ἐκ τῶν νεκρῶν PV.

χριστοκτόνους παραδοθέντας τοῖς Ῥωμαίοις εἰς ὄλεθρον ἐθορυβήθησαν, καὶ ἐφοβήθησαν τὸν Χριστὸν, δι' ὃν οὕτως οὗτοι πεπόνθασι. Δικαίους δὲ νοήσεις, τοὺς ἐξ ἐθνῶν, ὡς δικαιωθέντας διὰ πίστεως, οἳ καὶ εὐφρανθήσονται ἐπὶ τῷ Rom 5.1
Χριστῷ. Τοὺς αὐτοὺς δ' ἂν εἴποις, καὶ εὐθεῖς τῇ καρδίᾳ, ὡς ἐν τῇ καρδίᾳ μὴ παρεγκλίναντας, ἧς μετέσχον ὀρθῆς πίστεως.

64 ξδʹ
1 Εἰς τὸ τέλος· ψαλμὸς ᾠδῆς τῷ Δαυίδ.

Εἰς τὸ τέλος καὶ οὗτος, ὅτι προφητεύει περί τε τῆς ἐπανόδου τῶν ἐν Βαβυλῶνι αἰχμαλώτων, ὧν καὶ προσώπῳ συντέτακται, καὶ περὶ τῆς εὐσεβείας τῶν ἐθνῶν.
Τί δέ ἐστι ψαλμὸς ᾠδῆς, παραδέδοται ἐν τῷ προοιμίῳ τῆς βίβλου τῶν ψαλμῶν. § 65-66

2α Σοὶ πρέπει ὕμνος, ὁ Θεὸς, ἐν Σιών.

Ἐν Σιών σοι πρέπει, φησὶν, ὁ ὕμνος· ἐκεῖ γὰρ λατρεύειν προσέταξας. Dt 12.5

2β Καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.

Ὅρα τὴν περὶ τῆς ἐπανόδου πρόῤῥησιν.
Εἴη δ' ἂν κατὰ λόγον ἀναγωγῆς, Σιὼν καὶ Ἱερουσαλὴμ, ἥ τε καθολικὴ Ἐκκλησία τῶν πιστῶν καὶ οἱ κατὰ μέρος ναοί.

3α Εἰσάκουσον τῆς προσευχῆς μου.

Τῆς περὶ ὧν ἀεὶ παρακαλῶ.

3β Πρὸς σὲ πᾶσα σὰρξ ἥξει.

Τοῦτο, προφητεία περὶ τῶν ἐθνῶν· σάρκα δὲ αὐτοὺς ἐκάλεσεν, ἢ ὡς ἀπὸ μέρους τὸ πᾶν, ἢ ὡς σαρκικῶς ζῶντας.
Ἢ καὶ περὶ τῆς καθολικῆς τῶν σωμάτων ἀναστάσεως ὁ λόγος.

4α Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς.

Αἱ εἰς Θεὸν καὶ εἰς ἡμᾶς βλασφημίαι τῶν ἐχθρῶν ὑπὲρ ἡμᾶς ἐδυνήθησαν, τουτέστι, κατεδυνάστευσαν ἡμῶν, μὴ τολμώντων ἀντειπεῖν, οἷα δεδουλωμένων.
Ἢ τοὐναντίον· λίαν ἰσχυροποίησαν ἡμᾶς, θαῤῥήσαντας, ὅτι οὐ περιόψει ταύτας ἀνεκδικήτους.
Τινὰ δὲ τῶν ἀντιγράφων ὑπερηδυνάμωσαν | γράφουσιν, ὅ ἐστι, λίαν ἀσθενεῖς ἐποίησαν ἡμᾶς.

4β Καὶ ταῖς ἀσεβείαις ἡμῶν, σὺ ἱλάσῃ.

Καὶ ταῖς ἁμαρτίαις, δι᾽ ἃς ᾐχμαλωτίσθημεν, σὺ συγγνωμονήσεις, καὶ ἐλευθερώσεις ἡμᾶς.

5α Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου· κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου.

Καθ᾽ ἱστορίαν μὲν, ζηλωτὸς, φησὶν, ὁ τῶν ἄλλων ἐθνῶν ἐκλεγεὶς λαὸς τῶν Ἰουδαίων, καὶ σὸς χρηματίσας· ἐκ τῆς αἰχμαλωσίας γὰρ ἐντίμως ἀναχθεὶς, κατασκηνώσει πάλιν ἐν τῇ πόλει σου Ἰερουσαλήμ· ταύτην γὰρ, αὐλὰς τοῦ Θεοῦ καλεῖ, διὰ τὸν ἐν αὐτῇ περιώνυμον ναόν.

Ἀναγωγικῶς δὲ, αἰνίττεται τὸν νέον λαὸν, τὸν ἐξ ἐθνῶν ἐκλεγέντα τῷ Χριστῷ εἰς κληρονομίαν· αὐλὰς δὲ αὐτοῦ, τὰς κατὰ χώραν ἐκκλησίας ὑποληπτέον.

Νοεῖται δὲ καὶ περὶ παντὸς ἐν εὐσεβείᾳ τελειοῦντος τὴν ζωήν· ἐκλεγεὶς γὰρ, προσλαμβάνεται εἰς τὴν ἄνω Ἰερουσαλὴμ, ὅπου αὐλαί εἰσιν, αἱ μοναὶ τῶν δικαίων. Jn 14.2

5β Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου.

Οἶκος Θεοῦ, ἡ Ἰερουσαλὴμ, ἥ τε κάτω καὶ ἡ ἄνω, καὶ ὁ κατὰ τόπον ναός. Ἀγαθὰ δὲ αὐτοῦ, τὰ θεῖα δόγματα, καὶ ὅσα πρὸς ἀπόλαυσιν καὶ τέρψιν, ὧν, φησὶ, πλησθησόμεθα, ἐλευθερωθέντες τῆς δουλείας τῶν ἐχθρῶν.

5γ Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ναὸς Θεοῦ πάλιν, ὁ ἐν τῇ κάτω Ἰερουσαλὴμ, καὶ ὁ ἐν τῇ ἄνω, καὶ ὁ κατὰ τόπον οἶκος τοῦ Θεοῦ. Ἅγιος μὲν οὖν, ὡς τοῦ ἁγίου ναὸς, καὶ ὡς ἁγιασμοῦ πλήρης. Θαυμαστὸς δὲ ἐν τῇ δικαιοσύνῃ τῶν ἐμπολιτευομένων αὐτῷ δικαίων ἀνδρῶν.

Ἢ ναὸν Θεοῦ λέγει, τὸν ἐνάρετον, ὅς ἐστιν οἰκητήριον Θεοῦ. Καὶ ἅγιος μὲν, διὰ τὴν ἁγνείαν τῶν παθῶν· θαυμαστὸς δὲ, ἐπὶ τῇ δικαιοσύνῃ.

6 Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν.

Καὶ τοῦτο, πρόῤῥησις τῆς πίστεως τοῦ ἐξ ἐθνῶν λαοῦ. Ἐπάκουσον, φησὶν, ἡμῶν, ὁ ὕστερον ἐσόμενος ἐλπὶς πάντων.

Πέρατα μὲν οὖν τῆς γῆς, οἱ τὰ πέρατα τῆς γῆς οἰκοῦντες· ἐν θαλάσσῃ δὲ, καὶ οἱ ἐν ταῖς νήσοις· τὸ δὲ μακρὰν, ἐπίῤῥημά ἐστι, σημαῖνον τὸ πόῤῥω τῆς ἠπείρου.

7α Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ.

Περὶ τῆς τοῦ Θεοῦ διέξεισι δυνάμεως, ἀνυμνῶν αὐτήν.

$5\beta^2$ ὁ κατὰ τόπον ναός MSCBF : οἱ κατὰ τόπον ναοί PV.

Τὸ δὲ ἑτοιμάζων, ἑδράζων ἐξέδωκεν ὁ Σύμμαχος. Συνεξακούεται δὲ, τὸ, ἔστιν. Ἑδράζει τὰ ὄρη, φησὶν, οὕτως ἀσφαλῶς, ὡς μηδέ ποτε σαλευθῆναι ταῖς σφοδροτάταις καὶ διηνεκέσιν ἐμβολαῖς τῶν ἀγρίων ἀνέμων.

7β Περιεζωσμένος ἐν δυναστείᾳ.

Δίκην ζώνης κεκυκλωμένος ἐν δυναστείᾳ, ἤτοι ἐν δυνάμει ἀπείρῳ, κατὰ πάντων κτιστῶν, καὶ ἐν παντὶ πράγματι· καὶ ἀλλαχοῦ δέ φησιν, Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. Ps 92.1

8α Ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης.

Τὸ βάθος, ὥστε κάτωθεν ψάμμον ἀναφέρεσθαι, τοῦ τοσούτου χάους αἰφνίδιον ἐκμοχλευομένου.

Σκόπει δὲ, ὅτι προστάγματι τοῦ Θεοῦ τὴν θάλασσαν οἱ ἄνεμοι συνταράσσουσιν.

8β Ἤχους κυμάτων αὐτῆς τίς ὑποστήσεται;

Βαρεῖς ὄντας καὶ φοβεροὺς καὶ ἀφορήτους.

8γ Ταραχθήσονται τὰ ἔθνη.

Διὰ τὸ ξένον καὶ ἄηθες τοῦ κηρύγματος, καὶ διὰ τὸ καταλύεσθαι τὸ πατρῷον σέβας αὐτῶν, καὶ τὴν πολιτείαν τούτων ἀμείβεσθαι.

9α Καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου.

Αὐτοὶ οἱ ἐν ταῖς ἐσχατιαῖς τῆς γῆς, φοβηθήσονται ἀπὸ τοῦ μεγέθους τῶν ἑκάστοτε γινομένων θαυματουργιῶν σου. Εἰ δ’ οἱ ἐν ταῖς ἐσχατιαῖς, πολλῷ μᾶλλον οἱ ἐν τῷ μέσῳ τῆς γῆς.

Ἡμεῖς μὲν οὖν περὶ τῶν κατὰ Χριστὸν | θαυμάτων εἰρῆσθαι ταῦτά φαμεν· Ἑβραῖοι δὲ, περὶ τῶν κατὰ Μωυσῆν· εἴργονται δὲ, διὰ τῶν ἑξῆς.

9β Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις.

Τέρψεις τὸν λαόν σου, καὶ κατὰ τὰς ἐξόδους τῆς πρωΐας, ὅταν ἄρξηται τρέχειν ἡ πρωΐα τῆς ἡμέρας, καὶ πάλιν ἑσπέρας, ἤγουν ἐν τῇ ἑσπέρᾳ.

Ἀττικὸν δὲ τὸ, ἑσπέρας, γενικὴ ἀντὶ δοτικῆς.

Προφητεύει δὲ ὁ λόγος, ὅτι τερφθήσονται καὶ ἐν τῇ ἀρχῇ τῆς ἡμέρας, καὶ ἐν τῷ τέλει αὐτῆς· τερφθήσονται δὲ θείοις ὕμνοις καὶ ἱεροῖς μελῳδήμασι.

Τινὲς δὲ καλοῦσιν ἐξόδους μὲν πρωΐας, τὰ ἀνατολικὰ μέρη τῆς γῆς, ἐξόδους δὲ ἑσπέρας, τὰ δυτικὰ, ὅτι ἐν ἐκείνοις μὲν δοκεῖ γεννᾶσθαι ἡ πρωΐα, ἐν δὲ τούτοις, ἡ νύξ. Εὐφρανεῖς οὖν φασὶ, καὶ τοὺς ἐπὶ τῆς ἀνατολῆς οἰκοῦντας, καὶ τοὺς ἐπὶ τῆς δύσεως, ἐνανθρωπήσας καὶ πολιτευσάμενος ἐπὶ τῆς γῆς.

Τὰ δ' ἑξῆς ῥητὰ, πρῶτον ἱστορικῶς ἑρμηνευτέον, εἶτα κατὰ ἀναγωγήν· ἁρμοδιώτερα δὲ τούτοις ἀναντιῤῥήτως τὰ τῆς ἀναγωγῆς, ὡς αὐτίκα δειχθήσεται.

10α Ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν.

Μετὰ τὴν ἐκ Βαβυλῶνος, φασὶν, ἐπάνοδον, ἀντελάβου τῆς Ἰουδαίας, ἀποκεχερσωμένης ἤδη, καὶ ἐμέθυσας αὐτὴν ὑετῷ.

10β Ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν.

Ἐπλήθυνας τὸν ὑετὸν, ἵνα πλουτίσῃς αὐτὴν ἐν ἀφθονίᾳ καρπῶν.

10γ Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων.

Ὁ Ἰορδάνης ἐπλημμύρησεν· οὗτος γὰρ ὁ ἐν τῇ Ἰουδαίᾳ ἐπισημότατος.

10δ Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.

Παρεσκεύασας, ἀπήρτησας τὴν τροφὴν τῶν ἐκ Βαβυλῶνος ἐπανελθόντων. Καὶ γὰρ οὕτως ἡ ἑτοιμασία· συνεξακούεται δὲ τὸ, ἐστὶν ἢ γίνεται, μεθυούσης δηλονότι τῆς γῆς ὑετῷ.

11α Τὰς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γενήματα αὐτῆς.

Προθεσπίσας τὴν εὐετηρίαν τῆς γῆς, εἶτα παρακαλεῖ γενέσθαι ταῦτα.

11β Ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.

Εὐφρανθήσεται ἐν ταῖς σταγόσι ταῖς δι' αὐτὴν, εἴτουν ἐν τῇ δρόσῳ, ἀνατέλλουσα πόαν. Μεταφορικὸν δὲ τὸ, εὐφρανθήσεται.

12α Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου.

Ἁγιάσεις τὸν κύκλον ὅλον τοῦ ἐνιαυτοῦ ἐκείνου, τοῦ τῆς ἀγαθότητός σου. Δῶρον γὰρ οὗτος τῆς σῆς ἔσται χρηστότητος.

12α Add. [MP in marg.]B: Στέφανός ἐστι χρηστότητος, πίστις καθαρὰ, λίθων τιμίων δίκην, ταῖς ὑψηγορίαις τῶν δογμάτων διηνθισμένη, καὶ καθάπερ μαργάροις ταῖς θεολογίαις κεκοσμημένη, καὶ οἷά τινα κεφαλὴν, τὸν χρηστὸν καὶ θεοφιλῆ νοῦν περιθέουσά τε καὶ διασφίγγουσα. : om. SCFV.

12β Καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.

Πιότητος εἰς τὸ καρπογονῆσαι.

13α Πιανθήσεται τὰ ὡραῖα τῆς ἐρήμου.

Ἔρημον νῦν, τὴν Ἰερουσαλὴμ λέγει, ὡς ἐρημωθεῖσαν παρὰ Βαβυλωνίων.
Ὡραῖα δὲ αὐτῆς, τὰ ἐπιτήδεια ταῖς ὥραις τοῦ ἐνιαυτοῦ μέρη τῆς γῆς, ἤγουν τὰ καρποφόρα.
Ἢ ὡραῖα λέγει, τοὺς καρποὺς αὐτοὺς, ὡς καθ’ ὥραν ἐνιαύσιον γινομένους.

13β Καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.

Μεταφορικὸν κἀνταῦθα τὸ, ἀγαλλίασιν περιζώσονται. Λέγει δὲ, ὅτι ἀγαλλιαθήσονται κύκλῳ καὶ πανταχόθεν.
Εἰπὼν δὲ, ὅτι τὰ πεδία καὶ τὰ ὡραῖα, ἐπήγαγε καὶ τοὺς βουνούς· ἔτι δὲ προϊὼν, προσεπάγει καὶ τὰς κοιλάδας.

14α Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων.

Ἐνεδύσαντο μαλλῶν πλῆθος, ὃ γίνεται ἀπὸ τῆς πιότητος τῆς νομῆς· διὰ τῶν κριῶν δὲ, πάντα τὰ ποίμνια δεδήλωκε.

14β Καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον.

Τοῦτο σαφές.

14γ Κεκράξονται, καὶ γὰρ ὑμνήσουσι.

Λοιπὸν, κεκράξονται, ἐκ καρδίας εὐχαριστοῦντες, οἱ πρὸς τῇ ἐλευθερίᾳ | ἔτι καὶ τοιαύτης εὐετηρίας ἀξιωθέντες, καὶ ὑμνήσουσί σε τὸν Σωτῆρα καὶ εὐεργέτην αὐτῶν. Περιττεύει δὲ ὁ γάρ σύνδεσμος.

Ἀλλὰ ταῦτα μὲν, κατὰ τὴν ἱστορίαν. Κατὰ δὲ τὴν ἀναγωγὴν, πρόῤῥησίς ἐστι ταῦτα περὶ τοῦ εὐαγγελικοῦ κηρύγματος. Λέγοιντο δ’ ἂν πρὸς τὸν μονογενῆ Υἱόν.
[10] Ἐπεσκέψω τὴν γῆν, δηλαδὴ πᾶσαν — ἀπὸ δὲ τῆς γῆς, νόει μοι τὰ ἐπὶ
γῆς οἰκοῦντα ἔθνη· Ἐπεσκέψατο γὰρ, φησὶν, ἡμᾶς ἀνατολὴ ἐξ ὕψους — καὶ Lk 1.78
ἐμέθυσας αὐτὴν τῷ οἴνῳ τῆς κατανύξεως, ὡς ἐν τῷ ϛ′ στίχῳ τοῦ νθ′ ψαλμοῦ κατ’
ἀναγωγὴν ἐξηγησάμεθα. Ἐπλήθυνας τὴν εὐαγγελικὴν ἀρδείαν, ἵνα πλουτίσῃς Ps 59.5β
τὴν εἰρημένην γῆν ἐν ἀρεταῖς.

Ποταμὸς δὲ τοῦ Θεοῦ, ὁ Σωτὴρ ἡμῶν Ἰησοῦς· ὕδατα δὲ, αἱ διδασκαλίαι αὐτοῦ. *Τοῦ ποταμοῦ γὰρ, φησὶ, τὰ ὁρμήματα, εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ*, ὡς ἐν τῷ ζʹ στίχῳ τοῦ μεʹ ψαλμοῦ προδιελάβομεν· ἀπὸ τούτου δὲ τοῦ ποταμοῦ, Ps 45.5
ὀχετοὶ ἐῤῥύησαν, οἱ ἀπόστολοι, καὶ ἤρδευσαν ὅλην τὴν οἰκουμένην.

Ἡτοίμασας δὲ τὴν λογικὴν τροφὴν αὐτῶν τῶν ἐθνῶν. Αὐτὸς γὰρ αὐτὴν σκευάσας, διὰ τῶν θεοπρεπῶν δογμάτων, παρέδωκας τοῖς ἀποστόλοις, ἐντειλάμενος, πῶς δεῖ τρέφειν τὰς πεινώσας ψυχάς· ὅτι οὕτως ἐστὶν ἡ ἀληθὴς ἑτοιμασία τῆς ἀληθινῆς τροφῆς, ὡς αὐτὸς ἡτοίμασας, καὶ οὐκ ἄλλως.

[11] Αὔλακες δὲ τῆς δηλωθείσης γῆς, τὰ βάθη τῶν καρδιῶν τῶν ἀνθρώπων, ἃς ἄγαν ἀρδευθῆναι παρακαλεῖ, ὡς ἐκβακχευθῆναι πρὸς τὸν εἰς Θεὸν ἔρωτα, καὶ ἐκστῆναι μὲν πάσης σκληρότητος, ἁπαλυνθῆναι δὲ πρὸς ἡμερότητα. Γενήματα δὲ αὐτῆς, αἱ ἀρεταὶ, ὡς καρπὸς τῆς πίστεως. Σταγόνες δὲ αὐτῆς, αἱ ἀπὸ τῶν διδασκάλων στάζουσαι ψεκάδες τῆς διδαχῆς· ἢ καὶ τὰ ἀπὸ τῶν θείων Γραφῶν ἐνσταζόμενα νοήματα, ἃ καὶ ὡς δρόσος πιαίνουσιν, ὑφ' ὧν εὐφρανθήσεται θάλλουσα καὶ αὐξανομένη.

[12] Καὶ ἐνιαυτὸς μὲν χρηστότητος, ὁ χρηστότατος καιρὸς τοῦ κηρύγματος· στέφανος δὲ αὐτοῦ, ὁ Χριστὸς, ὡς κοσμήσας καὶ καθωραΐσας αὐτὸν ἐν ἔργῳ καὶ λόγῳ. Πρὸς τὸν Πατέρα δὲ τὸν λόγον ἀνοίσεις, ὅτι εὐλογήσεις, ὅ ἔστιν, εὐφημήσεις, ἐπαινέσεις· οὕτω γὰρ καὶ πεποίηκεν εἰπὼν, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.* Mt 3.17

Περὶ δὲ τῶν πεδίων καὶ τῶν βουνῶν καὶ τῶν κοιλάδων, ἁπλῷ λόγῳ φαμὲν, ὅτι προαγορεύει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἄρα πᾶς τόπος ὑποδέξεται τοὺς πιστούς. Τὰ πεδία μὲν, τοὺς κληρικοὺς τῶν ἐκκλησιῶν· τὰ ὄρη δὲ, τοὺς ἀναχωρητάς· αἱ κοιλάδες δὲ, τοὺς σπηλαιώτας· οἳ καὶ πιότης τοῖς τοιούτοις ἔσονται τόποις, καὶ ἀγαλλίασις, καὶ σῖτος. Εἶεν δ' ἂν καὶ ἄλλως, πεδία μὲν, αἱ ταπειναὶ ψυχαὶ, τῷ μηδὲν φρονεῖν ὑψηλόν· ὄρη δὲ, αἱ ἐπηρμέναι τῇ ματαίᾳ σοφίᾳ· κοιλάδες δὲ, αἱ εἰς βάθος ἁμαρτιῶν κατολισθήσασαι.

[13] Ὡραῖα δὲ τῆς κατ' ἀρετὴν ἐρήμου γῆς, αἱ ἐπιτήδειοι ψυχαὶ πρὸς καρποφορίαν.

[14] Κριοὶ δὲ τῶν προβάτων, οἱ ἀπόστολοι, ὡς ἔξαρχοι τῶν λογικῶν τοῦ Χριστοῦ θρεμμάτων, οἳ καὶ ἐνεδύσαντο τὴν χάριν τοῦ παναγίου Πνεύματος ἐν τῷ καιρῷ τῆς Πεντηκοστῆς, κατὰ τὸ, *Ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἰερουσαλὴμ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους*· ἢ καὶ οἱ κατὰ τόπους ἐπίσκοποι καὶ ἱερεῖς, οἳ Lk 24.49
ἐνεδύσαντο διὰ τοῦ βαπτίσματος τὸν Χριστόν· *Ὅσοι γὰρ, φησὶν, εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.* Gal 3.27

Χρὴ δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι οὐχ εὑρίσκομεν καθ' ἱστορίαν τοιαύτης ἀξιωθέντας εὐετηρίας | τοὺς ἐπανελθόντας ἐκ Βαβυλῶνος· καὶ λοιπὸν ἁρμόζει τὰ τῆς ἀναγωγῆς.

65 ξεʹ

1α Εἰς τὸ τέλος· ᾠδὴ ψαλμοῦ· ἀναστάσεως.

Εἰς τὸ τέλος μὲν, διὰ τὴν ἐν τούτῳ προφητείαν, ὡς καὶ ἐπὶ τῶν ἄλλων τῶν οὕτως ἐπιγεγραμμένων εἰρήκαμεν· προφητεύει γὰρ περὶ τῆς πίστεως τῶν ἐθνῶν, ἔτι δὲ καὶ περὶ τῶν τοῦ Χριστοῦ μαρτύρων.

Τί δέ ἐστιν ᾠδὴ ψαλμοῦ, προαποδεδώκαμεν ἐν τῷ προοιμίῳ τῆς βίβλου τῶν ψαλμῶν. § 65-66

Ἀναστάσεως δὲ, ἀντὶ τοῦ, περὶ τῆς μεταστάσεως τῶν αἰχμαλώτων ἀπὸ τῆς ἐν Βαβυλῶνι δουλείας ἐπὶ τὴν οἰκείαν πατρίδα. Εἰς τὴν μετάστασιν γὰρ ἐκείνην ὁ ψαλμὸς πεποίηται, οἷον τίνας ἂν εἴποι λόγους ἕκαστος τῶν ἁψαμένων ἤδη τῆς ἐπανόδου.

Πρέποι δ' ἂν καὶ παντὶ μεθισταμένῳ, ἢ ἀνισταμένῳ, ἀπὸ τῆς ἁμαρτίας, εἰς ἣν κατεσύρη τοῖς βέλεσι τῶν παθῶν, αἰχμαλωτισθεὶς ὑπὸ τῶν δαιμόνων.

1β Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Τί μέν ἐστιν ἀλαλαγμὸς, εἰρήκαμεν ἐν τῷ β′ στίχῳ τοῦ μς′ ψαλμοῦ. Ps 46.2β

Προτρέπεται δὲ ἐπινίκιον ὕμνον ᾆσαι τῷ Θεῷ, τῷ φοβήσαντι τοὺς αἰχμαλωτίσαντας, καὶ ῥυσαμένῳ τοὺς αἰχμαλώτους ἐκ τῆς δουλείας αὐτῶν.

Πᾶσα δὲ ἡ γῆ, ἀντὶ τοῦ, πάντες οἱ ἐπὶ γῆς· οὕτω γὰρ ὁ Σύμμαχος ἐξέδωκεν.

Ὅρα δὲ τὴν κλῆσιν τῶν ἐθνῶν.

2α Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ.

Περὶ τούτου, ζήτει τὴν ἐξήγησιν τοῦ δ′ στίχου τοῦ θ′ ψαλμοῦ. Ps 9.3β

2β Δότε δόξαν αἰνέσει αὐτοῦ.

Δότε τῇ αἰνέσει αὐτοῦ δόξαν, εἴτουν τιμὴν, μεγαλοπρέπειαν. Λέγει δὲ, ὅτι ἐνδόξως αἰνέσατε αὐτὸν, καὶ μὴ ὡς αἰνεῖτε τοὺς ἀνθρώπους.

3α Εἴπατε τῷ Θεῷ, Ὡς φοβερὰ τὰ ἔργα σου.

Ὅσα ἐν Αἰγύπτῳ ἐτερατούργησας, καὶ ὅσα πρὸ τούτων, καὶ ὅσα μετὰ ταῦτα.

3β Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.

Τοιοῦτον ἔχει τὸ ῥητὸν νοῦν, ὅτι πανταχοῦ τῆς θεογνωσίας ἁπλωθείσης, πολλοὶ τῆς ἀληθείας ἐχθροὶ, φοβηθέντες τὴν πολλήν σου δύναμιν τὴν ἐν τῇ βασιλείᾳ τῶν εὐσεβῶν, ὑποκριθήσονταί σε, εἴτουν τὴν εἰς σὲ πίστιν· ψεῦδος γὰρ ἐνταῦθα, τὴν ὑπόκρισιν ὀνομάζει. Καὶ δὴ, πολλοὺς τοιούτους εὑρίσκομεν Ἕλληνας καὶ αἱρετικοὺς ἑκάστοτε.

1α[8] οἷον PV : om. MSCBF.

4α Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι.

Ἐκδηλοτέρα τῶν ἐθνῶν ἡ κλῆσις ἐνταῦθα. Προσκυνησάτωσαν δὲ πρῶτον ὑποταγέντες, εἶτα ψαλάτωσαν· προστάσσει δὲ θαῤῥαλέως ὁ προφήτης, οἷα πεπληροφορημένος περὶ τοῦ πράγματος.

4β Ψαλάτωσαν δὴ τῷ ὀνόματί σου, Ὕψιστε.

Τοῦτο ἔοικε τῷ δ´ στίχῳ τοῦ θ´ ψαλμοῦ· ὑπὸ δὲ τῆς ἄγαν περιχαρείας, Ps 9.3β
ἀναμιμνήσκεται τῶν τοῦ Θεοῦ τεραστίων, καὶ παρακελεύεται πᾶσι ψάλλειν καὶ ὑμνεῖν τὸν λυτρωτὴν Θεόν.

5α Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ.

Ἃ καθ' ἑκάστην ποιεῖ παραδόξως. Συγκαλεῖ δὲ πάντα τὰ ἔθνη.

5β Ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Ἐν μηχαναῖς ἐξέδωκεν ὁ Σύμμαχος. Λίαν οὖν φοβερὸς ἐν μηχαναῖς, διὰ τὸ φοβερὰ μηχανᾶσθαι, ὅταν ἐθέλῃ σῶσαι τὸν λαὸν αὐτοῦ, ὁποῖα γὰρ κατὰ τῶν Αἰγυπτίων ἐμηχανήσατο, νικῶν ἀεὶ τὰ σοφίσματα καὶ τὰς ἀντεπιχειρήσεις τῶν ἀνθρώπων. Εἶτα καταλέγει τὰ πάλαι θαύματα.

6α Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν.

Τοῦτο γέγονεν ἐπὶ τῆς | Ἐρυθρᾶς θαλάσσης, ὡς ἡ βίβλος τῆς Ἐξόδου διδάσκει. Ex 14.21
Ἀντιχρονικῶς δὲ εἶπεν, ὁ μεταστρέφων, ἀντὶ τοῦ, ὁ μεταστρέψας.

6β Ἐν ποταμῷ διελεύσονται ποδί.

Καὶ τοῦτο γέγονεν ἐπὶ τοῦ Ἰορδάνου, διαβαινούσης τῆς Κιβωτοῦ. Ἀντιχρονία Jos 3.17
δὲ κἀνταῦθα, ἀντὶ τοῦ, διῆλθον οἱ πρόγονοι ἡμῶν.

Ποδὶ δὲ, ἀντὶ τοῦ, πεζῇ· πεζεύειν δὲ, τὸ διὰ ξηρᾶς ὁδεύειν.

Τῶν κατὰ τὴν ἄνοδον δὲ θαυμασίων ὑπομιμνήσκει τὸν Θεὸν διὰ τὴν προκειμένην καὶ αὐτοῖς ἄνοδον, ἵνα συνήθως καὶ αὐτοῖς ταύτην ἐξευμαρίσῃ.

Ὁ μέντοι Σύμμαχος ἐτήρησε τὸν χρόνον· ἐξέδωκε γὰρ, ὁ μεταβαλὼν τὴν θάλασσαν, καὶ πάλιν, ποταμὸν διέβησαν.

6γ-7α Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ, τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος.

6α Add. [MF in marg.]B: τὴν θαλασσίαν ὁδὸν εἰς ξηρὰν τρίβον.
6β[6] προκειμένην καὶ αὐτοῖς PSCV : προκειμένην αὐτοῖς M.

Ἐκεῖ, ἀντὶ τοῦ, ἐν τῷ τόπῳ, εἰς ὃν ἐπειγόμεθα. Δυναστείαν δὲ ἐπὶ Θεοῦ νοοῦμεν, τὴν ἄπειρον καὶ ἀνυπόστατον δύναμιν. Δεσπόζει δὲ ὁ Θεὸς καὶ τοῦ παρόντος αἰῶνος καὶ τοῦ μέλλοντος, ὡς ἀπέραντον ἔχων βασιλείαν.

7β Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν.

Ὡς μέλλοντος αὐτὰ κληρονομῆσαι καὶ οἰκειώσασθαι διὰ πίστεως. Νόησον, Ἰουδαῖε, ὅτι μετέστησεν ἀπὸ σοῦ τὴν ἐπισκοπὴν αὐτοῦ.

7γ Οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.

Λοιπὸν οἱ Ἰουδαῖοι μὴ ἐπαιρέσθωσαν παρ' ἑαυτοῖς, ὡς μόνοι τῷ Θεῷ γινωσκόμενοι. Τούτους γὰρ λέγει παραπικραίνοντας, ὡς ἀεὶ γογγύζοντας καὶ ἀντιλέγοντας. Καὶ ἄλλοι δὲ προφῆται, Οἶκον παραπικραίνοντα, τούτους ὠνόμασαν. Ez 2.5-8

Λέγοιντο δ' ἂν καὶ ἄλλως παραπικραίνοντες, ὡς δεδωκότες εἰς τὸ βρῶμα τοῦ Mt 27.34
Χριστοῦ χολήν, καὶ εἰς τὴν δίψαν αὐτοῦ ποτίσαντες αὐτὸν ὄξος. Ps 68.22

Αἰνιγματώδη δὲ τὰ προφητικὰ καὶ ἀσαφῆ, δι' ἃς προέφημεν αἰτίας.

Σὺ δέ, παραπικραίνοντας λέγε, καὶ τὰ βάρβαρα ἔθνη καὶ τοὺς δαίμονας, ἔχων ἔφορον σεαυτοῦ τὸν Θεόν.

8α Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν.

Ἔθνη, ἐφ' ἃ μετέστη ἡ ἐπισκοπὴ τοῦ Θεοῦ.

8β Καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ.

Ἀκουστὴν ποιήσατε, τουτέστιν, ἐξάρατε μεγαλοφωνότερον, ἢ ἐνωτίσατε ταύτην εἰς τοὺς μεθ' ὑμᾶς.

9α Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν.

Ἐπεὶ ἡ δουλεία θανάτῳ ἔοικεν, ὡς οἱ σοφοί φασι, ζωὴν λέγει νῦν, τὴν ἐλευθερίαν.

9β Καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.

Καὶ μὴ παραχωρήσαντος δοθῆναι εἰς παρατροπὴν εὐσεβείας τὴν πολιτείαν μου.

10α Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός.

Προηγουμένως ἀπὸ τῶν ἐναρέτων ὁ λόγος, οἷον τοῦ Δανιὴλ καὶ Τριῶν Παίδων,

καὶ τῶν τοιούτων, καταλέγων τὰ εἴδη τῆς παιδείας. Ἐδοκίμασας, φησὶν, ἡμᾶς ἐν τοῖς πειρασμοῖς, τουτέστιν, ἐξήτασας ὅπερ ἔχομεν πίστεως καὶ ὑπομονῆς.

10β Ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.

Τοῦτο, διὰ τὴν ἐξαφθεῖσαν τοῖς Τρισὶ Παισὶ κάμινον· εἴη δ' ἂν πῦρ, καὶ ἡ Da 3.21
φλὸξ τῶν θλίψεων.

11α Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα.

Τοῦτο, διὰ τὸν λάκκον τῶν λεόντων, εἰς ὃν ἐνεβλήθη Δανιήλ· εἴη δ' ἂν, καὶ Da 6.17
πᾶσα συνοχὴ κακώσεως.

11β Ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν.

Μάστιγας θλιβούσας· εἰκὸς γὰρ αὐτοὺς καὶ τύπτεσθαι. Ἢ θλίψεις λέγει, τὰ βάρη τῶν πειρασμῶν· νώτους δὲ, ἑαυτοὺς, ὡς ἀπὸ μέρους τὸ πᾶν.

12α Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν.

Ὑπέταξας ἡμᾶς τοῖς ἐχθροῖς· πατεῖσθαι ἡμᾶς ἔδωκας. Μεταφορι | κὸς δὲ ὁ
λόγος. Πάλαι γὰρ τῶν βασιλέων οἱ νικῶντες ἐχθροὺς, θριαμβεύοντες ἐπάτουν
τὰς κεφαλὰς τῶν ἐζωγρημένων. Jos 10.24

12β Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος.

Πῦρ καὶ ὕδωρ, νόει τὰς συμφοράς· τοῦτο μὲν, ὡς ἐμπιπρώσας τὴν ψυχὴν, τοῦτο δὲ, ὡς ἐπικλυζούσας καὶ ἀποπνιγούσας.

Ἄξιον δὲ ζητῆσαι πῶς, τῶν Βαβυλωνίων αὐτοὺς κακωσάντων, αὐτοὶ τὸν Θεὸν αἰτιῶνται μᾶλλον, ἐπύρωσας ἡμᾶς, λέγοντες, καὶ εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, καὶ τὰ τοιαῦτα. Ἔστι δὲ λύσις τοῦ ζητήματος, ὅτι τὸν Θεὸν ἐγίνωσκον αἴτιον ὧν πεπόνθασι, παραχωρήσαντα τοῖς ἐχθροῖς οὕτω χρήσασθαι τοῖς δούλοις αὐτοῦ.

12γ Καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

Καὶ ὅμως ἐλεήσας ἡμᾶς, ἐξήγαγες εἰς ἀνάπαυσιν.

Χρὴ δὲ γινώσκειν ὅτι τὸ, Ἐδοκίμασας ἡμᾶς, καὶ τὰ ἑξῆς, ἄχρι τοῦ, Καὶ
ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχὴν, προσώπῳ μάλιστα τῶν τοῦ Χριστοῦ μαρτύρων
προηγορεύθη, καθώς φησι Παῦλος ὁ Ἀπόστολος, ἐπεὶ καὶ πάντα κατὰ μέρος Heb 11.32-40
ὑπέστησαν.

[10α][2] ὅπερ ἔχομεν SCAB: ὅπως εἴχομεν M : ὅπως ἔχομεν PF : ὅπως ἔχωμεν V.

13α Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν.

Καθ' ἱστορίαν μὲν, σαφὴς ὁ λόγος. Ἀναγωγικῶς δὲ, οἶκος Θεοῦ, ὁ οὐρανὸς, ὁλοκαυτώματα δὲ, αἱ ὁλοτελεῖς ἐργασίαι τῶν ἀρετῶν, ἃς θύουσι τῷ Θεῷ πάντες οἱ δίκαιοι.

13β- Ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου καὶ ἐλάλησε τὸ στόμα
14 μου ἐν τῇ θλίψει μου.

Εὐχὰς καλεῖ νῦν, τὰς ὑποσχέσεις· τὸ δὲ ἐλάλησεν, ἐφερμηνευτικόν ἐστι τοῦ διέστειλεν.

15α Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι.

Οὐχ ἁπλῶς ὁλοκαυτώματα, ἀλλὰ πίονα. Πίων δὲ, ἐργασία ἀρετῆς ἡ ἐξαίρετος.

15β Μετὰ θυμιάματος καὶ κριῶν, ἀνοίσω σοι βόας μετὰ χιμάρων.

Κατὰ μὲν τὴν ἱστορίαν, ὡς εἴρηται, δῆλα τὰ εἴδη τῶν θυσιῶν· πάντα γὰρ τὰ ῥηθέντα προσεφέρετο.

Κατὰ δὲ τὸν λόγον τῆς ἀναγωγῆς, εἶεν ἂν θυμίαμα μὲν, ἡ ἀποπνέουσα τῆς καθαρᾶς ψυχῆς εὐωδία· κριοὶ δὲ, οἱ ἡγεμονικοὶ τῆς ψυχῆς λογισμοὶ, κερατίζοντες τὰ πάθη· βόες δὲ, αἱ ἐνέργειαι τοῦ σώματος — γῆς μὲν γὰρ ἐργάτης ὁ βοῦς, ἐκ γῆς δὲ τὸ σῶμα, καὶ περὶ γῆν ἐνεργεῖ· χίμαροι δὲ, αἱ ὑπὲρ ἁμαρτιῶν δεήσεις — πάλαι γὰρ ὁ χίμαρος ὑπὲρ ἁμαρτιῶν ἐθύετο. Lev 16.15

Λέγει τοίνυν ὅτι πάντα ταῦτα ἀνοίσω σοι, ἀπαλλάξαντί με τῆς δουλείας τῶν ἐχθρῶν.

16 Δεῦτε ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν Θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μου.

Καθ' ὑπερβατὸν ἡ τῶν ῥητῶν τούτων σύνταξις, ἵν' εἴη τοιαύτη· Δεῦτε ἀκούσατε, πάντες οἱ φοβούμενοι τὸν Θεὸν, καὶ διηγήσομαι ὑμῖν, ὅσα ἐποίησε τῇ ψυχῇ μου, τουτέστιν, ἐμοί. Ἢ καὶ καθ' ἑαυτὸ ἀναγνωστέον ἠθικῶς τὸ, ὅσα ἐποίησε τῇ ψυχῇ μου, οἷον, ὢ πόσα ἐποίησέ μοι καλά.

Εἶτα διέξεισι πῶς εὐηργετήθη.

17 Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.

Ὕψωσα δηλονότι τὴν φωνήν μου, καλοῦσαν αὐτὸν εἰς ἀντίληψιν.

15α[1] μεμυαλωμένα PCBF[TRa] : μεμυελωμένα MV.

Παρατηρητέον δὲ, τὴν ὑπό πρόθεσιν, ἀντὶ τῆς ἐν πάντως κειμένην, οἷον, ἐν τῇ γλώσσῃ μου· τοιοῦτόν ἐστι καὶ τὸ, *Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος*, καὶ Ps 9.28
τὸ, *Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη σου*, καὶ τὰ τοιαῦτα. Ps 13.3

18 Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος.

Ὅτε δὲ, φησὶ, τοῦτον παρεκάλουν, οὐκ ἐθεώρουν ἐν τῇ καρδίᾳ μου κακίαν τινά· καὶ πιστοῦται τὸν λόγον ἐπαρώμενος, ὅτι, εἰ συνεγίνωσκον αὐτῇ τοιοῦτόν τι, μὴ εἰσακουσάτω μου Κύριος τοῦ λοιποῦ, ὁσάκις ἂν αὐτὸν ἐπικαλέσωμαι. |

19α Διὰ τοῦτο εἰσήκουσέ μου ὁ Θεός.

Διότι μετὰ καθαρᾶς καρδίας ἐδεόμην.

Χρὴ δὲ καὶ ἡμᾶς, εἰ μέλλοιμεν ἐπιτυγχάνειν, μετὰ καθαροῦ συνειδότος παρακαλεῖν τὸν Θεόν.

19β Προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου.

Ὅμοιόν ἐστι τοῦτο τῷ τρίτῳ στίχῳ τοῦ πέμπτου ψαλμοῦ. Ps 5.3

20α Εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου.

Ἀφ' ἑαυτοῦ δηλονότι.

20β Καὶ τὸ ἔλεός αὐτοῦ ἀπ' ἐμοῦ.

Ἀπὸ κοινοῦ κἀνταῦθα, τὸ, *ὃς οὐκ ἀπέστησεν*.

66 ξϛ´

1 Εἰς τὸ τέλος· ἐν ὕμνοις· ψαλμὸς ᾠδῆς.

Εἰς τὸ τέλος μὲν, ὅτι προκηρύττει τοῦ Λόγου καὶ Θεοῦ τὴν ἐνανθρώπησιν, ἧς τινος εἰς τὸ τέλος ἀφορᾶν ὑποτίθεται τοὺς ἐντυγχάνοντας.

Ἐν ὕμνοις δὲ, ὅτι καὶ ὑμνεῖν αὐτὸν παρακελεύεται.

Τὸ δὲ, ψαλμὸς ᾠδῆς, προηρμηνεύσαμεν ἐν τῷ προοιμίῳ τῆς παρούσης βίβλου. § 65-66

2α Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς.

Προεγνωκὼς τὸ τῆς θείας ἐνανθρωπήσεως μυστήριον, εὔχεται πληρωθῆναι ταύτην· καὶ πρῶτον μὲν οἰκτειρηθῆναι τὴν τῶν ἀνθρώπων φύσιν, πικρῶς τυραννουμένην ὑπὸ τοῦ διαβόλου, εἶτα εὐλογηθῆναι, εἴτουν ἁγιασθῆναι.

Ζήτει δὲ τὰ σημαινόμενα τῆς εὐλογίας ἐν τῇ ἐξηγήσει τοῦ ε′ στίχου τοῦ κ′ ψαλμοῦ. Ps 20.4α

2β Ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς.

Πρόσωπον τοῦ Πατρὸς, ὁ Υἱός· Ὁ ἑωρακὼς γὰρ, φησὶν, ἐμὲ, ἑώρακε τὸν *Πατέρα μου*. Εὐκτικῶς οὖν φησιν, ἐπιφάναι, τουτέστιν, ἐπιφανείη τὸ πρόσωπον τοῦ Πατρὸς, εἴτουν ὁ Υἱὸς, ἐφ' ἡμᾶς τοὺς ἐπὶ γῆς, διὰ σαρκώσεως· ἢ καὶ τοῦ Χριστοῦ τὸ κατὰ σάρκα πρόσωπον, ὅ ἐστιν αὐτὸς, κατὰ περίφρασιν. Jn 14.9

2γ Καὶ ἐλεῆσαι ἡμᾶς.

Ταὐτὸν τῷ οἰκτειρῆσαι, τὸ ἐλεῆσαι· δὶς οὖν τὸ αὐτὸ εὔχεται, γλιχόμενος ἐπιτυχεῖν οὗ ζητεῖ.

3α Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου.

Εἴη, φησὶ, τόδε καὶ τόδε, ἐπὶ τῷ γνῶναι τοὺς ἐν τῇ γῇ τὴν ὁδὸν τῆς πολιτείας σου, ἣν αὐτὸς βαδίσας, ὑποδείξεις τοῖς μαθηταῖς. Λείπει δὲ ἐν τῇ γῇ τὸ ἄρθρον.

3β Ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Καὶ τοὺς ἐν πᾶσιν ἔθνεσιν ἀνθρώπους τὴν δι' ἡμᾶς ἐνανθρώπησίν σου· ταύτην γὰρ καλεῖ σωτήριον, ὅτι δι' αὐτῆς σῳζόμεθα. Λείπει δὲ καὶ ἐν τοῖς ἔθνεσι τὸ ἄρθρον.

4 Ἐξομολογησάσθωσάν σοι λαοὶ, ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Λαοὶ μὲν ἁπλῶς, οἱ ἐκ περιτομῆς, λαοὶ δὲ πάντες, οἱ ἐξ ἐθνῶν, ὡς πλείους ἐκ πολλῶν γενῶν. Ἐξομολογησάσθωσαν δὲ, ἀντὶ τοῦ, εὐχαριστείτωσαν, ὑμνείτωσαν, ὧν ἐπὶ σωτηρίᾳ ἐνανθρωπήσεις. Tit 1.10

5α Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη.

Περὶ τῆς εὐφροσύνης καὶ ἀγαλλιάσεως, διαφόρως προειρήκαμεν. Εἶτα ἐπάγει καὶ τὴν αἰτίαν τῆς χαρᾶς.

5β Ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.

Διότι κατακρινεῖς μὲν δικαίως τοὺς Ἰουδαίους, τούς ποτε λαούς σου, οἷα μὴ παραδεξαμένους σε, ὁδηγήσεις δὲ, ἐν τῇ γῇ ὢν, τὰ ἔθνη, ἢ τὰ ἔθνη τὰ ἐν τῇ γῇ, κατ' ἔλλειψιν ἄρθρου δευτέρου.

2γ[3] ἐπιτυχεῖν MPS : τυχεῖν CV.

6 Ἐξομολογησάσθωσάν σοι λαοὶ, ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Τὰ αὐτὰ πάλιν ἐπανέλαβεν, ἐπιταχύνων τοὺς λαοὺς, καὶ προθυμοτέρους ἀπεργαζόμενος.

7α Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.

Τῶν ἀνθρώπων εὐλογηθέντων, καὶ ἡ γῆ δαψιλῶς ἐκαρποφόρησεν.

Ἢ γῆς καρπὸν λέγει, τοὺς ἐκ γῆς μὲν φύντας ἀνθρώπους, τῷ Θεῷ δὲ καρποφορηθέντας δι’ ἀθλήσεως ἢ ἀσκήσεως, ἢ αὐτὸν τὸν Χριστόν.

7β-8α Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ Θεός.

Ὅρα παραγυμνούμενον τὸ τῆς ἁγίας Τριάδος μυστήριον, τῷ τριπλασιασμῷ τοῦ, | Θεὸς, καὶ Θεὸς, καὶ Θεός.

8β Καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Διὰ μὲν τοῦ τριπλασιασμοῦ, τὸ τρισυπόστατον ἐνέφηνε, διὰ δὲ τοῦ εἰπεῖν ἑνικῶς, αὐτὸν, τὸ ἑνιαῖον τῆς θεότητος. Εἰ γὰρ καὶ Θεὸς ἕκαστον τῶν τριῶν προσώπων, ἀλλ’ εἷς Θεὸς λέγεται τρισυπόστατος.

67 ξζ´

1 Εἰς τὸ τέλος· ψαλμὸς ᾠδῆς τῷ Δαυίδ.

Εἰς τὸ τέλος μὲν, ὅτι καὶ οὗτος προκηρύττει τοῦ Σωτῆρος τὴν ἐπιφάνειαν ἐκδηλότερον καὶ τὴν κατάλυσιν τῶν δαιμόνων.

Τί δέ ἐστι ψαλμὸς ᾠδῆς προείρηται. § 65-66

2α Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ.

Τῶν δαιμόνων τυραννούντων, καὶ μήτε ἀνθρώπου, μήτε ἀγγέλου βοηθοῦντος Isa 63.9
τοῖς καταδουλωθεῖσιν, αὐτὸν τὸν Πλάστην τῶν τυραννουμένων καλεῖ πρὸς ἄμυναν. Ἀνάστασιν δὲ θεοπρεπῶς νοήσεις, τὴν κίνησιν εἰς ἐκδίκησιν.

Εἰ δὲ καὶ προστακτικῶς ἐσχημάτισται τὸ, ἀναστήτω, καὶ τὰ ἑξῆς, ἀλλ’ εὐκτικοῦ λόγου σημασίαν ἔχουσιν, ὡς καὶ ἐν ἄλλοις εἰρήκαμεν, οἷον, ἀνασταίη, καὶ διασκορπισθεῖεν, καὶ φύγοιεν, καὶ ἐκλίποιεν.

Ἐχθροὶ δὲ τοῦ Θεοῦ, κυρίως οἱ δαίμονες, ὡς ἀποστάται καὶ ἀντικείμενοι.

2β Καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ, οἱ μισοῦντες αὐτόν.

8β[2] τριπλασιασμοῦ PCB : τριπλασμοῦ MSFV. 2α[8] ἀποστάται MSCBFV : ἀντιστάται P.

Ἀπὸ τῆς ἐπιφανείας αὐτοῦ, μὴ φέροντες τὴν διὰ σαρκὸς αὐτοῦ παρουσίαν. Ἔνθα γὰρ παρῄει, ἐδραπέτευον ἀμεταστρεπτί.

3α Ὡς ἐκλείπει καπνὸς, ἐκλειπέτωσαν.

Ὥσπερ ὁ καπνὸς ἐκλείπει τῷ πνεύματι τοῦ ἀνέμου, οὕτω καὶ οὗτοι τῷ Πνεύματι τῷ ἁγίῳ, ἐλαυνόμενοί τε καὶ σκεδαννύμενοι.

3β Ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.

Ὥσπερ ὁ κηρὸς τήκεται τῇ ἐπιφανείᾳ τοῦ πυρὸς, οὕτως οὗτοι, τῇ ἐπιφανείᾳ
τοῦ Χριστοῦ, ὃς προσαγορεύεται πῦρ καταναλίσκον τὴν μοχθηρίαν, τακήσονται Heb 12.29
ὑποῤῥέοντες. Dt 4.24

Τὸ δ' ἀπολοῦνται, οὐ τὴν εἰς τὸ μὴ ὂν ὅλως ἀφάνειαν αὐτῶν βούλεται σημαίνειν, ἀλλὰ τὴν εἰς τὸ μὴ εἶναι ἐν τοῖς τόποις ἐκείνοις ἔτι.

Ἁμαρτωλοὶ δὲ, οἱ δαίμονες, ὡς πρῶτοι ἁμαρτήσαντες, καὶ τῆς ἁμαρτίας εὑρεταὶ καὶ διδάσκαλοι.

4α Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Καὶ λοιπὸν οἱ δικαιωθέντες διὰ τῆς εἰς Χριστὸν πίστεως, καταλυθείσης τῆς τυραννίδος τῶν δαιμόνων, εὐφρανθήτωσαν.

4β Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.

Ἐνώπιον τοῦ Θεοῦ, ἐπισκοποῦντος αὐτοὺς ἀεί· Ὀφθαλμοὶ γὰρ, φησὶ, *Κυρίου*
ἐπὶ δικαίους. Ps 33.16

Τὸ δὲ, *εὐφρανθήτωσαν*, καὶ *ἀγαλλιάσθωσαν*, καὶ *τερφθήτωσαν*, καὶ *ἐν εὐφροσύνῃ*, ταὐτὸν σημαίνοντα, τὴν ἐπίτασιν τῆς χαρᾶς ἐμφαίνουσιν.

5α Ἄισατε τῷ Θεῷ.

Οἱ τῆς τοιαύτης χαρᾶς ἀξιούμενοι.

5β Ψάλατε τῷ ὀνόματι αὐτοῦ.

Περὶ τούτου προείρηται ἡμῖν ἐν τῷ δ′ στίχῳ τοῦ θ′ ψαλμοῦ. Ps 9.3β

5γ Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν· Κύριος ὄνομα αὐτῷ.

Πρὸς τοὺς ἀποστόλους οὗτος ὁ λόγος, κελεύων δραμεῖν εἰς τὰ ἔθνη, καὶ τὴν ὁδὸν τῶν ψυχῶν αὐτῶν εὐτρεπίσαι τῇ ἐπιδημίᾳ τοῦ Χριστοῦ διὰ τοῦ κηρύγματος. Τούτῳ δὲ ἴσον ἐστὶ τὸ, *Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου*. Ὁδοποιήσατε, φησὶ, τῷ Χριστῷ, πᾶν σκῶλον ἐξάραντες. Mt 3.3 Isa 40.3

Τῷ ἐπιβεβηκότι δὲ εἶπεν ἐπὶ δυσμῶν, διότι *Φῶς ὢν ἀπρόσιτον*, καὶ *Ἥλιος δικαιοσύνης*, ἐπέβη τῶν ψυχῶν τῶν ἀνθρώπων, | ἐνοικήσας αὐταῖς διὰ πίστεως, αἳ δυσμαὶ ἦσαν, ἤτοι νύκτες, διὰ τὸ ἀλαμπὲς καὶ τὸν ζόφον τῆς πλάνης, τὸν πάλαι κατακεχυμένον αὐτῶν. 1Tim 6.16 Mal 3.20

Εἶτα λέγει καὶ τὸ ὄνομα αὐτοῦ, ὅτι Κύριος ἁπάντων ἁπλῶς, ὅ ἐστι, Θεός.

5δ Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ.

Τοῦτο μικρὸν ἀνωτέρω τῷ ἑβδόμῳ στίχῳ συνδιηρμήνευται. Ps 67.4β

5ε Ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ.

Καὶ τοῦτο πάλιν, τῷ δευτέρῳ στίχῳ. Ps 67.2β

6α Τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν.

Διὰ μὲν τοῦ πρώτου κώλου, τὸ κηδεμονικὸν αὐτοῦ παρέστησε, διὰ δὲ τοῦ δευτέρου, τὸ δικαστικόν· ὅτι καὶ κηδεμών ἐστι τῶν ἀπροστατεύτων, καὶ κριτὴς τῶν ἀδικουμένων.

Ἢ ὀρφανοὺς καὶ χήρας καλεῖ, τοὺς ἐξ ἐθνῶν πιστεύσαντας· τὸ μὲν, ὡς ἀποβεβληκότας τὸν πάλαι πατέρα αὐτῶν διάβολον, τὸ δὲ, ὡς χηρωθέντας τοῦ αὐτοῦ πάλιν, ὃν εἶχον καὶ νυμφίον, ὡς προσκολληθέντες αὐτῷ. Μετὰ δὲ τὸ κήρυγμα, πατέρα καὶ νυμφίον ἀντέλαβον τὸν Θεόν· πατέρα μὲν, ὡς κηδεμόνα, νυμφίον δὲ, ὡς συναφθέντες αὐτῷ διὰ τῆς πίστεως.

6β Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.

Ἐν τῷ οὐρανῷ· λείπει δὲ τὸ, ἔστιν. Εἰρηκὼς γὰρ, *Ἀναστήτω ὁ Θεὸς*, καὶ *Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν*, ἀναγκαίως ἐπήγαγεν, *Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ*, διδάσκων, ὅτι ἐν οὐρανῷ ὢν, ὅς ἐστιν ἅγιος τόπος αὐτοῦ, ἀνίσταται καὶ πρὸς ἄμυναν, καὶ ἐπιβαίνει ἐπὶ δυσμῶν, καὶ ἃ βούλεται οἰκονομεῖ, οὐ μεταβάσει τοπικῇ χρώμενος, ἀπερίγραπτος γάρ ἐστι. Τοιοῦτόν ἐστι καὶ τὸ, *Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ*. Κάτω γὰρ πολιτευόμενος, καὶ ἐν τῷ οὐρανῷ ἦν, ἀχώριστος τοῦ Πατρός. Jn 3.13

Εἴη δ' ἂν ἅγιος τόπος Θεοῦ, καὶ ἡ Ἐκκλησία τῶν πιστῶν, καὶ πᾶς θεοφιλής.

5γ[8] Add. [M in marg.]PBV: Ἢ δυσμὸς, ὁ κόσμος, κατὰ τὸ, *Τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει* [Jn 1.5]. : om. SCF.

7α Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ.

Μονοτρόπους φησὶ, τοὺς δικαίους, ὡς μηδεμίαν διπλόην πονηρίας ἔχοντας, μὴ δὲ ἐπιπλοκὴν κακίας, ἀλλ' ἕνα σκοπὸν, τὴν θεραπείαν τοῦ Θεοῦ μεταδιώκοντας, οὓς καὶ κατοικίζει ἐν οἰκίᾳ, περὶ ἧς εἴρηκε Παῦλος, ὅτι *Οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς.* 2Cor 5.1

Ὁ δὲ Σύμμαχος, μοναχοὺς ἐξέδωκεν, ὡς μεμονωμένους παντὸς βιωτικοῦ πράγματος, οὓς κατοικίζει ἐν οἰκητηρίῳ καταμόνας· προαγορεύει δὲ, τὴν πολιτείαν τῶν ἀναχωρητῶν.

7β Ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ.

Ἐξάγων, εἴτουν ἐλευθερῶν, τοὺς πεπεδημένους ταῖς σειραῖς τῶν οἰκείων ἁμαρτημάτων, ἢ τοῖς δεσμοῖς τοῦ δαίμονος, ἅ εἰσι τὰ πάθη. Λέγει δὲ, τοὺς ἐξ ἐθνῶν πιστεύσαντας· ἐξάγων δὲ αὐτοὺς ἐν ἀνδρείᾳ, ἤγουν ἐν ἰσχύϊ θεότητος, καταγωνιζομένῃ τὸν τύραννον, ἢ ἐν δυνάμει λόγων τῶν εὐαγγελικῶν. Prov 5.22

7γ Ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις.

Οὐ μόνον δὲ τούτους, ἀλλὰ καὶ τοὺς ἐκ περιτομῆς· τοὺς Ἰουδαίους γὰρ καλεῖ παραπικραίνοντας, ὡς ἐν τῷ ξε´ ψαλμῷ προδιελάβομεν. Tit 1.10; Ps 65.7γ

Εἴη δ' ἂν ταυτὶ τὰ ῥητὰ καὶ προφητεία περὶ τῆς παγκοσμίου τῶν νεκρῶν ἀναστάσεως, ὅτι πάντας ἐξαγάγῃ τῶν τάφων, τοὺς πεπεδημένους νεκρικῶς, ὁμοίως δὲ καὶ τοὺς Ἰουδαίους· εἶτα, ἡ ἐπεξήγησις, ὅτι τοὺς κατοικοῦντας ἐν τάφοις· διὰ τούτων δὲ, καὶ τοὺς ἐν πυρὶ, καὶ ἐν θαλάσσῃ, καὶ ὅπωσ | δήποτε διαφθαρέντας, ἐδήλωσεν.

8-9α Ὁ Θεὸς, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ, γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν.

Ὅτε εἶπας πρὸς Ἰουδαίους, *Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος*, τέλος ἤδη λαμβανούσης τῆς Ἰερεμίου προφητείας, ἐκ προσώπου σου, Χριστὲ, φήσαντος, ὅτι *Ἐγκατέλιπον τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου*, τότε μετὰ τὸ ἐκπορευθῆναί σε καὶ ἀναχωρῆσαι ἐνώπιον τοῦ μέχρι τότε λαοῦ σου, καὶ διαβῆναι σε εἰς τὴν ἀθροισθησομένην Ἐκκλησίαν τῶν ἐθνῶν, τὴν ἔρημον θεογνωσίας καὶ ἄκαρπον ἀρετῆς, ἡ γῆ μὲν ἐσείσθη κατὰ τὸν καιρὸν τοῦ πάθους καὶ τῆς ἀναστάσεως, οἱ οὐρανοὶ δὲ ἔσταξαν τὴν κάθοδον τοῦ ἁγίου Πνεύματος εἰς τοὺς ἀποστόλους ἐν τῷ καιρῷ τῆς Πεντηκοστῆς· ἢ ἐσείσθη μὲν ἡ γῆ, μεταβάντων τῶν ἐθνῶν ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν, ἔσταξαν δὲ οἱ ἀπόστολοι τὸ ὕδωρ τοῦ κηρύγματος, ἀρδεῦον ψυχάς· οὐρανοὶ γὰρ καὶ οὗτοι, διὰ τὸ φρονεῖν οὐράνια καὶ τὸ ὑπερκεῖσθαι παντὸς γεηροῦ πράγματος. Mt 23.38; Jer 12.7

Ὁ δὲ σύνδεσμος ὁ *γάρ* περιττεύει.

9β Ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.

Περιφραστικῶς τὸ, ἀπὸ προσώπου τοῦ Θεοῦ, τουτέστιν, ὑπὸ τοῦ Θεοῦ, ἵν᾽ ᾖ τοιοῦτον, ὅτι ταῦτα γεγόνασιν ὑπὸ τοῦ ὄντος Θεοῦ, τοῦ Σινᾶ ὄρους. Αὐτὸς γάρ ἐστι καὶ τοῦ Σινᾶ Θεὸς καὶ τοῦ Ἰσραήλ.

Ἐμνημόνευσε δὲ τούτων, δεικνὺς ὅτι ὁ ἐν Σινᾶ τερατουργήσας καὶ τῷ Ἰακὼβ Ex 19.16-19
φαντασθεὶς, αὐτὸς καὶ ταῦτα ποιεῖ, καὶ οὐκ ἔστι Θεὸς ἕτερος, παρ᾽ ἐκεῖνον. Gen 28.13

10α Βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ Θεὸς, τῇ κληρονομίᾳ σου.

Κληρονομία μὲν Θεοῦ, τὰ ἔθνη, κατὰ τὸ, *Καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου*· βροχὴ δὲ, ὁ λόγος τοῦ Εὐαγγελίου, ἁπαλύνων καὶ ἀρδεύων τὰς ψυχάς. Ps 2.8α

Ἑκούσιος δὲ ἡ βροχὴ αὕτη, διότι ὁ μὲν Μωσαϊκὸς νόμος, οὐ κατὰ θέλησιν ἦν Θεοῦ, ἀλλὰ κατ᾽ οἰκονομίαν· οὐ γὰρ ἔχρῃζε τῶν θυσιῶν, οὐδὲ τῶν τοιούτων ἄλλων παρατηρημάτων. *Τίς γὰρ*, φησὶ, *ταῦτα ἐξεζήτησε*; καὶ πάλιν, *Μωυσῆς πρὸς τὴν* Isa 1.12
σκληροκαρδίαν ὑμῶν ἔγραψεν. Ὁ δὲ τοῦ κηρύγματος λόγος, κατ᾽ εὐδοκίαν ἐστὶ Mt 19.8
Θεοῦ.

Ἢ καὶ ὅτι ἐκεῖνος μὲν, καὶ ἄκοντας ἐκείνους ἠνάγκαζε φυλάττειν τὰς ἐντολὰς, λιθοβολῶν, καίων, καὶ πικρῶς ἀναιρῶν, οὗτος δὲ, οὐδένα βιάζεται, ἀλλὰ θέλουσιν αὐτοῖς προσφέρεται.

10β Καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.

Ἠσθένησε πάλαι, συντριβεῖσα τῇ τυραννίδι τῶν εἰδώλων. Σὺ δὲ ἀρτίαν αὐτὴν ἐποίησας, ἀνακαινίσας διὰ τῆς παλιγγενεσίας τοῦ βαπτίσματος καὶ στερεώσας ἐπὶ τὴν ἄσειστον πέτραν τῶν ἐντολῶν σου.

11α Τὰ ζῷά σου κατοικοῦσιν ἐν αὐτῇ.

Οἱ παρὰ σοῦ πνευματικῶς τρεφόμενοι, καὶ ζῶντες τὴν ἐν σοὶ ζωήν. Ἢ ζῷα τοῦ Χριστοῦ, οἱ ἀπόστολοι, οὓς ὁ Ἀββακοὺμ ἵππους ὠνόμασεν, *Ἐπεβίβασας*, λέγων, *εἰς θάλασσαν τοὺς ἵππους σου*, θάλασσαν καλέσας, τὴν πικρὰν ἀπιστίαν. Hab 3.15

11β Ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ Θεός.

Πτωχὸς, ὁ τῶν ἐθνῶν λαὸς, μηδένα πλοῦτον πνευματικὸν δεξάμενος· οὐ γὰρ νόμον εἶχεν, οὐ προφήτας, ἀλλ᾽ ὁ Θεὸς δι᾽ οἰκείαν χρηστότητα, ἡτοίμασεν αὐτῷ πλοῦτον ἄλλον, τὴν δηλωθεῖσαν ἑκούσιον βροχήν.

12 Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.

10α[1] ἑκούσιον PCBV[TRa] : ἑκουσίαν MF. 10α[4] ἑκούσιος PV : ἑκουσία MSCBF. 11β[3] προφήτας PSCBF : προφητείας MV.

Τοῦτο, περὶ τῶν ἀποστόλων, οἷς ἁλιεῦσι καὶ ἰδιώταις οὖσιν, ὁ Θεὸς ἐχορήγησε λόγον σοφίας. Δυνάμει δὲ πολλῇ εἶπεν, ὅτι τοῖς ῥήμασιν αὐτῶν παρείπετο θεία δύναμις, τερατουργοῦσα ὅσα καὶ | βούλοιντο.

13α Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ.

Ἀγαπητὸν λέγει, τὸν μονογενῆ Υἱὸν καὶ Θεόν· φησὶ γὰρ, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός*. Δυνάμεις δὲ αὐτοῦ, τοὺς ἀποστόλους, ὡς στρατιώτας αὐτοῦ, Mt 3.17
κατὰ τῶν ἀντικειμένων δυνάμεων παρατεταγμένους, ὧν ἐστι βασιλεὺς ὁ Πατὴρ, βασιλεύσας αὐτῶν διὰ τῆς τοῦ Υἱοῦ σπουδῆς.

13β Τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.

Δώσει αὐτοῖς ῥῆμα εἰς τὸ διαμερίσασθαι λάφυρα τῶν ἐχθρῶν, ἅ εἰσι τὰ ἔθνη· νικήσαντες γὰρ τοὺς δαίμονας, ἐλαφυραγώγησαν, ἀφελόμενοι τοὺς δεδουλωμένους αὐτοῖς· διελέσθαι δὲ αὐτὰ τῇ ὡραιοτάτῃ Ἐκκλησίᾳ τῶν πιστῶν, ᾗ ἐνοικεῖ ὁ Θεός. Καὶ μέντοι διείλοντο, ὁ μὲν τόδε τὸ ἔθνος, ὁ δὲ τόδε προσαγαγών. Εἴη δ' ἂν ὡραιότης τῆς Ἐκκλησίας, καὶ τὸ Εὐαγγέλιον, δι' οὗ τούτους διείλοντο.

14α Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων.

Κοιμηθῆναι ἐπὶ τοῦ παρόντος ῥητοῦ, τὸ ἀποθανεῖν νοήσομεν. Φησὶ γὰρ πρὸς τοὺς ἀποστόλους, ὅτι προσαχθήσονται ταῦτα τὰ σκῦλα, ἐὰν ἀποθάνητε ἀνὰ μέσον τῶν κλήρων, ἤτοι τῶν κληροδοτηθέντων ὑμῖν ἐθνῶν· καὶ μέντοι κηρύσσοντες, ἀνῃρέθησαν. Ἢ καὶ ἄλλως, ἐὰν ἐγχρονίσητε· χρονίζει γὰρ ἀκινητῶν ὁ κοιμώμενος.

14β Πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.

Περιστερὰν οἰόμεθα, τὸν Χριστὸν, διὰ τὸ φιλάνθρωπον καὶ ἀνεξίκακον, οὗ πτέρυγες μὲν, εἴη ἂν τὸ σῶμα, ὡς ἀκρότατον, μετάφρενα δὲ, ἡ ψυχὴ, ὡς ἐνδότερον.

Λέγει δὲ, ὅτι λελαμπρυσμένον μὲν τὸ σῶμα αὐτοῦ, ὡς ἀναμάρτητον, λαμπρὸς γὰρ ὁ ἄργυρος, ἐν καθαρότητι δὲ χρυσίου ἡ ψυχὴ αὐτοῦ, ὡς ἡνωμένη τῇ θεότητι· τὸ χλωρὸν γὰρ χρυσίον, καθαρώτατόν ἐστιν.

Ἄλλοι δὲ, τὸ πρὸ τούτου ῥητὸν τῷ παρόντι συντάττοντες, φασὶν ὅτι ἐὰν στερεωθῆτε ἀνὰ μέσον τῶν δύο Διαθηκῶν, τῆς τε Παλαιᾶς καὶ τῆς Νέας — ἐστερέωται γὰρ ἀκινητῶν ὁ κοιμώμενος — καὶ ἀποκεκλήρωνται αἱ Διαθῆκαι, ἡ μὲν τῷ παλαιῷ λαῷ πρὸ τοῦ σταυροῦ, ἡ δὲ τῷ νέῳ μετὰ τὸν σταυρὸν, ἐὰν οὖν οὕτω, φησὶ, ποιήσητε, μεσάζοντες καὶ συμβιβάζοντες τὴν Νέαν πρὸς τὴν

Παλαιάν — ἐκείνη μὲν γὰρ τύπος, αὕτη δὲ ἀλήθεια — τότε τῆς περιστερᾶς, ἤτοι τοῦ ἁγίου Πνεύματος, αἱ μὲν πτέρυγες, εἴτουν τὰ ἀκρότατα καὶ ἁπλούστερα νοήματα, λαμπρὰ φανήσονται, τὰ δὲ μετάφρενα, τουτέστι, τὰ ἐνδότερα καὶ μυστηριωδέστερα, δίκην χλωρότητος χρυσοῦ, καθαρώτατα· εἰ δὲ λαμπρὸς μὲν ὁ ἄργυρος, λαμπρὸς δὲ καὶ ὁ χρυσὸς, ἀλλ' ἡ τοῦ χρυσοῦ λαμπρότης βαθυτέρα ἐστί. Περιστερὰν δὲ νοοῦσι, τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι καὶ ἐν εἴδει περιστερᾶς κατῆλθεν
ἐπὶ τὸν Χριστὸν βαπτιζόμενον. Lk 3.22

15 Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς χιονωθήσονται ἐν Σελμών.

Βασιλεῖς νῦν, τοὺς ἀποστόλους ὠνόμασεν, ὡς κληρονόμους τῆς βασιλείας τῶν
οὐρανῶν, οὓς καὶ ἐν τῷ μδ´ ψαλμῷ ἄρχοντας προσηγόρευσε. Προλέγει δὲ ἐνταῦθα Ps 44.17β
τὴν εἰς αὐτοὺς γενομένην ἐν τῷ καιρῷ τῆς Πεντηκοστῆς ἐπιφοίτησιν τοῦ ἁγίου Πνεύματος· φησὶν οὖν ὅτι ἐν τῷ τὸν ἐπουράνιον Θεὸν ἀποστέλλειν ἢ διαιρεῖν καὶ διακληροῦν βασιλεῖς ἐπ' αὐτῆς, φημὶ δὴ, τῆς προῤῥηθείσης κληρονομίας,
ἥτις ἐστὶ τὰ ἔθνη — *Πορευθέντες γὰρ, φησὶ, μαθητεύσατε πάντα τὰ ἔθνη* — Mt 28.19
χιονωθήσονται, | ὅ ἐστι λευκανθήσονται καὶ λαμπρυνθήσονται, διὰ τῆς αἴγλης τοῦ ἁγίου Πνεύματος. Προσέθηκε δὲ καὶ τὸν τόπον· καὶ Σελμὼν γὰρ, ἡ Ἰερουσαλὴμ
ἐκαλεῖτο, ἔνθα ἐκάθηντο, ἕως ἂν ἐνεδύσαντο *δύναμιν ἐξ ὕψους*. Lk 24.49

Παρατηρητέον δὲ τὴν ἐν πρόθεσιν, πολλάκις ὑστεροχρονίαν σημαίνουσαν, ὡς ἐπὶ τοῦ παρόντος, *ἐν τῷ διαστέλλειν* γὰρ, ἀντὶ τοῦ, μετὰ τὸ διαστεῖλαι· ταύτην δὲ
τὴν παρατήρησιν παραδεδώκαμεν καὶ ἐν τῇ ἐπιγραφῇ τοῦ ν´ ψαλμοῦ. Ps 50.2

16 Ὄρος τοῦ Θεοῦ, ὄρος πῖον, ὄρος τετυρωμένον, ὄρος πῖον.

Ὄρος τοῦ Θεοῦ, καλεῖ τὴν Ἐκκλησίαν τῶν πιστῶν· ὄρος μὲν, ὡς ὑπερκειμένην τῶν γεηρῶν καὶ εἰς οὐρανὸν ἀνατεινομένην διὰ πράξεως καὶ θεωρίας· τοῦ Θεοῦ δὲ, ὡς ᾠκειωμένην τῷ Θεῷ· πῖον δὲ, διὰ τὴν δαψίλειαν καὶ εὐχρηστίαν τῆς ἐν αὐτῇ πνευματικῆς νομῆς· τετυρωμένον δὲ, διὰ τὸ συνεστὼς καὶ στερεὸν τῶν ἐν αὐτῇ δογμάτων τῆς πίστεως — πεπηγὼς γὰρ ὁ τυρός· εἶτα πάλιν, πῖον, τῇ δαψιλείᾳ τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος.

Ἐξυμνεῖ δὲ ποικίλως τὸ τοιοῦτον ὄρος, διὰ τὴν ποικιλίαν τῶν δυνάμεων αὐτοῦ.

17α Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα;

Πρὸς τοὺς ἐχθροὺς τῆς Ἐκκλησίας ἀποτείνεται φάσκων, ὅτι διὰ τί ὑπολαμβάνετε ἕτερα ὄρη τετυρωμένα, παρὰ ταύτην;

17β Τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ.

Τοῦτό ἐστι, φησὶ, τὸ ὄρος, ὃ ηὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ. Αὕτη γὰρ, φησὶν, ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος. Ps 131.14

17γ Καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.

Κατασκηνώσει ἐν αὐτῷ εἰς τέλος, ἀντὶ τοῦ, διαπαντός.

Τί δ' ἂν εἴποιεν Ἰουδαῖοι περὶ τούτου; οὐκ εἰς τέλος γὰρ κατῴκησεν ἐν Σιὼν, ἀλλὰ ῥητὸν χρόνον.

18α Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον.

Εἰπὼν ἄνω, Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι, νῦν οἰκείως ἅρματος ἐμνημόνευσεν. Ps 67.5γ
Εἶεν δ' ἂν ἅρμα Θεοῦ, πάντες οἱ τὸν χαλινὸν τῆς πίστεως δεξάμενοι καὶ ὑποζυγέντες τῷ χρηστῷ ζυγῷ τοῦ Χριστοῦ, καὶ ἐπιβάτην καὶ ἡνίοχον, αὐτὸν ἔχοντες. Mt 11.30
Τοῦτο δὲ τὸ ἅρμα, μυριοπλάσιον εἶναι λέγει τοῦ παλαιοῦ ἅρματος τῶν ἐν Ἰουδαίοις δικαίων. 4Rg 2.12

18β Χιλιάδες εὐθηνούντων.

Λείπει τὸ, εἰσίν· εὐθηνούντων δὲ, τῇ καρποφορίᾳ τῶν ἀρετῶν.

18γ Κύριος ἐν αὐτοῖς ἐν Σινᾶ ἦν ἐν τῷ ἁγίῳ.

Λείπει δὲ τὸ, ὅς, ἵν' ᾖ τοιοῦτον, Κύριος ἐν αὐτοῖς ἐστιν, ὃς ἐν τῷ Σινᾶ ἦν πάλαι τῷ ἁγίῳ· περιττευούσης τῆς ἐν τῷ ἁγίῳ προθέσεως. Εἷς γὰρ ὁ καὶ ἐκεῖ καὶ ἐνταῦθα νομοθετῶν· ἅγιον δὲ τὸ Σινᾶ, ὡς ἁγιασθὲν τῇ ἐπιδημίᾳ τοῦ Θεοῦ, καὶ ὡς Θεῷ ἀνακείμενον.

19α Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν.

Εἰς τὸ ὕψος τοῦ σταυροῦ· ἢ εἰς τὸν οὐρανὸν, ἐν τῷ καιρῷ τῆς Ἀναλήψεως. Ἀνέβης δὲ, διὰ τὸ ἑκούσιον τῆς ἀναβάσεως.

Τῷ δόρατι δὲ τοῦ σταυροῦ καθελὼν τὸν τυραννοῦντα διάβολον, ᾐχμαλώτευσας τὴν αἰχμαλωσίαν τῶν ἐθνῶν, ἣν ἐκεῖνος πρότερον ᾐχμαλώτευσεν, ἑαυτῷ ταῦτα καταδουλωσάμενος. Εἴρηκε γὰρ καὶ ὁ Χριστὸς, Ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Jn 12.32

19β Ἔλαβες δόματα ἐν ἀνθρώποις.

Ὁ δ' Ἀπόστολος, ἔδωκε δόματα, εἶπεν. Ἀμφότερα δὲ γεγένηνται· λαμβάνων Eph 4.8
γὰρ παρὰ τῶν προσιόντων πίστιν καὶ εὐχαριστίαν, ἐδίδου χαρίσματα διάφορα.

19γ Καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι.

Καὶ γὰρ αὐτοὺς ἐκείνους ἔλαβες, τοὺς πρότερον ἀπειθοῦντας ἀνθρώπους· ἔλαβες δὲ αὐτοὺς ἐπὶ | τῷ κατασκηνῶσαι ἐν αὐτοῖς, γενομένοις ἄξιόν σου κατοικητήριον.

19δ-20α Κύριος ὁ Θεὸς εὐλογητὸς, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν.

Ὅρα τὸν περὶ τῆς ἁγίας Τριάδος λόγον· Κύριος, καὶ ὁ Θεὸς, καὶ Κύριος. Οὕτω γὰρ καὶ Μωυσῆς εἴρηκεν, *Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν.* Dt 6.4

Εἰπὼν δὲ ὅτι εὐφημητέος ἐστὶν ἡμέραν, ᾗ συνεξακούεται τὸ, *ἀνὰ πᾶσαν*, ἐσαφήνισε τὴν δυσχέρειαν τῆς λέξεως προσθεὶς τὸ, *καθ' ἡμέραν*.

Τινὲς δὲ τὸ, *ἡμέραν καθ' ἡμέραν*, ἁπλῶς νοοῦσιν, ἀντὶ τοῦ, *ἡμέραν ἐξ ἡμέρας*, ὅ ἐστιν, ἀεὶ, κατὰ διαδοχὴν ἡμερῶν.

20β-21α Κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῴζειν.

Ὅρα κἀνταῦθα τὸν περὶ τῆς ἁγίας Τριάδος λόγον· τρὶς γὰρ τέθειται τὸ, *ὁ Θεός*.

Οὐκ ἀπεικὸς δὲ καὶ σωτηριῶν, περισπωμένως ἀναγινώσκειν. Οὐδετέρως μὲν γὰρ, παροξυτονεῖται, θηλυκῶς δὲ, περισπᾶται· λέγομεν γὰρ καὶ τὸ σωτήριον, καὶ ἡ σωτηρία. Τὸ δὲ, *ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν*, καὶ τὸ, *ὁ Θεὸς τοῦ σῴζειν*, τὸ αὐτὸ σημαίνουσιν, ὅτι ὁ Κύριος τῶν σωτηρίων ἡμῶν, ὁ Κύριος τοῦ σῴζειν· ἢ, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ὁ Θεὸς ὁ σῴζων.

21β Καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.

Τῆς δυνάμεως τοῦ Θεοῦ ἐστι τὸ διεξάγειν ἐκ θανάτου εἰς ζωήν. Θάνατον δὲ νόει, καὶ τὸν φυσικὸν καὶ τὴν ἁμαρτίαν· ὁ μὲν γὰρ νεκροῖ τὸ σῶμα πρὸς τὰς φυσικὰς ἐνεργείας, ὁ δὲ τὴν ψυχὴν, πρὸς τὰς ἐναρέτους.

Εἴη δ' ἂν τοῦτο καὶ πρόῤῥησις περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Σωτῆρος· τοῦ γὰρ αὐτοῦ γέγονε πρῶτον ἡ διέξοδος τοῦ θανάτου, διεξελθόντος αὐτὸν καὶ ἀναστάντος σαρκί.

22α Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ.

Τὰς καιριωτάτας δυνάμεις τῶν δαιμόνων· ἐν τῇ κεφαλῇ γὰρ αἱ καιριώταται δυνάμεις τοῦ σώματος. Περιττεύει δὲ κἀνταῦθα, τὸ, *πλήν*. Συντόμως δὲ εἰπεῖν, συνθλάσει νοητῶς τὰς νοητὰς αὐτῶν κεφαλάς.

20β[7] *ὁ Κύριος τῶν σωτηρίων ἡμῶν* MBV : *ὁ Κύριος τῶν σωτηριῶν ἡμῶν* PC : om. [homoeoteleuton] SF.

22β Κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.

Τῶν διαπορευομένων, εἴτουν καταπατούντων τὴν κορυφὴν τῆς κόμης τῶν ἁμαρτωλῶν· τρίχα γὰρ νῦν, τὴν κόμην νοήσεις· καταπατούντων δὲ αὐτὴν, ἐν τῷ πλημμελεῖν αὐτούς. Ὅτε γὰρ ἁμαρτάνουσιν οἱ ἄνθρωποι, τότε οἱ δαίμονες καταπατοῦσιν αὐτοὺς, ὑποτεταγμένους ἤδη.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν· τῶν διαπορευομένων, ὅ ἐστι, διερευνωμένων ἐν ταῖς πλημμελείαις τῶν ἀνθρώπων· τρίχα κορυφῆς, κατ' ἐναλλαγὴν, τουτέστι, τὸ λεπτότατον ἁμάρτημα τοῦ ἀνθρώπου. Ἐξετάζουσι γὰρ καὶ τὰ τοιαῦτα κατὰ τὸν καιρὸν τοῦ λογοθεσίου τῆς ψυχῆς.

23α Εἶπε Κύριος, Ἐκ Βασὰν ἐπιστρέψω.

Ἡ Βασὰν, αἰσχύνην ἑρμηνεύει· ἐπέστρεψεν οὖν τοὺς ἐξ ἐθνῶν ἀπὸ τῆς αἰσχύνης τῶν εἰδώλων καὶ τῆς αἰσχύνης τῆς ἁμαρτίας.

23β Ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης.

Ἐπέστρεψε δὲ αὐτοὺς ἀπὸ τῆς δηλωθείσης αἰσχύνης διὰ τοῦ ἁγίου βαπτίσματος· τοῦτο γὰρ νῦν καλεῖ, βυθοὺς θαλάσσης, διὰ τὸ βυθίζειν τὴν ἁλμυρὰν καὶ πικρὰν ἁμαρτίαν. Φησὶ γὰρ καὶ Μιχαίας, *Αὐτὸς ἐπιστρέψει, καὶ ἐλεήσει ἡμᾶς, καὶ καταδύσει τὰς ἁμαρτίας ἡμῶν, καὶ ἀποῤῥιφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης.* Mich 7.19

Εἶεν δ' ἂν βυθοὶ θαλάσσης, καὶ τὰ βάθη τῆς ἁμαρτίας, εἴτουν τὰ χαλεπώτατα πλημμελήματα, ἀφ' ὧν ἐπέ | στρεψεν αὐτοὺς ὁ Θεὸς, ἐξαγαγὼν εἰς φῶς ἀρετῆς. Ἐνταῦθα δὲ τὸ, ἐν βυθοῖς, ἀντὶ τοῦ, ἐκ βυθῶν, λήψῃ, πρόθεσιν ἀντὶ προθέσεως.

24α Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι.

Τοῦτο δὲ, ὦ Κύριε, ποιήσεις, ὅπως ἂν τέλεον νικήσῃς τοὺς δαίμονας.

Μεταφορικὸς δὲ ὁ λόγος· οἱ γὰρ νικῶντες ἐν τῷ ἀριστεύειν, ἐπεμβαίνοντες τοῖς σώμασι τῶν ἀνῃρημένων ἐχθρῶν, βάπτονται τοὺς πόδας ἐν τῷ καταῤῥέοντι τούτων αἵματι. Φησὶ γὰρ καὶ Ἡσαΐας ἐκ προσώπου Χριστοῦ, *Συνεπάτησα αὐτοὺς ἐν τῷ θυμῷ μου, καὶ κατήγαγον εἰς γῆν τὸ αἷμα αὐτῶν, καὶ κατεῤῥαντίσθη τῷ κατανικήματι αὐτῶν τὰ ἱμάτιά μου.* Ταυτὶ γὰρ τὰ ῥητὰ, τοῦτο βούλονται Isa 63.3
σημαίνειν, ὅτι τέλεον αὐτοὺς ἐνίκησε.

Καὶ ἄλλως δὲ, ποὺς τοῦ Χριστοῦ, ἡ Ἐκκλησία λέγοιτ' ἂν, βαστάζουσα τοῦτον διὰ πίστεως, ἐπεὶ καὶ ταύτης κεφαλὴ, αὐτὸς ὁ Χριστός· αὕτη οὖν ἐβάφη τῷ αἵματι τοῦ Χριστοῦ, σφραγισθεῖσα τούτῳ, καὶ τειχισθεῖσα, καὶ στομωθεῖσα καθάπερ τῇ βαφῇ σίδηρος, ἢ καὶ τῷ αἵματι τῶν τοῦ Χριστοῦ μαρτύρων, ἢ καὶ τῷ νοητῷ αἵματι τῶν δαιμόνων, νοητῶς ἀποσφαττομένων.

23β[5] *καταδύσει* [Ra] : *καταλύσει* MPSCBFV.

24β Ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.

Ἀπὸ κοινοῦ πάλιν τὸ, ὅπως ἂν βαφῇ. Κύνες δὲ τοῦ Χριστοῦ, οἱ ἐπίσκοποι, καθυλακτοῦντες τῶν νοητῶν λύκων, καὶ τοὺς ἐπιβούλους ἀποσοβοῦντες, καὶ τὰ λογικὰ ποίμνια φυλάττοντες. Καὶ τούτων οὖν ἡ νοητὴ γλῶσσα ἐβάφη, λάπτουσα ἐκ τῶν ἐχθρῶν, συνεξακουομένου κἀνταῦθα, τοῦ αἵματος. Βαφῇ δὲ ἡ γλῶσσα αὐτῶν ἐκ τοῦ αἵματος τῶν ἐχθρῶν, παρ' αὐτοῦ, τουτέστι, παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς βοηθουμένη.

Καὶ τοῦτο δὲ μεταφορικόν· τῶν γὰρ ἐχθρῶν ἀναιρεθέντων, καὶ οἱ κύνες τῶν ἀνελόντων λάπτουσι τοῦ αἵματος αὐτῶν καὶ τὰ τούτων διασπαράττουσι σώματα.

25α Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός.

Αἱ ὁδοὶ καὶ ἀναστροφαὶ καὶ διατριβαὶ τῆς ἐνσάρκου πολιτείας σου· αὐτόπται γὰρ τούτων οἱ ἀπόστολοι ἐχρημάτισαν. *Μετὰ τοῦτο γὰρ*, φησὶν, *ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.* Bar 3.38

25β Αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ.

Ὅρα ὅπως γνησίως ὁ Δαυὶδ τὸν Χριστὸν ὁμολογεῖ Θεὸν, ὡς ἤδη πεπληροφορημένος. Ἅγιον δὲ νῦν λέγει, τὸν Πατέρα, ἐν ᾧ ἦν ἀῤῥήτως· *Ἐγὼ γὰρ*, φησὶν, *ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.* Jn 14.10

26α Προέφθασαν ἄρχοντες ἐχόμενα ψαλλόντων.

Ἄρχοντας καλεῖ, τοὺς ἀποστόλους· *Καταστήσεις γὰρ*, φησὶν, *αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν*, ὡς ἐν τῷ μδ΄ ψαλμῷ παραδεδώκαμεν· οὗτοι οὖν προέλαβον Ps 44.17β
πάντας τοὺς ἐξ ἐθνῶν, πρῶτοι πιστεύσαντες.

Ψάλλοντας δὲ λέγει, τοὺς προφήτας, ὡς ἐκφωνοῦντας τὰ περὶ τοῦ Χριστοῦ· ὧν ἐχόμενα, τουτέστι, σύνεγγυς γεγόνασιν οἱ ἀπόστολοι, ἐξεχόμενοι αὐτῶν, ὅ ἐστιν, ἀκολουθοῦντες αὐτοῖς, καὶ τῷ χρόνῳ καὶ τῷ κηρύγματι.

26β Ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.

Ἐν μέσῳ τῶν Ἰουδαϊκῶν συναγωγῶν· αἳ νεάνιδες μὲν, διὰ τὸ ἀτελὲς τῆς πολιτείας αὐτῶν, τυμπανίστριαι δὲ, διὰ τὸ σωματικὸν τῆς πρὸς Θεὸν λατρείας, ἐκ σώματος γὰρ τὸ τύμπανον.

Ἢ ἐν μέσῳ τῶν κατὰ τόπους Ἐκκλησιῶν· αἳ νεάνιδες μὲν, διὰ τὸ νεαρὸν καὶ καθαρὸν τῆς πίστεως, τυμπανίστριαι δὲ, διὰ τὸ νεκροῦν τὸ σῶμα κατὰ Θεὸν, νεκρὸν γὰρ σῶμα, τὸ τύμπανον. Col 3.5

25β[2] ὅπως MCBFV : πῶς PS.

27α Ἐν ἐκκλησίαις εὐλο | γεῖτε τὸν Θεόν.

Τουτὶ τὸ ῥητὸν τῆς νομικῆς μὲν λατρείας προαναφωνεῖ τὴν παῦλαν, τῶν δὲ κατὰ τόπους Ἐκκλησιῶν προθεσπίζει τὸ πλῆθος· εἷς γὰρ ἦν πάλαι τοῖς πᾶσιν Ἰουδαίοις ναός.

27β Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Τὸν Κύριον εὐλογεῖτε πάλιν ἐκ τῶν νομικῶν καὶ προφητικῶν βίβλων· αὗται γὰρ πηγαὶ τοῦ Ἰσραηλιτικοῦ λαοῦ, πηγάζουσαι αὐτῷ τὴν θεογνωσίαν. Καὶ μέντοι ἐξ ἐκείνων τῶν βίβλων ἀρυσάμενοι, τοὺς ὕμνους τῷ Θεῷ συνέθηκαν οἱ θεοφόροι Πατέρες.

28α Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει.

Ἐκεῖ, ποῦ; Ἐν ταῖς Ἐκκλησίαις. Βενιαμὶν δὲ λέγει, τὸν ἀπόστολον Παῦλον, ὡς
ἐκ φυλῆς ὄντα τῆς Βενιαμίτιδος· νεώτερος δὲ, ὡς ὕστερος τῶν ἄλλων ἀποστόλων Rom 11.1
πιστεύσας· ἐν ἐκστάσει δὲ, διὰ τὴν εἰς τρίτον οὐρανὸν ἁρπαγὴν αὐτοῦ, περὶ ἧς
φησιν, ὅτι *Εἴτε ἐν σώματι, οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς*
οἶδεν. 2Cor 12.2

Εἰς τοῦτον γὰρ καὶ τὰ τῆς περὶ τοῦ Βενιαμὶν προφητείας πεπλήρωται·
Βενιαμὶν, λύκος ἅρπαξ, τὸ πρωῒ ἔδεται, καὶ τὸ ἑσπέρας διαδίδωσι τροφήν. Λύκου Gen 49.27
γὰρ δίκην ὁ Παῦλος τὴν Ἐκκλησίαν διήρπαζε· καὶ πρότερον μὲν κατήσθιεν αὐτὴν τῷ θυμῷ καὶ τῷ φόνῳ, ὕστερον δὲ τροφὴν τοῖς αὐτῆς διεδίδου πνευματικὴν, τὸν οὐράνιον ἄρτον διανέμων αὐτοῖς.

28β Ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλῶν, ἄρχοντες Νεφθαλείμ.

Ἡγεμόνες, φησὶν, αὐτῶν τῶν Ἐκκλησιῶν ἔσονται οἱ ἀπόστολοι, οὓς καὶ διὰ
τῶν φυλάρχων ἐδήλωσεν. Ἰάκωβος μὲν γὰρ καὶ οἱ λοιποὶ ἀδελφοὶ τοῦ Κυρίου, Mt 1.2
τὸν Ἰούδαν εἶχον πατριάρχην· Πέτρος δὲ καὶ Ἀνδρέας καὶ Ἰωάννης καὶ Φίλιππος, Jn 1.44
ἀπὸ Βηθσαϊδὰ τῆς κώμης ἦσαν· Ματθαῖος δὲ καὶ Ἰάκωβος ὁ Ἀλφαίου, ἐν Mk 2.1, 14
Καπερναοὺμ διάγειν ἱστόρηνται· Σίμων δὲ ὁ Ζηλωτὴς, Κανανίτης ὢν ἐτύγχανε. Mt 10.4
Ταυτὶ δὲ πάντα, χωρία τῆς Γαλιλαίας ἦσαν· ἡ δὲ Γαλιλαία, τῷ Ζαβουλῶν καὶ Jos 19.10-16,
τῷ Νεφθαλεὶμ ἐκληροδοτήθη. Καὶ οἱ ἄλλοι δὲ πάλιν, ἐκ τῶν τοιούτων χωρίων 32-39
ὥρμηντο. Ἄρχοντας δὲ αὐτοὺς εἶπεν, οὐχ ὡς ἄρχοντας τῶν πατρίδων, ἀλλ' ὡς ἐξαιρέτους καὶ τιμιωτέρους διὰ τὴν ψυχικὴν εὐγένειαν, ἢ ἄρχοντας ἐξ Ἰούδα, καὶ ἄρχοντας ἐκ Ζαβουλῶν, καὶ ἄρχοντας ἐκ Νεφθαλείμ, ἔξωθεν λαμβανομένης τῆς προθέσεως.

29α Ἔντειλαι, ὁ Θεὸς, τῇ δυνάμει σου.

28 ὢν MSCBFV : om. P.

Τοῦτο, πρὸς τὸν Πατέρα, ἵνα ἐντείληται τῷ Υἱῷ τὰ περὶ τοῦ κηρύγματος· *Ἀπ' ἐμαυτοῦ γὰρ, φησὶ, λαλῶ οὐδὲν, ἀλλ' ὅσα ἂν ἀκούσω παρὰ τοῦ Πατρός.* Jn 14.10
Χριστὸς δὲ, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία. 1Cor 1.24

29β-30α Δυνάμωσον, ὁ Θεὸς, τοῦτο, ὃ κατειργάσω ἐν ἡμῖν, ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἰερουσαλήμ.

Τοῦτο, πρὸς τὸν Υἱὸν, ἵνα κραταιώσῃ τὸ κήρυγμα τοῦ Εὐαγγελίου, ὃ κατειργάσατο εἰς ἡμᾶς ἢ δι' ἡμᾶς. Κατειργάσατο δὲ, τουτέστιν, ἀπήρτισε τοῦτο, διὰ τοῦ προσλήμματος αὐτοῦ· τοῦτο γὰρ, *ναὸς καὶ σκήνωμα τῆς θεότητος.* Col 2.9

Ἀπὸ τοῦ ναοῦ σου γὰρ, ἀντὶ τοῦ, διὰ τοῦ ναοῦ σου, τοῦ ἐπὶ Ἰερουσαλὴμ ἀναστραφέντος καὶ κηρύξαντος· *Ἐπὶ Σιὼν γὰρ, φησὶν, ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου.* Ps 2.6β

30β Σοὶ οἴσουσι βασιλεῖς δῶρα.

Οἱ βασιλεῖς τῶν ἁπανταχοῦ ἐθνῶν. Δῶρα δὲ, οἱ ναοὶ, τὰ καθιερωθέντα τούτοις χωρία καὶ τὰ παντοδαπὰ ἀναθήματα. Οἴσουσί σοι ταῦτα, ἐπιγνόντες σε βασιλέα ἑαυτῶν ἀθάνατον, ὡς Θεόν.

Νοεῖται δὲ καὶ ἄλλως, κατὰ συναφὴν τῶν ῥητῶν, ὅτι ἀπὸ τοῦ κατὰ χώραν ναοῦ σου ἐπὶ τὴν ἄνω | Ἰερουσαλὴμ οἴσουσί σοι δῶρα οἱ βασιλεῖς· τοῖς γὰρ ναοῖς αἰσθητῶς τὰ δῶρα κομίζοντες, νοητῶς δι' αὐτῶν εἰς τὸν οὐρανὸν ἀνάγουσι τὴν προσαγωγὴν καὶ χάριν τῶν δώρων.

31α Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου.

Φίμωσον τοὺς νοητοὺς λέοντας, εἴτουν τοὺς ἀγρίους καὶ ἀπηνεῖς δαίμονας, οἵτινες ὡς οἱ αἰσθητοὶ λέοντες καλάμῳ, οὕτως ἐμφωλεύουσι τῇ κουφότητι καὶ ἀκαρπίᾳ τῶν ἀστηρίκτων εἰς πίστιν ἀνθρώπων.

Φησὶ δὲ καὶ ὁ Ἰὼβ περὶ τοῦ διαβόλου οὕτως, *Ὑπὸ πᾶν δένδρον κοιμᾶται, παρὰ κάλαμον καὶ πάπυρον καὶ βούτομον,* δηλῶν ὅτι ἐναναπαύεται τοῖς ἔχουσι Job 40.21
τὰς ἰδιότητας τῶν εἰρημένων φυτῶν, ξηρότητα πρὸς ἀρετὴν καὶ ὑγρότητα πρὸς φιληδονίαν· τοιαῦτα γὰρ ἡ πάπυρος καὶ τὸ βούτομον.

31β Ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τοῦ ἐκκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ.

Ταύρους λέγει, τοὺς ἀρχιερεῖς καὶ Γραμματεῖς καὶ λοιποὺς ἄρχοντας τῶν Ἰουδαίων, ὡς καὶ θρασεῖς καὶ κερατιστὰς, δαμάλεις δὲ, τὰ ὑποτεταγμένα τούτοις πλήθη τῶν λαῶν· ἄρχει μὲν γὰρ ὁ ταῦρος, ὑποτέτακται δὲ ἡ δάμαλις.

Φησὶν οὖν ὅτι οἱ προέχοντες ἐν μέσῳ τῶν λαῶν ἐγίνοντο ἐπὶ τῷ ἐκκλεῖσαι,

31α[6] ἐναναπαύεται MB : ἐπαναπαύεται PCFV. 31β[1] ἐκκλεισθῆναι MBV : ἐγκλεισθῆναι PCF. 31β[6] ἐκκλεῖσαι MCBF : ἐγκλεῖσαι PV.

εἴτουν κωλῦσαι, τοὺς δεδοκιμασμένους εἰς πίστιν καὶ ἀρετὴν ἀποστόλους, ἐπειγομένους εἰς τὸ κηρύττειν· *Προσκαλεσάμενοι γὰρ, φησὶ, τοὺς ἀποστόλους, δείραντες, παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ.* Ac 4.18

Τῷ ἀργυρίῳ δὲ, ἀντὶ τοῦ, ὡς ἀργύριον· ἰδίωμα γὰρ καὶ τοῦτο Ἑβραϊκόν· ἢ λείπει τὸ, *παραπλησίως.* Ps 11.7β

31γ Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.

Καὶ τὰ νοητὰ, καὶ τὰ αἰσθητά.

32α Ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου.

Αἴγυπτόν μοι νόει, πᾶσαν γῆν τῶν ἐθνῶν, ὅσης ἐκυρίευσεν ὁ νοητὸς Φαραὼ διάβολος, ἀφ' ἧς πάσης ἥξειν πρὸς Χριστὸν πιστοὺς προφητεύει, πρεσβεύοντας ὑπὲρ τοῦ κόσμου παντός.

32β Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.

Προφθάσει, ἀντὶ τοῦ, φθάσει, ὅ ἐστιν, ἐκτενεῖ· ὁ γὰρ φθάνων, ἐκτείνων τὴν χεῖρα, φθάνει τὸ πόῤῥω. Ἀπὸ τοῦ ἑπομένου τοίνυν, τὸ ἡγούμενον ἐσήμανεν.

Ἐξέτεινε γὰρ εἰς τὸν Χριστὸν, τὸν Κανδάκην, ὃν καὶ χεῖρα αὐτῆς ὁ λόγος Ac 8.27
ἐκάλεσεν, ὡς δυνάστην Αἰθιοπίας (ἐν τῇ χειρὶ γὰρ ἡ τοῦ ἀνθρώπου δύναμις) ἐπεὶ [PG36.396A]
καὶ τῇ βασιλίσσῃ παρεδυνάστευε. Περιττὴ δὲ ἡ πρό πρόθεσις.

Τινὲς δὲ λέγουσι, διὰ μὲν τῆς Αἰγύπτου, πᾶσαν γῆν δηλοῦσθαι (πάσης γὰρ γῆς ὁ νοητὸς Φαραὼ κεκράτηκε), διὰ δὲ τῆς Αἰθιοπίας, καὶ αὐτὰ τὰ τοῦ κόσμου
πέρατα (ἔσχατοι γὰρ πάντων ἀνθρώπων, ἐν ἀνατολῇ καὶ δύσει κατοικοῦσιν οἱ Hom. Od.
Αἰθίοπες)· *Μνησθήσονται γὰρ, φησὶ, καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα* A.23-24
τὰ πέρατα τῆς γῆς. Ἐνταῦθα δὲ τὸ, προφθάσει χεῖρα, λαμβάνομεν ἁπλῶς, ἀντὶ Ps 21.28α
τοῦ, ἐκτενεῖ τὰς χεῖρας ἐν τῷ εὔχεσθαι πρὸς Χριστὸν, ἤδη πιστεύσασα.

33 Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ.

Τοῦτο, τῶν δηλωθέντων δύο ῥητῶν, ἐφερμηνευτικὸν, καθολικῶς πᾶσιν ἔθνεσιν ἐγκελευόμενον ᾄδειν καὶ ψάλλειν Χριστῷ.

34α Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, κατὰ ἀνατολάς.

Τῷ ἀναβεβηκότι εἰς τὸν οὐρανὸν ἐν ἀνατολαῖς, εἴτουν φανερῶς· κάτωθεν μὲν ὁρώντων τῶν ἀποστόλων, ἄνωθεν δὲ, τῶν ἀσωμάτων δυνάμεων. Ac 1.9-11

Ἐκ μὲν γὰρ τοῦ οὐρανοῦ πρὸς γῆν κατελθὼν, ἐν δύσεσι κατῆλθεν, ὅ ἐστιν ἀφανῶς, πάντας λαθὼν, ἐπικρυπτομένης ἀῤῥήτως τῆς θεότητος· ἐκ δὲ τῆς γῆς πρὸς

32α[2] ἐκυρίευσεν MPSB : ἐκυρίευεν CFV.

οὐρανὸν ἀνελθὼν, ἐν ἀνατολαῖς | ἀνῆλθε· τοῦτο γὰρ δηλοῖ τὸ, *κατὰ ἀνατολάς*.

Τινὲς δέ φασι τὸ, κατὰ ἀνατολὰς, εἰρῆσθαι, διὰ τὸ ἐκ τοῦ ἀνατολικωτέρου μέρους τῆς Ἰερουσαλὴμ ἀναληφθῆναι τὸν Κύριον, οὕτω γὰρ κεῖσθαι τὸ ὄρος τῶν Ἐλαιῶν.

Οὐρανὸν δὲ οὐρανοῦ, τὸν ὑπὲρ τὸ στερέωμα οὐρανὸν, τὸν πρὸ πάντων παρηγμένον, ὠνόμασεν· ἐκεῖνος μὲν γὰρ τοῦ στερεώματός ἐστιν οὐρανὸς, τὸ δὲ Gen 1.1, 6
στερέωμα πάλιν, οὐρανὸς ἡμῶν.

34β Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.

Φωνὴ τοῦ Χριστοῦ, οἱ ἀπόστολοι, οἷα τοὺς λόγους αὐτοῦ λαλοῦντες. Τούτοις οὖν ἔδωκε τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῷ καιρῷ τῆς Πεντηκοστῆς, ὃ νῦν ἐκάλεσε φωνὴν δυνάμεως ὁ Δαυίδ· φωνὴν μὲν, διότι φησὶ Λουκᾶς, *Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φερομένης βιαίας πνοῆς* — ὁ δὲ ἦχος πάντως, φωνή· Ac 2.2
δυνάμεως δὲ, ὅτι καὶ ὁ Κύριος δύναμιν αὐτὸ κέκληκεν, εἰπὼν, *Ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους*. Lk 24.49

Ἢ καὶ ἄλλως, φωνὴ μὲν τοῦ Θεοῦ, ὁ πρόδρομος Ἰωάννης· *Ἰδοὺ γὰρ*, φησὶν, Mal 3.1
ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου. Φωνὴ δὲ δυνάμεως, ὁ Χριστὸς, Mt 11.10
ὡς τοῖς λόγοις αὐτοῦ παρακολουθείσης θείας δυνάμεως· ἅμα γὰρ ἔλεγε, καὶ ἅμα ἐγίνοντο τὰ θαύματα. Mt 8.13

35α Δότε δόξαν τῷ Θεῷ.

Πρὸς τοὺς Χριστιανοὺς ὁ λόγος, προτρεπόμενος δοξάζειν τὸν Θεὸν, τοιαύτης φιλανθρωπίας ἀξιωθέντας.

35β Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ.

Τῷ θεωρητικωτάτῳ ἀνδρὶ τὰ μεγαλεῖα τοῦ Θεοῦ γνωρίζονται· Ἰσραὴλ γὰρ ἑρμηνεύεται, νοῦς ὁρῶν Θεόν. Ὁ γὰρ τυφλωθεὶς ἐκ παθῶν οὐ δύναται κατανοῆσαι ὅσα καὶ οἷα διὰ τὴν ἡμετέραν σωτηρίαν ὁ Θεὸς ἐπραγματεύσατο. Ἐπὶ τὸν Ἰσραὴλ οὖν, ἀντὶ τοῦ, τῷ Ἰσραήλ.

Ἢ καὶ ἄλλως, ἐπὶ τὴν ἐκκλησίαν τῶν πιστῶν, ἥτις νοερῶς ὁρᾷ τὸν Χριστὸν, γίνεται τὰ θαυμάσια τοῦ Θεοῦ· καὶ αὕτη τούτων ἀξιοῦται διὰ παντός.

35γ Καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.

Νεφέλας νῦν λέγει, τοὺς ἀποστόλους, ὡς ὑπερκειμένους τῶν γεηρῶν πραγμάτων, καὶ πεπληρωμένους τοῦ πνευματικοῦ ὕδατος, ὃ τοῦ βυθοῦ τοῦ Πνεύματος ἀνελκύσαντες, δι᾽ αὐτοῦ τὰς ψυχικὰς ἀρούρας τῶν πιστευόντων κατήρδευον.

34α[3] κεῖσθαι MCBF : κεῖται PV. 34β[2] φωνὴ τοῦ Χριστοῦ PCBFV : φωνὴ Χριστοῦ M. 34β[10] παρακολουθείσης MCBV: παρακολουθούσης PF.

36α Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Οἱ ἅγιοι, φησὶ, μόνοι θαυμάζουσι τὸν Θεὸν, οἷα δυνάμενοι κατανοεῖν τὰς μεγαλοπρεπεῖς οἰκονομίας αὐτοῦ· θαυμαστὸς οὖν τούτοις ἐστίν.

36β Ὁ Θεὸς Ἰσραήλ.

Πανταχοῦ, Θεὸν τοῦ Ἰσραὴλ καλεῖ τὸν Χριστὸν, δεικνύων ὅτι ὁ τὸν νέον λαὸν εὐεργετῶν, οὗτος καὶ τὸν παλαιὸν εὐηργέτησε· καὶ οὐκ ἄλλος οὗτος παρ' ἐκεῖνόν ἐστιν.

36γ Αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ.

Τῷ νέῳ· δύναμιν μὲν, εἰς τὸ ῥυσθῆναι τῆς πλάνης τῶν εἰδώλων, κραταίωσιν δὲ, εἰς τὸ ἐμμεῖναι τῇ ἀμωμήτῳ πίστει.

36δ Εὐλογητὸς ὁ Θεός.

Ὁ ταῦτα οὕτως οἰκονομήσας, ὁ καὶ πλάσας καὶ ἀναπλάσας, καὶ τοσούτων ἀγαθῶν καταξιώσας τὸν σὸν λαόν.

Ὁ μὲν οὖν παρὼν ψαλμὸς οὕτως ἡρμηνεύθη κατὰ ἀναγωγὴν, καὶ οὕτως ἥρμοσε δι' ὅλου Χριστιανοῖς. Ἰουδαῖοι δὲ πειρῶνται τοῖς κατ' αὐτοὺς πράγμασιν ἱστορικῶς καὶ τοῦτον ὑποβαλεῖν· οὐ δύνανται δὲ παντὸς ἐφικέσθαι.

Χρὴ δὲ ὅμως μαθεῖν καὶ ὅπως αὐτὸν μεθέλκουσι.

[2] Φασὶ γὰρ, Ἀναστήτω ὁ Θεὸς, εἰς βοήθειαν τοῦ σωματικοῦ Ἰσραὴλ, εἶτα
[3] ἐχθροὺς ὀνομάζουσι, τοὺς ἀλλοφύλους, ὁμοίως δὲ καὶ μισοῦντας, ἔτι δὲ καὶ
[4] ἁμαρτωλοὺς, ὡς ἀνόμους, | δικαίους δὲ, τοὺς ἐν Ἰουδαίοις ἀγαθούς.
[5] Τὸ δὲ, Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, περὶ τῆς κιβωτοῦ ῥηθῆναί φασιν, ἐντελλομένου τοῦ ἁγίου Πνεύματος εὐτρεπίζειν αὐτῇ ὁδὸν, δι' ἧς ὁ Θεὸς ἐπιβαίνειν ἔμελλεν, ἐπὶ τοῦ δυτικοῦ μέρους τῆς Ἰερουσαλήμ· οὕτω γὰρ ἔχειν 2Par 3.1,5,7
θέσεως τὸν ναὸν, ἐν ᾧ ὕστερον ἡ κιβωτὸς κατέπαυσεν. 3Rg 6.19
[6] Ὁ Θεὸς δὲ ἐν τόπῳ ἁγίῳ αὐτοῦ, ἀντὶ τοῦ, ἐν τῷ ναῷ· ὃς καὶ μονοτρόπους λεγομένους αὐτοὺς, ὡς ἑνὶ Θεῷ πιστεύοντας, κατοικίζει ἐν τῷ ναῷ αὐτοῦ.
[7] Εἶτα, φασὶ, καταλέγει τὰ κατὰ τὴν ἀπ' Αἰγύπτου ἔξοδον γεγενημένα. Ἐξήγαγε γὰρ αὐτοὺς, ἐν τῇ ἑαυτοῦ δυνάμει, πεπεδημένους ἐκεῖσε τῇ δουλείᾳ τυγχάνοντας· τοὺς δὲ αὐτοὺς λέγει καὶ παραπικραίνοντας, ὡς προείρηται· καὶ ὡς ἐν τάφοις δὲ ᾤκουν ἐν Αἰγύπτῳ, μὴ δυνάμενοι ἐνεργεῖν καθ' ἑαυτούς.
[8] Ἐξεπορεύετο δὲ ὁ Θεὸς ἐνώπιον τοῦ λαοῦ διὰ τοῦ στύλου τῆς νεφέλης καὶ τοῦ
[9] πυρὸς, καὶ διέβαινε μετὰ τοῦ λαοῦ ἐν τῇ ἐρήμῳ, ὅτε καὶ ἡ γῆ ἐσείσθη, λαίλαπος καὶ συστροφῆς κατὰ τὸ Σινᾶ γενομένης, καὶ οἱ οὐρανοὶ ἔσταξαν τὸ μάννα.

[5][4] κατέπαυσεν MCBF : κατέπαυσεν ἱστοροῦσιν PV.

[10] Βροχὴν δὲ ἑκούσιον, τὸν εὐάρεστον ὑετὸν ἑρμηνεύουσι, τὴν εὐθηνίαν τῶν καρπῶν ἐργαζόμενον. Ἠσθένησε δὲ ἡ κατ' αὐτοὺς κληρονομία, συντριβεῖσα ἐν Αἰγύπτῳ· κατήρτισε δὲ αὐτὴν, βασιλείᾳ κραταιώσας.

[11] Ζῷα δὲ τοῦ Θεοῦ, ἑαυτοὺς καλοῦσιν, ὡς τῷ Θεῷ ἀνακειμένους.

[11] Ἡτοίμασας δὲ, φασὶ, τὰ ῥηθέντα ἀγαθὰ, τῷ πτωχῷ λαῷ σου, τῷ ἐν ἐρήμῳ
[12] πλανωμένῳ καὶ μὴ ἔχοντι γῆν. Εὐαγγελιζομένους δὲ λέγουσι, τοὺς προφήτας, εὐαγγελιζομένους τῷ λαῷ τὸ διελέσθαι σκῦλα πολεμίων καὶ ἀφορίσαι εἰς
[13] ὡραιότητα τοῦ ναοῦ. Τοῦτο δὲ ψεύδονται· καὶ γὰρ οὐδέν τι σκῦλον εἰς εὐπρέπειαν τοῦ ναοῦ ἀνέθηκαν, ἀλλὰ κατ' ἀναγωγὴν ὁ λόγος οὗτός ἐστιν, ὡς προειρήκαμεν. Ἀγαπητὸν δὲ, τὸν Δαυὶδ ὀνομάζουσιν, ἢ τὸν Σολομῶντα.

[14] Περὶ δὲ τοῦ, *Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων*, οὕτω φασὶν, ἐὰν ἐνιδρυθῆτε ἀνὰ μέσον τῶν κεκληρωμένων ὑμῖν τόπων τῆς γῆς τῆς ἐπαγγελίας, τοσοῦτον εἰς πλοῦτον ἐπιδώσετε, ὥστε τῆς περιστερᾶς, ἣν οἱ πάνυ πλουτοῦντες ἐπὶ τοῦ δώματος γυψίνην ἱστᾶν εἰώθασιν εἰς σύμβολον ἄκρας εὐδαιμονίας, αἱ πτέρυγες μὲν ἔσονται περιηργυρωμέναι, τὰ δὲ μετάφρενα αὐτῆς κοσμηθήσονται ἐν χλωρότητι χρυσίου· οὐδαμῇ δὲ τοιαύτην περιστερὰν ἐν οὐδενὸς Ἑβραίου δώματι στῆναι μεμαθήκαμεν.

[15] Τὰ δ' ἑξῆς, *Ἐν τῷ διαστέλλειν*, εἴτουν ἐκλέγεσθαι τὸν ἐπουράνιον Θεὸν βασιλεῖς ἐπ' αὐτῆς τῆς Ἰερουσαλὴμ, λαμπρυνθήσονται ἐν Ἰερουσαλήμ.

[16] Ὄρος δὲ Θεοῦ, τὸ Σιὼν καλοῦσιν, καὶ ὄρος πῖον, ὡς πιαῖνον τὰ νεμόμενα θρέμματα, καὶ ὄρος τετυρωμένον, ὡς γάλακτος χορηγὸν, τῇ εὐθηνίᾳ τῆς νομῆς.

[17] Περὶ δὲ τοῦ, *Καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος*, εἰρήκαμεν, ὅτι οὐκ ἔχουσιν ἀσφαλῶς εἰπεῖν.

[18] Ἅρμα δὲ τοῦ Θεοῦ, ἑαυτοὺς ὀνομάζουσιν, ὡς ἐπαναπαυομένου μόνοις αὐτοῖς τοῦ Θεοῦ· μυριοπλάσιον δὲ, ἀντὶ τοῦ, πολυπληθὲς, χιλιάδας δέ φασιν ἐν αὐτοῖς τῶν εὐθηνούντων ἐν πλούτῳ. Ὁ Κύριος δὲ ἐν αὐτοῖς ἐστιν, ὡς οἴονται, ὃς ἐν Σινᾶ ἦν πάλαι μετὰ τῶν προγόνων αὐτῶν.

[19] Λέγουσι δὲ καὶ πρὸς τὸν Θεὸν, ὅτι ὑψηλὸς ἐνομίσθης παρὰ πᾶσιν. *Ἠιχμαλώτευσας αἰχμαλωσίαν* διὰ τοῦ λαοῦ σου, νικήσαντος ἐχθρούς. Ἔλαβες ἀναθήματα καθιερωθέντα σοι, καὶ ἔλαβες εἰς δούλους, ἀπειθοῦντας πρότερον | ἀνθρώπους, ἐπὶ τῷ κατασκηνῶσαι αὐτοὺς μετὰ τοῦ λαοῦ σου, δουλεύοντας αὐτῷ.

[20] Τὰ δὲ ἑξῆς ῥητὰ, σαφῆ.

[21] Παρὰ τοῦ Κυρίου αἱ ὁδοὶ τοῦ θανάτου, ὃς συνθλάσει τὰς κεφαλὰς τῶν ἀλλοφύλων·
[22] συνθλάσει δὲ καὶ κορυφὴν χαίτης ἀνθρώπων, διαπορευομένων ἐν ἁμαρτίαις.

[23] Ἀπεφήνατο πάλαι Κύριος, ὅτι Ἐπιστρέψω, εἴτουν ἐξέλωμαι τὸν λαόν μου σῶον ἐκ τῆς Βασανίτιδος χώρας, ἧς ἐβασίλευσεν ὁ γίγας Ὤγ· ἐπιστρέψω αὐτὸν ἐκ τοῦ βάθους τῆς θαλάσσης τῶν αἱμάτων· ῥύακες δὲ αἱμάτων τότε ἐπλημμύρησαν, ἀναιρεθέντων τῶν περὶ τὸν Ὤγ. Nu 21.33-35

[24] Ἵνα βαφῇ ὁ πούς σοῦ τοῦ Ἑβραίου ἐν αἵματι τῶν σφαττομένων, καὶ αὐτὴ ἡ γλῶσσα τῶν κυνῶν σου ἐκ τοῦ αἵματος τῶν ἐχθρῶν δι' αὐτοῦ τοῦ Θεοῦ.

[22][1] καὶ κορυφήν PCBFV : κορυφήν M. [23][1] ἐξέλωμαι MCB : ἐξελοῦμαι PV.

[25] Θεωρηθῆναι δὲ λέγουσι τὰς πορείας τοῦ Θεοῦ, ἤτοι τὰ ἴχνη, πάλαι ἐν τῷ ὄρει Σινᾶ. Ἀνέβη γὰρ, φησὶν, ἐν τῷ ὄρει Μωυσῆς καὶ Ἀαρὼν, καὶ τὰ ἑξῆς· εἶτα, *Καὶ εἶδον τὸν τόπον οὗ εἱστήκει ὁ Θεὸς τοῦ Ἰσραὴλ, καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ, ὥσπερ ἔργον πλίνθου σαπφείρου.* Ἅγιον δὲ νοοῦσι, τὸν οὐρανόν. Ex 24.10

[26] Εἶτα προέλαβον τὸν λαὸν οἱ ἄρχοντες αὐτοῦ, ἐν τῷ ᾄδειν καὶ ψάλλειν τῷ Θεῷ, *ἔγγιον ἱστάμενοι τῶν χοροψαλτῶν, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν*, λέγουσι δὲ, τὰ μετὰ τὴν Ἐρυθρὰν θάλασσαν, ὅτε Μαριὰμ, ἡ τοῦ Ἀαρὼν ἀδελφὴ, ἐξῆρχε τῶν νεανίδων. Ex 15.20-21

[27] Τὸ δὲ, *Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν*, οὐ δύνανται μεθοδεῦσαι.

[28] Βενιαμὶν δέ φασι, τὴν φυλὴν τοῦ Βενιαμὶν, νεωτέραν οὖσαν· νεώτερος γὰρ υἱὸς ὁ Βενιαμίν. Ἐν ἐκστάσει δὲ, ὅτι ἐνεθουσίων πολεμοῦντες οἱ τοῦ Βενιαμίν· ψυχρὰ δὲ καὶ αὕτη ἡ ἑρμηνεία. Οἱ ἄρχοντες δὲ τῆς Ἰούδα φυλῆς ἐβασίλευσαν τῶν Ἑβραίων. Ἄρχοντες δὲ Ζαβουλῶν καὶ Νεφθαλεὶμ, ὅτι ἐπίσημοι αὗται αἱ φυλαὶ, διὰ τὰς ἐν πολέμοις ἀνδραγαθίας.

[29] Εἶτα, *Ἔντειλαι, ὁ Θεὸς, τὰ περὶ ἡμῶν τοῖς ἀγγέλοις σου*· δύναμις γὰρ Θεοῦ, οἱ ἄγγελοι· *καὶ κραταίωσον, ὃ εὐτρέπισας ἐν ἡμῖν βασίλειον*. Εἰ καὶ μὴ δι' ἡμᾶς, ἀλλά γε διὰ τὸν περιώνυμον ναόν σου· οὕτω γὰρ νοοῦσι τὸ, *Ἀπὸ τοῦ ναοῦ σου*.

[30] Οἴσουσι δέ σοι βασιλεῖς δῶρα· ὁ Χειρὰμ τὰ κέδρινα ξῦλα, καὶ ἄλλοι ἄλλα, ἐπὶ τοῦ Σολομῶντος. 3Rg 5.22

[31] Θηρία δὲ τοῦ καλάμου καλοῦσι, τὰ ἄγρια ἔθνη, τὰ ἐν ἀποκρύφοις καὶ δυσβάτοις τόποις οἰκοῦντα. *Ἡ συναγωγὴ δὲ τῶν ἡγεμόνων ἑαυτῶν, ἐν τοῖς ὑποτεταγμένοις ἔσται λαοῖς*, συνεδριαζόντων, καὶ ἐπανορθούντων, καὶ φυλαττόντων αὐτοὺς, ἐπὶ τῷ ἐκκλεισθῆναι, εἴτουν ῥυσθῆναι τὸν λαὸν, τὸν δεδοκιμασμένον εἰς καθαρότητα πίστεως, ὡς ἀργύριον.

[32] Τὸ δὲ, *Ἥξουσι δὲ πρέσβεις ἐξ Αἰγύπτου*, λέγουσι γενέσθαι ἐπὶ Σολομῶντος, ἐφ' οὗ καὶ ἡ Αἰθιοπία ἔπεμψε τὴν ἑαυτῆς δυνάστιν τὴν βασίλισσαν. 3Rg 10.1-13

Τὰ δ' ἑξῆς πειρῶνται μὲν συμβιβάζειν, ἐλέγχονται δὲ σφαλλόμενοι.

Χρὴ δὲ θαυμάζειν, ὅπως τὸ θεῖον Πνεῦμα τῇ ἱστορίᾳ τὴν ἀναγωγὴν συνέπλεξεν. Ἐν τοῖς καιριωτάτοις δὲ, γυμνὴν ἱστορίας, τὴν ἀναγωγὴν ἔθηκεν, εἰς ἔλεγχον τῶν ἀντιλεγόντων Ἰουδαίων.

68 ξη´

1 Εἰς τὸ τέλος· ὑπὲρ τῶν ἀλλοιωθησομένων· ψαλμὸς τῷ Δαυίδ.

Εἰς τὸ τέλος μὲν, διὰ τὸ πέρας τῶν ἐν τούτῳ προῤῥήσεων· ὑπὲρ τῶν ἀλλοιωθησομένων δὲ, ὅτι περὶ μεταβολῆς πραγμάτων διαλαμβάνει· ἐσχημάτισται γὰρ προσώπῳ τοῦ | ἐν Βαβυλῶνι αἰχμαλώτου λαοῦ, οἵτινες ἠλλοιώθησαν, ἀντὶ δούλων ἐλεύθεροι πάλιν γεγονότες, καὶ ἀντὶ τῆς ἀλλοτρίας, τὴν ἰδίαν οἰκήσαντες.

Προσήκει δὲ καὶ παντὶ πιστῷ πολεμουμένῳ, εἴτε σωματικῶς, εἴτε ψυχικῶς.

[31][4] ἐκκλεισθῆναι MCBFV : ἐγκλεισθῆναι P.

2 Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.

Ὕδατα νῦν λέγει, τὴν ἐπίῤῥοιαν τῶν θλίψεων καὶ τῶν πειρασμῶν, τῶν ἐπαφιεμένων ὑπὸ τῶν εἴτε ὁρατῶν, εἴτε ἀοράτων ἐχθρῶν, ὧν τὸ βάθος, δίκην ὑδάτων, ἀποπνίγει τὸν συνεχόμενον· ταῦτα, φησὶ, τὰ ὕδατα, περιγενόμενα τοῦ σώματος, ἥψαντο καὶ αὐτῆς τῆς ψυχῆς μου. Ἐμφαίνει δὲ διὰ τούτου τὴν σφοδρότητα τῆς ἀλγηδόνος.

3α Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις.

Τινὰ τῶν ἀντιγράφων, ὕλην γράφουσιν· ἔστι δὲ καὶ τοῦτο κἀκεῖνο ἡ ὑποστάθμη τοῦ ἐν τῷ βυθῷ ὕδατος.

Μεταφορικὸς δὲ ὁ λόγος· οἱ γὰρ ἐμπηγνύμενοι τῇ τοιαύτῃ ὑποστάθμῃ οὐχ εὑρίσκουσιν ὑπόστασιν, εἴτουν ἑδραίωσιν, ἀεὶ συνιζανούσῃ διὰ τὸ τέλμα.

3β Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.

Οἱ τρεῖς οὗτοι στίχοι τὸ αὐτὸ λέγουσιν, ὅτι κατεποντίσθην ὑπὸ τῶν συμφορῶν, ἃς διαφόρως ὠνόμασεν· ὕδατα μὲν, διὰ τὸ ἐπιῤῥεῖν καὶ ἀποπνίγειν, ἰλὺν δὲ βυθοῦ, διὰ τὸ ἀπέραντον, βάθη δὲ θαλάσσης, διὰ τὸ πλῆθος καὶ τὴν πικρίαν· καταιγίδα δὲ καλεῖ, τὴν τούτων σφοδρότητα.

4α Ἐκοπίασα κράζων.

Πρὸς σέ.

4β Ἐβραγχίασεν ὁ λάρυγξ μου.

Ἀπὸ τοῦ συνεχῶς καὶ ἐπιτεταμένως κράζειν.

4γ Ἐξέλιπον οἱ ὀφθαλμοί μου.

Ἀπέκαμον, ἠτόνησαν ἀτενῶς εἰς σὲ ἀφορῶντες.

4δ Ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου.

Τοῦτο δὲ πεπόνθασι διὰ τὸ ἐλπίζειν με ἐπὶ σὲ μόνον, καὶ παρὰ σοῦ μόνου προσδοκᾶν βοήθειαν, καὶ τούτου ἕνεκεν οὕτως ἀτενῶς ἀφορᾶν.

5α Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν· ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως.

2[2] νῦν SCF : om. MPBV.

Καὶ πολλοί εἰσι, καὶ κραταιοί· ἐκδιώκοντες δὲ, ἀντὶ τοῦ, καταδιώκοντες, εἴτουν μισοῦντες ἀναιτίως.

5β Ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον.

Μεταφορικὸς μὲν ὁ λόγος, ἀπὸ τῶν ἃ οὐχ ἥρπασαν ἀποδιδόντων. Ἐμφαίνει δὲ, ὅτι περὶ ὧν οὐκ ἠδίκησα, τούτων ἀπεδίδουν δίκας τότε, ὁπότε ἀπῃτούμην αὐτάς.

6 Ὁ Θεὸς, σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν.

Σὺ, φησὶν, ὁ πάντα εἰδὼς, οἶδας τὴν ἀφροσύνην μου, εἴ τι κατ' αὐτῶν ἠφρονευσάμην· καὶ εἴ τι πρὸς αὐτοὺς ἐπλημμέλησα, οὐ διέλαθέ σε.

7α Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων.

Τὸ, ἐπ' ἐμὲ, ἀδιαφόρως, ἀντὶ τοῦ, ἐπ' ἐμοὶ, ἀποτυγχάνοντι τῆς προσδοκωμένης ἀπὸ σοῦ βοηθείας· ὑπομένοντες δὲ, οἱ περιμένοντές σε ἐπίκουρον ἑαυτῶν. Κύριον δὲ τῶν δυνάμεων αὐτὸν εἶπεν, ὡς δυνάμενον σῴζειν τοὺς ἐπικαλουμένους αὐτόν.

7β Μὴ δὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ.

Ὅμοιον καὶ τοῦτο τῷ πρὸ αὐτοῦ· ζητοῦντές σε δὲ, οἱ ἐν τῷ πάσχειν ἐπικαλούμενοί σε.

8 Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν· ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.

Περὶ τοῦ ὀνειδισμοῦ εἴρηται καὶ ἐν τῷ μα´ ψαλμῷ, ὅτι *Ὠνείδιζόν με οἱ ἐχθροί μου,* | *ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;* τῷ Ps 41.11
ὀνειδισμῷ δὲ καὶ ἡ ἐντροπὴ ἕπεται.

9 Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου.

Τὰ ἐντεῦθεν, ἀριδήλως τῷ Χριστῷ προσαρμόζουσιν, ὡς δειχθήσεται. Τινὲς δὲ καὶ τὰ προλαβόντα τούτῳ ἀνατιθέναι βιάζονται, παθαινομένῳ κατὰ νόμον ἀνθρωπίνης φύσεως.

Ἀδελφοὺς δὲ καλεῖ, τοὺς Ἰουδαίους, ὅτι καὶ οὗτος κἀκεῖνοι πατέρα εἶχον τὸν Ἀβραάμ· ὁμοίως δὲ καὶ υἱοὺς τῆς μητρὸς αὐτοῦ, διὰ τὴν κοινὴν αὐτῶν μητέρα, τὴν Σάῤῥαν. Οἵτινες, ἀπηλλοτρίωσαν αὐτὸν, καὶ ἐξένωσαν, λέγοντες, *Τοῦτον δὲ, οὐκ οἴδαμεν πόθεν ἐστὶ*, καὶ πάλιν, *Οὐ καλῶς λέγομεν, ὅτι Σαμαρείτης εἶ σὺ, καὶ* Jn 9.29

δαιμόνιον ἔχεις; Καὶ ὁ εὐαγγελιστής φησιν, *Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν* Jn 8.48
οὐκ ἐδέξαντο. Jn 1.11

10α *Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.*

Τοῦτο πεπλήρωται, ὅτε παῤῥησιασάμενος, ἐξήλασε τοῦ ἱεροῦ τοὺς πωλοῦντας καὶ ἀγοράζοντας· Ἐμνήσθησαν γὰρ, φησὶν, οἱ *μαθηταὶ ὅτι γεγραμμένον ἦν, ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.* Ζῆλον δὲ λέγει, τὴν δικαίαν ὑπὲρ τοῦ ἱεροῦ ἀγανάκτησιν. Jn 2.17

10β Οἱ *ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.*

Καὶ τὸ παρὸν ῥητὸν εἰς τὸν Χριστὸν ὁ μέγας ἐξεδέξατο Παῦλος, Ῥωμαίοις ἐπιστέλλων. Rom 15.3

Φησὶν οὖν πρὸς τὸν Πατέρα, ὅτι, οἰκεῖα τὰ σὰ ὀνείδη ἐλογισάμην, ὡς ἓν ὤν σοι, ἃ προέφερον οἱ εἰδωλολάτραι, ὀνειδίζοντές σοι ἀσθένειαν, ὡς ἑνὶ μόνῳ τιμώμενον γένει, τῷ τῶν Ἰουδαίων· διὸ καὶ πρὸς ἅπαντα τὰ ἔθνη, τὴν θεογνωσίαν ἐξήπλωσα.

11α Καὶ *συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου.*

Συνέστειλα, συνέτηξα, τεσσαρακονθημέρῳ τε νηστείᾳ, καὶ ἔτι πολλάκις. Mt 4.2

11β Καὶ *ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί.*

Καὶ αὕτη μοι γέγονεν εἰς ὄνειδος· ἐντεῦθεν γὰρ ἀσθενῆ τοῦτον ὑπολαβὼν ὁ διάβολος, ὠνείδιζεν ὡς ψιλὸν ἄνθρωπον· διὸ καὶ διαφόρως ἐπείρασε.

12α Καὶ *ἐθέμην τὸ ἔνδυμά μου σάκκον.*

Σάκκον καλεῖ, τὴν σάρκα, διὰ τὸ σκληρὸν αὐτῆς καὶ ἀντίτυπον.

12β-13 Καὶ *ἐγενόμην αὐτοῖς εἰς παραβολήν· κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.*

Εἰκὸς γὰρ τὸν Χριστὸν, μετὰ τὸ ἀναιρεθῆναι, παραβολὴν τοῖς Ἰουδαίοις γενέσθαι, οἷον, τοιαῦτα πάθοι ὁ ἐχθρὸς ἡμῶν, οἷα καὶ ὁ ἐσταυρωμένος· ναὶ μὴν καὶ τοὺς συνεδριάζοντας τὰ κατ' αὐτοῦ θρυλεῖν καὶ διὰ γλώσσης φέρειν· πάλαι γὰρ παρὰ ταῖς τοῦ ναοῦ πύλαις συνελέγοντο· ἀλλὰ καὶ τοὺς ἐπὶ τὰ συμπόσια φοιτῶντας εἰς αὐτὸν ᾄδειν ᾄσματα μετὰ κωμῳδίας.

14α Ἐγὼ *δὲ τῇ προσευχῇ μου πρὸς σέ.*

Ἀπαρτίσας τὸν λόγον, ἀναστρέφει πάλιν εἰς τὰ ὀπίσω, λέγων, ὅτι ἐγὼ δὲ πρὸ τοῦ παθεῖν εἰδὼς ταῦτα, τῇ προσευχῇ μου πρὸς σέ· συνεξακούεται τὸ, προσηυχόμην. Εἶτα τίθησιν ἑξῆς καὶ τὰ ῥήματα τῆς προσευχῆς.

14β Κύριε, καιρὸς εὐδοκίας.

Ὅμοιον τούτῳ ἐστὶ τὸ εὐαγγελικὸν, *Πάτερ, ἐλήλυθεν ἡ ὥρα*. Εὐδοκίαν δὲ καλεῖ, τὸν διὰ σταυροῦ θάνατον· εὐδοκία γὰρ, τὸ ἀγαθὸν θέλημα, ἀγαθὸν δὲ θέλημα, τὸ διὰ τοῦ τοιούτου θανάτου ζωοποιηθῆναι ἡμᾶς, τοὺς νεκρωθέντας τῇ ἁμαρτίᾳ. Jn 17.1 Eph 2.1

14γ Ὁ Θεὸς, ἐν τῷ πλήθει τοῦ ἐλέους σου, ἐπάκουσόν μου. |

Προείρηται ἡμῖν, ὅτι προσηύχετο νόμῳ φύσεως ἀνθρωπίνης καὶ ἀπαλλαγὴν ἐζήτει τῶν πειρασμῶν, ὡς καὶ ἡ τῶν Εὐαγγελίων ἱστορία διδάσκει.

Ἔοικε δὲ τὸ παρὸν ῥητὸν τῷ, *Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου*. Ps 6.5β

14δ-15α Ἐν ἀληθείᾳ τῆς σωτηρίας σου, σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ.

Μόνη ἀληθὴς ἡ παρὰ σοῦ σωτηρία· ἄνθρωπος γὰρ ἄνθρωπον ὠφελῆσαι οὐ δύναται. Ἐν ἀληθείᾳ οὖν τῆς σωτηρίας σου, ἀντὶ τοῦ, ἐν ἀληθινῇ σου σωτηρίᾳ· ἰδίωμα γὰρ καὶ τοῦτο τῆς Ἑβραΐδος.

Ὅπερ δὲ ἀνωτέρω κέκληκεν, *ἰλὺν*, τοῦτο νῦν εἶπε, *πηλόν*· καὶ γὰρ ταῖς τροπαῖς ἐκείναις καὶ νῦν ἐχρήσατο.

15β Ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων.

Μισοῦντες αὐτὸν, οἵ τε νοητοὶ καὶ αἰσθητοὶ ἐχθροί· βαθέα δὲ ὕδατα λέγει, τὰς κεκρυμμένας ἐπιβουλάς· κέκρυπται γὰρ τὸ βάθος.

16α Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός.

Εἴρηται περὶ τούτων ἄνω, ὅτι τροπικὰ πάντα καὶ μεταφορικά. Ps 68.3β

16β Μηδὲ συσχέτω ἐπ᾽ ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

Μηδ᾽ ἐναπολειφθείην τῷ βόθρῳ τῶν πειρασμῶν· ὁ γὰρ εἰς φρέαρ ἐμπεσὼν, ἀνεῳγότος μὲν τοῦ στόματος, ἔχει μικράν τινα παραψυχὴν, ἐπικλεισθέντος δὲ, παντάπασιν ἀπογινώσκει τὴν σωτηρίαν.

17α Εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου.

Ὅτι χρῄζω τοῦ ἐλέους σου.

17β Κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.

Τὸ μὲν, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἡρμηνεύθη ἐν τῷ ν', τὸ δὲ ἑξῆς, Ps 50.3
ἐν τῷ κδ' ψαλμῷ. Ps 24.16

18 Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι· ταχὺ ἐπάκουσόν μου.

Περὶ μὲν τοῦ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου, εἴρηται ἐν τῷ κϛ' ψαλμῷ· Ps 26.9
παιδός σου δὲ, τοῦ Μονογενοῦς.

19α Πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν.

Πρόσχες αὐτῇ θλιβομένῃ.

19β Ἕνεκα τῶν ἐχθρῶν μου, ῥῦσαί με.

Ἵνα μὴ ἐπιχαρῶσι τῷ θανάτῳ μου.

20α Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου.

Οἶδας ὅσα με ὀνειδίζουσι, φάγον καὶ οἰνοπότην, καὶ τελωνῶν καὶ ἁμαρτωλῶν Mt 11.19
φίλον, καὶ δαιμονῶντα καὶ ἀντίθεον ὀνομάζοντες καὶ αἰσχύνοντες καὶ ἐντρέποντες, Jn 7.20
ὡς αὐτοῖς δοκεῖ.

20β Ἐναντίον σου πάντες οἱ θλίβοντές με.

Ἐνώπιόν σού με θλίβουσι, σοῦ πάντα βλέποντος· ἢ ἐνώπιόν σού εἰσι, μὴ δυνάμενοί σε διαδρᾶναι.

Εἰ δέ τις ἐπαπορήσοι, πῶς τοσαῦτα δεηθεὶς, ὅμως οὐκ ἐξέφυγε τοὺς τοιούτους πειρασμοὺς, ἀκουσάτω, ὅτι ηὔχετο μὲν ὡς ἄνθρωπος, μὴ εἰσελθεῖν εἰς πειρασμόν —
καὶ γὰρ καὶ ἡμῖν οὕτως εὔχεσθαι παραδέδωκε — διότι τὸ μὲν πνεῦμα, πρόθυμον, Mt 6.13
ἡ δὲ σὰρξ, ἀσθενής. Ἐπεὶ δὲ συνέφερε παθεῖν αὐτὸν διὰ τὴν ἡμετέραν σωτηρίαν, Mt 26.41
κατεδέξατο τὰ πάθη, προελόμενος τὸ θεῖον θέλημα παρὰ τὸ ἀνθρώπινον· καὶ γὰρ προσευξάμενος, *Πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ'*
ἐμοῦ, ὕστερον ἐπήγαγε, *Πάτερ μου, εἰ οὐ δύναται τοῦτο παρελθεῖν ἀπ' ἐμοῦ, ἐὰν* Mt 26.39
μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου. Mt 26.42

21α Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν.

20β[4] ἐπαπορήσοι MPSC : ἐπαπορήσει FV.

Προεγίνωσκον, φησὶ, ταῦτα. Καὶ γὰρ τοῖς μαθηταῖς ἔλεγεν, *Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται τοῖς ἀρχιερεῦσι καὶ Γραμματεῦσι, καὶ | κατακρινοῦσιν αὐτὸν*, καὶ τὰ ἑξῆς. Mt 20.18

21β Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.

Ὑπέμεινα, ἀντὶ τοῦ, περιέμεινα, ἐζήτησα· παρακαλοῦντας δὲ, ἀντὶ τοῦ, παραμυθουμένους.

Καὶ τοῦτο δὲ γέγονεν, ὅτε *Παραλαβὼν τὸν Πέτρον καὶ τοὺς υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν*. Τότε, φησὶ, λέγει αὐτοῖς ὁ Ἰησοῦς, *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ. Εἶτα προελθὼν μικρὸν, καὶ προσευξάμενος, ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας· καὶ λέγει τῷ Πέτρῳ οὕτως, Οὐκ ἰσχύσατε μίαν ὥραν ἀγρυπνῆσαι μετ' ἐμοῦ;* Ps 41.6,12 Mt 26.37-40

22 Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Φησὶν ὁ εὐαγγελιστὴς Ἰωάννης, *Μετὰ τοῦτο, εἰδὼς ὁ Ἰησοῦς ὅτι ἤδη πάντα τετέλεσται, ἵνα τελειωθῇ ἡ Γραφὴ, λέγει, Διψῶ. Σκεῦος οὖν ἔκειτο, ὄξους μεστόν· οἱ δὲ, πλήσαντες σπόγγον ὄξους, καὶ ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι*, Γραφὴν ὀνομάσας, τὸ παρὸν ῥητόν. Καὶ ὁ Ματθαῖος δέ φησιν, *Ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον*. Καὶ ὁ Μᾶρκος πάλιν, *Δραμὼν δὲ εἷς, καὶ γεμίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ ἐπότιζεν αὐτόν*. Jn 19.28-29 Mt 27.34 Mk 15.36

Εἰς τὸ βρῶμα δὲ καὶ εἰς τὸ πόμα, ἀντὶ τοῦ, εἰς τὸ φαγεῖν με καὶ πιεῖν με. Ἀλλ' οἱ μὲν Ἰουδαῖοι, εἰς τὸ πιεῖν αὐτὸν, καὶ τὴν χολὴν ὁμοῦ καὶ τὸ ὄξος δεδώκασιν. *Ὄξος*, γὰρ, φησὶ, *μετὰ χολῆς μεμιγμένον*.

Ἡ δὲ παροῦσα προφητεία, τὸ μὲν, εἰς τὸ βρῶμα, τὸ δὲ, εἰς τὸ πόμα διεῖλεν· ἔστιν οὖν εἰπεῖν, ὅτι ἐπεὶ διψῶ, εἶπεν, ἐμπαίζοντες προσήνεγκαν αὐτῷ, οἱ μὲν ὄξος μόνον εἰς τὸ πιεῖν, οἱ δὲ χολὴν μόνον εἰς τὸ καὶ φαγεῖν, οἱ δὲ τῷ ὄξει τὴν χολὴν ἔμιξαν, τὸ δριμὺ μᾶλλον πικραίνοντες. Εἰκὸς δὲ, καὶ πρῶτον αὐτῷ τὴν χολὴν δοθῆναι, πρὸς πλείονα χλεύην, ἵνα μὴ δῆθεν ἀηδισθῇ, νῆστις τὸ πόμα προσιέμενος.

23 Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον.

Διὰ μὲν τῆς τραπέζης, τὴν εὐφροσύνην δηλοῦσθαί τινες εἶπον, διὰ δὲ τῆς παγίδος καὶ τῆς ἀνταποδόσεως καὶ τοῦ σκανδάλου, τὴν λύπην, ὅτι μεταστραφήτω ἡ χαρὰ τούτων εἰς θλῖψιν. Οἵ τε γὰρ ἐν τραπέζῃ εὐφραίνονται, καὶ οἱ ἐν παγίδι καὶ ἐν ἀποτίσει δίκης καὶ ἐν σκανδάλῳ, λυποῦνται.

Ἔστι δὲ καὶ θεωρητικώτερον εἰπεῖν τράπεζαν, τὰς θεοπνεύστους Γραφὰς, αἳ παρέκειντο τοῖς Ἰουδαίοις καθ' ἡμέραν, καὶ ὧν ἡ γνῶσις ἔτρεφε τὰς τῶν νοούντων ψυχάς. Δοκοῦντες γὰρ ταύταις ἐντραφῆναι, καὶ ἀπ' αὐτῶν ἑλεῖν τοὺς Χριστιανοὺς σοβαρευόμενοι, ἐξ αὐτῶν μᾶλλον παγιδεύονται, προδήλως διαλαμβανουσῶν περὶ τοῦ Χριστοῦ. Ἀλλ' οὕτω μὲν τὸ, *εἰς παγίδα*· τὸ δὲ, *εἰς ἀνταπόδοσιν*, ὅτι δι' αὐτὰς τίνουσι δίκας, μὴ συνιέντες αὐτάς· τὸ δὲ, *εἰς σκάνδαλον*, ὅτι ἐντυγχάνοντες ψιλοῖς τοῖς περὶ Χριστοῦ γράμμασι σκανδαλίζονται, οἷον περὶ τῆς ἐπιδημίας αὐτοῦ, ὅτι *Συμβοσκηθήσεται λύκος μετὰ ἀρνὸς, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ* Isa 11.6-7
λέων καὶ βοῦς φάγονται ἄχυρα, καὶ εἴ τι τοιοῦτον. Τὰ μὲν γὰρ ἀναγωγικῶς Isa 65.25
νοούμενα, γεγόνασιν, οἱ δὲ αἰσθητῶς ταῦτα ζητοῦντες, προσκρούουσιν αὐτοῖς, ὡς μήπω καὶ τήμερον γεγονόσι.

Τὸ δὲ, | *γενηθήτω*, καὶ τὸ, *σκοτισθήτωσαν*, καὶ τὰ ἑξῆς προστακτικὰ, μέλλοντος ἔχουσι σημασίαν, ἀντὶ τοῦ, γενηθήσονται. Προαγορεύει γὰρ τὰ μέλλοντα καταλαβεῖν αὐτοὺς ἀνιαρά· εἰκὸς δὲ καὶ ὡς Θεὸν προστάσσειν τὰ μέλλοντα.

24α Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν.

Οἱ τῆς ψυχῆς· ἐπειδὴ οὐκ ἠθέλησαν ἰδεῖν *τὸ φῶς τὸ φωτίζον πάντα ἄνθρωπον*, Jn 1.9
οὐδὲ θεάσασθαι τὸν Ἥλιον *τῆς δικαιοσύνης*· *ὀφθαλμοὺς γὰρ ἔχοντες, οὐκ* Mal 3.20
ἔβλεπον, καὶ ὦτα ἔχοντες, οὐκ ἤκουον· ὃ καὶ Ἡσαΐας αὐτοῖς ὠνείδισε, καὶ ὁ Isa 43.8
Χριστὸς ὕστερον. Mk 8.18

24β Καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον.

Ἀπὸ τοῦ ἑπομένου τὸ προηγούμενον ἐδήλωσεν. Αἰνίσσεται δὲ ὁ λόγος τὴν δουλείαν· ἕπεται γὰρ τοῖς δουλεύουσιν ἐπικεκυφότας βαδίζειν· τοῦτο μὲν ἀχθοφοροῦντας, τοῦτο δὲ βαρυνομένους ταῖς θλίψεσιν.

Ὅρα δὲ τὴν ἀκρίβειαν· διὰ παντὸς γὰρ εἶπεν, ὅτι οὐχ ὡς πολλάκις δουλωθέντες, εἶτα ἀπαλλαγήσονται, ἀλλ' ἄχρι τῆς τοῦ κόσμου συντελείας, δουλεύσουσιν ἐν πᾶσι τοῖς ἔθνεσιν.

25 Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.

Τὸ αὐτὸ καὶ ἄμφω ταυτὶ τὰ ῥητὰ δηλοῦσι· πλὴν ὅτι τὸ δεύτερον, σφοδρότερον τοῦ προτέρου.

26 Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.

Ἔπαυλιν μὲν κοινῶς λέγει, τὴν πόλιν Ἰερουσαλὴμ, ἐν ᾗ πάντες οἱ τοῦ Σωτῆρος

φονεῖς ηὐλίζοντο· σκηνώματα δὲ ἰδίως, τὰς οἰκίας αὐτῶν. Καὶ δὴ, οὕτω ταῦτα γεγόνασιν· οὐδεὶς γὰρ ἐξ αὐτῶν κατῴκησεν ἐν ταύταις μετὰ τὴν ἐκ Ῥωμαίων πανωλεθρίαν τῶν Ἱεροσολύμων.

Ταῦτα δὲ τὰ ῥητὰ, Πέτρος ὁ ἀπόστολος εἰς τὸν προδότην Ἰούδαν ἐξέλαβεν, Ac 1.20
ὡς καὶ αὐτὸν τῆς μερίδος ὄντα τῶν θεοκτόνων.

27α Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν.

Τὸ, *ἐπάταξας*, ἀντὶ τοῦ, παταγῆναι παρέδωκας. Οὕτω γὰρ καὶ Ζαχαρίας Zach 13.7
εἶπε, *Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης,* Mt 26.31
καὶ Ἡσαΐας, *Κύριος παρέδωκεν αὐτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.* Ἰδίωμα γὰρ Isa 53.6
τῆς Ἑβραΐδος, τὸ τὴν παραχώρησιν ἔργον ὀνομάζειν, ὡς τοῦ παραχωροῦντος δυναμένου κωλῦσαι, καὶ μὴ κωλύσαντος.

Τὸ δὲ *κατεδίωξαν*, ἀντὶ τοῦ, σφόδρα ἐτιμωρήσαντο· ἡ γὰρ πρόθεσις, ἐμφαντική ἐστιν ἐπιτάσεως· ἢ καὶ κατέδραμον, ἄχρις ἂν ἐφόνευσαν.

27β Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.

Ηὔξησάν μοι τὸ ἄλγος τῶν τραυμάτων τῇ προσθήκῃ τοῦ ὀνειδισμοῦ, ἢ καὶ τῆς
συκοφαντίας, ὅτι ταφεὶς, ἐκλάπην, ἀλλ' οὐκ ἀνέστην. Mt 28.13

28α Πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν.

Ἀνομίαν ἐνταῦθα, τὴν συμφορὰν οἱ ἐξηγηταὶ νενοήκασιν, ὡς ἐν τῷ νϛʹ τὸ,
Ἕως οὗ παρέλθῃ ἡ ἀνομία. Ps 56.2β

Προλέγει οὖν, ὅτι αὐξήσεις αὐτοῖς τὰς συμφορὰς, ἐπεὶ καὶ αὐτοὶ αὐξήσουσι τὰς θλίψεις ἐμοί.

28β Καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου.

Καὶ οὐκ εἰσελεύσονται εἰς τὸ δικαιωθῆναι παρὰ σοῦ καὶ τυχεῖν ἐλέους, ὡς οἱ
ἀκούσοντες τὸ, *Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου.* Mt 25.34

Τινὲς δὲ νοοῦσι δικαιοσύνην, τὸ Εὐαγγέλιον· δικαιοσύνη γὰρ, τὸ πάντας καλεῖν εἰς σωτηρίαν, καὶ πάντας παραδέχεσθαι τοὺς προσερχομένους.

29α Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων.

Τοῦ Μωυσέως εἰπόντος πρὸς Θεὸν ὑπὲρ τοῦ λαοῦ μοσχοποιήσαντος, *Εἰ μὲν ἀφεῖς αὐτοῖς | τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλου, ἧς ἔγραψας,* αὐτὸς ἀπεκρίνατο, *Εἴτις ἡμάρτηκεν ἐνώπιόν μου, ἐξαλείψω αὐτὸν ἐκ
τῆς βίβλου μου.* Ex 32.32,33

27α[6] κωλύσαντος MSCBF : κωλύοντος PV. 28α[2-3] ἐν τῷ νϛʹ MSCBF : ἐν τῷ νϛʹ ψαλμῷ προειρήκαμεν εἰς PV.

Μία μὲν οὖν αὕτη βίβλος, ᾗ ἐγγράφονται οἱ ζωῆς ἀξιούμενοι, ἣν καὶ βίβλον ζώντων ὁ ψαλμὸς νῦν ἐκάλεσε, προαγορεύων, ὅτι τεθνήξονται δι' ἀναιρέσεως. Ἑτέρα δὲ πάλιν, ᾗ ἐγγράφονται οἱ δίκαιοι, ἣν καὶ αὐτὴν ἐνέφηνεν οὗτος εἰπών.

29β Καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.

Περὶ ταύτης τῆς βίβλου καὶ ὁ Χριστὸς εἶπε τοῖς ἀποστόλοις, *Χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.* Lk 10.20

Λέγει τοίνυν, ὅτι καὶ τεθνήξονται, καὶ τοῖς ἁμαρτωλοῖς συνταγήσονται. Ἔστι γὰρ καὶ τρίτη βίβλος, ἐν ᾗ γράφονται οἱ ἁμαρτωλοί· *Κριτήριον γὰρ,* φησὶν, *ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν.* Da 7.10

Βίβλους δὲ τροπικῶς αἱ Γραφαὶ καλοῦσι, τὰς διαφόρους γνώσεις τοῦ Θεοῦ.

30α Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ.

Περὶ τῆς τοῦ Χριστοῦ πτωχείας εἴρηται μὲν καὶ ἐν τῷ κα' ψαλμῷ· ῥηθήσεται Ps 21.25α
δὲ καὶ νῦν, ὅτι ὁ παμβασιλεὺς, ὁ παντέλειος, ἐτέχθη μὲν ἐκ μητρὸς πενιχρᾶς, καὶ οὐδὲ ἐν οἰκίᾳ, ἀλλ' ἐν σπηλαίῳ· ἐτέθη δὲ, οὐκ ἐπὶ κλίνης, ἀλλ' ἐπὶ φάτνης ἀλόγων. Περιεβέβλητο δὲ λιτὰ καὶ εὐκαταφρόνητα· περιῄει δὲ χωρὶς θεράποντος· εἶχε δὲ οὐδὲ καλύβην· ἐτρέφετο δὲ παρ' ἄλλων. Αἰσχυνέσθωσαν οὖν οἱ ἐπὶ πλούτῳ κομπάζοντες. Ἀλγῶν δὲ ἦν, τοῖς δι' ἡμᾶς πάθεσι τοῦ παναγίου αὐτοῦ σώματος.

Μέχρι μὲν οὖν ἐνταῦθα, τοῦ Μονογενοῦς οἱ λόγοι· τὰ δ' ἑξῆς, προσώπῳ τῆς Ἐκκλησίας τῶν πιστῶν ἀναγέγραπται.

30β Ἡ σωτηρία σου, ὁ Θεὸς, ἀντελάβετό μου.

Ἡ σωτηρία, ἡ ἀπὸ σοῦ, ἠλευθέρωσέ με τῆς πλάνης.

31-32 Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει, καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς.

Ὅρα τὴν εὐαγγελικὴν θυσίαν προτιμωμένην τῆς νομικῆς, τὴν λογικὴν, τῆς ἀλόγου.

Ἀκμῆς δὲ σύμβολον, ἡ ἀρτιφυΐα τῶν κεράτων καὶ τῶν ὀνύχων. Ὑποδηλοῦσι δὲ ταῦτα καὶ τῆς νομικῆς λατρείας τὴν νέκρωσιν· νεκρὰ γὰρ τὰ κέρατα καὶ αἱ ὁπλαί.

33α Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν.

Πτωχοὺς καὶ πένητας, τοὺς πιστοὺς ὠνόμασεν, ὡς προειρήκαμεν ἐν τῷ θ' ψαλμῷ. Ἰδέτωσαν, φησὶν, ὅσα ὁ Θεὸς πέπονθε δι' αὐτοὺς καὶ ὅσα κατώρθωσεν. Ps 9.19

33β Ἐκζητήσατε τὸν Θεὸν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν.

Ζήσεται τὴν μακαρίαν ζωήν.

34 Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσε.

Τίνας λέγει πεπεδημένους, εἰρήκαμεν ἐν τῷ ξζʹ ψαλμῷ. Ps 67.7β

35 Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, ἡ θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ.

Ὡς οὐκ ἐξαρκούντων τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων εἰς τὴν προσήκουσαν εὐχαριστίαν τοῦ Θεοῦ, καὶ τὰ στοιχεῖα συγκαλεῖ πρὸς αἶνον, ὧν ὁ Μωυσῆς ἐν ἀρχῇ τῆς Γενέσεως ἐμνημόνευσεν. Gen 1.1

Ἀδιαφόρως δὲ τὰ ἕρποντα προσέθηκεν, ἢ καὶ διὰ τὸ πλῆθος τῶν ἰχθύων.

36α Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών.

Σιὼν λέγει νῦν, τὴν νέαν, ἤτοι τὴν Ἐκκλησίαν τῶν πιστῶν.

Ἢ καὶ αὐτὴν τὴν Ἱερουσαλὴμ συντηρήσει ἑαυτῷ· καὶ γὰρ τῷ Χριστῷ ἀνεῖται, καὶ οὐχ ἑτέρῳ Θεῷ, καίτοι τῶν ἀσεβῶν τῆς χώρας ἐκείνης κυριευόντων.

36β Καὶ οἰκο | δομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας.

Οἰκοδομηθήσονται εἰς ναοὺς παρὰ τῶν Χριστιανῶν.

36γ Καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσουσιν αὐτήν.

Οἱ Χριστιανοί.

37α Καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν.

Δοῦλοι μὲν τοῦ Χριστοῦ, οἱ ἀπόστολοι· *Παῦλος γὰρ, φησὶ, δοῦλος Ἰησοῦ Χριστοῦ.* Σπέρμα δὲ αὐτῶν, οἱ μαθηταὶ αὐτῶν Χριστιανοὶ, ὡς ἀναγεννηθέντες Rom 1.1
αὐτοῖς διὰ τῆς τοῦ βαπτίσματος παλιγγενεσίας.

Τοῦ δὲ καθέξουσιν ἡ πρόθεσις, ἐπίτασιν καὶ μονιμότητα δηλοῖ· μόνοι γὰρ Χριστιανοὶ βεβαίως αὐτὴν οἰκοῦσι, παντελῶς τῶν Ἑβραίων ἐξελαθέντων.

37β Καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

Οἱ τὸ ὄνομα τὸ σὸν ἐπικεκλημένοι Χριστιανοί.

Ὥσπερ δὲ καὶ τὰ προοίμια τοῦ ψαλμοῦ μέχρι τοῦ, *Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου*, τινὲς πιστοὶ τῷ Χριστῷ προσαρμόζειν βιάζονται, οὕτω πάλιν Ἰουδαῖοι, καὶ τὰ ἐκεῖθεν ἄχρι τέλους, τῷ ἐν Βαβυλῶνι αἰχμαλώτῳ λαῷ ἀνατιθέασι.

[9] Χρὴ δὲ κατ' ἐπιτομὴν εἰπεῖν, ὅπως αὐτὰ ἐκλαμβάνουσιν. Ἀπηλλοτριώθην τῶν ἀδελφῶν μου, μὴ συγχωρούμενος συνδιάγειν αὐτοῖς, ἅτε διαφόροις δεσπόταις δουλευόντων, καὶ ὅτι ὁ νόμος οὐκ οἶδε δούλων συγγένειαν. Ex 21.4

[10] Τὸ αὐτὸ δὲ καὶ ὁ ἐφεξῆς διέξεισι στίχος· ἀναλογιζόμενος δὲ καὶ τὴν ἐρήμωσιν τοῦ ναοῦ, δαπανῶμαι τῇ λύπῃ, καὶ τοὺς σοὺς ὀνειδισμοὺς οὓς ὀνειδίζῃ παρὰ τῶν Βαβυλωνίων, ὡς μὴ δυνάμενός μοι βοηθεῖν, οἰκείους λελόγισμαι. Διὸ καὶ μὴ
[11] προσιέμενος τροφὴν, ἐτάκην· οἱ δὲ μᾶλλον μὲν ὠνείδιζον ὡς μάτην νηστεύοντα·
[12] καὶ ἐνεδυσάμην σάκκον, σύμβολον θλίψεως.
[14] Δῆλα δὲ τὰ ἑξῆς. Εἶτα προσηυχόμην, λέγων, ὅτι καιρὸς ἀγαθοθελείας, εἴτουν
[18] ἐλεημοσύνης. Τὰ δὲ ἐντεῦθεν, ὡς προηρμηνεύσαμεν, πλὴν ὅτι παῖδα, οὐ τὸν φύσει, ἀλλὰ τὸν θέσει λέγουσιν· *Υἱὸς γὰρ, φησὶ, πρωτότοκός μου Ἰσραὴλ*, ἢ καὶ ἄλλως, τὸν οἰκέτην. Ex 4.22

[21] Εἶτα, τὸν ὀνειδισμὸν τὸν διὰ σὲ προσεδόκησα καὶ τὴν ἄλλην κακοπάθειαν, οἷα αἰχμαλωτισθείς· διὸ ἐζήτησα τὸν παραμυθούμενον, καὶ οὐχ εὗρον, ὡς μὴ συνομιλεῖν εὐκαίρως τοῖς ὁμογενέσι μου συγχωρούμενος.

[22] Εἰς δὲ τὸ, *Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος*, προσκρούουσι λέγοντες, ὅτι πικράν μοι τροφὴν ἐπέῤῥιπτον οἱ αἰχμαλωτίσαντες, ὡς δούλῳ· καὶ διψῶντά με, ἐπότιζον ὀξίνην οἶνον· ἢ πικράν μοι τὴν βρῶσιν φαίνεσθαι παρεσκεύαζον διὰ τὰς θλίψεις, καὶ δριμεῖαν τὴν πόσιν.

[23] Τὸ δὲ, *Γενηθήτω ἡ τράπεζα αὐτῶν*, κατὰ τὴν πρώτην ἐξήγησιν. Τὰ δ' ἐντεῦθεν,
[26] κατεύχεσθαι τῶν Βαβυλωνίων· ἔπαυλιν δὲ αὐτῶν, τὴν πόλιν αὐτῶν.
[27] Εἶτα τὸν λαόν φησιν, ὃν σὺ παιδευθῆναι παρεχώρησας, αὐτοὶ σφόδρα ἐτιμωρήσαντο, καὶ πάλιν προσέθηκαν ἐπὶ τὰ προλαβόντα ἄλγη, καὶ τὰ ἑξῆς.
[32] Εἰς δὲ τὸ, *Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον*, ὁμοίως προσκρούουσι.

Τὰ δὲ ἐντεῦθεν, ὡς φίλον αὐτοῖς ἐκδέχονται, συνᾴδοντα τῇ ἱστορίᾳ τῆς ἐπανόδου τῶν αἰχμαλώτων. Ἡμεῖς δὲ τοῖς ἀκριβεστέροις τῶν Πατέρων ἀκολουθήσαντες, ἀσφαλεστάτην ἐποιησάμεθα τὴν ἐξήγησιν.

69 ξθ´

1 Εἰς τὸ τέλος· τῷ Δαυίδ· εἰς ἀνάμνησιν.

Τὸν παρόντα ψαλμὸν ἀπὸ τῶν εἰρημένων | ἐν τῷ λθ´ ψαλμῷ συνθεὶς, πρόχειρον εἶχεν ἀεί· καὶ ὅτε ἀνεμιμνήσκετο τῆς κατὰ τὸν Οὐρίαν ἁμαρτίας, τότε τοῦτον, οἷά τινα ᾖδεν ἐπῳδὴν κατὰ τῶν δαιμόνων, τῶν εἰς τὴν πλημμέλειαν ἐκείνην ἐκτραχηλισάντων αὐτὸν, δεόμενος μηκέτι κατακυριευθῆναι. Οἱ δέ φασιν ὅτι, ὅτε ἀνεμιμνήσκετο ὅσα παρὰ τῶν ἐχθρῶν ἁπλῶς πέπονθε, τότε τούτῳ ἐκέχρητο. Εἰς τὸ τέλος δὲ, ὅτι εἰς τέλος ἐξέβαινεν ἡ ἐν τούτῳ προσευχή. Ps 39.14-18

[9][3] καὶ ὅτι PSCBV : ὅτι καὶ M. [10][3] μοι PV : με MSCB. [10][3] ἐνεδυσάμην MSCB : ἐνεδυόμην P. [22][4] παρεσκεύαζον PCFV : παρεσκεύασαν MSB.

2α Ὁ Θεὸς, εἰς τὴν βοήθειάν μου πρόσχες.

Ἐν δὲ τῷ λθʹ ψαλμῷ φησι, *Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες.* Ps 39.14β

2β Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Ταὐτὸν ἑρμηνεύει τῷ, *Τάχυνον τοῦ ἐξελέσθαι με*, ἐν τῷ λʹ ψαλμῷ. Ps 30.3β

3α Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Καὶ τοῦτο ἐν τῷ λθʹ κεῖται. Ps 39.15α

3β Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

Καὶ τοῦτο ἐκεῖσε κεῖται, πλὴν ὅτι τὸ, *Ἀποστραφήτωσαν καὶ καταισχυνθήτωσαν*, *Ἀποστραφείησαν καὶ καταισχυνθείησαν*, ἐν ἐκείνῳ γέγραπται· ὡς Ps 39.15β
εἶναι δῆλον, ὅτι εἰ καὶ προστακτικοῦ εἰσι τύπου τὰ τοιαῦτα, ἀλλά γε δύναμιν εὐκτικὴν κεκλήρωνται.

4 Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι, Εὖγε, εὖγε.

Ὅμοιόν ἐστι τῷ, *Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι, Εὖγε, εὖγε*, ἐν ἐκείνῳ τῷ ψαλμῷ. Ps 39.16

5α Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ, πάντες οἱ ζητοῦντές σε, ὁ Θεός.

Ἐν ἐκείνῳ δὲ, ἀντὶ τοῦ, ὁ Θεὸς, ὁ Κύριος εἴρηται. Ps 39.17α

5β Καὶ λεγέτωσαν διαπαντὸς Μεγαλυνθήτω ὁ Θεὸς, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Πάλιν ἐν ἐκείνῳ ἀντὶ μὲν τοῦ, λεγέτωσαν, εἰπάτωσαν, ἀντὶ δὲ τοῦ, ὁ Θεὸς, ὁ Κύριος εἴρηται. Ps 39.17β

6α Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεὸς, βοήθησόν μοι.

Ἐν ἐκείνῳ δὲ, ἀντὶ τοῦ, ὁ Θεὸς, βοήθησόν μοι, Κύριος φροντιεῖ μου, κεῖται. Ps 39.18β

6β Βοηθός μου καὶ ῥύστης μου εἶ σύ· Κύριε, μὴ χρονίσῃς.

Ἐν ἐκείνῳ δὲ, ἀντὶ τοῦ, ῥύστης, ὑπερασπιστὴς κεῖται, καὶ ἀντὶ τοῦ, Κύριε, πάλιν, ὁ Θεός μου. Ps 39.18γ

70 ο´
1α Τῷ Δαυίδ· ψαλμός·
τῶν υἱῶν Ἰωναδὰβ καὶ τῶν πρώτως αἰχμαλωτισθέντων·
ἀνεπίγραφος παρ᾽ Ἑβραίοις.

Προσώπῳ, φησὶ, τῶν υἱῶν Ἰωναδὰβ καὶ τῶν ἄλλων τῶν πρώτως αἰχμαλω- Jer 42
τισθέντων ὑπὸ Βαβυλωνίων, πεποίηται τῷ Δαυίδ.
Ταύτην δὲ τὴν ἐπιγραφὴν οἱ Ἑβδομήκοντα ἐπέγραψαν, εὑρόντες ἀνεπίγραφον
τὸν ψαλμόν. Οἱ μέντοι ἔκγονοι τοῦ Ἰωναδὰβ, ἐπίσημοι ἦσαν τηνικαῦτα παρὰ 4Rg 10.15
τοῖς αἰχμαλώτοις.
Σωτηρίαν δὲ ὁ ψαλμὸς αἰτεῖ, καὶ τῶν πολεμούντων ἀπαλλαγήν· διὸ καὶ ἡμῖν προσήκει κατά τε τῶν νοητῶν καὶ αἰσθητῶν πολεμίων.

1β-2 *Ἐπὶ σοὶ, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με· κλῖνον πρός με τὸ οὖς σου καὶ σῶσόν με.*

Ταῦτα πάντα τὰ ῥητὰ ἐν τῷ λ´ ψαλμῷ κεῖνται. Ἀντὶ δὲ τοῦ, *σῶσόν με*, φησὶν Ps 30.2-3
ἐκεῖ, *Τάχυνον τοῦ ἐξελέσθαι με.*

3α *Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με.*

Ἐκεῖ δὲ, ἀντὶ τοῦ, *εἰς τόπον ὀχυρὸν*, *εἰς οἶκον καταφυγῆς*, εἴρηται. Ps 30.3δ

3β *Ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.*

Ἐν ἐκείνῳ δὲ, *Ὅτι κραταίωμά μου*, φησίν. Ps 30.4α

4 *Ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, | ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος.*

Τοιοῦτοι γὰρ ἦσαν οἱ κυριεύοντες αὐτῶν.

5α *Ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε.*

Εἴρηται ἐν τῷ λη´ ψαλμῷ, *Καὶ νῦν, τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος;* καὶ ἐν τῷ Ps 38.8α
κδ´, *Καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.* Ps 24.5γ

5β *Κύριε, ἡ ἐλπίς μου ἐκ νεότητός μου.*

Τοῦτο δῆλον.

6α Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός.

Καὶ οὐκ ἐκ νεότητος μόνον ἐπὶ σοὶ ἤλπισα, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς μητρῴας γαστρὸς, εἴτουν εὐθὺς μετὰ τὸ τεχθῆναι, ἐπὶ σὲ ἐφηδράσθην ὡς ἐπὶ ἔρεισμα παρὰ τῶν ἐμῶν γονέων. Δηλοῖ δὲ ἐντεῦθεν, ὡς εὐσεβεῖς ἔσχε τοὺς γεννήτορας. Καὶ ἄλλως γὰρ, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ περιτέμνοντες τὰ βρέφη, τῷ Θεῷ ταῦτα κατεπίστευον.

Χρὴ δὲ γινώσκειν, ὅτι τὸ, ἀπὸ γαστρὸς, καὶ ἐκ κοιλίας μητρὸς, καὶ τὰ τοιαῦτα, καθ' ὑπερβολὴν ἡ παλαιὰ διάλεκτος λαμβάνειν εἴωθε, σημαίνοντα τὴν ἀρχὴν τῆς φρονήσεως, ἐξ ὅτου φρονεῖν τις ἤρξατο. Φησὶ γὰρ Ἰὼβ, *Εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ ὀρφανοῖς οὐ μετέδωκα, εἰ μὴ ἐκ κοιλίας μητρός μου ὡδήγουν αὐτοὺς*, καὶ τὰ ἑξῆς. Ἀδύνατον γὰρ ἐξ αὐτῆς γεννήσεως κατορθοῦν τοιαῦτα· Job 31.17
δῆλον οὖν, ὅτι τὸ, ἐξ οὗ φρονεῖν ἠρξάμην τὸ σχῆμα τοῦτο δηλοῖ.

6β Ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής.

Εἰ γὰρ μὴ θεία δύναμις ἐφρούρει τὸ ἔμβρυον, καὶ ἐφύλαττε τὸ βρέφος, καὶ ἔσκεπε τὸ νήπιον, διεφθάρη ἂν, πολλαῖς συμπίπτον περιστάσεσι.

Ταυτὶ δὲ τὰ τρία ῥητὰ καὶ ἐν τῷ κα´ ψαλμῷ τέθεικεν ὁ Δαυὶδ, μικρὸν παραλλάξας, πλὴν ἐκεῖνα εἰς Χριστὸν ἀνήχθησαν. Ps 21.10-11

6γ Ἐν σοὶ ἡ ὕμνησίς μου διὰ παντός.

Ἐν σοὶ, ἀντὶ τοῦ, εἰς σέ· μόνον, φησὶ, σὲ ὕμνουν ἀεί.

7 Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθός μου κραταιός.

Συντακεὶς ὑπὸ νηστείας, καὶ σακκοδυτῶν, καὶ εἰδεχθὴς ἐκ λύπης φαινόμενος, ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς. Ὡσεὶ τέρας δὲ εἶπε, διὰ τὸ μὴ ἀληθῶς εἶναι τέρας, ἀλλὰ δοκεῖν, καὶ οὐ τοῖς ἔμφροσιν, ἀλλὰ τοῖς χυδαιοτέροις· πολλοὺς γὰρ ἡ Γραφὴ, τοὺς χείρονας λέγει. Φησὶ δὲ καὶ Παῦλος, *Ἡμεῖς μωροὶ διὰ Χριστὸν, ὑμεῖς δὲ φρόνιμοι*. 1Cor 4.10

8 Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Τὸ, πληρωθήτω, ἀντὶ τοῦ, πληρωθείη. Πληρωθήσεται δὲ, εἰ τῆς δουλείας ἀπαλλαγῶ· τότε γὰρ ὅλῳ στόματι πεπλησμένῳ τῆς σῆς αἰνέσεως, ὑμνήσω τὸ σὸν μεγαλοδύναμον καὶ παντοδύναμον, καὶ ὅσα οἱ εὐσεβεῖς δοξάζουσιν, εἴτουν ὑπολαμβάνουσι περὶ σοῦ.

Ἢ δόξαν ἁπλῶς καλεῖ, τὴν μεγαλωσύνην. Καὶ οὐχ ἅπαξ ὑμνήσω, ἀλλὰ διὰ παντὸς τὴν μεγαλοπρέπειάν σου· οὕτω γὰρ τὸ, ὅλην τὴν ἡμέραν, ἡρμήνευσεν ὁ Σύμμαχος.

8[4] πεπλησμένῳ MSCBF : πεπληρωμένῳ PV.

9α Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως.

Ὁ ἐκ νεότητος βοηθῶν μοι, μὴ ἀπώσῃ με ἐν τῷ καιρῷ τοῦ γήρως. Ἐγήρασα γὰρ ἤδη τῷ μακρῷ χρόνῳ τῆς ἐν Βαβυλῶνι δουλείας· εἰκὸς δὲ ταῦτα λέγειν τοὺς γηραιοτέρους τοῦ λαοῦ.

Ἀλλὰ τὸ μὲν τοῦ σώματος γῆρας, γνώριμον, τὸ δὲ τῆς ψυχῆς, ἡ ἁμαρτία, ἐφεκτική τις οὖσα τῆς ἐνεργείας τῆς ἀρετῆς.

9β Ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.

Τοῦτο, σαφηνισμός ἐστι τοῦ ῥηθέντος στίχου, καὶ ἐπὶ σωματικῆς καὶ ἐπὶ ψυχικῆς ἰσχύος νοούμενον.

10α Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί. |

Τὸ, ἐμοὶ, ἀντὶ τοῦ, ἐπ' ἐμοὶ, εἴτουν δι' ἐμέ· εἶπον δὲ πρὸς ἀλλήλους.

10β Καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό.

Καὶ τοῦτο, ἀναδίπλωσίς ἐστι τοῦ πρὸ αὐτοῦ, καὶ ἐπεξήγησις τὸ, ἐβουλεύσαντο, τοῦ, εἶπον.

Φυλάσσοντας δὲ νῦν λέγει, τοὺς ἐπιβουλεύοντας· ἐπὶ τὸ αὐτὸ δὲ, ἀντὶ τοῦ, ὁμοῦ συνελθόντες· εἶεν δ' ἂν οὗτοι, οὐ μόνον οἱ αἰσθητοὶ πολέμιοι, ἀλλὰ καὶ οἱ νοητοί.

11 Λέγοντες, Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν· καταδιώξατε, καὶ καταλάβετε αὐτὸν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.

Οὗτοι τῶν ἐχθρῶν οἱ λόγοι· τὸ δὲ, καταδιώξατε, ὅτι καὶ εἰ φυγῇ χρήσεται ὁ λαὸς οὗτος, καταδιώξατε καὶ καταλάβετε αὐτόν· τοῦ Θεοῦ γὰρ ὃν σέβεται ἐγκαταλιπόντος αὐτὸν, οὐκ ἔστιν ὁ ῥυόμενος.

12α Ὁ Θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ.

Εἰ καὶ διώκει σε ἡ δυσωδία τῶν ἐμῶν ἁμαρτιῶν, ὃ καὶ προφήτης ἄλλος πρὸς Ἰουδαίους εἴρηκεν, Αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ὑμῶν καὶ τοῦ Θεοῦ. Isa 59.2

Μακρύνει δὲ ὁ Θεὸς, οὐ κατ' οὐσίαν, ἀόριστος γὰρ, ἀλλὰ κατὰ πρόνοιαν.

12β Ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες.

Τουτὶ τὸ ῥητὸν ἐν ἀρχῇ κεῖται τοῦ πρὸ τοῦ παρόντος ψαλμοῦ. Ps 69.2

13α *Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου.*

Τὸ, *ἐκλιπέτωσαν*, *ἀναλωθήτωσαν* εἶπεν ὁ Σύμμαχος· τὴν ψυχήν μου δὲ, ἀντὶ τοῦ, *ἐμέ*.

Διαβάλλει δὲ πᾶς ἐχθρὸς, εἴτε αἰσθητὸς, εἴτε νοητός.

13β *Περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.*

Περὶ μὲν τῆς αἰσχύνης καὶ ἐντροπῆς εἴρηται ἐν τῷ πρὸ τούτου ψαλμῷ. Ps 69.3α

Τὸ δὲ, Οἱ ζητοῦντες τὰ κακά μοι, ἡρμήνευται ἐν τῷ λζʹ. Εὑρήσεις δὲ καὶ ἐν Ps 37.13β
τῷ ρηʹ, *Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.* Ps 108.29

14 *Ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ ἐπὶ σὲ, καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.*

Τῆς εὐχῆς μου δηλαδὴ πέρας λαμβανούσης. Πᾶσαν δὲ εἶπεν, ὅτι οὐ διὰ λόγων μόνον, ἀλλὰ καὶ δι' ἔργων ἐστὶν αἴνεσις· φησὶ γὰρ ὁ Σωτὴρ, *Ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάζωσι τὸν Πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς.* Mt 5.16

15α *Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου.*

Ἀναγγελεῖ ὅπως τε κατεδίκασας τοὺς πολεμίους καὶ ὅπως ἡμᾶς ἔσωσας.

15β-16α *Ὅτι οὐκ ἔγνων γραμματείας, εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου.*

Ὑποσχόμενος ἀναγγεῖλαι τὴν τοῦ Θεοῦ δικαιοσύνην καὶ τὴν παρ' αὐτοῦ σωτηρίαν, εἶτα συνεὶς ὅτι οὐκ ἔστιν ἱκανὸς, μετριοφρονεῖ λέγων, οὐκ ἔμαθον σοφιστείας τεχνικὰς, ἵνα καὶ δυνηθῶ ἀξίως ἀναγγέλλειν. Ὅμως εἰσελεύσομαι εἰς τὴν ὑπόσχεσιν, ἐν τῇ τοῦ Θεοῦ δυνάμει, καὶ ταύτῃ θαῤῥῶν, ἐπιχειρήσω.

Τὸ δὲ, *ὅτι*, παρέλκον τέθειται, ἢ βεβαιωτικὸν, ἀντὶ τοῦ, *ὄντως*.

Τινὲς δὲ αἰτιολογικῶς, ἀντὶ τοῦ, *διότι*, τοῦτο νοοῦντες, μετὰ τὸ, *γραμματείας*, ὑποστίζουσι, καὶ συνάπτουσι τὸ ἑξῆς.

Ἄλλοι δὲ γραμματείας λέγουσι, τὰς παραγγελίας τῶν Γραμματέων, οἳ τρὶς Ex 23.17
τοῦ ἔτους παρήγγελλον τῷ λαῷ εἰσελθεῖν εἰς Ἱεροσόλυμα καὶ εἰς τὸν ναόν· φησὶν Dt 16.16
οὖν, ὅτι νῦν, οὐκ ἀπὸ παραγγελίας αὐτῶν, ἀλλ' ἐκ θείας δυνάμεως εἰσελεύσομαι.

16β *Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.*

Οὐκ ἐπιλάθωμαί ποτε τῆς τοιαύτης σου δικαιοσύνης, | ἀλλ' ἐπὶ μνήμης ἕξω ταύτην ἀεί.

Μόνου δὲ εἶπεν, ἐμφαίνων, ὅτι σὺ μόνος δικάσεις ἡμῖν καὶ τοῖς ἐχθροῖς, καὶ οὐδεὶς ἕτερος· διὸ καὶ οὐκ ἀνθρώπου δικαιοσύνης, ἀλλὰ τῆς σοῦ μόνου μνησθήσομαι.

17 Ὁ Θεός μου, ἃ ἐδίδαξάς με ἐκ νεότητός μου καὶ μέχρι τοῦ νῦν, ἀπαγγελῶ τὰ θαυμάσιά σου.

Ἀπὸ τοῦ Δαυὶδ τὰ ἑξῆς νοοῦνται.

Καθ' ὑπερβατὸν δὲ ἡ σύνταξις. Ὁ Θεός μου, ἀπαγγελῶ τὰ θαυμάσιά σου, ἃ ἐδίδαξάς με ἐκ νεότητός μου καὶ μέχρι τοῦ νῦν. Θαυμάσια δὲ λέγει, τὰ ἐν ταῖς βίβλοις ἀναγεγραμμένα, ὅσα ὁ Θεὸς ἐπὶ σωτηρίᾳ τοῦ λαοῦ τῶν Ἰουδαίων ἐτερατούργησεν, ἢ καὶ ὅσα ἐν ταῖς ἡμέραις αὐτοῦ γεγόνασι.

18α Καὶ ἕως γήρως καὶ πρεσβείου, ὁ Θεός μου, μὴ ἐγκαταλίπῃς με.

Πρεσβεῖον, τὸ ἔσχατον ἔτι γῆρας, ἐξ οὗ καὶ πρεσβύτεροι τοῦ λαοῦ. Ὁ δὲ μέχρι τούτου σκεπασθεὶς, οὐδ' εἰς τὸ ἑξῆς ἐγκαταλειφθήσεται. Mt 21.23

Ἢ καὶ ἄλλως, ἀόριστον τὸ, ἕως, κατὰ ἰδίωμα τῆς Γραφῆς, ὡς συννοουμένου καὶ τοῦ ἑξῆς. Ps 109.1δ

18β Ἕως οὗ ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ.

Περὶ μὲν τοῦ βραχίονος τοῦ Θεοῦ εἴρηται ἐν τῷ μγ′ ψαλμῷ· περὶ δὲ τῆς Ps 43.4β
γενεᾶς τῆς ἐρχομένης, ἐν τῷ κα′. Ps 21.32β

Τινὰ μὲν οὖν τῶν ἀντιγράφων, ἕως οὗ ἀπαγγελῶ γράφουσι· τινὰ δὲ, ἕως ἂν ἀπαγγείλω.

18γ-19α Τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου, ὁ Θεὸς, ἕως τῶν ὑψίστων.

Ἀπὸ κοινοῦ ληπτέον τὸ, ἕως οὗ ἀπαγγείλω.

Ἔστι δὲ ἡ δυναστεία νῦν ἐφερμηνευτικὴ τοῦ βραχίονος. Τὴν δικαιοσύνην σου δὲ, τὴν ἕως τῶν ὑψίστων, κατ' ἔλλειψιν ἄρθρου· ἢ καὶ καθ' ὑπερβατὸν, οἷον, τὴν ἕως τῶν ὑψίστων διακαιοσύνην σου. Ὕψιστα δὲ, οἱ οὐρανοί· ἕως γὰρ τῶν οὐρανῶν ἄνεισιν, οἷα καὶ τῶν οὐρανίων δυνάμεων μανθανουσῶν περὶ αὐτῆς καὶ συγχαιρουσῶν.

Τὰ δὲ ἑξῆς πάλιν, προσώπῳ τοῦ λαοῦ φησιν.

19β Ἃ ἐποίησάς μοι μεγαλεῖα.

Τὸ, ἃ, ἀντὶ τοῦ, πόσα· ἠθικῶς γὰρ ἀναγνωστέον, ἀπὸ καρδίας.

Τινὲς δὲ μετὰ τὸ, καὶ τὴν δικαιοσύνην σου, στίζοντες τελείαν, τὸ, ἕως τῶν ὑψίστων,

18α[2] τὸ ἔσχατον ἔτι γῆρας MSF : τὸ ἔσχατον ἔτι C : τὸ ἔσχατόν ἐστι γῆρας PV.

τῷ, ἃ ἐποίησάς μοι μεγαλεῖα, συνάπτουσιν, Ἀκύλᾳ πειθόμενοι· ὅτι ἃς ἐποίησας μεγαλοπρεπείας καὶ εὐεργεσίας, ἕως τῶν οὐρανίων δυνάμεων ἀνέδραμον τῷ θαύματι· εἰκόνι σῇ με τετίμηκας, βασιλέα τῶν ἐπὶ γῆς με κατέστησας, τρέφεις, σκέπεις, φρουρεῖς, ἐξαρπάζεις κινδύνων, καὶ ὅσα τοιαῦτα.

19γ Ὁ Θεὸς, τίς ὅμοιός σοι;

Οὐδείς.

20α *Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς.*

Καὶ τὸ, *ὅσας ἔδειξάς μοι θλίψεις*, ἠθικῶς ἀναγνωστέον, ἀντὶ τοῦ, πόσας· εἶτα τὸ ἑξῆς ἐπενεκτέον, ὅτι πολλὰς ὄντως καὶ βαρείας. Οὐ μόνον γὰρ εὐηργετήθην, ἀλλὰ καὶ ἐκακώθην· τὸ μὲν τῇ σῇ ἀγαθότητι, τὸ δὲ τῇ ἐμῇ πονηρίᾳ.

20β Καὶ ἐπιστρέψας ἐζωοποίησάς με.

Ἐπιστρέψας πρός με, ὃν πρὶν ἀπεστράφης.

Ἢ καὶ, ἐπιστρέψας με πρὸς σὲ, ἐζωοποίησας δέ με, ἀπαλλάξας τοῦ προδήλου θανάτου. Ἔθος γὰρ τὰς μὲν σφοδρὰς θλίψεις, θάνατον ὀνομάζειν, τὴν δὲ τούτων ἀπαλλαγὴν, ζωήν.

20γ Καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με.

Ἀβύσσους τῆς γῆς, καὶ ᾅδην, καὶ τάφον, καὶ λάκκον, καὶ τὰ τοιαῦτα, πολλάκις ἡ Γραφὴ καλεῖ, τὸ βάθος τῶν πειρασμῶν. Οὕτω δὲ διὰ Ἰεζεκιὴλ ὁ Θεὸς εἶπε πρὸς Ἑβραίους, *Ἀνοίξω τοὺς τάφους ὑμῶν,* | *καὶ ἀνάξω ὑμᾶς ἐκ Βαβυλῶνος.* Ez 37.12

21α Ἐπλεόνασας ἐπ᾽ ἐμὲ τὴν μεγαλοσύνην σου.

Ἐπεδαψιλεύσω.

21β Καὶ ἐπιστρέψας παρεκάλεσάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

Ταῦτα τῷ λαῷ τῶν Χριστιανῶν ἁρμόζουσι μόνῳ, ὃν ἐπιστρέψας ὁ Χριστὸς πλανώμενον ἐν ἀγνοίᾳ καὶ εἰδωλολατρείᾳ, παρεκάλεσεν εἰς σωτηρίαν· ἔτι δὲ καὶ παρηγόρησεν, εἰπὼν, *Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*· καὶ ἀποθανόντα κατὰ φύσιν τῆς σαρκὸς, πάλιν ἀνήγαγεν Mt 11.28
ἐκ τῶν τάφων· ζωώσας γὰρ τὸ νεκρωθὲν ἑαυτοῦ σῶμα, καὶ ἀναστήσας, καὶ ἀπαθανατίσας, ἤδη πᾶσι τοῖς ἀξίοις αὐτοῦ τὴν τοιαύτην ἀνάστασιν ἐχαρίσατο· καὶ τοῦτο δῆλον ἀπὸ τῆς δοκούσης παλιλλογίας, οὐ περιττῶς, ἀλλὰ διὰ τοῦτο

κειμένης. Ἄλλως τε καὶ τὸ, πάλιν, ἐπίῤῥημα προσκείμενον ἐνταῦθα, τὴν παραλλαγὴν ἐνέφηνε τοῦ νοήματος.

22α Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε.

Περιττὸς νῦν ὁ γάρ σύνδεσμος, ὡς καὶ ἐν ἄλλοις παραδεδώκαμεν. Φησὶν οὖν ὁ Δαυὶδ, ὅτι λοιπὸν ἐγὼ εὐχαριστήσω σοι ἐν λαοῖς, καὶ οὐκ ἐν λαῷ μόνον· οὐ γὰρ ἐν Ἰουδαίοις μόνον, ἀλλ' ἐν πᾶσιν ἔθνεσι.

Τοῦτο δὲ σαφέστερον εἴρηκε πρὸς τῷ τέλει τοῦ ιζʹ ψαλμοῦ. Ps 17.50α

22β Ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός.

Σκεύη ψαλμοῦ, τὰ διάφορα εἴδη τῶν μουσικῶν ὀργάνων. Ἀναγωγικῶς δὲ, οἱ πιστοὶ, ὧν τὰς ψυχὰς ἁρμοσάμενος καὶ συνδήσας ὁ Δαυὶδ, ψάλλει διὰ παντὸς τῷ Θεῷ.

Ἀπὸ κοινοῦ δὲ τὸ, ἐξομολογήσομαι· καὶ ἦν μὲν ἀκόλουθον, κατὰ δοτικὴν πτῶσιν ποιῆσαι κἀνταῦθα τὴν σύνταξιν· ὁ δὲ ἀδιαφόρως αἰτιατικὴν ἐπήγαγεν.

Εὐχαριστήσω, φησὶ, τῇ ἀληθείᾳ σου, ὅτι ἀληθὴς εἶ Θεὸς, οὐ μόνον κατ' οὐσίαν, ἀλλὰ καὶ κατ' ἐπαγγελίαν.

22γ Ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ.

Τοῦτο ἐπεξήγησίς ἐστι τοῦ, ἐξομολογήσομαί σοι ἐν σκεύεσι ψαλμοῦ. Σκεῦος γὰρ, εἴτουν ὄργανον ψαλμοῦ, ἡ κιθάρα· ἀπὸ δὲ ταύτης, καὶ τ' ἄλλα εἴδη ἐσήμανε. Κιθάραν δὲ νῦν, τὸ βασιλικὸν ὄργανον λέγει, τὸ ψαλτήριον, ὡς ἐν τῷ προοιμίῳ
τῆς βίβλου τῶν ψαλμῶν ἐξηγησάμεθα. Διὰ τοῦτο γὰρ καὶ τοῦτο μόνον ὡς § 68
ἐξαίρετον τέθεικεν.

Ἵνα δὲ καὶ ἡμῖν ἁρμόσαιεν, σκεύη μὲν ψαλμοῦ νοήσομεν, στόμα, χείλη, γλῶσσαν, καὶ ὅσα ὄργανα τῆς φωνῆς, κιθάραν δὲ, τὴν ψυχήν.

Ἅγιος δὲ τοῦ Ἰσραὴλ, ὁ ἁγιάζων τὸν Ἰσραήλ. Λέγεται δὲ καὶ ὁ Θεὸς ἅγιος,
καὶ ὁ ἄνθρωπος, ὁ μὲν ὡς ἁγιάζων, ὁ δὲ ὡς ἁγιαζόμενος, καὶ ὁ μὲν κατὰ φύσιν, Heb 2.11
ὁ δὲ κατὰ θέσιν, ἤτοι κατὰ μετοχήν. Καὶ ὅτι τοῦτο ἀληθὲς, φησὶν ὁ ἀπόστολος Heb 3.1,14
Παῦλος περὶ Χριστοῦ, Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη καὶ
ἁγιασμὸς καὶ ἀπολύτρωσις. Γέγονε γὰρ, σοφία μὲν, τοῖς σοφιζομένοις, δικαιοσύνη 1Cor 1.30
δὲ, τοῖς δικαιουμένοις, ἁγιασμὸς δὲ καὶ ἀπολύτρωσις, τοῖς ἁγιαζομένοις καὶ ἀπολυτρουμένοις.

23α Ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψάλλω σοι.

Χείλη δὲ αὐτοῦ, εἶεν ἂν καὶ οἱ πιστοὶ, οἷς χρώμενος, ψάλλει τῷ Θεῷ δι' αὐτῶν.

23α[1] ψάλλω MPSCBF : ψάλω [Ra] : ψαλῶ V[T].

23β Καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω.

Ἣν ἐλυτρώσω ἀπό τε ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν.

24α Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου.

Περὶ τοῦ, *ὅλην τὴν ἡμέραν*, πολλάκις εἰρήκαμεν | ὅτι τὸ, *ἀεὶ*, σημαίνει, καὶ παρατηρητέον τοῦτο τοῦ λοιποῦ· *μελετήσω* δὲ, ἀντὶ τοῦ, *λαλήσω*, *μνημονεύσω*.

24β Ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

Ταῦτα δὲ ἃ ὑπεσχόμην ποιήσω, ὅταν ἀπαλλαγῶ τέλεον τῶν ἐχθρῶν.
Προείρηται δὲ ἀνωτέρω περί τε τῆς θείας δικαιοσύνης καὶ τῶν ζητούντων τὰ κακά. Ps 70.13β, 15

71 οα´
1α Ψαλμὸς εἰς Σαλομών.

Ἀποδέδεικται μὲν καὶ ἐν τῷ προοιμίῳ τῆς βίβλου τῶν ψαλμῶν, ὅτι οὐκ ἔστι τοῦ Σολομῶντος ὁ ψαλμός· εἰρήσεται δὲ καὶ νῦν, ὅτι οὐκ εἰς Σολομῶντα εἴρηται. § 48 § 53 Οὔτε γὰρ συμπαρέμεινε τῷ ἡλίῳ, ἀλλ᾽ ἀπεβίω, οὔτε πρὸ τῆς σελήνης ἦν, οὔτε κατεκυρίευσε τῶν περάτων τῆς γῆς, οὔτε πρὸ τοῦ ἡλίου τὸ ὄνομα αὐτοῦ.
Ἀλλ᾽ ἐπεὶ Σαλομὼν, εἰρηνικὸς ἑρμηνεύεται, πρόδηλον, ὡς εἰς Χριστὸν ὁ ψαλμὸς ἐῤῥήθη, ὅς ἐστιν εἰρήνη, καθά φησι Παῦλος, *Αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας*· δείξει δὲ Eph 2.14 τοῦτο, τὰ κατὰ μέρος ῥητά.

1β Ὁ Θεὸς, τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.

Προεωρακὼς ὁ Δαυὶδ τὰ κατὰ Χριστὸν, παρακαλεῖ ταχῦναι ταῦτα καὶ δοθῆναι αὐτῷ ὡς ἀνθρώπῳ, ἃ εἶχεν ὡς Θεός. Οὕτω γὰρ καὶ ὁ Χριστὸς εἴρηκε περὶ τοῦ Πατρὸς, ὅτι *Τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ*· καὶ πάλιν, *Ἐδόθη μοι πᾶσα* Jn 5.22 *ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς*. Βασιλέα δὲ καὶ βασιλέως υἱὸν ἐκάλεσεν αὐτὸν ὁ Mt 28.18 Δαυὶδ, ὡς Θεὸν καὶ Θεοῦ Υἱόν.
Κρίμα δὲ ὀνομάζει, τὴν κρίσιν, οὗ ἐφερμηνευτικὸν, ἡ *δικαιοσύνη*. Ὁ γὰρ Χριστὸς ἦν μὲν κριτὴς δίκαιος ὡς Θεὸς, ἔλαβε δὲ τοῦτο καὶ ὡς ἄνθρωπος παρὰ τοῦ Πατρός· εἴρηκε γὰρ, *Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ*. Ps 2.6α
Λέγοιτο δ᾽ ἂν καὶ κατὰ τὸ ἀνθρώπινον βασιλεὺς μὲν, ὡς ἐκ βασιλικῆς φυλῆς καταγόμενος, ἐπεὶ καὶ χριστός· βασιλέως δὲ υἱὸς, ὡς τοῦ Δαυὶδ υἱός· *Βίβλος* γὰρ, φησὶ, *γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυίδ*. Mt 1.1

2 Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει.

Τοῦτο, αἰτία ἐστὶ τῆς εὐχῆς· ἵνα κρίνῃ, φησί· λαὸν δὲ λέγει, τοὺς Χριστιανούς· ὁ γὰρ τοῦ Υἱοῦ λαὸς καὶ τοῦ Πατρός ἐστι. Τοὺς αὐτοὺς δὲ καλεῖ καὶ πτωχοὺς τοῦ Θεοῦ, ὡς διὰ Θεὸν πτωχεύσαντας.

Δικαιοσύνην δὲ νοήσεις, τὴν μέλλουσαν κρίσιν, ἐν ᾗ ἀποδώσει ἑκάστῳ τὰ πρὸς
ἀξίαν. Ὃ καὶ προϊὼν ἐδήλωσεν, ἐπαγαγὼν τὸ, ἐν κρίσει· κρίνειν δὲ αὐτοὺς μετά Mt 16.27
τε τοῦ διαβόλου καὶ τῶν Ἰουδαίων καὶ τῶν ἄλλων ἐχθρῶν τῆς πίστεως.

Ἄλλοι δέ φασι λαὸν μὲν, τὸν Ἰουδαϊκὸν, τόν ποτε τοῦ Θεοῦ ὄντα, πτωχοὺς δὲ, τὸν
νέον λαὸν, τὸν ἐξ ἐθνῶν. Περὶ δὲ πτωχείας αὐτοῦ, εἰρήκαμεν ἐν τῷ θʹ καὶ ἐν τῷ ιαʹ Ps 9.19
ψαλμῷ. Κρίνειν δὲ αὐτοὺς, καὶ τοὺς μὲν, δικαίως καταδικάσαι, τοὺς δὲ, δικαιῶσαι. Ps 11.6α

3 Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην.

Κατὰ λόγον προσωποποιΐας, ἐγκελεύεται τοῖς ὄρεσι μὲν ἀναλαμβάνειν εἰρήνην πρὸς τὸν λαὸν τοῦ Χριστοῦ, τοῖς δὲ βουνοῖς δικαιοσύνην· καὶ τὰ μὲν, εἰρηνικὴν αὐτῷ παρέχειν δίαιταν, ἀπωσάμενα τοὺς στασιαστὰς δαίμονας, τοὺς δὲ, δικαίως αὐτοῖς δουλεύειν, ὡς δούλοις τοῦ Κτίστου.

Διὰ δὲ τῶν ὀρέων καὶ τῶν βουνῶν, ὡς ὑπερεχόντων, πᾶσαν τὴν γῆν συμπεριέλαβεν, εἰς ἣν ἔμελλον κατοικεῖν οἱ ἀναχωρηταὶ καὶ ἀσκηταὶ καὶ στρατιῶται Χριστοῦ.

Ἢ ὄρη μὲν νοήσεις, τοὺς ἀρχαγγέλους, | ὡς ὑπερέχοντας τῶν ἀγγέλων, βουνοὺς δὲ, τοὺς ἀγγέλους, ὡς ὑποβεβηκότας αὐτοῖς. Ὑπερηρμένοι δέ εἰσι καὶ οὗτοι κἀκεῖνοι τῶν γηΐνων, ὡς τὰ ὄρη καὶ οἱ βουνοὶ τῆς γῆς, οὓς καὶ προτρέπεται εἰρηνεύειν τοῦ λοιποῦ πρὸς τὸν λαὸν τοῦ Χριστοῦ, καὶ δικαίως αὐτῷ προσφέρεσθαι, ὡς κληρονομίᾳ τοῦ Δεσπότου. Πρότερον γὰρ ἦσαν ἐκπεπολεμωμένοι τούτῳ τῷ λαῷ, διὰ τὴν ἀσέβειαν.

Ἢ ὄρη μὲν, οἱ βασιλεῖς καὶ ἡγεμόνες, βουνοὶ δὲ, οἱ ὑποβεβηκότες ἄρχοντες· πολλοὶ γὰρ τοιοῦτοι πρὸς τὴν πίστιν ἦλθον εἰρηνεύσαντες καὶ δικαίως τῷ λαῷ τοῦ Χριστοῦ χρησάμενοι.

4α Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων.

Πτωχοὺς τοῦ λαοῦ φασι, τοὺς παχυτέρους τῶν Ἰουδαίων, πτωχοὺς ὄντας εἰς σύνεσιν, οἷα γυμνῷ τῷ γράμματι τοῦ νόμου παραμένοντας καὶ πρὸς τὸν ἐγκεκρυμμένον πλοῦτον τοῦ Πνεύματος οὐ δυναμένους παρακύπτειν· υἱοὺς δὲ πενήτων, τοὺς πεπιστευκότας εἰς Χριστὸν, ὧν οἱ πατέρες, πένητες ἦσαν εἰς εὐσέβειαν, τὸν τῆς ἀληθοῦς θεογνωσίας πλοῦτον οὐκ ἔχοντες· ἢ καὶ τοὺς μαθητὰς τῶν ἀποστόλων, υἱοὺς πενήτων οἰητέον· ἁλιεῖς γὰρ καὶ εὐτελεῖς τὸ φαινόμενον ἦσαν οἱ ἀπόστολοι· ἐκείνους μὲν οὖν κατακρινεῖ, ὡς ἀπιστήσαντας, τούτους δὲ
σώσει, ὡς πιστεύσαντας. Mk 16.16

2[5] δικαιοσύνη δέ MSCBF : δικαιοσύνη δὲ Θεοῦ PV.

4β Καὶ ταπεινώσει συκοφάντην.

Τὸν διάβολον, ὃς αὐτὸν τὸν Θεὸν πρῶτον ἐσυκοφάντησε, φήσας διὰ φθόνον αὐτὸν ἀπαγορεῦσαι τοῦ φυτοῦ τὴν μετάληψιν. Καὶ πάντας δὲ συκοφαντεῖ καὶ διαβάλλει· διὸ καὶ διάβολος φερωνύμως κέκληται. Gen 3.5

5 Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν.

Βουλόμενος ἐμφῆναι τό τε ἄναρχον καὶ τὸ ἀτελεύτητον τοῦ Χριστοῦ κατὰ τὴν θεότητα, παρέβαλεν αὐτὰ τοῖς μεγάλοις φωστῆρσιν, οὐχ εὑρίσκων ἐν τῇ ὁρατῇ κτίσει ἑτέρας εἰκόνας ἐπισημοτέρας καὶ διαρκεστέρας. Gen 1.16

Συμπαραμενεῖ γὰρ, φησὶ, τῷ ἡλίῳ, τουτέστιν, ἔσται μέχρις ἔστιν ὁ ἥλιος. Ἰδίωμα δὲ τῆς Γραφῆς τὸ, μέχρι μέν τινος ὁρίζειν, τὸ δὲ ἑξῆς, μὴ ἀναίνεσθαι, ὡς ἐν ἑτέροις ἐροῦμεν πλατύτερον· ἀλλ᾽ οὕτω μὲν, τὸ ἀτελεύτητον. Ps 109.1δ

Εἶτα καὶ περὶ τοῦ ἀνάρχου φησὶν, ὅτι καὶ πρὸ τῆς σελήνης ἦν· τὸ δὲ γενεὰς γενεῶν, ἀντὶ τοῦ, διαστήματα διαστημάτων, ἤγουν διαστήματα ἄπειρα, γενεὰν καλῶν, διάστημα χρόνου· ὅσον ἂν ζῇ γένος, εἴτουν ἄνθρωπος.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν ἥλιον, τὴν θεότητα· ὃ γὰρ ἐν τοῖς αἰσθητοῖς, ἥλιος, τοῦτο ἐν τοῖς νοητοῖς, Θεὸς, κατὰ τὸν Θεολόγον Γρηγόριον· ᾗτινι θεότητι, συμπαραμενεῖ ἡ ἀνθρωπότης, ἅπαξ ἑνωθεῖσα αὐτῇ, καὶ οὐδέποτε αὐτῆς χωρισθήσεται. Εἶτα σελήνην νοήσεις, τὴν Ἐκκλησίαν τῶν πιστῶν, ἧς πρὸ προσώπου καὶ ἐνώπιον, ὁ Χριστὸς ἔσται· γενεὰς γενεῶν, τουτέστιν, ἀεί. Ὥσπερ γὰρ ἡ σελήνη τὸ φῶς ἀπὸ τοῦ ἡλίου λαμβάνει, οὕτω καὶ αὕτη τὸ νοητὸν φῶς ἀπὸ τοῦ Ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, καὶ καταυγάζει τοὺς ἐν νυκτὶ τῆς πλάνης, καὶ τὴν εὐθεῖαν ὁδὸν ὑποδείκνυσι. PG36.364B Mal 3.20

6 Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.

Τὸ λεληθὸς ἐνταῦθα μηνύεται τῆς τοῦ Λόγου σαρκώσεως, καταβάντος ἀνεπαισθήτως ἐπὶ τὴν νηδὺν τῆς Παρθένου. Ὁ γὰρ ὑετὸς ἀψοφητὶ κάτεισιν ἐπὶ τὸν πόκον, ὁμοίως δὲ καὶ ἡ σταγὼν ἐπὶ τὴν γῆν. Σταγὼν δέ ἐστιν, ἡ πρὸ τοῦ νείφειν, σποράδην καὶ ἐκ διαλειμμάτων κατερχομένη. |

7 Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.

Γεννηθέντος γὰρ τοῦ Χριστοῦ, αἱ διάφοροι τοπαρχίαι τῶν ἐθνῶν εἰς μοναρχίαν τὴν τῶν Ῥωμαίων περιέστησαν. Ἐξῆλθε γὰρ, φησὶ, δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. Τότε τοίνυν ἐκέχρηντο δικαιοσύνῃ καὶ εἰρήνῃ πρὸς ἀλλήλας αἱ τὸ πρὶν πολέμιαι πόλεις, ὑπὸ μιᾶς ἰθυνόμεναι βασιλείας. Lk 2.1

5[15] Χριστὸς ἔσται· γενεὰς MSCBF : Χριστός ἐστιν, εἰς γενεὰς P. 5[16] γάρ MSCBF : δέ PV.

Ἀνταναίρεσιν δὲ τῆς σελήνης, εἴτουν ἀναίρεσιν καλεῖ, τὴν ἐν τῇ συντελείᾳ τοῦ κόσμου παῦσιν αὐτῆς· Ὁ ἥλιος γὰρ, φησὶ, σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς· τῆς ἀντί προθέσεως περιττῆς κειμένης, ὡς ἐν τῷ Mt 24.29
ζʹ ψαλμῷ παραδεδώκαμεν. Εἰ δὲ μὴ μέχρι συντελείας δικαιοσύνη καὶ εἰρήνη Ps 7.4-5
παραμενεῖ πᾶσιν, ἀλλὰ πολλαῖς τέως πόλεσιν ἀποσωθήσεται· οὐ γὰρ περὶ καθόλου δικαιοσύνης ἢ εἰρήνης εἶπε.

Καὶ ἄλλως δὲ δικαιοσύνην εἴποις ἂν καὶ εἰρήνην πρὸς τὸν Θεόν· ἐν ταῖς ἡμέραις γὰρ τοῦ Χριστοῦ, δικαίως, εἴτουν ἀξίως, ἡ μακαρία Τριὰς τῆς μιᾶς Θεότητος προσεκυνήθη, καὶ εἰρήνη τῶν οὐρανίων καὶ ἐπιγείων ἐγένετο· αἵτινες καὶ διατηρηθήσονται μέχρι συντελείας.

8α Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης.

Θάλασσαν καὶ θάλασσαν λέγει, διὰ τὰ πλήθη τῶν ὑδάτων, τόν τε ἑῷον Ὠκεανὸν καὶ τὸν ἑσπέριον, οἵ εἰσι πέρατα τῆς οἰκουμένης εἰς μῆκος· καὶ αὖθις εἰς πλάτος, τὸν ἀρκτικὸν καὶ τὸν μεσημβρινόν. Φασὶ γὰρ τὸν Ὠκεανὸν κύκλῳ περιῤῥέειν τὴν γῆν.

8β Καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης.

Τὸ αὐτὸ δηλοῖ καὶ οὗτος ὁ στίχος· ἃ γὰρ ἐν ἐκείνῳ θαλάσσας ἐκάλεσε, ταῦτα ἐν τούτῳ ποταμοὺς εἶπεν, ὡς μέρη τοῦ Ὠκεανοῦ ποταμοῦ· πέρατα δὲ τῆς οἰκουμένης, ἀπὸ μὲν τοῦ ἑῴου Ὠκεανοῦ, ὁ ἑσπέριος, ἀπὸ δὲ τοῦ ἀρκτῴου, ὁ μεσημβρινὸς, καὶ αὖθις ἐναλλὰξ, ἵν' εἴποις, καὶ ἀπὸ ποταμῶν ἕως ποταμῶν.

Καὶ ἄλλως δὲ, ποταμοὺς μὲν νῦν, τὸν Ἰορδάνην νοήσεις, πληθυντικὸν ἀντὶ ἑνικοῦ, κατὰ τὴν Ἑβραΐδα διάλεκτον· ἀπὸ τοῦ ποταμοῦ γὰρ τούτου κατακυριεύειν ἤρξατο τῶν πιστευόντων ὁ Χριστὸς, ὅτε τοῦ παναγίου Πνεύματος ἐν εἴδει
περιστερᾶς κατιόντος, ὁ Πατὴρ τῷ Υἱῷ προσεμαρτύρησεν ἄνωθεν. Mk 1.10-11

9α Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες.

Διττόν ἐστι τὸ γένος τῶν Αἰθιόπων, ὡς ἐν τῷ ξζʹ προείρηται· καὶ οἱ μὲν αὐτῶν, Ps 67.32β
ἐν ἄκρῳ τῆς ἀνατολῆς οἰκοῦσιν, οἱ δὲ, ἐν ἄκρῳ τῆς δύσεως· εἰ δὲ τὰ ἀκρότατα ἔθνη προσκυνήσουσι τῷ Χριστῷ, καὶ τὰ ἐν τῷ μέσῳ πάντως.

Ἢ Αἰθίοπας εἴποις ἄν, τοὺς δαίμονας, τοιοῦτοι γὰρ ὡς ἐπίπαν φαίνονται, διὰ τὸ ζοφῶδες καὶ σκοτεινὸν αὐτῶν.

Ἀλλ' ἐπὶ μὲν τῶν αἰσθητῶν Αἰθιόπων, τὸ, προπεσοῦνται, ἀντὶ τοῦ, προσκυνήσουσι, λαμβάνομεν, περιττευούσης τῆς προθέσεως· ἐπὶ δὲ τῶν νοητῶν, ἀντὶ τοῦ, καθαιρεθήσονται, καὶ ταπεινωθήσονται, καὶ καταπαλαισθήσονται.

9β Καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσιν.

8β[5] εἴποις MSCF : εἴπω PV. 9α[5] εἴποις ἄν MSCBF : εἴποι ἄν τις PV.

Οἱ χριστοκτόνοι Ἰουδαῖοι κατασφαγήσονται· οἱ γὰρ ἀναιρούμενοι δάκνουσι τὴν γῆν ὑπὸ τοῦ ἀφορήτου πόνου καὶ τῆς ἀνάγκης.

Ἢ ὅτι οἱ πολεμοῦντες τῷ κηρύγματι μεταβληθήσονται, καὶ τὰ ἐδάφη τῶν ἱερῶν αὐτοῦ ναῶν καταφιλήσουσιν.

Ἢ καὶ αὖθις ἐχθροὺς αὐτοῦ, τοὺς δαίμονας ὑποληπτέον, οἵτινες εἰς γῆν | ὑπὸ τῶν εὐσεβῶν καταβληθήσονται καὶ συμπατηθήσονται, τοσοῦτον ὡς δοκεῖν λείχειν τὴν γῆν, ἐξαναστῆναι μὴ συγχωρούμενοι.

10 Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσι.

Θαρσεῖς, τὴν Καρχηδόνα πάντες ὀνομάζουσι, προκαθημένην τῆς Λιβύης· Σαβᾶ δὲ, πόλις ἐστὶν Ἰνδίας, περιφανεστέρα τῶν ἐν αὐτῇ.

Τῶν ἐπισημοτέρων οὖν τότε βασιλειῶν μνημονεύσας, διὰ τούτων καὶ τὰς ἄλλας ἐνέφηνεν· ὃ καὶ διὰ τῶν ἐφεξῆς ἐδήλωσε στίχων, συλλήβδην πάντας τοὺς βασιλεῖς καὶ πάντα τὰ ἔθνη φήσας, ὡς καὶ ἐν τῷ ξζʹ ψαλμῷ. Νήσους δὲ, τὰς ἐν Ps 67.30β
τῇ θαλάσσῃ πάσας φησίν. Ὄντως δὲ, πᾶν ἔθνος ἐδωροφόρησε τῷ Χριστῷ, τὸ μὲν ναοὺς καὶ ἀναθήματα, τὸ δὲ ἀρετὰς, καὶ τὸ μὲν αἰσθητὰ δῶρα, τὸ δὲ νοητά.

11 Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.

Προσεκύνησαν δὲ οὔπω πάντες, εἰ καὶ ἐκ παντὸς ἔθνους, ὡς ἐν τῷ ξζʹ ψαλμῷ
προείρηται. Ps 67.30β

Ἔοικε δὲ τὸ ῥητὸν τοῦτο τῷ τοῦ Ἰακὼβ, τῷ *Καὶ αὐτὸς προσδοκία ἐθνῶν*. Gen 49.10

12 Ὅτι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός.

Πτωχὸν καὶ πένητα λέγει νῦν, τὸν λαὸν τῶν Χριστιανῶν, ὡς ἐν τῷ λθʹ ψαλμῷ Ps 39.18α
προείρηται, καὶ πολὺ πρὸ τούτου ἐν τῷ θʹ. Ps 9.10α

Δυνάστην δὲ καλεῖ, τὸν διάβολον, ὡς κατακυριεύσαντα πάλαι τῶν ἀνθρώπων. Καὶ ἄλλως δὲ φόβον ἐπισείει τοῖς δυνάσταις ἀνθρώποις ὁ προφήτης, ὡς τοῦ Θεοῦ ἀντιλαμβανομένου τῶν καταδυναστευομένων.

13 Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει.

Τὸ αὐτὸ πάλιν φησίν· ἢ πτωχὸν μὲν ὀνομάζει, τὸν Ἰουδαϊκὸν λαὸν, ὡς ἀποπεσόντα τοῦ πλούτου τῆς θείας βοηθείας, πένητα δὲ, τὸν ἐθνικόν. Ἀμφοτέρους μὲν γὰρ ἠλέησε, καὶ δι᾽ ἀμφοτέρους ἐνηνθρώπησεν. Ἀλλ᾽ Ἰουδαίους μὲν, μὴ δεξαμένους αὐτὸν, εἴασε, τὰ ἔθνη δὲ, προσδραμόντα τῇ εἰς αὐτὸν πίστει, ἔσωσε.

Καὶ ἄλλως δὲ, ῥύεται καὶ φείδεται καὶ σῴζει τοὺς δι᾽ αὐτὸν πτωχοὺς καὶ πένητας.

10[7] ψαλμῷ MSCBF : ψαλμῷ ἐδηλώσαμεν PV. 12[5] ἀνθρώποις MSCBF : om. PV.

14α Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν.

Διὰ τοῦ τόκου, τὴν φιλαργυρίαν ἐσήμανε, χείρονα τῶν ἄλλων οὖσαν παθῶν· 1Tim 6.10
εἶτα τῇ ἀδικίᾳ καὶ πᾶσαν ἁμαρτίαν καθολικώτερον συμπεριέλαβε· πᾶς γὰρ ὁ ἁμαρτάνων ἀδικεῖ, ἢ ἑαυτὸν μόνον ἢ καὶ ἕτερον. Τούτων δὲ ἐλυτρώσατο τοὺς ἀνθρώπους διὰ τῶν εὐαγγελικῶν ἐντολῶν.

14β Καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν.

Καὶ ὄντως οὕτως ἐστὶν ἔντιμον, ὡς καὶ ἀντὶ παντὸς ἀξιώματος αὐτοῖς ἀρκεῖν εἰς εὐγένειαν τὸ Χριστιανοὺς ὀνομάζεσθαι.

15α Καὶ ζήσεται.

Τοῦτο, τινὲς μὲν, ταὐτὸν δύνασθαί φασι τῷ, *Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος*· ζήσεται γὰρ ἀεί. Ἐμοὶ δὲ δοκεῖ, τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ Lk 1.33
προαγορεύειν, ὅτι θανὼν ἀναβιώσεται.

15β Καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας.

Ἡ Ἀραβία καὶ πολὺν καὶ κάλλιστον εἶχε πάλαι χρυσὸν, ἐπεὶ καὶ Εὐδαίμων ὠνομάζετο καὶ Χρυσῆ παρὰ τοῖς Ἕλλησιν. Αἰνίττεται δὲ διὰ ταύτης, ὡς ἐν τούτῳ περιφανεστέρας, ὅτι πᾶσα χώρα δωροφορήσει τοῖς ναοῖς τοῦ Χριστοῦ.

Ἄλλως τε δὲ, καὶ πρῶτοι Ἄραβες ἐδέξαντο τὴν πίστιν διὰ τοῦ Παύλου, ὡς αὐτὸς Γαλάταις ἐπιστέλλων ἐδίδαξεν εἰπὼν, *Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς, καὶ* τὰ ἑξῆς, εἶτά φησιν, *Οὐ προσανεθέμην σαρκὶ καὶ | αἵματι, οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα, ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν.* Gal 1.15-17

15γ Καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντός.

Οἱ Χριστιανοὶ προσεύξονται περὶ τῆς σωτηρίας αὐτοῦ, ἤγουν τῆς παρ' αὐτοῦ, ὥστε αὐτὸν ἀντιλαμβάνεσθαι καὶ σῴζειν αὐτούς.

Τινὲς δὲ εἰς τοὺς προφήτας ἀνάγουσι τὸ ῥητὸν, ὅτι προεωρακότες τὴν εἰς ἀνθρώπους ἐπιδημίαν αὐτοῦ, παρακαλέσουσι τὸν Πατέρα ἀποστεῖλαι αὐτὸν τάχιον, ἵνα καταλύσῃ τὴν τυραννίδα τοῦ διαβόλου.

15δ Ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.

Ἀεὶ ὑμνολογήσουσιν αὐτὸν οἱ πιστοί.

16α Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων.

Ἔσται ὁ Χριστὸς ἐν τῇ γῇ, εἴτουν τοῖς ἐν τῇ γῇ, στήριγμα, ἑδράζων καὶ στερεῶν αὐτούς, κλονουμένους ὑπὸ τοῦ διαβόλου. Τὸ δὲ, *ἐπ᾽ ἄκρων τῶν ὀρέων*, ἀντὶ τοῦ, μέχρι τῶν ἀκρωρειῶν· τοῦτο δὲ πρόσκειται, διὰ τοὺς ἐν τοῖς ἄκροις τῶν ὀρέων οἰκοῦντας ἀγωνιστάς, ὡς κἀκείνους ἑδράζοντος.

16β Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ.

Τὸν Λίβανον διὰ τὸ ἄγαν ὕψος νῦν παρέλαβεν, ὅτι ὁ καρπὸς τοῦ Χριστοῦ αὐξήσει μάλα. Καρπὸν δὲ καλεῖ, τὴν διδασκαλίαν, τὸ Εὐαγγέλιον.

Καὶ ἄλλως δὲ, Λίβανος μὲν, ἡ εἰδωλολατρεία νοηθείη ἄν, διὰ τὸ κατείδωλον εἶναι πάλαι τὸν Λίβανον· καρπὸς δὲ, τὸ κήρυγμα τοῦ Εὐαγγελίου, ὅ καὶ ὑπερενίκησεν ἐκείνην καὶ ἀπέκρυψε.

16γ Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.

Πόλεως ἀορίστως, διὰ τὸ ἐκ πάσης πόλεως ἐξανθεῖν πιστούς· ὡσεὶ χόρτος δὲ, διὰ τὴν ἐπίδοσιν καὶ διὰ τὸ πλῆθος· νοεῖται δὲ καὶ ἡ Ἐκκλησία πόλις.

Τινὲς δὲ πόλιν εἰδικῶς, τὴν Ἰερουσαλὴμ ὑπολαμβάνουσιν, ἀφ᾽ ἧς ἐξανθῆσαι καὶ τάχιον μαρανθῆναι δίκην χόρτου τοὺς Ἰουδαίους, αὐξομένου τοῦ κηρύγματος.

17α Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας.

Τοῦτο δῆλον. Εὐφημεῖται γὰρ ἀεὶ παρὰ τῶν ἁπανταχοῦ πιστῶν. Ὄνομα δὲ λέγει τὸ, Χριστὸς, ἢ τὸ, Ἰησοῦς.

17β Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ.

Τὸ, Ὁ ὤν, ὃ ἀεὶ ἔχει, ὡς αὐτὸς ἑαυτὸν ὀνομάζει τῷ Μωυσῇ χρηματίζων ἐπὶ τοῦ ὄρους. Ex 3.14

Εἰ δὲ καὶ τὸ, Χριστὸς, εἴποις, τὸ, *πρὸ τοῦ ἡλίου*, νοήσεις ἀντὶ τοῦ, ὑπὲρ τὸν ἥλιον, πλεῖον τοῦ ἡλίου. Ὁ μὲν γὰρ ἥλιος ἐν τῇ συντελείᾳ πίπτει, καὶ τὰ λοιπὰ ἄστρα· τὸ δὲ τοιοῦτον ὄνομα, ἀδιάπτωτον μένει, παρὰ πᾶσι γνωριζόμενον. Mt 24.29

17γ Καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.

Τὸ, *ἐνευλογηθήσονται*, ἀντὶ τοῦ, ἁγιασθήσονται, χαριτωθήσονται. Ἐν τῷ καλεῖσθαι γὰρ Χριστιανοί, δοξαζόμεθα.

Τοῦτο δὲ καὶ τῷ Ἀβραὰμ ὁ Θεὸς περὶ τοῦ σπέρματος αὐτοῦ ἐπηγγείλατο, ὃ Gen 12.3
ἦν ὁ Χριστός. Φυλὰς δὲ, τὰς γενεὰς ἐκάλεσε. Gal 3.16

17δ Πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.

Εὐφημήσουσιν.

18 Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ὁ ποιῶν θαυμάσια μόνος.

Ἰδοὺ τὸ κεκρυμμένον ἐξέφηνεν, Θεὸν αὐτὸν ἀνακηρύξας καὶ Θεὸν τοῦ Ἰσραὴλ, ἵνα δείξῃ ὅτι οὗτός ἐστι καὶ τοῦ Ἰσραὴλ Θεὸς, ὁ τὰ θαυμάσια ἐκεῖνα δι' ἐκεῖνον τερατουργήσας. Τὸ δὲ, μόνος, πρὸς ἀντιδιαστολὴν τέθειται τῶν ψευδωνύμων θεῶν.

19α Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δόξα τοῦ Χριστοῦ, ἡ ἐνανθρώπησις καὶ τὰ κατὰ ταύτην παθήματα· διὰ τούτων γὰρ ἐδοξάσθη παρὰ τοῖς πιστοῖς, ὅτι Θεὸς ὢν, δι' ἡμᾶς ταῦτα πέπονθεν· ὄνομα δὲ ταύτης, τὸ, Χριστὸς, ὃ καὶ εἰς τὸν παρόντα αἰῶνα εὐλογεῖται, καθὼς ἀνωτέρω δεδήλωται, καὶ πολλῷ | μᾶλλον, εἰς τὸν μέλλοντα, ὅτε οὐδεὶς ἔσται ὁ βλασφημῶν αὐτὸ, πάντων λοιπὸν ὑποτεταγμένων.

Δυνάμεθα δὲ καὶ περιφραστικῶς εἰπεῖν, τῆς δόξης αὐτοῦ, ἀντὶ τοῦ, αὐτοῦ.

19β Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. Γένοιτο, γένοιτο.

Τοῦτο προφητεύει τὴν πίστιν ἁπάντων τῶν ἐθνῶν. Οὕτω δὲ καὶ πρὸς Μωυσῆν εἶπεν ὁ Θεὸς, *Ζῇ γὰρ τὸ ὄνομά μου, ὅτι πληρωθήσεται τῆς δόξης μου πᾶσα ἡ γῆ.* Nu 14.21
Τοῦτο καὶ Ἡσαΐας ἤκουσε, βοώντων τῶν Σεραφὶμ, *Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.* Isa 6.3

Δὶς δὲ τὸ γένοιτο, καθὼς ἐν τῷ τέλει τοῦ μʹ ψαλμοῦ προείρηται. Ps 40.14

Χρὴ δὲ γινώσκειν, ὡς Ἑβραῖοι τοὺς Δαυϊτικοὺς ψαλμοὺς εἰς πέντε βίβλους διαιροῦντες, τέλος ἑκάστης τῶν τεσσάρων φασὶν ἕκαστον ψαλμὸν τέλος ἔχοντα, τὸ, Γένοιτο, γένοιτο· καὶ εἶναι τῆς μὲν πρώτης βίβλου τέλος τὸν μʹ, τῆς δευτέρας δὲ, τὸν οαʹ, τῆς δὲ τρίτης, τὸν πηʹ, τῆς δὲ τετάρτης, τὸν ρεʹ· τῆς πέμπτης γὰρ, ὁ τελευταῖος πέρας ἐστίν.

20 Ἐξέλιπον οἱ ὕμνοι Δαυὶδ τοῦ υἱοῦ Ἰεσσαί.

72 οβʹ

1α Ψαλμὸς τῷ Ἀσάφ.

Καὶ μὴν τοῦ Δαυὶδ εἶναι πάντας τοὺς ψαλμοὺς ἐν τῷ προοιμίῳ τῆς βίβλου αὐτῶν ἀπεδείξαμεν· πῶς οὖν ἐξέλιπον; ὥστε οὐχ οἱ ψαλμοὶ ἐξέλιπον, ἀλλ' οἱ ὕμνοι. Τῶν γὰρ ψαλμῶν ὧν ἐποίει, τοὺς μὲν αὐτὸς ὑμνῴδει τῷ Θεῷ, διὰ τῆς ἑαυτοῦ κιθάρας, τοὺς δὲ, τοῖς χοράρχαις ἐδίδου μελῳδεῖν, καθάπερ τόν τε § 48-57

18[4] τέθειται MSCBF: τέθεικε PV. 19β[9] τὸν μʹ PV : τὸν εἰκοστόν MSCBF.

προκείμενον καὶ τοὺς ἐφεξῆς ἕνδεκα, τῷ Ἀσὰφ, καὶ ἄλλους, ἄλλοις, ὡς ἐν τῷ δηλωθέντι προοιμίῳ προπαραδέδοται· τὸ γοῦν ἐξέλιπον, δηλοῖ, ὅτι οἱ ἑξῆς λοιποὶ ψαλμοὶ, οὐχ ὑμνῳδήθησαν παρὰ τοῦ Δαυὶδ, εἰ καὶ παρ᾽ αὐτοῦ ἐποιήθησαν. Pss 72-82 § 50

Χρὴ δὲ θαυμάζειν ὅπως ἡ θεία χάρις τοῦ Πνεύματος τοῖς διαφόροις πάθεσι τῶν ἀνθρωπίνων λογισμῶν διάφορα φάρμακα διὰ τῶν ψαλμῶν ἐκέρασε, καθάπερ καὶ νῦν ἐπὶ τοῦ παρόντος· πρὸς γὰρ τοὺς μικροψύχους καὶ σκανδαλιζομένους ἐπὶ τοῖς ἀνεξερευνήτοις κρίμασι τοῦ Θεοῦ, ὅπως ἀνέχεται μὲν εὐημεροῦντας τοὺς πονηροὺς, περιορᾷ δὲ κακοπαθοῦντας τοὺς ἀγαθοὺς, ὁ ψαλμὸς ὁρᾷ. Rom 11.33

Καὶ ἐσχημάτισται μὲν προσώπῳ τοῦ ἐν Βαβυλῶνι δορυαλώτου λαοῦ, καὶ μάλιστα τοῦ θεοφιλεστέρου· ἁρμόζει δὲ παντὶ, παραμυθούμενος τὴν ἑκάστου μικροψυχίαν.

1β Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ.

Τὸ, ὡς, βεβαιωτικόν ἐστιν· ὄντως, φησὶν, ἀγαθός ἐστιν ὁ Θεός τῷ Ἰσραὴλ, οἷα διὰ τῶν θλίψεων παιδαγωγῶν καὶ σωτηρίαν αὐτῷ πραγματευόμενος· οὐκ ἐκ μίσους γὰρ, ἀλλ᾽ ἐξ ἀγάπης αἱ παιδεῖαι, καὶ πρὸς διόρθωσιν.

1γ Τοῖς εὐθέσι τῇ καρδίᾳ.

Τοῦτο δὲ ὢν κρίνεται παρὰ τοῖς ὀρθὰ λογιζομένοις· καρδίαν γὰρ ἐνταῦθα, τὸν λογισμὸν ὑποληπτέον.

2α Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες.

Πόδας καλεῖ, τοὺς λογισμοὺς, τοὺς ὑπερείδοντας τὴν εὐσέβειαν τῆς ψυχῆς. Μικροῦ, φησὶ, παρετράπην, καὶ ὑπεσύρην εἰς ὄλισθον τοῦ μὴ τὸν Θεὸν οἴεσθαι προνοεῖν τοῦ κόσμου.

2β Παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.

Διαβήματα νῦν, τὰ διανοήματα· ἐξεχύθη δὲ, ἀντὶ τοῦ, ἐχαυνώθη· χαῦνον γὰρ τὸ χεόμενον.

Εἶτα ἐπιφέρει καὶ τὴν αἰτίαν, δι᾽ ἣν ἐκινδύνευε σαλευθῆναι καὶ ἐκχυθῆναι.

3 Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν. |

Ζῆλον λέγομεν, τὸν εὔλογον θυμὸν κατὰ πράγματος ἀνευλόγου. Ὅτι, φησὶν, ἐπὶ τοῖς ἀνόμοις ἐχθροῖς ἐθυμώθην δικαίως, ὡς ὑπελάμβανον, οἷα εἰρηνεύοντας αὐτοὺς θεωρῶν, εἴτουν μὴ πολεμουμένους ὑπὸ δυνατωτέρου ἔθνους, ἀλλ᾽ ἀδείας ἀπολαύοντας, καίτοι ἁμαρτωλοὺς ὄντας.

[1α][2] προπαραδέδοται MSCBF : παραδέδοται PV. [1α][2] οἱ ἑξῆς λοιποί PBV : οἱ ἑξῆς οἱ λοιποί S : οἱ λοιποί οἱ ἑξῆς C : οἱ λοιποί ἑξῆς F : οἱ ἑξῆς M.

4α Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν.

Καὶ ὅτι οὐκ ἔστιν ἀπαγόρευσις ἐν τῷ θανάτῳ αὐτῶν, εἴτουν, οὐκ ἔστιν ἀπευκτὸς ὁ θάνατος αὐτῶν, ἅτε κατὰ φύσιν καὶ μὴ βιαίως ἐπερχόμενος.

4β Καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν.

Οὐδὲ ἐπιμονὴ ἐν τῇ πληγῇ αὐτῶν. Εἰ γάρ ποτε καὶ κακωθεῖεν, ταχὺ τῆς θλίψεως ἀπαλλάττονται.

5 Ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.

Οὐδέ εἰσιν ἐν κόποις, ὡς οἱ λοιποὶ ἄνθρωποι — τὸ γὰρ κοπιᾶν, ἴδιον ἀνθρώπων — ἀλλ᾽ ἀπόνως κτῶνται τὰ ἀγαθά· οὐδὲ, ὡς ἐμοὶ φαίνεται, ὡς οἱ λοιποὶ ἄνθρωποι κακωθήσονται.

6α Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος.

Διὰ τὸ κατὰ ῥοῦν αὐτοῖς φέρεσθαι τὰ πράγματα, συνέσχεν αὐτοὺς ἡ ὑπερηφανία τέλεον.

6β Περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν.

Οὕτω δὲ ἀλαζονευσάμενοι, λοιπὸν δίκην ἱματίου περιεβάλοντο τὴν ἀδικίαν καὶ τὴν ἀσέβειαν ἑαυτῶν· ἐμφαίνει δὲ ἡ περιβολὴ, τὸ κύκλωμα καὶ τὴν πανταχόθεν συνοχήν. Πολλαχοῦ δὲ τῶν ψαλμῶν, τῷ εἴδει τούτῳ κέχρηται, ὡς
ἐν τῷ, *Περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν*, καὶ πάλιν, *Ἐνδυσάσθωσαν οἱ* Ps 70.13
ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν, Ps 108.29
καὶ αὖθις, *Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον*, καὶ ὅσα τοιαῦτα. Ἐπὶ δὲ τοῦ Ps 108.18
προκειμένου ῥητοῦ, ὑποδηλοῦται καὶ τὸ ἐπιδείκνυσθαι καὶ ἐναβρύνεσθαι.

7α Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν.

Λιπαρὰ καὶ δαψιλής· τοιοῦτον γὰρ τὸ ἀπορρέον ἐκ στέατος.

Ἢ στέαρ καλεῖ, τὴν εὐπάθειαν καὶ τρυφὴν, λέγων, ὅτι ἐξελεύσεται ἐκ τρυφῆς, εἴτουν ὑπὸ τῆς ἄγαν τρυφῆς, παρέλκοντος τοῦ ἐπιρρήματος.

Ἀντιχρονία δὲ τὸ, ἐξελεύσεται, ἀντὶ τοῦ, ἐξῆλθεν· οὕτω γὰρ ὁ Σύμμαχος
εἶπε. Δῆλον οὖν ὅτι καὶ τὸ, *οὐ μαστιγωθήσονται*, ἀντὶ τοῦ, οὐκ ἐμαστιγώθησαν, Ps 70.5
νοῆσαι δυνάμεθα.

7β Διήλθοσαν εἰς διάθεσιν καρδίας.

6[1] περιεβάλοντο MB[TRa] : περιεβάλλοντο PSCFV.

Ἦλθον εἰς ἕξιν τῆς ἀδικίας. Ἕξις γὰρ, ἡ περί τι διάθεσις, ἤτοι σχέσις τῆς καρδίας.

8α Διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ.

Ἐκ μελέτης καὶ σκέψεως ἐλάλησαν πονηρὰ, καὶ οὐ κατὰ συναρπαγήν.

8β Ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.

Εἰς τὸ ὕψος, ἀντὶ τοῦ, κατὰ τοῦ ὑψίστου Θεοῦ, λέγοντες, ὅτι οὐκ ἔστιν οὗτος Θεός. Ἀδικία γὰρ, τὸ ἀποστερεῖν αὐτὸν τῆς δόξης αὐτοῦ, καὶ ἑτέροις ταύτην προσάπτειν.

Ἀδικίαν δὲ εἰς τὸ ὕψος λαλεῖ, καὶ πᾶς ὁ τῷ Θεῷ προσάπτων ἀνάξια θεότητος. Ὕψος γὰρ, ἡ θεότης, ἧς οὐδὲν ὑψηλότερον.

9 Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.

Διὰ μὲν τοῦ οὐρανοῦ, τὸν ἐπὶ τοῦ οὐρανοῦ κατοικοῦντα Θεὸν σημαίνει, διὰ δὲ τῆς γῆς, τοὺς ἐπὶ γῆς οἰκοῦντας ἀνθρώπους, μονονουχὶ λέγων, ὅτι ἐκίνησαν κατὰ τοῦ ἐπουρανίου Θεοῦ τὸ στόμα αὐτῶν, βλασφημοῦντες αὐτὸν, καὶ ἡ γλῶσσα αὐτῶν ἐκινήθη πάλιν κατὰ τῶν ἐπιγείων ἀνθρώπων. Εὐπραγοῦντες γὰρ καὶ σπαταλῶντες, ὕβριζον μὲν τὸν Θεὸν, κατεκωμῴδουν δὲ | καὶ διέβαλλον πάντας τοὺς ἀνθρώπους.

Ἢ διὰ τοὺς ἐν αὐτοῖς φιλοσόφους ὁ λόγος, ὅτι ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, φιλοσοφῆσαι περὶ τοῦ θείου βουλόμενοι· ἡ δὲ γλῶσσα αὐτῶν, διῆλθεν ἐπὶ τῆς γῆς, γεώδη καὶ ἀνθρώπινα περὶ τοῦ Θεοῦ φλυαρήσασα.

Ἢ καὶ διὰ τοὺς ἐν ἐκείνοις ἀστρολόγους τὸ ῥητὸν, ὅτι ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, περὶ τῶν ἐν οὐρανῷ ἀστέρων μετεωρολογοῦντες, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς, ἐμπιμπλῶσα πᾶσαν τῆς ληρωδίας αὐτῶν.

10α Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα.

Τουτὶ τὸ ῥητὸν ὡς ἀπὸ προσώπου τοῦ Θεοῦ τέθεικεν ὁ προφήτης, ὅτι διὰ τοῦτο, εἴτουν διὰ τὴν ῥηθεῖσαν κακίαν τῶν ἐχθρῶν, ἐπιστρέψει ὁ ἐν αἰχμαλωσίᾳ λαός μου ἐπὶ τὴν ἑαυτοῦ πατρίδα, τὴν Ἰουδαίαν. Ταύτην γὰρ δηλοῖ τὸ, ἐνταῦθα· ἐν ταύτῃ γὰρ ὢν ὁ Δαυὶδ, ἔγραψε τὸν ψαλμόν.

10β Καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.

Πεπληρωμέναι ὅσον εἰς μέτρον ζωῆς, ἢ ὅσον εἰς ἀρετήν. Λέγει δὲ, ὅτι γηράσουσιν, ἢ ὅτι εὐαρεστήσουσι τῷ Θεῷ.

Νοεῖται δὲ καὶ κατὰ τῶν ἐχθρῶν τὸ ῥητὸν, ὅτι εὑρεθήσονται ἐν αὐτοῖς αἱ ἡμέραι αὐτῶν πλήρεις εἰς κακίαν, ὡς μηδὲν εἰς πονηρίαν ἐνδεῖν.

11α Καὶ εἶπον, Πῶς ἔγνω ὁ Θεός;

Ὅσοι δὲ τοῦ λαοῦ μικροψυχότεροι καὶ ἀσυνετώτεροι, τὰ τολμώμενα βλέποντες, ἔλεγον, Πῶς ἔγνω ταῦτα ὁ Θεὸς καὶ ἠνέσχετο; ἀλλ' ὄντως οὐκ ἔγνω.

11β Καὶ εἰ ἔστι γνῶσις ἐν τῷ Ὑψίστῳ;

Συνεξακούεται τὸ, ἐζήτησαν· γνῶσις δὲ, ἡ τῶν οὕτω γινομένων.

12 Ἰδοὺ οὗτοι ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα κατέσχον πλούτου.

Οὕτω δὲ λογιζόμενοι ἔλεγον, ὅτι ἰδοὺ, οὗτοι οἱ Βαβυλώνιοι ἁμαρτωλοί εἰσι, καὶ ὅμως εὐθηνοῦντες εἰς τὸν αἰῶνα τὸν παρόντα, κατεκυρίευσαν πλούτου· ἢ τὸ εἰς τὸν αἰῶνα, ἀντὶ τοῦ, ἐπὶ πολὺν χρόνον.

Ὅμοια δὲ τῷ παρόντι ῥητῷ καὶ Ἱερεμίας ἐφθέγξατο, πρὸς Θεὸν εἰπὼν, *Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα; ἐφύτευσας αὐτοὺς, καὶ ἐῤῥιζώθησαν.* Jer 12.1-2

13α Καὶ εἶπον, Ἆρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου;

Ἀλλὰ καὶ αὐτὸς ἐγὼ, ὁ μεγαλοψυχότερος καὶ συνετώτερος, ἐσαλεύθην τοὺς ἐμαυτοῦ λογισμοὺς, καὶ εἶπον ἐν ἐμαυτῷ, Ἆρα διακενῆς δικαίαν ἐποίησα τὴν καρδίαν μου, καθαρίσας αὐτὴν ἀπὸ πάσης ἀδικίας;

13β Καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου;

Καὶ εἶπον πάλιν, Ἆρα διακενῆς ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖρας μου; Τί δὲ τοῦτο σημαίνει, προείρηται ἐν τῷ κε΄ ψαλμῷ. Ps 25.6α

Ἀπὸ κοινοῦ δὲ ληπτέον ὁμοίως τὸ, Καὶ εἶπον, Ἆρα διακενῆς, καὶ ἐπὶ τῶν ἑξῆς δύο ῥητῶν· ἐπαπορητικῶς γὰρ καὶ ταῦτα ἀναγνωστέον.

14α Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν;

Μεμαστιγωμένος, νηστείᾳ καὶ ἀγρυπνίᾳ, καὶ ταῖς τοιαύταις δι' ἀρετὴν κακοπαθείαις καθ' ἑκάστην ἡμέραν.

14β Καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας;

13α3 ἐμαυτῷ PCV : ἑαυτῷ MSBF. 13β2 Καὶ εἶπον... χεῖρας μου; PSBFV : om. MC. 13β5 ταῦτα PV : τούτους MSCBF.

Ὁ ἔλεγχός μου, ὁ παρ' ἐμοῦ μοι κατὰ πρωῒ προσφερόμενος· ἤλεγχον γὰρ ἐμαυτὸν, ὡς προσκεκρουκότα Θεῷ καὶ ἀναξίως πολιτευόμενον.

15 Εἰ ἔλεγον, Διηγήσομαι οὕτως· ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα.

Εἰ ἔλεγον ἐν ἐμαυτῷ ὅτι ἐξείπω καὶ τοῖς ἄλλοις οὕτως, ὡς αὐτὸς ἐνενόησα, ὅτι, *Ἆρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου*, καὶ τὰ ἑξῆς· ἰδοὺ λοιπὸν ἀσύνθετα ἐλογιζόμην τῷ λαῷ, εἴτουν ἀσύμφορα καὶ ἀπαράδεκτα.

Γενεὰ γὰρ υἱῶν τοῦ Θεοῦ, ὁ Ἰσραηλίτης λαός· οὕτω γὰρ καὶ ὁ | Θεὸς τοῦτον Ex 4.22
ὠνόμασεν, *Υἱὸς πρωτότοκός μου Ἰσραὴλ*, καὶ, *Υἱοὺς ἐγέννησα καὶ ὕψωσα*. Καὶ Isa 1.2
ἄλλως γὰρ, υἱοὶ τοῦ Θεοῦ, οἱ δημιουργὸν αὐτὸν γινώσκοντες καὶ φυλάσσοντες τὰς ἐντολὰς αὐτοῦ.

Τινὰ δὲ τῶν ἀντιγράφων, *ἠσυνθέτηκας*, γράφουσι. Νοεῖται δὲ οὕτως· ὁ μὲν πρῶτος στίχος, ὡς ἡρμηνεύσαμεν, ὁ δεύτερος δὲ, ὅτι λοιπὸν, ὅσον ἐπὶ τῇ τοιαύτῃ μου διηγήσει, παρέβης τὰς συνθήκας ἐν τῷ παρόντι λαῷ σου, τὰς πρὸς τὸν Ἀβραὰμ καὶ τοὺς προγόνους ἡμῶν, περὶ τῆς γῆς τῆς ἐπαγγελίας καὶ τοῦ γένους ἡμῶν, τὰς περὶ τοῦ βεβαίως ἡμᾶς ταύτην οἰκεῖν, καὶ μεγάλους ἔσεσθαι· ἀσυνθετῶ γὰρ λέγεται, καὶ τὸ, παραβαίνω τὰς συνθήκας.

16α Καὶ ὑπέλαβον τοῦ γνῶναι.

Καὶ ἤλπισα γνῶναι τὸ ἀπορούμενόν μοι· παρέλκει γὰρ τὸ, τοῦ.

16β Τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου.

Ἀλλ' ὡς ἔοικε, τοῦτο, δηλαδὴ τὸ γνῶναι τὸ ἀπορούμενον, πόνος πολύς ἐστιν ἐμοὶ, καὶ χαλεπὸν εἰς διάγνωσιν.

17α Ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ.

Κόπος μοί ἐστιν, ἕως οὗ εἰσέλθω εἰς τὸν ναὸν τῆς Ἰερουσαλὴμ, ἐν ᾧ ἁγιάζεται ὁ λαός. Τότε γὰρ τὴν προτέραν εὐκληρίαν ἀπολαβὸν, γνώσομαι ὅτι οὐ *μάτην ἐδικαίωσα τὴν καρδίαν μου*, καὶ τὰ ἑξῆς.

17β Καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.

Προφητεία τοῦτο σαφής. Λέγει γὰρ, ὅτι ὄντως συνήσω καὶ γνώσομαι, ἐν τοῖς τέλεσιν αὐτῶν, φημὶ δὴ, τῶν ἁμαρτωλῶν Βαβυλωνίων, ὅταν τέλος αὐτοῖς ἐπέλθῃ, καὶ τῆς εὐημερίας καὶ τῆς πολιτείας. Κῦρος γὰρ, νικήσας αὐτοὺς, τὸν μὲν
Ἰσραηλίτην λαὸν ἀποκατέστησεν εἰς Ἱεροσόλυμα, τούτους δὲ, δουλείᾳ παντελεῖ 2Esdr 1
καθυπήγαγεν.

17α[3] ἀπολαβόν [sc. ἁγιαστήριον] MS : ἀπολαβών PABFV.

Ἀναγωγικῶς δὲ, ἁγιαστήριον τοῦ Θεοῦ, ἡ μέλλουσα κρίσις, ἡ ἀφορίζουσα ἑκάστῳ τὰ πρὸς ἀξίαν· ἁγιάζω γὰρ, τὸ ἀφορίζω. Τότε γὰρ ἀκριβῶς οἱ μικρόψυχοι μανθάνουσιν, ὁποῖον μὲν ἡ ἀρετὴ, ὁποῖον δὲ ἡ κακία.

18α Πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά.

Ἐντεῦθεν φανερώτερον προφητεύει τὸν ὄλεθρον τῶν Βαβυλωνίων.

Περιττὸν δὲ δοκεῖ τὸ, πλὴν, καθ' Ἑβραϊκὸν ἰδίωμα. Ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ πλὴν, ὄντως εἶπεν. Ἔθου δὲ, ἀντὶ τοῦ, ἡτοίμασας.

18β Κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.

Ἐπαρθέντας πλούτῳ καὶ πάσῃ εὐημερίᾳ, αὖθις κατέῤῥαξας.

19α Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα;

Προϊδὼν τὴν καταστροφὴν αὐτῶν, ἀποθαυμάζει τὸ αἰφνίδιον τῆς μεταβολῆς· ἐξάπινα γὰρ, τὸ αἰφνίδιον σημαίνει.

19β Ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.

Τοῦ ἐξέλιπον ἐφερμηνευτικὸν, τὸ ἀπώλοντο· ἢ ταὐτὸν καὶ ἄμφω σημαίνοντα, χαρᾶς ἐπίτασιν ἐμφαίνουσι τῷ διπλασιασμῷ τοῦ ὀνόματος.

20α Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου.

Τὰ κατ' αὐτοὺς δηλονότι. Καθάπερ γὰρ ἐνύπνιόν τις ἰδὼν ἐράσμιον, ἐξεγειρόμενος ἀθυμεῖ, ὡς διακενῆς ἀπολαύσας, οὕτω καὶ Βαβυλώνιοι, παραδραμούσης τῆς εὐημερίας αὐτῶν, μάτην εὐπραγῆσαι δόξουσι.

Τοιαύτη γὰρ ἡ ἀνθρωπίνη τρυφὴ, ὀνείροις ἐοικυῖα, διὰ τὸ ἀβέβαιον καὶ τὴν ταχεῖαν μεταβολήν.

20β Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.

Διὰ τὴν πόλιν σου Ἰερουσαλὴμ, τὴν εὐημερίαν αὐτῶν ἀτιμάσεις. Εἰκόνα γὰρ, τὴν εὐημερίαν αὐτῶν ἐκάλεσε, διὰ τὸ μὴ κυρίως εἶναι ὃ δοκεῖ, ἀλλὰ μιμεῖσθαι μόνον· ἐπεὶ καὶ εἰκὼν, παρὰ τὸ ἐοικέναι.

Εἴη δ' ἂν πόλις, καὶ ἡ πολιτεία τοῦ λαοῦ, ἢ καὶ ἡ ἄνω Ἰερουσαλήμ.

21α Ὅτι ἐξεκαύθη ἡ καρδία μου.

[17β][3] μανθάνουσιν PCABV : μανθάνωσιν M.

Τῷ πυρὶ τοῦ θυμοῦ, εἴτουν τῷ ζήλῳ· ἔφησε γὰρ ἐν τῷ προοιμίῳ τοῦ παρόντος ψαλμοῦ, | *Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν*. Ἐκεῖνα γοῦν αὖθις ἐπαναλαμβάνει. Ps 72.3

21β Καὶ οἱ νεφροί μου ἠλλοιώθησαν.

Τὴν ἐπιθυμίαν διὰ τῶν νεφρῶν αἰνίττεται, καθὼς προλαβόντες εἰρήκαμεν ἐν ἄλλοις. Πρότερον γὰρ ἐπιθυμῶν τῶν ὄντως ἀγαθῶν, ὕστερον, καὶ τῶν δοκούντων ἐπεθύμησα, φησὶ, ζηλώσας τοὺς ἐχθρούς. Ps 7.10

22α Κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων.

Τουτὶ τὸ ῥητὸν καὶ τὰ ἑξῆς, μετὰ τὴν ἐπάνοδον ἁρμόζουσιν. Ἐξουδενωμένος ἤμην, φησὶν, εἴτουν ἀπεῤῥιμμένος ἀπὸ σοῦ τότε, διὰ τὰς ἁμαρτίας μου· καὶ διὰ τοῦτο, οὐκ ἔγνων τὸ ἀπορούμενόν μοι, μὴ ἔχων τὸν ἀπὸ σοῦ φωτισμόν.

Ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ, ἐξουδενωμένος, ἀνεπιστήμων ἤμην, εἶπε.

22β Κτηνώδης ἐγενήθην παρὰ σοί.

Λοιπὸν, ἀνόητος ἐγενόμην σοι, τουτέστιν, οὐκ ἔτι περιεργάσομαι τὰ κρίματά σου, ἀλλὰ δίκην κτήνους ἀπολυπραγμόνως ἕψομαι τοῖς σοῖς βουλήμασι. Διέγνων γὰρ, ὅτι πάντα μετὰ κρίσεως οἰκονομεῖς. Ἐπαινετὴ δὲ ἡ παρὰ τῷ Θεῷ αὕτη κτηνωδία· διαβεβλημένη δὲ, ἡ παρὰ τῷ δαίμονι, ὡς τὸ, *Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις*. Ps 48.13β, 21

23α Κἀγὼ διὰ παντὸς μετὰ σοῦ.

Συνεξακούεται τὸ, ἔσομαι· σὲ ἐννοῶν ἀεὶ, καὶ τὰ σὰ λαλῶν, καὶ οὐδέποτε τῆς σῆς μνήμης ἀφιστάμενος.

23β Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου.

Χειραγωγοῦ δίκην, ἐπελάβου τῆς χειρός μου, καὶ ἐξήγαγές με τῆς γῆς τῶν Βαβυλωνίων καὶ τῆς δουλείας αὐτῶν.

Ἢ καὶ διὰ τῆς δεξιᾶς χειρὸς, τὴν δεξιὰν πρᾶξιν ὑποσημαίνει, ὅτι ταύτης λαβόμενος, ἐξήγαγές με.

24α Καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με.

Καὶ ὑπέθου μοι βουλὴν, δι’ ἧς ὡδηγήθην, βαδίζων διὰ τῶν ἐθνῶν.

21β[3] ἐπιθυμῶν PCABF : ἐπιθυμιῶν MSV.

24β Καὶ μετὰ δόξης προσελάβου με.

Καὶ περιφανῆ μοι τὴν εἰς τὴν σὴν πόλιν εἴσοδον ἐχαρίσω· πᾶσι γὰρ ἀκουστὴ γέγονεν ἡ ἐπάνοδος. Καὶ βασιλικὰ διατάγματα περὶ ταύτης ὁ Κῦρος πᾶσι τοῖς ἔθνεσιν ἐξαπέστειλε. 2Par 36.22

25 Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;

Τί ἕτερόν μοι περισπούδαστον ἐν οὐρανῷ, εἰ μὴ σύ; καὶ παρὰ σοῦ, τί ἕτερον ἐζήτησα ἐπὶ τῆς γῆς, εἰ μὴ σὲ καὶ τὴν σὴν βοήθειαν; Ταύτην γὰρ τὴν ἔννοιαν ὁ Ἀκύλας ἐξέδωκε.

Καθόλου δὲ εἰπεῖν, ἐλλιπῶς πολλάκις ἔχει τὰ ῥητὰ, διὰ τὸ στενὸν τῆς Ἑβραΐδος διαλέκτου, ἀφ᾽ ἧς ἐξηλληνίσθησαν κατὰ μόνην τὴν σημασίαν ἑκάστης λέξεως, μὴ δεξάμενα πλατυσμόν.

26α Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου.

Ἐδαπανήθη ἡ καρδία μου, τηκομένη τῷ πυρὶ τοῦ πόθου σου, καὶ ἡ σάρξ μου πάλιν τὸ αὐτὸ πέπονθεν, ἀποστρεφομένη τὴν εὐπάθειαν καὶ πυκνῶς ταλαιπωρουμένη.

26β Ὁ Θεὸς τῆς καρδίας μου.

Περιφραστικῶς, ἀντὶ τοῦ, Ὦ ὁ Θεός μου. Ἐμφαντικὸν δὲ πόθου καὶ διαθέσεως τὸ ῥητόν.

26γ Καὶ ἡ μερίς μου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα.

Καὶ αὖθις, Ὦ ὁ Θεὸς, ὃς εἶ ἡ μερίς μου, εἴτουν ὁ κλῆρος καὶ ὁ πλοῦτός μου πάντοτε.

27α Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται.

Μακρύνεταί τις ἀπὸ Θεοῦ, οὐ τόπῳ, ἀλλὰ σχέσει, διὰ τῆς ἁμαρτίας, ὥσπερ τοὐναντίον ἐγγίζει διὰ τῆς ἀρετῆς. Ἡ γὰρ ἁμαρτία φεύγει ἀπὸ Θεοῦ ὡς σκότος ἀπὸ φωτός· ὅσον δὲ μακρύνει τις ἀπὸ Θεοῦ, τοσοῦτον ἐγγίζει τῇ ἀπωλείᾳ.

Τὸ δὲ, ὅτι, βεβαιωτικὸν, ἀντὶ τοῦ, ὄντως· ἀπώλειαν δὲ λέγει, τὴν ἔκπτωσιν τῆς σωτηρίας.

27β Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.

25 Add. [M in marg.]PBV: Τοῦτό τινες ὡς ἀπὸ τοῦ Θεοῦ ῥηθὲν νενοήκασι, λέγοντος πρὸς τὸν ἄνθρωπον, Τί μοι ἕτερον ἐν τῷ οὐρανῷ παρὰ τῶν ἀγγέλων, ἢ μόνον λατρεία καὶ ὑπακοή; καὶ παρὰ σοῦ, τί ἕτερον ἠθέλησα ἐπὶ τῆς γῆς ἢ ταῦτα μόνον; : om. SCF.

Πορνείαν ἀπὸ Θεοῦ καλεῖ, τὴν ἀποστασίαν, καὶ εἰδωλολατρείαν, καὶ θεραπείαν ἄλλην τοῦ | δαίμονος, καθάπερ καὶ διὰ Ἰερεμίου φησὶν ὁ Θεὸς, *Ἐπορεύθησαν ἐπὶ πᾶν ὄρος ὑψηλὸν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, καὶ ἐπόρνευσαν ἐκεῖ·* καὶ πάλιν, *Καὶ ἐμοίχευσε τὸ ξύλον καὶ τὸν λίθον*, ἀντὶ τοῦ, ἐλάτρευσε. Καὶ ἡ Jer 3.6, 9
Ἐκκλησία γὰρ, νύμφη Θεοῦ ὀνομάζεται, συνημμένη τούτῳ διὰ πίστεως καὶ τῆς τῶν ἐντολῶν αὐτοῦ φυλακῆς.

28α Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι.

Τὸ συνάπτεσθαι νύμφης δίκην, καὶ μηδέποτε αὐτοῦ χωρίζεσθαι.

28β Τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου.

Ἔτι δὲ καὶ τὸ τίθεσθαι ἐπὶ τὸν Κύριον τὴν ἐλπίδα μου. Ἰδοὺ γὰρ ἐλπίσας ἐπ' αὐτὸν, οὐκ ἀπέτυχον· διὸ καὶ ἀγαθόν μοι τὸ τοιοῦτον, εἴτουν ὠφέλιμον καὶ χρήσιμον.

28γ Τοῦ ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

Ὥστε σκεπασθέντα με, διηγήσασθαι τὰ αἰνετά σου, εἴτουν τὰ θαυμάσιά σου, τὰ ἀξιέπαινα· ἢ καὶ ἄλλως, ὥστε ἐκθέσθαι γραφῇ τὰς ὀφειλομένας σοι αἰνέσεις· πάσας δὲ εἶπε, διότι τοσαῦταί εἰσιν, ὅσαι καὶ αἱ δυνάμεις τοῦ Θεοῦ.

Ἐξαγγεῖλαι δὲ ταύτας παρὰ ταῖς πύλαις τῆς Σιὼν, ἤτοι τῆς Ἰερουσαλήμ· διώνυμος γὰρ ἡ πόλις αὕτη, οὐ μόνον Ἰερουσαλὴμ, ἀλλὰ καὶ Σιὼν, ἀπὸ τοῦ γειτνιάζοντος ὄρους προσονομαζομένη. Θυγάτηρ δὲ Σιὼν, αὐτὴ ἡ Σιὼν λέγεται, ὡς υἱὸς ἀνθρώπου, ὁ ἄνθρωπος, καθ' Ἑβραϊκὸν ἰδίωμα. Εἰώθασι δὲ παρὰ ταῖς πύλαις τῆς πόλεως καὶ τοῦ ναοῦ συνεδριάζεσθαι καὶ διηγεῖσθαι.

Ἀναγωγικῶς δὲ, πύλαι Σιὼν, αἱ κατὰ τόπον Ἐκκλησίαι· δι' αὐτῶν γὰρ εἴσεισί τις εἰς τὴν ἄνω Ἰερουσαλήμ.

73 ογ´
1α Συνέσεως τῷ Ἀσάφ.

Περὶ μὲν τοῦ Ἀσὰφ εἴρηται. Συνέσεως δὲ, ὅτι δεῖ συνέσεως τοῖς ἐντυγχάνουσι. Ps 72.1α
Περὶ γὰρ τῆς ἐκ Ῥωμαίων τελευταίας ἁλώσεως τῶν Ἱεροσολύμων διέξεισιν. Εἰ γὰρ καὶ πρὸ τῶν Ῥωμαίων διαφόρως ἑάλωσαν, ἀλλ' οὐδὲν τοιοῦτον τέως πεπόνθασιν, οἷον, ἀποβολὴν διηνεκῆ, ἐμπρησμὸν τοῦ ναοῦ, καὶ κατάλυσιν οἰκιῶν, καὶ παντελῆ πόρθησιν. Καὶ τὸ φανερώτερον, οὐδὲ προφήτης ἐν αὐτοῖς εἰς τὸ ἑξῆς ἐπέλειψεν.

Ἀπαγγέλλων δὲ ὁ ψαλμὸς τὰς τῶν Ἰουδαίων συμφορὰς, εὐαγγελίζεται καὶ τὴν ἡμετέραν σωτηρίαν.

28γ3 ἀξιέπαινα MSCBF: ἀξιεπαίνετα PV.

1β *Ἵνα τί, ὁ Θεὸς, ἀπώσω εἰς τέλος;*

Ὡς γεγενημένα μὲν προλέγει τὰ μέλλοντα, νόμῳ προφητείας. Ἄξιον δὲ θαυμάσαι τὴν ἀγαθότητα τοῦ Θεοῦ, ὅτι προειδὼς τὴν Ἰουδαίων ἀπείθειαν, ὅμως τῇ προῤῥήσει τῶν ἐσομένων συμφορῶν, ἀποτρέπειν αὐτοὺς πειρᾶται τῆς ἀσεβείας καὶ τῆς κατὰ τοῦ Σωτῆρος μιαιφονίας, εἰ καὶ διὰ τὸ αὐτεξούσιον τῆς γνώμης, ἀνεπίστροφοι μεμενήκασι.

Φθέγγεται δὲ τοὺς λόγους ὁ προφήτης ὑπεραλγῶν τοῦ λαοῦ, οἴκτιστα καὶ ἐλεεινότατα πεπονθότος. Ἢ καὶ προσώπῳ τῶν συνετωτέρων ταῦτα φησίν. Οὐκ εἶπε δὲ ἀπώσω μόνον, ἀλλὰ καὶ εἰς τέλος, ὃ τὴν παντελῆ τούτων ἐγκατάλειψιν
δηλοῖ· πρότερον γὰρ, ἀπωθεῖτο μὲν αὐτοὺς, οὐκ εἰς τέλος δὲ, ἀλλὰ διὰ τῶν Gen 15.13
προφητῶν ῥητὸν χρόνον ὥριζεν ἑκάστῃ τούτων αἰχμαλωσίᾳ. Jer 25.11

Τὸ δὲ, ἵνα τί, δοκεῖ μὲν πευστικὸν εἶναι καὶ αἰτιολογικὸν, ἔστι δὲ παρὰ τοῖς Ἑβραίοις δυσωπητικόν τε καὶ οἰκτρόν.

1γ *Ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;*

Ἀπὸ κοινοῦ ληπτέον πάλιν τὸ, *ἵνα τί*. Περὶ δὲ ὀργῆς καὶ θυμοῦ εἴρηται ἡμῖν
ἐν ἀρχῇ τοῦ ϛʹ ψαλμοῦ. Πρόβατα δὲ, ὁ λαός· νομὴ δὲ θεία, τὰ ἱερὰ λόγια τῆς Ps 6.2
θεοπνεύστου Γραφῆς, οἷς οἱ κατὰ Θεὸν ζῶντες ἀεὶ τρέφονται τὰς ψυχάς. 2Tim 3.16

2α *Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς.* |

Ἀντὶ τοῦ, ἣν ἐκτήσω ὡς κτῆμα. Ἀπ' ἀρχῆς δὲ, ἀντὶ τοῦ, πρώτην· αἰνίττεται δὲ, ὅτι καὶ ἄλλην ὑστέραν κτήσεται, φημὶ δὴ, τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν.

2β *Ἐλυτρώσω ῥάβδον κληρονομίας σου.*

Καταλέγει τὰς προτέρας εὐεργεσίας. Δηλοῖ δὲ ἡ ῥάβδος, τὴν βασιλείαν,
ὡς καὶ ἐν τῷ μδʹ ψαλμῷ προείρηται. Ἀντὶ δὲ τοῦ, *ῥάβδον κληρονομίας σου*, Ps 44.7α
σκῆπτρον κληρουχίας σου, ἐξέδωκεν ὁ Ἀκύλας.

Λέγει δὲ, τὴν βασιλείαν τῶν Ἑβραίων, ἤτοι τὸν βασιλευόμενον λαόν.
Κληρονομία δὲ οὗτοι τοῦ Θεοῦ, ὅτι φησὶν ὁ Μωυσῆς, *Ἐγενήθη μερὶς Κυρίου λαὸς*
αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. Ἐλυτρώσατο δὲ τοῦτον Dt 32.9
διαφόρως, ἐκ πολέμων καὶ αἰχμαλωσιῶν.

2γ *Ὄρος Σιὼν τοῦτο, ᾧ κατεσκήνωσας ἐν αὐτῷ.*

Τὸ ὄρος τὸ Σιὼν, τὸ πολμνητον, τοῦτό ἐστιν, ἐν ᾧ κατεσκήνωσας τὴν δηλωθεῖσαν ῥάβδον τῆς κληρονομίας σου, ἢ, ἐν ᾧ κατεσκήνωσας σύ.

1β[3] Ἰουδαίων PSCAV : τῶν Ἰουδαίων M. 2γ[1] ᾧ CABF[T] : ὃ MPSV[Ra].

Τὸ δὲ, *ἐν αὐτῷ*, περιττὸν, καθ' Ἑβραϊκὸν ἰδίωμα· ἢ ἐν ᾧ αὐτῷ, ὡς τὸ, *οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει*. Ps 9.28α

Προβάλλεται δὲ τὸ ὄρος εἰς δυσωπίαν, ὡς ἀνατεθειμένον Θεῷ.

3α Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος.

Κατάβαλε τὰς ἐπάρσεις τῶν ἐχθρῶν τέλεον. Ἑλόντες γὰρ τὴν Ἰερουσαλὴμ, ἀλαζονικώτεροι γεγόνασι, καὶ ἀνοήτως ἐφυσήθησαν κατὰ σοῦ.

Ἔπαρον δὲ τὰς χεῖράς σου εἶπεν, ἐκ μεταφορᾶς τῶν κινούντων τὰς χεῖρας αὐτῶν εἰς τὸ καταβαλεῖν τὸν ἐχθρόν.

3β Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου.

Ἐχθρὸν μὲν, τὸν Τίτον λέγει, ἅγιον δὲ, τὸν ναὸν, εἰς ὃν πολλὰ παροινήσας, πολυτρόπως αὐτὸν ἐξέτριψε. Τὸ δὲ, *ὅσα*, ἀντὶ τοῦ, φεῦ, πόσα! BJ vi.220-66

4α Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.

Ἑορτὴν ἐνταῦθα, τὴν τοῦ Πάσχα λέγει. Ἐν μέσῃ γὰρ ταύτῃ τὴν Ἰερουσαλὴμ ὁ Τίτος ἐπολιόρκησεν, ἑορτάζοντας αὐτοὺς ἑλών. BJ v.99

Καὶ ὅρα ὅπως ἐν τῇ ἑορτῇ τοῦ Πάσχα τὸν Σωτῆρα σταυρώσαντες, ἐν αὐτῇ καὶ αὐτοὶ δίκας ἀπητήθησαν.

4β-5 Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν ὡς εἰς τὴν ἔξοδον ὑπεράνω.

Ἕκαστον τάγμα πολεμικὸν σημείῳ κέχρηται ἐπὶ κοντοῦ προπορευομένῳ πρὸς τὸ διαγινώσκεσθαι ποία τις ἡ φάλαγξ, ὅπερ ἡμεῖς σημαίαν καλοῦμεν. Ταῦτα οὖν αὐτῶν τὰ σημεῖα, αἱ Ῥωμαϊκαὶ φάλαγγες εἰσιοῦσαι, ἔστησαν ὡς εἰς τὴν ἔξοδον, εἴτουν εἰς τὰς πύλας τῆς πόλεως, ἐπάνω αὐτῶν· περιττεύει γὰρ τὸ, ὡς. Ἔστησαν δὲ τὰ τοιαῦτα αὐτῶν σημεῖα, σημεῖα νίκης, ἀντὶ τροπαίων· καὶ οὔπω ἔγνωσαν οἱ ἔνδον, ἔτι περὶ τὴν ἑορτὴν ἀσχολούμενοι· ἢ καὶ οὐκ ἔγνωσαν αὐτοὶ οἱ ἐχθροὶ πῶς εἷλον τὴν πόλιν, ὅτι οὐκ ἐξ ἀσθενείας τοῦ Θεοῦ τῶν Ἰουδαίων, ἀλλὰ διὰ τὴν κατὰ τοῦ Χριστοῦ μιαιφονίαν αὐτῶν.

6α Ὡς ἐν δρυμῷ ξύλων, ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό.

Δρυμός ἐστιν ἡ ἐν ὄρεσι ξυλοφόρος ὕλη. Δίκην δρυμοῦ ξύλων, φησὶ, κατέκοψαν εἰς τὸ παντελὲς τὰς πύλας αὐτῆς. Τὸ δὲ, ἐπὶ τὸ αὐτὸ, ἀντὶ τοῦ, ὁμοῦ πάσας.

6β Ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν.

3α[3] *ἀνοήτως* MPSABV : *ἀνοσίως* CF.

Ἐν πελέκει μὲν, τὰ στέγη καὶ τὰς θύρας τῶν οἰκιῶν τῆς πόλεως, καὶ ὅσα ἐν ξύλοις· ἐν λαξευτηρίῳ δὲ, τοὺς τοίχους καὶ τὰ τείχη, καὶ ὅσα ἐν λίθοις· τὸ λαξευτήριον γὰρ, λιθουργικόν ἐστιν ὄργανον, καὶ εἰς τὸ τέμνειν λίθους καὶ τοίχους καὶ τείχη καὶ εἰς τὸ καθαιρεῖν ἐπιτήδειον· *κατέῤῥαξαν* δὲ, ἀντὶ τοῦ, κατέβαλον.

7α *Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου.*

Ἁγιαστήριον Θεοῦ, τὸν ναὸν ὠνόμασεν, ὡς ἐν τῷ προλαβόντι ψαλμῷ εἴρηται. Ps 72.17α

7β *Εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.* |

Ἐβεβήλωσαν, εἴτουν βεβήλως καὶ ἀνοσίως κατέῤῥιψαν εἰς τὴν γῆν τὸν ναόν. Ἀκριβῶς δὲ εἶπεν αὐτὸν, *σκήνωμα τοῦ ὀνόματος* τοῦ Θεοῦ· ἡ γὰρ οὐσία τοῦ Θεοῦ, ἀπερίγραπτος.

Τινὲς δὲ περιφραστικῶς τὸ, *τοῦ ὀνόματός σου*, νενοήκασιν, ἀντὶ τοῦ, σοῦ.

8α *Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό.*

Εἶπον πρὸς ἀλλήλας ὁμοῦ πᾶσαι αἱ συγγένειαι τῶν ἐχθρῶν. Τὸ δὲ, *ἐν τῇ καρδίᾳ αὐτῶν*, ἀντὶ τοῦ, ἀπὸ καρδίας, ὅλῃ καρδίᾳ καὶ πάσῃ προθυμίᾳ. Τὸ γὰρ, *Δεῦτε*, ἐμποδίζει νοεῖσθαι ἀντὶ τοῦ, διενοήσαντο ἐν ἑαυταῖς, εἰ μή τις τοῦτο, οὐ συμβουλευτικὸν, ἀλλ' ἐπιῤῥηματικὸν ἐκλάβοι, ὡς τὸ, ἄγε δή.

Τί δὲ εἶπον, ἄκουσον.

8β *Δεῦτε καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς.*

Τὰς νομικὰς λατρείας τοῦ Θεοῦ τούτου, ὃν Ἰουδαῖοι σέβουσι· τοῦτο δὲ κατορθώσομεν, ἀφανίσαντες τοὺς νόμους καὶ τὴν πολιτείαν αὐτῶν. Ὃ δὴ καὶ τοῦ Θεοῦ συγχωρήσαντος, πεποιήκασι.

9α *Τὰ σημεῖα αὐτῶν οὐκ εἴδομεν.*

Τὰ τεράστια ἃ λέγουσι δι' αὐτοὺς θαυματουργῆσαι τὸν Θεὸν αὐτῶν, ἡμεῖς τέως οἱ τούτους πολιορκήσαντες, οὐκ εἴδομεν· οὐδὲν γὰρ τοιοῦτον καθ' ἡμῶν ἐτερατουργήθη.

9β *Οὐκ ἔστιν ἔτι προφήτης.*

Τὸ, *ἔτι*, ἀντὶ τοῦ, εἰς τὸ ἑξῆς. Καὶ ὄντως τοῦτο ἔλεγον· οὐκ ἔστιν ἐν αὐτοῖς, φησὶ, προλέγων τι καθ' ἡμῶν καὶ παραθαῤῥύνων αὐτούς.

9γ Καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.

Καὶ μὴ ὢν λοιπὸν, οὐ γνώσεται τὰ καθ' ἡμᾶς ὅπως ἔξομεν· τὸ γὰρ ἔτι τοῦτο, ἀντὶ τοῦ, λοιπόν.

10α Ἕως πότε, ὁ Θεὸς, ὀνειδιεῖ ὁ ἐχθρός;

Ὦ ὁ Θεὸς, ὀνειδιεῖ δὲ καὶ ἡμᾶς καὶ σὲ, ὡς ἀσθενεῖς.

10β Παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος.

Βλασφημήσει μέχρι παντὸς, παροξυντικὰ ῥήματα κατ' αὐτοῦ φθεγγόμενος· εἰ καὶ σὺ μακροθυμεῖς, παραχωρῶν αὐτοῖς διὰ τὰς ἁμαρτίας ἡμῶν.

11 Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;

Παρατηρητέον τὸ, *εἰς τέλος*, ὅπως πολλαχοῦ τοῦ ψαλμοῦ κείμενον, ὑποφαίνει τὴν διηνεκῆ τῶν Ἰουδαίων ἀποβολήν.

Τὴν αὐτὴν δὲ, χεῖρα λέγει καὶ δεξιάν· καὶ κόλπος μὲν ἂν εἴη Θεοῦ, ὁ τῶν ἀγαθῶν θησαυρός· χεὶρ δὲ δεξιὰ, ἡ μεταδοτικὴ τῶν ἀγαθῶν ἐνέργεια.

Ἔστι δὲ ὁ νοῦς τοῦ ῥητοῦ, ὅτι διατί τῶν ἀγαθῶν οὐ μεταδίδως ἡμῖν, ὡς πρότερον; Μεταφορικὸς δὲ ὁ λόγος, ὥσπερ εἴ τις πεπλησμένον ἔχων ἀγαθῶν τὸν κόλπον, καὶ μέχρι καιροῦ μεταδιδούς τισιν, εἶτα ὀργισθεὶς, ἀποστρέφει ἀπὸ τοῦ κόλπου τὴν μεταδιδοῦσαν χεῖρα, μηκέτι τῶν ἀγαθῶν ἁπτόμενος πρὸς μετάδοσιν.

12α Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος.

Τὸ, *πρὸ αἰῶνος*, οὐκ ἔστι κυριολεξία, ἀλλὰ κατάχρησις, ἀντὶ τοῦ, ἐξαρχῆς. Πῶς γὰρ πρὸ τῶν αἰώνων, μήπω τῆς αἰσθητῆς κτίσεως παραχθείσης, ἦν αὐτῶν βασιλεύς;

Ἢ αἰῶνα νοήσεις, τὴν ἐνεστῶσαν ζωὴν, ἵν' εἴη, ὅτι πρὸ τῆς ἡμετέρας ζωῆς, εἴτουν ἐκ προγόνων, ἦν βασιλεὺς τοῦ γένους ἡμῶν. Ἀναμιμνήσκει δὲ ὥσπερ τὸν Θεὸν τῶν πάλαι γεγενημένων τεραστίων εἰς τοὺς προγόνους αὐτῶν.

12β Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Τὸ, *ἐν μέσῳ τῆς γῆς*, ἀντὶ τοῦ, ἐν μέσῳ τῶν ἀνθρώπων, ἐν φανερῷ. Λέγει δὲ σωτηρίαν, τὴν ἐκ τῆς ἐν Αἰγύπτῳ δουλείας ἐλευθερίαν τῶν Ἰουδαίων.

13α Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν.

Ἐστερέωσας τὰ διαιρεθέντα μέρη τῆς Ἐρυθρᾶς· Τεῖχος γὰρ, φησὶν, ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων· τῇ σῇ δυνάμει τὸ ῥοῶδες αὐτῶν συνεσχέθη παγέν. Ex 14.22

13β Σὺ συνέτριψας τὰς κε | φαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.

Δράκοντας μὲν ὀνομάζει, τοὺς Αἰγυπτίους, διὰ τὴν πονηρίαν· κεφαλὰς δὲ αὐτῶν, τοὺς ἀποσταλέντας ὄπισθεν τῶν Ἰσραηλιτῶν στρατηγοὺς καὶ ταξιάρχας καὶ λοχαγοὺς, ὡς ἄρχοντας· ἄρχει γὰρ ἡ κεφαλὴ τῶν ἄλλων μερῶν· οἳ πάντες, ἐπικλύσαντος αὐτοὺς τοῦ ὕδατος, συνετρίβησαν, εἴτουν ἀπώλοντο.

14α Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος.

Δράκοντα ἑνικῶς, τὸν Φαραὼ φησι· θλάσιν δὲ κεφαλῆς, τὴν συντριβὴν τῆς ἀρχῆς καὶ βασιλείας αὐτοῦ.

14β Ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν.

Αἰθίοπες γὰρ, ὅμοροι τοῖς Αἰγυπτίοις ὄντες, καὶ πάλαι τούτοις ἐπιβουλεύοντες, ἐπεὶ τὴν τοιαύτην αὐτῶν εἶδον συντριβὴν, ἐπιδραμόντες, ἐληΐσαντο τὴν Αἴγυπτον, καὶ τοὺς ὑπολοίπους ἐν στόματι μαχαίρας κατέφαγον. Ἔδωκας δὲ, ἀντὶ τοῦ, ἐξέδωκας. Διὰ δὲ τοῦ Φαραὼ, καὶ πᾶσαν τὴν ὑπ᾽ αὐτὸν χώραν ὑποσημαίνει.

15α Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους.

Διαῤῥήξας, ἀνέδωκας. Λέγει δὲ, τὸ ἀπὸ τῆς πέτρας ἐν ἐρήμῳ ῥυὲν ὕδωρ. Καὶ Ex 17.6
πηγὰς μὲν εἶπε, διὰ τὴν βλύσιν, χειμάῤῥους δὲ, διὰ τὸ σφοδρὸν τῆς φορᾶς.

Πληθυντικῶς δὲ καὶ ἄμφω, κατὰ συνήθειαν τῆς Ἑβραΐδος διαλέκτου. Ὁ γὰρ Σύμμαχος καὶ Ἀκύλας ἑνικῶς ἐξέδωκαν.

15β Σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.

Τὸ, Ἠθὰμ, ἀρχαίους ἡρμήνευσεν ὁ Σύμμαχος. Λέγει δὲ, τοὺς τῶν Σοδόμων καὶ Γομόῤῥων, οὓς ὁ Θεὸς ἀπετέφρωσε διὰ τὴν τούτων παρανομίαν. Gen 19.24

Ἢ ἁπλῶς φησιν, ὅτι σὺ ἀνέδωκας μὲν ὕδατα νέα, ἐξήρανας δὲ παλαιὰ, ἐν οἷς ἂν ἠθέλησας τόποις.

Ἰσίδωρος δὲ ὁ Πηλουσιώτης, τὸ Ἠθὰμ, ὄνομα τόπου φησὶν, οὐ πόῤῥω τῆς PG78.509A
Ἰερουσαλὴμ, ὃν ποταμοὶ πρὶν ἀρδεύοντες, ὕστερον, ἐπὶ τῆς ἁλώσεως τῆς ὑπὸ Ῥωμαίων, καὶ αὐτοὶ ἐξηράνθησαν ἐκ θεομηνίας.

16α *Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ.*

Ἀπὸ τῶν εἰδικῶν παραδοξοποιϊῶν, ἐπὶ τὰς κοινὰς τὸν λόγον προήγαγε. Σὸν ποίημα, φησὶν, ἡ ἡμέρα καὶ ἡ νὺξ, καὶ τῷ σῷ προστάγματι δουλεύουσι.

16β *Σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον.*

Φαῦσιν, τὴν ἀνατολὴν τῆς ἡμέρας, ἤτοι τὸν ὄρθρον. Κατηρτίσω δὲ, ἀντὶ τοῦ, ἐποίησας· διὰ δὲ τοῦ ἡλίου, καὶ τοὺς ἄλλους ἀστέρας ᾐνίξατο.

17α *Σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς.*

Ὡραῖα, τοὺς ἐτησίους καρπούς· ὧρος γὰρ, τὸ ἔτος.

Καί τινες μὲν, ἀντὶ τοῦ, τὰ ὡραῖα, τὰ ὅρια γράφουσιν, εἴτουν τοὺς ὅρους· ἄμεινον δὲ τὸ, τὰ ὡραῖα, καὶ τοῦτο δῆλον ἐκ τοῦ ἑξῆς ῥητοῦ.

17β *Θέρος καὶ ἔαρ, σὺ ἔπλασας αὐτά.*

Τούτων γὰρ τῶν ὡραίων, τὸ μὲν ἔαρ γεννητικὸν, τὸ δὲ θέρος τελειωτικόν· διὸ καὶ τῶν δύο μόνον ὡρῶν τοῦ ἐνιαυτοῦ ἐμνημόνευσε, τῶν ἄλλων δύο συμπεριλαμβανομένων τούτοις, ὡς μερῶν αὐτοῦ καὶ αὐτῶν.

Τὸ δὲ, *αὐτὰ*, παρέλκον. Εἴη δ' ἂν ἡ σύνταξις καὶ οὕτως· σὺ ἔπλασας αὐτὰ, τὸ θέρος καὶ τὸ ἔαρ. Ἀδιαφόρως δὲ πρῶτον ἔταξε τὸ θέρος.

18α Μνήσθητι ταύτης.

Ἐν προοιμίοις τοῦ ψαλμοῦ εἰπὼν, *Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς*, τὸ αὐτὸ καὶ νῦν ἐπανέλαβεν. Ps 73.2α

18β Ἐχθρὸς ὠνείδισε τὸν Κύριον.

Ὁ Τίτος, ἢ ὁ Ῥωμαίων στρατός.

18γ Καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.

Τοὺς αὐτοὺς πάλιν λέγει, μὴ φρονοῦντας περὶ Θεοῦ ὀρθῶς. Περὶ δὲ τοῦ, *παρώξυνε*, προείρηται μικρὸν ἀνωτέρω. Ps 73.10β

19α *Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι.*

Προεωρακὼς τὰ κατὰ τῶν Ἰουδαίων ὁ προφήτης, ἱκετεύει, μὴ παρα | δοθῆναι

αὐτοὺς τοῖς Ῥωμαίοις, οὓς θηρία καλεῖ, διὰ τὴν ἀγριότητα καὶ ἀπανθρωπίαν.

Ἀπὸ τῆς ψυχῆς δὲ, τὸν ἄνθρωπον ἐδήλωσεν, ὡς ἐκ μέρους τὸ πᾶν, καθὼς προειρήκαμεν. Ἐξομολογουμένην δὲ, ἀντὶ τοῦ, εὐχαριστοῦσάν σοι.

19β Τὰς ψυχὰς τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.

Ἀδιάφορον τὸ, μὴ ἐπιλάθῃ. Τὰς ψυχὰς δὲ τῶν πενήτων, ἀντὶ τοῦ, τοὺς πένητάς σου, περιφραστικῶς, ἢ καὶ ἐλεειονολογικῶς.

Πένητας δὲ, αὐτοὺς πάλιν καλεῖ τοὺς Ἰουδαίους, ὡς τηνικαῦτα εἰς πᾶσαν ἔνδειαν ὑπὸ τῆς ἔξωθεν πολιορκίας τῶν περικαθημένων ἐχθρῶν καταστησομένους.

20α Ἐπίβλεψον εἰς τὴν διαθήκην σου.

Ἣν διέθου τῷ Ἀβραὰμ καὶ τοῖς προγόνοις ἡμῶν, ὡς κατὰ τὸν προλαβόντα
ψαλμὸν, ἐν τῷ, *Ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκας*, προδιελάβομεν· καὶ Ps 72.15
μὴ παρίδῃς ταύτην.

20β Ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.

Ὅτι τὰ ἐσκοτισμένα κτήματα τῆς γῆς, εἴτουν οἱ Ἰουδαῖοι, οἱ ἐσκοτισμένοι τοῖς πάθεσιν, ἐπλήσθησαν οἴκων ἀνομιῶν, τουτέστι, πλήθους ἀνομιῶν.

Τὸ γὰρ, οἴκων, ἀντὶ τοῦ, πλήθους, ἔλαβεν, ὡς μέτρον, καθάπερ ὅτε δηλῶσαι πλῆθος σίτου θέλοντες, λέγομεν, ὁ δεῖνα ἔχει οἴκους σίτου.

21α Μὴ ἀποστραφήτω τεταπεινωμένος κατῃσχυμμένος.

Ὁ κατὰ τὸν καιρὸν τῆς πολιορκίας παρακαλῶν σε λαός· τεταπεινωμένος δὲ καὶ κατῃσχυμμένος, ἐν τῷ μὴ εἰσακούεσθαι.

21β Πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου.

Ὁ δηλωθεὶς λαὸς, ὡς ἀνωτέρω μικρὸν ἐν τῷ, *Τὰς ψυχὰς τῶν πενήτων σου*, Ps 73.19β
προειρήκαμεν· οἱ Ἰουδαῖοί σε, φησὶν, αἰνέσουσι σωθέντες, καὶ οὐχ οἱ πολέμιοι.

22α Ἀνάστα, ὁ Θεὸς, δίκασον τὴν δίκην σου.

Δίκη γὰρ συνέστη μέσον σοῦ καὶ τῶν ἐχθρῶν, ἡ περὶ ὕβρεως· οὐκ ἤρκει γὰρ αὐτοῖς ἡ κατὰ τοῦ λαοῦ μανία, ἀλλὰ προσέτι καὶ σὲ διέβαλον, ὡς ἀσθενῆ.

Ἢ καὶ ἄλλως· ἡ τοῦ λαοῦ σου δίκη, σή ἐστιν.

22β Μνήσθητι τοῦ ὀνειδισμοῦ σου τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.

19β[5] περικαθημένων MSCF : παρακαθημένων PBV. 21α[1] κατῃσχυμμένος MPV[TRa] : καὶ κατῃσχυμμένος SC. 22α[2] ἡ περὶ PABFV : ἢ περὶ MS. 22α[3] διέβαλον MSBF : διέβαλλον PCV.

Ἄφρονα, τὸν Τίτον καὶ πάντα στρατιώτην αὐτοῦ καλεῖ. Καὶ ἀνωτέρω δὲ εἴρηκεν, ὅτι *Καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου*. Τοῦ ὀνειδισμοῦ δὲ, τοῦ Ps 73.18γ
ὅλην τὴν ἡμέραν, εἴτουν τοῦ ἀεὶ γινομένου.

23α *Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου.*

Τῶν ἱκετευόντων σε κατὰ τὸν καιρὸν ἐκεῖνον, ὡς ἔφημεν.
Τινὰ δὲ τῶν ἀντιγράφων, τῶν οἰκετῶν σου, γράφουσιν.

23β *Ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διὰ παντός.*

Ἀνέβη, τουτέστιν, ὑψώθη, ἐκορυφώθη, ἢ ἀνέβη ἐνώπιόν σου.
Σκόπει δὲ, ὅπως οὐδεμία τις ἀγαθῶν ἐπαγγελία τοῖς ῥητοῖς τούτοις ἐπισυνῆπται καθάπερ ἐφ' ἑτέρων ψαλμῶν.

Ἀλλ' οὕτω μὲν κατὰ τὴν τῶν Ἑβραίων ἐκδοχήν.

[12] Ἀληθέστερον δὲ, τὰ ἀπὸ τοῦ στίχου τοῦ λέγοντος, *Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς*, καὶ τὰ ἑξῆς, εἰς τὸν Χριστὸν ἀνάγονται. Ὄντως γὰρ εἰργάσατο σωτηρίαν, ἐνανθρωπήσας, καὶ τῆς πλάνης ἐλευθερώσας ἡμᾶς, καὶ ὑποδείξας τὴν τῆς σωτηρίας ὁδόν. Τὸ δὲ, *ἐν μέσῳ τῆς γῆς*, ἀντὶ τοῦ, *ἐν πάσῃ τῇ γῇ*. Τινὲς δὲ καὶ τὰ Ἱεροσόλυμα, μέσον τῆς γῆς φασι διακεῖσθαι.

[13] Ἐκραταίωσε δὲ καὶ τὴν θάλασσαν, ὅ ἐστι, κραταιὸν κατὰ δαιμόνων ἐποίησε τὸ ὕδωρ τοῦ ἁγίου βαπτίσματος. Θάλασσαν γὰρ τοῦτο καὶ Μιχαίας ἐκάλεσεν, εἰπὼν πρὸς Θεὸν, *Καταδύσεις τὰς ἁμαρτίας ἡμῶν εἰς τὰ βάθη τῆς θαλάσσης*. Mich 7.19
Θάλασσα δὲ, ὡς ὑποδεχόμενον τοὺς ῥύπους τῆς ψυχῆς τῶν βαπτιζομένων, καὶ ὡς ἀποκαθαῖρον, καὶ ὡς μέγιστον διὰ τὴν χάριν, καθὼς ἡ θάλασσα διὰ τὸ πλῆθος τῶν ὑδάτων.

[14] Καὶ δράκοντες μὲν ἂν εἶεν, οἱ δαίμονες, δράκων δὲ, | ὁ ἄρχων αὐτῶν διάβολος, ὧν τὰς κεφαλὰς συνέτριψε καὶ συνέθλασεν ἐν τῷ ὕδατι τοῦ βαπτίσματος. Κεφαλαὶ δὲ τούτων εἰσὶν αἱ ἁμαρτίαι· ἐν ταύταις γὰρ τὸν φθοροποιὸν ἰὸν ἐναποτεθησαυρισμένον ἔχουσιν· ὧν διαφθαρεισῶν ὑπὸ τοῦ βαπτίσματος, οὐκ ἔτι ζῶσιν ἐν ἡμῖν οἱ τοιοῦτοι δράκοντες.

Λαοὶ δὲ Αἰθιόπων, οἱ μεμελανωμένοι πρὶν τὰς ψυχὰς τῷ ῥύπῳ καὶ τῷ καπνῷ τῆς ἁμαρτίας· οἷς βρῶμα, εἴτουν παρανάλωμα, γίνεσθαι δέδωκε τὸν νοητὸν τοῦτον δράκοντα, μετὰ τὸ βάπτισμα δηλονότι.

[15] Διέῤῥηξε δὲ, ἤτοι ἀνέδωκε, πηγὰς καὶ χειμάῤῥους διδασκαλίας πνευματικῆς ἐν τῇ πρὶν ἐρήμῳ οἰκουμένῃ τῶν ἐθνῶν· πηγὰς μὲν, διὰ τὸ ἀένναον καὶ καθαρὸν καὶ ἥδιστον, χειμάῤῥους δὲ, ὡς ἐν τῷ λε´ ψαλμῷ προείρηται. Ps 35.9β

Ποταμοὶ δὲ Ἠθὰμ, αἱ ἐν Ἰουδαίοις προφητεῖαι, αἱ ἀρχαῖαι, ὅσον πρὸς τὰς ἐν Χριστιανοῖς νέας· ἐξηράνθησαν γὰρ διὰ τὴν κακίαν αὐτῶν, ἐπιλειψάντων τῶν προφητῶν. Τὰ δὲ ἑξῆς δεικνύουσι τὸν Χριστὸν ποιητὴν καὶ Κύριον τοῦ παντός.

[15][6] δεικνύουσι MPSV : δείκνυσι CB.

[18] Μνήσθητι δὲ ταύτης τῆς συναγωγῆς, τῆς νέας, καὶ μὴ ἐκείνης τῆς παλαιᾶς.

Ἐχθρὸς δὲ ὠνείδισε τὸν Χριστὸν, ὁ Ἰουδαῖος καὶ ὁ Ἕλλην, ὡς μὴ ὄντα Θεὸν, καὶ ὡς ἀσθενῆ, καὶ ὅσα ὑβριστά.

Καὶ λαὸς ἄφρων, ὁ Ἰουδαϊκὸς καὶ ὁ Ἑλληνικός· θηρία δὲ, οἵ τε Ἰουδαῖοι καὶ Ἕλληνες, καὶ οἱ δαίμονες.

[19] Πένητες δὲ, οἱ Χριστιανοὶ, ὡς καταλιπόντες πάντα καὶ ἀκολουθήσαντες τῷ Mk 10.28
Χριστῷ, καὶ ἁπλῶς, ὡς ἐν τῷ θʹ ψαλμῷ προείρηται. Ps 9.19β

[20] Διαθήκη δὲ τοῦ Χριστοῦ, καὶ ἄλλα μὲν περὶ βοηθείας, ἔτι δὲ καὶ τὸ, *Καὶ ἰδοὺ,*
ἐγὼ μεθ' ἡμῶν εἰμι πάσας τὰς ἡμέρας. Mt 28.20

Ἐσκοτισμένοι δὲ τῆς γῆς, πάντες κοινῶς οἱ ἄπιστοι, μὴ δυνάμενοι ἰδεῖν τὸ φέγγος τῆς ἀληθείας. Καὶ τὰ ἑξῆς ἁρμόσει ὁμοίως.

74 οδʹ

1 Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Ἀσάφ· ψαλμὸς ᾠδῆς.

Πρόῤῥησιν ἔχων ὁ ψαλμὸς τῆς ἐν συντελείᾳ τοῦ κόσμου δικαίας τοῦ Θεοῦ κρίσεως — καὶ τιμωρίας μὲν τῶν ἁμαρτωλῶν, τιμῆς δὲ τῶν δικαίων — παρεγγυᾶται πάντας εἰς τὸ τέλος τῆς ζωῆς ὁρᾶν, καὶ μὴ διαφθείρειν ἑαυτὸν ταῖς ἁμαρτίαις. Τινὲς δὲ τὸ, μὴ διαφθείρῃς, μὴ ἁμάρτῃς εἶπον.

Περὶ δὲ τοῦ Ἀσὰφ καὶ τῆς ἄλλης ἐπιγραφῆς εἰρήκαμεν ἐν τοῖς προοιμίοις τῆς βίβλου τῶν ψαλμῶν. §§ 46, 49, 64

Συντέθειται δὲ καὶ οὗτος ὁ ψαλμὸς προσώπῳ τῶν ἐν Βαβυλῶνι δορυαλώτων.

2α Ἐξομολογησόμεθά σοι, ὁ Θεὸς, ἐξομολογησόμεθά σοι.

Εὐχαριστήσομέν σοι, ἐλευθερωθέντες τῆς δουλείας. Ἡ δὲ ἀναδίπλωσις τοῦ, ἐξομολογησόμεθα, ἐπίτασιν ἢ βεβαίωσιν παρίστησι τῆς εὐχαριστίας.

2β Καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.

Καὶ εἰς βοήθειαν ἐπικαλεσόμεθα τὸ ἐξονειδισθὲν παρὰ τῶν ἐχθρῶν ὄνομά σου.

Ἐγὼ δὲ, τοῖς μέλλουσιν εἰς Χριστὸν πιστεῦσαι προσήκειν ἡγοῦμαι τὸν λόγον, οἷς ἐπεκλήθη τὸ ὄνομα τοῦ Χριστοῦ, Χριστιανοῖς προσαγορευθεῖσι.

3α Διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Οὗτος ὁ στίχος κεῖται καὶ ἐν τῷ θʹ ψαλμῷ. Ps 9.2β

3β Ὅταν λάβω καιρὸν, ἐγὼ εὐθύτητας κρινῶ.

[18][3] ὑβριστά MV : ὑβριστικά PSCBF. 1[5] ἁμάρτῃς MCBFV : ἁμαρτάνῃς P.

Τὸ, ὅτε λάβω καιρὸν, τινὲς τῷ προλαβόντι στίχῳ συνάπτουσι, λέγοντες, ὅτι διηγήσομαι πάντα τὰ θαυμάσιά σου, ὅτε λάβω καιρὸν τοῦ διηγεῖσθαι, τουτέστιν, ὅταν ἀπαλλαγῶ τῶν πολεμίων. Ἄμεινον δὲ, τῷ ἑξῆς στίχῳ συντάττεσθαι· εἰσάγεται γὰρ ὡς ἀπὸ τοῦ Χριστοῦ τὸ ῥητὸν, λέγοντος, Μὴ ὀλιγοψυχεῖτε περὶ τῶν ἐθνῶν, ὅταν γὰρ λάβω καιρὸν τῆς κρίσεως, δικαίως κρινῶ καὶ τοῖς ἀδικοῦσι καὶ τοῖς ἀδικουμένοις. Τὸ δὲ, λάβω, ληπτέον εὐσεβῶς, ὅτι οὐ παρ' ἑτέρου, ἀλλὰ παρ' ἑαυτοῦ, ὡς Θεὸς, ἢ καὶ ὡς ἄνθρωπος παρὰ τῆς θεότητος.

4α *Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.* |

Τῆξίς ἐστιν ἡ διάλυσις τῆς δυνάμεως. Ἐτάκη οὖν, ἐρχομένης τῆς κρίσεως, εἴτουν τακήσεται, *Ὁ οὐρανὸς γὰρ*, φησὶ, *καὶ ἡ γῆ παρελεύσονται*, ἀλλὰ καὶ Mt 24.35
πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ· πάντες γὰρ ἀποθανοῦνται.

4β *Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς.*

Ἐμοῦ κελεύσαντος, ἐτάκη· διότι ἐν ἀρχῇ ἐγὼ ταύτην ἔκτισα. Στῦλοι δὲ αὐτῆς, τὸ περὶ τοῦ στερεωθῆναι αὐτὴν πρόσταγμα· τοῦτο γὰρ ἀνέχει καὶ διαβαστάζει αὐτὴν, ἐπ' οὐδενὸς ἡδρασμένην.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν τῆξιν, τὴν φθορὰν, ὅτι ἐφθάρη μὲν ἡ γῆ ταῖς εἰδωλολατρείαις καὶ ταῖς ἄλλαις ἁμαρτίαις τῶν ἀνθρώπων, ἀλλ' ἐγὼ σπλαγχνισθεὶς ἐπὶ τῇ ἀπωλείᾳ τοῦ πλάσματος, ἐστερέωσα τοὺς ἀποστόλους· τούτους γὰρ νοήσομεν στύλους τῆς οἰκουμένης, ὡς ταῖς ἑαυτῶν διδασκαλίαις ὑπερείδοντας καὶ στηρίζοντας τοὺς ἁπανταχοῦ πιστούς· οὕτω γὰρ αὐτοὺς καὶ ὁ μέγας Παῦλος
ὠνόμασεν εἰπὼν, *Οἱ δοκοῦντες στῦλοι εἶναι.* Gal 2.9

Τινὲς δὲ γῆν, τὴν τῆς Ἰερουσαλὴμ φασιν, ὅτι τακήσεται πολιορκηθεῖσα καὶ πυρποληθεῖσα ὑπὸ Ῥωμαίων. Καὶ οὕτως δὲ, στύλους αὐτῆς εἶπε τοὺς ἀποστόλους· στύλους μὲν, διὰ τὴν ῥηθεῖσαν αἰτίαν, αὐτῆς δὲ, ὡς ἐξ αὐτῆς ὡρμημένους, ἢ καὶ ὅτι μετὰ τὸ τακῆναι στερεωθήσονται τοῖς στύλοις τῆς πίστεως.

5 Εἶπον τοῖς παρανομοῦσι, Μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσι, Μὴ ὑψοῦτε *κέρας.*

Κρίσεως, ὡς εἴρηται, γίνεσθαι μελλούσης, φησὶν ὁ προφήτης, ὅτι διαμαρτυράμενος τοῖς παρανομοῦσιν, εἶπον αὐτοῖς, *Μὴ παρανομεῖτε*, καὶ αὖθις τοῖς ἁμαρτάνουσι, *Μὴ ὑψοῦτε κέρας*, εἴτουν μὴ καυχᾶσθε, μηδὲ ἐπαίρεσθε ὡς ἐπὶ μεγάλοις κατορθώμασι ταῖς ἁμαρτίαις ὑμῶν· τοῦτο γὰρ, ἀνοίας ἐσχάτης. Τοὺς αὐτοὺς δὲ λέγει παρανόμους καὶ ἁμαρτάνοντας ἐκ παραλλήλου.

Πολλαχοῦ δὲ τῶν ψαλμῶν τὸ κέρας τίθησι, ποτὲ μὲν ἀντὶ δυνάμεως, ποτὲ δὲ ἀντὶ καυχήσεως· τὰ γὰρ κερασφόρα ζῷα ἐν τοῖς κέρασιν ἀμύνονται καὶ γαυριῶσι.

4α[2] ἐρχομένης PCFV : ἐρχομένη MS. 4β[8] νοήσομεν MPBF : νοήσωμεν SCV. 4β[14] στερεωθήσονται PCV : στερεωθήσεται MAF.
5[7] παρανόμους MSCBF : παρανομοῦντας PV. 5[8] τίθησι MSCBF : τίθεται PV.

6α Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν.

Τὸ αὐτὸ λέγει πάλιν εἰς ἐπίτασιν διαμαρτυρίας.

6β Καὶ μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν.

Τοῦτο ταὐτὸν δύναται τῷ, *Ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν*, ὃ κεῖται ἐν τῷ οβʹ ψαλμῷ. Ps 72.8β

7 Ὅτι οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων.

Ἐξόδους μὲν καλεῖ, τὴν τοῦ ἡλίου ἀνατολήν· *Ἀπ' ἄκρου γάρ*, φησὶ, *τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ*· δυσμὰς δὲ, τὴν δύσιν· ἔρημα δὲ ὄρη, τὰ βόρεια καὶ νότια κλίματα, κατὰ μεσημβρίαν καὶ ἄρκτον· ταῦτα γὰρ ἔρημά εἰσιν ἀνθρώπων, τὸ μὲν δι' ὑπερβολὴν ψύχους, τὸ δὲ, θέρμης. Ps 18.7α

Ἐλλειπτικὸν δὲ τὸ σχῆμα· λείπει γὰρ τὸ, λέληθέ τι. Οὐ λέληθέ τι, φησὶν, ἀπ' οὐδενὸς κλίματος τῆς γῆς ἐν τῷ καιρῷ τῆς μελλούσης κρίσεως· διὸ μηδὲν φαῦλον ποιεῖτε· ποιοῦντες δὲ, μὴ οἴεσθε λανθάνειν. Εἶτα τίθησι καὶ τὴν αἰτίαν τοῦ μηδὲν λανθάνειν.

8α Ὅτι ὁ Θεὸς κριτής ἐστιν.

Ὁ Θεὸς κρίνει, *ὁ πάντα καὶ ἰδὼν καὶ εἰδὼς πρὸ γενέσεως αὐτῶν*. Sus 35a

8β Τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ.

Τὸν μὲν ἀτιμάζει, τὸν δὲ τιμᾷ, κατὰ τὴν οἰκονομίαν τῶν βεβιωμένων ἑκάστῳ καὶ τὸν λόγον τῆς δικαίας αὐτοῦ κρίσεως.

9α Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος.

Μεταφορικὸς ὅλος ὁ λόγος· καὶ χεῖρα μὲν Κυρίου καλεῖ, τὴν δύναμιν αὐτοῦ, ποτήριον δὲ οἴνου, τὸ μέτρον τῆς τιμωρίας· οἶνος γὰρ νῦν, ἡ τιμωρία. Διότι παραπλησίως τῷ οἴνῳ ἀφαιρεῖται τὴν τοῦ ἀνθρώπου δύναμιν, καὶ ἐκλύει τὰς ἁρμονίας καὶ ποιεῖ σφάλλεσθαι. Ἄκρατος δὲ οὗτος ὁ οἶνος, ὡς αὐστηρὸς καὶ ἀπότομος καὶ ἀμιγὴς φιλανθρωπίας.

Ἀλλὰ τοῦτο μὲν τὸ ποτήριον οἴνου ἐστὶν ἀκράτου· ἐστὶ δὲ ἐν τῇ χειρὶ αὐτοῦ | καὶ ἕτερον ποτήριον πλῆρες κεράσματος, εἴτουν φιλανθρωπίας. Κέρασμα γὰρ οἴνου μὲν, ὕδωρ, αὐστηρίας δὲ, φιλανθρωπία.

Χρὴ γὰρ τὸ, πλῆρες κεράσματος, μὴ συνάπτειν τῷ ὄπισθεν ῥητῷ, ἀλλὰ καθ' ἑαυτὸ ἀσυνδέτως ἀναγινώσκειν, τοῦ *καί* συνδέσμου ἐλλείποντος μὲν,

7 Add. [MF in marg.]PBV : Οὔτε ἐκ τῶν ἀνατολῶν τῶν ἀστέρων, οὔτε ἐκ τῶν δύσεων αὐτῶν, κατὰ τοὺς ἀστρολόγους, οὔτ' αὖθις ἐκ τῶν δαιμόνων, τῶν ἐρήμων μὲν καλοῦ παντὸς, ὀρέων δὲ λεγομένων διὰ τὴν ἔπαρσιν καὶ ἀλαζονείαν, ἢ πλοῦτος ἢ δόξα χορηγοῦνται, ἢ πενία ἢ ἀδοξία προσγίνεται, ἀλλὰ κρίσει Θεοῦ δικαίᾳ. 8β³ αὐτοῦ PSCBV : ἑαυτοῦ MF.

συνεξακουομένου δὲ, ἕλκοντας καὶ ἐπὶ τούτου τὸ, ποτήριον ἐν χειρὶ Κυρίου.
Πῶς γὰρ ἂν εἴη τὸ αὐτὸ καὶ ἄκρατον ἔχον καὶ κέρασμα; Ὅτι δὲ δύο ταῦτα, δηλώσει τὸ ἐπαγόμενον.

9β Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο.

Ἐνέχεεν ἐκ τοῦ μέτρου τῆς ἀκράτου τιμωρίας ἐπὶ τὸ μέτρον τῆς φιλανθρωπίας, ὥστε ποιῆσαι κρᾶσιν καὶ ποτίσαι ταύτην τοὺς ἔλαττον ἁμαρτάνοντας καὶ τοὺς ἰασίμους.

9γ Πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη.

Τρυγίαν ὠνόμασε, τὸ πάχος τῆς ἀκράτου τιμωρίας, τὴν ἐσχάτην κόλασιν, ἥτις ὑπελείφθη τοῖς τὰ μέγιστα πλημμελοῦσι καὶ τοῖς μὴ μεταβαλλομένοις ἀπὸ κακίας.

9δ Πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.

Πίονται τὸν τρυγίαν. Ἁμαρτωλοὺς δὲ λέγει, τοὺς ἀνεπιστρόφως ἁμαρτάνοντας.

10 Ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ.

Ἐλευθερωθεὶς τῆς δουλείας τῶν ἐχθρῶν, καὶ ἀγαλλιάσομαι μὲν ἐπὶ τῇ ἀπαλλαγῇ τῶν ἀνιαρῶν, ψαλῶ δὲ εὐχαριστήρια.

11α Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω.

Τῶν αὖθις πολεμησόντων μοι δυσμενῶν.

11β Καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου.

Νικήσαντος. Οἵ τε γὰρ Ἰσραηλῖται μετὰ τὴν τῆς ἐν Βαβυλῶνι δουλείας ἐπάνοδον, προσβαλλόντων αὐτοῖς τῶν γειτονούντων ἐθνῶν, ἐνίκησαν, καὶ οἱ Χριστιανοὶ, ἐκ τῆς δουλείας τῶν εἰδώλων ἐπανελθόντες εἰς ἐλευθερίαν, συνθλῶσι τὰς δυνάμεις τῶν πέριξ διαιτωμένων δαιμόνων ἐπιτιθεμένων αὐτοῖς.
Δίκαιον δὲ καλεῖ, πάντα εὐσεβῆ· εἴη δ᾽ ἂν καὶ ὁ Ζοροβάβελ, ὁ τὸν λαὸν τηνικαῦτα ἐπαναγαγὼν, ἀλλὰ καὶ ὁ Χριστὸς, ὁ κυρίως δίκαιος, ὡς ἀναμάρτητος, οὗ τύπος ὁ Ζοροβάβελ. 2Esdr 2.2
Τῶν γὰρ ἐν σώματι τοὺς ἀσωμάτους πολεμίους νικώντων, ὑψοῦται ἡ δύναμις καὶ ὁ ἔπαινος τοῦ Χριστοῦ, τοῦ δυναμοῦντος αὐτούς.

[9α][1] ἕλκοντας MPCBFV : ἕλκοντος S. 11β[3] προσβαλλόντων PSCFV : προσβαλόντων MB.

75 οε´

1 Εἰς τὸ τέλος· ἐν ὕμνοις· ψαλμὸς τῷ Ἀσάφ· ᾠδὴ πρὸς τὸν Ἀσσύριον.

Εἴρηται ἡμῖν καταρχὰς, ὅτι ἐν ταῖς ἐπιγραφαῖς τῶν ψαλμῶν, τὸ, εἰς τὸ τέλος, προφητείαν δηλοῖ, παρεγγυῶν ἀποβλέπειν εἰς τὸ τέλος αὐτῆς. Λοιπὸν Ps 4.1
οὖν κἀνταῦθα προφητείαν, κατὰ μὲν Ἑβραίους, τῆς συντριβῆς τῶν ἀμφὶ τὸν Σεναχηρεὶμ, κατὰ δὲ Χριστιανοὺς, τῶν ἀμφὶ τὸν νοητὸν Σεναχηρεὶμ, ἤτοι τὸν 4Rg 18-19
διάβολον.

Καὶ ἄλλως δὲ, εἰς τὸ τέλος, ὅτι ἐν τῷ τέλει περὶ τοῦ τέλους τοῦ κόσμου διαλαμβάνει, εἴτουν τῆς μελλούσης κρίσεως.

Ἐν ὕμνοις δὲ, ὅτι εὐχαριστήριός ἐστιν ὁ ψαλμὸς ἐπὶ τῇ κατὰ τῶν πολεμίων νίκῃ.

Περὶ δὲ τοῦ Ἀσὰφ, ἔτι δὲ καὶ τῆς ᾠδῆς, προπαρεδώκαμεν ἐν τῷ προοιμίῳ τῆς βίβλου τῶν ψαλμῶν. §§ 50, 62

Πρὸς τὸν Ἀσσύριον δὲ, ἀντὶ τοῦ, πρὸς τὰ κατὰ τὸν Ἀσσύριον Σεναχηρείμ.

Ὅρα δὲ ὅπως τὸ θεῖον Πνεῦμα τῇ Ἰουδαϊκῇ ἱστορίᾳ Χριστιανικὰ δόγματα συνανέπλεξεν, ὡς ψυχαγωγεῖν μὲν καὶ τὸν Ἑβραῖον, ταπεινῶς ἐκδεχόμενον τὰ ῥητὰ, εὐφραίνειν δὲ μᾶλλον τὸν Χριστιανὸν, ὑψηλῶς ταῦτα νοοῦντα.

2α Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός.

Οἱ μὲν Ἰουδαῖοί φασιν, ὅτι γνώριμός ἐστιν ὁ Θεὸς ἐν μόνῃ τῇ Ἰουδαίᾳ· ὁ δὲ Θεός φησι πρὸς αὐτοὺς διὰ τοῦ προφήτου, *Κατὰ ἀριθμὸν τῶν πόλεών σου ἦσαν* | *θεοί σου, Ἰούδα, καὶ κατὰ ἀριθμὸν ἀμφόδων Ἰσραὴλ, ἔθυον τῇ Βάαλ.* Jer 11.13

Δῆλον οὖν, ὅτι οὐ περὶ τῆς κατὰ Παλαιστίνην Ἰουδαίας ὁ ψαλμὸς λέγει νῦν, ἀλλ' Ἰουδαίαν καλεῖ, τὴν Ἰουδαϊκὴν Γραφὴν, ἐν ᾗ πάσῃ γνώριμός ἐστιν ὁ
Χριστός· τά τε γὰρ Μωσαϊκὰ καὶ τὰ λοιπὰ πάντα περὶ αὐτοῦ προκατήγγειλαν, Lk 24.44
καὶ αὐτὴ δὲ ἡ νομικὴ λατρεία, τύπος καὶ σκιὰ καὶ προχάραγμα ἦν Χριστοῦ. Heb 10.1

2β Ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

Καὶ μὴν οὐκ ἐν μόνῳ τῷ Ἰσραήλ. Αὖθις γάρ φησιν ὁ Θεὸς διὰ τοῦ προφήτου, ὅτι, *Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν δεδόξασται τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσιν,*
καὶ πάλιν, *Ὑμεῖς δὲ βεβηλοῦτε αὐτὸ*, καὶ αὖθις, *Τὸ ὄνομά μου μέγα ἐν τοῖς ἔθνεσιν·* Mal 1.11-12
ὥστε καὶ Ἰσραὴλ πάλιν, τὴν Ἰσραηλιτικὴν Γραφὴν ὀνομάζει, τὴν δοθεῖσαν τῷ Ἰσραηλιτικῷ λαῷ, ἐν ᾗ μέγα καὶ ἔνδοξον ᾄδεται τὸ ὄνομα τοῦ Χριστοῦ.

Μάξιμος δὲ, ὁ μέγας φιλόσοφος, Ἰουδαίαν μὲν λέγει, τὴν πρακτικὴν PG90.325A
φιλοσοφίαν, Ἰσραὴλ δὲ, τὴν θεωρητικὴν, διότι Ἰουδαία μὲν, ἐξομολόγησις ἁμαρτιῶν ἑρμηνεύεται, ἥτις ἐστὶν ἀρχὴ τῆς πρακτικῆς, Ἰσραὴλ δὲ, νοῦς ὁρῶν Θεόν· ὁ μὲν γὰρ πρακτικὸς γινώσκει τὸν Θεὸν, ὅτι κριτής ἐστι τῶν ἑκάστῳ βεβιωμένων, καὶ διὰ τοῦτο καθαίρει ἑαυτὸν, ὁ δὲ θεωρητικὸς, κατανοῶν τὰ μεγαλεῖα αὐτοῦ, ἀξίως μεγαλύνει αὐτόν.

1[3] παρεγγυῶν MSCBFV : παρεγγυῶσα P. 1[4] προφητείαν MBV : προφητεία PSCF. 1[10] προπαρεδώκαμεν MSBF : προπαραδεδώκαμεν PCV. 1[10] συνανέπλεξεν MSF : συνέπλεξεν PCBV.

Εἴη δ' ἂν Ἰουδαία νέα, καὶ ἡ ἐξ ἐθνῶν Ἐκκλησία, ἥτις, ἐξομολογησαμένη τὰ παλαιὰ αὐτῆς ἁμαρτήματα, ἐπέγνω τὸν ἀληθινὸν Θεόν. Ἡ δ' αὐτὴ, καὶ Ἰσραὴλ νέος· φησὶ γὰρ ὁ μέγας Παῦλος, *Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομὴ, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι.* Rom 2.28

3 *Ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.*

Εἰ μὴ πολλάκις ἐπολεμήθη καὶ ἑάλω τὰ Ἱεροσόλυμα, εἶχεν ἄν τινα λόγον περὶ αὐτῶν εἰρῆσθαι ταῦτα. Νῦν δὲ εἰρήνην φησὶ, τὸν εἰρηνεύοντα ἄνθρωπον, πρὸς μὲν τοὺς ἀνθρώπους, ἐν τῷ ἀγαπᾶν αὐτοὺς, πρὸς δὲ τὰ πάθη, ἐν τῷ ὑποτάττειν αὐτά. Ἐν τῷ τοιούτῳ γὰρ ἀνδρὶ γίνεται τόπος χωρητικὸς Θεοῦ· Σιὼν δὲ ἑρμηνεύεται, σκοπευτήριον· εἴη δ' ἂν ὁ πόῤῥωθεν κατασκεπτόμενος τὰς ἐπελεύσεις τῶν δυσμενῶν.

4 *Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον.*

Ἱστορικῶς, περὶ τῆς ἀπωλείας τῶν Ἀσσυρίων ταῦτα. Ἐκεῖ μὲν, ἀντὶ τοῦ, ἐν τῇ Σιών· συνέτριψε δὲ, ἀντὶ τοῦ, κατήργησε τὰς δυνάμεις τῶν τόξων· ὅπλον δὲ καλεῖ νῦν, οὐ τὸ ἀμυντήριον, ἀλλὰ τὸ φυλακτήριον, οἷον θώρακα καὶ εἴ τι τοιοῦτον, ἐξ οὗ καὶ ὁπλίτης, ὁ τεθωρακισμένος, πρὸς ἀντιδιαστολὴν τοῦ ψιλοῦ· ῥομφαία δὲ, ἡ σπάθη.

Καὶ προέταξε μὲν τὰ τόξα, ὅτι τὸ πλεῖον ἐν τόξοις ἐκράτουν οἱ Ἀσσύριοι. Judith 9.7
Εἶτα διὰ μὲν τοῦ ὅπλου, πᾶν φυλακτήριον ἐνέφηνε, διὰ δὲ τῆς ῥομφαίας, πᾶν ἀμυντήριον. Τελευταῖον δὲ ἐπήγαγε καὶ τὸν πόλεμον αὐτὸν, δι' ὃν ταῦτα, καὶ οὗ σκεύη ταῦτα καὶ ὄργανα.

Ἀναγωγικῶς δὲ, τόξα μὲν, αἱ μεθοδεῖαι καὶ μηχαναὶ τῶν δαιμόνων, ἀφ' ὧν
ἀφίενται βέλη παθῶν πεπυρωμένα. Ὅπλον δὲ φυλακτήριον τοῦ διαβόλου, ἡ Eph 6.16
παραχώρησις τοῦ Θεοῦ καὶ ἡ καθ' ἡμῶν ἐξουσία τοῦ ἐχθροῦ· τότε γὰρ βαλλόμενος παρ' ἡμῶν οὐκ αἰσθάνεται. | Ῥομφαία δὲ αὐτοῦ τμητικὴ, καὶ ὁ ἀπὸ Θεοῦ χωρισμὸς ἡμῶν ὁ διὰ τῶν παθῶν ἐπιγινόμενος. Πόλεμος δὲ, ἡ πάλη, ἢ καὶ αὐτὸς ὁ διάβολος· ὥσπερ γὰρ εἰρήνη ὁ Θεὸς, οὕτω καὶ πόλεμος ὁ ἀντικείμενος δαίμων. Ἃ πάντα ὁμοῦ κατήργησεν ὁ Θεὸς ἐν τῷ εἰρηνεύοντι καὶ σκοπεύοντι, καθὼς εἴρηται.

5 *Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων.*

Ὄρη αἰώνια καλεῖ, τοὺς οὐρανούς· ὄρη μὲν, διὰ τὸ ὕψος, αἰώνια δὲ, διὰ τὸ διαρκέστερον καὶ μακροχρονιώτερον τῆς τούτων οὐσίας.

Λέγει δὲ, ὅτι φωτίζεις φωτὶ χαρᾶς τοὺς ἐν σκότει λύπης, καὶ φωτὶ ἀντιλήψεως τοὺς ἐν σκότει ἀπογνώσεως.

6α Ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ.

Ἀναιρούμενοι ἀδοκήτως, ἐταράττοντο· ἀσυνέτους δὲ αὐτοὺς εἶπεν, ὡς θεομάχους. 4Rg 19.35

6β Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν.

Ἐκοιμήθησαν μὲν μετ' ἐλπίδων μεγάλων οἱ πολιορκοῦντες, οὐχ εὗρον δέ τι ὧν προσεδόκησαν.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι κύκλῳ τοὺς ἐχθροὺς βλέποντες οἱ πολιορκούμενοι, μὴ συνιέντες τοῦ Θεοῦ τὴν δύναμιν, ἐταράχθησαν· τοῦτο γὰρ καὶ ἡ ἱστορία διδάσκει. Εἶτα ἐκοιμήθησαν ἐν ἐλπίδι ἁλώσεως, καὶ τὸ πρωῒ οὐχ εὗρον οὐδὲν ὧν 4Rg 18.37
ἤλπισαν, ἢ οὐδὲν πολέμιον, ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδων ἀναιρεθεισῶν ἐν ἐκείνῃ τῇ νυκτί. 4Rg 19.35

Τὸ δὲ, τῇ καρδίᾳ, παρέλκει, ὡς ἰδίωμα· ἢ καὶ ἐπιτατικόν ἐστι τῆς ἀσυνεσίας.

6γ Πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν.

Οἱ ἄνδρες τοῦ πλούτου, ἀντὶ τοῦ, οἱ πλούσιοι, ὡς τὸ, ἄνδρες αἱμάτων, οἱ αἱμοχαρεῖς. Ps 54.24β

Λέγει δὲ, ὅτι πάντας τοὺς πλουσίους Ἰσραηλίτας οἱ Ἀσσύριοι μονονουχὶ ταῖς χερσὶν ἔχειν ᾤοντο μεθ' ἡμέραν. Ἢ καὶ τοὐναντίον, πάντες οἱ πλούσιοι τῶν Ἀσσυρίων ταῖς χερσὶ τῶν πολιορκουμένων ἑάλωσαν· νεκροὶ εὑρεθέντες καὶ ἐσκυλεύθησαν.

7 Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακὼβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις.

Ἐπιτίμησιν μὲν λέγει, τὴν κατὰ τῶν πολεμίων ἀπόφασιν, νυσταγμὸν δὲ, τὴν πάρεσιν τῆς δυνάμεως· ἐκλύει γὰρ τὸν τόνον ὁ νυσταγμός. Ἐπιβεβηκότας δὲ τοῖς ἵπποις εἶπε, τοὺς ἐχθροὺς, ὡς ἐπὶ τῷ πολεμικῶς ἱππάζεσθαι τεθαῤῥηκότας· Οὗτοι Judith 9.7
γὰρ, φησὶν, ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις. Ps 19.8α

8α Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι.

Τοῦτο σαφές.

8β Ἀπὸ τότε ἡ ὀργή σου.

Ἔκτοτε, ἀφ' οὗ κατὰ σοῦ ἐβλασφήμησαν· ἐδίδους δὲ αὐτοῖς χώραν μετανοίας 4Rg 18.22,
κατὰ τὸν νόμον τῆς σῆς χρηστότητος. 19.22

Ἢ καὶ τὸ, ἀπὸ τότε, ἁπλῶς ἀντὶ τοῦ, πάλαι, πρὸ πολλοῦ.

6β9 ἀσυνεσίας PSBV : ἀσινέας MC : ἀσθενείας F.

9α Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν.

Τὴν δηλωθεῖσαν ἀπόφασιν ἐκ τοῦ οὐρανοῦ ἀκουστήν μοι ἐποίησας, ἐνηχήσας μοι αὐτὴν, ὡς προφήτῃ.

Εἴη δ' ἂν καὶ περὶ τῆς μελλούσης παγκοσμίου κρίσεως νοεῖν τὸ ῥητὸν, ὅτι ἀκουστὴν ἐποίησας αὐτὴν πᾶσιν ἀνθρώποις διὰ τῆς θεοπνεύστου Γραφῆς, ὡς 2Tim 3.16
εἶναι καὶ τὰ ἑξῆς ἀκόλουθα.

9β-10 Γῆ ἐφοβήθη καὶ ἡσύχασεν ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεὸν τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς.

Γῆν καλεῖ, πάντα ἄνθρωπον πρὸς ὃν εἴρηται, ὅτι Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, Gen 3.19
μάλιστα δὲ, τὸν φρονοῦντα γήϊνα. Ἐν τῷ ἀναστῆναι γὰρ, φησὶν, εἰς τὴν ῥηθεῖσαν πάνδημον κρίσιν τὸν Θεὸν, οἱ ἄνθρωποι πάντες ἡσύχασαν, καταργηθέντος λοιπὸν παντὸς ἔργου· ἀναστῆναι δὲ εἰς κρίσιν ἐπὶ τῷ σῶσαι πάντας τοὺς δικαίους· ἴδιον γὰρ | δικαίου παντὸς, ἡ πραότης.

11α Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι.

Τοῦτο πρὸς φόβον κεῖται τῶν ἀναλγήτων. Καὶ γὰρ τότε, φησὶ, πᾶν ἀνθρώπινον ἐνθύμιον, αὐτὸ ἑαυτὸ ἀνακαλύψει σοι δικάζοντι. Καὶ ἄκουε τοῦ μεγάλου Παύλου περὶ τούτου λέγοντος, *Μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων, ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων.* Rom 2.15-16

11β Καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.

Ἐγκατάλειμμα νοεῖται, τὸ λείψανον. Βούλεται δὲ εἰπεῖν, ὅτι καὶ αὐτὸ τὸ βραχύτατον μόριον τοῦ ἐνθυμήματος ἑορτάσει σοι, τουτέστιν, ἐπιδείξει σοι ἑαυτό· ἡ ἑορτὴ γὰρ ἐπίδειξίς ἐστι τοῦ ἑορταζομένου πράγματος. Ὅθεν καὶ ἑορτάσει, ἀντὶ τοῦ, θεατρίσει.

Λέγοιτο δ' ἂν καὶ ἄλλως, ὅτι οὐ μόνον αἱ ἐνθυμήσεις δῆλαί σοι ἔσονται, ἀλλὰ καὶ εἴ τις βιαζόμενος ὑπὸ τοῦ δαίμονος ἐνθυμηθῆναί τι πονηρὸν, μὴ πεισθεὶς, ἐγκατέλιπε τὸ τοιοῦτον ἐνθύμιον, μὴ ἐνθυμηθεὶς αὐτὸ, καὶ αὐτὴ ἡ ἐγκατάλειψις τοῦ τοιούτου ἐνθυμίου φανερώσει σοι ἑαυτήν· οὕτως οὐδὲν τὸ τυχόν σε λέληθεν.

12α Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Τούτων οὖν οὕτως ἐχόντων, ὑπόσχεσθε τῷ Θεῷ δῶρα μετανοίας, καὶ ἀπόδοτε αὐτὰ, ὡς χρέος ἀναγκαιότατον.

12β Πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα.

9α[2] ἐνηχήσας μοι MSCB : ἐνήχησάς μοι PFV. 9α[5] θεοπνεύστου Γραφῆς MSBF : θεοπνεύστων Γραφῶν PCV. 11β[8] αὐτὴ MCBF : αὕτη PSV.

Κύκλῳ τοῦ Θεοῦ, οἱ ἀγαπῶντες αὐτὸν, ἐν οἷς ἐστιν αὐτός· Ἐκεῖ γὰρ, φησὶν, εἰμὶ ἐν μέσῳ αὐτῶν· οἳ πάντες οἴσουσι δῶρα, τὰς ἀρετάς. Mt 18.20

13α Τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων.

Πνεύματα, τὰς ψυχάς.

13β Φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Παρὰ τῷ Φαραὼ καὶ τοῖς ἄλλοις, ὅσοι τὰς τῆς Αἰγύπτου μάστιγας καὶ τὰς λοιπὰς αὐτοῦ τερατουργίας ἠκηκόεισαν.

76 οϛʹ

1 Εἰς τὸ τέλος· ὑπὲρ Ἰδιθούμ· ψαλμὸς τῷ Ἀσάφ.

Εἰς τὸ τέλος μὲν, ὅτι προφητεύει καὶ οὗτος ὁ ψαλμὸς, ἃ πείσονται ἐν Βαβυλῶνι οἱ δορυάλωτοι, καὶ ἃ εἴποιεν.

Ψαλμὸς δὲ, φησὶ, ψαλθεὶς τῷ χοράρχῃ Ἀσὰφ, ὑπὲρ Ἰδιθοὺμ, τουτέστιν, ἀντὶ τοῦ χοράρχου Ἰδιθούμ. Φαίνεται γὰρ ὅτι τῷ Ἰδιθοὺμ μὲν ἐδόθη πρὸς τὸ ψαλθῆναι, μὴ εὐκαιρήσαντος δὲ, ἐψάλθη παρὰ τοῦ Ἀσάφ.

Ἐσχημάτισται δὲ προσώπῳ τοῦ λαοῦ, τοῦ ἐν Βαβυλῶνι.

2α Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα.

Ἐν Βαβυλῶνι δουλεύων, ἐβόησα πρὸς Θεόν.

2β Φωνῇ μου πρὸς τὸν Θεόν.

Ἀπὸ κοινοῦ κἀνταῦθα τὸ, ἐκέκραξα· ἰστέον δὲ ὅτι τὸ θέμα, κεκράζω ἐστί. Περιττὸν δὲ δοκεῖ, τὸ, φωνῇ μου, ἀλλ' ἔστιν ἰδίωμα καὶ τοῦτο, ὥσπερ καὶ τὸ δὶς τῷ αὐτῷ χρήσασθαι· δύνανται δὲ ἐμφαίνειν καὶ ἐπίτασιν τῆς κραυγῆς.

2γ Καὶ προσέσχε μοι.

Θερμῶς βοῶντι καὶ ὁλοψύχως.

3α Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα.

Τὸ, ἐξεζήτησα, τὴν σπουδαίαν ζήτησιν δηλοῖ· ἐξεζήτει δὲ αὐτὸν εἰς ἀντίληψιν.

3β Ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ.

1[7] τοῦ ἐν Βαβυλῶνι PSVL : om. MCBF. 3α[2] ἐξεζήτει MPSV : ἐξεζήτησα CABF.

Ἀπὸ κοινοῦ ληπτέον καὶ ἐπὶ τούτου τὸ, *ἐξεζήτησα*.

Πῶς δέ τις ἐκζητεῖ τὸν Θεὸν ταῖς χερσίν; ἐκτείνων αὐτὰς πρὸς αὐτὸν μετὰ δεήσεως· νυκτὸς δὲ, ὅτε πᾶσα πανταχόθεν ἄδεια· ἐναντίον δὲ αὐτοῦ, τουτέστιν, ἐνώπιον αὐτοῦ πάντα βλέποντος.

Τινὲς δὲ χεῖρας ἐνταῦθα, τὰς πράξεις νοοῦσι· νυκτὸς δὲ, τὸ λανθάνειν, ὅτι ἐξεζήτησα τὸν Θεὸν διὰ τῶν ἀγαθῶν πράξεων, λανθάνων τοὺς ἀνθρώπους. Mt 6.3

3γ Καὶ οὐκ ἠπατήθην.

Καὶ ἐλπίσας εὑρεῖν βοηθὸν αὐτὸν, οὐκ ἠπατήθην ταῖς ἐλπίσιν, εἴτουν οὐκ ἠστόχησα.

Δῆλον οὖν ὅτι μετὰ τὴν ἐκ Βαβυλῶνος | ἐπάνοδον ἁρμόσει ταῦτα τῷ λαῷ, ναὶ μὴν καὶ παντὶ τῷ ἐκ κινδύνων περισωθέντι.

3δ Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου.

Ἀπηρνήσατο, ἀπηγόρευσεν, οὐκ ἐδέξατο παρηγορηθῆναι ἐξ ἀνθρώπου, λίαν βαρυθυμοῦσα.

4α Ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην.

Μίαν μόνην εἶχον παράκλησιν ἐν τοσούτοις κακοῖς, τὴν τοῦ Θεοῦ μνήμην. Μνημονεύων γὰρ ὅτι δύναται ἀπαλλάξαι με, παρηγορούμην. Ὦ τῆς εὐπορίστου παραμυθίας!

4β Ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου.

Ἀδολεσχία, κυρίως μὲν, ἡ περιττολογία καὶ φλυαρία, ὡς τὸ, *Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας*· τάττεται δὲ καὶ ἐπὶ μελέτης καὶ φροντίδος, ὡς ἐπὶ τοῦ παρόντος. Ἐμελέτων γὰρ, φησὶν, ἐν ἑαυτῷ καὶ ἐφρόντιζον πῶς ἂν ἀπαλλαγείην τῶν ἀλγεινῶν, καὶ μὴ εὑρίσκοντός μου λύσιν, ἐστενοχωρήθη ἡ ψυχή μου. Ps 118.85

Τοιοῦτόν ἐστι καὶ τὸ, *Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω*, καὶ τὸ, *Ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου*, καὶ πολλὰ τοιαῦτα ἐν τῷ ριη΄ ψαλμῷ. Ps 118.15 Ps 118.23

Λέγεται δὲ ἀδολεσχία, καὶ ἡ προσευχὴ, ὡς τὸ τῆς Ἄννης, *Ἐκ πλήθους ἀδολεσχίας μου ἐκτέτηκα*. 1Rg 1.16

5α Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου.

Οἱ φυλάσσοντες τὰ στρατόπεδα διαιροῦσιν εἰς τέσσαρας φυλακὰς τὴν νύκτα· πρώτην, δευτέραν, τρίτην, καὶ τετάρτην· καὶ ἀμοιβαδὸν ἀλλήλοις αὐτὰς παραδιδόασι. Φησὶν οὖν, ὅτι προέφθασαν οἱ ὀφθαλμοί μου πάσας τὰς τῆς νυκτὸς

[3β][5] τὸ λανθάνειν MCBF : διὰ τὸ λανθάνειν PSV. [3β] ἐξεζήτησα CBF : ἐξεζήτησε PSV.

φυλακὰς, τουτέστιν, ἀγρυπνοῦντες, προελάμβανον τοὺς καιροὺς τῶν τοιούτων φυλακῶν· μεριμνοῦντος γὰρ, ἀφίστατό μου ὁ ὕπνος.

Ἢ ὀφθαλμοὺς λέγει, τοὺς ἐπιτηροῦντας αὐτὸν ἐχθρούς· ὅτι προκατελάβοντο κατ' ἐμοῦ φυλακὰς οἱ ἐπιτηρηταί μου.

5β *Ἐταράχθην καὶ οὐκ ἐλάλησα.*

Συνεχύθην ταῖς θλίψεσιν, ἀλλ' οὐκ ἐξέφηνα ταύτας πρὸς τοὺς ἐχθροὺς, ἵνα μὴ καὶ μᾶλλον ἐπιχαρῶσί μοι.

6 *Διελογισάμην ἡμέρας ἀρχαίας καὶ ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα.*

Ἡμέρας ἀρχαίας λέγει, τὰς ἐπὶ Μωυσέως καὶ Ἰησοῦ τοῦ Ναυῆ, ὅπως οἱ τότε ἠλευθερώθησαν τῆς ἐν Αἰγύπτῳ δουλείας, καὶ διέβησαν ἀβρόχως τὴν Ἐρυθρὰν, καὶ μυρία εὐεργετηθέντες, εἰσῆλθον εὐκλεῶς εἰς τὴν γῆν τῆς ἐπαγγελίας.

Αἰώνια δὲ καλεῖ, τὰ παλαιά· οὕτω καὶ ἀπ' αἰῶνος λέγομεν τὰ ἔκπαλαι. Ἀδιάφορος γὰρ ἡ σύνταξις τοῦ, *ἐμνήσθην*. Ἐμελέτησα δὲ, ἀντὶ τοῦ, ἀνεπόλησα ταῦτα ἐν τῷ νοΐ μου· ἐκείνας δὲ τὰς ἀρχαίας ἡμέρας, εἶπε καὶ ἔτη αἰώνια.

Ἐντεῦθεν κινούμενοί τινες, τὸ, *προκατελάβοντο φυλακὰς*, ἄλλως ἡρμήνευσαν, ὅτι οἱ ὀφθαλμοὶ τῆς ψυχῆς μου, τουτέστιν, ὁ νοῦς μου, προκατεσκέψατο τὰς πολιτείας τοῦ βίου. Νὺξ μὲν γὰρ, ὁ βίος, διὰ τὴν ἐν αὐτῷ πλάνην, φυλακαὶ δὲ αὐτοῦ, αἱ πολιτεῖαι — ἡ πρὸ τοῦ νόμου, ἡ νομικὴ, καὶ ἡ εὐαγγελική. Τὰς δύο τοίνυν φησὶν ἀναθεωρῆσαι καὶ μὴ εὑρεῖν τοιαύτην ἐγκατάλειψιν· καὶ τοῖς πατριάρχαις γὰρ ὁ Θεὸς ἐβοήθει, καὶ τοῖς μετὰ τὸν νόμον ἄχρι τοῦ παρόντος ἐξανδραποδισμοῦ.

Περὶ τῶν τοιούτων οὖν φυλακῶν καὶ ὁ Κύριος εἴρηκεν ἐν οἷς μακαρίζει τοὺς γρηγοροῦντας δούλους· φησὶ γὰρ, ὅτι *Κἂν ἐν τῇ δευτέρᾳ, κἂν ἐν τῇ τρίτῃ φυλακῇ εὕρῃ οὕτως, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.* Lk 12.38

7α *Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν.*

Νυκτὸς, ἀντὶ τοῦ, ἐν νυκτὶ, ὅτε ἠρεμία πάντων· καὶ αὕτη δὲ ἡ ἀδολεσχία ὁμοία ἐστὶ τῇ προῤῥηθείσῃ· μετὰ τῆς καρδίας μου δὲ, ἀντὶ τοῦ, ἐν τῇ ψυχῇ μου. Ps 76.4β

7β *Καὶ ἔσκαλλε τὸ πνεῦμά μου.*

Ἐσκάλευεν, ἀνώρυττεν, ἀνηρεύνα — οὕτω γὰρ ἐξέδω | κεν ὁ Θεοδοτίων· τί δὲ ἠρεύνα, ἄκουσον ἑξῆς.

8 *Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;*

Ἐπαπορητικὰ τὰ ῥητὰ μέχρι τοῦ, *Καὶ εἶπα, Νῦν ἠρξάμην*. Ἀνηρεύνων, Ps 76.11α

7β[2] ἐσκάλευεν MCBF : ἔσκαλλεν PS[2]V. 8[2] ἐπαπορητικά PSAB : ἐπαπορηματικά MCFV.

φησὶ, μήποτε παντελῶς ἀπώσεται ἡμᾶς καὶ οὐ θελήσει — τοῦτο γὰρ δηλοῖ τὸ, *καὶ οὐ προσθήσει* — εὐδοκῆσαι ἔτι, εἴτουν εὐαρεστηθῆναι ἐν ἡμῖν εἰς τὸ ἑξῆς, περιττεύοντος τοῦ, τοῦ.

9α Ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει;

Ἢ μέχρι παντὸς ἀποκόψει ἀφ' ἡμῶν τὸ σύνηθες ἔλεος. Τοῦτο δὲ, εἰ καὶ ταὐτὸν δοκεῖ τῷ, *Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται*, ἀλλ' οὖν οἰκτρότερον καὶ παθητικώτερόν ἐστι.

9β Συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν;

Μή ποτε συνετέλεσε τὸ ῥῆμα τοῦ λόγου, *Οὗ ἐνετείλατο εἰς χιλίας γενεάς*; περὶ οὗ ζήτει ἐν τῷ ρδ′ ψαλμῷ. Ps 104.8

Συνετέλεσε δὲ, ἀντὶ τοῦ, συνέκλεισε καὶ περιώρισεν αὐτὸ, ἀπὸ τῆς γενεᾶς ἐκείνης ἄχρι καὶ εἰς τὴν νῦν, ὡς μὴ περαιτέρω χωρῆσαι.

10 Μὴ ἐπιλήσεται τοῦ οἰκτιρῆσαι ὁ Θεός; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;

Ταῦτα, εἰ καὶ τοῖς προλαβοῦσιν ὅμοια φαίνεται τὰ ῥητὰ, ἀλλ' οὖν ἐμφαίνουσιν ὅτι φύσει οἰκτίρμων ἐστὶν ὁ Θεὸς, ὥσπερ καὶ τὸ φῶς, φωτιστικὸν, καὶ τὸ πῦρ, καυστικόν· διὸ καὶ τὸ κατὰ φύσιν οὐκ ἀποβαλεῖ.

Ἐντεῦθεν οὖν συνῆκεν ὃ ἠπόρει, ὅτι οὐκ εἰς τοὺς αἰῶνας ἀπώσατο αὐτοὺς, καὶ τὰ ἑξῆς· ἀλλ' ὅτι πρὸς τὰ πλήθη καὶ τὰ μεγέθη τῶν ἁμαρτιῶν ἐπάγει καὶ τὴν τιμωρίαν.

11α Καὶ εἶπα, Νῦν ἠρξάμην.

Εὐγνωμοσύνης ὁ λόγος. Ἀναλογισάμενος, φησὶν, ἃ ἥμαρτον, εἶπα, Ὅτι νῦν ἀρχή μοι τῆς ἀξίας τιμωρίας· τὰ γὰρ μέχρι νῦν, προοίμια ταύτης.

11β Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Ἡ ἐναλλαγὴ, ἡ ἀπὸ ἐλευθερίας καὶ ἀνέσεως εἰς δουλείαν καὶ στενοχωρίαν, τῆς θείας ἔργον χειρὸς κολαζούσης ἡμᾶς.

12α Ἐμνήσθην τῶν ἔργων Κυρίου.

Ἔργα Κυρίου λέγει, τὰς ἐπὶ συμφέροντι παιδείας.

12β-13 Ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου, καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω.

Ἀπὸ κοινοῦ ληπτέον αὖθις τὸ, Καὶ εἶπα· ἐν τῷ καιρῷ γὰρ, φησὶν, ἐκείνῳ, εἶπα ὅτι μνησθήσομαι, καὶ τὰ ἑξῆς· ἡ μνήμη γὰρ αὐτῶν ἔφερέ μοι παράκλησιν, ὡς εἴρηται. Ἐπιτηδεύματα δὲ καλεῖ, τὰς πρὸς σωτηρίαν ἀνθρώπων μηχανάς. Παρατήρει δὲ καὶ τουτὶ τὸ, ἀδολεσχήσω· ταὐτὸν γὰρ σημαίνει τοῖς προῤῥηθεῖσιν. Ps 76.4β, 7α

14α Ὁ Θεὸς, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου.

Ἅγιον, ἢ τὸν οὐρανόν φησιν, ὡς ἁγνὸν, ἐν ᾧ ἐνδιατρίβειν λέγεται ὁ Θεὸς, ἢ τὸ ὄρος Σινᾶ, ὡς ἀφωσιωμένον Θεῷ, ἐν ᾧ ἐπεδήμησεν, ἢ τὸν ναὸν, ὡς σεπτὸν, ἐν ᾧ κατιὼν ἐχρημάτιζεν. Ex 25.22

Ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ, ἐν τῷ ἁγίῳ, ἐν ἁγιότητι ἐξέδωκε, δοὺς νοεῖν ὅτι πᾶσα πρᾶξις Θεοῦ, ἁγία καὶ ἄμεμπτός ἐστιν, εἰ καὶ ἡμῖν αἱ παιδεῖαι φορτικαὶ φαίνονται.

14β Τίς θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;

Ὑποσχόμενος μνησθῆναι τῶν θαυμάτων τοῦ Θεοῦ, πρὸ πάντων ἀνυμνεῖ αὐτὸν, εἰπὼν, Τίς θεὸς τῶν ἀλλοφύλων οὕτως ἐστὶ μέγας, εἴτουν μεγαλοδύναμος καὶ μεγαλουργὸς, ὡς ὁ ἡμέτερος;

15α Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια.

Σὺ εἶ ὁ κυρίως Θεὸς, ὁ ποιῶν θαυμαστὰ ἔργα.

15β Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.

Λαοὺς ἐνταῦθα, τὰ ἔθνη καλεῖ, λέγω δὴ τοὺς Αἰγυπτίους καὶ τοὺς ἄλλους, ὅσους ἀνθισταμένους οἱ Ἑβραῖοι παραδόξως κατεπολέμησαν, πείρᾳ μαθόντας ὅτι μέγας ἐστὶν ὁ τούτοις βοηθῶν Θεός.

16α Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου. |

Βραχίονα, τὴν δύναμιν ὀνομάζει.

16β Τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ.

Υἱοὺς, τὸν λαὸν εἶπε, τοῦ μὲν Ἰακὼβ, ὡς προγόνου, τοῦ δὲ Ἰωσὴφ, ὡς τροφέως καὶ εὐεργέτου καὶ δόξης αὐτοῖς αἰτίου διὰ τὴν σοφίαν καὶ δυναστείαν.

17α Εἴδοσάν σε ὕδατα, ὁ Θεὸς, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν.

Περὶ τοῦ ἐν Ἐρυθρᾷ θαύματος ὁ λόγος· εἶδόν σε, φησὶν, ἀῤῥήτως, καὶ φοβηθέντα, Ex 13.21
διέστησαν. Προώδευε γὰρ τοῦ λαοῦ ὁ Θεὸς, *ἐν στύλῳ πυρὸς καὶ νεφέλης*. Ex 14.24

17β Ἐταράχθησαν ἄβυσσοι.

Τῷ ἐμπεσόντι τοῖς ὕδασιν ἀνέμῳ ἐταράχθησαν τὰ βάθη τῆς θαλάσσης. Ex 14.21

17γ Πλῆθος ἤχους ὑδάτων.

Πλῆθος γέγονε τότε τοῦ ἤχους τῶν ὑδάτων, τουτέστι, πολὺς ἦχος.
Ἔστι δ᾽ ἡ εὐθεῖα, τὸ ἦχος. cf. Jer 28.16

18α Φωνὴν ἔδωκαν αἱ νεφέλαι.

Φωνὴ τῶν νεφελῶν, ἡ βροντή.

18β Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται.

Φησὶν ἡ ἱστορία ὅτι νότου βιαίου πνεύσαντος, διῃρέθη ἡ θάλασσα. Ὅθεν Ex 14.21
καταιγίδος γενομένης, βροντὰς καὶ ἀστραπὰς εἰκὸς ἐκπεσεῖν εἰς κατάπληξιν τῶν Αἰγυπτίων· καὶ λοιπὸν βέλη, τὰς ἀστραπὰς νοήσεις, διαπορευομένας κατὰ τῶν ἐχθρῶν. Τὸ μέντοι, *διαπορεύονται*, ἀντὶ τοῦ, διεπορεύοντο, ἀντιχρονικῶς· καὶ τὸ, *γάρ*, περιττόν.

19α Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ.

Καὶ συνέδησε, φησὶν, ὁ Θεὸς τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν, καὶ ἦγεν
αὐτοὺς μετὰ βίας. Λέγει τοίνυν ὅτι ἡ φωνὴ τῆς βροντῆς σου κατεῤῥάγη ἐν Ex 14.25
ἑκάστῳ ἅρματι — τροχὸν γὰρ, τὸ ἅρμα καλεῖ, ὡς ἀπὸ μέρους τὸ ὅλον — ὑφ᾽ ἧς ἐκταραχθέντων τῶν ἵππων, συνεδέθησαν οἱ ἄξονες τῶν τροχῶν ἀλλήλοις.

19β Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ.

Ἐφάνησαν πᾶσιν αἱ λαμπρότητες τοῦ τοιούτου θαύματος.

19γ Ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.

Ἐταράχθησαν, ἐθορυβήθησαν καὶ ἐφοβήθησαν πάντες οἱ ἄνθρωποι, μαθόντες οἷα εἰργάσω διὰ τὸν λαόν σου.

19α Add. [M in Marg.]PS²CBV : Καὶ ἄλλως, ἡ φωνὴ τῆς θεολογίας ἐν τῷ ἀνθρώπῳ, τῷ, τροχοῦ δίκην, ὀλίγον ἐφαπτομένῳ τῆς γῆς, ἤτοι τῶν γεηρῶν, τῷ λοιπῷ δὲ παντὶ τούτων ὑπερηρμένῳ. : om. F.

20α Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου.

Ἐπιφώνημα τοῦτο τοῦ θαύματος· ὅτι ἐν τῇ θαλάσσῃ ὁδεύεις, ὅτε βούλῃ.

20β Καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς.

Τὸ αὐτὸ λέγει πάλιν, ἐπιτείνων τὸν ὕμνον.

20γ Καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.

Συνήχθη γὰρ καὶ ἡνώθη πάλιν ἡ θάλασσα, καὶ οὕτως ὡς μὴ φαίνεσθαι ἴχνος διαιρέσεως.

21 Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωυσῆ καὶ Ἀαρών.

Ὡς πρόβατα εἶπεν, ἐμφαίνων τὴν εἰς αὐτοὺς ἐπιμέλειαν καὶ φυλακὴν καὶ ἀπαγωγὴν ἐπὶ νομὴν εὐθαλῆ καὶ μάνδραν ἀσφαλῆ· ἐπεὶ καὶ Ποιμαίνων τὸν Ἰσραὴλ ὀνομάζεται. Ps 79.2

Ὁ μὲν οὖν ψαλμὸς ἤδη πεπεράτωται. Τινὲς δὲ, ὧν καὶ ὁ Θεολόγος Γρηγόριος, PG35.965B
τοῖς τοῦ Δαυὶδ πράγμασιν ἐφαρμόζουσι τὰ τοῦ ψαλμοῦ. Εἰκὸς γὰρ αὐτὸν, πολιορκίᾳ ποτὲ θλίψεων αἰχμαλωτισθέντα τὴν ψυχὴν, μετὰ τὴν ἀπαλλαγὴν, συνθεῖναι τὸν ψαλμὸν, ἐκδιηγούμενον ὅσα πέπονθεν, περιπλέξαντα καὶ προφητείαν περὶ Χριστοῦ, δι’ ἣν, οἶμαι, καὶ τὸ, εἰς τέλος ἐν τῇ ἐπιγραφῇ.
[2] Ἐκέκραξα, φησὶν, ὅτε συνειχόμην ταῖς θλίψεσι. Τὰ δ’ ἑξῆς, ἁρμόζουσιν
[6] εὐχερῶς ἄχρι τοῦ, Διελογισάμην ἡμέρας ἀρχαίας· εἶεν δ’ ἂν αἱ τῆς εὐημερίας
αὐτοῦ, ὅτε τὸν Θεὸν εἶχεν ὑπερασπιστήν. Καὶ τὰ ἐφεξῆς δὲ, πρόχειρα, μέχρι
[9] τοῦ, Συνετέλεσε ῥῆμα· τοῦτο δὲ, οὐκ ἐπαπορητικῶς, ἀλλ’ ἀποφαντικῶς νοήσεις,
ὅτι συνεπέρανεν ἤδη πᾶσαν ἀπόφασιν περὶ παντὸς ἀνθρώπου προεξενεχθεῖσαν αὐτῷ. Ῥῆμα γὰρ νῦν, τὴν ἀπόφασιν τοῦ Θεοῦ νοοῦμεν· καὶ λοιπὸν ὃ προώρισε, πείσομαι. Τὸ δὲ, ἀπὸ γενεᾶς εἰς γενεὰν, ἀντὶ τοῦ, κατὰ διαδοχὴν ἑκά | στης γενεᾶς, εἴτουν ἐφ’ ἑκάστης γενεᾶς.
[11] Τὸ δὲ, Αὕτη ἡ ἀλλοίωσις, περὶ τῆς εὐαγγελικῆς πολιτείας προφητεύει· προϊδὼν
γὰρ αὐτὴν προφητικοῖς ὀφθαλμοῖς παρηλλαγμένην τῆς νομικῆς, φησὶν, ὅτι αὕτη τοῦ Χριστοῦ ἐστιν ἔργον· οὗτος γὰρ δεξιὰ καὶ βραχίων τοῦ Πατρὸς κατὰ τὴν θεότητα προσαγορεύεται, ὡς ποιητὴς πάντων καὶ ὡς δύναμις. Ps 15.11γ
[14] Τὰ δ’ ἐντεῦθεν, σαφῆ, ἕως τοῦ, Ὁ Θεὸς, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· ἅγιον δὲ
ἐνταῦθα, τὸν Χριστὸν λέγομεν, τὸν ἁγνότατον, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν· 1Pt 2.22
ἐν τούτῳ, φησὶν, ἐνεργεῖται ἡ βουλή σου, ἡ περὶ τῆς ἐνανθρωπήσεως καὶ τῆς σωτηρίας τῶν ἀνθρώπων· ὁδὸς γὰρ νῦν, ἡ βουλή. Isa 4.2

21[8-9] προφητείαν... δι’ ἣν MCBF : προφητείας... δι’ ἃς PSV. [9][1] ἐπαπορητικῶς PSBV : ἐπαπορηματικῶς MCAF.

[15] Εἶτα ἀποθαυμάσας τὸ τοιοῦτον μυστήριον, ὑμνεῖ καὶ μεγαλύνει αὐτόν. Ἐγνώρισας δὲ ἐν τοῖς λαοῖς πάντων τῶν ἐθνῶν τὸν Υἱόν σου· Χριστὸς γὰρ, φησὶ,
[16] *Θεοῦ δύναμις*. Τοῦτον δὲ καλεῖ καὶ βραχίονα, δι' οὗ ἐλυτρώθημεν ὁ λαὸς αὐτοῦ 1Cor 1.24
ἀπὸ τῆς αἰχμαλωσίας τοῦ διαβόλου· καλούμεθα δὲ υἱοὶ Ἰακὼβ καὶ Ἰωσὴφ, ὡς ἀντὶ τοῦ παλαιοῦ λαοῦ υἱοθετηθέντες καὶ τὴν ἐκείνου κληρονομήσαντες καὶ οἰκείωσιν καὶ κλῆσιν. Εἴρηται δὲ περὶ τούτου καὶ ἐν τῷ τέλει τοῦ ιγ' ψαλμοῦ. Ps 13.7β
[17] Εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν, ὅτε τοῦ πλοίου βυθιζομένου, διϋπνισθεὶς, ἐπετίμησας τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ καὶ ἐφοβήθησαν καὶ ἡσύχασαν. Τότε δὲ ἐταράχθησαν καὶ αἱ ἄβυσσοι τῆς θαλάσσης τῷ φόβῳ τῆς Δεσποτικῆς ἐπιτιμήσεως· Mt 8.24-26
ἔτι δὲ, τὸ πλῆθος τοῦ ἤχους τῶν κυμάτων.
[18] Φωνὴν δὲ ἔδωκαν αἱ νεφέλαι ἐπὶ τῆς μεταμορφώσεως· *Καὶ ἰδοὺ*, φησὶ, *φωνὴ ἐκ τῆς νεφέλης λέγουσα, Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός*. Mt 17.5

Εἴποις δ' ἂν νεφέλας, καὶ τοὺς προφήτας, ὡς ἐν τῷ ιζ' ψαλμῷ προείρηται, ἔνθα καὶ περὶ τῶν βελῶν, πρὸς δὲ καὶ τῶν ἀστραπῶν, εὑρήσεις. Ps 17.12γ, 14-15
[19] Φωνὴ δὲ βροντῆς, ὁ λόγος τοῦ εὐαγγελικοῦ κηρύγματος, ὡς ἐξ οὐρανοῦ ἥκοντος, καὶ ὡς στεῤῥοῦ καὶ ἐξακούστου πᾶσιν ἀνθρώποις. Τροχὸς δὲ, ὁ κόσμος, διὰ τὸ ἄστατον αὐτοῦ. Ἐσαλεύθη δὲ καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, ὡς ἐν τῷ αὐτῷ ψαλμῷ πάλιν ἐξηγησάμεθα· ὅλος γὰρ οὗτος ὁ στίχος καὶ ἐν ἐκείνῳ κεῖται. Ps 17.8α
[20] Ἐν τῇ θαλάσσῃ δὲ ἡ ὁδός σου, ὅτε ἀπῆλθε πρὸς τοὺς μαθητὰς, πεζεύων Mt 14.25
ἐπάνω τῆς θαλάσσης· τὸ αὐτὸ δὲ πάλιν σημαίνεται καὶ διὰ τοῦ ἑξῆς στίχου· ὕδατα γὰρ πολλὰ, τὸ βάθος τῶν ὑδάτων· τὰ ἴχνη σου δὲ, τὰ ἐπὶ τῆς θαλάσσης οὐ γνωσθήσονται· οὐ συνίστανται γὰρ ἴχνη καθ' ὕδατος.

Τινὲς δὲ, θάλασσαν τὸν βίον καλοῦντες, διὰ τὴν ἅλμην τῶν θλίψεων καὶ τὸ ἀβέβαιον καὶ ἀνώμαλον, φασὶν, ὅτι ἐν τῷ βίῳ τούτῳ ἔσται ἡ πολιτεία σου κατὰ τὴν ἐνανθρώπησιν, ἀλλὰ τὰ ἴχνη σου, τουτέστιν, οἱ τρόποι τῆς ἐνανθρωπήσεώς σου, ἀκατάληπτοι.
[21] Λαὸς δὲ τοῦ Πατρὸς, ὁ νέος, εἴτουν ὁ Χριστιανικός. Χεὶρ δὲ, ἡ χειραγωγία καὶ ὁδήγησις τοῦ Χριστοῦ, ὅς ἐστι Μωυσῆς μὲν, ὡς νομοθέτης τοῦ εὐαγγελικοῦ νόμου, Ἀαρὼν δὲ, ὡς μέγας ἀρχιερεὺς, θύσας ἑαυτὸν ὑπὲρ τοῦ λαοῦ αὐτοῦ.

77 οζ'
1α Συνέσεως τῷ Ἀσάφ.

Ὅτι συνέσεως χρεία τοῖς ἐντυγχάνουσιν, ὥστε διαγνωσθῆναι τίς τε ὁ λέγων καὶ πρὸς τίνας καὶ τίς ὁ νόμος· λέγει μὲν γὰρ ὁ Δαυὶδ, προσώπῳ δὲ τοῦ Χριστοῦ, καὶ πρὸς τοὺς αὐτῷ πιστεύοντας.

1β Προσέχετε, λαός μου, τὸν νόμον μου.

Φησὶ Ζαχαρίας, *Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον, καὶ ἔσονται*

[16][2] ὡς PSF : καὶ MCB. [18][3] εἴποις δ' ἂν PS : εἴποις δὲ MBF : εἴπῃς δὲ V.

αὐτῷ εἰς λαόν. Νόμον δὲ λέγει νῦν, τὸν εὐαγγελικὸν, περὶ οὗ φησιν Ἡσαΐας, *Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν.* Zach 2.15 Isa 2.3-4

Ἀδιάφορον δὲ τὸ, *προσέχετε·* τινὰ δὲ τῶν ἀντιγράφων, *τῷ νόμῳ μου* γράφουσι.

1γ Κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα | τοῦ στόματός μου.

Τὸ, *κλίνατε,* ἢ ἁπλῶς ἀντὶ τοῦ, *ὑπόθετε,* ἢ ἀντὶ τοῦ, *μετακινήσατε ἀπὸ τῶν ἀνονήτων ἀκουσμάτων ἐπὶ τὰ εὐαγγελικὰ ῥήματα.*

2 Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ᾽ ἀρχῆς.

Τοῦτο, προφητεία ἐστὶ τῶν εὐαγγελικῶν παραβολῶν.

Φησὶν ὁ Ματθαῖος, *Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος, Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου.* Δῆλον οὖν ἐντεῦθεν ὅτι προσώπῳ τοῦ Σωτῆρος ὁ ψαλμὸς ἀναγέγραπται. Mt 13.34-35

Προβλήματα δὲ νῦν, τὰς αὐτὰς πάλιν παραβολὰς ὠνόμασε· ὁ γὰρ Ματθαῖος, ἀντὶ τοῦ εἰπεῖν, *προβλήματα, κεκρυμμένα* εἶπε, τῇ Ἑβραϊκῇ λέξει προσχὼν, ἥτις καὶ τοῦτο κἀκεῖνο δηλοῖ. Πᾶσαι γὰρ εὐαγγελικαὶ παραβολαὶ κεκρυμμένην εἶχον τὴν ἀλήθειαν· καὶ ὁ Ἀκύλας δὲ, *αἰνίγματα* ἐξέδωκεν. Ἀλλὰ καὶ τὸ, *ἀπ᾽ ἀρχῆς,* ὁ Ματθαῖος, *ἀπὸ καταβολῆς κόσμου* εἴρηκεν, ὁμοίως τῇ Ἑβραΐδι λέξει προσχών· ἔτι δὲ καὶ τὸ, *φθέγξομαι, ἐρεύξομαι.*

3α Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά.

Τὸ, *ὅσα,* οὐκ ἀναφορικῶς λαμβάνεται νῦν πρὸς τὰ προβλήματα, ἀλλὰ καθ᾽ ἑαυτὸ λέγεται θαυμαστικῶς, ἀντὶ τοῦ, *ὢ πόσα ἠκούσαμεν, παρά τε τῶν διδασκάλων, παρά τε τῶν θείων Γραφῶν!* Βούλεται γὰρ ἀπαριθμήσασθαι ὅσα μὲν εὐηργέτησεν ὁ Θεὸς τοὺς παλαιοὺς Ἑβραίους, ὅσα δὲ οὗτοι παρώργισαν αὐτὸν, καὶ ὅσα διὰ τοῦτο δεινὰ πεπόνθασιν.

Ἠκοσαμεν δὲ εἶπε, διὰ τὸ πρόσλημμα· καὶ αὐτὸς γὰρ ὡς ἄνθρωπος ἤκουε ταῦτα καθάπερ ἡμεῖς. Ἔγνωμεν δὲ αὐτὰ, ἀντὶ τοῦ, *ἐβεβαιώθημεν περὶ αὐτῶν·* οὐχ ἁπλῶς, φησὶν, ἠκούσαμεν, ἀλλὰ καὶ ἐπληροφορήθημεν.

3β Καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.

Εἰπὼν ὅτι ἠκούσαμεν, προσέθηκε καὶ παρὰ τίνων ἠκούσαμεν. Πατέρας γὰρ, οὐ τοὺς φύσει λέγει νῦν — οὐ γὰρ δυνάμεθα εἰπεῖν ὅτι τοὺς ἐξ ἐθνῶν πιστοὺς οἱ

1γ[3] ἀνονήτων MPC : ἀνοήτων SV. 2[10] εὐαγγελικαὶ MS : αἱ εὐαγγελικαὶ PCV. 3α[7] ἤκουε MSCBF : ἤκουσε PV.

φύσει γονεῖς αὐτῶν ἐδίδαξαν ταῦτα — ἀλλὰ περὶ τῶν θέσει πατέρων ὁ λόγος, εἶεν δ' ἂν ὁ Μωυσῆς τε καὶ οἱ λοιποὶ συγγραφεῖς, ἔτι δὲ καὶ οἱ τούτων ἐξηγηταὶ καὶ διδάσκαλοι τοῦ λαοῦ, καθὼς εἰρήκαμεν. Ἐκείνων μὲν γὰρ υἱοὶ, ὁ Χριστὸς διὰ τῆς μητρὸς καὶ οἱ ἀπόστολοι, τούτων δὲ, πᾶς ὁ Χριστιανικὸς λαός.

4α Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν.

Οἱ μὲν πατέρες διηγήσαντο αὐτὰ τοῖς προσεχῶς τέκνοις αὐτῶν· τὰ δὲ τέκνα οὐκ ἔκρυψαν πρὸς τὴν ἑτέραν μετ' αὐτοὺς γενεὰν ἅπερ ἔμαθον, ἀλλ' ὁμοίως καὶ αὐτοὶ διηγήσαντο αὐτὰ τοῖς τέκνοις αὐτῶν, καὶ οὕτω καθεξῆς· νόμος γὰρ ἦν λέγων, *Διδάξεις αὐτὰ τοὺς υἱούς σου καὶ τοὺς υἱοὺς τῶν υἱῶν σου.* Dt 4.9

4β Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου καὶ τὰς δυναστείας αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε.

Τὸ, *Καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν*, τῷ *ἀπαγγέλλοντες* συντάττεται, καθ' ὑπερβατόν.

Τὰ αὐτὰ δὲ καλεῖ, αἰνέσεις μὲν, ὡς αἰνετὰ, δυναστείας δὲ, ὡς τῆς θείας δυνάμεως δηλωτικὰ, θαυμάσια δὲ, ὡς θαυμαστά· ἢ δυναστείας μὲν, τὰς κατὰ τῶν ἐχθρῶν, θαυμάσια δὲ, τὰ ἐν τῷ ἰδίῳ λαῷ· περὶ ὧν ἐρεῖ κατὰ μέρος.

5α Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακώβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ.

Τοῦ, *Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακώβ*, ἐπεξήγησίς ἐστι τὸ, *Καὶ νόμον ἔθετο ἐν Ἰσραήλ*· τὸ μὲν γὰρ, ἀνέστησε, ταὐτὸν σημαίνει τῷ, ἔθετο. Καὶ μαρτύριον ὁ νόμος ὀνομάζεται, ὡς ἐν τῷ ιη' ψαλμῷ κατὰ λόγον | εἰρήκαμεν. Καὶ ὁ Ἰακὼβ δὲ, Ps 17.23
Ἰσραὴλ ἐκλήθη, ὅτε εἶδε τὴν ὀπτασίαν τῆς κλίμακος. Gen 28.12
Τίς δὲ ὁ νόμος, ἄκουσον. [Gen 32.29]

5β Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν.

Τὸ, τοῦ, παρέλκον ἐνταῦθα κεῖται. Ἐνομοθέτησε φησὶν, ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, γνωρίσαι καὶ ἀναγγεῖλαι αὐτὰ πάλιν ἐκείνους τοῖς υἱοῖς αὐτῶν. Dt 6.4,7

6α Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα.

Αἴτιον δὲ τοῦ ἀπαγγέλλειν αὐτὰ τοὺς πατέρας τοῖς υἱοῖς, ὅπως γνῷ ἡ μετ' αὐτοὺς ἑτέρα γενεὰ ἐκεῖνα πάντα. Εἶτα σαφηνίζει ποία ἐστὶν ἡ ἑτέρα γενεά.

6β Υἱοὶ τεχθησόμενοι.

Κατὰ διαδοχήν.

6γ Καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν.

Οἱ υἱοὶ τῶν υἱῶν, τοῖς αὐτῶν υἱοῖς. Ἀναστήσονται δὲ, ἀντὶ τοῦ, γεννηθήσονται.

7α Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν.

Μανθάνοντες ὅσα ὁ Θεὸς ἐπηγγείλατο τοῖς ἐλπίζουσιν ἐπ' αὐτόν.

7β Καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων αὐτοῦ.

Ἐμμελετῶντες ταῖς περὶ αὐτῶν διηγήσεσιν· ἔργα δὲ αὐτοῦ λέγει, ἃ καὶ δυναστείας ἀνωτέρω καὶ θαυμάσια ἐκάλεσε. Ps 77.4β

7γ Καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν.

Ἐκζητήσωσιν, ἀντὶ τοῦ, ἀκολουθήσωσιν. Ὁ γὰρ ἐκζητῶν τινα, κατ' ἴχνος αὐτῷ ἕπεται.

Εἴη δ' ἂν γενεὰ ἑτέρα, καὶ οἱ Χριστιανοί.

8α Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα.

Σκολιὰ μὲν, ὡς μὴ ὀρθὴν πίστιν πρὸς τὰς ἐπαγγελίας τοῦ Θεοῦ ἔχουσα, ἀλλ' ἐν καιρῷ περιστάσεως, ἀπιστοῦσα ταύταις· παραπικραίνουσα δὲ, ὡς γογγύζουσα ἡνίκα προσωμίλησε τινὶ δυσχερείᾳ, καὶ δυσανασχετοῦσα, καὶ ἀπαρεσκομένη τῇ ἐλευθερίᾳ, καὶ τὴν ἐν Αἰγύπτῳ δουλείαν αἱρετωτέραν λογιζομένη, ὡς ἐν πολλοῖς Ex 16.2-12
ἡ βίβλος τῆς Ἐξόδου καὶ ἡ τῶν Ἀριθμῶν διέξεισιν. Nu 14.2

8β Γενεὰ, ἥτις οὐ κατεύθυνε τὴν καρδίαν ἑαυτῆς.

Οὐκ ὤρθωσε τὴν καρδίαν, ὥστε ἁπλῶς καὶ βεβαίως πιστεύειν, ἀλλ' ἐσκολίαζε διστάζουσα.

8γ Καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.

Καὶ οὐ πιστὸν ἐγένετο πρὸς τὸν Θεὸν καὶ πρὸς τοὺς τοῦ Θεοῦ λόγους· πνεῦμα δὲ νῦν λέγει, τὴν ψυχήν.

9 Υἱοὶ Ἐφραὶμ ἐντείνοντες καὶ βάλλοντες τόξοις, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.

8α[4] προσωμίλησε MPSB : προσομιλήσει CFV. 8α[5] αἱρετωτέραν PABV : αἱρετώτερον C.

Ἡ φυλὴ τοῦ Ἐφραὶμ, υἱοῦ Ἰωσὴφ, τοξικωτέρα τῶν ἄλλων ἦν, καὶ ἐν πολέμοις χρησιμωτέρα, καὶ ἐντεῦθεν ἐπίσημος· οὐχ ἥκιστα δὲ ἦν ἔντιμος καὶ ὡς ἐν τοῖς ὁρίοις τῆς ἀποκληρωθείσης αὐτῇ γῆς ὑποδεξαμένη πρώτη τὴν κιβωτὸν καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου τὴν κατασκευασθεῖσαν ὑπὸ Μωυσέως· ἡ γὰρ Σηλὼμ, ἔνθα ἦν ἡ κιβωτὸς καὶ ἡ σκηνὴ, τῆς Ἐφαιμίτιδος φυλῆς ἦν μερίς. Αὕτη τοίνυν ἡ περιβόητος ἐν μάχαις ἡττήθη διὰ τὴν εἰδωλολατρείαν αὐτῆς. Gen 49.24 Jdc 8.1-3 Jos 18.1 Jos 16.5-9

Ἢ καὶ ἄλλως, ἀπὸ ταύτης τῆς φυλῆς, ὡς τηνικαῦτα πρωτευούσης, καὶ τὰς ἄλλας δηλοῖ, ὅσαι εἰδωλολατρήσασαι, παρεδόθησαν τοῖς ἐχθροῖς αὐτῶν, καθὼς ἡ τῶν Κριτῶν διέξεισι βίβλος. Φησὶν οὖν ὁ Δαυὶδ, ὅτι οἱ υἱοὶ τοῦ Ἐφραὶμ, οἱ ἐντείνοντες τόξα καὶ βάλλοντες ἐκ τόξων, ἐστράφησαν, εἴτουν δεδώκασι νῶτα φεύγοντες. Jdc 1.29-2.3

Τινὲς δὲ προφητείαν τοῦτό φασι περὶ τῆς ὑστέρας εἰδωλολατρείας τῆς φυλῆς τοῦ Ἐφραίμ. Τῶν γὰρ δέκα φυλῶν ἀποῤῥαγεισῶν τῆς βασιλείας Ῥοβοὰμ, ἡ Ἐφραιμῖτις ἐν ταύταις πρωτεύουσα, συνέπεισε τὸν λαὸν στῆσαι τὰς δαμάλεις καὶ ἀποστῆναι ἀπὸ τοῦ Θεοῦ, διὸ καὶ παρεδόθησαν ὁμοίως τοῖς πολεμίοις, ὡς εὑρήσεις ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν. Καὶ ἄλλοι δὲ προφῆται καταβοῶσιν αὐτῆς, ὡς αἰτίας τῷ λαῷ τῆς εἰδωλολατρείας. 3Rg 12-14 Isa 7.17

10 Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθησαν πορεύεσθαι.

Ἐνταῦθα κατὰ πάντων ὁ λόγος, διδάσκων τὸ τῆς ἥττης αἴτιον.

Δια | θήκην δὲ λέγει, τὰς συνθήκας, ἃς διαφόρως ἐποιήσατο μετὰ τῶν Ἑβραίων ὁ Θεὸς, ἄγων αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας· νόμον δὲ, τὰς ἐντολάς.

11 Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς.

Εὐεργεσίαι μὲν, αἱ πρὸς τὸν λαὸν Ἰσραὴλ, οἷον, τὸ διαγαγεῖν αὐτοὺς ἀβρόχως διὰ τῆς θαλάσσης, καὶ τὰ ἑξῆς, ἃ καταλέγει.

Θαυμάσια δὲ, τὰ κατὰ τῶν Αἰγυπτίων τερατουργήματα, ἃ καὶ σημεῖα καὶ τέρατα προϊὼν ἐκάλεσεν, οἷον, τὸ μεταστρέψαι εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ἑξῆς, ἃ καὶ αὐτὰ διέξεισιν· ἔδειξε δὲ αὐτοῖς ταῦτα, διὰ τῆς πρὸς αὐτοὺς διδασκαλίας τῶν πατέρων αὐτῶν. Ps 77.43

12α Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια.

Ἅτινα θαυμάσια ἐποίησεν ἐνώπιον τῶν πατέρων αὐτῶν. Εἶτα τίθησι καὶ τὸν τόπον, ἐν ᾧ ταῦτα ἐτερατούργησεν.

12β Ἐν γῇ Αἰγύπτου, ἐν πεδίῳ Τάνεως.

[9][8] καθώς PV : ὡς MC.

Ἡ Τάνις, πόλις ἦν Αἰγυπτιακὴ, ἐν ᾗ τοῦ Φαραὼ τὰ βασίλεια, περὶ ἧς φησιν Ἡσαΐας, *Ἐξέλιπον οἱ ἄρχοντες Τάνεως*. Ὁ μὲν οὖν Μωυσῆς ἐν τῇ Ἐξόδῳ οὐκ ἐμνημόνευσε τοῦ ὀνόματος τῆς Τάνεως. Isa 19.13

Τὸν δὲ Δαυὶδ εἰκὸς εἰδέναι τοῦτο ἀπὸ τῆς βίβλου ἐν ᾗ γέγραπται οὕτως, *Ἡ δὲ Χεβρὼν ᾠκοδομήθη πρὸ τοῦ Τάνιν ἐν Αἰγύπτῳ οἰκοδομηθῆναι*, ἢ καὶ ἐξ ἑτέρων ἀποκρύφων, ἢ καὶ ἴσως Αἰγυπτιακῶν. Nu 13.22

13α Διέῤῥηξε θάλασσαν καὶ διήγαγεν αὐτούς.

Τὴν Ἐρυθρὰν, ὡς ἡ βίβλος τῆς Ἐξόδου παρίστησιν.

Ἐπιτομώτερον δὲ διηγεῖται, καὶ οὔτε πάντα, οὔτε ἐν τάξει, ἀλλ' ἀπαρατηρήτως ὅσα καὶ ὅπως ἐπὶ νοῦν ἦλθεν αὐτῷ· οὐ γὰρ ἱστορεῖν αὐτῷ προὔκειτο, ἀλλὰ στηλιτεῦσαι τὴν ἀχαριστίαν τῶν Ἰουδαίων. Πρῶτον δὲ τέθεικε τὸ παραδοξότερον τῶν ἄλλων.

13β Παρέστησεν ὕδατα ὡσεὶ ἀσκόν.

Καὶ τὸ ὕδωρ, φησὶν, *αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων*. Παρέστησεν οὖν, εἴτουν ἀνέστησεν ἔνθεν κἀκεῖθεν τὰ τμήματα· τὸ δὲ, ὡσεὶ ἀσκὸν, δίκην ἀσκοῦ ἐξωγκωμένα. Ex 14.22

14 Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.

Φησὶ Μωυσῆς, *Ὁ δὲ Θεὸς ἡγεῖτο αὐτῶν, ἡμέρας μὲν ἐν στύλῳ νεφέλης δεῖξαι αὐτοῖς τὴν ὁδὸν, τὴν δὲ νύκτα ἐν στύλῳ πυρός*. Ὁ αὐτὸς οὖν στῦλος ἐν ἡμέρᾳ μὲν ὡδήγει καὶ ἔσκεπεν ἀπὸ τοῦ καύσωνος τῶν ἡλιακῶν ἀκτίνων, ἐν τῇ νυκτὶ δὲ ὡδήγει καὶ ἐθέρμαινεν· ὑγρὰ γὰρ οὖσα ἡ νὺξ, ἔψυχε. Ex 13.21

15 Διέῤῥηξε πέτραν ἐν ἐρήμῳ καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ.

Ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Χωρὴβ, ὡς ἡ αὐτὴ βίβλος τῆς Ἐξόδου διδάσκει· διὰ τῆς ἀβύσσου δὲ, τὸ πλῆθος τῶν ὑδάτων ἐνέφηνε. Ex 17.6

16 Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.

Τοῦτο, ἕτερον θαῦμα γεγονὸς ἐν τῇ ἐρήμῳ Κάδης, ὡς ἡ τῶν Ἀριθμῶν βίβλος ἱστορεῖ. Δὶς γὰρ ἐκ πέτρας ὕδωρ ἀνέδωκε κατὰ διαφόρους χρόνους καὶ τόπους. Nu 20.1, 8-13

Ὅθεν ἐν Χωρὴβ μὲν ὁ τόπος τοῦ ἀναδοθέντος ὕδατος ἐκλήθη Πειρασμὸς καὶ Λοιδόρησις· ἐπείραζον γὰρ τὸν Θεὸν, δοκιμάζοντες ἐπὶ τὴν δύναμιν αὐτοῦ, καὶ οὐ πιστεύοντες οἷς εἶδον πολλάκις θαύμασι, καὶ ἐλοιδοροῦντο τῷ Μωυσῇ ὡς ἐξαγαγόντι αὐτοὺς ἐξ Αἰγύπτου εἰς τὰς ἐρήμους. Ex 17.7

Ἐν δὲ Κάδης ὠνομάσθη Ὕδωρ ἀντιλογίας, ὅτι ἀντέλεγον τῷ Θεῷ ἐν τῷ γογγύζειν. Ὁ μὲν γὰρ ἐκέλευε πείθεσθαι μόνον τοῖς αὐτοῦ προστάγμασι καὶ θαῤῥεῖν αὐτῷ, οἱ δὲ ἀπρόθυμοί τε ἦσαν εἰς τὸ πειθαρχεῖν καὶ οὐδὲ εἶχον θαῤῥεῖν. Nu 20.13

Τὴν μέντοι ῥῆξιν τῆς θαλάσσης καὶ τῶν πετρῶν ὁ Θεὸς διὰ Μωυσέως ἐπετέλει.

17α Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ. |

Περιττεύει τὸ, τοῦ. Ὡς ἐγνωσμένων δὲ ἤδη τῶν προλαβουσῶν ἁμαρτιῶν αὐτῶν ἀπὸ τῆς Μωσαϊκῆς συγγραφῆς, ἀπαρατηρήτως εἶπε τὸ, ἔτι.

Ὁποῖα δὲ ἔτι ἥμαρτον, ἄκουσον.

17β Παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ.

Τόπῳ ἢ γῇ. Πῶς δὲ παρεπίκραναν εἴρηται μικρὸν ἀνωτέρω ἐν τῷ, *Γενεὰ σκολιὰ καὶ παραπικραίνουσα*. Ps 77.8α

18 Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.

Περὶ τούτων καὶ τῶν ἑξῆς ἄχρι τοῦ, *Καὶ πῦρ ἀνήφθη*, Μωυσῆς μὲν οὐχ ἱστόρησε, Δαυὶδ δὲ ἀνέγραψεν, ὡς καὶ περὶ ἄλλων πολλῶν τοιούτων, εἴτε ἐξ ἀποκρύφων βίβλων ἀναλεξάμενος, ὡς προειρήκαμεν, εἴτε διαδεξάμενος ἐξ ἀγράφου παραδόσεως τῶν παλαιοτέρων, εἴτε καὶ ὑπὸ τοῦ θείου Πνεύματος ταῦτα διδαχθείς. Ps 77.21

Λέγει δὲ ὅτι ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς διανοίαις αὐτῶν, εἰ δύναται δοῦναι ἃ ζητοῦσιν· ἐξεπείρασαν αὐτὸν ἐν τῷ αἰτῆσαι βρῶμα ταῖς ψυχαῖς αὐτῶν, εἴτουν ἑαυτοῖς, κατὰ περίφρασιν.

19α Καὶ κατελάλησαν τοῦ Θεοῦ.

Κατελάλησαν, ἀντὶ τοῦ, κατεγόγγυσαν, ὡς ἀποκτενοῦντος αὐτοὺς ἐν λιμῷ τῶν πρὸς ἡδονήν.

19β Καὶ εἶπον, Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;

Τὸ, *μὴ*, ἐπαπορητικόν ἐστιν, ἀντὶ τοῦ, *ἆρα*.

20 Ἐπεὶ ἐπάταξε πέτραν καὶ ἐῤῥύησαν ὕδατα καὶ χείμαῤῥοι κατεκλύσθησαν, μὴ καὶ ἄρτον δύναται δοῦναι ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;

16[4] ἐπετέλει MPCBF : ἐπετέλεσε SV. 19β[2] ἐπαπορητικόν PC : ἐπαπορηματικόν MSV.

Ἐπεὶ τόδε πεποίηκε, μὴ δύναται ποιῆσαι καὶ τόδε; Ὦ τῆς ἀνοίας! Εἰ ἐκεῖνο ἐποίησε, πῶς ἀδυνατήσει ποιῆσαι καὶ τόδε;

Κατεκλύσθησαν δὲ, ἀντὶ τοῦ, σφοδρῶς ἐῤῥύησαν· *Κατήγαγε γὰρ, φησὶν, ὡς* Ps 77.16
ποταμοὺς ὕδατα. Τράπεζαν δὲ, τὴν κρεῶν λέγει.

Σὺ δὲ ἐπίσκεψαι πῶς πρὸ τοῦ ἄρτου καὶ τῶν κρεῶν ῥυῆναι τὰ ὕδατα τῆς παταγείσης πέτρας φησὶν ὁ Δαυὶδ, καίτοι τοῦ Μωυσέως ἐν τῇ Ἐξόδῳ τοὐναντίον ἱστορήσαντος· εὑρήσεις γὰρ ἐκεῖ ὅτι πρῶτον ἔβρεξεν αὐτοῖς ὁ Θεὸς τὸν ἄρτον τοῦ Ex 16.4-34
μάννα καὶ τὸ κρέας τῆς ὀρτυγομήτρας, εἶτα ἀνέδωκεν ἡ πέτρα τὸ ὕδωρ. Ex 17.6

Οὐκ ἔστιν οὖν ἑτέραν λύσιν τῆς ἀπορίας εἰπεῖν ἢ ὅτι οὐ περὶ ἐκείνου τοῦ ἄρτου καὶ κρέατος νῦν φησιν, ἀλλὰ περὶ τοῦ μετέπειτα, τοῦ ἀναγεγραμμένου ἐν τοῖς Ἀριθμοῖς· δὶς γὰρ αὐτοῖς καὶ τὴν ὀρτυγομήτραν ἔβρεξεν, ὥστε πέτραν Nu 11.31
ἐνταῦθα, τὴν ἐν Χωρὴβ παταχθεῖσαν λέγει, καὶ οὐ τὴν ἐν Κάδης· αὕτη γὰρ οὔπω
ἐπατάχθη. Nu 20.13

Εἰ δέ τις εἴπῃ, ὅτι καὶ μὴν κρέας ἐν τοῖς Ἀριθμοῖς ἐζήτουν καὶ οὐκ ἄρτον, ἀκουσάτω ὅτι ἄρτον μὲν τὴν βρῶσιν τοῦ κρέατος καλεῖ. Καὶ γὰρ οὕτως εἶπον, *Τίς ἡμᾶς ψωμιεῖ κρέας*; ὁ δὲ Δαυὶδ εἰρηκὼς, *Μὴ καὶ ἄρτον δύναται δοῦναι*; ἐσαφήνισε Nu 11.4
τὸ ῥητὸν διὰ τῶν ἑξῆς· ἐπήγαγε γὰρ, *Ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ*, ἵν᾽ ᾖ ὁ ἢ σύνδεσμος, οὐ διαζευκτικὸς, ἀλλὰ σαφηνιστικός.

21 *Διὰ τοῦτο ἤκουσε Κύριος καὶ ἀνεβάλετο, καὶ πῦρ ἀνήφθη ἐν Ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ.*

Εἰ καὶ ἐν ταῖς καρδίαις αὐτῶν ἐξεπείρασαν τὸν Θεὸν, ὅμως ὥσπερ φωνῇ Ps 77.18
χρησαμένων, ἤκουσεν *ὁ καρδιογνώστης Θεός*. Ac 15.8

Τὸ δὲ, *ἀνεβάλετο*, ἐχολώθη ἐξέδωκεν ὁ Σύμμαχος· εἰώθασι γὰρ οἱ χολούμενοι, ἀναβάλλεσθαι τὴν στολὴν, εἴτουν ἀνασύρειν, εὐτρεπιζόμενοι πρὸς ἄμυναν.

Καὶ ὁ Μωυσῆς δέ φησι, *Καὶ ἐθυμώθη ὀργῇ Κύριος, καὶ ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου, καὶ κατέφαγε μέρος τι τῆς παρεμβολῆς*. Nu 11.1

Ἰακὼβ δὲ καὶ Ἰσραὴλ, τὸν λαὸν καλεῖ, ὡς ἐξ ἐκείνου καταγόμενον.

22α *Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ.*

Ὅτι οὐκ ἐπίστευσαν τῇ δυνάμει τοῦ Θεοῦ, καίτοι τοσαῦτα | τεράστια ἰδόντες. Περιττὴ δὲ, ἡ ἐν πρόθεσις.

22β *Οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ.*

Οὐδ᾽ ἐθάῤῥησαν ὅτι σώσει αὐτοὺς, ὁ τοσαῦτα δι᾽ αὐτοὺς ποιήσας.

23- *Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἠνέῳξε, καὶ ἔβρεξεν*
24α *αὐτοῖς μάννα φαγεῖν.*

[20][9] ἑτέραν λύσιν τῆς ἀπορίας εἰπεῖν ἢ MSCV : ἑτέρα λύσις τῆς ἀπορίας ἢ τοῦτο εἰπεῖν P. [20][11] ἔβρεξεν MSCBF : ἔβρεξε καὶ τὸν ἄρτον PVL.

Ἐπὶ τὰ πρῶτα πάλιν ἀνέστρεψε τὸν λόγον, τὰ ἐν τῇ Ἐξόδῳ ἀναγεγραμμένα. Ex 16.4
Νεφέλας δὲ ὑπεράνωθεν, τὰς ἐν ὕψει λέγει (εἰσὶ γὰρ καὶ πρόσγειοι). Τὰς αὐτὰς δὲ καλεῖ, καὶ θύρας οὐρανοῦ, ὡς προβεβλημένας αὐτοῦ. Ἐνετείλατο δὲ, ὗσαι δηλονότι τὸ *μάννα*.

Τὸ δὲ μάννα ἦν ὡσεὶ σπέρμα κορίου, καὶ τὸ εἶδος αὐτοῦ ὡς εἶδος κρυστάλλου· καὶ διεπορεύετο, φησὶν, *ὁ λαὸς, καὶ συνέλεγον, καὶ ἤληθον ἐν τῷ μύλωνι, καὶ ἔτριβον ἐν τῇ θυΐᾳ, καὶ ἥψουν αὐτὸ ἐν τῇ χύτρᾳ, καὶ ἐποίουν αὐτὸ ἐγκρυφίας, καὶ ἦν ἡδονὴ αὐτοῦ ὡσεὶ γεῦμα ἐγκρὶς ἐξ ἐλαίου*. Ταῦτα μὲν ἐν τοῖς Ἀριθμοῖς· ἐν Nu 11.7-8
δὲ τῇ Ἐξόδῳ, *Τὸ δὲ γεῦμα αὐτοῦ, ὡς ἐγκρὶς ἐν μέλιτι*. Ex 16.31

24β Καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.

Οὐρανὸν ἐνταῦθα, τὸν ἀέρα καλεῖ, ὡς τὸ, *τὰ πετεινὰ τοῦ οὐρανοῦ*, ἢ καὶ διὰ Ps 8.8
τὸ δοκεῖν ἀπ' οὐρανοῦ κατάγεσθαι.

25α Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος.

Οὐχ ὅτι ἀγγέλων ἦν τὸ μάννα τροφὴ, ἀλλ' ὅτι ἄγγελοι διηκόνουν τῇ καθόδῳ αὐτοῦ.

Μέμφεται δὲ καὶ ὁ Χριστὸς τοῖς νομίζουσιν οὐράνιον κυρίως εἶναι τὸν τοιοῦτον ἄρτον· εἴρηκε γὰρ, *Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, οὐ Μωυσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐξ οὐρανοῦ, ἀλλ' ὁ Πατὴρ δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινὸν*, Jn 6.32
εἴτουν τὸν ἀληθῶς ἐκ τοῦ οὐρανοῦ. Ὅτι δὲ οὐ τροφὴ ἀγγέλων ἦν ἐκεῖνος ὁ ἄρτος, πάλιν φησὶν, *Οἱ πατέρες ὑμῶν ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα, καὶ ἀπέθανον. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ*. Ἐπεὶ γὰρ, φησὶ, φαγόντες ἐκεῖνον τὸν ἄρτον ἀπέθανον, οὐκ ἦν Jn 6.49-50
κυρίως οὐράνιος, οὐδὲ ἀγγέλων τροφή. Εἶτα λέγει πάλιν, *Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς*, καὶ τὰ ἑξῆς. Jn 6.35,48

25β Ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.

Ἐπισιτισμὸν, τὸν ἐκ τοῦ μάννα, ἤτοι ἄρτον.

26-
30α Ἀπῆρε νότον ἐξ οὐρανοῦ καὶ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ λίβα, καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χνοῦν σάρκας, καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά· καὶ ἐπέπεσον εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν· καὶ ἔφαγον καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς· οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν.

Ὁ μὲν Μωυσῆς ἐν Ἀριθμοῖς φησι, *Καὶ πνεῦμα παρὰ Κυρίου, καὶ ἐξεπέρασεν ὀρτυγομήτραν ἀπὸ τῆς θαλάσσης, καὶ ἐπέβαλεν ἐπὶ τὴν παρεμβολὴν, καὶ τὰ* Nu 11.31

[23][1] *ἀναγεγραμμένα* MSCV : *ἀναγραφόμενα* PB. [23][6] *μύλωνι* MPSF : *μύλῳ* CV[Ra].

ἑξῆς. Δαυὶδ δὲ διεῖλε τὸ πνεῦμα εἰς νότον καὶ λίβα· οὗτοι γὰρ τοὺς θερμοὺς καταπνέουσι τόπους ἐν οἷς διαιτᾶται τὸ γένος τῆς ὀρτυγομήτρας. Τὸ μέντοι, ἀπῆρεν, ἀντὶ τοῦ, ἐκίνησεν.

Ἔβρεξε δὲ εἶπε, διὰ τὸ δίκην βροχῆς ἄνωθεν πυκνῶς καὶ συνεχῶς καταφέρεσθαι. Ὡσεὶ χνοῦν δὲ καὶ ὡσεὶ ἄμμον, διὰ τὴν δαψίλειαν καὶ τὸ ἀλλεπάλληλον· ἑξακοσίας γὰρ χιλιάδας καὶ πεντακοσίους καὶ πεντήκοντα ἔθρεψεν εἰς κόρον ἐπὶ πολύ· φησὶ γὰρ, *Ἕως μηνὸς ἡμερῶν φάγεσθε, ἕως ἂν ἐξέλθῃ ἐκ τῶν μυκτήρων ὑμῶν*. Τοσοῦτοι δὲ ἦσαν οἱ πολεμισταὶ ἀπὸ εἰκοσαετοῦς καὶ ἀνωτέρω, χωρὶς τῆς Nu 11.20
κατωτέρω ἡλικίας, καὶ τῶν γυναικῶν, καὶ ὅλης τῆς φυλῆς τοῦ Λευί. Nu 1.45-49

Ἐν μέσῳ δὲ τῆς παρεμβολῆς καὶ κύκλῳ τῶν σκηνωμάτων, ἵνα μὴ κάμνοιεν συλλέγοντες· καὶ | παρεμβολὴ μὲν, ὅλον τὸ στρατόπεδον, σκηνώματα δὲ, αἱ καταγωγαὶ ἰδίως ἑκάστου.

Ἐπιθυμίαν δὲ νῦν λέγει, τὸ ἀποτέλεσμα τῆς ἐπιθυμίας, τουτέστι, τὸ ἐπιθυμητὸν, ὡς καὶ ὁ ἀπόστολος Παῦλός φησιν, *Ἡ δὲ ἐλπὶς, οὐ καταισχύνει*, τὸ Rom 5.5
ἀποτέλεσμα λέγων τῆς ἐλπίδος, ὅ ἐστι τὸ ἐλπιστόν.

30β-31 *Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτοὺς, καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν.*

Ἰδόντες τὴν ὀρτυγομήτραν, οὐκ ἐπίστευσαν τῇ ἐπαγγελίᾳ τοῦ Θεοῦ, ὑποσχομένου μέχρι μηνὸς διαθρέψαι αὐτοὺς ἐν αὐτῇ εἰς πλησμονήν· ἀλλὰ φοβηθέντες μήποτε ἀποπτῇ ἢ ἀναλωθῇ πᾶσα, *Ἔψυξαν*, φησὶν, *ἑαυτοῖς ψυγμοὺς κύκλῳ τῆς παρεμβολῆς, καὶ τὰ κρέα ἔτι ἦν ἐν τοῖς ὀδοῦσιν αὐτῶν πρὶν ἢ ἐκλιπεῖν· καὶ Κύριος ἐθυμώθη εἰς τὸν λαὸν, καὶ ἐπάταξε Κύριος τὸν λαὸν πληγὴν μεγάλην σφόδρα.* Nu 11.32-33

Ὅρα πῶς πρὶν ἢ δαπανηθῆναι τὰ ἐν τοῖς ὀδοῦσιν αὐτῶν κρέατα, ἠπίστησαν, ἐπιλαθόμενοι τῆς τοῦ Θεοῦ δυνάμεως. Διὸ καὶ τῆς μὲν ἐπιθυμίας αὐτῶν ἐνεπλήσθησαν εἰς ἔνδειξιν τῆς τοῦ Θεοῦ δυνάμεως καὶ προνοίας τῆς περὶ αὐτοὺς, ἀπέβη δὲ αὐτοῖς εἰς νόσον χολέρας, ὡς εἴρηκε Μωυσῆς, διὰ τὴν ἀπιστίαν καὶ Nu 11.20
ἀπληστίαν αὐτῶν, ὑφ' ἧς πολλοὶ διεφθάρησαν.

Τὸ δὲ, *ἐν τοῖς πλείοσιν*, ὁ μὲν Σύμμαχος, *ἐν τοῖς πίοσιν* ἐξέδωκεν, ὁ δὲ Ἀκύλας, ἐν τοῖς λιπαροῖς, οὕτως ὀνομάσαντες τοὺς πλουσιωτέρους τοῦ λαοῦ καὶ ἰσχυροτέρους· εἰκὸς γὰρ αὐτοὺς διὰ τοῦτο, πλεῖον τῶν ἄλλων συλλέγοντας, ἀπληστότερον ἐμφορεῖσθαι. Ὑπήχθησαν δὲ πρὸς τὸν τοιοῦτον λόγον, ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ, *Καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν*.

Ἡ δὲ τῶν Ἑβδομήκοντα ἐξήγησις τὸ, *ἐν τοῖς πλείοσιν*, εἶπεν, ὡς ἀξιολογώτερον· ἔστιν γὰρ, οὐ συγκριτικὸν, ἀλλ' ἀπόλυτον, καὶ δηλοῖ τὸ, ἐν πολλοῖς, εἴτουν πολλοὺς, ὅπερ συνᾴδει μᾶλλον τῷ Μωσαϊκῷ λόγῳ. *Ἐπάταξε γὰρ*, φησὶ, *Κύριος τὸν λαὸν πληγὴν μεγάλην σφόδρα*· μεγάλη δὲ πληγή ἐστιν, ὁ πολλῶν θάνατος. Ἐκλεκτοὺς δὲ αὐτοὺς ἐκάλεσεν, ὡς πολεμιστάς· οἱ γὰρ ἀπαριθμηθέντες ἀνωτέρω πάντες, πολεμισταὶ ἦσαν, ἐπιλεγέντες εἰς τὸ παρατάττεσθαι.

[30α][12] ἰδίως MPSBF : ἑνὸς ἑνὸς C.

32α Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι.

Ἐν πᾶσιν οἷς τε εὐηργετοῦντο καὶ οἷς ἐκολάζοντο, ἥμαρτον ἔτι ἄλλα τε πολλὰ,
καὶ ὅτι ἐδειλίασαν τοὺς ἐνοικοῦντας τῇ γῇ τῆς ἐπαγγελίας, μὴ θαῤῥήσαντες τῷ Nu 13.31
ἐπαγγειλαμένῳ Θεῷ.

32β Καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ.

Ἀπὸ ταὐτομάτου ταῦτα συμπίπτειν ὑπολαμβάνοντες.

Πανταχοῦ δὲ τὴν ἀπιστίαν αὐτῶν ὁ Δαυὶδ στηλιτεύει, ἀφ' ἧς ἐκινδύνευον,
περὶ ἧς καὶ ὁ Θεὸς εἴρηκεν, *Ἕως πότε παροξύνει με ὁ λαὸς οὗτος; Καὶ ἕως τίνος*
οὐ πιστεύουσί μοι ἐν πᾶσι τοῖς σημείοις οἷς ἐποίησα ἐν αὐτοῖς; Καὶ ὁ Χριστὸς δὲ Nu 14.11
ὕστερον, *γενεὰν ἄπιστον*, τοὺς Ἰουδαίους ὠνόμασε. Mt 17.17

33α Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν.

Ἐν ἀπραξίᾳ καλοῦ, ἐν ἐπιθυμίαις σαρκικαῖς. Μόνα γὰρ ταῦτα διώκοντες,
ἐν τῇ ἐρήμῳ πάντες ἀπώλοντο. Εἶπε γὰρ ὁ Θεὸς, *Ἦ μὴν, οὐκ ὄψονται τὴν*
γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, ἀλλ' ἢ τὰ τέκνα αὐτῶν, ἅ ἐστιν μετ' ἐμοῦ
ὧδε, ὅσοι οὐκ οἴδασιν ἀγαθὸν ἢ κακόν. Καὶ πάλιν φησὶν, *Ἐν τῇ ἐρήμῳ ταύτῃ* Nu 14.23-24
πεσεῖται τὰ κῶλα ὑμῶν, καὶ αὖθις, *Ἐγὼ Κύριος ἐλάλησα· ἦ μὴν, οὕτως ποιήσω* Nu 14.29
τῇ συναγωγῇ ταύτῃ τῇ πονηρᾷ, τῇ ἐπισυνισταμένῃ ἐπ' ἐμέ· ἐν τῇ ἐρήμῳ ταύτῃ
ἐξαναλωθήσεται, καὶ ἐκεῖ ἀποθανοῦνται. Nu 14.35

33β Καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.

Τῆς εἰς τὰ μάταια.

Ἢ καὶ ἄλλως, μετὰ σπουδῆς ἐξέλιπον. Τοῖς μὲν γὰρ ἐν ἀμελείᾳ βιοῦσι, ταχυδρομεῖν δοκεῖ πᾶς ἐνιαυτὸς, διὰ τὸ λεῖον τῆς ἡδονῆς· τοῖς ἐργαζομένοις δὲ τὴν ἀρετὴν, βραδυπορεῖν μᾶλλον, διὰ τὴν τοῦ πόνου παράτασιν.

Ἢ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς ἐξέλιπον, ὡς ταχέως ἀποθανόντων. |

34α Ὅταν ἀπέκτενεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτόν.

Εὐεργετούμενοι μὲν, οὐκ ᾐσθάνοντο, κολαζόμενοι δὲ, ἐσωφρόνουν.

34β-35 Καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεὸν, καὶ ἐμνήσθησαν ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστι, καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι.

Φησὶ καὶ περὶ τούτου Μωυσῆς, ὅτι ὤρθριζον κλαίοντες. Nu 14.40

34α[1] ἀπέκτενεν MPF : ἀπέκτεινεν CBV : ἀπέκτεννεν [TRa].

36α Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν.

Οὐκ ἀπὸ διαθέσεως καρδίας, ἀλλὰ λόγοις μόνον εὐφήμοις.

Ὅμοια δὲ καὶ Ἡσαΐας ἐγκαλεῖ τοῖς Ἰουδαίοις, λέγων, Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. Isa 29.13

36β Καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.

Λόγῳ μὲν, πιστεύειν αὐτῷ καὶ πείθεσθαι ἐπαγγελλόμενοι, ἔργῳ δὲ, ἀπιστοῦντες καὶ ἀπειθοῦντες αὐτῷ· ἀντεφθέγγοντο γὰρ τοῖς λόγοις οἱ λογισμοί. Φησὶ δὲ καὶ ὁ ἀπόστολος Παῦλος, Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. Tit 1.16

37α Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ.

Οὐκ ὀρθὴ πρὸς αὐτόν. Ὅμοιον δὲ τοῦτο, τῷ, Γενεὰ, ἥτις οὐ κατεύθυνε τὴν καρδίαν ἑαυτῆς. Ps 77.8β

37β Οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ.

Καὶ τοῦτο παραπλήσιον τῷ, Οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς. Ps 77.8γ
Οὐ γὰρ ἐπίστευσαν οἷς ἐπηγγείλατο αὐτοῖς.

38α Αὐτὸς δέ ἐστιν οἰκτίρμων καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ.

Τὸ, ἱλάσεται, ἀντὶ τοῦ, ἱλάσατο, ἀντιχρονικῶς. Ὁμοίως καὶ τὸ, οὐ διαφθερεῖ· οὐ διέφθειρε γὰρ αὐτοὺς εὐθὺς, ἀλλ' ἐμακροθύμει. Εἴρηκε γὰρ πρὸς Μωυσῆν, Ἵλεως αὐτοῖς εἰμι, κατὰ τὸ ῥῆμά σου. Ἢ οὐ τέλεον ἔφθειρεν αὐτούς. Nu 14.20

38β Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.

Ἔτι καὶ τὸ, πληθυνεῖ, καὶ τὸ, οὐχὶ ἐκκαύσει, κατ' ἀντιχρονίαν κεῖνται.

Καὶ ἐπλήθυνε, φησὶ, τὸ οἰκτείρειν, εἴτουν λίαν αὐτοὺς ᾤκτειρεν, ὥστε ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ. Οὕτως οὖν κατ' ἔλλειψιν καὶ ἐν τῷ ξδ' ψαλμῷ τὸ, Ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν. Ps 64.10β

Καὶ οὐκ ἐξέκαυσε πᾶσαν τὴν ὀργὴν αὐτοῦ· ἢ γὰρ ἂν, αὐτίκα τούτους πανωλεθρίᾳ διέφθειρεν, ἀλλ' ἐκ μέρους ὀργιζόμενος, ἐφιλανθρωπεύετο — εἶπε γὰρ πρὸς Μωυσῆν, Ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ εἰς αὐτοὺς ἐκτρίψω αὐτούς· ἢ Ex 32.10
ἐκ μέρους ὀργιζόμενος, ἐκ μέρους ἐκόλαζε.

39 Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.

36α[4] τιμᾷ CV : ἀγαπᾷ MPSBF.

Ἔτι καὶ διὰ τοῦτο ἐμακροθύμησε, διότι σὰρξ ἦσαν, ἀσθενὴς καὶ ὀλιγοχρόνιος, καὶ πνεῦμα οὐ παραμένον τῷ βίῳ, ἀλλ' ἐντεῦθεν πορευόμενον, καὶ οὐκ ἔτι πρὸς αὐτὸν ἐπιστρέφον.

Τὸ δὲ, *ἐμνήσθη*, πολλαχοῦ τῆς Ἑβραΐδος γραφῆς εὑρήσεις ἐπὶ τοῦ Θεοῦ λεγόμενον μεταφορικῶς· ὥσπερ γὰρ τὴν τῆς συνήθους προστασίας ἀναβολὴν, λήθην ὀνομάζει, οὕτω δὴ καὶ τὴν τηνικαῦτα ἀντίληψιν, μνήμην, ἀνθρωποπρεπέστερον καλεῖν εἴωθε, διὰ τὴν τῶν ἐντυγχανόντων παχύτητα.

40 *Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;*

Πολλάκις ὡς ἔξεστιν εὑρεῖν ἐκ τῆς ἱστορίας. Ὅρα δὲ πονηρίαν· οὐ μόνον γὰρ πολλάκις παρεπίκραναν αὐτὸν καὶ παρώργησαν, ἀλλὰ καὶ ἐν τῇ ἐρήμῳ, ἔνθα μᾶλλον ἐχρῆν θεραπεύειν αὐτὸν διὰ τὴν ἀπορίαν, καὶ ἐν γῇ ἀνύδρῳ, ἔνθα ἔδει ταπεινοῦσθαι καὶ ἱκετεύειν διὰ τὴν ἀνάγκην.

41 *Καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν Θεὸν, καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν.*

Ἐνταῦθα τὸ, *ἐπέστρεψαν*, ἐπὶ κακοῦ εἴληπται· ἐπέστρεψαν γὰρ ἀπὸ ταύτης τῆς κακίας, ἐπ' ἄλλην. Τινὲς δὲ τὸ, *ἐπείρασαν*, ἀντὶ τοῦ, ἐλύπησαν, ἐ | ξεδέξαντο.

Ἅγιον δὲ τοῦ Ἰσραὴλ, καλεῖ τὸν Θεὸν, ὃ δηλοῖ, τὸν αἰνετὸν καὶ δεδοξασμένον.

42α *Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ.*

Χεῖρα, τὴν δύναμιν καλεῖ, τὴν εὐεργετοῦσαν μὲν τοὺς Ἑβραίους, κακοῦσαν δὲ τοὺς ἐχθροὺς αὐτῶν.

42β *Ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος.*

Ἀπὸ κοινοῦ κἀνταῦθα τὸ, *οὐκ ἐμνήσθησαν*. Θλίβοντα δὲ, τὸν Φαραὼ λέγει.

43 *Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.*

Οὐδ' ἐμνήσθησαν ὅπως ἔθετο τὰ σημεῖα αὐτοῦ, καὶ τὰ ἑξῆς.

Σημεῖα μὲν οὖν καὶ τέρατα, πολλοὶ τὰ αὐτά φασι, κατὰ ἀναδίπλωσιν τοῦ ῥητοῦ. Τινὲς δὲ, σημεῖα μὲν ἐκάλεσαν, ὅσα κατὰ φύσιν ἐλυμαίνοντο, ὡς τὴν νόσον τῶν κτηνῶν, φύσις γὰρ αὐτῇ θανατοῦν, καὶ τὴν φθορὰν τῆς ἀκρίδος, φύσις γὰρ καὶ ταύτῃ φθείρειν τοὺς καρπούς· τέρατα δὲ, ὅσα παρὰ φύσιν, ὡς τὴν τοῦ ὕδατος εἰς αἷμα μεταβολὴν, καὶ τὴν τῶν ἐνύδρων βατράχων ἐπὶ ξηρᾶς διατριβὴν, καὶ τὰ τοιαῦτα.

43[3] *ἀναδίπλωσιν* PCABFV : *τὴν ἀναδίπλωσιν* MS.

44α Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν.

Τοῦτο, ἡ πρώτη τῶν Αἰγυπτίων πληγή. Ποταμοὺς δὲ, τὸν ποταμὸν Νεῖλον λέγομεν· μόνος γὰρ οὗτος διαῤῥέει τὴν Αἴγυπτον. Εἴρηται γὰρ ὡς ἡ τῶν Ἑβραίων διάλεκτος ἔστιν ὅτε πληθυντικὰ ἐκφέρει τὰ ἑνικά. Τινὲς δὲ πληθυντικὰ εἰρῆσθαι φασι, διὰ τὰ ἐκ τοῦ Νείλου μετοχετευθέντα ῥεῖθρα, ἃ καὶ αὐτὰ ποταμοὺς κληθῆναι, διὰ τὸ πλῆθος τῶν ὑδάτων.

Τὸ δὲ, *αὐτῶν*, πρὸς τοὺς Αἰγυπτίους ἀνοίσεις· εἰπὼν γὰρ ὅτι ἐν Αἰγύπτῳ, τοὺς Αἰγυπτίους ἐνέφηνε.

44β Καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν.

Ὀμβρήματα λέγει, τὰς δεξαμενὰς, ἐν αἷς ἐθησαύριζον τὰ ἐξ ὄμβρων ὕδατα· τινὲς δὲ ὀμβρήματα καλοῦσι καταχρηστικῶς, καὶ τὰς πηγάς.

45α Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς.

Τοῦτο, τετάρτη πληγή. Δευτέρα γὰρ ἦν, ἡ τῶν βατράχων, καὶ τρίτη, ἡ τῶν σκνιφῶν.

Ὥσπερ γὰρ ἀνωτέρω, τὰς εὐεργεσίας τὰς εἰς τοὺς Ἑβραίους ἐκδιηγούμενος, οὐκ ἐτήρησε τὴν τάξιν αὐτῶν, οὕτως οὐδὲ νῦν ἐπὶ τῶν πληγῶν τῶν κατὰ τῶν Αἰγυπτίων· καὶ ἀρκέσει, ἃ ἐκεῖσε εἰρήκαμεν. Σκοπὸς γὰρ ἐπὶ τοῦ παρόντος Ps 77.13α
ἦν αὐτῷ δεῖξαι μόνον ὅλα τὰ στοιχεῖα προστάγματι Θεοῦ κατὰ τοῦ Φαραὼ στρατευσάμενα, ἐπεὶ πάλαι τὴν τάξιν αὐτῶν ὁ Μωυσῆς ἀνεγράψατο. Ex 7-12

Κυνόμυια δέ ἐστι, μυῖα ἀγρία καὶ ἀναιδής· κατέφαγε δὲ καταχρηστικῶς, ἀντὶ τοῦ, κατέδακε.

45β Καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς.

Ἐλυμήνατο δάκνων καὶ αὐτὸς, καὶ τὰς τροφὰς αὐτῶν ἁρπάζων καὶ μιαίνων, καὶ πάσης ἀηδίας ἐμπιμπλῶν.

46 Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι.

Εἰ καὶ δοκεῖ μὴ ἐγκεῖσθαι ταῖς παρὰ Μωυσέως ἀπηριθμημέναις πληγαῖς ἡ ἐρυσίβη, ἀλλ' ἔγκειται καὶ αὐτή· ἔστι γὰρ τῆς ἀναγραφομένης ἀκρίδος τὸ νεαρὸν γέννημα, ὃ καὶ βροῦχος ὀνομάζεται· οὕτω γὰρ ὁ Ἀκύλας τοῦτο κατωνόμασε. Ps 104.34
Καρπὸν δὲ λέγει, τὸν τῆς γῆς ἅπαντα· τὸν αὐτὸν δὲ καὶ πόνον, ὡς πόνῳ γεωργούμενον. Ὀγδόη δὲ πληγὴ ἦν, ἡ τῆς ἀκρίδος.

47α Καὶ ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν.

44α[3] γὰρ ὡς PM[corr.][A]B : γὰρ καί MSCFV. 46 Add. [MF in marg.]PBV: Ἰωὴλ δὲ, ἕτερον λέγει τὸν βροῦχον καὶ ἕτερον τὴν ἐρισίβην [Joel 1.4] : om. SC.

Ἀπενέκρωσεν εἰς καρπογονίαν. Ἑβδόμη δὲ αὕτη ἡ πληγή.

47β Καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ.

Καὶ αὕτη ἡ πληγή, εἰ καὶ ἀνιστόρητος παρὰ Μωυσέως δοκεῖ, ἀλλά γε τῇ χαλάζῃ συμπεριλαμβάνεται. Ἀπὸ γὰρ ταύτης ἔσχεν ἡ πάχνη τὴν σύστασιν.

Πολλαὶ δὲ συκάμινοι κατὰ τὴν Αἴγυπτον· ταυτὶ γὰρ ἐν τοῖς θερμοτέροις τόποις μάλιστα πληθύνονται. Ὥσπερ οὖν ἡ χάλαζα τῇ ἀμπέλῳ ἐστὶ πολεμιώτατον, οὕτω καὶ ἡ πάχνη ταῖς συκαμίνοις.

48 Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί. |

Ἡ χάλαζα μετὰ πυρὸς παραδόξως καταφερομένη, πρὸ πάντων μὲν, τὴν ἄμπελον ἀπενέκρου καὶ τὰς συκαμίνους, ὡς μὴ δυναμένας ὅλως ἀντισχεῖν τῇ πρώτῃ προσβολῇ, εἶτα δὴ τὰ κτήνη, ὅσα ἐν τοῖς πεδίοις ἐνέμοντο, ὡς ἐπὶ μικρὸν ἀντέχοντα, ἔπειτα καὶ πᾶσαν βοτάνην καὶ πᾶν φυτὸν, τὸ ἐν ταύτῃ πῦρ ἐπεβόσκετο· καὶ ἦν τὸ πρᾶγμα τεράστιον, πυρὸς ἐν ὕδατι τρέχοντος. Ὕπαρξιν δὲ, εἴτουν πλοῦτον, καλεῖ, τὸν καρπὸν τῶν βοτανῶν καὶ τῶν φυτῶν.

Χρὴ δὲ γινώσκειν ὅτι εἰ καὶ πᾶσαν βοτάνην καὶ πᾶν ξύλον ἡ πληγὴ αὕτη
διαφθεῖραι ἱστόρηται, ἀλλ' οὖν ὑπελίπετό τινα, ἃ κατέφαγεν ἡ ἀκρὶς μετὰ τὴν Ex 9.25
πυρίπλοκον χάλαζαν ἐπελθοῦσα, περὶ ἧς εἴρηται, ὅτι *Καὶ κατέδεται πᾶσαν*
βοτάνην τῆς γῆς, καὶ πάντα τὸν καρπὸν τῶν ξύλων, ὃν ὑπελίπετο ἡ χάλαζα. Ex 10.15
Καθολικῶς οὖν ἀνωτέρω εἶπε, διὰ τὸ μικροῦ πάντα διαφθαρῆναι.

49α Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ.

Ὀργὴν ὑποληπτέον ἐνταῦθα, τὴν σφοδρότητα τοῦ θυμοῦ.

49β Θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν.

Τὰς τιμωρίας οὕτως ὠνόμασεν· ὁ γὰρ Θεὸς, ἀπαθής· καὶ θυμὸν μὲν νοήσεις, τὰς ἧττον κολαζούσας, ὀργὴν δὲ, τὰς μᾶλλον, θλῖψιν δὲ, τὰς ἔτι.

49γ Ἀποστολὴν δι' ἀγγέλων πονηρῶν.

Ἀπόσταλμα οὔσας καὶ κόμισμα δι' ἀγγέλων πονηρῶν, οὐ φύσει, οὐδὲ προαιρέσει, ἀλλὰ πόνον ἐπαγόντων, ὡς ὑπουργούντων ταῖς τιμωρίαις. Πονηροὺς γὰρ νῦν, τοὺς κολαστικοὺς καλεῖ.

50α Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ.

Ἐποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, βαδίζειν κατὰ τῶν σκληρυνομένων Αἰγυπτίων, πρότερον ἠρεμούσῃ διὰ φιλανθρωπίαν. Τὸ γὰρ, ὡδοποίησεν, εἰ καὶ σύνθετόν ἐστιν, ἀλλ' οὖν ἁπλῆν ἔχει τὴν σημασίαν. Ex 4.21

Ἢ καὶ ἄλλως, ἐποίησε τρίβον τῷ ὀλοθρεύοντι τὰ πρωτότοκα ἀγγέλῳ, μὴ ἐκκλίνειν ἐπὶ τὰς ἐσφραγισμένας φλιὰς, ἀλλὰ βαδίζειν κατὰ τῶν ἀσφραγίστων· τοῦτον γὰρ ὀργὴν νοήσεις, ὡς ὑπηρέτην τῆς ὀργῆς. Ps 34.5β

50β Οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν.

Τοῦτο, δεκάτη πληγή. Οὐκ ἐφείσατο τῶν ψυχῶν αὐτῶν ἀπὸ θανάτου, εἴτουν ἀπὸ τοῦ θανατοῦν, ὅ ἐστιν, ἐν τῷ θανατοῦν· αὐτῶν δὲ, δηλονότι τῶν πρωτοτόκων.

Ἢ καὶ ἄλλως, ψυχὰς, τὰ πρωτότοκα νοήσεις, ὡς ἰσόψυχα διὰ τὴν ἄγαν στοργήν. Οὐκ ἐφείσατο δὲ εἶπε, διότι *Τελευτήσει*, φησὶ, *πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἀπὸ τοῦ πρωτοτόκου Φαραὼ, ὃς κάθηται ἐπὶ τοῦ θρόνου, καὶ ἕως τοῦ πρωτοτόκου τῆς θεραπαίνης τῆς παρὰ τὸν μύλον, καὶ ἕως πρωτοτόκου παντὸς κτήνους.* Ex 11.5

50γ Καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε.

Τοῦτο, πέμπτη πληγή. Ἐτελεύτησε γὰρ, φησὶ, *πάντα τὰ κτήνη τῶν Αἰγυπτίων*, δηλαδὴ τὰ ἐν τοῖς πεδίοις. Τὸ δὲ, συνέκλεισεν, ἀντὶ τοῦ, συνέσχεν ἀφύκτως, εἴτουν ἐθανάτωσε. Ex 9.6

51α Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ.

Ἐπαναλαμβάνει τὸν λόγον τὸν περὶ τῶν πρωτοτόκων, διότι καὶ δριμυτέρα τῶν ἄλλων ἡ τοιαύτη πληγή.

51β Ἀπαρχὴν παντὸς πόνου αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ.

Ἀπαρχὴν ἐνταῦθα, τὸ ἐξαίρετον καὶ τιμιώτερον καλεῖ. Ἀνεῖλε, φησὶ, πᾶν πρωτότοκον, ἤτοι τὴν ἀπαρχὴν παντὸς πόνου αὐτῶν· πόνον δὲ αὐτῶν, τὴν κτῆσιν ὀνομάζει, ὡς πόνῳ κτωμένην· κτῆσις δὲ καὶ τὰ τέκνα· *Ἐκτησάμην* γὰρ, φησὶν, *υἱόν*. Gen 4.1

Σκηνώματα δὲ Χὰμ, ἡ Αἴγυπτος. Ὁ γὰρ Αἴγυπτος, ἀφ' οὗτινος ἡ Αἴγυπτος Gen 10.6
οὕτως ὠνομάσθη, πρόπαππον εἶχε τὸν Χὰμ, ἕνα τῶν Νῶε υἱῶν, ὥστε ἡ αὐτὴ Ps 104.27
χώρα λέγεται γῆ Χὰμ, καὶ γῆ | Αἰγύπτου, καὶ Αἴγυπτος· πρῶτος γὰρ ὁ Χὰμ Gen 13.10
αὐτὴν ᾤκησε. Gen 12.10

Παρατηρητέον δὲ, ὅτι δέκα τῶν πληγῶν οὐσῶν, τῶν ἑπτὰ μόνων νῦν ὁ Δαυὶδ ἐμνημόνευσε, παρεὶς τὸν σκνίφα, καὶ τὰς φλυκτίδας, καὶ τὸ ψηλαφητὸν σκότος, ὧν πάλιν τὰ δύο ἐν τῷ ρδʹ ψαλμῷ ἐξέθετο. Ps 104.28,31

51α[1] γῇ Αἰγύπτῳ MPV[TRa[S]] : γῇ Αἰγύπτου C : τῇ γῇ αὐτῶν S. 51β[4] ὡς PCV : καὶ MS. 51β[10] μόνων MPC : μόνον SV[A].

52α Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ.

Ἀπήγαγεν αὐτοὺς ἀπὸ τῆς Αἰγύπτου, ὁδηγῶν καὶ περιέπων, ὡς ποιμὴν πρόβατα.

52β Καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ.

Τὸ αὐτὸ πάλιν φησίν.

53α Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν.

Ὡδήγησεν αὐτοὺς ἐξερχομένους ἐν τῇ πρώτῃ νυκτί· ἐπ' ἐλπίδι δὲ, τῇ τῆς ἐπαγγελίας τῆς πρὸς τὸν Ἀβραάμ. Εἴρηκε γὰρ πρὸς αὐτὸν ὁ Θεὸς, *Γινώσκων γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτοὺς, καὶ κακώσουσι, καὶ ταπεινώσουσιν ἔτη τετρακόσια· τὸ δὲ ἔθνος ᾧ ἂν δουλεύσωσι, κρινῶ ἐγὼ, καὶ ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς.* Gen 15.13-14

Οὐκ ἐδειλίασαν δὲ ἐν τῇ νυκτὶ ἐκείνῃ· ὕστερον γὰρ καὶ πάνυ ἐδειλίασαν.

53β Καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα.

Καταδιώκοντας ὀπίσω αὐτῶν· εἴρηται δὲ περὶ τούτου.

54α Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ.

Τὰ κατὰ τὴν ἔρημον ἀποσιωπήσας διὰ τὸ προειληφέναι τὴν διήγησιν αὐτῶν, Ps 77.15-31
νῦν περὶ τῆς γῆς τῆς ἐπαγγελίας διέξεισιν.

Ὄρος γὰρ λέγει, τὸ Σιὼν, ὡς γνωριμώτερον τῆς ὅλης γῆς ἐκείνης. Ὄρος δὲ ἁγιάσματος, ὡς ἀπονενεμημένον τῇ κιβωτῷ· ταύτην γὰρ ἐκάλουν ἁγίασμα· Ex 25.8
λέγεται δὲ καὶ ὄρος ἅγιον, ὡς ἁγιασθὲν ὑπ' αὐτῆς.

54β Ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.

Τοῦτο, δεικτικῶς, παρ' ᾧ νῦν ὁ λαὸς, ὃ ἐκτήσατο ἡ δύναμις αὐτοῦ, καὶ οὐχ ἡ ἀνδρεία τοῦ λαοῦ· αὐτὸς γὰρ ἐξώθησε τοὺς ἐνοικοῦντας αὐτῷ πρότερον.

55α Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη.

Τὰ ἑπτὰ, τὰ κατοικοῦντα τὴν τοιαύτην γῆν· ἤγουν τὸν Χαναναῖον, καὶ Ac 13.19
τὸν Χετταῖον, καὶ τὸν Φερεζαῖον, καὶ τὸν Εὐαῖον, καὶ τὸν Ἀμορραῖον, καὶ τὸν Dt 7.1
Γεργεσαῖον, καὶ τὸν Ἰεβουσαῖον. Ex 23.23

54α[3] διέξεισιν SCAV : καὶ διέξεισιν M. 54β[2] *παρ' ᾧ* corr. A [cf. Ps 77.68β[4-5]] : *παρ' ὧν* M : *παρὼν* S : *παρ' ὃ* V.

55β Καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας.

Ἐκληροδότησεν αὐτοὺς εἰς ὅλην τὴν γῆν ἐκείνην. Λείπει δὲ τὸ, ὡς, ἵν' εἴη, ὡς ἐν σχοινίῳ κληροδοσίας· ἔστι γάρ τι καὶ τοιοῦτον ἐλλειπτικὸν ἰδίωμα παρὰ τῇ Ἑβραΐδι γραφῇ. Οὕτως γὰρ ἀναλόγως ταῖς φυλαῖς καὶ ἀκωλύτως τὴν γῆν διεῖλεν, ὡσεί τις πατὴρ κλήρους γῆς ἐν σχοινίῳ γεωμετρικῷ.

Ἀδιάφορον δὲ εἰς σύνταξιν τὸ, ἐκληροδότησε.

55γ Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ.

Ἐν ταῖς κατοικίαις τῶν εἰρημένων ἐθνῶν.

56- Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ
57α οὐκ ἐφυλάξαντο, καὶ ἀπέστρεψαν καὶ ἠθέτησαν καθὼς καὶ οἱ πατέρες αὐτῶν.

Οἱ εἰσαχθέντες εἰς τὴν γῆν τῆς ἐπαγγελίας παῖδες ἦσαν, ὡς προείρηται, ἐκείνων, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ. Τούτων δὲ οἱ ἀπόγονοι ἐπείρασαν, Heb 3.17
εἴτουν ἐλύπησαν τὸν Κύριον· γέγραπται γὰρ ἐν τῇ βίβλῳ τῶν Κριτῶν, ὅτι Nu 14.31-32
Ἀνέστη γενεὰ ἑτέρα μετ' αὐτοὺς, οἳ οὐκ ἔγνωσαν τὸν Κύριον, καί γε τὸ ἔργον ὃ ἐποίησε τῷ Ἰσραήλ· καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ἐλάτρευσαν τοῖς Βααλὶμ, καὶ τὰ ἑξῆς. Jdc 2.10-11

Μαρτύρια δὲ λέγει, τὰς διαμαρτυρίας.

Ἀπέστρεψαν δὲ ἀπὸ τοῦ Θεοῦ καὶ ἠθέτησαν τὸν Θεὸν, μιμησάμενοι τοὺς ἰδίους πατέρας, τοὺς μοσχοποιήσαντας | ἐν τῇ ἐρήμῳ. Ex 32

57β Μετεστράφησαν εἰς τόξον στρεβλόν.

Μετεστράφησαν ἀπὸ τῆς εὐσεβείας εἰς δυσσέβειαν, δίκην τόξου στρεβλοῦ. Τὸ γὰρ, εἰς, ἀντὶ τοῦ, ὡς. Καθάπερ γὰρ τόξον στρεβλὸν οὐκ ὀρθῶς ἀφίησιν, οὕτω καὶ ὁ νοῦς αὐτῶν, διαστραφεὶς, οὐκ ὀρθῶς ἠφίει τὰς περὶ Θεοῦ ἐννοίας.

58 Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.

Ἐμίγησαν, φησὶ, *τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν*. Τὰ γὰρ ἔθνη ἐν τοῖς Ps 105.35
βουνοῖς ἔθυον· γλυπτὰ δὲ ἦσαν τὰ εἴδωλα αὐτῶν. Παρεζήλωσαν δὲ αὐτὸν, ἀντὶ τοῦ, παραζηλῶσαι πεποιήκασιν, ὅ ἐστι δικαίως ὀργισθῆναι διὰ τὰ γλυπτά.

59α Ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδεν.

Ἤκουσε βοώσης τῆς ἀσεβείας αὐτῶν, ὡς ἤκουσε τῆς φωνῆς τοῦ αἵματος

Ἄβελ καὶ τῆς φωνῆς Σοδόμων καὶ Γομόῤῥας· αὐταὶ γὰρ αἱ ἁμαρτίαι κεκράγασιν ἐνώπιον Θεοῦ, μηνύουσαι τοὺς ἐργάτας αὐτῶν. Ἰδίωμα δὲ καὶ ἄλλως τοῦτο τῆς Παλαιᾶς ἐπὶ Θεοῦ λέγειν τὸ, ἤκουσεν, ἐμφαῖνον ὅτι ἐκινήθη πρὸς ἐκδίκησιν. Ὑπερεῖδε δὲ, ἀντὶ τοῦ, παρεῖδεν, ἀπεστράφη αὐτούς. Gen 4.10 Gen 18.20

59β Καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ.

Ἠτίμασεν, εὐκαταφρόνητον ἐποίησε. Διαφόροις γὰρ ἔθνεσι διαφόρως παρέδωκεν αὐτοὺς εἰς αἰχμαλωσίαν, ὡς ἡ βίβλος τῶν Κριτῶν ἱστορεῖ. Jdc 2.14

60α Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλώμ.

Τὰ ἐντεῦθεν ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν ἀναγέγραπται· ὅπως ἑάλω παρὰ τοῖς ἀλλοφύλοις ἡ κιβωτὸς, καὶ ὅπως οἱ Ἰσραηλῖται κατεσφάγησαν, καὶ αἱ πόλεις κατεσχέθησαν. 1Rg 4.4-11

Καὶ ἀπώσατο, φησὶ, τὴν σκηνὴν τὴν ἐν Σηλὼμ, ἐν ᾗ ἐσκήνου διὰ τῆς κιβωτοῦ. Εἰ γὰρ μὴ ἀπώσατο ταύτην, οὐκ ἂν εἴασε τὴν κιβωτὸν ληφθῆναι παρὰ τῶν πολεμίων.

60β Σκήνωμα, ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις.

Τὴν σκήνωσιν ἣν κατεσκήνωσε διὰ τῆς κιβωτοῦ ἐν ἀνθρώποις. Πρῶτον γὰρ, ὡς προειρήκαμεν, ἐν τῇ Σηλὼμ κατῴκησεν ἡ κιβωτὸς, ὕστερον δὲ, τὴν Ἱερουσαλὴμ ἐξελέξατο. Ps 77.9

61 Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν.

Ἰσχὺν καὶ καλλονὴν, τινὲς μὲν τοὺς μαχίμους καὶ ἀριστεῖς αὐτῶν ἐκάλεσαν· ἄμεινον δὲ τὴν κιβωτὸν οὕτως ὀνομάζειν, ὡς ῥωννύουσαν αὐτοὺς ἄχρι τότε καὶ κοσμοῦσαν.

62 Καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε.

Καὶ ὁ μέγας Μωυσῆς, κληρονομίαν Θεοῦ τούτους ὠνόμασεν, ὡς μόνῳ Θεῷ ἀνακειμένους. Ἐγενήθη γὰρ, φησὶ, μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. Dt 32.9

63 Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν.

[59α][1] αὐταί MCBFV: αὗται PS[2]. 63[1] ἐπενθήθησαν PS[2][A corr.]BFV : ἐπένηθσαν MC.

Περὶ τούτων ῥητῶς μὲν οὐχ ἱστόρηται, πιμπραμένων δὲ τῶν πόλεων καὶ τῶν οἰκιῶν, εἰκὸς ἐναπολειφθῆναι ταύταις νεανίσκους, οὔπω στρατευσαμένους, καὶ συνδιαφθαρῆναι· καὶ αἱ παρθένοι δὲ αὐτῶν, εἰς δουλείαν ἀπαχθεῖσαι, οὐκ ἔσχον ὀπίσω τοὺς πενθοῦντας αὐτὰς, οἷα καὶ πατέρων καὶ μητέρων καὶ συγγενῶν, τῶν μὲν ἀνῃρημένων, τῶν δὲ ἐξηνδραποδισμένων.

64α Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον.

Ὀφνὶ καὶ Φινεὲς, υἱοὶ τοῦ Ἠλεὶ, οἳ συνεξελθόντες τῇ κιβωτῷ, ὁμοῦ ἀνῃρέθησαν. 1Rg 4.11

64β Καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται.

Οὐκ ἐπενθήθησαν· ἀντιχρονία γὰρ κἀνταῦθα· ἀναιρεθεῖσαι γὰρ ἢ καὶ ἐξανδραποδισθεῖσαι, οὐκ ἔσχον οὐδ᾽ αὐταὶ θρηνοῦντας ἐν ταῖς ἑαυτῶν πόλεσιν, ἄρδην ἐξολοθρευθείσαις.

65α Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος. |

Ὥσπερ ὁ ὑπνῶν ἐγειρόμενος ἀποτινάσσεται τὸν ὕπνον, οὕτω καὶ ὁ Κύριος ἐγερθεὶς ὀψέ ποτε εἰς ἀντίληψιν τῆς κιβωτοῦ καὶ τοῦ λαοῦ, δεδωκότος ἤδη τὴν δίκην, ἀπετινάξατο τὴν ἐφ᾽ οἷς ἔδρων οἱ ἐχθροὶ μακροθυμίαν.

65β Ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου.

Τὸν προλαβόντα στίχον ἔτι σαφηνίζει. Οὕτως ἐξηγέρθη, φησὶν, ὥσπερ τις δυνατὸς ἄνθρωπος, κραιπαλήσας ἐξ οἴνου· περιττεύει γὰρ ὁ *καί* σύνδεσμος. Ὁ γὰρ δυνατὸς καρηβαρήσας ἐξ οἴνου, ὅτε ἀναστῇ, σφοδρότερον κινεῖται καὶ ὁρμητικώτερον.

66α Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω.

Τὸ, *ἐπάταξε*, μάλιστα μὲν τὸ, *ἀνεῖλε*, σημαίνει· ἔστι δὲ ὅτε, καὶ τὸ ἁπλῶς ἔπληξεν, ὡς καὶ νῦν. Ἔπληξε γὰρ τοὺς ἀλλοφύλους εἰς τὰς ἕδρας ὀπίσω, ὡς ἡ ἱστορία διδάσκει· εὐφήμως δὲ, *εἰς τὰ ὀπίσω* εἶπε, δηλῶν τὰς ἕδρας. 1Rg 5.3

66β Ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.

Ὄνειδος λέγει, τὴν τῶν ἕδρων πληγήν· ἔνθα γὰρ εἰσῆγον τὴν κιβωτὸν, ἐκεῖσε τὸ πάθος τοῦτο κατὰ πάντων ἐγίνετο. 1Rg 5.12

67α Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ.

64β[2] *ἐπενθήθησαν* PA[corr.]BV : *ἐπένθησαν* MSCF. 64β[2] *ἢ καὶ* MPSBFV : *ἢ* C. 64β[2] *αὐταί* MSCBFV : *αὗται* P. 65α[4] *ἔδρων* MPSCF : *τοσαῦτα ἔδρων* VL : *ἔδρασαν* R. 66β[2] *ἕδρων* MSBFV : *ἀφεδρώνων* P[C].

Τὴν σκήνωσιν τὴν ἐν Ἰωσὴφ, εἴτουν τὴν ἐν τοῖς ὁρίοις τῆς κληροδοσίας τοῦ Ἰωσήφ. Τὸν Ἐφραὶμ δὲ νῦν, Ἰωσὴφ ἐκάλεσεν, ὡς υἱὸν τοῦ Ἰωσήφ. Ps 77.9

Ταὐτὸν γὰρ λέγει καὶ νῦν τῷ, *Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλώμ*· ἡ γὰρ Σηλὼμ μερὶς ἦν τῆς φυλῆς Ἐφραὶμ, ὡς προείρηται. Ps 77.60α

67β Καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο.

Εἰς κατοικίαν τῆς κιβωτοῦ, διὰ τὰς παρανομίας αὐτῆς.

68α Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα.

Εἰς βασιλείαν· τοῦτό φησι δι' ἑαυτὸν ὁ Δαυίδ· παρεσιώπησε δὲ τὰ κατὰ τὸν Σαοὺλ, ἵνα μὴ δόξῃ διασύρειν αὐτόν. 1Rg 16.1

68β Τὸ ὄρος τὸ Σιὼν, ὃ ἠγάπησεν.

Ἀντὶ μὲν τῆς φυλῆς Βενιαμὶν, ἧς ἦν ὁ Σαοὺλ, ἐξελέξατο τὴν φυλὴν Ἰούδα, 1Rg 10.20
ἧς ἦν ὁ Δαυίδ. 2Rg 2.4

Ἀντὶ δὲ τοῦ ὄρους Ἐφραὶμ, παρ' ᾧ ἦν ἡ Σηλὼμ, ἐξελέξατο τὸ ὄρος τὸ Σιὼν, παρ' ᾧ ἦν ἡ Ἰερουσαλήμ. Ἀγαπηθῆναι δὲ αὐτὸ λέγει, διὰ τὸ μεγαλυνθῆναι τοῦτο 2Rg 6.12
καὶ ὀνομαστὸν γενέσθαι ἀφ' οὗ χρόνου τὴν κιβωτὸν ὑπεδέξατο.

69α Καὶ ᾠκοδόμησεν ὡς μονοκέρωτος τὸ ἁγίασμα αὐτοῦ.

Ὠικοδόμησεν, ἀντὶ τοῦ, οἰκοδομήσει, κατ' ἀντιχρονίαν. Προφητεύει γὰρ νῦν περὶ τοῦ ἐν Ἱεροσολύμοις ὕστερον οἰκοδομηθέντος ναοῦ παρὰ Σολομῶντος. Ἔτι δὲ καὶ περὶ τῆς εἰς τὸ ἑξῆς βασιλείας τῆς φυλῆς Ἰούδα. Ἐδήλωσε γὰρ αὐτῷ ὁ Θεὸς, ὅτι *Ἀναστήσω τὸ σπέρμα σου μετὰ σὲ, ὅς ἐστιν ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ· οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα*· ὅντινα ναὸν, ἁγίασμα ἐκάλεσε. 2Rg 7.12-13

Τῷ δὲ, *ὡς μονοκέρωτος*, ἐλλείπει τὸ, *κέρας*, ἵν' εἴη, ὡς μονοκέρωτος κέρας. Ὥσπερ γὰρ τοῦ μονοκέρωτος τὸ κέρας, ἕν ἐστι, καὶ μέγιστον, καὶ κάλλιστον, καὶ ἰσχυρὸν, οὕτω καὶ ὁ ναὸς τοῦ Θεοῦ, εἷς ᾠκοδομήθη ἐν ὅλῃ τῇ γῇ, καὶ μέγιστος, καὶ κάλλιστος, καὶ ἰσχυρὸς τῇ κατασκευῇ, καὶ μόνος μόνου Θεοῦ.

69β Ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

Τὴν ῥηθεῖσαν φυλὴν Ἰούδα ἑδραιώσει, φησὶν, ἐν τῇ γῇ ἐφ' ἧς οἰκεῖ, ὡς μὴ ἐξωθεῖσθαι παρὰ πολεμίων. Τὸ δὲ, *εἰς τὸν αἰῶνα*, ἀντὶ τοῦ, ἀεί· καταχρηστικῶς δὲ, καὶ γὰρ ὕστερον ἐξώσθησαν.

69β[2] ἐφ' ἧς MSCBF : ἐφ' ᾗ PV.

70-71α Καὶ ἐξελέξατο Δαυὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν | αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων, ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν.

Ὅρα ὅπως φιλαλήθως ἀπαγγέλλει τὰ καθ' ἑαυτὸν, οὐκ ἐπαισχυνόμενος εἰπεῖν ὅτι οὐδὲ τέλειος ἦν ποιμὴν, ἀλλ' ὡς ἐνδέων ἔτι, τοῖς τίκτουσι τῶν προβάτων ἠκολούθει· μᾶλλον μὲν οὖν, τὰ μὲν ἐλαττοῦντα εἶπε, τὰ δὲ ὑψοῦντα παρῆκεν, οἷον, τὸ κατὰ τῶν θηρίων κράτος καὶ τὸ κατὰ τὸν Γολιὰθ μονομάχιον. 1Rg 17.34-50

71β Ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ.

Τὸ γένος τοῦ Ἰακώβ· μεταφορικὸν δὲ τὸ, *ποιμαίνειν*.

71γ Καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ.

Παλιλλογία, συνήθης τῇ Ἑβραΐδι γραφῇ. Περὶ δὲ τῆς κληρονομίας εἴρηται μικρὸν ἀνωτέρω. Ps 77.62

72α Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ.

Ἐν τῇ ἁπλότητι, ἐν τῷ ἀπονήρῳ, ἐν τῇ πραότητι.

72β Καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.

Συνέσεις χειρῶν, τὰς λελογισμένας πράξεις καλεῖ, δι' ὧν ἐπιστημονικῶς ἴθυνε τὸν λαόν.

Χρὴ δὲ εἰπεῖν ὅτι ἐξελέξατο τὴν φυλὴν Ἰούδα εἰς βασιλείαν διὰ τὸν ἐξ αὐτῆς ἀνατεῖλαι μέλλοντα βασιλέα Χριστόν. Καὶ ἄλλως δὲ, Ἰούδαν μὲν νοήσεις τὸν Χριστὸν, ὡς ἐκ τῆς Ἰούδα φυλῆς βλαστήσαντα, φυλὴν δὲ αὐτοῦ, τὸ γένος τῶν Χριστιανῶν, ὧν ἐστι πατὴρ καὶ διδάσκαλος, ἥντινα καὶ ἐθεμελίωσεν ἐν τῇ γῇ πάσῃ εἰς τὸν αἰῶνα, *Πύλαι γὰρ ᾅδου οὐ κατισχύσουσιν αὐτῆς*, ὡς λέγεσθαι τὸ, Mt 16.18
εἰς τὸν αἰῶνα κυρίως ἐπὶ ταύτης. Ps 77.69β

78 οη´
1α Ψαλμὸς τῷ Ἀσάφ.

Περὶ τοῦ Ἀσὰφ προείρηται. Ὁ δὲ παρὼν ψαλμὸς τὴν Ἀντιόχου τοῦ Ἐπιφανοῦς κατὰ τῶν Ἰουδαίων ἀπήνειαν προαναφωνεῖ, σχηματισθεὶς εἰς πρόσωπον τῶν ἐν αὐτοῖς τότε θεοσεβεστέρων. Ps 72.1α

1β Ὁ Θεὸς, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου.

72β[2] ἐπιστημονικῶς MS[2]CBFV : ἐπιστημόνως P.

Περὶ τῆς κληρονομίας, προείρηται ἐν τῷ πρὸ τούτου ψαλμῷ. Ἔθνη δὲ λέγει, αὐτούς τε τοὺς Μακεδόνας καὶ τὰ τούτων συμμαχικά. Ps 77.62

Τὸ δὲ, ὁ Θεὸς, κλητικόν ἐστιν.

1γ Ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου.

Ποσὶ μιαροῖς τοῦτον πατήσαντες, καὶ χοίρους ἐκεῖ καταθύσαντες, καὶ εἴδωλα καὶ βδελύγματα εἰσαγαγόντες, καὶ ἄλλως κοινώσαντες. BJ 1.34

1δ Ἔθεντο Ἰερουσαλὴμ ὡς ὀπωροφυλάκιον.

Ὀπωροφυλάκιόν ἐστι καλύβη, ἐν ᾗ μένων τις, φυλάττει τὰς ἀκμαζούσας ὀπώρας. Ἔθεντο αὐτὴν ἐρείπιον, σχῆμα μόνον πόλεως ἔχουσαν, ὡς καὶ τὸ ὀπωροφυλάκιον, οἰκίας.

2 Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.

Θνησιμαῖα, τὰ τεθνηκότα σώματα. Δούλους δὲ Θεοῦ καὶ ὁσίους, τοὺς ἀναιρεθέντας ὀνομάζει, ὡς ἀφορισθέντος Θεῷ πάλαι μόνου τοῦ γένους αὐτῶν· τὴν γὰρ προσηγορίαν εἶχον, εἰ καὶ τὴν πρᾶξιν αὐτῆς οὐκ εἶχον. Οὕτω γὰρ καὶ
προφήτας, τοὺς ψευδοπροφήτας ἐκάλουν· καὶ ὁ Ἀπόστολος λέγει ἁγίους, τοὺς 3Rg 18.19
δι᾽ ἀσέβειαν ἀποκεκλασμένους κλάδους, διότι ῥίζης ἦσαν ἁγίας· ἄλλως τε δὲ οἱ Rom 11.16-24
Μακκαβαῖοι καὶ ἄλλοι τινὲς τῶν δικαίων συνανῃρέθησαν αὐτοῖς, ὅπερ ἐν ἁλώσεσι πόλεων γίνεται πολλάκις. Φησὶ γὰρ διὰ τοῦ Ἰεζεκιὴλ ὁ Θεὸς, Ἰδοὺ ἐγὼ πρὸς σὲ, καὶ ἐκπετάσω τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, καὶ ἐκκόψω ἐκ σοῦ
δίκαιον καὶ ἀσεβῆ. Καὶ αὖθις, Ἰδοὺ ἐγὼ ἀνάπτω ἐν σοὶ πῦρ, | καὶ καταφάγεται Ez 21.8
ἐν σοὶ πᾶν ξύλον ὑγρὸν καὶ πᾶν ξύλον ξηρόν· ὑγροῦ μὲν, τοῦ δικαίου νοουμένου, Ez 21.3
διὰ τὴν ἰκμάδα τῆς ἀρετῆς, ξηροῦ δὲ, τοῦ ἀδίκου, διὰ τὴν νέκρωσιν ὅσον εἰς ἐργασίαν ἀρετῆς.

3 Ἐξέχεον τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἰερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων.

Οὕτω πολὺ, ὡς δίκην ὕδατος φέρεσθαι κρουνηδὸν, ἢ μᾶλλον ποταμηδόν.

Ἐξέχεον δὲ αὐτὸ κύκλῳ Ἰερουσαλήμ· κύκλῳ δὲ νῦν, ἁπλῶς τὸ πανταχῆ δηλοῖ· οὐκ ἦν δὲ ὁ θάπτων, τῶν μὲν πεφευγότων, τῶν δὲ αἰχμαλωτισθέντων.

4 Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.

Τοῖς γειτνιῶσιν ἔθνεσι, πάλαι φθονοῦσιν αὐτοῖς καὶ ἐπιβουλεύουσι.

2[8] δικαίων PC[A corr.]BFV : ἁγίων M. 3[1] ἐξέχεον MPCBF : ἐξέχεαν V[TRa]. 3[3] ἐξέχεον MPCBF : ἐξέχεαν V.
3[4] πεφευγότων MSCF : φευγόντων PBV.

Παλιλλογία δὲ ὁ δεύτερος στίχος. Ὠνείδιζον δὲ αὐτοῖς τὴν οὕτως ἐρήμωσιν καὶ ἀσθένειαν, καὶ ἐμυκτήριζον, εἴτουν διεγέλων, ὡς ἀνοήτως ἑνὶ Θεῷ πιστεύοντας· χλευασμὸν δὲ, τὴν κωμῳδίαν ὑποληπτέον. Γείτονες δὲ αὐτῶν, Μωαβῖται, καὶ Ἀμμανῖται, καὶ Ἰδουμαῖοι, καὶ ἄλλοι τοιοῦτοι.

5α Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος;

Τὸ, *εἰς τέλος*, ἐνταῦθα, ἀντὶ τοῦ, *σφοδρῶς*, εἴληπται.

5β Ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;

Ἀπὸ κοινοῦ κἀνταῦθα τὸ, *ἕως πότε;* Ζῆλον δὲ πολλάκις εἰρήκαμεν, τὴν δικαίαν ὀργήν. Καὶ νομοθετῶν δὲ εἶπεν ὁ Θεὸς, ὅτι Ἐγὼ Θεὸς ζηλωτὴς, *πῦρ καταναλίσκον*. Pss 68.10α, 72.3 Dt 4.21

Εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν ὀργιζομένων ταῖς γαμεταῖς αὐτῶν, ὅταν μοιχεύωνται. Πάλαι γὰρ, ἀναλογίαν ἀνδρὸς πρὸς γυναῖκα εἶχεν ὁ Θεὸς πρὸς τὴν τῶν Ἰουδαίων συναγωγὴν, οἷα μόνην αὐτὴν ἐκ παντὸς ἔθνους ἀγαπῶν, καὶ ὑπὸ μόνης αὐτῆς ἀνταγαπώμενος. Ἐκδηλότερον δὲ τοῦτο παρίστησιν Ὡσηέ· ἀπωσάμενος γὰρ αὐτὴν ὁ Θεὸς, φησὶ δι' αὐτοῦ, ὅτι *Αὕτη οὐ γυνή μου, καὶ ἐγὼ οὐκ ἀνὴρ αὐτῆς*· ἔνθα καὶ ἐραστὰς μὲν αὐτῆς καλεῖ, τὰ εἴδωλα, πορνείαν δὲ καὶ Hos 2.4-7
μοιχείαν, τὴν εἰδωλολατρείαν. Ὕστερον δὲ, τὴν Ἐκκλησίαν τῶν εὐσεβεστάτων Χριστιανῶν ἐμνηστεύσατο, ὡς ἐν τῷ μδ΄ ψαλμῷ προπαραδέδοται. Ps 44.10β

6 Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο.

Πλεῖον ἡμῶν παροργίζουσί σε τὰ ἔθνη, τὰ καθ' ἡμῶν στρατευσάμενα, ἀγνοοῦντά σε τὸν ποιητὴν αὐτῶν, καὶ ἀπανθρώπως ἡμῖν χρησάμενα.

Βασιλείας δὲ λέγει, τὰς τοπαρχίας.

7 Ὅτι κατέφαγον τὸν Ἰακὼβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.

Ἔκχεον δὲ ἐπ' αὐτοὺς τὴν ὀργήν σου, διότι κατέφαγον ἡμᾶς ἐν στόματι ῥομφαίας.

8α Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων.

Τῶν ἄχρι τότε· ἀρχαίας γὰρ νῦν, ἁπλῶς τὰς προλαβούσας φησί.

8β- Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα,
9α βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν.

Ἐπτωχεύσαμεν, ἐκπεσόντες πάντων ὧν εἴχομεν, καὶ τῶν ἀρετῶν. Σωτῆρα δὲ ἑαυτῶν τὸν Θεὸν καλοῦσιν, ὡς πολλάκις αὐτοὺς σωτηρίας ἀξιώσαντα.

9β Ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Εἰ καὶ ἀνάξιοι ἐλέους ἡμεῖς, ἀλλά γε ῥῦσαι ἡμᾶς, ἵνα μὴ ἀδοξῇ παρὰ τοῖς ἔθνεσι τὸ ὄνομά σου, ὀνειδιζόμενον ὡς ἀσθενὲς καὶ ὡς μὴ δυνάμενον ἐξελέσθαι τὸν οἰκεῖον λαόν. |

Παλιλλογία δὲ νῦν, ὁ δεύτερος στίχος· ταὐτὸν γὰρ τῷ, ῥῦσαι, τὸ, ἱλάσθητι· ἱλεωθεὶς γὰρ, ῥύεται.

10α Μήποτε εἴπωσι τὰ ἔθνη, Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

Τοῦτο δῆλον.

10β Καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.

Ἐν τοῖς ἄλλοις ἔθνεσιν, ἔτι ζώντων ἡμῶν.

11α Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων.

Τῶν εἰς αἰχμαλωσίαν ἀπαγομένων.

11β Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

Διάσωσον τὰ διαδράντα τέκνα τῶν ἀναιρεθέντων ἢ καὶ τὰ εἰς δουλείαν ληφθέντα. Βραχίονα δὲ λέγει, τὴν ἰσχύν.

12 Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε, Κύριε.

Ἑπταπλάσιον, τὸ πολλαπλάσιον ἡ Ἑβραῒς γραφὴ καλεῖ, ὥσπερ καὶ ἑπτὰ, τὰ πολλά. Ὀνειδισμὸν δὲ λέγει, τὴν ἐξουδένωσιν. Εἰς τὸν κόλπον δὲ αὐτῶν, ἀντὶ τοῦ, περιφόρητον, ἀναπόβλητον.

13α Ἡμεῖς δὲ λαός σου καὶ πρόβατα νομῆς σου.

Εἰ καὶ ἐπταίσαμεν· νομὴ δὲ Θεοῦ, αἱ ἐντολαὶ αὐτοῦ.

[9α][2] ἑαυτῶν PCABF : αὐτῶν MSV. 12[1] ἑπταπλασίονα PCABF[TRa] : ἑπταπλάσιον MSV. 12[1] πολλαπλάσιον MS[2]CBF : πολυπλάσιον PV. 13α[2] νομὴ PCV : νομαὶ M.

13β Ἀνθομολογησόμεθά σοι, ὁ Θεὸς, εἰς τὸν αἰῶνα.

Εἰ ἐπακούσεις ἡμῶν, ἀντὶ τῆς σωτηρίας ταύτης, εὐχαριστήσομέν σοι ἀεί. Ἢ ἁπλῶς, εὐχαριστήσομεν, περιττευούσης τῆς ἀντί προθέσεως.

13γ Εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

Εἰς πᾶσαν γενεάν. Αἴνεσιν δὲ, τὴν ἐπὶ ταῖς εὐεργεσίαις καὶ ἀντιλήψεσιν.

Ἀλλ' οὕτω μὲν καθ' ἱστορίαν ὁ ψαλμὸς ἡρμήνευται. Ἥρμοσε δὲ καὶ τοῖς διωκομένοις ὑπὸ τυράννων Χριστιανοῖς, ἐφ' ὧν ἔθνη μὲν, οἱ τύραννοι, καὶ ἁπλῶς πάντες οἱ πολεμοῦντες Χριστιανοῖς· κληρονομία δὲ τοῦ Χριστοῦ, οἱ Χριστιανοὶ, ὡς ἐν τῷ πρώτῳ ψαλμῷ προείρηται· ναὸς δὲ αὐτοῦ, ὁ κατὰ τόπον ἕκαστον· Ps 2.8α
Ἰερουσαλὴμ δὲ, πᾶσα πόλις Χριστιανῶν· θνησιμαῖα δὲ, τὰ σώματα τῶν μαρτύρων, καὶ τὰ ἑξῆς ἀναλόγως. Ἰακὼβ δὲ, οἱ Χριστιανοὶ, ὡς πολλάκις ἔφημεν. Γείτονες δὲ Pss 13.[7β], 76.[16]
ἡμῶν, οἱ Ἑβραῖοι, ὡς τῆς Γραφῆς αὐτῶν καὶ ἡμῖν ὑποκειμένης εἰς νομὴν, καὶ ὡς μᾶλλον τῶν ἐθνῶν τῶν ἄλλων ἡμῖν εἰς πίστιν ἐγγίζοντες· ἀλλὰ καὶ οἱ αἱρετικοὶ, ὡς ἐγγίζοντες ἡμῖν τῷ πλείονι μέρει τῶν δογμάτων. Ἐξουδένωσαν δὲ τὸν Χριστὸν, ὅσοι τῶν αἱρετικῶν, ἢ κατὰ τῆς θεότητος αὐτοῦ ἐβλασφήμησαν, ὡς Σαβέλλιος καὶ Ἄρειος, ἢ κατὰ τῆς ἀνθρωπότητος αὐτοῦ, ὡς Ἀπολινάριος καὶ Νεστόριος.

79 οθʹ

1 Εἰς τὸ τέλος· ὑπὲρ τῶν ἀλλοιωθησομένων· μαρτύριον· τῷ Ἀσάφ· ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου.

Τὸ, εἰς τὸ τέλος, οὐ μόνον διὰ τὰς ἐμφερομένας προφητείας, ὡς πολλάκις εἰρήκαμεν, ἀλλὰ καὶ διὰ τὸ ἀποτείνεσθαι τὸν ψαλμὸν εἰς τὸ τέλος τῆς εὐκληρίας τῶν Ἰουδαίων. Προφητεύει γὰρ τὴν πολιορκίαν, καὶ τὸν ἀνδραποδισμὸν, καὶ ὅσα πεπόνθασιν ὑπὸ Βαβυλωνίων, τέλος ἐπιθέντων αὐτοῖς τῆς προτέρας εὐδαιμονίας, εἴτουν ἐκκοπήν.

Τὸ δὲ, ὑπὲρ τῶν ἀλλοιωθησομένων, καὶ ἄλλοις τῶν προλαβόντων ψαλμῶν ἐπιγέγραπται, πανταχοῦ δὲ μεταβολὴν πραγμάτων σημαίνει. Pss 44, 68

Μαρτύριον δὲ, ὅτι διαμαρτύρεται, εἴτουν | ἀναγγέλλει τὰς ἐσομένας συμφορὰς, εἴ πως σωφρονέστεροι τῷ φόβῳ γένωνται Ἰουδαῖοι.

Περὶ δὲ τοῦ Ἀσὰφ προείρηται. Ps 72.1α

Τὸ δὲ, ὑπὲρ τοῦ Ἀσσυρίου, ἀντὶ τοῦ, περὶ τοῦ Ἀσσυρίου, λέγει δὲ, τὸν Βαβυλώνιον Ναβουχοδονόσορ, ὡς ἐξ Ἀσσυρίων ἕλκοντα τὸ γένος· περὶ τοῦ Ἀσσυρίου δὲ, ἤγουν περὶ ὧν ἐποίησεν Ἰουδαίοις.

2α Ὁ ποιμαίνων τὸν Ἰσραὴλ, πρόσχες.

13γ[5] κληρονομία MPSB : κληρονόμοι C[F]V.

Ἰσραὴλ, ἢ τὸν πατριάρχην Ἰακὼβ λέγει, διότι ὑπέσχετο αὐτῷ ὁ Θεὸς συνεῖναι καὶ φυλάττειν αὐτὸν, ἢ τὸν ἐξ ἐκείνου καταγόμενον λαόν. Εἴρηται γὰρ ἐν τῷ πρὸ Gen 28.15
τούτου ψαλμῷ, ὅτι *Καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ.* Ps 77.52β

Τὸ δὲ, *ὁ ποιμαίνων*, ἀντὶ τοῦ, ὁ ποιμάνας· ὁμοίως δὲ καὶ τὸ ἑξῆς, ὁ ὁδηγήσας.

Ἐσχημάτισται γὰρ ὁ ψαλμὸς εἰς πρόσωπον τῶν τηνικαῦτα διαδράντων τὸν θάνατον.

2β Ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ.

Ἰωσὴφ πάλιν, ἢ αὐτὸν ἐκεῖνον τὸν Ἰωσὴφ ὀνομάζει, διότι ὁ Θεὸς αὐτὸν ἐν πᾶσιν ἐχειραγώγει κινδυνεύοντα, γέγραπται γὰρ, ὅτι *Καὶ ἦν Κύριος μετὰ Ἰωσὴφ*, ἢ τὸν δηλωθέντα λαόν· πατέρα γὰρ ὅλου τοῦ λαοῦ, καὶ τὸν Ἰωσὴφ Gen 39.2
καλεῖ, ὡς καὶ ἐν τῷ ος′ ψαλμῷ φησι, *Τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ*, ὅπου καὶ Ps 76.16β
τὴν ἐξήγησιν εὑρήσεις.

2γ-3α Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἐμφάνηθι ἐναντίον Ἐφραὶμ καὶ Βενιαμὶν καὶ Μανασσῆ.

Ἐντειλάμενος ὁ Θεὸς τῷ Μωυσῇ ποιῆσαι δύο Χερουβὶμ χρυσᾶ, τορευτὰ, καὶ ἐπιθεῖναι ἐξ ἀμφοτέρων τῶν μερῶν τοῦ ἱλαστηρίου, εἴρηκεν ὅτι *Γνωσθήσομαί σοι* Ex 25.18
ἐκεῖθεν, καὶ λαλήσω σοι ἄνωθεν τοῦ ἱλαστηρίου, ἀνὰ μέσον τῶν δύο Χερουβίμ· ὁ Ex 25.22
καθήμενος οὖν φησιν, ἀντὶ τοῦ, ὁ ἱδρυόμενος ἐπάνω τῶν Χερουβὶμ ἐν τῷ ὁμιλεῖν.

Ἐμφάνηθι δὲ, εἴτουν γνώσθητι, ὅτι ἦλθες βοηθὸς ἐνώπιον τῶν ὑπολελειμμένων, οὓς ὠνόμασεν Ἐφραὶμ καὶ Βενιαμὶν καὶ Μανασσῆν.

Ἐπεὶ γὰρ τοῦ Ἰωσὴφ ἐμνήσθη, εἰκότως ἐπεμνήσθη καὶ τῶν φιλτάτων δύο υἱῶν αὐτοῦ, Ἐφραὶμ καὶ Μανασσῆ, καὶ τοῦ ἠγαπημένου αὐτῷ ἀδελφοῦ Βενιαμὶν, ὡς μόνου ὁμομητρίου. Καὶ ἀπὸ τούτων, τὸν λαὸν ὠνόμασεν, ἵνα διὰ τὴν ἀρετὴν τοῦ Ἰωσὴφ, ἐπικαμφθῇ ὁ Θεὸς τῷ γένει τῶν τέκνων καὶ τοῦ ἀδελφοῦ αὐτοῦ.

Χρὴ δὲ γινώσκειν, ὅτι εἰ καὶ πρεσβύτερος υἱὸς ὁ Μανασσῆς ἦν, ἀλλ' οὖν ὁ Μωυσῆς πανταχοῦ τὸν Ἐφραὶμ προτίθησιν, ὡς παρὰ τοῦ Ἰακὼβ προτιμηθέντα Gen 48.14-20
καὶ μᾶλλον εὐλογηθέντα, καὶ συζεύγνυσιν ἀεὶ τοῖς υἱοῖς τοῦ Ἰωσὴφ τὸν Βενιαμὶν, ὡς οἰκεῖον καὶ αὐτὸν τῷ Ἰωσὴφ διὰ τὸ ὁμομήτριον καὶ ὡς εὐθὺς μετὰ τὸν Ἰωσὴφ γεννηθέντα· τῷ Μωυσῇ δὲ καὶ ὁ Δαυὶδ νῦν κατηκολούθησεν.

Ἐπεὶ δὲ, τῆς τοῦ Λευὶ φυλῆς τῇ λατρείᾳ τοῦ Θεοῦ ἀφορισθείσης, ἀντὶ ταύτης παρελήφθη ἡ τοῦ Μανασσῆ εἰς τὸ στρατεύεσθαι, εἰκότως νῦν τελευταία Nu 1.33
τέτακται, ὡς ἐξ ἡμισείας οὖσα φυλὴ καὶ ὡς ἀσθενεστέρα τῆς Βενιαμίτιδος, ὥσπερ Nu 1.35
δὴ κἀκείνη τῆς Ἐφραιμίτιδος. Ἄλλως τε δὲ καὶ αἱ φυλαὶ αὗται τολμηρότεραι τῶν Nu 1.31
ἄλλων ἦσαν· εἰς τιμὴν δὲ τοῦ Ἰωσὴφ οἱ δύο υἱοὶ αὐτοῦ φύλαρχοι γεγόνασιν.

3β Ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.

3α[8] *Μανασσῆν* MPS : *Μανασσῆ* CV.

Ἐξανάστησον τὴν ὑπερφερῆ δύναμίν σου εἰς ἀντίληψιν ἡμῶν, καθεύδουσαν τῇ μακροθυμίᾳ.

Εἴρηται δὲ ἡμῖν διαφόρως ὅτι τὰς ἀνθρωπίνας ἐνεργείας καὶ τὰ πάθη, ἡ Ἑβραῒς γραφὴ τῷ Θεῷ περιτίθησι, παχύτερον διαλεγομένη διὰ τὴν τῶν Ἑβραίων παχύτητα. Καὶ περιττὸν ἐφ' ἑκάστης λέξεως τοιαύτης τὰ αὐτὰ λέγειν, διὸ χρὴ τῷ κανόνι τούτῳ χρῆσθαι δι' ὅλων τῶν ὁμοιοτρόπων. |

4α Ὁ Θεὸς, ἐπίστρεψον ἡμᾶς.

Ἀπὸ θλίψεως εἰς χαρὰν, ἢ ἀπὸ φυγῆς εἰς ἀντίστασιν, ἢ ἀπὸ δουλείας εἰς ἐλευθερίαν, ἢ ἀπὸ τῆς ξένης ἐπὶ τὴν πατρίδα.

Ἢ ἐπίστρεψον ἡμᾶς πρὸς σὲ, συνεργῶν εἰς τὰ σὰ θελήματα. *Ἐπιστράφητε γὰρ*, φησὶ, *πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς.* Zach 1.3

4β Καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

Ἐμφάνισον μόνον τὸ πρόσωπόν σου, καὶ ἀρκεῖ τοῦτο πρὸς σωτηρίαν ἡμῖν.

Μεταφορικὸς δὲ ὁ λόγος· ἀριστέως γὰρ ἐπιφανέντος, οἱ μὲν οἰκεῖοι ἀναθαῤῥοῦσιν, οἱ δὲ πολέμιοι τρέπονται.

5 Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου;

Τὸ, *ὀργίζῃ*, ἀντὶ τοῦ, *οὐκ ἐπιβλέπεις*· ἀπὸ τοῦ προηγουμένου, τὸ ἑπόμενον· ἕπεται γὰρ τοῖς ὀργιζομένοις τὸ μὴ ἐπιβλέπειν ἐπὶ τὰς δεήσεις τῶν παροργισάντων.

6 Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ;

Ἀπὸ κοινοῦ τὸ, *ἕως πότε*; Ψωμιεῖς δὲ, ἀντὶ τοῦ, φαγεῖν δώσεις, ἤγουν ἕως πότε φαγεῖν δώσεις ἄρτον ἐν δάκρυσι, καὶ ποτίσεις οἶνον, ὁμοίως ἐν δάκρυσι; Δηλοῖ δὲ ὅτι καὶ τὴν βρῶσιν καὶ τὴν πόσιν δακρύοντες προσεφέροντο.

Ἢ καὶ ἄλλως, ψωμιεῖς ἡμᾶς βρῶσιν δακρύων καὶ ποτιεῖς ἐν δάκρυσι, τουτέστιν, ἀντὶ βρώματος καὶ πόματος, δάκρυα φαγεῖν ἡμᾶς καὶ πιεῖν δώσεις.

Τὸ δὲ, *ἐν μέτρῳ*, ἀντὶ τοῦ, πρὸς μέτρον, ὅ ἐστιν ἀναλόγως ταῖς ἁμαρτίαις ἡμῶν. Ἀκύλας δὲ καὶ Σύμμαχος, ἐψώμισας καὶ ἐπότισας, εἶπον.

7 Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.

Ἀντιλογίαν ἐνταῦθα, τὸ ὄνειδος ἐκάλεσε, ταὐτὰ λέγων τοῖς ῥηθεῖσιν ἐν

τῷ πρὸ τούτου ψαλμῷ. Εἴρηκε γάρ, Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν. Ps 78.4

8 Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

Ταῦτα καὶ ἀνωτέρω εἴρηκε· δὶς δὲ τούτοις ἐχρήσατο, δεικνύων τὴν ἐπίτασιν Ps 79.4
τῆς παρακλήσεως.

9α Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας.

Τὰς παλαιὰς εὐεργεσίας καταλέγει, διηγούμενος πόθεν τὸ γένος τῶν Ἑβραίων μετήγαγεν εἰς Παλαιστίνην καὶ ὅσα δι᾽ αὐτοὺς ἐποίησεν, ὅπως ἐντεῦθεν ἐπικάμψῃ τὸν Θεὸν εἰς τὸ μὴ πάντῃ περιϊδεῖν αὐτούς, δι᾽ οὓς τοσαῦτα πάλαι εἰργάσατο.

Διὰ τοῦ ψαλμοῦ δὲ ὁ προφήτης ὑποτυποῖ πῶς δεῖ τὸν Θεὸν ἐξιλεοῦσθαι, ποίοις χρωμένους ῥήμασιν.

Ἄμπελον δὲ καλεῖ τροπικῶς, τὸ γένος τῶν Ἑβραίων, διὰ τὸ εὐθαλές.

9β Ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν.

Περὶ τούτων τῶν ἐθνῶν εἰρήκαμεν ἐν τῷ οζ´ ψαλμῷ. Δι᾽ ὅλου δὲ τοῦ νοήματος Ps 77.55α
τηρεῖ τῶν λέξεων τὴν τροπήν.

Κατεφύτευσας δὲ, ἀντὶ τοῦ, ἵδρυσας· εἰ καὶ παροργίσαντες, ἐξώσθησαν ὕστερον.

10α Ὡδοποίησας ἔμπροσθεν αὐτῆς.

Ὁδὸν ἐποίησας, ἐξελὼν δίκην ἀκανθῶν καὶ σκώλων ἄλλων τὰ ἔθνη, ἢ καὶ νόμον δοὺς, δι᾽ οὗ βαδιεῖται.

10β Καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς.

Τοῦτο, ἐμφαντικόν ἐστι βεβαίας ἱδρύσεως. Ῥίζας δὲ νόει, τοὺς ἐξάρχους τῶν φυλῶν, ἢ καθόλου τὴν βασιλείαν τῶν Ἑβραίων.

10γ Καὶ ἐπλήρωσε τὴν γῆν.

Οὐ τὴν τῆς οἰκουμένης, ἀλλὰ τὴν τῆς ἐπαγγελίας, καὶ ὅσης ἐκράτησαν.

11 Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ.

10β[3] τῶν Ἑβραίων PCB : Ἑβραίων MS[2]FV.

Ὄρη μὲν, τὰ ὅμορα ἔθνη· σκιὰ δὲ αὐτῆς, ἡ ἐξουσία καὶ δυναστεία, ἡ ἐπιτεθεῖσα αὐτοῖς. Καὶ | κέδροι μὲν, οἱ ἐν τοῖς ἔθνεσιν ὑψηλοὶ καὶ ὑπερέχοντες ἄρχοντες· ἀναδενδράδες δὲ αὐτῆς, οἱ ἡγεμόνες οἱ ἐπάνω καταστάντες αὐτῶν. Τοῦ Θεοῦ δὲ εἶπε τὰς κέδρους, ὡς καὶ αὐτῶν ὑπὸ Θεοῦ ὑψωθέντων. Ἐπὶ τοῦ Δαυὶδ γὰρ, ἔτι δὲ καὶ τοῦ Σολομῶντος, πολλὰ τῶν ἐθνῶν ἐδασμοφόρουν τοῖς Ἰουδαίοις.

12 *Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς.*

Κλήματα μὲν, τὰ γεννώμενα κατὰ καιρὸν καὶ αὔξοντα πλήθη τοῦ λαοῦ· θάλασσα δὲ, ἡ Ἰνδική· καὶ παραφυάδες μὲν, οἱ προσήλυτοι, οἱ ἐξ ἐθνῶν προσελθόντες καὶ τὴν θεογνωσίαν δεξάμενοι καὶ οὕτω παραφυέντες αὐτοῖς.

Ποταμοὺς δὲ λέγει, τὸν Εὐφράτην, κατὰ τὸ Ἑβραϊκὸν ἰδίωμα, ὡς καὶ ἐν τῷ Ps 77.44α
οζʹ ψαλμῷ προείρηται. Ἡ δὲ τρίτη βίβλος τῶν Βασιλειῶν, ποταμὸν ἑνικῶς αὐτὸν 3Rg 2.46[k]
ἀναγράφει.

13α *Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς;*

Φραγμὸν λέγει, τὴν φρουροῦσαν αὐτοὺς θείαν ἐπισκοπήν.

13β *Καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;*

Καὶ λυμαίνονται αὐτῇ πάντα τὰ ἔθνη, τὰ παρ᾽ αὐτῇ πορευόμενα τὴν ὁδόν· ἡ πρόθεσις γὰρ ἐνταῦθα τὴν ἐγγύτητα σημαίνει. Ὅσοι, φησὶν, αὐτῆς πλησίον ποιοῦνται τὴν δίοδον, ἐπηρεάζουσιν αὐτῇ.

Πρὸς τούτους δὲ τοὺς λόγους ἀποκρίνεται διὰ Ἡσαΐου ὁ ἐπουράνιος γεωργὸς, λέγων, *Διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας.* Isa 5.2

14α *Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ.*

Ὁ Βαβυλώνιος Ναβουχοδονόσορ, ὗς λεγόμενος, διὰ τὸ χαίρειν τῷ βορβόρῳ τῶν ἡδονῶν, καὶ διὰ τὴν ἄλλην ἀκαθαρσίαν. Δρυμὸς δὲ, ἡ Βαβυλὼν, ὡς δασεῖα μὲν τῷ πλήθει τῶν ἐνοικούντων, ἄκαρπος δὲ πρὸς ἀρετὴν, καὶ ὡς ἐνδιαίτημα τῶν νοητῶν θηρίων.

14β *Καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.*

Τὸν αὐτὸν λέγει πάλιν, μονιὸν μὲν, ὡς μόνον αὐτοῖς ἐπιστρατεύσαντα, δίχα συμμάχων· ἄγριον δὲ, ὡς θηριωδῶς καὶ ὠμῶς Ἑβραίοις χρησάμενον. Μονιὸς δέ ἐστιν, ὗς μόνος ὁδεύων καὶ ἄλλοις οὐκ ἐπιμιγνύμενος δι᾽ ὑπερβολὴν ἀγριότητος.

Τινὲς δὲ, ὗν ἐκ δρυμοῦ, τὸν Ἀσσύριον Σαλμανασάρ φασιν, ὃς πρὸ τοῦ

13β[2] *λυμαίνονται αὐτῇ* MS[2]CBF : *λυμαίνονται αὐτήν* PV. 13β[4] *ἐπηρεάζουσιν αὐτῇ* MS[2]CBF : *ἐπηρεάζουσιν αὐτήν* PV.

Ναβουχοδονόσορ ἐπόρθησε τὴν Σαμάρειαν. Διὸ καὶ οὗτος μὲν ἐλυμήνατο μερικῶς 4Rg 17.3-6
Ἑβραίοις, ὁ δὲ Ναβουχοδονόσορ κατενεμήσατο καθόλου. 4Rg 25

15- Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δὴ, καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε, καὶ
16α ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου.

Ἐπίστρεψον, ἤτοι διόρθωσον ἡμᾶς, ἢ καὶ καθὼς ἀνωτέρω εἴρηται. Ἐπίσκεψαι δὲ, ἀντὶ τοῦ, ἴασαι συντριβεῖσαν· κατάρτισαι δὲ, ἀντὶ τοῦ, ἀνάκτησαι, εἰς τὴν προτέραν εὐκληρίαν ἀποκατάστησον, ἥντινα ἄμπελον κατῴκησεν ἐνταῦθα ἡ σὴ δύναμις. Ps 79.4α

16β Καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.

Ἀπὸ κοινοῦ τὸ, ἐπίβλεψον. Υἱὸν δὲ ἀνθρώπου ἐνταῦθα, Ἰουδαῖοι μὲν λέγουσι τὸν Ζοροβάβελ, ὃς ἐκραταιώθη ὑπὸ Θεοῦ καὶ παρὰ τῷ βασιλεῖ Δαρείῳ νενίκηκε τοὺς δύο νεανίσκους, ἀποδείξας ὅτι πάντων κρατοῦσιν αἱ γυναῖκες καὶ ἡ ἀλήθεια, καὶ θαυμαστωθεὶς, ἀνῆλθε καὶ ᾠκοδόμησε τὸν ἐμπρησθέντα ναὸν καὶ τὴν πόλιν· 1Esdr 4.13,47 ἡμεῖς δέ φαμεν υἱὸν ἀνθρώπου, τὸν προσληφθέντα ἄνθρωπον, ὃν ὁ Θεὸς Λόγος ἐκραταίωσεν ἑαυτῷ, τουτέστιν, ἀφ' ἑαυτοῦ, ἀπὸ | τῆς αὐτοῦ δυνάμεως μεταδοὺς αὐτῷ, καὶ δυναμώσας κατὰ τοῦ πολεμίου. Πρὸς τὸν προσλαβόντα γὰρ νῦν ἡ εὐχὴ, περὶ τοῦ προσληφθέντος, ἵνα θᾶττον αὐτὸν προσλάβῃ.

17α Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη.

Λείπει τὸ, ἔστιν. Αἰνίττεται δὲ διὰ τῆς ἀμπέλου, τὴν γῆν αὐτῆς, εἴτουν τὴν πόλιν τῶν Ἱεροσολύμων· οὐ μόνον γὰρ αὐτὴν ἐνεπύρισαν, ἀλλὰ καὶ ἀνέσκαψαν. Ταῦτα δὲ οἱ Βαβυλώνιοι πεποιήκασιν, ὡς ἡ τετάρτη τῶν Βασιλειῶν βίβλος ἱστορεῖ. 4Rg 25.9-10

17β Ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.

Ἐπιτίμησις νῦν, ἡ ὀργή. Λέγει δὲ, ὅτι ἡ ὀργή σου ἀπολέσει τοὺς Ἑβραίους, παραχωροῦντος τοῖς Βαβυλωνίοις· οὐ γὰρ ἂν αὐτῶν ὑπερίσχυσαν, εἰ μὴ σὺ καθεῖλες τὸν φραγμὸν, ὡς εἴρηται. Ps 79.13α

18α Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου.

Καὶ τοῦτο, περὶ τοῦ Ζοροβάβελ νοοῦσιν, ὅτι ἐλθέτω ἡ δύναμίς σου ἐπὶ τοῦτον· ἄνδρα δὲ δεξιᾶς, τὸν οἰκεῖον τῇ δεξιᾷ φησιν ἡ Γραφή. Ἡμεῖς δὲ καὶ τοῦτο περὶ τοῦ προσληφθέντος φαμὲν, τοῦ προφήτου παρακαλοῦντος ἐλθεῖν τὰ σημεῖα, ἃ λέγονται χεὶρ Θεοῦ καὶ δάκτυλος Θεοῦ, ἐπὶ τὸν ἄνδρα τὸν οἰκεῖον τῆς δεξιᾶς τοῦ Ex 8. 15
Πατρός· δεξιὰ δὲ τοῦ Πατρὸς, ὁ Υἱὸς, ὡς δημιουργός. Lk 11.20

16β[7] ἀφ' ἑαυτοῦ MSCBF : ἐφ' ἑαυτοῦ P. 16β[8] αὐτῷ MV : αὐτῆς PCB.

18β Καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.

Τὸν αὐτὸν φησὶ, παλιλλογῶν· καὶ ὁ Χριστὸς δὲ, Υἱὸν ἀνθρώπου ὠνόμαζεν ἑαυτὸν, διὰ τὴν φαινομένην σάρκα ἣν ἐκ τῆς Παρθένου προσέλαβε.

19α Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ.

Ἑβραῖοι μὲν, ὁδηγούμενοι παρὰ τοῦ Ζοροβάβελ, ἡμεῖς δὲ, παρὰ τοῦ Χριστοῦ. Προσώπῳ γὰρ ἡμῶν τὸ ῥητὸν ὁ προφήτης ἔθηκε.

19β Ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.

Ζωώσεις Ἰουδαίους μὲν, τῇ ἀνανεώσει τῆς πόλεως, ἡμᾶς δὲ, τῇ ἀνανεώσει τοῦ ἀξιώματος τῆς ψυχῆς διὰ τοῦ βαπτίσματος· ἐνεκρώθημεν γὰρ τῇ ἀπωλείᾳ τούτων, κἀκεῖνοι καὶ ἡμεῖς.

Τὸ ὄνομά σου δὲ ἐπικαλεσόμεθα, ἀντὶ τοῦ, καὶ οὐχ ἕτερον Θεὸν ὀνομάσομεν, ἀλλὰ σὲ ἐπικαλεσόμεθα εἰς ἀντίληψιν καὶ βοήθειαν. Ἰδιαίτατα δὲ πρὸς τὸν Χριστὸν ὁ λόγος, ὅς ἐζώωσεν ἡμᾶς· εἴρηκε γὰρ, *Ἐγώ εἰμι ἡ ζωὴ*, οὗ καὶ τῷ Jn 14.6
ὀνόματι ἐπεκλήθημεν, Χριστιανοὶ ἐπονομασθέντες.

20 Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

Ταῦτα καὶ ἀνωτέρω εἴρηκεν, ἀλλ᾽ ἐκεῖ μὲν, εἰς τοὺς Ἑβραίους ἀνηγάγομεν τὸν λόγον, ἐνταῦθα δὲ, ἡμῖν τοῦτον ἁρμόσομεν. Ps 79.4

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τῶν ἀγγελικῶν, ἢ ἁπλῶς, πασῶν· ἢ ἀντὶ τοῦ, ὁ χορηγὸς τῶν δυνάμεων, ἢ ἀντὶ τοῦ, ὁ δυνατὸς, ὡς καὶ ἐν ἄλλοις εἰρήκαμεν. Ps 23.10β
Ἐπίστρεψον ἡμᾶς ἀπὸ τῆς πλάνης καὶ ἐμφάνισον ἡμῖν τὸν Υἱόν σου, ὅς ἐστι πρόσωπόν σου· *Ὁ ἑωρακὼς γὰρ*, φησὶν, *ἐμὲ, ἑώρακε τὸν Πατέρα*. Καὶ αὐτίκα Jn 14.9
σωθησόμεθα, πιστεύσαντες. Τὸ δὲ, *ἐπίφανον τὸ πρόσωπόν σου*, σαφηνισμός ἐστι τοῦ, *ἐπίστρεψον ἡμᾶς*.

Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον. Ἁρμόζει δὲ καὶ ὅλος ὁ ψαλμὸς τοῖς Χριστιανοῖς, ὧν τὰς πόλεις καὶ τοὺς ἑκασταχῇ ναοὺς οἱ ἄπιστοι ἐπυρπόλησαν καὶ ἐδῄωσαν, παραχωρήσαντος τοῦ Θεοῦ διὰ τὰς ἁμαρτίας ἡμῶν.

Δυνάμεθα γὰρ τὸν Χριστιανικὸν λαὸν εἰπεῖν, Ἐφραὶμ μὲν, ὡς καρποφόρον ἐν ἀρεταῖς (Ἐφραὶμ γὰρ, *καρποφορίαν σημαίνει*), Βενιαμὶν δὲ πάλιν, ὡς δεξιὸν Gen 41.52
ἐν τῇ πίστει (Βενιαμὶν γὰρ, *δεξιᾶς υἱὸς ἑρμηνεύεται*), Μανασσῆν δὲ, ὡς λήθην λαβόντα τῆς προτέρας πλάνης (Μανασσῆς γὰρ, ἀπὸ λήθης δηλοῖ). Gen 41.51

Τὰ δὲ ἑξῆς εὐχερῆ. Ἄμπελον δὲ νοήσεις, τὸ | γένος τῶν Χριστιανῶν, μετενεχθὲν ἀπὸ τοῦ σκότους καὶ τῆς πλάνης καὶ τῆς ἀγνοίας (ταῦτα γὰρ σημαίνει ἡ Αἴγυπτος)

19α[3] ἔθηκε MS[2]CBF : τέθεικε PV.

ἐπὶ τὴν ἀγαθὴν γῆν τῆς εὐσεβείας· ἔθνη δὲ ἐκβεβλημένα, οἱ δαίμονες καὶ τὰ εἴδωλα, καὶ οἱ ἀπολωλότες τύραννοι τῶν Χριστιανῶν. Ὁδοποίησις δὲ αὐτῆς, αἱ εὐαγγελικαὶ ἐντολαὶ, πᾶσαν ἀλλοτρίαν ὕλην ἐκτέμνουσαι· ῥίζαι δὲ αὐτῆς, τὰ περὶ Χριστοῦ δόγματα. Ἐπλήρωσε δὲ πᾶσαν τὴν γῆν· εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἀποστόλων. Καὶ σκιὰ μὲν αὐτῆς, ἡ δόξα· ἐκάλυψε δὲ ὄρη, ἀντὶ τοῦ, ὑπερυψώθη. Ἢ σκιὰ μὲν αὐτῆς, ἡ ἀποπεμπομένη χάρις· ὄρη δὲ, οἱ ὑψηλοὶ τῇ πρακτικῇ ἀρετῇ. Καὶ πάλιν, ἀναδενδράδες μὲν, τὰ δόγματα· κέδροι δὲ Θεοῦ, οἱ ὑψηλοὶ τῇ θεωρητικῇ· καὶ κλήματα μὲν καὶ παραφυάδες, ὡς ἀνωτέρω διείληπται. Θάλασσαν δὲ νόει μοι, πᾶσαν, καὶ ποταμοὺς, πάντας, δι' ὧν δηλοῦται πᾶσα ἡ γῆ. Rom 10.18

Ὗς δὲ, ὁ ἐνηδόμενος ταῖς ἀκαθαρσίαις διάβολος· δρυμὸς δὲ, αἱ λάσιοι τοῖς πάθεσι ψυχαὶ καὶ ἄκαρποι, αἷς οὗτος ἐνδιαιτᾶται· ὁ αὐτὸς δὲ πάλιν καὶ μονιὸς, ὡς ἰδιάζων τὴν κακίαν, ἄγριος δὲ, ὡς ἀπηνής. Ἀλλ' οὗτος μὲν προηγουμένως, ἑπομένως δὲ καὶ πᾶς τύραννος καὶ τῷ ἀμπελῶνι τοῦ Χριστοῦ πολέμιος, ὗς ἂν κληθείη καὶ μονιὸς, διὰ τὰς ἀναλόγους αἰτίας.

Τὰ δὲ ἑξῆς ἀρκούντως ἀνήχθησαν.

80 π΄

1 Εἰς τὸ τέλος· ὑπὲρ τῶν ληνῶν· τῷ Ἀσάφ· ψαλμός.

Καὶ τῷ ὀγδόῳ ψαλμῷ, εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν, ἐπιγέγραπται, καὶ τὴν ἐξήγησιν ἐν ἐκείνῳ σαφῶς παραδεδώκαμεν. Ps 8.1

Ἐκεῖναι τοίνυν αἱ ληνοὶ παρακελεύονται ἀλλήλαις, ὅσα τὸ προοίμιον τοῦ προκειμένου ψαλμοῦ φησι. Διασύρει δὲ ὁ ψαλμὸς τὴν Ἑβραίων ἀχαριστίαν καὶ ἀπείθειαν, καὶ διδάσκει τὴν ἀποβολὴν αὐτῶν, ἐξασφαλιζόμενος τὸν νέον λαὸν, ἵνα μὴ, ὡς ὁ παλαιὸς, ἀποβληθῇ καὶ οὗτος, εἰ τὴν ἐκείνου μιμήσεται κακίαν.

2α Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν.

Δοκεῖ μὲν ὁ λόγος εἶναι τῶν ἐπανιόντων ἐκ Βαβυλῶνος αἰχμαλώτων, ὡς Ἑβραῖοί φασιν, ἀγαλλιωμένων τῇ ἐπανόδῳ· ἐλέγχεται δὲ μὴ ὢν τούτων ἀπὸ τῶν ἑξῆς λυπηρῶν ῥητῶν.

Αἱ μέντοι ληνοὶ προτρέπονται ἀλλήλας, ἀγαλλιᾶσθαι ἐπὶ τῷ Χριστῷ, τῷ ἐμφανῶς αὐταῖς βοηθοῦντι.

2β Ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ.

Περὶ τοῦ ἀλαλαγμοῦ διαφόρως εἰρήκαμεν· νῦν δὲ ἁπλῶς εἰπεῖν τὸ, ἀλαλάξατε, ἀντὶ τοῦ, ἐπινίκιον ᾄσατε. Pss 26.6γ, 32.3β, 46.2β

Τῷ Θεῷ δὲ Ἰακὼβ εἴρηται, πρὸς ἀνάμνησιν ὅτι οὗτος ὁ ἐνανθρωπήσας Θεὸς, οὗτος ὤφθη πάλαι τῷ Ἰακὼβ ἐν ἀνθρώπου σχήματι, προμηνύων τὴν ὕστερον ἐνανθρώπησιν ἑαυτοῦ. Gen 32.25

[20][12] τὴν κακίαν MS^{2}CBF : τῇ κακίᾳ PV.

3α Λάβετε ψαλμὸν καὶ δότε τύμπανον.

Λάβετε διδασκαλίας θείας (διδασκαλικὸς γὰρ πᾶς ψαλμὸς), καὶ τύψατε τὸ σῶμα τῷ πλήκτρῳ τῆς ἐγκρατείας.

3β Ψαλτήριον τερπνὸν μετὰ κιθάρας.

Ψαλτήριον μὲν λέγει, τὸν νοῦν, κιθάραν δὲ πάλιν, τὸ σῶμα, ὡς ἐν τῷ λβ΄ ψαλμῷ κάλλιστα διηρμήνευται· λέγει δὲ νῦν, ὅτι κινήσατε καὶ τὸν νοῦν καὶ τὸ σῶμα εἰς τὸ εὐφρᾶναι Θεόν. Ps 32.2

Ἀπὸ κοινοῦ γὰρ ἐπ' ἀμφότερα τὸ, δότε. Οὐ γὰρ περὶ αἰσθητῶν ὀργάνων ὁ λόγος, εἰ καὶ Ἰουδαίοις τοῦτο δοκεῖ. Τὸ δὲ, τερπνὸν, πρόσκειται ἐμφαῖνον, ὅτι τοῦτο τὸ ψαλτήριον τέρπει μᾶλλον τὸν Θεόν.

4 Σαλπίσατε | ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν.

Νόμος ἦν Ἑβραίοις τῇ μιᾷ τοῦ ἑβδόμου μηνὸς, ἤτοι τῇ πρώτῃ, ἥτις ἐστὶ νεομηνία, σαλπίζειν τοὺς ἱερεῖς ἐν σάλπιγγι εἰς μνημόσυνον τῆς ἐπὶ τοῦ Σινᾶ σαλπισάσης οὐρανίου σάλπιγγος. Lev 23.24 Ex 20.18

Ἐκ μεταφορᾶς οὖν ἐκείνου τοῦ νόμου, ἐντέλλεται ὁ προφήτης Δαυὶδ νῦν τοῖς ἱεροῖς ἀποστόλοις σαλπίσαι σάλπιγγι γλώττης, κηρυττούσης ὅτι ἀνέστη ὁ Χριστὸς, τοῦτο δὲ ποιῆσαι ἐν τῇ νεομηνίᾳ, ἤτοι τῇ ἡμέρᾳ τῆς ἀναστάσεως αὐτοῦ, καθ' ἣν ἡ κτίσις ἀνεκαινίσθη.

Ταύτην γὰρ ἔτι ἐπωνόμασεν εὔσημον ἡμέραν ἑορτῆς· ὄντως γὰρ ἐπισημοτέρα πάσης ἑορτῆς ἐστιν, ὡς ἑορτῶν ἑορτὴ καὶ πανήγυρις πανηγύρεων, καθά φησιν ὁ Θεολόγος Γρηγόριος. Καὶ ὁ Μωυσῆς δὲ περὶ τῆς νεομηνίας ἐκείνης εἶπεν, ὅτι Ἡμέρα σημασίας ἐστίν. PG36.624BC Nu 29.1

5 Ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστι, καὶ κρίμα τῷ Θεῷ Ἰακώβ.

Ὅρα τὴν τοῦ ἁγίου Πνεύματος μέθοδον· συνυφάναν γὰρ τῇ νομικῇ παραγγελίᾳ τὸ Εὐαγγέλιον τῆς τοῦ Σωτῆρος ἀναστάσεως, περὶ τοῦ νόμου διέξεισιν ἔτι, καὶ οὕτως ἐπὶ τοὺς Ἑβραίους κατάγει τὸν λόγον.

Οὕτω, φησὶν, ἐντέλλομαι, ὅτι τοῦτο προστεταγμένον ἐστὶ τῷ Ἰσραηλιτικῷ λαῷ παρὰ Θεοῦ, καὶ κρίσις τοῦτο τῷ Θεῷ, τουτέστιν, ἀπόφασις.

6α Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτό.

Ἰωσὴφ, τὸν λαὸν ὅλον ὠνόμασεν, ὡς ἐν τῷ ος΄ ψαλμῷ προείρηται. Ps 76.16β

Αὐτὸ, φησὶ, τὸ σαλπίζειν ἐν τῇ νεομηνίᾳ, μαρτύριον, ἤτοι διαμαρτυρίαν, καὶ παραγγελίαν ἐποιήσατο ἐν τῷ λαῷ. Εἶτα λέγει καὶ τὸ πότε.

6β Ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου.

Αὐτὸν, δηλονότι τὸν λαόν.

6γ Γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν.

Ὁ λαός. Γλῶσσαν δὲ λέγει νῦν, τὴν φωνὴν τοῦ Θεοῦ, διατατтομένην αὐτῷ τὴν Δεκάλογον, εἰς ἐξάκουστον. Ὅτε, φησὶν, ἐφοβήθησαν πᾶς ὁ λαὸς, καὶ ἀπέστησαν μακρόθεν, καὶ εἶπον τῷ Μωυσῇ λέγοντες, *Λάλει σὺ πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεὸς, ἵνα μὴ ἀποθάνωμεν*. Τὸ δὲ, *ἣν οὐκ ἔγνω*, ἀντὶ τοῦ, Ex 20.19
ἀσυνήθη καὶ ξένην.

7α Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ.

Διδάξας οἵας ἠξιώθη χάριτος ὁ λαὸς, ἀκούσας θείας φωνῆς, ἐπιφέρει καὶ τὴν προλαβοῦσαν χάριν, φημὶ δὴ, τὴν ἀπαλλαγὴν τῆς ἐν Αἰγύπτῳ κακοπαθείας.

Ἄρσεις δὲ λέγει, τὰ φορτία τοῦ πηλοῦ καὶ τοῦ πλίνθου, καὶ τῶν τοιούτων, ὧν πάντων ὑπεξήγαγε τὸν νῶτον τοῦ λαοῦ ὁ Θεός. Ex 1.14

7β Αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.

Τῷ, *αἱ χεῖρες*, προσυπακούεται τὸ, *γάρ*. Κόφινος δὲ, ὁ κάλαθος, ἐν ᾧ ἔφερον τὸν πηλὸν καὶ τὸν πλίνθον· ἐνωτοφόρει γὰρ ὁ λαὸς, καὶ ᾠκοδόμει πόλεις τῷ Φαραώ. Ex 1.11

8α Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐῤῥυσάμην σε.

Ἐντεῦθεν τὸν Χριστὸν ὁ Δαυὶδ εἰσάγει διαλεγόμενον Ἰουδαίοις καὶ διδάσκοντα ὅτι αὐτὸς ἦν ὁ πάλαι τὸν λαὸν εὐεργετήσας. Θλῖψιν δὲ λέγει, τὴν ἐν Αἰγύπτῳ, τὴν ἀπὸ τῶν ἐργοδιωκτῶν, εἴτουν τῶν ἐπισπευδόντων τὰ ἔργα τῆς οἰκοδομίας, οὓς καὶ ἐπιστάτας φασίν. Εἶπε γὰρ, φησὶν, *ὁ Κύριος πρὸς Μωυσῆν, Ἰδὼν, εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν· οἶδα γὰρ τὴν ὀδύνην αὐτῶν, καὶ κατέβην ἐξελέσθαι αὐτούς*. Ex 3.7-8
Καὶ αὖθις, *Καὶ ἐγὼ ἑώρακα τὸν θλιμμὸν, ὃν οἱ Αἰγύπτιοι θλίβουσιν αὐτούς*. Τὸ Ex 3.9
δὲ, *ἐπεκαλέσω με*, καὶ τὸ, *ἐῤῥυσάμην σε*, καὶ τὰ τοιαῦτα, διὰ τοὺς προγόνους αὐτῶν εἴρηται· ἓν γὰρ γένος | ἐκεῖνοι καὶ οὗτοι.

8β Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος.

Ἐπήκουσά σου, τουτέστιν, ἐπλήρωσα τὴν δέησίν σου, ὢν ἀφανὴς ἐν ἀποκρύφῳ μέρει τῆς καταιγίδος, τῆς συνταραξάσης τὴν παρεμβολὴν τῶν Αἰγυπτίων, καὶ

συνδησάσης τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν, καὶ ἀγαγούσης αὐτοὺς μετὰ βίας [Ps 76.19α]
ἐπὶ τὸν ὄλεθρον. Καταιγὶς γὰρ, ἡ ἐκ βίας ἀνέμων συστροφή. Ex 14.24-25

8γ Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.

Περὶ τούτου τοῦ ὕδατος εἴρηται ἐν τῷ οζ΄ ψαλμῷ. Ps 77.16

Ἐδοκίμασα δέ σε, συγχωρήσας διψῆσαι μικρόν· καὶ εὐθὺς εὗρον ἀχάριστον καὶ ἀμνήμονα, καὶ πρότερον μὲν, μάλιστα δὲ τότε.

9α Ἄκουσον, λαός μου, καὶ διαμαρτύρομαί σοι.

Λαὸν αὐτοῦ, τοὺς Ἑβραίους ὠνόμασεν, ὡς καὶ κατὰ τὴν ἐξ Αἰγύπτου ἔξοδον
εἰρηκὼς πρὸς τοὺς πατέρας αὐτῶν, ὅτι *Ἔσεσθέ μοι λαὸς περιούσιος*, εἴτουν οἰκεῖος. Ex 19.5
Ἢ καὶ ὡς τὸ κατὰ σάρκα συγγενὴς ὢν αὐτῶν· *Εἰς τὰ ἴδια γὰρ*, φησὶν, *ἦλθεν*. Jn 1.11

9β-10 Ἰσραὴλ, ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ.

Ὦ λαὸς Ἰσραὴλ, ἐὰν πεισθῇς μοι, τὴν καινὴν διαθήκην διατιθεμένῳ, καὶ Heb 8.6-13
πιστεύσῃς μοι ὡς Θεῷ, οὐ παρανομήσεις· εἰ γὰρ καὶ ἐν τῷ νόμῳ γέγραπται, *Οὐκ*
ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ· ἀλλ᾽ οὐχ ἕτερος θεὸς ἐγώ· ἀντὶ τοῦ, ἕτερος δὲ, Ex 20.3
τὸ *πρόσφατος* εἴληπται, οὗπερ αὖθις ἑρμηνευτικὸν τὸ, *ἀλλοτρίῳ*· τὸ γὰρ ἕτερον, παρὰ τὸ ὂν πάλαι, πάντως πρόσφατον, ὡς ὕστερον ἐπιγεγονὸς, καὶ διὰ τοῦτο ἀλλότριον.

11α Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου.

Αὐτὸς ἐκεῖνός εἰμι, καὶ οὐχ ἕτερος. Καὶ τοῦτο δὲ τὸ ῥητὸν ἐν τῷ ῥηθέντι νόμῳ Ex 20.2
γέγραπται, κειμένῳ ἐν τῇ βίβλῳ τῆς Ἐξόδου. Lev 11.45

11β Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό.

Πλάτυνον, ἀντὶ τοῦ, ἄνοιξον. Στόμα δὲ λέγει, τὸ νοητὸν, τὸ τῆς ψυχῆς. Εἰ σὺ, φησὶν, ἑτοιμάσεις αὐτὸ πρὸς ὑποδοχὴν τροφῆς πνευματικῆς, εἴτουν θείων νοημάτων, ἐγὼ πληρώσω αὐτὸ σοφίας, καὶ ἀναγάγω σε ἀπὸ τῆς χαμαιζηλίας τοῦ νομικοῦ γράμματος εἰς τὸ ὕψος τοῦ ἐγκεκρυμμένου τῷ γράμματι πνεύματος. Νοεῖται δὲ στόμα, καὶ τὸ αἰσθητόν· εἰ γὰρ πειθαρχήσεις ἐμοὶ, φησὶν, ἐμπλήσω σε καὶ σωματικῆς τροφῆς.

12α Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου.

Ἐγὼ μὲν οὕτω διεμαρτυράμην καὶ τοιαῦτα ὑπεσχόμην, ὁ δὲ λαός μου οὐκ ἐπείσθη μοι. Φησὶ δὲ ὁ εὐαγγελιστὴς Ἰωάννης, ὅτι *Καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.* Jn 1.11

12β Καὶ Ἰσραὴλ οὐ προσέσχε μοι.

Παλιλλογία τοῦτο καὶ ἐπεξήγησις. Τὸ δὲ, *ἀκούω*, σημαίνει μὲν καὶ τὸ αἰσθάνομαι καὶ πείθομαι, ὡς ἐπὶ τοῦ προκειμένου, ἔτι δὲ καὶ τὸ νοῶ, ὡς τὸ, *Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.* Mt 11.15

13α Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν.

Ἀφῆκα αὐτοὺς φέρεσθαι κατὰ τὰ θελήματα τῶν καρδιῶν αὐτῶν, ὡς ἀπειθεῖς, καὶ λοιπὸν, μετέβην ἐπὶ τὰ ἔθνη· ἐπιτηδεύματα γὰρ, οἱ ἐξηγηταὶ τὰ θελήματα νῦν κεκλήκασιν.

13β Πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

Ἀνεπισκόπητοι καὶ ἀβοήθητοι, γυμνωθέντες τῆς ἄνωθεν χάριτος, ὡς ἀνίατοι· πορεύσονται δὲ ἀεὶ, μετὰ τὸ ἀπώσασθαι τὸν Σωτῆρα.

14-15 Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου. |

Τὸ μὲν, *Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη*, ἐπεξήγησίς ἐστι τοῦ πρὸ αὐτοῦ στίχου· τὸ δὲ, *Καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου*, ὁμοίως σαφηνισμὸς καὶ παλιλλογία τοῦ πρὸ τούτου.

Ἐν τῷ μηδενὶ δὲ, ἀντὶ τοῦ, ἀπόνως, εὐχερῶς, ὡς οὐδὲν, ἢ ἀντὶ τοῦ, ἐν φαύλῳ· καὶ γὰρ τοὺς Αἰγυπτίους ἐν βατράχῳ καὶ ἀκρίσι καὶ τοιούτοις εὐτελέσιν ἐμάστιζεν, εἰς ἔνδειξιν τῆς αὐτοῦ δυνάμεως.

16α Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ.

Ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ, κατὰ τὸν μέγαν Παῦλον, οἱ Ἰουδαῖοι. Php 3.18
Ἐψεύσαντο δὲ αὐτῷ, Ῥαββὶ μὲν καλοῦντες, καὶ ἀπαλύνοντες τοὺς λόγους αὐτῶν,
ὡς ἐν τῷ νδʹ ψαλμῷ προέφημεν, ὑποκρινόμενοι δέ. Ps 54.22β

Ἢ καὶ ἄλλως, τὸ, *ἐψεύσαντο αὐτῷ*, τέθεικεν ὁ Δαυὶδ, διδάσκων ὅτι προγονικὴν ἔχουσι τὴν ἀπείθειαν. Νομοθετοῦντος γὰρ τοῦ Θεοῦ πάλαι, ἐπηγγείλαντο μὲν διὰ τῶν προγόνων πείθεσθαι οἷς εἶπεν, εἰπόντες, *Πάντα ὅσα εἶπε Κύριος ὁ Θεὸς, ποιήσομεν, καὶ ἀκουσόμεθα*, ἐψεύσαντο δὲ μυριάκις, ἀθετήσαντες τοὺς λόγους Ex 24.7
αὐτοῦ.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι συγγενεῖς τοῦ Χριστοῦ ὄντες, πολέμιοι αὐτῷ γεγόνασι, ψευσάμενοι τὴν συγγένειαν.

16β Καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.

Καιρὸν, Ἑβραῖοι καὶ Σύροι τὰς συμφορὰς εἰώθασιν ὀνομάζειν. Προφητεύει δὲ, ὅτι συμφορῶν οὐδέποτε ἀπαλλαγήσονται. Gen 6.13; Ez 7.12; Da 8.17

Ἢ καιρὸν μὲν νόει μοι, τὸν τῆς καταδίκης αὐτῶν, αἰῶνα δὲ, τὸν μέλλοντα.

17 Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

Οὗτος ὁ Θεὸς ὁ μὴ εἰσακουσθεὶς, οὗτος πάλαι τοὺς Ἑβραίους ἐψώμισε μάννα, ὡς ἐκ στέατος πυροῦ· λείπει γὰρ τὸ, ὡς. Πυρὸς μὲν οὖν, ὁ σῖτος, στέαρ δὲ αὐτοῦ, τὸ λεπτότερον καὶ καθαρώτερον ἄλευρον.

Μέλι δὲ, τὸ ἐκ πέτρας ὕδωρ ὠνόμασεν, οὐ κατὰ τὴν φύσιν, ἀλλὰ κατὰ τὴν δόκησιν· διψῶσι γὰρ αὐτοῖς καὶ ἐκτετηκόσι, μέλι διὰ τὴν ἡδονὴν ἔδοξεν. Οὕτω δὲ καὶ Μωυσῆς αὐτὸ κέκληκεν ἐν τῇ ᾠδῇ τοῦ Δευτερονομίου, εἰρηκὼς, Ἐθήλασαν μέλι ἐκ πέτρας. Διὰ δὲ τῆς παραδόξου ταύτης ψωμίσεως καὶ χορτασίας, πᾶσαν τὴν ἀφθονίαν τῶν δωρηθέντων αὐτοῖς ἀγαθῶν ἐνέφηνε. Dt 32.13

Καὶ ἄλλως δὲ, ἐψώμισε τοὺς τετρακισχιλίους, ἑπτὰ ἄρτοις, καὶ ἐπότισεν αὐτοὺς ἄχρι χορτασίας μέλι, τουτέστι, τὴν παρ' ἑαυτοῦ διδασκαλίαν· Ὡς γλυκέα γὰρ, φησὶ, τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. Ἡ δὲ πέτρα, φησὶν ὁ Ἀπόστολος, ἦν ὁ Χριστός. Mt 15.38; Ps 118.103; 1Cor 10.4

81 πα´

1α Ψαλμὸς τῷ Ἀσάφ.

Τινὰ μὲν τῶν ἀντιγράφων, ψαλμὸς τῷ Ἀσάφ, ἔχουσι, τινὰ δὲ, συνέσεως τῷ Ἀσάφ, διότι ὁ ψαλμὸς οὗτος συνετίζει τοὺς δικαστὰς, ἢ ὅτι συνιέναι τὴν ἐν τούτῳ προφητείαν δεῖ· προαγορεύει γὰρ τὸν παρὰ Χριστοῦ κατὰ τῶν Γραμματέων καὶ Φαρισαίων ἔλεγχον.

1β Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν.

Ὁ Χριστὸς ἔστη ἐν μέσῳ τῆς συναγωγῆς τῶν Γραμματέων καὶ Φαρισαίων καὶ τῶν πρεσβυτέρων τοῦ λαοῦ· τούτους γὰρ θεοὺς ἐκάλεσεν ὁ προφήτης νῦν διὰ τὸ ἀρχικὸν καὶ δικαστικὸν ἀξίωμα, ὡς ἐν τῷ πρώτῳ στίχῳ τοῦ μθ´ ψαλμοῦ πλατύτερόν τε καὶ ἀκριβέστερον ἐξηγησάμεθα. Ps 49.1β

1γ Ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.

17[2] λεπτότερον καὶ καθαρώτερον CB : λεπτότατον καὶ καθαρώτερον MSF : λεπτότατον καὶ καθαρώτατον PV.
1β Add. [MF in marg.]: Ὁ δὲ Θεολόγος ἐν τῷ δευτέρῳ Λόγῳ τοῦ Βαπτίσματος, ἑτέρως ἐξελάβετο τοῦτο.

Ἐν μέσῳ δὲ στὰς, διακρινεῖ, τουτέστι, διελέγξει τοὺς ἄρχοντας καὶ κριτὰς, ὡς εἴρηται, τοῦ λαοῦ· ἢ τὸ, *ἐν μέσῳ*, ἀντὶ τοῦ, ἐνώπιον πολλῶν· καὶ γὰρ ὁ Χριστὸς παῤῥησίᾳ τούτους ἤλεγξε, καθαψάμενος καὶ εἰπὼν, *Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταὶ*, οἱ ποιοῦντες τάδε καὶ τάδε. Mt 23.13

Ἑβραῖοι δέ φασιν, | ὅτι ὁ Θεὸς ἔστη μέσον τῶν ἀρχόντων, ὡς παρὼν αὐτοῖς ἀοράτως· διὸ καὶ ἐν μέσῳ πολλῶν ἐλέγξει αὐτοὺς διὰ τῶν προφητῶν, εἰ ἀδίκως ἄρξουσιν.

2 Ἕως πότε κρίνετε ἀδικίαν καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

Τῷ, *ἔστη*, καὶ τῷ, *διακρινεῖ*, συνεξακούεται τὸ, λέγων. Ἢ τοίνυν τὸ, *ἀδικίαν*, ἀντὶ τοῦ, ἀδίκως, νοήσομεν, ἢ τὸ, *κρίνετε*, ἀντὶ τοῦ, δικαιοῦτε.

Ἁμαρτωλοὺς δὲ ἐνταῦθα λέγει, τοὺς ἀδίκους. Τὸ δὲ, *λαμβάνετε*, ἀντὶ τοῦ, εὐλαβεῖσθε· φησὶ δὲ καὶ ὁ νόμος, *Οὐ λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι τοῦ Κυρίου ἡ κρίσις ἐστί*. Προσωπολήπτης γὰρ, ὁ εὐλαβούμενος τῶν ἀδίκων τὴν ὑπεροχήν. Dt 1.17

3α Κρίνατε ὀρφανῷ καὶ πτωχῷ.

Διαιτήσατε τούτοις ἀδικουμένοις, καὶ μὴ παρίδητε.

3β Ταπεινὸν καὶ πένητα δικαιώσατε.

Ἀδικουμένους δηλονότι.

Ἢ τοίνυν τὸ αὐτὸ πάλιν φησὶν, ἢ προείρηται ἡ διαφορὰ τοῦ πτωχοῦ καὶ πένητος, ἐν τῷ ιαʹ ψαλμῷ. Ps 11.6α

4 Ἐξέλεσθε πένητα καὶ πτωχὸν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν.

Ὅρα ὅσον μέλει τῷ Θεῷ περὶ τῶν πτωχῶν καὶ πενήτων· πολλάκις γὰρ τὸν περὶ αὐτῶν λόγον ἀνακυκλεῖ. Ἐξέλεσθε οὖν αὐτὸν, καὶ ῥύσασθε αὐτὸν καταδυναστευόμενον. Ἁμαρτωλὸς δὲ κἀνταῦθα, ὁ ἄδικος.

5α Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται.

Ἐθελοκωφήσαντες, οὐκ ἔγνωσαν τοὺς τοιούτους θείους λόγους, εἴτουν οὐ συνῆκαν· σαφηνισμὸς γὰρ τοῦ, *οὐκ ἔγνωσαν*, τὸ, *οὐδὲ συνῆκαν*. Ἐν σκότει δὲ, ἀντὶ τοῦ, ἐν πλάνῃ πολιτεύονται.

Ἢ καὶ ἄλλως, οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν τὸ καλὸν, διὸ καὶ ἐν ἀγνοίᾳ τοῦ δικαίου πορεύονται.

5β Σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.

Τοῦτο ὁ Σύμμαχος οὕτως ἐξέδωκε, *Ταράξω τὴν γῆν διὰ τοὺς ἐνοικοῦντας αὐτῇ.*

Κατὰ δὲ τὸ, *σαλευθήτωσαν*, κελεύει ὁ Θεὸς κλονηθῆναι τὴν γῆν, εἰς φόβον τῶν ἀδίκων ἀρχόντων καὶ παρανόμων κριτῶν· ἢ σαλευθήτωσαν, μὴ φέροντα τὰς παρανομίας αὐτῶν. Θεμέλια δὲ τῆς γῆς, τὸν πυθμένα ταύτης καλεῖ.

Ἐκπληκτικὸς δὲ καὶ φοβερὸς ὁ λόγος οὗτος, καὶ ἐμφαντικὸς τῆς θείας κατὰ τῶν παρανόμων ἀρχόντων καὶ κριτῶν ἀγανακτήσεως.

6 Ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες.

Καὶ ποῦ εἶπεν, ὅτι θεοί ἐστε, καὶ τὰ ἑξῆς; Τινὲς μέν φασιν, ὅτι ἐν τῷ εἰπεῖν, *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν.* Ἐγὼ δὲ προσεξεῦρον, ὅτι θεοὺς μὲν εἶπε τοὺς ἄρχοντας καὶ δικαστὰς ἐν τῇ βίβλῳ τῆς Ἐξόδου, λέγων πρὸς τὸν λαὸν, *Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντας τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.* Θεοὺς γὰρ ἐκεῖ τοὺς ἄρχοντας εἴρηκεν, ὡς ἐν τῷ μθ΄ ψαλμῷ Ex 22.27
προεξηγησάμεθα· υἱοὺς δὲ Ὑψίστου, τοὺς Ἰσραηλίτας ὠνόμασεν, ἐν τῷ εἰπεῖν, Ps 49.1β
Υἱὸς πρωτότοκός μου Ἰσραήλ. Ex 4.22

7α Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε.

Ὡς ἄνθρωποι ἁπλῶς, καίτοι Θεοῦ εἰκόνι τετιμημένοι, ἢ Θεοῦ προσηγορίας ἀξιωθέντες καὶ ὑπερέχοντες τῶν πολλῶν τῷ ἀξιώματι τῆς ἀρχῆς.

Ἀνθρώπους δὲ λέγει νῦν, τοὺς κοινοὺς, καὶ μήτε Θεοῦ νόμον εἰδότας, μήτε σύνεσιν ἔχοντας, ὁποῖοί εἰσι τὰ ἔθνη. Διὰ δὲ τοῦ, *ἀποθνήσκετε*, τὴν ἄχρι θανάτου τοιαύτην βιοτὴν αὐτῶν ᾐνίξατο, οἷον, ὅτι ἄχρι θανάτου οὕτως βιοῦτε.

7β Καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

Τὸ αὐτὸ πάλιν φησίν· ἀρχόντων γὰρ, τῶν ἐθνικῶν λέγει. Καὶ πίπτετε, ἀντὶ τοῦ, | *ἀποθνήσκετε*.

Τινὲς δὲ νῦν, ἕνα τῶν ἀρχόντων, τὸν διάβολον λέγουσιν, ἄρχοντά ποτε καὶ αὐτὸν ἀγγελικοῦ τάγματος· ἔνθα τὸ, *πίπτετε*, ἀντὶ τοῦ, *ἀποπίπτετε* τοῦ ἀξιώματος διὰ οἴησιν· κἀκεῖνος γὰρ, μὴ χρησάμενος εἰς δέον τῇ ἀρχῇ, ἐξέπεσε τῆς θείας τιμῆς. Lk 10.18

8α Ἀνάστα, ὁ Θεὸς, κρῖνον τὴν γῆν.

Τοῦτο, περὶ τῆς ἐκ νεκρῶν τοῦ Χριστοῦ ἀναστάσεως ἀναντιῤῥήτως. Ἱκετεύει γὰρ ὁ προφήτης τὸν Χριστὸν ἀναστῆναι, καὶ κρῖναι τὴν γῆν, διὰ τῶν ἀποστόλων, *οὓς κατέστησεν ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.* Ps 44.17β

8β Ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

Καὶ γὰρ, φησὶ, σὺ κληρονομίαν ἕξεις ἐν πᾶσιν ἔθνεσι. Κληρονόμοι δὲ Χριστοῦ, οἱ πιστεύσαντες εἰς αὐτόν.

82 πβʹ
1 Ὠιδὴ ψαλμοῦ τῷ Ἀσάφ.

Τί ἐστιν ᾠδὴ ψαλμοῦ, προείρηται ἐν τῷ προοιμίῳ τῆς βίβλου. § 65-66
Πεποίηται δὲ ὁ ψαλμὸς εἰς πρόσωπον τῶν ἐπανελθόντων ἐκ Βαβυλῶνος. Μετὰ γὰρ τὴν ἐκεῖθεν ἐπάνοδον, τὴν νεουργίαν τοῦ θείου ναοῦ καὶ τὴν τῆς πόλεως ἀποκατάστασιν οἱ γείτονες θεασάμενοι, κατὰ ταὐτὸν συνεγείρονται,
καὶ βάρβαρα συναθροίσαντες ἔθνη, τοῖς Ἰουδαίοις ἐπέθεντο· κατεπολεμήθησαν 2Esdr 14.2
δὲ, τοῦ Ζοροβάβελ στρατηγοῦντος. Περὶ τούτων οὖν ὁ ψαλμὸς συντέθειται, σχηματισθεὶς δὲ εἰς εὐχήν.

2α Ὁ Θεὸς, τίς ὁμοιωθήσεταί σοι;

Οὐκ ἐρωτῶντος ὁ λόγος, ἀλλ' ἐκθειάζοντος τὸ ἀσύγκριτον. Τὸ γὰρ, τίς, οὐ τὸ σπάνιον, ἀλλὰ τὸ ἀδύνατον ἐνταῦθα δηλοῖ, καὶ ἔστιν ἀντὶ τοῦ, οὐδεὶς, δι' οὗ εἰσάγεται τὸ ἀπειροδύναμον.

2β Μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς, ὁ Θεός.

Μὴ μακροθυμήσῃς, μηδ' ἀνεξικακήσῃς· οὕτω γὰρ οἱ ἄλλοι ἑρμηνεῖς ἐκδε-δώκασι. Τίνος δὲ ἕνεκεν, ἄκουσον.

3 Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.

Ἐχθροί σου, ὡς τῷ σῷ λαῷ πολεμοῦντες, ἢ, ὡς διὰ σὲ ἡμῖν πολεμοῦντες. Ἤχησαν δὲ, ἀντὶ τοῦ, θροῦν ἄσημον ἀπετέλεσαν, ὡς εἴωθεν ὑπὸ πολυπληθείας ἐν τοῖς στρατοπέδοις γίνεσθαι.

Ἢ καὶ ἄλλως, πρὶν ὑποψιθυρίζοντες τὴν καθ' ἡμῶν ἔχθραν, νῦν εἰς ἐξάκουστον ταύτην ἤνεγκαν, θρασυνόμενοί τε καὶ ἀλαζονευόμενοι. Ἦραν δὲ κεφαλὴν, ἀντὶ τοῦ, ἐπήρθησαν, ἀνεθάῤῥησαν, θαῤῥήσαντες τοῖς συμμάχοις.

4α Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμῃ.

Τὸ, γνώμῃ, ἀντὶ τοῦ, μιᾷ γνώμῃ, συμφώνως. Τινὰ δὲ τῶν ἀντιγράφων μετὰ τοῦ νῦ, γνώμην γράφουσιν, ὅπερ δηλοῖ, ὅτι ἐπανουργεύσαντο κοινὴν γνώμην.

Ἡ δὲ κατά πρόθεσις, ἐπίτασιν τῆς πανουργίας ἐμφαίνει.

4α Add. [MP in marg]BV: Τὸ τῆς γνώμης ὄνομα, ποτὲ μὲν δηλοῖ τὴν παραίνεσιν, ὡς ὁ Ἀπόστολος, *Περὶ δὲ τῶν παρθένων, ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι·* [1Cor 7.25] *ποτὲ δὲ τὴν βουλὴν, ὡς καὶ νῦν ὁ Δαυὶδ, Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, τουτέστι, πανούργως ἐμελέτησαν βουλήν· ποτὲ δὲ τὴν ψῆφον, ὡς τὸ τοῦ Δανιὴλ, Περὶ τίνος ἐξῆλθεν ἡ γνώμη ἡ ἀναιδής;* [Da 2.15] *λαμβάνεται δὲ καὶ ἐπὶ πίστεως καὶ δόγματος καὶ φρονήματος, ὡς καὶ παρὰ τῷ Θεολόγῳ, Τὸ ἀντεισαγαγεῖν τὴν ἑαυτοῦ γνώμην, ἀνδρὸς εὐσεβοῦς καὶ νοῦν ἔχοντος.* : om. SCF.

4β Καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.

Παλιλλογία τοῦτο καὶ σαφηνισμὸς τοῦ πρὸ αὐτοῦ. Περὶ δὲ τῶν ἁγίων τοιαῦτα νοήσεις, οἷα καὶ περὶ τῶν ὁσίων, ὡς ἐν τῷ οη´ ψαλμῷ προείρηται. Ps 78.2

5 Εἶπαν, Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα τοῦ Ἰσραὴλ ἔτι.

Τοῦτο, ἡ γνώμη· τοῦτο, ἡ βουλή. Τὸ δὲ, *ἐξ ἔθνους*, ἀντὶ τοῦ, ἐκ τοῦ εἶναι ἔθνος, ἐλάσαντες αὐτοὺς εἰς τὸ μὴ εἶναι ἔθνος· τὸ δὲ, *οὐ μὴ μνησθῇ*, ἀντὶ τοῦ, οὐκ ἔτι μνημονευθῇ, οὐκ ἔτι ὀνομασθῇ ὅλως, οἷα μηκέτι ὄντος τοῦ τοιούτου ἔθνους.

6α Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό.

Ἐπαναλαμβάνει δὲ τὸν λόγον τὸν περὶ τῆς βουλῆς καὶ ὁμογνωμοσύνης αὐτῶν, ἐντεῦθεν εἰς ἄμυναν κινῶν τὸν διασκεδάζοντα βουλὰς ἐθνῶν. Ps 32.10

Διηγη | ματικὸν δὲ τὸ, ὅτι· καὶ τὸ μὲν, *ἐν ὁμονοίᾳ*, ἐπὶ τῆς γνώμης λαμβάνεται, τὸ δὲ, *ἐπὶ τὸ αὐτὸ*, ἐπὶ τοῦ τόπου, τουτέστι, συνελθόντες καὶ εἰς μίαν γνώμην καὶ εἰς ἕνα τόπον.

6β Κατὰ σοῦ διαθήκην διέθεντο.

Διαθήκην, τὴν συνθήκην λέγει· εἶτα λοιπὸν ἀπαριθμεῖται καὶ τοὺς οὕτω συνθεμένους.

7α Τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται.

Τὰ σκηνώματα τῶν Ἰδουμαίων, ἀντὶ τοῦ, ἡ πόλις τῶν Ἰδουμαίων, ἢ ἀντὶ τοῦ, οἱ Ἰδουμαῖοι, κατὰ περίφρασιν· Ἰδουμαῖοι δὲ, ἔθνος ἀπὸ Ἠσαῦ καταγόμενον· Ἐδὼμ γὰρ ὁ Ἠσαῦ ἐκλήθη. Ἰσμαηλῖται δὲ, ἔθνος ἕτερον, ἀπὸ Ἰσμαὴλ υἱοῦ Gen 36.1
Ἀβραάμ. Gen 16.15

7β Μωὰβ καὶ οἱ Ἀγαρηνοί.

Μωὰβ λέγει, τοὺς Μωαβίτας· ἔθνος δὲ καὶ οὗτοι, ἀπὸ Μωὰβ τοῦ υἱοῦ Λώτ. Gen 19.37
Ἀγαρηνοὶ δὲ, ἔθνος ἀπὸ τῆς Ἄγαρ, τῆς μητρὸς Ἰσμαὴλ, συναφθείσης ἑτέρῳ μετὰ τὸ ἀπελαθῆναι τῆς οἰκίας Ἀβραάμ. Gen 21.14

8α Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλήκ.

Γεβαληνοὶ, ἔθνος περίοικον τῆς Ἰδουμαίας· Ἀμμανῖται δὲ, ἔθνος ἀπὸ Ἀμμὼν Gen 36.23

τοῦ υἱοῦ Λώτ· Ἀμαληκῖται δὲ, ἔθνος ἀπὸ Ἀμαλὴκ, ὃς ἦν καὶ αὐτὸς ἔκγονος Gen 19.38
Ἠσαῦ, κατῴκει δὲ χώραν ἑτέραν παρὰ τοὺς Ἰδουμαίους. Gen 36.12

8β Ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον.

Ἀλλόφυλοι, οἱ Φιλιστιαῖοι, οἱ νῦν Παλαιστινοὶ καλούμενοι· οὗτοι γὰρ Jdc 3.3 παροικοῦντες τοῖς Ἰουδαίοις ἐγγὺς, ἀλλόφυλοι διαφερόντως ἐκλήθησαν· κατοικοῦντας δὲ Τύρον λέγει, τοὺς Τυρίους.

9α Καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν.

Ἀσσοὺρ, οἱ Ἀσσύριοι. Καλεῖ δὲ οὕτω, τοὺς Σαμαρείτας, ὡς ἀποίκους Ἀσσυρίων, μετὰ τὴν αἰχμαλωσίαν τῶν δώδεκα φυλῶν ἐκεῖσε μετοικισθέντας. 4Rg 17.24 Περιττεύει δὲ ὁ *γάρ* σύνδεσμος.

9β Ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ.

Εἰς συμμαχίαν. Υἱοὺς δὲ Λὼτ λέγει, τοὺς Μωαβίτας καὶ Ἀμμανίτας, ὡς προειρήκαμεν· οὗτοι γὰρ μάλιστα τοῖς Ἰουδαίοις ἐφθόνουν καὶ τὰ ἄλλα ἔθνη συνήγειραν. 2Esdr 12.10

10 Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ, ὡς τῷ Ἰαβεὶμ ἐν τῷ χειμάῤῥῳ Κισσῶν.

Κατεύχεται τῶν ἀνωτέρω ἀπηριθμημένων ἐθνῶν, τῶν φθονησάντων τῇ ἀνανεώσει τῆς πόλεως. Μέμνηται δὲ τῆς ἀπωλείας τῶν πάλαι πολεμησάντων τοῖς Ἰσραηλίταις καὶ παραδόξως ἀπολωλότων, καὶ τοιουτοτρόπως ἀπολωλέναι καὶ τούτους βούλεται.

Μαδιὰμ μὲν γὰρ, ἡ στρατιὰ τῶν Μαδιηναίων, ἀπὸ τοῦ Μαδιὰμ οὕτως Gen 37.28 ὀνομασθεῖσα, ἣν τῷ πλήθει τὴν γῆν καλύπτουσαν ὁ Γεδεὼν ἐν ἀνδράσι τριακοσίοις ἐξωλόθρευσε, καὶ τούτοις, ἀόπλοις, λαμπάδας μόνας καὶ σάλπιγγας ἐπιφερομένοις, ὡς ἡ τῶν Κριτῶν βίβλος ἱστορεῖ. Jdc 6-7

Ὁ Σισάρα δὲ, στρατηγὸς ἦν τῆς δυνάμεως Ἰαβεὶμ, βασιλέως Χαναὰν, ἔχων Jdc 4.2,13 ἅρματα σιδηρᾶ ἐνακόσια, οὓς καὶ ἄμφω κατεπολέμησε Βαρὰκ, κελευσθεὶς ὑπὸ Δεβώρας τῆς κρινούσης ἐν τοῖς καιροῖς ἐκείνοις τὸν Ἰσραήλ. Καὶ τὸν μὲν Σισάρα φεύγοντα ὑποδεξαμένη Ἰαὴλ, ἡ γυνὴ Χάβερ, ἐκοίμησε, καὶ σφύραν καὶ πάσσαλον λαβοῦσα, διήλασε τὸν κρόταφον αὐτοῦ, καὶ οὕτως ἀνεῖλε. Τὸν δὲ Ἰαβεὶμ, ὁ Βαρὰκ διέφθειρε, καὶ τὴν στρατιὰν αὐτοῦ πᾶσαν κατέκοψεν. Jdc 4.21,16

Ὁ δὲ χείμαῤῥος Κισσῶν, τόπος ἦν ἐν ᾧ ὁ πόλεμος γέγονε· καὶ ταῦτα δὲ, ἡ δηλωθεῖσα βίβλος διδάσκει. Jdc 4.7

10[5] ἀπολωλέναι MS[2]CBFV : ἀπολεσθῆναι P.

11α Ἐξωλοθρεύθησαν ἐν Ἀενδώρ.

Καὶ οὗτος, τόπος ἦν, ἐν ᾧ ὁ κατὰ τὸν | Σισάρα συνέστη πόλεμος. Τινὲς δὲ τὸν προειρημένον τόπον τοῦ χειμάῤῥου Κισσῶν, καὶ Ἀενδὼρ ἐκάλεσαν, ὡς διώνυμον.

11β Ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.

Ἄταφοι κείμενοι, καὶ σαπέντες καὶ διαλυθέντες.

12α Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ καὶ Σαλμανά.

Ἄρχοντας λέγει, τοὺς ἡγουμένους τῶν προμνημονευθέντων ἐθνῶν. Ὠρὴβ μὲν
οὖν καὶ Ζὴβ, ἄρχοντες τῶν Μαδιηναίων, οὓς ἀνεῖλεν ὁ δηλωθεὶς Γεδεών. Ζεβεὲ Jdc 7.25
δὲ καὶ Σαλμανὰ, βασιλεῖς αὐτῶν, οὓς καὶ αὐτοὺς ὁμοίως ἀπέκτεινε. Jdc 8.21

12β Πάντας τοὺς ἄρχοντας αὐτῶν.

Ὥστε μηδένα ὑπολειφθῆναι. Διὰ δὲ τῶν ἀρχόντων, καὶ τῶν ἀρχομένων κατηύξατο.

13 Οἵτινες εἶπον, Κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ.

Κληρονομήσωμεν, ἀντὶ τοῦ, κυριεύσωμεν, ἐξουσιάσωμεν, οὐ τιμῆς χάριν, ἀλλ'
ἁρπαγῆς τῶν ἱερῶν σκευῶν καὶ ἀναθημάτων· ἁγιαστήριον, τὸν ναὸν καλοῦντες,
ἐν ᾧ ὁ Θεὸς ἡγίαζε τὸν λαόν. Ps 72.17α

14α Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν.

Ἀστατοῦντας ἀεὶ, καὶ κυλιομένους ταῖς ἀλλεπαλλήλοις μεταβολαῖς· τοῦτο γὰρ τροχοῦ ἴδιον.

14β Ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου.

Εὐχερῶς διασκεδαννυμένους, καὶ μηδαμοῦ στάσιν εὑρίσκοντας.

15-16 Ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμὸν, ὡσεὶ φλὸξ ἣ κατακαύσει ὄρη, οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ ἐν τῇ ὀργῇ σου συνταράξεις αὐτούς.

Οὕτω καταδίωξον αὐτοὺς, ἀναλίσκων ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμόν· ὀξέως γὰρ τοῦτο καὶ ἀφειδῶς φέρεται κατὰ τῆς ὕλης· τοῦ δὲ, ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμὸν, ἐφερμηνευτικὸν τὸ, ὡσεὶ φλὸξ ἣ κατακαύσει ὄρη· ναὶ μὴν καὶ τοῦ, οὕτως

12α[2] ἡγουμένους MS[2]CBF : ἡγεμόνας PV.

καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, τὸ, *καὶ ἐν τῇ ὀργῇ σου συνταράξεις αὐτούς*. Καταιγίδα νῦν, τὴν ὀξεῖαν κίνησιν τῆς ὀργῆς ἐκάλεσε· καταιγίδος γὰρ ἴδιον, τὸ συνταράσσειν.

Καταδιώξεις δὲ καὶ συνταράξεις, ἢ προφητικῶς εἴρηνται, ἢ εὐκτικῶς, ἀντὶ τοῦ, *καταδίωξον καὶ συντάραξον*.

17α Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας.

Ἡττηθέντων.

17β Καὶ ζητήσουσι τὸ ὄνομά σου, Κύριε.

Ἐρωτῶντες μετ' ἐκπλήξεως, Τίς οὗτος ὁ Θεὸς ὁ παραδόξως τοὺς οἰκείους ῥυσάμενος καὶ ἀπολέσας ἡμᾶς;

18 Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν.

Κατευξάμενος αὐτῶν τὴν ἐν τῷ προσκαίρῳ αἰῶνι ἀπώλειαν, κατεύχεται καὶ τὴν ἐν τῷ μέλλοντι. Ἐκεῖνον γὰρ αἰῶνα αἰῶνος ὀνομάζει, ὡς προπαραδεδώκαμεν. Ps 9.6β
Ἀπώλειαν δὲ ἐπὶ τοῦ μέλλοντος αἰῶνος, οὐ τὴν ἀνυπαρξίαν, ἀλλὰ τὴν κόλασιν εἰρήκαμεν. Ἐν ἐκείνῳ γὰρ αἰσχύνονται, εἴτουν ἐντρέπονται, οἱ πονηροὶ, δημοσιευομένων αὐτοῖς τῶν ἔργων, καὶ ταράσσονται, βλέποντες τοῦ δικαστοῦ τὴν ἀποτομίαν, εἶτα κολάζονται.

19α Καὶ γνώτωσαν ὅτι ὄνομά σοι Κύριος.

Γνώτωσαν ἐξ ἀνάγκης, ἐπείπερ ἐκ προαιρέσεως οὐκ ἠθέλησαν.

19β Σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

Ἀπὸ κοινοῦ τὸ, *καὶ γνώτωσαν*. Καὶ γνώτωσαν ὅτι σὺ μόνος Θεὸς πάσης τῆς γῆς. Ὕψιστον γὰρ, τὸν Θεὸν ἐκάλουν, ὡς ὑπερουράνιον.

Ἁρμόζει δὲ ὁ ψαλμὸς καὶ τοῖς διωκομένοις ὑπὲρ Χριστοῦ. |

83 πγ´
1 Εἰς τὸ τέλος· ὑπὲρ τῶν ληνῶν· τοῖς υἱοῖς Κορέ.

Καὶ ὁ ὀγδοηκοστὸς ψαλμὸς ταύτην ἔλαχε τὴν ἐπιγραφὴν, καὶ ζήτει ἐκεῖ. Περὶ Ps 80.1
τούτων οὖν τῶν ληνῶν ὁ Δαυὶδ νῦν διέξεισιν.

2 Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων.

Τὸ, ὡς, ἐνταῦθα, τοιοῦτόν ἐστιν, οἷον καὶ τὸ, Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ· καὶ ζήτει ψαλμὸν οβʹ. Σκηνώματα δὲ λέγει, τὰς κατὰ τόπον Ἐκκλησίας, ἐν αἷς Ps 72.1β ἡ θεία κατοικεῖ χάρις, ἃς προεωρακὼς ὁ προφήτης ἠγάπησε.

Περὶ δὲ τοῦ, Κύριε τῶν δυνάμεων, εἴρηται ἐν τῷ οθʹ ψαλμῷ. Ps 79.20

3α Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.

Ἐκλείπει, ἀποδημῆσαι γλιχομένη πρὸς ταύτας, ἃς καὶ αὐλὰς ὁμοίως ὠνόμασεν, ὡς ἐνδιαιτήματα τοῦ Χριστοῦ. Ἢ ἐκλείπει, ἀντὶ τοῦ, ἐκλύεται, ἀτονεῖ, τῷ πυρὶ τοῦ πόθῳ ταλαιπωρουμένη.

Λέγεται δὲ τὸ ἐκλείπειν ἐπὶ τῶν θερμῶν ἐραστῶν, μὴ δυναμένων ὑπομεῖναι τὸν χωρισμὸν τῶν ποθουμένων. Καὶ πᾶς δὲ ὁ τῆς οὐρανίου καταπαύσεως ὀρεγόμενος, εἴποι ἂν ἀγαπητὰ σκηνώματα, τὰ νοητὰ, τὰ ἐν οὐρανοῖς· τὰ αὐτὰ δὲ, καὶ αὐλάς. Ἐπιποθεῖ δὲ, ἀντὶ τοῦ, ἐπείγεται.

3β Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.

Καὶ οὐχ ἡ ψυχὴ μόνη τοῦτο πέπονθεν, ἀλλὰ καὶ τὸ σῶμά μου ἐχάρη ἐπὶ τῷ Χριστῷ· ἀδιάφορος δὲ ἡ σύνταξις.

Ζῶντα δὲ αὐτὸν εἶπε, διὰ τὰ νεκρὰ εἴδωλα, ἢ καὶ ὡς ἀναστάντα ἐκ νεκρῶν.

Πρώτη δὲ ἡ καρδία χαίρει, εἶτα διαχεῖται ἡ χαρὰ καὶ ἐπὶ τὸ ἄλλο σῶμα.

4α Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς, τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων.

Στρουθίον καλεῖ, τὴν ἐπιβουλευομένην ψυχὴν ὑπὸ τῶν νοητῶν θηρευτῶν· Ἡ ψυχὴ γὰρ, φησὶν, ἡμῶν, ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Ps 123.7 Τρυγόνα δὲ, τὴν σώφρονα ψυχὴν καὶ φιλήσυχον καὶ γοερὰν, ἧς νοσσία, τουτέστιν, ἔκγονα, αἱ ἀρεταί. Ἐν ταῖς Ἐκκλησίαις γὰρ ἔχουσι τὴν σκέπην αἱ τοιαῦται ψυχαί. Οὗ δὲ θήσει, ἀντὶ τοῦ, ὅπου διαθήσει καὶ ἐνεργήσει.

Καὶ ἄλλως δὲ, στρουθίον μὲν, ὁ Χριστιανικὸς λαὸς, ἐπιβουλευόμενος ὑπό τε τῶν νοητῶν καὶ αἰσθητῶν θηρευτῶν, δαιμόνων, φημὶ, καὶ ἀνθρώπων ἀσεβῶν· τρυγὼν δὲ, πᾶς ἐπίσκοπος καὶ διδάσκαλος εὐσεβείας, οἳ ἐν ταῖς Ἐκκλησίαις τιθέασιν οὓς ἀναγεννῶσι πνευματικῶς.

Εὗρε γὰρ, φησὶ, τὸ μὲν, οἰκίαν, ἡ δὲ, νοσσιὰν, τὰ θυσιαστήριά σου, εἴτουν τὰς ἐκκλησίας σου, ἐν αἷς καθεκάστην θύῃ, ὁ πνευματικὸς Ἀμνός.

4β Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.

4α[13] θύῃ MS[2]CBF : θύεται PV.

Οὗτος ὁ στίχος κεῖται καὶ ἐν τῷ ε′ ψαλμῷ. Ps 5. 3β

5α Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου.

Ἐπεὶ γὰρ αὐτὸς ὁ Δαυὶδ ἐπεθύμησε μὲν εἰς τὰς δηλωθείσας αὐλὰς, πόῤῥω δὲ ἦν, μακαρίζει λοιπὸν τοὺς κατοικοῦντας ἐν αὐταῖς.

Οἶκον γὰρ τοῦ Χριστοῦ, ταύτας ὑποληπτέον. Ἀδιαφόρως δὲ οἶκον καὶ οὐκ οἴκους εἴρηκε· ταῖς μὲν γὰρ τοπικαῖς θέσεσι, πολλοί εἰσιν οἶκοι, τῇ εὐσεβείᾳ δὲ καὶ κοινωνίᾳ τῆς πίστεως, εἷς οἱ ἁπανταχῆ τυγχάνουσιν.

5β Εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Διὰ παντὸς ἀκατάπαυστον ἕξουσι τὴν σὴν ὑμνῳδίαν.

6α Μακάριος ἀνὴρ, ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ.

Μακάριος ἐκεῖνος, ᾧτινι αὐτῷ ἐστι βοήθεια ἀπὸ σοῦ. Περὶ δὲ τοῦ σχήματος τούτου εἴρηται ἐν τῷ θ′ ψαλμῷ, εἰς τὸ, Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει. Ps 9.28α

6β Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. |

Ὁ τοιοῦτος ἄνθρωπος ἀναβάσεις ἀπὸ τῶν γηΐνων ἐπὶ τὰ οὐράνια, καὶ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ, καὶ ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα, ἐν ἑαυτῷ διεμηχανήσατο, διενοήσατο, κατεσκεύασεν. Εἶεν δ᾽ ἂν αὗται, οἱ ἀγαθοὶ λογισμοὶ, δι᾽ ὧν ἄνεισί τις, ὡς διὰ κλίμακος, ἐπὶ τὰ ὑψηλὰ καὶ θεῖα.

Μακάριος, φησὶν, ὁ τὴν σὴν ἔχων ἀντίληψιν· ἔχει δὲ καὶ ταύτην, πᾶς ὁ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος.

7α Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος.

Διέθετο δὲ ταύτας ἐν ἑαυτῷ τὰς ἀναβάσεις, ὢν ἐν τῷ τόπῳ τοῦ κλαυθμῶνος· τόπος δὲ κλαυθμῶνος ἀναγωγικῶς, ἡ μετάνοια.

Εἴρηται δὲ κοιλὰς κλαυθμῶνος ἀπὸ μεταφορᾶς τοῦ τόπου, ἐν ᾧ πάλαι τὴν τῶν Ἑβραίων παρανομίαν διελέγξας ὁ Θεὸς, εἰς κλαυθμὸν τὸν λαὸν ἐκίνησε· διὸ καὶ Jdc 2.5
κοιλὰς κλαυθμῶνος, ὁ τόπος ἐκεῖνος ἐκλήθη.

Κοιλὰς δὲ, τὸ κοῖλον καὶ ταπεινόν· ἐν ταπεινώσει δὲ γίνεται ἡ μετάνοια.

7β Εἰς τὸν τόπον, ὃν ἔθετο.

Ὢν ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος, δηλαδὴ ἐν τῷ τόπῳ ὃν ἔθετο ἑαυτῷ, ἢ ὃν εἵλετο.

5α[2] αὐλάς MS[2]CBF : αὐλὰς εἰσελθεῖν PV. 6β[7] διατιθέμενος PCAFV : τιθέμενος MB. 7β[2] ἐν τῷ τόπῳ PCA : τῷ τόπῳ M.

7γ Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν.

Μακάριοι, φησὶν, οἱ ῥηθέντες· καὶ γὰρ καὶ ὁ Χριστὸς, ὁ νομοθετῶν τὰ τοιαῦτα διὰ τῶν εὐαγγελικῶν ἐντολῶν, εὐλογίας αὐτοῖς δώσει. Εἶεν δ' ἂν αὗται, οἱ διάφοροι μακαρισμοί. Mt 5.3-11

8α Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν.

Ἐξ ἀρετῆς εἰς ἀρετὴν, οἷον ἐκ ταπεινοφροσύνης εἰς πένθος, ἐκ δὲ πένθους εἰς κατάνυξιν, καὶ οὕτως ἐκ ταύτης εἰς ἐκείνην προκόπτοντες, ἀναβήσονται πρὸς τὴν ἀκρώρειαν. Δύναμιν δὲ, τὴν ἀρετὴν ἐκάλεσεν, ὡς ἰσχυροποιοῦσαν τὸν μετιόντα αὐτήν.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι πορεύσονται ἀπὸ προσευχῆς εἰς ἀνάγνωσιν τῶν θείων λογίων, καὶ ἀπὸ ἀναγνώσεως εἰς παραίνεσιν τῶν ἀτελεστέρων, καὶ ἀπὸ παραινέσεως εἰς εὐχαριστίαν καὶ ὑμνῳδίαν Θεοῦ.

Καὶ ἄλλως πάλιν, ἀπὸ δυνάμεως τῶν ἐνταῦθα χαρισμάτων εἰς τὴν δύναμιν τῆς βασιλείας τῶν οὐρανῶν.

8β Ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.

Τοῦτο, πρόῤῥησις τῆς τοῦ Σωτῆρος ἐνανθρωπήσεως· ἐν Σιὼν γὰρ ἀνέτειλε, κατὰ τὸ, *Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου*. Θεὸν δὲ τῶν θεῶν ἐκάλεσεν αὐτὸν, ὡς ἐν τῇ Ps 2.6
ἀρχῇ τοῦ μθ΄ ψαλμοῦ προεξηγησάμεθα. Ps 49.1β

9 Κύριε ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι, ὁ Θεὸς Ἰακώβ.

Ταὐτὸν εἰπεῖν, ὁ Θεὸς τῶν δυνάμεων, καὶ Κύριος τῶν δυνάμεων, περὶ οὗ ἐν τῇ ἀρχῇ τοῦ παρόντος εἴρηται ψαλμοῦ. Ps 83.2 Προσευχὴν δὲ λέγει, τὴν παράκλησιν, ἣν μέλλει προσαγαγεῖν προϊών.

Ὁ Θεὸς δὲ Ἰακὼβ, ἀντὶ τοῦ, ὁ καὶ τῷ Ἰακὼβ πάλαι ὀφθεὶς ἐν ἀνθρώπου σχήματι ἐπὶ τῇ πάλῃ. Gen 32.25

10 Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεὸς, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

Τοῦτο, ἡ προσευχή. Χριστὸν δὲ λέγει, πάντα Χριστιανόν· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο. Gal 3.27

Εἴρηται δὲ περὶ τούτου καὶ ἐν τῷ τέλει τοῦ προοιμίου τῆς βίβλου τῶν ψαλμῶν. § 113

11α Ὅτι κρεῖσσον ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.

11α[1] *κρεῖσσον* MPSCBF[T] : *κρείσσων* V[Ra].

Περὶ τῶν θείων αὐλῶν ἐλέχθη μικρὸν ἀνωτέρω. Ὑπὲρ χιλιάδας δὲ ἡμερῶν, τὰς ἐν ἑτέροις τόποις ἀνιέροις. Τὸ δὲ, ὅτι, βεβαιωτικόν. Ps 83.3α

11β Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.

Τὸ αὐτὸ πάλιν φησὶ, πλὴν φανερώτερον. Ὅρα δὲ ὅσον ἠγάπα τὸν θεῖον οἶκον, ᾧ τὸ παραῤῥιπτεῖσθαι ὡς ἔτυχε τοῦ οἰκεῖν ἁβρῶς ἐν ἁμαρτωλοῖς αἱρετώτερον | ἔκρινε διὰ τὸν ἐκεῖθεν ἁγιασμόν.

12α Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεός.

Ἐγκαταμίγνυσι τῷ ψαλμῷ καὶ νουθεσίαν προτρεπτικὴν εἰς πρακτικὴν ἀρετὴν καὶ θεωρητικὴν, λέγων ὅτι ὁ Θεὸς ἀγαπᾷ τὴν ἐλεημοσύνην καὶ τὴν ἀλήθειαν· ἔστι δὲ τῆς μὲν πρακτικῆς, ἡ ἐλεημοσύνη, τῆς δὲ θεωρητικῆς, ἡ ἀλήθεια. Εἰ δὲ ταύτας ἀγαπᾷ, δῆλον πάντως ὅτι καὶ τοὺς μετιόντας αὐτὰς, ἐπεὶ καὶ αὐτὸς, αὐτοέλεός ἐστι καὶ αὐτοαλήθεια. Τὸ δὲ, ὅτι, διηγηματικόν ἐστι, καὶ παρέλκον, καὶ ἰδιωματικόν.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι ὁ Χριστὸς, ἐλεῶν ἡμᾶς, ἐνηνθρώπησε, καὶ ἀληθὲς ἐκήρυξεν Εὐαγγέλιον.

12β Χάριν καὶ δόξαν δώσει.

Χάριν ἀφέσεως ἁμαρτιῶν, ὡς τῇ πόρνῃ καὶ πολλοῖς ἄλλοις, ἢ θαυμάτων, ὡς Lk 7.47
τοῖς ἀποστόλοις καὶ τοῖς λοιποῖς ἁγίοις. Δόξαν δὲ, καὶ τὴν παρὰ ἀνθρώπων, καὶ τὴν ἐν οὐρανοῖς.

Ἢ χάριν μὲν, τὴν τῆς θεώσεως, δόξαν δὲ, τὴν τῆς βασιλείας αὐτοῦ.

12γ Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.

Τινὲς καθ' ὑπερβατὸν τὰ ῥητὰ συντάττουσιν, οἷον, χάριν καὶ δόξαν δώσει τοῖς πορευομένοις ἐν ἀκακίᾳ· εἶτα, Κύριος οὐ στερήσει αὐτοὺς τῶν ἀγαθῶν, τῶν ἐν οὐρανοῖς. Ἀδιάφορος δὲ ἡ σύνταξις τοῦ, στερήσει, ὃ σημαίνει νῦν, τὸ κωλύσει.

Τινὲς δὲ, σύνταξιν ἀντὶ συντάξεως λαμβάνοντες, φασὶ, Κύριος οὐ στερήσει τῶν ἀγαθῶν τοὺς πορευομένους ἐν ἀκακίᾳ, εἴτουν ἐν ἀποχῇ τῶν κακῶν.

13 Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Καὶ ἐν τῷ λγ' ψαλμῷ εἴρηται, *Μακάριος ἀνὴρ, ὃς ἐλπίζει ἐπ' αὐτόν*. Ἐλπίζει Ps 33.9β
δὲ, ὁ πάντων καταφρονήσας τῶν βιωτικῶν καὶ τῷ Θεῷ μόνῳ προσανέχων.

13[3] *προσανέχων* MCBF : *προσανέσχων* SV.

Ἑβραῖοι δὲ καὶ τὸν παρόντα ψαλμὸν τῷ ἐν Βαβυλῶνι δορυαλώτῳ λαῷ ἀνατιθέασιν, ἐπιθυμοῦντι τοῦ ἐν Ἱεροσολύμοις ναοῦ, καὶ μακαρίζοντι τοὺς κατοικοῦντας ἐν αὐτῷ, καὶ προτιμῶντι μίαν ἡμέραν τῆς ἐν αὐτῷ διατριβῆς ὑπὲρ χιλιάδας ἡμερῶν τὰς ἐν ἄλλοις.

Οὐ δύνανται δὲ δι' ὅλου συμβιβάσαι τὴν ἑρμηνείαν αὐτοῦ. Τὸ γὰρ, *εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε*, προσίσταται· κατελύθη γὰρ καὶ ὁ ναὸς καὶ ὁ ἐν αὐτῷ αἶνος. Καὶ τὸ, *εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος*, ἀνακόλουθον αὐτοῖς, καὶ ἄλλα τινά.

Καὶ γὰρ καὶ ἡ ἐπιγραφὴ πρὸ τῶν ἄλλων ἐμποδίζει, ληνῶν πληθυντικῶς
μνημονεύουσα· πανταχοῦ δὲ ληνὸν ἑνικῶς ἡ Παλαιὰ τὸν ἐν Ἱεροσολύμοις λέγει Thr 1.15
ναὸν, καὶ σκήνωμα, καὶ οὐ σκηνώματα. Thr 2.6

84 πδʹ

1 Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορέ· ψαλμός.

Εἰς τὸ τέλος καὶ οὗτος, διὰ τὸ τέλος τῶν ἐν τούτῳ προφητειῶν. Προαγορεύει γὰρ τυπικῶς μὲν, τὰ τῆς ἐλευθερίας τῶν ἐν Βαβυλῶνι αἰχμαλώτων, ἀληθινῶς δὲ, τὰ τῆς ἐλευθερίας τῶν ἐν εἰδωλολατρείᾳ αἰχμαλώτων, καὶ τὴν ἐντεῦθεν ἀπαλλαγήν.

2α Εὐδόκησας, Κύριε, τὴν γῆν σου.

Ταῦτα προεωρακὼς ὁ προφήτης, προσφωνεῖ τῷ Θεῷ, ὅτι ἀγαθὰ ἠθέλησας τῇ γῇ σου· εὐδοκία γὰρ, ἡ ἀγαθοθέλεια. Ἀδιάφορος δὲ ἡ σύνταξις τοῦ, *εὐδόκησας*.

Τὴν γῆν σου δὲ, ὅτι *Τοῦ Κυρίου*, φησὶν, *ἡ γῆ*. Πρώην μὲν γὰρ, διὰ τὴν τοῦ Ps 23.1β
πρώτου Ἀδὰμ παρακοὴν, πονηρὰ αὐτῇ ἠθέλησεν ὁ Θεός· *Ἐπικατάρατος* γὰρ,
φησὶν, *ἡ γῆ ἐν τοῖς ἔργοις σου*. Νῦν δὲ τοὐναντίον, διὰ τὴν τοῦ νέου Ἀδὰμ ὑπακοήν. Gen 3.17
Καὶ πρότερον μὲν, κτίσμα Θεοῦ ἦν, ὕστερον δὲ, καὶ κτῆμα αὐτοῦ ἐγένετο.

Ἀλλ' οὕτω μὲν καθ' ἡμᾶς. Καθ' Ἑβραίους δὲ, γῆν Θεοῦ νοήσεις εἰδικῶς, τὴν Ἰουδαίαν, ὡς ἀφωρισμένην τῷ λαῷ αὐτοῦ, ἧς εὐδοκίαν φασὶ, τὸν ἐς αὖθις ἐνοικισμόν.

2β Ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. |

Ὡς ἤδη γεγονότα ἐκτίθεται τὰ μέλλοντα, νόμῳ προφητείας. Ἀπέστρεψας,
φησὶ, τὸν αἰχμάλωτον λαὸν τοῦ Ἰακὼβ ἀπὸ τῆς κατεχούσης αὐτὸν τυραννίδος· Pss 13.[7β],
Ἰακὼβ δὲ, καὶ ὁ Χριστιανικὸς λέγεται λαὸς, καθὼς διαφόρως εἴρηται. 76.[16]

3 Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.

Τοῦτον τὸν λαὸν καὶ ἐν τῷ προοιμίῳ τοῦ λαʹ ψαλμοῦ ἐμακάρισεν, εἰπὼν,

2α[2] προσφωνεῖ MCBF : προαναφωνεῖ PV.

Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. Ἀφῆκε Ps 31.1β
γὰρ ἡμῖν τὰς ἀνομίας ἡμῶν διὰ τὴν μετάνοιαν, καὶ ἐκάλυψε τὰς ἁμαρτίας ἡμῶν τοῖς ἱεροῖς ὕδασι τοῦ θείου βαπτίσματος.

Καθ' Ἑβραίους δὲ, παρεῖδε τὰς ἀνομίας δι' ἃς ᾐχμαλωτίσθησαν, καὶ ἐκάλυψε τὰς ἁμαρτίας αὐτῶν τῷ βυθῷ τῆς λήθης.

Λαὸς δὲ αὐτοῦ, ὁ μὲν παλαιὸς, κατὰ τὴν χρῆσιν ἣν παρηγάγομεν ἐν τῷ π′ Ps 80.9-10
ψαλμῷ, ὁ δὲ νέος, καθὼς ἀποδεδώκαμεν ἐν τῷ α′ στίχῳ τοῦ οζ′ ψαλμοῦ. Ps 77.1β

4α *Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου.*

Τὴν ἐπὶ ταῖς τοιαύταις ἀνομίαις καὶ ἁμαρτίαις.

4β *Ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.*

Τί μέν ἐστιν ὀργὴ θυμοῦ, εἰρήκαμεν ἐν τῷ οζ′ ψαλμῷ. Ἀπέστρεψας δὲ, ἀντὶ Ps 77.49α
τοῦ, μετεκλίθης· ἀνεχώρησας ἀπὸ τοῦ θυμοῦ σου ἐπὶ ἱλαρότητα καὶ εὐμένειαν.

5 *Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν.*

Λοιπὸν προσώπῳ τοῦ λαοῦ ποιεῖται τοὺς λόγους, ἢ καὶ ἐγκαταλέγων ἑαυτὸν αὐτοῖς· ἱκετεύει τυχεῖν αὐτοὺς ὧν εἴρηκε.

Περὶ δὲ τοῦ, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, εἴρηται ἐν τῷ ξζ′ ψαλμῷ. Ps 67.20β

Ἐπίστρεψον δὲ ἡμᾶς ἀπὸ τῆς αἰχμαλωσίας πρὸς τὴν προτέραν εὐγένειαν.

6α *Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν.*

Ἐνταῦθα τὸ, *εἰς τοὺς αἰῶνας*, ἀντὶ τοῦ, *μὴ αἰώνια, μὴ μακρά.*

6β *Ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν.*

Τὸ αὐτὸ πάλιν φησίν. Εἰς γενεὰν γὰρ, ἀντὶ τοῦ, ἕως γενεᾶς ἄλλης. Εἴρηται δὲ
περὶ τούτου καὶ ἐν τῷ θ′ ψαλμῷ. Διατενεῖς δὲ, ἀντὶ τοῦ, παρατενεῖς. Ps 9.27β

7α *Ὁ Θεὸς, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς.*

Ἐπιστρέψας ἡμᾶς οὐ μόνον ἀπὸ τῆς αἰχμαλωσίας, ἀλλὰ καὶ ἀπὸ τῶν ἁμαρτημάτων· ἢ καὶ, ἐπιστρέψας σὺ πρὸς ἡμᾶς, οὓς ἀπεστράφης. Ζωώσεις δὲ, ἀντὶ τοῦ, ζωώσαις πρὸς ἀρετὴν, νενεκρωμένους ἤδη πρὸς ἐργασίαν αὐτῆς.

6αβ Add. [MP in marg.]IS²B: Τινὲς δὲ ταῦτα κατ' ἐρώτησιν ἀναγινώσκουσιν ἠθικῶς· Μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου; : Τινὲς δὲ ταῦτα οὐ κατ' ἐρώτησιν ἀναγινώσκουσιν, ἀλλ' ἠθικῶς· Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν. V : CF om.

7β Καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.

Τυχὼν ἐπιστροφῆς τοιαύτης.

8 Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.

Τὰ ἐντεῦθεν περὶ τοῦ Χριστοῦ διαλαμβάνουσι.

Παρακαλεῖ γὰρ ὁ προφήτης τὸν Πατέρα, προσώπῳ τοῦ λαοῦ τῶν μελλόντων πιστεῦσαι, φανῆναι τὸν Χριστόν. Τοῦτο γὰρ καλεῖ, ἔλεος Θεοῦ καὶ σωτήριον Θεοῦ· ὅτι ἐλεήσας ἡμᾶς, ἐνηνθρώπησεν ἵνα σώσῃ ἡμᾶς, καὶ ὅτι ἐλεήμων ἐστὶ καὶ Σωτήρ. Ἔλεος δέ σου καὶ σωτήριόν σου, οἷον ὅτι τὸ ἔλεος τὸ παρὰ σοῦ, καὶ τὸ σωτήριον τὸ παρὰ σοῦ τοῦ Πατρός.

Δώσεις δὲ ἡμῖν, Ὅτι παιδίον, φησὶν, ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν. Isa 9.5

9α Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός.

Αἰσθόμενος ἐπιπνοίας θείας ὁ προφήτης, παρασκευάζει ἑαυτὸν εἰς τὸ ἀκοῦσαι. Ἐν ἐμοὶ δὲ εἶπε, δεικνὺς, ὅτι οὐκ ἔξω λαλήσει, ἀλλ' ἔνδον, εἰς τὰ ὦτα τῆς ψυχῆς.

9β Ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν.

Ἀκούσομαι, φησὶ, τί λαλήσει, διότι λα | λήσει πάντως, εἴτουν εὐαγγελίσεται εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ· καὶ ὄντως ὁ λαὸς αὐτοῦ εἰρήνην ἔχει πάντοτε πρός τε τὸν Θεὸν καὶ πρὸς ἑαυτὸν, ὥσπερ αὖθις μάχην πρὸς τοὺς ἐχθροὺς τοῦ Θεοῦ, τόν Rom 5.1
τε δαίμονα καὶ τοὺς τοῦ δαίμονος.

Τοὺς αὐτοὺς δὲ ἐκάλεσε λαὸν Θεοῦ, καὶ ὁσίους, τουτέστιν, ἀφωσιωμένους αὐτῷ καὶ ἐπιστρέφοντας ἐπ' αὐτὸν τὴν ἑαυτῶν καρδίαν, ἤγουν ψυχήν· ἢ ἀπὸ τῆς καρδίας, ὅλους ἐσήμανεν, ὡς ἀπὸ μέρους τὸ πᾶν.

10α Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ.

Τοῦτό ἐστιν ὃ ἤκουσε λαληθὲν ἐν αὐτῷ. Τὸ δὲ, πλὴν, περιττὸν, ἢ ἀντὶ τοῦ, ὄντως. Ἐγγὺς, φησὶ, τῶν φοβουμένων αὐτὸν ἔσται τὸ σωτήριον αὐτοῦ.

Ἔστι δὲ ὁ νοῦς τοῦ ῥητοῦ τοιοῦτος, ὅτι ὅταν ὦσί τινες φοβούμενοι αὐτὸν, καὶ μέλλωσι πιστεῦσαι, τότε ἐγγὺς αὐτῶν ἔσται ὁ Χριστὸς καὶ εὐθὺς φανήσεται.

10β Τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.

Ἐγγὺς ἔσται ἐπὶ τῷ κατασκηνῶσαι δόξαν καὶ χάριν καὶ τιμὴν ἐν τῇ γῇ τῶν Ἱεροσολύμων.

8[4] τοῦτο MPCIABF : τοῦτον V. 10α[2] αὐτῷ MPS[2]CABF : ἑαυτῷ V.

Ἢ ὅτι αὐτὸς ἦν ἡ δόξα, ὃς Σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν· ἢ ὅτι μετὰ τὴν ἐνανθρώπησιν τοῦ Σωτῆρος, ἔνδοξος καὶ τιμία καὶ ἐπιθυμητὴ γέγονεν ἡ γῆ ἐκείνη, μέχρι καὶ τήμερον. Jn 1.14

11 Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

Τινὲς ἀπαρίθμησιν τῶν ἐν Χριστῷ φαινομένων ἀρετῶν εἶπον ἐμφαίνειν ταυτὶ τὰ ῥητὰ, ὅτι συνέδραμον ἐν αὐτῷ ἔλεος καὶ ἀλήθεια — ὁ μὲν ἔλεος, ἐν τῷ ἰᾶσθαι τοὺς πάσχοντας, ἡ δὲ ἀλήθεια, ἐν τῇ ἀπταίστῳ διδασκαλίᾳ.

Ναὶ μὴν ἡνώθησαν ἐν αὐτῷ καὶ δικαιοσύνη καὶ εἰρήνη — τοῦτο γὰρ δηλοῖ τὸ, κατεφίλησαν — ἡ δικαιοσύνη μὲν, ἐν τῷ κρίνειν ὀρθῶς, καὶ ἐλέγχειν μὲν τοὺς πονηροὺς, ἐπαινεῖν δὲ τοὺς ἀγαθοὺς, ἡ δὲ εἰρήνη, ἐν τῇ πραότητι.

Γλαφυρώτερον δὲ εἰπεῖν, ἔλεος μέν ἐστιν ἡ θεία φύσις, ὡς ἐξουσίαν ἔχουσα
ἀφιέναι ἁμαρτίας καὶ λύειν νόσους, ἀλήθεια δὲ, ἡ ἀνθρωπίνη, ὅτι τὲ Οὐχ εὑρέθη Isa 53.9
δόλος, φησὶν, ἐν τῷ στόματι αὐτοῦ, καὶ ὅτι ἀληθῶς οὗτος μόνος ἐφύλαξε τὸ 1Pt 2.22
ἀξίωμα τῆς ἀνθρωπότητος, καὶ ὅτι ἀληθὴς ἦν φύσις ἀνθρωπίνη, καὶ οὐ κατὰ φαντασίαν· συνήντησαν οὖν, εἴτουν ἡνώθησαν εἰς μίαν ὑπόστασιν. Αὖθις δὲ δικαιοσύνη μὲν, ἡ θεία φύσις, μόνος γὰρ δίκαιος δικαστὴς, ὁ Θεὸς, εἰρήνη δὲ, ἡ ἀνθρωπίνη, διὰ τὴν ἔμφυτον πραότητα, αἳ καὶ κατεφίλησαν, ὃ ἐμφαίνει τὴν ἄγαν ἕνωσιν καὶ σχέσιν ἀλλήλων.

12 Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν.

Ἀσπασαμένων τῶν ἀνθρώπων διὰ τοῦ Υἱοῦ τὴν ἀληθῆ πίστιν, ὁ Πατὴρ ἐξ οὐρανοῦ δικαίαν πρόνοιαν αὐτῶν ἐποιήσατο, καθελὼν τὸν τύραννον αὐτῶν διάβολον.

Καὶ ἄλλως δὲ, ἀλήθειαν νοήσεις, τὸν Χριστόν· εἴρηκε γὰρ, Ἐγώ εἰμι ἡ
ἀλήθεια, οὗ ἀνατείλαντος ἐκ τῆς γῆς κατὰ τὴν κάτω γέννησιν, λυομένου λοιπὸν Jn 14.6
τοῦ ψεύδους τῆς πλάνης, ὁ Πατὴρ, ὅς ἐστι δικαιοσύνη, ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε, πρότερον ἀπεστραμμένος διὰ τὸ κατακεχυμένον τῆς γῆς ψεῦδος,
καὶ κατηλλάγη τὰ ἄνω τοῖς κάτω. 2Cor 5.18-21

13 Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.

Ὅρα πῶς ὁ Δαυὶδ ἐν βεβαίῳ προαγορεύει ὅτι ὁ μὲν Πατὴρ δώσει τοῖς ἀνθρώποις τὸν Υἱὸν αὐτοῦ, ὅς ἐστι χρηστότης· *Οὐδεὶς γὰρ ἀγαθὸς, εἰ μὴ εἷς, ὁ Θεός*. Καὶ γὰρ καὶ ὁ Σύμμαχος τὸν ἀγαθὸν εἶπεν. Mt 19.17

Ἡ δὲ γῆ δώσει τὸν καρπὸν αὐτῆς, τοὺς ἀποστόλους δηλονότι, καὶ τοὺς ἄλλους πιστοὺς, τοὺς ἀπὸ | τῆς Ἰουδαίας βλαστήσαντας.

Ἁπλούστερον δὲ εἰπεῖν, τοῦ Χριστοῦ γεννηθέντος, ὁ Κύριος δώσει ἔλεος τοῖς ἀνθρώποις, καὶ λοιπὸν ἡ γῆ πᾶσι καρποῖς εὐθηνήσει.

11[9] ὅτι τέ PSBF : ὅτι MCV.

14α Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται.

Δικαιοσύνην ἐνταῦθα λέγει, τὴν πᾶσαν ἀρετὴν, ἧς τὸ φῶς, προπορευόμενον καὶ ἀπαστράπτον αὐτοῦ, δίκην λαμπάδος ὑπεδείκνυεν αὐτὸν τοῖς ἀνθρώποις.

14β Καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

Καὶ λοιπὸν ὁ Χριστὸς τὰ διαβήματα ἑαυτοῦ, τουτέστι, τὴν ἐνάρετον ὁδὸν, ἣν αὐτὸς ἔτεμε καὶ ἐβάδισε, θήσει εἰς τὸ εἶναι ὁδὸν τοῖς Χριστιανοῖς, δι᾽ ἧς βαδίζοντες, ἀνέλθωσιν εἰς αὐτόν.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι ὁ πρόδρομος Ἰωάννης, ὃν ἐκάλεσεν ὁ Δαυὶδ νῦν δικαιοσύνην, ὡς τὴν νομικὴν δικαιοσύνην φυλάττοντα καὶ ὡς δικαίως
πολιτευόμενον, οὗτος ἐνώπιον, εἴτουν ἔμπροσθεν τοῦ Χριστοῦ προπορεύσεται. Mal 3.1
Ἰδοὺ γὰρ, φησὶν, *ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς* Mt 11.10
κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου· ἐβόα γὰρ, *Ἑτοιμάσατε τὰς ὁδοὺς* Isa 40.3
Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Mt 3.3

Σὺ δὲ καὶ ἑτέρως νόησον, ὅτι ἡ θεότης, ἡ αὐτοδικαιοσύνη, ἐνώπιον τοῦ προσλήμματος ἡγεμόνευε, καὶ ἐτίθει εἰς εὐθεῖαν τὰς πορείας αὐτοῦ· *Προωρώμην*
γὰρ, φησὶ, *τὸν Κύριον ἐνώπιόν μου διὰ παντός.* Ps 15.8α

85 πε´

1α Προσευχὴ τῷ Δαυίδ.

Δήλη μὲν ἡ ἐπιγραφή· εἴρηται δὲ ὅμως περὶ προσευχῆς ἐν τῷ προοιμίῳ τῆς
βίβλου. Προσευχόμενος δὲ ὑπὲρ ἑαυτοῦ ὁ Δαυὶδ, διδάσκει πῶς χρὴ προσεύχεσθαι § 63
τὸν ἐν ἀνάγκαις ὄντα. Προαγορεύει δὲ ἐνταῦθα καὶ κλῆσιν ἐθνῶν. Τινὲς δὲ προσώπῳ τοῦ Ἐζεκίου γεγράφθαι καὶ ταύτην τὴν προσευχὴν εἰρήκασιν.

1β Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου.

Περὶ τῆς κλίσεως τοῦ θείου ὠτὸς εἴρηται ἐν τῷ ις´ ψαλμῷ. Ps 16.6β

1γ Ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.

Πτωχὸς καὶ πένης, ἐν τῷ μὴ ἔχειν ἀξιόλογον δύναμιν κατὰ τῶν πολεμίων ὁρατῶν τε καὶ ἀοράτων, μηδ᾽ εἶναι πρὸς αὐτοὺς ἀξιόμαχος.

2α Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι.

Ὅτι ἀφωσιωμένος καὶ ἀνατεθειμένος σοί εἰμι, ὡς εἴρηται καὶ ἐν τῷ ιε´ ψαλμῷ· Ps 15.10β
ἢ ὅσιον ἑαυτόν φησιν, ὡς εὐσεβῆ τὰ εἰς Θεὸν, οἷα τῶν ἐχθρῶν ἀνοσίων ὄντων.

14β[2] ἑαυτοῦ MPCF : αὐτοῦ SBV.

2β Σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ.

Σῶσον ἀπὸ τοῦ προσδοκωμένου κινδύνου τὸν ἐπὶ μηδενὶ τῶν ἁπάντων ἢ ἐπὶ σοὶ μόνῳ θαῤῥοῦντα.

3 Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.

Τὸ, *ὅλην τὴν ἡμέραν*, ἀεὶ ὁ Σύμμαχος ἑρμηνεύειν λέγει.

4 Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Λῦσον τὴν κατέχουσάν με λύπην. Περὶ δὲ τοῦ, *ἦρα τὴν ψυχήν μου*, εἴρηται ἐν ἀρχῇ τοῦ κδʹ ψαλμοῦ. Ps 24.1β

5 Ὅτι σὺ, Κύριε, χρηστὸς καὶ ἐπιεικὴς, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.

Τὸ, *ἐπιεικὴς*, ἵλεως ἐξέδωκεν ὁ Ἀκύλας· ὁμοίως δὲ καὶ ὁ Θεοδοτίων. Καὶ ἡ ἐπιείκεια μέντοι, τὴν ἡμερότητα σημαίνει.

Τοῖς ἐπικαλουμένοις δέ σε, οὐχ ἁπλῶς, ἀλλ' ἐξ ὅλης καρδίας· καὶ γὰρ καὶ ἐν τῷ ρμδʹ ψαλμῷ εἰπὼν, *Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν*, ἐπήγαγε, *Πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ*, εἴτουν ὁλοψύχως. Ps 144.18

6 Ἐνώτισαι, Κύριε, τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. |

Περὶ τούτων εὑρήσεις ἐν τῇ ἀρχῇ τοῦ ιςʹ ψαλμοῦ. Ps 16β-δ

7 Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκουσάς μου.

Ἡμέραν θλίψεως, τὴν ἐνεστῶσαν αὐτίκα φησί· περὶ δὲ τοῦ, *ὅτι ἐπήκουσάς μου*, εἴρηται καὶ ἐν τῷ δηλωθέντι ιςʹ ψαλμῷ. Ps 16.6α

8 Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστιν κατὰ τὰ ἔργα σου.

Ὅτι πάντες, φησὶν, *οἱ θεοὶ τῶν ἐθνῶν, δαιμόνια, ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησε*. Καὶ σὺ μὲν, Θεὸς ἀληθινὸς, οἱ δὲ, ψευδώνυμοι. Ἔοικε δὲ εἰλῆφθαι τὸ Ps 95.5 ῥητὸν ἀπὸ τοῦ Μωυσέως, *Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε*, λέγοντος, *τίς ὅμοιός σοι, δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς, ἐνδόξως ποιῶν τέρατα;* Ex 15.11

Ἔργα δὲ τοῦ Χριστοῦ, οὐ μόνον ἡ δημιουργία καὶ πρόνοια τῆς ἀοράτου καὶ ὁρατῆς κτίσεως, ἀλλὰ καὶ ἡ τοῦ πλάσματος ἀνάπλασις, καὶ ἡ τοῦ τυράννου κατάλυσις, καὶ ἡ διὰ θανάτου τοῦ θανάτου θανάτωσις, καὶ ἡ δι' ὀλίγων καὶ εὐτελῶν ἁλιέων ὅλου τοῦ κόσμου σαγήνευσις· εἴποι δ' ἄν τις καὶ τὴν τῶν

θαυμάτων δύναμιν· εἰ γὰρ καὶ ἄλλοι τοιαῦτα θαύματα πεποιήκασιν, ἀλλ' οὗτος μὲν κατ' ἐξουσίαν, ἐκεῖνοι δὲ τὸν Θεὸν ἐπικαλούμενοι.

9-10 Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου, ὅτι μέγας εἶ σὺ καὶ ποιῶν θαυμάσια· σὺ εἶ ὁ Θεὸς μόνος.

Ἐνταῦθα προφητεύει περὶ τῆς πίστεως τῶν ἐθνῶν. Ἥξουσι, φησὶ, πρὸς σὲ διὰ πίστεως. Προσκυνεῖ δὲ ἐνώπιον τοῦ Θεοῦ ὁ ἐπιγινώσκων ὅτι ἐφορᾶται παρ' αὐτοῦ· ἐνώπιον δὲ τοῦ Θεοῦ, καὶ πᾶς τόπος τῆς δεσποτείας αὐτοῦ. Δοξάσουσι δὲ, Ps 102.22
ἀντὶ τοῦ, ὑμνήσουσι, μεγαλυνοῦσι· διότι μέγας ὄντως σὺ, καὶ σὺ εἶ ὁ Θεὸς μόνος, ποιῶν θαυμάσια.

11α Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου.

Ὁδὸς μὲν τοῦ Θεοῦ, ἡ πρακτικὴ ἀρετὴ, ἀλήθεια δὲ, ἡ θεωρητική. Ὁ γοῦν ὁδηγηθεὶς θεόθεν ἐπ' ἐκείνην, ἔρχεται ἐπὶ ταύτην.

Εὑρήσεις δὲ καὶ ἐν τῷ κδ' ψαλμῷ περὶ ὁδοῦ καὶ ἀληθείας, εἰς τὸ, *Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι*, καὶ αὖθις, *ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου.* Ps 24.4, 5α

11β Εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.

Εὐφρανθήτω, μὴ ἐν εὐφροσύνῃ τινὶ κοσμικῇ, ἀλλ' ἐν τῷ φοβεῖσθαί σε.

Ὅρα ξένην εὐφροσύνην. Ἔστω μοι εὐφροσύνη ὁ σὸς φόβος. *Εὐφρανθήτω γὰρ*, φησὶ, *καρδία ζητούντων τὸν Κύριον*. Ζητεῖ δὲ τὸν Θεὸν ὁ φοβούμενος αὐτόν. Καὶ Ps 104.3
γὰρ οὐ μόνον ὁ θεῖος φόβος, ἀλλὰ καὶ ἡ ἁπλῶς μνήμη τοῦ Θεοῦ εὐφραίνει τοὺς θεοσεβεῖς· *Ἐμνήσθην γὰρ*, φησὶ, *τοῦ Θεοῦ, καὶ εὐφράνθην.* Ps 76.4α

12α Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου.

Εὐχαριστήσω.

12β Καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.

Ἀεί.

13α Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ.

Πολύ.

13β Καὶ ἐῤῥύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.

9[8] ποιῶν PSCAFV : ὁ ποιῶν M.

Ἐπὶ μὲν τοῦ Δαυὶδ, ᾅδην νοήσεις, τὸ βάθος τῆς ἁμαρτίας, τῆς τε μοιχείας καὶ τοῦ φόνου τοῦ Οὐρίου· ἐπὶ δὲ Ἐζεκίου, τὸν ἐγγίσαντα αὐτῷ σωματικὸν θάνατον, 2Rg 11.2-27
ἀφ' οὗ παραδόξως ἐῤῥύσθη. 4Rg 20.1-11

Εἴη δ' ἂν ᾅδης καὶ πᾶς κίνδυνος, εἴτε παρὰ ὁρατῶν ἐχθρῶν, εἴτε παρὰ ἀοράτων ἐπαγόμενος.

14α Ὁ Θεὸς, παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ.

Καὶ οἱ τῷ Δαυὶδ ἐπιβουλεύοντες παρανομίᾳ συνέζων, καὶ οἱ τὸν Ἐζεκίαν δὲ πολιορκοῦντες Ἀσσύριοι. Λέγοιντο δ' ἂν καὶ πάντες αἰσθητοὶ καὶ νοητοὶ πολέμιοι.

14β Καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν. |

Οἱ αὐτοί. Ταυτὶ δὲ τὰ ῥητὰ κεῖνται καὶ ἐν τῷ νγʹ ψαλμῷ. Ps 53.5

15 Καὶ σὺ, Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.

Ὡς μὲν οἰκτίρμων καὶ ἐλεήμων, συμπαθεῖς τοῖς καταδυναστευομένοις· ὡς δὲ μακρόθυμος, οὐ παραδίδως εὐθὺς εἰς χεῖρας ἐχθρῶν τοὺς ἁμαρτάνοντας· ὡς δὲ πολυέλεος, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις ἐλεεῖς· ὡς δὲ ἀληθινὸς, σῴζεις τοὺς ἐλπίζοντας ἐπὶ σέ.

16α Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με.

Οὗτος ὁ στίχος κεῖται καὶ ἐν τῷ κδʹ ψαλμῷ. Ps 24.16α

16β Δὸς τὸ κράτος σου τῷ παιδί σου.

Τὸ παρὰ σοῦ κράτος κατὰ τῶν ἐχθρῶν. Παιδὶ δὲ, τῷ δούλῳ σου.

16γ Καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.

Τῆς δούλης σου. Ἐμφαίνει δὲ ὅτι ἐκ προγόνων ἐστὶν εὐσεβής.

17α Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν.

Ἐπίθες μοι γνώρισμα εἰς ἀγαθὸν, εἴτουν ἀγαθὸν, καθάπερ ταῖς οἰκίαις τῶν Ἑβραίων, ὅτε ὠλοθρεύοντο τὰ πρωτότοκα τῶν Αἰγυπτίων. Ex 12.13

14α[3] δὲ PSCAV : om. M. 17α[2] εἴτουν ἀγαθόν MCBFV : om. P.

Ἔστι γὰρ σημεῖον καὶ εἰς πονηρὸν, ὡς τὸ ἐπιτεθὲν τῷ Κάϊν. Gen 4.15

Καὶ γὰρ τὸ μὲν τῶν Ἑβραίων ἐδήλου φυλακὴν, τὸ δὲ τοῦ Κάϊν, ὀργὴν τοῦ Θεοῦ.

17β *Καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σὺ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.*

Καθ' ὑπερβατὸν ἡ σύνταξις. Καὶ ἰδέτωσαν οἱ μισοῦντές με, ὅτι σὺ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με, καὶ αἰσχυνθήτωσαν, ὡς ἡττώμενοι.

Παράκλησιν δὲ ἐνταῦθα λέγει, τὴν ψυχαγωγίαν.

86 *πς´*

1α Τοῖς υἱοῖς Κορέ· ψαλμὸς ᾠδῆς.

Εἴρηται περὶ τούτων ἐν τῷ προοιμίῳ τῆς βίβλου. §§ 50, 65

Προαγορεύει δὲ οὗτος ὁ ψαλμὸς τὴν τοῦ Χριστοῦ γέννησιν καὶ τὴν τῶν ἐθνῶν σωτηρίαν.

1β *Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.*

Αὐτοῦ· τίνος; ἢ δῆλον ὅτι τοῦ Χριστοῦ. Καὶ τοῦτο γνώριμον ἀπὸ τῆς ἐφεξῆς ἀκολουθίας, τοῦ, *Μήτηρ Σιὼν, ἐρεῖ ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.* Ps 86.5

Θεμέλιοι δὲ τοῦ Χριστοῦ, τὰ περὶ αὐτοῦ δόγματα· ταῦτα γὰρ ὑποβάθρα καὶ ῥίζα τῆς εἰς Χριστὸν πίστεως. Οὗτοι οὖν οἱ θεμέλιοί εἰσιν ἐν τοῖς ἀποστόλοις καταβεβλημένοι· τούτους γὰρ, ὄρη ἅγια νῦν ἐκάλεσεν· ὄρη μὲν, ὡς στεῤῥοὺς εἰς πίστιν καὶ ὡς ὑπερηρμένους πάσης γεηρᾶς καὶ χθαμαλῆς σχέσεως καὶ ὡς πεπυκνωμένους ταῖς ἀρεταῖς· ἁγίους δὲ, ὡς ἀφωρισμένους τῷ Θεῷ καὶ ὡς Πνεύματος ἁγίου πεπληρωμένους. Rom 1.1

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν θεμελίους τοῦ Χριστοῦ, αὐτοὺς τοὺς ἀποστόλους· θεμελίους μὲν, ὡς ἀρχὰς καὶ πρώτους τῆς οἰκοδομῆς τῆς Ἐκκλησίας τῶν πιστῶν· τοῦ Χριστοῦ δὲ, ὡς παρ' αὐτοῦ ὑποβεβλημένους· οἵτινες ἦσαν ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, ἤτοι τῷ Σιὼν καὶ τῷ Θαβὼρ καὶ τοῖς ἄλλοις ἅτινα ἡγιάσθησαν μάλιστα τῇ ἐν αὐτοῖς ἀναστροφῇ τοῦ Χριστοῦ. Eph. 2.20

Φασὶ δέ τινες θεμελίους νοεῖσθαι τοῦ Χριστοῦ, τὰς περὶ Χριστοῦ προῤῥήσεις τῶν προφητῶν, ὡς ἀρχὰς τῆς κατὰ Χριστὸν πίστεως· ὄρη γὰρ ἅγια, καὶ οἱ προφῆται, διά τε τὸ ὕψος τῆς προφητείας καὶ τὸν ἁγιασμὸν τοῦ προφητικοῦ πνεύματος, δηλοῦντος τοῦ νοήματος, ὅτι αἱ ἀρχαὶ τῆς κατὰ Χριστὸν πίστεως ἐν τοῖς προφήταις ἦσαν.

2 Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

1β[3] ἐγεννήθη MPSCAV : ἐγενήθη [TRa].

Ἐδίδαξεν ἡμᾶς ὁ μέγας Παῦλος εἶναί τινα Σιὼν ἐπουράνιον καὶ Ἰερουσαλὴμ ἐπουράνιον· *Προσεληλύθατε γὰρ*, φησὶ, *Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἰερουσαλὴμ ἐπουρανίῳ*, τὴν ἐν οὐρανῷ πολιτείαν οὕτω καλέσας. Ταύτης οὖν τῆς Heb 12.22 Σιὼν | πύλας νοήσεις, τὰς κατὰ τόπον Ἐκκλησίας, ὡς εἰρήκαμεν ἐν τῷ τέλει τοῦ οβʹ ψαλμοῦ, ἃς ἀγαπᾷ Κύριος, προτιμήσας πασῶν τῶν πόλεων τοῦ Ἰσραηλιτικοῦ Ps 72.28γ γένους.

Σκηνώματα γὰρ, αἱ πόλεις, ἢ καὶ σκηνώματα ἰδίως καλεῖ, τήν τε Σηλὼμ καὶ τὴν αἰσθητὴν Ἰερουσαλὴμ, ἐν αἷς ἐσκήνωσεν ἡ κιβωτὸς, ὡς ἐν τῷ οζʹ ψαλμῷ Ps 77,9, 60α προείρηται.

3 Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.

Ἀκούσας ὁ προφήτης παρὰ τοῦ ἁγίου Πνεύματος ὅτι ὁ Θεὸς ἐπὶ τῆς Ἰερουσαλὴμ ὀφθήσεται καὶ τοῖς ἀνθρώποις συναναστραφήσεται, καὶ ὑπερεκπλαγεὶς, ἀνεβόησε Bar 3.38 πρὸς αὐτὴν, ὅτι μεγάλα καὶ θαυμαστὰ ἐλαλήθη μοι περὶ σοῦ, ὦ ἡ πόλις τοῦ Θεοῦ.

Πόλις δὲ αὕτη τοῦ Θεοῦ, καὶ ὡς πάλαι τῷ Θεῷ ἀνατεθεῖσα καὶ ὡς ὕστερον τῷ Χριστῷ ἀφορισθεῖσα διὰ τὰ ἐν αὐτῇ πάθη καὶ τὸν τάφον αὐτοῦ.

4α Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με.

Προσώπῳ μὲν τοῦ Σωτῆρος ἐκπεφώνηται οὗτος ὁ λόγος· προφητεύει δὲ ὅτι ἐκ πολλῶν ἐθνῶν, καὶ ἐξ αὐτῶν δήπου τῶν δυσσεβεστέρων, ἡ Ἐκκλησία συστήσεται. Διὰ μὲν γὰρ τῆς Ῥαὰβ, τοὺς Χαναναίους ᾐνίξατο, Χαναναία γὰρ αὕτη· δυσσεβέστατοι δὲ καὶ οἱ Χαναναῖοι καὶ οἱ Βαβυλώνιοι. Εἶτα καταλέγει καὶ Nu 13.17, 21 ἄλλα ἔθνη τοιαῦτα. Καὶ γινώσκοντας μὲν λέγει, τοὺς πιστεύσαντας.

Ἔστι δὲ ὁ νοῦς τοιοῦτος, ὅτι ἐν τῷ συστήματι τῶν πιστευσάντων μοι, μνήμης ἀξιώσω καὶ τούσδε καὶ τούσδε, τουτέστι, φροντίσω καὶ αὐτῶν, ὡς πιστῶν.

Τινὲς δὲ Ῥαὰβ, τὴν Ἀραβίαν φασί.

4β Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος, καὶ λαὸς τῶν Αἰθιόπων, οὗτοι ἐγεννήθησαν ἐκεῖ.

Καὶ ἀλλόφυλοι καὶ Τύριοι καὶ Αἰθίοπες ἐτέχθησαν ἐκεῖ, εἴτουν ἐν τῇ Σιὼν, ἢ ἐν ταῖς πύλαις τῆς Σιὼν, ὡς εἴρηται, ἢ ἐν τοῖς γινώσκουσι τὸν Θεόν· τὸ γὰρ ἐγεννήθησαν, ἐτέχθησαν ἐξέδωκεν ὁ Ἀκύλας, ὁμοίως δὲ καὶ ὁ Σύμμαχος· ἐτέχθησαν δὲ δι᾽ ἀναγεννήσεως τοῦ θείου βαπτίσματος. Περιττεύει δὲ τὸ, *ἰδοὺ*, κατὰ ἰδίωμα τῆς Ἑβραΐδος γραφῆς· καὶ τὸ, *οὗτοι δὲ*, παρέλκον δοκεῖ.

Συντάσσεται δὲ καὶ οὕτως· καὶ ἰδοὺ, ἀντὶ τοῦ, καὶ λοιπὸν, οὗτοι ἐγεννήθησαν ἐκεῖ. Τίνες οὗτοι; Ἀλλόφυλοι καὶ Τύρος, καὶ τὰ ἑξῆς.

Περὶ μὲν οὖν τῶν ἀλλοφύλων εἴρηται ἐν τῷ πβʹ ψαλμῷ. Ps 82.8β

Πάντα δὲ τὰ ἀπαριθμηθέντα ἔθνη, ἀσεβέστερα καὶ παρανομώτερα τῶν ἄλλων ἦσαν. Εἰ δὲ τὰ τοιαῦτα ἔθνη πιστεύσουσιν, πολλῷ μᾶλλον τ᾽ ἄλλα.

2[5] Ἰσραηλιτικοῦ SCAV : ἱερατικοῦ M. 4β[1] ἐγεννήθησαν MCAV : ἐγενήθησαν Ra. 4β[2] ἐτέχθησασν SCL : ἐτάχθησαν MV.

5α Μήτηρ Σιὼν, ἐρεῖ ἄνθρωπος.

Προφητεύει σαφῶς ὅτι ἄνθρωπος ἐκ παντὸς ἔθνους, εἰς τὴν Σιὼν ἐλθὼν, ἐρεῖ, ὅτι μήτηρ ἐστὶν ἡ Σιών· λείπει γὰρ τὸ, ἐστί. Μήτηρ δέ ἐστιν, ὡς ἀναγεννῶσα, καθὼς ἀνωτέρω διελάβομεν, καὶ ὡς ἐκτρέφουσα τοῖς περὶ Χριστοῦ δόγμασιν.

Ἢ μήτηρ πάλιν, ὡς ποθεινή· μητρὸς γὰρ οὐδὲν ποθεινότερον. Ποθεινὴ γὰρ ὄντως τοῖς εἰς αὐτὴν ἐρχομένοις ἐστὶ, διὰ τὸ ἐν αὐτῇ πολιτευθῆναι κατὰ σάρκα τὸν Δεσπότην Χριστὸν, καὶ ἁγιάσαι τοὺς τόπους τῆς ἀναστροφῆς αὐτοῦ.

5β Καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ.

Τοῦτο, περὶ τῆς τοῦ Χριστοῦ γεννήσεως, ὅτι ἐν τοῖς ὁρίοις αὐτῆς ἐγεννήθη ἄνθρωπος ὄντως, ὡς φυλάξας τὸ ἀξίωμα τῆς ἀνθρωπότητος.

Ἵνα δὲ δείξῃ ὅτι οὐκ ἦν ψιλὸς ἄνθρωπος, ἀλλ' ἄνθρωπος ὁμοῦ καὶ Θεὸς, ἐπήγαγε·

5γ Καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.

Καὶ αὐτὸς ὁ ἐν αὐτῇ γεννηθεὶς ὡς ἄνθρωπος, αὐτὸς, φησὶν, ἐθεμελίωσεν αὐτὴν κατ' ἀρχὰς ὡς ποιητὴς οὐρανοῦ καὶ γῆς, ὁ ὢν ὕψιστος ὡς Θεός.

6 Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων τῶν γεγεννημένων ἐν αὐτῇ. |

Ὁ Χριστὸς διδάξει τὰ περὶ ἑαυτοῦ ἀπὸ τῆς Γραφῆς, δηλαδὴ τῆς προφητικῆς. Φησὶ γὰρ Λουκᾶς ὁ εὐαγγελιστὴς, *Καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου, καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον, Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, καὶ τὰ ἑξῆς.* Τὴν δὲ τοιαύτην προφητικὴν γραφὴν, ἐκάλεσε γραφὴν τῶν Lk 4.16-17
λαῶν καὶ τῶν ἀρχόντων αὐτῶν, ὡς τοῖς λαοῖς τῶν Ἰουδαίων καὶ τοῖς ἄρχουσιν αὐτῶν δεδομένην, καὶ κτῆμα τούτων ὑπάρχουσαν· τῶν γεγεννημένων δὲ, εἴτουν τεχθέντων ἐν Σιών.

7 Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

Τὸ, ὡς, βεβαιωτικόν. Ὄντως, ὦ Σιὼν, ἐν σοὶ ἔσται ἡ κατοικία πάντων τῶν εὐφραινομένων πνευματικῶς· σὲ κατοικήσουσι. Τὸ δὲ, πάντων, εἰ καὶ καθολικὸν σχηματίζει τύπον, ἀλλ' οὖν ἰδίωμα καὶ τοῦτό ἐστιν, ἐμφαῖνον πλῆθός τινων.

5γ[2] ὡς ἄνθρωπος PS[2]ABFV : ἄνθρωπος MC. 6[1] γεγεννημένων MPCAV : γεγενημένων BF[TRa].

87 πζʹ

1 Ὠιδὴ ψαλμοῦ· τοῖς υἱοῖς Κορέ· εἰς τὸ τέλος· ὑπὲρ Μαελέθ· τοῦ ἀποκριθῆναι· συνέσεως· Αἱμὰν τῷ Ἰσραηλίτῃ.

Τί μέν ἐστιν ᾠδὴ ψαλμοῦ, καὶ περὶ τῶν υἱῶν Κορὲ, διελάβομεν ἐν τῷ προοιμίῳ τῆς βίβλου. §§ 65, 50

Εἰς τὸ τέλος δὲ, διὰ τὸ βλέπειν εἰς τέλος τὴν ἐν τούτῳ προφητείαν. Ὁ μὲν γὰρ προλαβὼν ψαλμὸς περὶ τῆς Χριστοῦ γεννήσεως προεφήτευσεν, οὗτος δὲ, περὶ τοῦ θανάτου αὐτοῦ.

Τὸ δὲ, ὑπὲρ Μαελὲθ, ἀντὶ τοῦ, διὰ χορεύσεως· ᾖδον γὰρ καὶ ἅμα ἐχόρευον.

Τοῦ ἀποκριθῆναι δὲ, ἀντὶ τοῦ, ἐν τῷ ἀποκριθῆναι· ἐχόρευον γὰρ ἐν τῷ ἀποκριθῆναι πρὸς τὴν δι' ὀργάνου μουσικήν.

Συνέσεως δὲ, ὅτι χρεία συνέσεως τοῖς ἀναγινώσκουσι διὰ τὸ ἐγκεκρυμμένον τῷ ψαλμῷ περὶ τοῦ Δεσποτικοῦ θανάτου μυστήριον.

Αἱμὰν δὲ τῷ Ἰσραηλίτῃ, διότι οὐ μόνοις τοῖς υἱοῖς Κορὲ, ἀλλὰ καὶ Αἱμὰν τῷ ἀρχῳδῷ παραδέδοται ὁ ψαλμὸς ὑπὸ Δαυίδ· καὶ ὑπ' ἀμφοτέρων τῶν χορῶν ᾔσθη, συνᾳδόντων ἢ καὶ ἀνὰ μέρος ᾀδόντων.

Τινὰ μὲν οὖν τῶν ἀντιγράφων Αἱμὰν γράφουσι, τινὰ δὲ Αἰθάμ· ἄμεινον δὲ ἐν τῷ παρόντι μὲν Αἱμὰν γράφειν, ἐν δὲ τῷ μετὰ τοῦτον, Αἰθάμ. Ἐν γὰρ τῇ πρώτῃ τῶν Παραλειπομένων καὶ Αἱμὰν καὶ Αἰθὰμ ἀναγράφονται χοράρχαι. 1Par 15.16-17

Τῷ Ἰσραηλίτῃ δὲ, οὐχ ὡς τῶν ἄλλων μὴ ὄντων Ἰσραηλιτῶν, ἀλλ' ὡς καὶ ἄλλων ὄντων Αἱμὰν καὶ Αἰθὰμ ἀλλοφύλων, ὧν πρὸς ἀντιδιαστολὴν ἡ τοῦ Ἰσραηλίτου προσηγορία.

2 Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Περὶ μὲν τοῦ, ὁ Θεὸς τῆς σωτηρίας μου, εἴρηται ἐν τῷ ξζʹ ψαλμῷ· Κύριον δὲ καὶ Θεὸν, ὁ Χριστὸς καλεῖ τὸν Πατέρα, ὡς ἄνθρωπος· πολλὰ γὰρ τοιαῦτα εἶπε καὶ ἐν τῷ καʹ ψαλμῷ. Ps 67.20β

Ἡμέρας δὲ καὶ ἐν νυκτὶ, ἀντὶ τοῦ, διὰ παντός. Ἐμφαντικὸν δὲ τοῦτο τῆς πρὸς Θεὸν πίστεως· ὁ γὰρ εἰλικρινῶς τὸν Θεὸν ἀγαπῶν ἀεὶ βοᾷ ἐνώπιον αὐτοῦ, τοῦτο μὲν στόματι, τοῦτο δὲ καρδίᾳ· ἀεὶ γὰρ χρήζει τῆς παρὰ Θεοῦ ἀντιλήψεως.

Ἢ ἡμέρα καὶ νύκτα λέγει, τὴν τῆς προδοσίας.

3 Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Προσευχὴν καὶ δέησιν ἐνταῦθα νοήσεις, ἢ τὴν περὶ τῶν μαθητῶν αὐτοῦ, ἢ τὴν Jn 17.1-26
περὶ τοῦ παρελθεῖν τὸ τοῦ θανάτου ποτήριον, ὡς ἐν τοῖς Εὐαγγελίοις εὑρήσεις. Mt 26.39

Ὡς ἄνθρωπος δὲ τὰ ταπεινὰ ταυτὶ φθέγγεται, καθὼς ἐν τῷ καʹ ψαλμῷ προείρηται. Ps 21.1

Περὶ δὲ τῆς κλίσεως τοῦ θείου ὠτὸς ἐν τῷ ιςʹ ψαλμῷ παραδεδώκαμεν. Ps 16.6α

4 Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.

Κακῶν, | ἀντὶ τοῦ, θλίψεων. *Περίλυπος γὰρ, φησὶν, ἐστὶν ἡ ψυχή μου, ἕως θανάτου*. Ἅιδην γὰρ νῦν, τὸν θάνατον ὑποληπτέον. Ps 41.6α

5α Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον.

Προσελογίσθην, ἀντὶ τοῦ, συνηριθμήθην, συνετάγην μετὰ τῶν θαπτομένων· τούτους γὰρ λέγει, καταβαίνοντας εἰς λάκκον· εἴρηται γὰρ ὅτι λάκκος λέγεται καὶ ὁ τάφος. Ps 27.1ε

Τὰ μὲν οὖν πρὸ τοῦ παρόντος ῥητοῦ, τῷ πρὸ τοῦ θανάτου καιρῷ ἁρμόζουσι, τοῦτο δὲ, τῷ μετὰ τὴν ταφήν.

5β Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος.

Οὐχ ὡσεὶ ἄνθρωπος μόνον — ἦν γὰρ τέλειος ἄνθρωπος — ἀλλ᾽ ὡσεὶ ἄνθρωπος ἀβοήθητος· *Πάντες γὰρ, φησὶν, ἀφέντες αὐτὸν, ἔφυγον*. Mt 26.56

Ἔδοξε μὲν οὖν ἀβοήθητος τοῖς ἀνθρώποις, οὐκ ἦν δέ· εἴρηκε γὰρ πρὸς τὸν Πέτρον, *Ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν Πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων;* Mt 26.53

5γ Ἐν νεκροῖς ἐλεύθερος.

Προσυπακουστέον τὸ, ἐγενήθην. Ἀφικόμην εἰς τοὺς νεκροὺς ἐλεύθερος, ὅ ἐστιν, ἀναίτιος, ἐλλείποντος τοῦ ἄρθρου. Οἱ μὲν γὰρ ἄλλοι πάντες αἰτίαν ἔχουσι θανάτου, τὴν ἁμαρτίαν — ἐπιτίμιον γὰρ τῆς ἁμαρτίας, ὁ θάνατος — μόνος δὲ ἀναίτιος, ὡς ἀναμάρτητος, ὁ Χριστός. Rom 5.12

Ἢ ἐλεύθερος, ὡς τῶν ἄλλων μὲν ἀκόντων ἀποθνησκόντων καὶ διὰ τοῦτο δεδουλωμένων τῷ θανάτῳ, τοῦ δὲ Χριστοῦ, ἑκόντος. *Ἐξουσίαν γὰρ, φησὶν, ἔχω θεῖναι τὴν ψυχήν μου*. Jn 10.18

Ἢ καὶ ἄλλως, ἐλεύθερος, ὡς μὴ συσχεθεὶς τοῖς δεσμοῖς τοῦ ᾅδου, ἀλλὰ κατ᾽ ἐξουσίαν ἐν τῷ ᾅδῃ ἀναστραφεὶς, καὶ λύσας μᾶλλον τοὺς τῶν ἄλλων δεσμούς. Ἔτι δὲ, ἐλεύθερος νεκρότητος καὶ θανάτου ὡς Θεός.

6α Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ.

Προσυπακουστέον κἀνταῦθα τὸ, ἐγενήθην.

Ὁ δὲ Σύμμαχος ἐξέδωκεν, *ὡσεὶ τετρωμένοι κείμενοι ἐν τάφοις*.

6β Ὧν οὐκ ἐμνήσθης ἔτι.

5γ Add. [M in marg.]PV : Ἐλεύθερος διαφθορᾶς· ἢ μὴ ὑπ᾽ ἀγγέλων καταγόμενος εἰς τὸν ᾅδην, ἀλλὰ μόνος κατιών. : om. SCBF.

Σηπομένων καὶ εἰς χοῦν διαλυομένων.

6γ Καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

Οἵτινες ἐκ τῆς ἀντιλήψεώς σου ἐξέπεσον διὰ τὰς ἁμαρτίας αὐτῶν. Ὡμοιώθην φησὶ τοιούτοις, ὅσον ἐπὶ τῇ ὑπολήψει τῶν ἀνθρώπων· οὐκ ἤμην δὲ τοιοῦτος. Εἰ γὰρ καὶ ἐτρώθην ἥλοις καὶ λόγχῃ, καὶ ἐτέθην ἐν τάφῳ, ἀλλ' οὐκ ἐπελήσθην παρὰ σοί· *Οὐ γὰρ δώσεις*, φησὶ, *τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν*· οὐδ' ἀπώσθην ἐκ τῆς Ps 15.10β
χειρός σου. *Ἐμοῦ γὰρ*, φησὶ, *διὰ τὴν ἀκακίαν ἀντελάβου*. Ps 40.13α

7α Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ.

Λάκκον κατώτατον, τὸν τάφον φησὶν, οὗ τὸ βάθος, *καρδίαν γῆς* εἴρηκε καὶ ἐν Mt 12.40
τοῖς Εὐαγγελίοις ὁ Χριστός· ἔθεντο δέ με, οἱ περὶ τὴν ταφὴν διακονήσαντες. Jn 19.38-40

7β Ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

Ἐν σκοτεινοῖς τόποις· ἐπιτεθέντος γὰρ τοῦ λίθου, σκότος ἐν τοῖς τοῦ μνημείου γέγονε τόποις· σκιὰν δὲ θανάτου, πάλιν τοὺς ἐν τῷ τάφῳ σκοτεινοὺς λέγει τόπους, δι' ἑτέρων λέξεων τὸ αὐτὸ σημαίνων. Σκιὰ γὰρ λέγεται καὶ τὸ σκότος.

8α Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου.

Τὸ, *ἐπεστηρίχθη*, ὁ Σύμμαχος, *ἐπεβάρησεν* ἐξέδωκεν.

Ἐπ' ἐμὲ, φησὶ, κατέσκηψεν ὁ κατὰ τῶν ἀνθρώπων θυμός σου, ὃν αἱ ἁμαρτίαι αὐτῶν ἐξέκαυσαν, ἑκουσίως ὑποστάντα αὐτὸν καὶ παύσαντα· παθὼν γὰρ ὑπὲρ αὐτῶν καὶ ἀποθανὼν, ἔστησα τὸν θυμόν σου, καθάπερ ὁ τὴν κατὰ τοῦ παιδὸς φερομένην πληγὴν εἰς ἑαυτὸν ἀντιπερισπάσας. *Τῷ μώλωπι γὰρ*, φησὶν, *αὐτοῦ* Isa 53.5, 6
ἡμεῖς ἰάθημεν, καὶ *Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν*, εἴτουν διὰ τὰς 1Pt 2.24
ἁμαρτίας ἡμῶν.

8β Καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ.

Μετεωρισμοὺς λέγει, τὰς ἐπαναστάσεις τῶν πειρασμῶν, οὓς ὑπέμεινε· τοῦ Θεοῦ δὲ αὐτοὺς ἐκάλεσεν, ὡς ψήφῳ αὐτοῦ διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν ἐπενεχθέντας. Πάντας δὲ, δηλονότι ὅσους ἠθέλησας.

9α Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ. |

Φησὶ καὶ Λουκᾶς ὁ εὐαγγελιστὴς, *Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ*
μακρόθεν. Ἐμάκρυνας δὲ εἶπεν, ὅτι θελήσει τοῦ Πατρὸς ταῦτα γεγόνασιν. Lk 23.49

9β Ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Οἱ Ἰουδαῖοι, παρ' οἷς ἄχρι καὶ σήμερον βδελυκτόν ἐστι τὸ ὄνομα τοῦ Χριστοῦ.

9γ Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην.

Παρεδόθην τοῖς Ἰουδαίοις ὑπὸ τοῦ Ἰσκαριώτου, καὶ δυνάμενος ἐκπορευθῆναι ἀπ' αὐτῶν, οὐκ ἐποίουν τοῦτο, ἀλλ' ἐκαρτέρουν ἑκών.

10α Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

Τῆς ἐκ τοῦ ἐκκενωθῆναι τὴν ἐν αὐτοῖς πιότητα τῶν δακρύων.

Ὥσπερ γὰρ τὴν Ἰερουσαλὴμ ἀπεκλαύσατο, οὕτως εἰκὸς αὐτὸν θρηνεῖν καὶ Lk 13.34-45
τοῦ προδότου τὴν ἀπόπτωσιν, καὶ τὴν τῶν Ἰουδαίων ἀποβολήν, καὶ ἁπλῶς τῶν ἀπολλυμένων τὸν ὄλεθρον, διὰ φιλανθρωπίαν.

Τινὲς δὲ πτωχείαν ἐνταῦθα νοοῦσι, τὴν ἔκτηξιν τοῦ σώματος, τὴν ἀπὸ κακοπαθείας.

10β Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν.

Εἴρηται καὶ κατ' ἀρχάς, *Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα.* Ps 87.2

Ἐκέκραξε γὰρ οὐχ ὑπὲρ ἑαυτοῦ μόνον, ὡς ἄνθρωπος, ἀλλὰ καὶ ὑπὲρ τῶν μαθητῶν καὶ ὑπὲρ τοῦ λαοῦ.

10γ Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Ὑπὲρ τῶν αὐτῶν.

11 Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;

Νόμῳ φύσεως ἀνθρωπίνης, δειλιᾷ τὸν θάνατον, καὶ παρακαλεῖ ζῆν ἔτι. Καὶ γὰρ καὶ ἐν τοῖς Εὐαγγελίοις φησί, *Πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο.* Mt 26.39

Ὅμοια δὲ ταυτὶ τὰ ῥητὰ καὶ τὰ ἑξῆς τοῖς ἐν τῷ κθ΄ ψαλμῷ, ἐν ᾧ εἴρηται, *Μὴ ἐξομολογήσεταί σοι χοῦς; ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;* καὶ ζήτει ἐκεῖ. Ps 29.10β

Μὴ τοῖς ἀναισθήτοις νεκροῖς ποιήσεις θαυμαστὰ ἔργα, οἷα ποιεῖς πολλάκις τοῖς ζῶσιν; ἢ ἰατροὶ ἀναστήσουσιν αὐτούς, καὶ εὐχαριστήσουσί σοι; Οὐχί· ἀλλ' οἱ ζῶντες ἐπιγινώσκουσι τὰ τοιαῦτα καὶ εὐχαριστοῦσι. Διὸ ἔασόν με ζῆν, εἰ δυνατόν.

10β[3] ἐκέκραξε PSCV : ἔκραξε M.

12 *Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;*

Τῆς αὐτῆς εἰσιν ἐννοίας καὶ ταῦτα. Ἀπώλειαν δὲ, τὸν τάφον πάλιν ὠνόμασεν, ὡς διαφθείροντα τὸν ἐγκείμενον νεκρόν.

Εἰρήκαμεν δὲ, ὅτι τὰ αὐτὰ δι' ἑτέρων πολλάκις λέξεων ὁ προφήτης λέγει, καὶ μᾶλλον ἐν τοῖς παθητικοῖς.

Οὐχ ὁ νεκρὸς, ἀλλ' ὁ ζῶν, φησὶν, αἰσθάνεται τοῦ ἐλέους σου καὶ ἀπαγγέλλει τοῦτο τοῖς ἀνθρώποις. Περὶ δὲ τῆς ἀληθείας εἴρηται ἐν τῷ κθʹ ψαλμῷ. Ps 29..10β

13 *Μὴ γνωσθήσεται ἐν τῷ σκότει τά θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;*

Σκότος λέγει, τὸν ἐν τῷ τάφῳ πάλιν τόπον, τὸν αὐτὸν δὲ καὶ γῆν ἐπιλελησμένην, παρ' ἀνθρώποις μὲν, ὡς διαφθορᾶς ἔμπλεων, παρὰ Θεῷ δὲ, ὡς μὴ ζῶντος τοῦ ἐγκειμένου· ζῶσι γὰρ ὧν μνημονεύει Θεός. Mt 22.32

Πάντα δὲ τὰ ῥηθέντα τῆς ἴσης διανοίας ὄντα, κατ' ἐρώτησιν ἠθικῶς ἀναγνωστέον.

14α *Κἀγὼ πρὸς σὲ, Κύριε, ἐκέκραξα.*

Κἀγὼ μετὰ τῶν ἄλλων ἀνθρώπων, ὡς καὶ αὐτὸς ἄνθρωπος.

14β *Καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.*

Τὸ πρωῒ, ἀντὶ τοῦ, ταχέως φθάσει εἰς σὲ ἡ προσευχή μου. Περιττεύει δὲ ἡ πρό πρόθεσις. Οὐ γὰρ ἐμποδίσουσιν αὐτῇ ἁμαρτίαι. Isa 59.2

15 *Ἵνα τί, Κύριε, ἀπωθεῖς τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;*

Ὅμοια ταυτὶ τοῖς ῥητοῖς τοῦ καʹ ψαλμοῦ, τῷ, *Ἵνα τί ἐγκατέλιπές με;* καὶ τῷ, *Κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ·* | λέγει δὲ ταῦτα καὶ ὑπὲρ ἡμῶν Ps 21.2α, 3
τῶν πρὶν ἀπωσμένων, ψυχὴν ἑαυτοῦ, τὴν ἑκάστου ψυχὴν ὀνομάζων, καὶ ἑαυτὸν καλῶν ἕκαστον ἡμῶν. Διὰ τί ἀπωθεῖς, φησὶν, ἔτι; Καὶ γὰρ ἐγὼ λοιπὸν ὑπὲρ πάντων τίνω δίκας.

16α *Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου.*

Φησὶν ὁ θεολόγος Γρηγόριος· *Καὶ ὁ πλουτίζων, πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα.* PG35.876C

Εἴρηκε δὲ καὶ αὐτὸς ὁ Χριστὸς περὶ ἑαυτοῦ πρὸς τὸν γραμματέα, *Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.* Mt 8.20

Ἐν κόποις δὲ ἐκ νεότητος, διότι ἐξ αὐτῶν σπαργάνων ἐπεβουλεύετο καὶ ἐδιώκετο ὑπό τε Ἡρῴδου καὶ τῶν Ἰουδαίων· κόπους γὰρ λέγει, τὰς ταλαιπωρίας.

16β Ὑψωθεὶς δὲ ἐταπεινώθην.

Ὑψωθεὶς τοῖς σημείοις, ἐταπεινώθην τοῖς προπηλακισμοῖς, ὡς τοῖς Ἰουδαίοις ἔδοξεν· ἢ ὑψωθεὶς ἐπὶ σταυροῦ, ἐταπεινώθην εἰς τὸν τάφον.

16γ Καὶ ἐξηπορήθην.

Καὶ τοῦτο, ὅσον ἐπὶ τῇ ὑπολήψει τῶν Ἑβραίων. Ἔδοξε γὰρ αὐτοῖς ἄπορος βοηθείας, διὸ καὶ ἔλεγον, *Ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν.* Mt 27.49

17 Ἐπ’ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.

Ὀργὰς Θεοῦ, τὰς κατὰ τῶν ἁμαρτανόντων γινομένας φησίν· ὁμοίως καὶ φοβερισμούς. Καὶ τὰς μὲν ὀργὰς, διελθεῖν καὶ εἰσδῦναι εἰς αὐτὸν λέγει, τοὺς δὲ φοβερισμοὺς, συνταράττειν καὶ ἀναστέλλειν ἀπὸ κακίας.

Ὠριγένης δὲ, ὀργὰς Θεοῦ καὶ φοβερισμοὺς, τοὺς δαίμονάς φησιν· ὀργὰς μὲν, PG12.1664
ὡς ὀργιζομένους ἀεὶ τοῖς ἀνθρώποις, Θεοῦ δὲ, ὡς κατὰ παραχώρησιν Θεοῦ τοῦτο ποιοῦντας· φοβερισμοὺς δὲ, ὡς φόβον ἐπισείοντας. Λέγει τοίνυν, ὅτι κατὰ τὸν καιρὸν τοῦ πάθους ἐπῆλθον αὐτῷ καὶ ἐξετάραξαν ὡς ἄνθρωπον.

18α Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ.

Οἱ Ἰουδαῖοι· ἐν δὲ τῷ κα´ ψαλμῷ εἴρηκε, *Περιεκύκλωσάν με μόσχοι πολλοὶ,* Ps 21.13
ταῦροι πίονες περιέσχον με. Ὡσεὶ ὕδωρ δὲ εἶπε, διότι τὸ ὕδωρ πάντοθεν περικλύζει τὸν ἐναπειλημμένον.

18β Ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.

Ἡμέραν, τὴν τοῦ πάθους φησίν· ἅμα δὲ, ἀντὶ τοῦ, ὁμοῦ πάντες.

19 Ἐμάκρυνας ἀπ’ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

Διὰ τὴν ταλαιπωρίαν μου τὴν ἀπὸ τῶν προπηλακισμῶν ἐμάκρυνας ἀπ’ ἐμοῦ τοὺς Ps 87.9α
μαθητάς μου. Εἴρηται δὲ καὶ ἀνωτέρω, *Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ’ ἐμοῦ.*

Φίλον γὰρ καὶ πλησίον καὶ γνωστοὺς, τοὺς αὐτοὺς καλεῖ· φίλον μὲν, κατὰ τὸ,
Ὑμεῖς φίλοι μού ἐστε, πλησίον δὲ, ὡς συνδιαιτωμένους αὐτῷ, γνωστοὺς δὲ, ὡς Jn 15.14
γινώσκοντας καὶ διὰ τοῦτο γινωσκομένους. Gal 4.9

Ἀλλ' οὕτω μὲν ὁ ψαλμὸς εἰς Χριστὸν ἀνήχθη. Ἁρμόζει δὲ καὶ τοῖς εὐσεβέσι
πᾶσιν ἐν καιρῷ θλίψεως οὕτως·
[2] Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, διὰ παντὸς ἐνώπιόν σου ἐκέκραξα,
ἐπικαλούμενός σε εἰς βοήθειαν. Τὰ δὲ ἑξῆς, δῆλα. Ὅτι ἐπλήσθη πόνων καὶ θλίψεων
ἡ ψυχή μου, καὶ πλησίον εἰμὶ τοῦ θανάτου, ἤδη ἀποκαμών. Συνηριθμήθην τοῖς
[5] νεκροῖς, ὅσον ἐπὶ τῇ σπουδῇ τῶν ἀνθρωποκτόνων δαιμόνων· ἐγενήθην εὐχείρωτος,
ὡσεὶ ἀβοήθητος, καὶ ἐν νεκροῖς, ὅσον τὸ ἐπ' αὐτοῖς, καίτοι ἐλεύθερος ἔτι ὢν
νεκρώσεως, ὡς μηκέτι τῇ ἀληθείᾳ θανών. Ἐγενήθην ὡσεὶ τετρωμένοι κείμενοι ἐν
τάφοις, τρωθεὶς τῷ βέλει τῆς ἁμαρτίας ἢ τῆς ἀθυμίας, καὶ τὰ ἑξῆς ἀναλόγως.
[7] Ἔθεντό με οἱ δαίμονες ἐν βαθεῖ βόθρῳ τῆς ἁμαρτίας, ἐν σκότει θλίψεως, ὃ
σκιὰ καὶ ὡμοίωσίς ἐστι θανάτου διὰ τὴν πικρίαν. Ἐπ' ἐμὲ ἐπεβάρησεν ὁ θυμός
σου· εἰ γὰρ μὴ σύ μοι ὠργίσθης, οὐκ ἄν μου περιεγένοντο· | καὶ πάσας τὰς
ἐπαναστάσεις τῶν θλίψεων, τὰς κατὰ παραχώρησίν σου, ἐπήγαγες ἐπ' ἐμέ.
[9] Ἐμάκρυνας τοὺς γνωστούς μου, εἴτουν τοὺς ἁγίους ἀγγέλους, τοὺς πρὸ τῆς
ἁμαρτίας γνησίως πρός με διακειμένους καὶ γνωρίζοντάς με, οἳ καὶ ἐβδελύξαντό
με διὰ τὴν ἁμαρτίαν· παρεδόθην λοιπὸν ταῖς θλίψεσι, καὶ οὐκ ἐκπορεύομαι ἐξ
[10] αὐτῶν, σφοδρῶς συνεχόμενος. Τὸ δὲ, *οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας*,
ὡς προηρμήνευται. Ἐκέκραξα πρὸς σὲ διὰ παντὸς, καλῶν εἰς ἀντίληψιν, καὶ τὰ
ἑξῆς, ὡς προαποδέδοται πάντα.
[14] Ἀναστὰς δὲ τῆς κοίτης, πρὸ πάντων ἀναπέμψω σοι προσευχήν. Ἵνα τί, Κύριε,
ἀπωθεῖς τὴν ψυχήν μου; τουτέστιν, ἐμὲ, κατὰ περίφρασιν, ἐν ἀνάγκαις ὄντα, καὶ
θερμῶς δεόμενον, καὶ τὰ ἑξῆς.
[16] Εἶτα, πτωχός εἰμι ἐγὼ, μηδεμίαν ἔχων ἀλλαχόθεν βοήθειαν. Καὶ ἐν κόποις εἰμὶ
καὶ πόνοις διὰ τὸ σφάλμα. Ὑψωθεὶς δὲ τῷ κατ' εἰκόνα σου γεγενῆσθαι, ἐταπεινώθην
τῷ ἀπολέσαι τὸ ἀξίωμα τῆς εἰκόνος· ἢ καὶ ὑψωθεὶς τῇ οἰήσει, ἐταπεινώθην, πεσὼν
εἰς ὄλισθον. Καὶ ἐξηπορήθην, μὴ ἔχων τί καὶ δράσω· ἐπ' ἐμὲ διῆλθον, ἤγουν
ἔφθασάν με αἱ ὀργαί σου, τίνοντα δίκας ἐν τῷ τῇ λύπῃ συμπνίγεσθαι.
[17] Ἔτι οἱ φοβερισμοί σου, οἱ τὴν αἰώνιον ἀπειλοῦντες κόλασιν, ἐξετάραξάν
με. Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ οἱ φοβερισμοί σου, ἢ οἱ δαίμονες, ἢ αἱ θλίψεις,
[19] ἀποπνίγουσαι· διὰ παντὸς περιέσχον με ἅμα πάντες. Ἐμάκρυνας ἀπ' ἐμοῦ καὶ
τοὺς συνήθεις ἀνθρώπους, φεύγοντάς με διὰ τὴν κατασχοῦσάν με ταλαιπωρίαν,
ἤτοι συμφοράν.

88 πη´

1 Συνέσεως· Αἰθὰμ τῷ Ἰσραηλίτῃ.

Καὶ αὕτη ἡ ἐπιγραφὴ τῇ πρὸ αὐτῆς συνηρμήνευται.

Διηγεῖται δὲ τὰ καθ' ἑαυτὸν ὁ Δαυὶδ, καὶ ὑμνεῖ τὸν Θεὸν ὡς εὐεργέτην αὐτοῦ. Ἀναμίγνυσι δὲ τοῖς λόγοις καὶ περὶ τοῦ Χριστοῦ. Διὸ καὶ συνέσεως ἐπιγέγραπται· χρεία γὰρ ταύτης τοῖς ἐντυγχάνουσιν εἰς τὸ συνιέναι τὰ ἐγκατεσπαρμένα περὶ Χριστοῦ. Προαγορεύει δὲ καὶ τὴν παρὰ Βαβυλωνίων αἰχμαλωσίαν.

2α Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι.

Τὰ ἐλέη, φησὶ, τὰ εἰς ἐμὲ γεγενημένα, περὶ ὧν πλατύτερον εὐχαριστεῖ ἐν τῇ δευτέρᾳ βίβλῳ τῶν Βασιλειῶν. 2Rg 22.2-51

Εἰς τὸν αἰῶνα δὲ, ἀντὶ τοῦ, ἀεὶ ᾄσομαι, ᾆσμα ταῦτα ποιούμενος.

2β Εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.

Εἰς γενεὰν καὶ γενεὰν, ἀντὶ τοῦ, εἰς πᾶσαν γενεάν. Ἀποθνησκούσης γὰρ τῆς μιᾶς, ἀντεισάγεται ἑτέρα, καὶ οὕτως ἄχρι συντελείας.

Ἢ εἴς τε τὴν γενεὰν τῶν Ἰουδαίων καὶ εἰς τὴν τῶν Χριστιανῶν· μόναις γὰρ ταύταις ὁ Δαυὶδ ἀπαγγέλλει τὴν ἀλήθειαν τοῦ Θεοῦ διὰ τοῦ στόματος αὐτοῦ. Στόμα δὲ αὐτοῦ, εἴη ἂν ἡ βίβλος τῶν ψαλμῶν αὐτοῦ.

Ἀλήθειαν δὲ Θεοῦ λέγει, τὰς ἀληθεῖς ἐπαγγελίας ἃς αὐτῷ ἐπηγγείλατο, τοῦτο μὲν, διὰ τοῦ προφήτου Νάθαν, ὡς ἡ δευτέρα τῶν Βασιλειῶν ἱστορεῖ, τοῦτο 2Rg 7.4-16
δὲ, καὶ διὰ τοῦ ἐνοικοῦντος ἐν αὐτῷ προφητικοῦ πνεύματος· ὑπέσχετο γὰρ αὐτῷ πολλὰ, περί τε τῆς ὑποταγῆς τῶν ἐχθρῶν αὐτοῦ καὶ περὶ τοῦ σπέρματος αὐτοῦ, ὃ Ἑβραῖοι μὲν, τὸν Σολομῶντα καὶ τοὺς ἐξ αὐτοῦ καταγομένους φασὶν, ἡμεῖς δὲ, τὸν Χριστὸν, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται.

3α Ὅτι εἶπας, Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται.

Τὸ, *οἰκοδομηθήσεται*, ἀντὶ τοῦ, ποιηθήσεται. Σὺ, φησὶν, εἶπάς μοι, ὅτι ἀεὶ ἔλεος ποιηθήσεται. Καὶ οἱ μὲν Ἑβραῖοι τῷ Δαυὶδ ποιηθῆναι τὸ ἔλεός φασι, βοηθουμένῳ παρὰ Θεοῦ, ἡμεῖς δὲ, | πᾶσι πιστοῖς.

Ἐπὶ μὲν γὰρ τοῦ Δαυὶδ οὐχ ἁρμόζει τὸ, *ἀεὶ*, τεθνηκότος ἤδη, ἐπὶ δὲ τῶν πιστῶν, καὶ πάνυ· ἐποιήθη γὰρ αὐτοῖς διηνεκὲς ἔλεος Ἰησοῦς ὁ Χριστὸς, οἰκοδομηθεὶς καὶ συμπαγεὶς ἀφράστως ἐκ τῶν ἁγνῶν αἱμάτων τῆς ὑπεραγίας Παρθένου· οἶκος γὰρ, τὸ πρόσλημμα λέγεται τοῦ προσλαβόντος Θεοῦ· *Ἡ σοφία γὰρ*, φησὶν, *ᾠκοδόμησεν ἑαυτῇ οἶκον.* Prov 9.1

3β Ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.

Ἀλήθεια τοῦ Θεοῦ, ὁ Χριστὸς, ὡς ἀψευδής· εἴρηκε γὰρ, Ἐγώ εἰμι ἡ ἀλήθεια. Jn 14.6
Αὕτη οὖν ἡ ἀλήθεια, φησὶν, ἐν τοῖς οὐρανοῖς ἑδρασθήσεται· τὸ γὰρ, ἑτοιμάζω, πολλάκις καὶ τὸ, ἑδράζω, σημαίνει παρὰ τοῖς Ἑβραίοις. Καὶ νῦν δὲ ὁ Σύμμαχος

2β[9] πνεύματος MS[2]CBFV : χαρίσματος P. 3α[7] Παρθένου MS[2]CBF : Θεοτόκου καὶ Παρθένου PV.

ἀντὶ τοῦ, ἑτοιμασθήσεται, ἑδρασθήσεται ἐξέδωκε.

Περὶ δὲ τοῦ ἑδρασθῆναι τὸν Χριστὸν ἐν οὐρανοῖς αὐτὸς οὗτος ὁ Δαυὶδ εἴρηκεν ἐν ἑτέρῳ ψαλμῷ, *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου.* Ps 109.1

4α Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου.

Ταῦτα προσώπῳ τοῦ Θεοῦ φησι. Καὶ διαθήκην μὲν λέγει, τὴν ἐπαγγελίαν τὴν περὶ τοῦ σπέρματος αὐτῶν· ἐκλεκτοὺς δὲ, τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Ἐπηγγείλατο γὰρ μεγαλῦναι καὶ ὑψῶσαι αὐτό.

Φησὶ δὲ καὶ ὁ μέγας Παῦλος, *Τῷ Ἀβραὰμ ἐῤῥέθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ*, εἶτα ἐπάγει, *Οὐ λέγει, Καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ'* Gen 17.7
ὡς ἐφ' ἑνός· καὶ τὸ σπέρματί σου, ὅς ἐστιν ὁ Χριστός. Gal 3.16

4β-5α Ὤμοσα Δαυὶδ τῷ δούλῳ μου, Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου.

Ὤμωσα, ἀντὶ τοῦ, βεβαίως ἐπηγγειλάμην. Ὅρκον γὰρ ἐπὶ Θεοῦ λέγουσιν οἱ παλαιοὶ, τὴν βεβαίαν ἐπαγγελίαν. Καὶ ὁ παρ' ἡμῖν γὰρ ὅρκος οὐδὲν ἕτερόν ἐστιν ἢ βεβαίωσις.

Ὤμωσα δὲ ὅτι ἑτοιμάσω, τουτέστιν, ἑδράσω τὸ σπέρμα σου ἄχρι παντὸς
αἰῶνος. Σπέρμα δὲ Δαυὶδ, κατὰ μὲν τὸ πρόχειρον, ὁ Σολομὼν, κατὰ δὲ ὑψηλοτέραν 2Rg 7.12
ἐπιβολὴν, Ἰησοῦς ὁ Χριστὸς, ὡς ἐκ σπέρματος Δαυὶδ γεννηθεὶς, λέγω δὴ, τῆς
ἁγίας Παρθένου. Σπέρμα γὰρ αὕτη Δαυὶδ, ἐκεῖθεν καταγομένη. Lk 1.27

Ἥδρασε δὲ αὐτὸν, αἰωνίζοντα ποιήσας ἐπὶ τῆς βασιλείας· *Ἐδόθη μοι* γὰρ,
φησὶ, *πᾶσα ἐξουσία, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς*. Περὶ οὗ φησι καὶ Δανιὴλ, *Καὶ* Mt 28.18
αὐτῷ ἐδόθη ἡ τιμὴ καὶ ἡ ἀρχὴ καὶ ἡ βασιλεία· πάντες λαοὶ, φυλαὶ, γλῶσσαι δουλεύσουσιν αὐτῷ· ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ,
ἥτις οὐ διαφθαρήσεται. Ταῦτα δὲ οὐκ ἂν ἁρμόσει τῷ Σολομῶντι. Dan 7.14

5β Καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου.

Οἰκοδομὴν μὲν ἐνταῦθα λέγει, τὴν αὔξησιν καὶ ἀπάρτησιν· θρόνον δὲ, τὴν βασιλείαν.

Σκόπει δὲ πῶς τὴν βασιλείαν τοῦ Χριστοῦ, βασιλείαν τοῦ Δαυὶδ ἐκάλεσε, διὰ τὸ ἐξ αὐτοῦ κατάγεσθαι τὸν Χριστὸν κατὰ σάρκα. Εἰώθαμεν γὰρ τὴν τοῦ υἱοῦ βασιλείαν, τοῦ πατρὸς λέγειν διὰ τὴν οἰκείωσιν.

6α Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε.

Οὐρανοὺς λέγει, τὰς οὐρανίους δυνάμεις. Αὗται, φησὶν, αἱ οὐράνιαι δυνάμεις εὐχαριστήσουσι τοῖς θαυμασίοις ἔργοις σου τούτοις. Ἀδιαφόρως δὲ τέθειται ἡ τοῦ *ἐξομολογήσονται* σύνταξις.

4β[13] ἁρμόσει MS : ἁρμόσῃ PB : ἁρμόσοι CFV.

Ἢ οὐρανοὺς νόει μοι, τοὺς τὰ οὐράνια φρονοῦντας ἀνθρώπους καὶ ὑψηλοὺς τὸν βίον.

6β Καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.

Περιττεύει τὸ, *γάρ*. Ἐξομολογήσονται, φησὶ, τὰ θαυμάσιά σου, ὅτι θαυμαστὰ ποιεῖς, καὶ τὴν ἀλήθειάν σου, ὅτι ἀληθεύεις ἃ ἐπαγγέλλῃ. Λέγει δὲ ταῦτα, ὑπερχαίρων τῇ ῥηθείσῃ θαυμασίᾳ ἐπαγγελίᾳ.

Εὐχαριστήσουσι δὲ αἱ μὲν οὐράνιαι δυνάμεις, ἐν Ἐκκλησίᾳ ἁγίων τῶν ἐν οὐρανοῖς, | περὶ ἧς εἴρηκε Παῦλος, *Καὶ Ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς*, οἱ δὲ οὐρανόφρονες ἄνθρωποι, ἐν Ἐκκλησίᾳ ἁγίων τῶν ἐπὶ γῆς ἔτι ζώντων. Heb 12.23

7 Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;

Τὸ, *ἐν νεφέλαις*, ἐν ὕψει, τινὲς ἐξέδωκαν· ἄλλοι δὲ, ἐν οὐρανίοις τόποις· ἐν ὕψει δὲ καὶ ἐν οὐρανίοις τόποις εἰσὶν οἱ ἄγγελοι. Λέγει τοίνυν, ὅτι τίς ἄγγελος ἰσωθήσεται τῷ Κυρίῳ, ἢ τίς ἐν ἁγίοις ἀνθρώποις ὁμοιωθήσεται αὐτῷ; Υἱοὺς γὰρ Θεοῦ, τοὺς τοιούτους ὑποληπτέον, κατὰ τὸ, *Ἐγὼ εἶπα, θεοί ἐστε*. Ὄντως οὐδείς· σὺ μὲν γὰρ ποιητὴς, οὗτοι δὲ ποιήματα. Ps 81.6

Οὐχ ὡς συγκρίνων δὲ τοῦτό φησιν, ἀλλ' ἰδίωμα καὶ τοῦτο τῆς Ἑβραΐδος, ἀπὸ τῆς ἀνομιότητος ὑπεροχὴν προσάγειν Θεῷ. Ὑπερυμνεῖ δὲ αὐτὸν, ὡς μεγάλα καὶ σωτήρια ἐπαγγειλάμενον.

Ἔοικε δὲ τῷ λόγῳ καὶ τὸ, *Οὔτε ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς*. Isa 63.9

8 Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.

Βουλὴν ἐνταῦθα, τὸν σύλλογον, τὸ συνέδριον τῶν ἁγίων ὠνόμασεν, ὡς καὶ ἐν τῷ πρώτῳ ψαλμῷ παραδέδοται. Ἐν τῇ συναγωγῇ γὰρ τῶν ἁγίων δοξάζεται καὶ ὑμνεῖται ὁ Θεός. Ps 1.5β

Φησὶ τοίνυν, ὅτι ὁ Θεὸς ἐνδοξαζόμενος αὐτῇ μέγας καὶ φοβερός ἐστι τοῖς ἁγίοις· οὗτοι γὰρ πέριξ αὐτοῦ πλησιάσαντες δι' οἰκειώσεως ἀρετῶν· μέγας δὲ καὶ φοβερὸς αὐτοῖς, ὡς ἀκριβῶς ἐπισταμένοις τὴν ὑπεροχὴν αὐτοῦ.

Ἁγίους δὲ λέγομεν, καὶ τὰς οὐρανίους δυνάμεις, αἳ καὶ περὶ Θεὸν ὁμοίως εἰσί.

9α Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι;

Περὶ μὲν τοῦ, *ὁ Θεὸς τῶν δυνάμεων*, εἴρηται ἐν τῷ πγ′ ψαλμῷ. Ps 83.2

7[4] οἱ PV : om. MC. 8 Add. [MP in marg.]BV: Ὁ κυκλούμενος, καὶ ἐνώπιον καὶ ὀπίσω καὶ ἐν δεξιᾷ καὶ ἐν ἀριστερᾷ ἔχει τοὺς κυκλοῦντας αὐτόν· ἐπεὶ τοίνυν καὶ ὁ Θεὸς ἔχει τοὺς κυκλοῦντας αὐτὸν ἀνθρώπους, ὀπίσω μὲν ὑποληψόμεθα τοὺς διὰ τῆς πρακτικῆς ἀρετῆς ἀκολουθοῦντας αὐτῷ, ἐν ἀριστερᾷ δὲ τοὺς τὴν φυσικὴν θεωρίαν πνευματικῶς κατορθοῦντας· φησὶ γὰρ περὶ τῆς σοφίας ἡ τῶν

Τὸ δὲ, *τίς ὅμοιός σοι*, συνεχέστερον ἐπιλέγει, οὐκ ἐρωτῶν, ἀλλ' ἐκπληττόμενος, καὶ τὸ ἀπαράβλητον αὐτοῦ διδάσκων ἡμᾶς. Ps 34.10

9β Δυνατὸς εἶ, Κύριε.

Δυνατὸς ποιῆσαι ἃ ἐπαγγέλλῃ· καὶ πιστεύω λοιπὸν ὅτι γενήσονται.

9γ Καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.

Οὐ μόνον εἶ δυνατὸς, ἀλλὰ καὶ ἀληθὴς, καὶ δίκην ἱματίου περιβέβλησαι τὴν ἀλήθειαν, καὶ κύκλῳ σου οὖσα, οὐδέποτέ σου ἀφίσταται· ἐμφαίνει δὲ τοῦτο, ὅτι ἀεὶ ἀληθεύεις.

10 Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις.

Κράτος θαλάσσης, ἡ βία τῶν κυμάτων αὐτῆς. Σὺ δεσπόζεις, φησὶ, καὶ τῆς ταραχῆς αὐτῆς καὶ τῆς γαλήνης, καὶ σὺ τοῦτο κἀκεῖνο ποιεῖς. Mt 8.23-27
Ὥσπερ δὲ ἐν τῷ ογ´ ψαλμῷ ἀνύμνησε τὸν Θεὸν ἀπὸ τῶν μεγαλουργημάτων αὐτοῦ, εἰπὼν, Σὺ ἐποίησας τάδε καὶ τάδε, οὕτω καὶ ἐπὶ τοῦ παρόντος. Ps 72.13-17

11α Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον.

Αἰσθητῶς μὲν, πάντα ὑπερήφανον ἄνθρωπον· *Κύριος γὰρ, φησὶν, ὑπερηφάνοις ἀντιτάσσεται*· νοητῶς δὲ, τὸν διάβολον, ὑπερηφανευσάμενον, καὶ διὰ τοῦτο καταβληθέντα. Ὡς τραυματίαν δὲ, διότι οἱ τραυματίαι, ταπεινοί εἰσι, τῷ πόνῳ συγκατασπώμενοι. Prov 3.34 Jc 4.6
Τινὲς δὲ, ὑπερήφανον μὲν, τὸν Φαραὼ νοοῦσιν, ἐχθροὺς δὲ, τοὺς Αἰγυπτίους, ἀποπνιγέντας καὶ διασκορπισθέντας ἐν ταῖς ἀκταῖς. Ex 14.30

11β Ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου.

Ἐν τῷ βραχίονι τῆς δυνάμεως, ἀντὶ τοῦ, ἐν τῷ βραχίονι τῷ δυνατῷ. Ἐχθροὺς δὲ ἁπλῶς, τοὺς ἀσεβεῖς ἢ τοὺς δαίμονας.

12α Σοί εἰσιν οἱ οὐρανοὶ, καὶ σή ἐστιν ἡ γῆ.

Σὰ κτίσματα, σὰ δοῦλα. Φησὶ γὰρ ἐν ἄλλοις, | *Ὅτι τὰ σύμπαντα δοῦλα σά.* Ps 118.91
Περὶ δὲ τῶν οὐρανῶν εἴρηται ἐν τῷ ὀγδόῳ ψαλμῷ. Ps 8.4α

12β Τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας.

Παροιμιῶν βίβλος, Ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα [Prov 3.16]. *Ἐν δὲ τῇ δεξιᾷ τοῦ Θεοῦ νοηθεῖεν ἂν οἱ καθαρὰν αἰσθητῆς φαντασίας δεχόμενοι τὴν ἄϋλον γνῶσιν καὶ θεωρίαν τῶν νοητῶν· Ἐν γὰρ τῇ δεξιᾷ, φησὶν, αὐτῆς ἔτη ζωῆς* [Prov 3.16]· *ἐνώπιον δὲ, οἱ διὰ σφόδρον ἔρωτα τοῦ θείου κάλλους ἀξιούμενοι τῆς πρόσωπον πρὸς πρόσωπον ἀπολαύσεως, καὶ θεούμενοι.* [PG 90. 289D] : om. SCF.

Τὸ αὐτὸ πάλιν φησίν· εἴρηται δὲ ἐν τῷ κγ′ ψαλμῷ, *Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ·* καὶ ζήτει Ps 23.1β-γ
κἀκεῖ.

13α Τὸν βοῤῥᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας.

Φησὶν Ἡσύχιος, ὅτι τῷ τῆς θαλάσσης ὀνόματι πολλάκις ἡ παλαιὰ Γραφὴ τὴν [PG27.385]
δύσιν δηλοῖ. Ὅθεν ἡ τῶν Ἀριθμῶν βίβλος, ἐκθεμένη τὰς φυλὰς, ὧν αἱ μὲν πρὸς ἀνατολὰς, αἱ δὲ πρὸς ἄρκτον, αἱ δὲ πρὸς μεσημβρίαν τῆς σκηνῆς ἐτάχθησαν, τῇ λέξει ταύτῃ τοὺς πρὸς δύσιν τεταγμένους ἐμήνυσεν· εἴρηκε γὰρ, *Παρεμβολὴ Ἐφραὶμ παρὰ θάλασσαν.* Nu 2.18

Ἐπεὶ τοίνυν καὶ τὸ βόρειον μέρος, εἴτουν τὸ ἀρκτῷον, καὶ τὸ θαλάσσιον, εἴτουν τὸ δυτικὸν, σκοτεινὰ καὶ χειμέρια, καὶ διὰ τοῦτό τινες ἤμελλον τῷ πονηρῷ δημιουργῷ ταῦτα προσγράφειν, ἀναγκαίως τὸ Πνεῦμα τὸ ἅγιον προαναιρεῖ τὴν πλάνην αὐτῶν, παρὰ τοῦ κοινοῦ Δημιουργοῦ γενηθῆναι καὶ ταῦτα διδάσκον.

Χρὴ δὲ γινώσκειν ὅτι, βλεπόντων ἡμῶν πρὸς ἀνατολὰς, ἀντιπρόσωπος μὲν ἡμῖν ἐστιν ἡ ἀνατολὴ, κατὰ νώτου δὲ, ἡ δύσις, ἐν ἀριστερᾷ δὲ, ὁ βοῤῥᾶς, εἴτουν ἡ ἄρκτος, ἐν δεξιᾷ δὲ, ὁ νότος, εἴτουν ἡ μεσημβρία.

13β Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.

Θαβὼρ καὶ Ἑρμὼν, ὄρη καὶ ὅρια τῆς γῆς τῆς ἐπαγγελίας. Διὰ τούτων δὲ πᾶσαν τὴν ἐκεῖ γῆν ᾐνίξατο, ὅτι ἀγαλλιάσεται ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, εἴτουν ἐπὶ τῷ Χριστῷ, ἢ ἐπὶ τῷ καλεῖσθαι ἀπὸ Χριστοῦ. Γῆν δὲ λέγομεν, τοὺς τὴν γῆν ἐκείνην οἰκήσαντας.

Ἐν τοῖς ὄρεσι γὰρ τούτοις τὰς πλείους διατριβὰς τῆς ἐν σαρκὶ πολιτείας ὁ
Χριστὸς ἐποίει· καὶ ἐν μὲν τῷ Θαβὼρ μετεμορφώθη, ἐν δὲ τῷ Ἑρμὼν ἀνέστησε Mt 17.1-9
τὸν τῆς χήρας υἱόν· ἐπὶ τούτου γὰρ τοῦ ὄρους ἐστὶν ἡ πόλις Ναΐν, ἐν ᾗ τοῦτον Lk 7.11-17
ἤγειρε.

14α Σὸς ὁ βραχίων μετὰ δυναστείας.

Ὁ σὸς βραχίων, κατὰ ἀναστροφὴν, ἢ σὸς βραχίων, κατὰ πλεονασμὸν τοῦ ἄρθρου. Λέγει δὲ, ὅτι ἡ σὴ δύναμις, δυνατωτάτη· βραχίονα γὰρ Θεοῦ, τὴν δύναμιν αὐτοῦ καλεῖ. *Χριστὸς δὲ Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία.* 1Cor 1.24

14β Κραταιωθήτω ἡ χείρ σου.

Κατὰ τῶν ἐχθρῶν.

14γ Ὑψωθήτω ἡ δεξιά σου.

13α[12-13] ἐν ἀριστερᾷ δὲ, ὁ βοῤῥᾶς, εἴτουν ἡ ἄρκτος, ἐν δεξιᾷ δὲ, ὁ νότος MS[2] : ἐν δεξιᾷ δὲ, ὁ βοῤῥᾶς, εἴτουν ἡ ἄρκτος, ἐν ἀριστερᾷ δὲ, ὁ νότος PCBFV.

Εἰς σκέπην ἡμῶν. Χεῖρα δὲ καὶ δεξιὰν, τὴν δύναμιν ὀνομάζει. Διπλῆν δὲ αὐτῆς ζητεῖ τὴν ἐνέργειαν, ἀμύνεσθαι μὲν τοὺς ἀλλοτρίους, σκέπειν δὲ τοὺς οἰκείους. Εἴρηται δὲ ἐν τῷ θ′ ψαλμῷ περὶ τοῦ, Ὑψωθήτω ἡ χείρ σου. Ps 9.33α

15α Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου.

Ὁ μὲν Ἀκύλας ἐξέδωκε, δικαιοσύνη καὶ κρίσις, βάσις τοῦ θρόνου σου· ὁ δὲ Σύμμαχος, ἕδρασμα· προείρηται γὰρ, ὅτι τὸ ἑτοιμάζειν πολλάκις τὸ ἑδράζειν
σημαίνει. Ἔστι δὲ ὁ νοῦς, ὅτι δίκαιος εἶ κριτὴς, οὗ καὶ ὁ δικαστικὸς θρόνος ἐπὶ Ps 88.3β
δικαιοσύνης καὶ κρίσεως πέπηγε.

Δικαιοσύνην μὲν οὖν καὶ κρίμα, τὴν δικαίαν κρίσιν νοήσεις· ἔστι γὰρ καὶ τὸ τοιοῦτον σχῆμα παρὰ τῇ Παλαιᾷ, ὡς τὸ, ἔλεος καὶ ἀλήθεια, ἀντὶ τοῦ, ἔλεος ἀληθινός.

Ἢ δικαιοσύνην μὲν, τὴν ἕξιν τοῦ κρίνειν, κρίμα δὲ, τὴν ἀπόφασιν· καὶ ἔλεος μὲν, τὴν ἐλεημοσύνην, ἀλήθειαν δὲ, τὴν ἔκβασιν τῆς ἐπαγγελίας.

15β Ἔλεος καὶ ἀλήθεια προπορεύσεται πρὸ προσώπου σου.

Διὰ τῶν τεσσάρων, ταυτὶ τὰ τέσσαρα ἐδήλωσεν, ὅτι ἐπιστήμων τοῦ κρίνειν εἶ φύσει καὶ ἀποφαίνῃ, καὶ ἐλεεῖς | καὶ ἀληθεύεις· διὰ τοῦτο δικάσεις τῇ τυραννουμένῃ φύσει τῶν ἀνθρώπων καὶ ἀποφήνῃ κατὰ τῆς τυραννούσης πλάνης τῶν εἰδώλων, καὶ ἐλεήσεις τὸ πλάσμα σου καὶ ἀληθεύσεις τὰς πρός με καὶ τοὺς ἐκλεκτούς σου ἐπαγγελίας.

Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι ἔλεος καὶ ἀλήθεια λέγονται προπορεύεσθαι τοῦ Θεοῦ διὰ τὸ μὴ δύνασθαί τινα προσβαλεῖν τῷ προσώπῳ τοῦ Θεοῦ, εἴτουν τῇ γνώσει αὐτοῦ, εἰ μὴ πρότερον ἐλεηθῇ καὶ ὁμιλήσει τῇ ἀληθείᾳ τῶν δογμάτων· ἔλεος γὰρ καὶ ἀλήθεια προαπαντῶσι τῷ τοιούτῳ.

Τινὲς δὲ πάντα περὶ τῆς μελλούσης κρίσεως νενοήκασιν, ὅτι δικαιότατος εἶ κριτὴς, καὶ ἐν τῇ κρίσει προηγεῖται τῆς ἀληθείας ὁ ἔλεος, διὰ τὸ μὴ δύνασθαί τινα ὑποστῆναι τὴν ἀλήθειαν τῶν ἐλέγχων, μὴ προπαραμιγέντος αὐτῇ ἐλέου.

16α Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.

Εἴρηται διαφόρως, ὅτι ἀλαλαγμός ἐστιν ἐπινίκιος φωνή· μακαρίζει τοίνυν Ps 26.6γ
τοὺς εἰδότας ἐπινίκιον ὕμνον ᾄδειν τῷ νικήσαντι τὸν διάβολον Χριστῷ· δηλοῖ δὲ τοὺς Χριστιανούς. Ἢ καὶ ἄλλως, μακαρίζει τοὺς εἰδότας ἀλαλάζειν κατὰ τῶν ἀοράτων πολεμίων ἐν τῷ νικᾶν αὐτούς.

16β Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται.

Πρόσωπον μὲν τοῦ Πατρὸς, ὁ Υἱὸς, ὡς ἐν τῷ τετάρτῳ ψαλμῷ προπαραδέδοται· Ps 4.7β

[14γ][3] ψαλμῷ περὶ τοῦ, Ὑψωθήτω PV : ψαλμῷ, Ὑψωθήτω MS[2]CBF.

φῶς δὲ τοῦ Υἱοῦ, αἱ ἐντολαὶ αὐτοῦ· *Λύχνος γὰρ, φησὶ, τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.* Ps 118.105

Λέγει δὲ, ὅτι οἱ γινώσκοντες τὸν τοιοῦτον ἀλαλαγμὸν, ἐν ταῖς ἐντολαῖς τοῦ Υἱοῦ σου πορεύσονται.

17α Καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν.

Ἐν τῷ ὀνομάζειν σε. Εἰ γὰρ ὁ δίκαιος μιμνησκόμενος τοῦ Θεοῦ μόνον εὐφραίνεται — *Ἐμνήσθην γὰρ, φησὶ, τοῦ Θεοῦ καὶ ηὐφράνθην* — πολλῷ Ps 76.4α
μᾶλλον, ὀνομάζων αὐτὸν, ἀγαλλιάσεται· ἢ καὶ πρὸς τὸν Χριστὸν ὁ λόγος, οὗ ἐπὶ τῷ ὀνόματι ἀγαλλιῶνται οἱ ἀπ' ἐκείνου καλούμενοι.

17β Καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται.

Δικαιοσύνη τοῦ Πατρὸς, ὁ Υἱὸς, κατὰ τὸν Ἀπόστολον, *ὃς ἐδόθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμός*· οὗτος γὰρ ὕψωσεν αὐτοὺς, τῶν γηΐνων 1Cor 1.30
ἀνασπάσας διὰ τοῦ Εὐαγγελίου καὶ εἰς οὐρανοὺς ἀναγαγών.

18α Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ.

Δύναμις μὲν τῶν Χριστιανῶν, ὁ Χριστὸς, ὡς ἐνδυναμῶν αὐτούς· καὶ καύχημα δὲ τοῦ Χριστοῦ, ὁ Πατὴρ, ἐφ' ᾧ σεμνύνεται τοσοῦτον, ὡς ἄνω καὶ κάτω καὶ πανταχοῦ τοῦ Εὐαγγελίου Πατέρα ἑαυτοῦ τοῦτον ὁμολογεῖν καὶ αὐτῷ ἀνατιθέναι πάντα τὰ ἑαυτοῦ κατορθώματα.

18β Καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.

Εὐδοκία τοῦ Πατρὸς, εἴτουν ἀγαθὸν θέλημα, ἡ ἐνανθρώπησις τοῦ Υἱοῦ, καὶ ὅσα περὶ αὐτήν. Περὶ δὲ τοῦ κέρατος εἴρηται ἐν τῷ οδ´ ψαλμῷ. Ps 74.5

Ἑαυτὸν δὲ τοῖς Χριστιανοῖς ὁ Δαυὶδ συνέταξεν, ὡς καὶ ἐν ἄλλοις, διὰ τὸ ἐκ σπέρματος αὐτοῦ μέλλειν βλαστάνειν τὸν Χριστὸν, καὶ διὰ μέσου τοῦ Χριστοῦ Rom 1.3
συγγενειάζειν αὐτοῖς, εἴγε οἱ μὲν, τέκνα Χριστοῦ, ὁ δὲ Χριστὸς, υἱὸς τοῦ Δαυίδ. Mt 1.1

Ἢ καὶ προσώπῳ τῶν Χριστιανῶν εἴρηται ὁ λόγος.

19α Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις.

Τοῦ Θεοῦ ἐστι τὸ ἀντιλαμβάνεσθαι ἡμῶν. Εἴρηται δὲ καὶ ἐν τῷ τρίτῳ ψαλμῷ, *Τοῦ Κυρίου ἡ σωτηρία.* Ps 3.9α

19β Καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν.

17β[4] *ἀνασπάσας* MS[2]CBF : *ἀποσπάσας* PV. 18β[3] *αὐτήν* PCBFV : *αὐτόν* MS.

Τὸ αὐτὸ λέγει πάλιν. Τὸ ἀντιλαμβάνεσθαι, φησὶ, τοῦ Κυρίου ἐστὶ, καὶ τοῦ ἁγίου Ἰσραὴλ τοῦ βασιλέως ἡμῶν.

Ἅγιος γὰρ τοῦ Ἰσραὴλ, ὁ Θεὸς, ὡς καὶ ἐν τῷ οζ′ ψαλμῷ προείρηται· καὶ Ps 77.41
βασιλέα δὲ ὁμοίως, τὸν Θεὸν ὀνομάζει, ὡς φύσει Κύριον ἡμῶν.

20α Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου.

Τότε, ἀντὶ τοῦ, ἐν καιρῷ. Ἐλάλησας δὲ τὰ περὶ ἐμοῦ τοῦ Δαυίδ. Ἐν ὁράσει δὲ, | ἀντὶ τοῦ, ἐν αἰσθήσει· ἡ γὰρ ὅρασις, ἐναργεστέρα καὶ αἰσθητικωτέρα τῶν ἄλλων αἰσθήσεων. Οὕτω γὰρ καὶ ἐν τῇ Ἐξόδῳ γέγραπται, *Καὶ ὁ λαὸς ἑώρα τὴν φωνὴν Κυρίου*, ἀντὶ τοῦ, ᾐσθάνετο. Ex 20.18

Υἱοὺς δὲ Θεοῦ λέγει, τοὺς προφήτας, ὡς ἠγαπημένους αὐτῷ διὰ τὴν ἀρετήν· εἰκὸς γὰρ πολλοῖς ἀποκαλυφθῆναι τὰ περὶ τοῦ Δαυὶδ, καὶ εἰπεῖν αὐτῷ ταῦτα, καθάπερ εἶπε τούτῳ πολλὰ καὶ Νάθαν ὁ προφήτης. 2Rg 7.17

Τίνα δέ εἰσι ταῦτα, φησὶ διὰ τῶν ἑξῆς· πλὴν δοκοῦσι μὲν περὶ τοῦ Δαυὶδ εἰρῆσθαι, διὰ τὸ συνᾴδειν ἐνιαχοῦ τοῖς κατ᾽ αὐτὸν πράγμασιν, ἐλέγχονται δὲ περὶ Χριστοῦ μᾶλλον εἰρημένα· θαυμαστὴ δὲ τοῦ θείου Πνεύματος ἡ χάρις, πῶς ἀνέμιξεν εὐκαίρως τοῖς τοῦ Δαυὶδ τὰ περὶ Χριστοῦ, καὶ συνεσκίασε τῇ ὁμοιότητι τὴν ἀλήθειαν.

20β Καὶ εἶπας, Ἐθέμην βοήθειαν ἐπὶ δυνατόν.

Παρέσχον παρ᾽ ἐμαυτοῦ βοήθειαν δυνατῷ.

Δυνατὸν δὲ δοκεῖ μὲν λέγειν ἑαυτὸν, ὡς βασιλέα· δυνατοὺς γὰρ καὶ δυνάστας ἐκάλουν οἱ παλαιοὶ τοὺς βασιλεῖς. Ἔστι δὲ μᾶλλον ὁ Χριστὸς κατὰ τὴν θεότητα· Χριστὸς γὰρ, φησὶ, *Θεοῦ δύναμις καὶ Θεοῦ σοφία*. 1Cor 1.24

20γ Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.

Τῷ δοκεῖν μὲν, τὸν Δαυὶδ, ἐκλεγέντα μὲν πρότερον ἐκ τοῦ λαοῦ τῶν Ἰουδαίων εἰς βασιλείαν, ὑψωθέντα δὲ ὕστερον εἰς δόξαν διὰ τὰς ἀνδραγαθίας· τῇ δ᾽ ἀληθείᾳ, τὸν Χριστὸν, ἐκλεγέντα μὲν κατὰ τὸ ἀνθρώπινον εἰς τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν ἐκ τοῦ λαοῦ τῶν Ἰουδαίων — ἐκ τούτων γὰρ, ἡ τοῦτον γεννήσασα — ὑψωθέντα δὲ διὰ τὴν ἕνωσιν· Διὸ, φησὶ, *καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν*. Php 2.9

21α Εὗρον Δαυὶδ τὸν δοῦλόν μου.

Τοῦτο, περὶ μόνου τοῦ Δαυὶδ ἐγὼ νοῶ, καὶ τὰ ἑξῆς, μέχρι τοῦ, *Καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ*, εἰ καὶ ταῦτά τινες εἰς τὸν Χριστὸν ἀνάγουσιν.

20α[10] *κατ᾽ αὐτὸν* MPB(S[2]) : *περὶ αὐτὸν* CFV.

Εὗρον, φησὶν, αὐτὸν εἰς βασιλείαν, ζητήσας τοῦτον ἐν τοῖς παισὶν Ἰεσσαί. Ac 13.22
Εἶπε γὰρ πρὸς Σαμουὴλ, Ὅτι *ἑώρακα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ ἐμοὶ βασιλέα*. 1Rg 16.1

21β Ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν.

Καὶ περὶ τῆς χρίσεως αὐτοῦ ἡ πρώτη τῶν Βασιλειῶν ἱστορεῖ. Καὶ *ἔλαβε*, φησὶ, *Σαμουὴλ τὸ κέρας τοῦ ἐλαίου, καὶ ἔχρισεν αὐτὸν ἐνώπιον τῶν ἀδελφῶν αὐτοῦ*. 1Rg 16.13

Ἅγιον δὲ ἑαυτοῦ ὁ Θεὸς τὸ ἔλαιον τῆς χρίσεως ἐκάλεσεν, ὡς θεῖον· εἶχε γὰρ τὴν κατασκευὴν θεοδίδακτον καὶ μυστικήν. Ex 30.22-25

22 Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν.

Χεῖρα Θεοῦ καὶ βραχίονα, τὴν παρὰ Θεοῦ βοήθειαν καὶ τὴν δύναμιν αὐτοῦ πολλάκις ἡρμηνεύσαμεν· κατισχύσει δὲ, ἀντὶ τοῦ, ἐνισχύσει.

23α Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ.

Ὠφελεῖν, τὸ ἀνύειν πολλάκις ἡ Ἑβραῒς λέγει, καθάπερ καὶ νῦν. Οὕτω καὶ ἐν τῷ Εὐαγγελίῳ εἴρηται, *Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδὲν*, ἀντὶ τοῦ, οὐκ ἀνύετε. Jn 12.19

23β Καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν.

Υἱὸς ἀνομίας, ἀντὶ τοῦ, ἄνομος, ὥσπερ υἱὸς ἀνθρώπου, ἀντὶ τοῦ, ἄνθρωπος· 1Par 17.9
οὕτω γοῦν καὶ υἱὸς ἀδικίας, ὁ ἄδικος, καὶ υἱὸς ἀπωλείας, ὁ ἀπολωλὼς, καὶ υἱοὶ 2Thes 2.3
ἀπειθείας, οἱ ἀπειθεῖς. Ἰδίωμα γὰρ καὶ τοῦτο τῆς Ἑβραΐδος. Eph 2.2

Οὐ προσθήσει δὲ, ἀντὶ τοῦ, οὐ προσεπιχειρήσει, ἅπαξ ὑπ᾽ αὐτοῦ πληγείς.

24 Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ, καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι.

Ἀπὸ προσώπου, ἀντὶ τοῦ, ἀπ᾽ ἐνώπιον· τροπώσομαι δὲ, ἀντὶ τοῦ, νικήσω.

25α Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ᾽ αὐτοῦ.

Ἢ ὁ ἀληθινός μου ἔλεος, ὡς ἀνωτέρω δεδηλώκαμεν, ἢ ἀλήθεια μὲν, τῶν ἐπαγγελιῶν, ἔλεος δὲ, τῆς βοηθείας. Ps 88.15α

25β Καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.

Κέρας τοῦ Δαυὶδ, ὁ Χριστὸς, | εἴτουν καύχημα καὶ δόξα. Ὥσπερ γὰρ ἐκ τῆς

κεφαλῆς βλαστάνει τὸ κέρας τοῖς κερασφόροις τῶν ζῴων, καὶ οὐ μόνον ἐστὶν ἰσχὺς αὐτῶν ἀλλὰ καὶ κόσμος, οὕτω κεφαλὴ μὲν τοῦ λαοῦ τῶν Ἰουδαίων, ὁ Δαυὶδ, ὡς βασιλεύς· κεφαλὰς γὰρ καλοῦμεν, τοὺς ἄρχοντας.

Ἐκ δὲ τῆς κεφαλῆς ταύτης ἐβλάστησε, δίκην κέρατος, ὁ Χριστὸς, ὃς καὶ σεμνύνει καὶ δοξάζει αὐτὸν, ὥσπερ τὸ κέρας τὰ κερασφόρα. Οὐ διὰ τοῦτο δὲ μόνον λέγεται κέρας, ἀλλὰ ὡς πάντων ὑψηλότερος διὰ τὴν θεότητα· πάντων γὰρ τῶν μελῶν ὑπερέχει τὸ κέρας.

Εἶπε τοίνυν ὁ Θεὸς καὶ Πατὴρ, ὅτι τὸ κέρας τοῦ Δαυὶδ, εἴτουν ὁ Χριστὸς, ἐν τῷ ὀνόματί μου ὑψωθήσεται, τουτέστιν, ἐν τῷ καλεῖσθαι Θεός.

Τούτῳ δὲ τῷ λόγῳ συμφωνεῖ καὶ Ζαχαρίας ἐν τῷ Εὐαγγελίῳ, λέγων, *Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ, καθὼς ἐλάλησε*
διὰ στόματος τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνος προφητῶν αὐτοῦ, τούτους τοὺς προφήτας Lk 1.69
δηλῶν, οὓς ὁ Δαυὶδ ἀνωτέρω υἱοὺς εἶπε Θεοῦ· οἶκον δὲ Δαυὶδ, τὸ γένος αὐτοῦ Ps 88.20α
ἐκάλεσε.

26 Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ.

Διὰ μὲν τῆς θαλάσσης, τὰς νήσους ᾐνίξατο· ἐν ταύτῃ γὰρ αὗται. Διὰ τῶν ποταμῶν δὲ, τὴν ἤπειρον· ἐν ταύτῃ γὰρ οὗτοι.

Χεῖρα δὲ λέγει καὶ δεξιὰν, τὴν κατοχὴν καὶ κυριότητα.

Ποῦ δὲ ὁ Δαυὶδ ἁπάντων τούτων ἐκυρίευσεν; Οὐδαμοῦ τῆς Γραφῆς. Ὁ δὲ Χριστὸς, πάσης μὲν θαλάσσης, πάσης δὲ γῆς ἐκυρίευσεν, ὡς εἴρηται καὶ ἐν τῷ οα´ ψαλμῷ, ὅτι *Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν*
ἕως περάτων τῆς οἰκουμένης. Ὥστε χεῖρα καὶ δεξιὰν, οὐ τοῦ Δαυὶδ νοήσεις, ἀλλὰ Ps 71.8
τοῦ κέρατος τοῦ Δαυίδ.

27 Αὐτὸς ἐπικαλέσεταί με, Πατήρ μου εἶ σὺ, Θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου.

Λείπει τὸ, λέγων, ἔξωθεν προσλαμβανόμενον. Ἐπικαλέσεταί με ἐν καιρῷ, λέγων πρός με, *Πατήρ μου εἶ σὺ*, καὶ τὰ ἑξῆς.

Ποῦ δὲ ὁ Δαυὶδ Πατέρα αὐτὸν οἰκεῖον ὠνόμασεν; Οὐδαμοῦ. Ὁ δὲ Χριστὸς, πολλαχοῦ τῶν Εὐαγγελίων, Πατέρα μὲν αὐτὸν λέγων, ὡς Θεὸς, Θεὸν δὲ καὶ ἀντιλήπτορα, ὡς ἄνθρωπος.

28α Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν.

Οὕτως αὐτὸν καὶ ὁ μέγας Παῦλος ὀνομάζει, *Πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς*, Rom 8.29
καὶ *Πρωτότοκον ἐκ τῶν νεκρῶν*, καὶ *Πρωτότοκον πάσης κτίσεως*, ὡς ἀπαρχὴν Col 1.18, 15
τοῦ νέου λαοῦ, καὶ ὡς πρῶτον ἀναστάντα ἐκ τῶν νεκρῶν εἰς ἀθανασίαν, καὶ ὡς ἐξαίρετον τῆς καινῆς κτίσεως τῶν πιστῶν.

[25β][6] ἀλλὰ ὡς MSCF : ἀλλὰ καὶ ὡς PBV.

28β Ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Τοὺς μὲν γὰρ ἐπιγνόντας αὐτὸν, ὑποκεκλιμένους ἔχει, τῶν πολεμούντων δὲ, ἀνώτερος γίνεται· καὶ τοῦτον τὸν τρόπον ὑψηλός ἐστι καὶ παρὰ τοῖς πιστοῖς βασιλεῦσι καὶ παρὰ τοῖς ἀπίστοις.

Ὁ δὲ Δαυὶδ οὐ περιεγένετο πάντων τῶν βασιλέων τῆς γῆς, μόνης βασιλεύσας τῆς Ἰουδαίας.

29α Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου.

Χρήζοντι αὐτοῦ κατὰ τὸ ἀνθρώπινον, ἢ καὶ οὐ δι᾽ ἑαυτὸν, ἀλλὰ διὰ τοὺς ἐξ αὐτοῦ, φημὶ δὴ, τοὺς Χριστιανοὺς, ὑπὲρ ὧν καὶ παρακαλεῖ τὸν Πατέρα, *μεσίτης Θεοῦ καὶ ἀνθρώπων* γεγονώς. 1Tim 2.5

29β Καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ.

Ἡ ἐπαγγελία ἡ πρὸς τὸν Δαυὶδ, πιστὴ, εἴτουν βεβαία ἔσται ἐπ᾽ αὐτῷ, δηλονότι τῷ Χριστῷ, τουτέστιν, εἰς αὐτὸν ἀποβήσεται. Εἴρηται γὰρ ἀνωτέρω, *Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου.* Ps 88.5α

30α Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ.

Σπέρμα τοῦ Χριστοῦ, ὁ παρ᾽ αὐτοῦ σπαρεὶς ἐν ταῖς ψυχαῖς τῶν μαθητῶν αὐτοῦ λόγος τοῦ Εὐαγγελίου, ὅσπερ διαμένει εἰς | τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ὁ ἐν παντὶ ἔθνει ἀναγεννηθεὶς αὐτῷ λαός. Lk 8.11

Ἀντὶ δὲ τοῦ, *εἰς τὸν αἰῶνα τοῦ αἰῶνος*, διηνεκῶς ἐξέδωκεν ὁ Σύμμαχος. Καὶ ὄντως τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, *Πύλαι ᾄδου οὐ κατισχύσουσι.* Mt 16.18

30β Καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.

Καὶ αὖθις θήσω τὸν θρόνον τῆς βασιλείας αὐτοῦ οὕτω διαρκῆ ὡς θήσω καὶ τὰς ἡμέρας τοῦ οὐρανοῦ· διαρκεῖς γὰρ αὗται, ὡς μέχρι συντελείας τοῦ κόσμου φυλάττουσαι τὸν οἰκεῖον ὅρον. Ἔοικε δὲ τουτὶ τὸ ῥητὸν τῷ, *Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ*, ἐν τῷ οα´ ψαλμῷ. Ἡμέραι δὲ λέγονται τοῦ οὐρανοῦ, ὡς αὐτοῦ ταύτας ἀποτελοῦντος τῇ τοῦ ἡλίου φορᾷ. Ps 71.5

Δειξάτωσαν δὲ Ἰουδαῖοι τὸ σπέρμα τοῦ Δαυὶδ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τεθὲν, τουτέστι, σῳζόμενον ἐπὶ τῆς βασιλείας, ἔτι δὲ καὶ τὸν βασιλικὸν θρόνον τοῦ Δαυὶδ μόνιμον. Ἀλλ᾽ οὐκ ἂν δύναιντο. Εἰς Ἰεχονίαν γὰρ καὶ Σεδεκίαν κατέληξεν ἡ βασιλεία Δαυὶδ, οὓς αἰχμαλώτους ἀνὰ μέρος οἱ Βαβυλώνιοι ἀπαγαγόντες, τὸν Σεδεκίαν μὲν ἀπετύφλωσαν, τὸν Ἰεχονίαν δὲ δουλείᾳ ὑπέβαλον. Τηνικαῦτα δὲ καταστραφέντος τέλεον καὶ τοῦ θρόνου Δαυὶδ, οὐδεὶς τὸ λοιπὸν εἰς αὐτὸν 2Par 36.9-12 4Rg 25.7, 24.15

ἐκάθισεν. Ὁ γὰρ Ζοροβάβελ μετὰ τὴν ἐπάνοδον τῆς αἰχμαλωσίας, οὐ βασιλεὺς, ἀλλὰ δημαγωγὸς Ἰουδαίων γέγονε. Δηλοῖ δὲ ταῦτα προϊὼν ὁ ψαλμός. Ὅθεν οὐκ ἐπὶ πλεῖον τῶν τετρακοσίων ἐτῶν ἡ βασιλεία Δαυὶδ τοῖς ἀπογόνοις αὐτοῦ παρέμεινεν.

31-33 Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν, ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν.

Υἱοὶ τοῦ Χριστοῦ, οἱ διὰ τοῦ Εὐαγγελίου καὶ τοῦ λουτροῦ τῆς παλιγγενεσίας Tit 3.5
ἀναγεννηθέντες αὐτῷ.

Περὶ δὲ διαφορᾶς νόμου, καὶ κρίματος, καὶ δικαιώματος, καὶ ἐντολῆς, εἴρηται
σαφῶς ἐν τῷ ιζ΄ ψαλμῷ. Ps 17.23

Βεβηλώσωσι δὲ, ἀντὶ τοῦ, εὐτελίσωσι· βέβηλον γὰρ, πρὸς ἀντιδιαστολὴν τοῦ ἱεροῦ, λέγεται τὸ ἀνίερον, εἴτουν κοινὸν καὶ εὐτελές. Ῥάβδον δὲ καὶ μάστιγα λέγει, τοὺς πειρασμούς.

Ἔστι δὲ ὁ νοῦς τοιοῦτος, ὅτι πταίοντας σωφρονίσω μὲν, ἐθνῶν ἐπαναστάσεσι, καὶ τυραννίσι, καὶ λιμῷ, καὶ τοιαύταις ἄλλαις παιδείαις· οὐ μὴν τέλεον αὐτοὺς ἀπώσομαι. Ἀνομίας δὲ καὶ ἀδικίας, τὰ αὐτὰ νόησον ἐκ παραλλήλου.

34α Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν.

Φειδόμενος αὐτῶν καὶ τὴν μετάνοιαν αὐτῶν ἀναμένων.

Ὢ φιλανθρωπίας ἀπείρου· μαστίζων γὰρ ἐλεεῖ, καὶ οὐκ ἄκρατον ἐπάγει τὴν τιμωρίαν, ἀλλὰ μαστίζει μὲν ὡς καταφρονητὰς, ἐλεεῖ δὲ ὡς οἰκείους.

34β Οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου.

Οὐδὲ ἀδικήσω τὸν Δαυὶδ, παραβαίνων τὰς πρὸς αὐτὸν συνθήκας. Περιττεύει δὲ τὸ, *μὴ*, ὥσπερ καὶ ἐν τῷ ἑξῆς στίχῳ.

Τινὰ δὲ τῶν ἀντιγράφων, *οὐδ' οὐ μὴ* γράφουσι. Τοῦτο δὲ οὐ ποιήσω διὰ τὴν ἀλήθειάν μου, διότι εἰμὶ ἀληθής.

35α Οὐδὲ μὴ βεβηλώσω τὴν διαθήκην μου.

Οὐδ' εὐτελίσω αὐτὴν, ἀθετήσας. Ἀξίωμα μὲν γὰρ τῆς διαθήκης, ἡ ἀλήθεια αὐτῆς, εὐτέλεια δὲ αὐτῆς, ἡ ἀθέτησις. Διαθήκην δὲ λέγει, τὴν *Εἰς τὸν αἰῶνα*
φυλάξω αὐτῷ τὸ ἔλεός μου. Ps 88.29α

35β Καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω.

Ἐφερμηνευτικὸν τοῦτο τοῦ πρὸ αὐτοῦ. Ἀνθρωποπρεπῶς δὲ, *διὰ τῶν χειλέων*, εἶπε· χείλη δὲ Θεοῦ, καὶ γλῶσσα, καὶ στόμα, ὁ λόγος αὐτοῦ.

36 Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυὶδ ψεύσομαι.

Ἅπαξ, | ἀντὶ τοῦ, βεβαίως. Τοιοῦτόν ἐστι καὶ τὸ, *Ἅπαξ ἐλάλησεν ὁ Θεός*. Ps 61.12
Ὤμοσα δὲ, ἀντὶ τοῦ, ἐβεβαίωσα. Ὤμοσα δὲ κατὰ τῆς ἐμῆς ἁγιωσύνης· πᾶς μὲν γὰρ ὁ ὀμνύων, κατὰ μείζονος ὄμνυσιν. Ὁ δὲ Θεὸς, μὴ ἔχων ὀμόσαι κατὰ μείζονος, ὄμνυσι καθ' ἑαυτοῦ, εἴτουν εἰς ἑαυτὸν, ὡς καὶ ὁ μέγας Παῦλος ἐδίδαξε. Heb 6.13

Τὸ δὲ, *εἰ τῷ Δαυὶδ ψεύσομαι*, ἀντὶ τοῦ, οὐ τῷ Δαυὶδ ψεύσομαι. Ἰδίωμα γὰρ καὶ τοῦτο τῆς Παλαιᾶς, τὸ, *εἰ*, ἀντὶ τοῦ, *οὐ*, λαμβάνειν ἐπὶ τῶν ὀμνυόντων.

Τοιοῦτον εὑρήσεις καὶ ἐν τῇ ἀρχῇ τοῦ ρλα΄ ψαλμοῦ, *Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου*, ἀντὶ τοῦ, οὐκ εἰσελεύσομαι, καὶ τὰ ἑξῆς. Ps 131.3

37α Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει.

Σπέρμα μὲν τοῦ Δαυὶδ, ὁ Χριστὸς κατὰ σάρκα, καθὼς ἀνωτέρω διελάβομεν, ὃς Ps 88.4-5
καὶ βασιλεύει αἰωνίως, τῶν Χριστιανῶν μὲν, ἑκόντων, τῶν δὲ ἀπίστων, ἀκόντων· *Ἐδόθη μοι γὰρ, φησὶ, πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς*. Mt 28.18

Σπέρμα δὲ τοῦ Χριστοῦ, ὁ λόγος τοῦ Εὐαγγελίου καὶ οἱ ἀναγεννηθέντες αὐτῷ, καθὼς ὁμοίως ἀνωτέρω διείληπται· καὶ τοῦτο οὖν κἀκεῖνο τὸ σπέρμα εἰς τὸν Ps 88.30α
αἰῶνα, φησὶ, μένει, κατὰ τὴν ἐμὴν ἐπαγγελίαν.

37β Καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου.

Ἡ βασιλεία τοῦ Χριστοῦ ἡ εἰς τοὺς Χριστιανοὺς, ἐπισημοτάτη καὶ μόνιμος ὡς ὁ ἥλιος. Διατί δὲ τὸν ἥλιον εἰς εἰκόνα τῆς μονιμότητος ἔλαβεν, εἴρηται ἐν τῷ οα΄ ψαλμῷ, ἔνθα τὸ, *Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ*. Ps 71.5α

38α Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα.

Καθ' ὑπερβατὸν ἀναγνωστέον, *ὡς ἡ κατηρτισμένη σελήνη*· λέγει δὲ ὅτι ἡ βασιλεία αὐτοῦ ἐπίσημος καὶ μόνιμος εἰς τὸν αἰῶνα, ὡς ὁ ἥλιος καὶ ὡς ἡ πλησιφαὴς σελήνη· κατηρτισμένην γὰρ, τὴν πλησιφαῆ καλεῖ.

Τοὺς δύο δὲ φωστῆρας εἰς εἰκόνα παρέλαβεν, ὡς ἐν τῷ οα΄ ψαλμῷ. Ps 71.5

38β Καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός.

Ὁ Σύμμαχος, ἀντὶ τοῦ, *ὁ μάρτυς*, ὁ διαμαρτυράμενος, ἐξέδωκε· λέγει δὲ ὅτι ὁ διαμαρτυράμενος, εἴτουν ἐπαγγειλάμενός μοι τὰ περὶ τοῦ σπέρματός μου, ἐν οὐρανῷ ἐστι, καὶ ἀξιόπιστός ἐστιν. Οἱ γὰρ ἐπίγειοι οὐ δοκοῦσιν ἀξιόπιστοι.

35β[3] ὁ λόγος PCFBV[L] : καὶ ὁ λόγος MS[2]. 37α[1] μένει MPBFV[T] : μενεῖ [Ra]. 37α[3] βασιλεύει MPS[2]V : βασιλεύσει C.

39α Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας.

Τὰ ἐντεῦθεν, προσώπῳ τοῦ Ἰουδαϊκοῦ λαοῦ γέγραφεν ὁ προφήτης, ἀπολοφυρομένου τὴν παρὰ Βαβυλωνίων αἰχμαλωσίαν, καὶ οἰομένου ἀθετηθῆναι τὰς πρὸς τὸν Δαυὶδ ἐπαγγελίας. Σὺ δὲ, φησὶν, ὁ τὰ ῥηθέντα ἐπαγγειλάμενος, ἀπώσω τὸ σπέρμα τοῦ Δαυὶδ καὶ ἠτίμωσας. Αἰνίττεται δὲ ὁ λόγος τὸν Ἰεχονίαν καὶ τὸν Σεδεκίαν, ὡς εἴρηται. Ps 88.30β

Σφόδρα δὲ ἀνοηταίνουσιν οἱ Ἰουδαῖοι, ψεύδεσθαι ὑπολαμβάνοντες τὸν Θεὸν, ὅπερ ἀδύνατον καὶ ἀνόσιον. Heb 6.18

Λοιπὸν οὖν, σπέρμα τοῦ Δαυὶδ αἰώνιον εἰς τὴν βασιλείαν, ὁ Χριστὸς, *οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος*. Καὶ οὗτοι μὲν σωματικὸν θρόνον καὶ βασιλείαν Lk 1.33
νοοῦσι, τούτου δὲ ἡ βασιλεία, *οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου*, ὡς αὐτὸς εἴρηκε, Jn 18.36
τουτέστιν, οὐκ αἰσθητὴ, ἀλλὰ νοητή.

Βασιλεία γὰρ αὐτοῦ, ἡ τῶν πιστευόντων ὑποταγὴ καὶ ἑκούσιος δουλεία. *Ἐγὼ* γὰρ, φησὶ, *κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ*, καὶ αὖθις, *Καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς*. Ps 2.6α, 8

39β Ἀνεβάλου τὸν χριστόν σου.

Χριστὸν Θεοῦ, τὸν βασιλέα καλεῖ, ὡς χρισθέντα ψήφῳ Θεοῦ εἰς βασιλείαν. Οὕτω γὰρ καὶ ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν, *χριστὸν Κυρίου*, τὸν Σαοὺλ ὀνομάζει. 1Rg 24.11
Ἀνεβάλου φησὶν, εἴτουν ὑπερέθου, παρεκρούσω τὸν βασιλέα τὸν σὸν, δηλαδὴ τὸν Δαυὶδ, μὴ πληρώσας τὰς πρὸς αὐτὸν ἐνωμότους ἐπαγγελίας.

40α Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου.

Κατέλυσας τὴν ἐπαγγελίαν τὴν πρὸς αὐτόν.

40β Ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ.

Καὶ ἐν τῷ ογ′ ψαλμῷ εἴρηκεν, *Εἰς τὴν γῆν* | *ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου*. Ps 73.7β

Νῦν δὲ ἁγίασμα τοῦ Δαυὶδ, τὸν ἐν Ἱεροσολύμοις περιβόητον εἶπε ναὸν, ὡς αὐτοῦ τοῦ Δαυὶδ προθεμένου τοῦτον οἰκοδομῆσαι, καὶ τὴν ὕλην τῆς οἰκοδομῆς τῷ 1Par 22.2-5
παιδὶ Σολομῶντι καταλιπόντος, διὰ τὸ κελεῦσαι τὸν Θεὸν, μὴ παρὰ Δαυὶδ, ἀλλὰ 2Kg 7.12-13
παρὰ τοῦ παιδὸς αὐτοῦ τοῦτον οἰκοδομηθῆναι.

Ἅγιον δὲ καὶ ἁγιαστήριον, τὸν ναὸν ὁμοίως ἐκάλεσε καὶ ἐν τῷ ῥηθέντι ογ′ ψαλμῷ. Ps 73.3β, 7α

Τῷ Δαυὶδ δὲ τὸ πάθος ἅπαν ὁ λαὸς περιάπτει, πειρώμενος κάμψαι τὸν Θεὸν εἰς οἶκτον διὰ τὴν πρὸς ἐκεῖνον συμπάθειαν.

39α[2] γέγραφεν MS[2]CBF : ἔγραψεν PV. 39α[7] οἱ Ἰουδαῖοι PBV : Ἰουδαῖοι MS[2]CF. 40β[1] εἰς τὴν γῆν PBV[TRa] : εἰς γῆν MSCF.

41α Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ.

Φραγμοὶ, τὰ τείχη καὶ οἱ νόμοι.

41β Ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν.

Ἐν τῷ Ἰεχονίᾳ νῦν ἢ τῷ Σεδεκίᾳ, τὸν Δαυὶδ εἰκονίζει, ὡς ἀπογόνοις αὐτοῦ, ὧν ἑκάστου ὀχυρώματα ἦσαν οἱ περίβολοι τῶν τειχῶν. Ἑαλωκὼς δ' ἑκάτερος, ἀντὶ τῶν ὀχυρωμάτων τούτων, δειλίαν περιέκειτο. Ἐποίησας, φησὶ, νῦν τοὺς περιβόλους αὐτοῦ, ἀντὶ τῶν πρὶν, δειλίαν· ταύτην γὰρ ὡς περίβολον περίκειται.

42α Διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν.

Αὐτὸν, ἤτοι τὸν πλοῦτον αὐτοῦ. Διοδεύοντας δὲ ὁδὸν λέγει, τὰ γείτονα ἔθνη, τὰ πλησίον αὐτοῦ πεποιημένα τὴν δίοδον, ἃ καὶ ἐν τῷ οθ΄ ψαλμῷ, παραπορευομένους Ps 79.13β
ὠνόμασεν.

42β Ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ.

Οὗτος ὁ στίχος καὶ ἐν τῷ οη΄ κεῖται ψαλμῷ· πληθυντικῷ δὲ ἐκεῖσε ἐκπεφώνηται Ps 78.4
χαρακτῆρι.

43α Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν.

Ἀντὶ τοῦ, ὑπερτέρους τοὺς Βαβυλωνίους ἐποίησας. Οἱ γὰρ νικῶντες ἐν πολέμῳ ὑπεράνω τῶν νικωμένων τὰς ἑαυτῶν χεῖρας ἀνατείνουσι, παίοντες.

43β Εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ.

Τὰ γείτονα ἔθνη, ὡς ἐν τῷ οη΄ ψαλμῷ προείρηται. Ps 78.4

44α Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ.

Ἣν συνήθως ἐν μάχαις αὐτῷ παρεῖχες.

44β Καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ.

Τῷ πρὸς Βαβυλωνίους.

45α Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτοῦ.

44α[2] παρεῖχες MCBFV : παρέσχες P.

Κατέπαυσας αὐτὸν ἀπὸ τοῦ συνήθους καθαρισμοῦ· περιῤῥαντηρίοις γὰρ ἐχρῶντο καὶ καθαρσίοις ἐν ταῖς ἑορταῖς. Nu 19

Διὰ δὲ τοῦ προηγουμένου, τὸ ἑπόμενον ἐδήλωσεν· ὅτι ἀνεῖλες τὰς ἑορτὰς αὐτοῦ.

45β Τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥαξας.

Τὴν βασιλείαν αὐτοῦ ἀνέτρεψας. Μεταφορικὸς δὲ ὁ λόγος.

46α Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ.

Χρόνον λέγει, τὸν ἐπαγγελθέντα τῷ σπέρματι τοῦ Δαυὶδ, τὸν εἰς αἰῶνα αἰῶνος. Ἐσμίκρυνας δὲ, ἀντὶ τοῦ, συνέτεμες, μακρὸν ὑποσχεθέντα. Ps 88.30α

46β Κατέχεας αὐτοῦ αἰσχύνην.

Αἱ γὰρ αἰσχῦναι τῶν ἀπογόνων, αἰσχῦναι τοῦ προγόνου δοκοῦσιν. Ἠισχύνθησαν γὰρ, ἐξανδραποδισθέντες καὶ παθόντες τὰ ἀτιμότατα.

47 Ἕως πότε, Κύριε, ἀποστρέφῃ εἰς τέλος; ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου;

Ταῦτα ἐοίκασι τοῖς ἐν τῷ οη´ ψαλμῷ· εἴρηται γὰρ κἀκεῖ, *Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος; ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;* Ps 78.5

48α Μνήσθητι τίς μου ἡ ὑπόστασις.

Μνήσθητι διατί ὑπέστην, εἴτουν ἐπλάσθην· πάντως, ἵνα ζῶν, δοξάζω τὰ μεγαλεῖά σου. Διὰ τοῦτο ῥῦσαί με τοῦ θανάτου· *Οὐ γὰρ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε.* Ps 113.25

48β Μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων;

Οὐκ εἰκῇ καὶ μάτην ἔπλασας τὸν ἄνθρωπον, ἵνα δίκην ἀχρήστου καὶ περιττοῦ τινος, ὡς ἔτυχε, παραπόλοιτο, ἀλλ' εἰκόνι σῇ τοῦτον ἐτίμησας, καὶ μέγαν καὶ | Gen 1.27
τίμιον ἐποίησας· διὸ μὴ παρίδῃς ἡμᾶς, ἀθλίως ἀπολλυμένους. Prov 20.6

49 Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον; ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου;

Τὸ, τίς, ἀντὶ τοῦ, οὐδείς· ἐξακούεται δὲ καὶ ἐπὶ τοῦ δευτέρου στίχου, τοῦ ῥύσεται. Χεῖρα δὲ ᾅδου λέγει, τὴν κατάσχεσιν, τὴν τυραννίδα.

Ἐπεὶ δὲ ἀναγκαίως, φησὶν, ἀποθανεῖν μέλλομεν, ὡς θνητὴν λαχόντες φύσιν, ζῶσιν ἡμῖν, μετάδος φιλανθρωπίας.

50 Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαυὶδ ἐν τῇ ἀληθείᾳ σου;

Ἐλέη καλεῖ, τὰς ἐπαγγελίας τὰς περὶ τοῦ σπέρματος καὶ τῆς βασιλείας Δαυίδ· ἐλεήσας γὰρ ὁ Θεὸς τοὺς ἀνθρώπους, ταύτας ὑπέσχετο.

Ἀρχαῖα δὲ πρὸς τὸν ἱκετεύοντα λαὸν, οὗ πολλοῖς ἔτεσι προγενέστερος ὁ Δαυίδ. Ἢ ἀρχαῖα, διότι πρὸ τῶν αἰώνων ὡρίσθησαν τῷ Θεῷ· φησὶ γὰρ Παῦλος, *Τὸ μυστήριον τὸ ἀποκεκρυμμένον πρὸ τῶν αἰώνων*. Ἡσαΐας δὲ, *Βουλὴν ἀρχαίαν* Col 1.26
ἀληθινὴν ἐκάλεσε ταῦτα. Isa 25.1

Ὤμοσας δὲ, ἀντὶ τοῦ, βεβαίως ἐπηγγείλω. Ἐν τῇ ἀληθείᾳ σου δὲ, ἀντὶ τοῦ, ἐν τῷ ἀληθὴς εἶναι.

51 Μνήσθητι, Κύριε, τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν.

Τῶν δούλων σου, τῶν Ἑβραίων, τοῦ παρὰ πολλῶν ἐθνῶν, παρά τε τῶν αἰχμαλωτισάντων καὶ τῶν περιοίκων ἐθνῶν, ὅντινα ὀνειδισμὸν ὑπέσχον, εἴτουν ἐβάστασα ἐν τῇ καρδίᾳ μου· τὸ, ὑπέσχον γὰρ, ὁ μὲν Ἀκύλας, ἦρα, ὁ δὲ Σύμμαχος, ἐβάστασα, ἐκδεδώκασι.

Κόλπον δὲ εἶπε, τὴν καρδίαν, ὅτι ἐν ταύτῃ δίκην κόλπου καὶ τὰς λύπας καὶ τὰς εὐφροσύνας θησαυρίζομεν.

Σημειωτέον δὲ τὸ, οὗ, ἀντὶ τοῦ, ὅντινα. Πρὸς τὴν ἀκολουθίαν γὰρ τοῦ ὀνειδισμοῦ ἐπήνεγκε τὸ, οὗ, κατὰ Ἀττικὴν συνήθειαν. Τὸ αὐτὸ δὲ καὶ ἐν τοῖς ἐφεξῆς δυσὶ πεποίηκε στίχοις, ἀπὸ κοινοῦ καὶ ἐπὶ τούτων λαμβανομένου τοῦ, μνήσθητι.

52 Οὗ ὠνείδισαν οἱ ἐχθροί σου, Κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ χριστοῦ σου.

Χριστὸν μὲν Θεοῦ φησὶ, τὸν βασιλέα Δαυὶδ, ὡς ἀνωτέρω διείληπται· Ps 88.39β
ἀντάλλαγμα δὲ τοῦ Δαυὶδ, τὸν Ἰεχονίαν ἢ τὸν Σεδεκίαν, ὡς ἀντ' ἐκείνου βασιλεύσαντας, οἷς καὶ ὠνείδιζον τὴν αἰχμαλωσίαν.

Ὁ δὲ διπλασιασμὸς τοῦ, ὠνείδισαν, ἐμφαντικὸς πάθους ἐστίν.

53 Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα· γένοιτο· γένοιτο.

Τὸ τέλος τοῦ ψαλμοῦ διδάσκει μὴ ἀποδυσπετεῖν ἐν ταῖς θλίψεσιν, ἀλλὰ παρακαλεῖν τὸν Θεὸν, καὶ ἀναμιμνήσκειν αὐτὸν τῆς αὐτοῦ χρηστότητος, καὶ τέλος, εὐφημεῖν αὐτὸν, ὡς πάντα τὰ καθ' ἡμᾶς οἰκονομοῦντα πρὸς τὸ συμφέρον. Εὐφημητὸς, φησὶν, ὁ Θεὸς ἀεί· γένοιτο, γένοιτο εὐφημητός. Ἢ γένοιτο, γένοιτο, ὅσα βούλεται· βούλεται δὲ, ὅσα συμφέρει τοῖς ἀνθρώποις. Ps 71.19β

51[4] αἰχμαλωτισάντων PCBF : αἰχμαλωτισθέντων MV. 53[2] Τὸ τέλος MCBF : Εἰς τὸ τέλος PV.

89 πθʹ

1α Προσευχὴ Μωυσῇ ἀνθρώπῳ τοῦ Θεοῦ.

Καὶ περὶ ταύτης τῆς ἐπιγραφῆς ἐν τῷ προοιμίῳ τῆς παρούσης βίβλου προδιελάβομεν. Διδάσκει δὲ ὁ ψαλμὸς πῶς δεῖ παρακαλεῖν τὸν Θεὸν ἐν καιρῷ θλίψεως. § 53

1β Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.

Ἐν γενεᾷ καὶ γενεᾷ, ἀντὶ τοῦ, ἐν πάσῃ γενεᾷ· οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἐξέδωκε.

2 Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ.

Ἐν πάσῃ δὲ γενεᾷ καταφυγὴ ἡμῶν εἶ, διότι καὶ ἀεὶ εἶ.

Πρὸ τοῦ τὰ ὄρη, φησὶ, κτισθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην σὺ εἶ. | Προόντα δὲ τῶν κτισμάτων τὸν Κτίστην εἰπὼν, αὖθις καὶ ἄλλως αὐτὸν λέγει, ἄναρχον καὶ ἀτελεύτητον. Τὸ γὰρ, *ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ*, ἀντὶ τοῦ, ἀπὸ τοῦ ἀεὶ, ἕως τοῦ ἀεὶ, σὺ εἶ μόνος, καὶ οὐδεὶς ἕτερος. Αἰῶνα γὰρ τὸ, ἀεὶ, πολλαχοῦ καλεῖ ἡ Παλαιά.

Ταὐτολογία δὲ τὸ, ὄρη κτισθῆναι, καὶ τὸ, πλασθῆναι τὴν γῆν, ὥσπερ αὖ πάλιν καὶ τὸ, τὴν γῆν, καὶ τὸ, τὴν οἰκουμένην. Ὄγκον δὲ τὰ τοιαῦτα καὶ μέγεθος τῷ λόγῳ περιτιθέασι.

3α Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν.

Διάφορα εἴδη ταπεινώσεως παρὰ τῇ θείᾳ Γραφῇ. Λέγεται γὰρ ταπείνωσις, ἡ μετριοφροσύνη, *Μάθετε γὰρ*, φησὶν, *ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ* Mt 11.29
καρδίᾳ· καὶ ὁ ἀπὸ πειρασμοῦ σωφρονισμὸς, ὡς τὸ, *Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς* Ps 118.71
με· καὶ ἡ καθαίρεσις, ὡς τὸ, *Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον*· καὶ τὸ Ps 88.11
ὑποταγῆναι τῷ ἐχθρῷ, ὡς τὸ προκείμενον νῦν ῥητόν. Μὴ παραχωρήσῃς, φησὶν, ἀποστραφῆναι εἰς ταύτην ἄνθρωπον καταφυγόντα εἰς σέ.

3β Καὶ εἶπας, Ἐπιστρέψατε, υἱοὶ τῶν ἀνθρώπων.

Καὶ γὰρ σὺ εἶπας, Ὦ υἱοὶ τῶν ἀνθρώπων, ἐπιστρέψατε. Εἶπε δὲ τοῦτο ὁ Θεὸς ἐν διαφόροις τόποις τῆς Μωσαϊκῆς Πεντατεύχου. Dt 30.2-10

Δέξαι οὖν ἡμᾶς, ἐπιστρέφοντας.

4 Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.

Καὶ τοῦτο πρὸς ἀπόδειξιν τῆς ἀϊδιότητος τοῦ Θεοῦ παρέλαβε. Λέγει γὰρ, ὅτι τὰ χίλια ἔτη ἐνώπιόν σου οὕτως λογίζονται χρόνος τις ἄγαν βραχύτατος, ὡς καὶ παρ' ἡμῖν ἡ μία ἡμέρα, καὶ αὕτη, παρελθοῦσα· τοῦτο γὰρ δηλοῖ τὸ, ἐχθές.

Τὸ δὲ, ἥτις διῆλθε, τοῦ, ἐχθὲς, ἐφερμηνευτικόν· ἡ γὰρ παρελθοῦσα βραχυτέρα δοκεῖ τῆς ἐνεστώσης.

Καὶ αὖθις, ὡς λογίζεται παρ' ἡμῖν τὸ τεταρτημόριον τῆς νυκτός· τοῦτο γὰρ φυλακὴν ἐν νυκτὶ ἐκάλεσε· τῆς γὰρ νυκτὸς εἰς τέσσαρα μέρη τοῖς ἀμοιβαδὸν νυκτοφυλακοῦσιν ἐν στρατοπέδοις διῃρημένης, ἕκαστον μέρος, φυλακὴ νυκτερινὴ λέγεται.

Εἰπὼν γὰρ ἡμερήσιον χρόνον, καὶ τοῦτον παρεληλυθότα, ἐπήγαγεν ἔτι πολλῷ βραχύτερον, τὸ τεταρτημόριον τῆς νυκτὸς, διότι καὶ ἡ νὺξ ἀεὶ τάχιον ὑποῤῥεῖν δοκεῖ παρὰ τὴν ἡμέραν, διὰ τὴν ἀναισθησίαν τῶν καθευδόντων, καὶ διὰ τὸ σκότος, καὶ διὰ τὴν ἀπὸ τῶν πόνων ἄνεσιν. Οὕτω δὲ τῷ Θεῷ ἡ χιλιονταετηρὶς λογίζεται, διότι αὕτη μὲν παραῤῥεῖ, ὁ δὲ ἀκίνητός ἐστι καὶ ἀΐδιος.

Τὸ δὲ, ὅτι, βεβαιωτικὸν, ἀντὶ τοῦ, ὄντως.

5α Τὰ ἐξουδενώματα αὐτῶν ἔτι ἔσονται.

Εὐτελίσας ὁ λόγος τὰ ἐν ἀνθρώποις χίλια ἔτη, φησὶν, ὅτι ἔτι αὐτὰ ἐξουδενώσω, ὡς οὐδὲν ὄντα πρὸς τὴν ἀϊδιότητα τοῦ Θεοῦ· τὰ ἐξουδενώματα αὐτῶν, δηλαδὴ τῶν χιλίων ἐτῶν, ἐπὶ πλεῖον ἔσονται, εἴτουν γενήσονταί μοι.

Εἶτα ἐπάγει ἑτέραν ἐξουδένωσιν φαυλοτέραν.

5β Τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι.

Τὸ πρωῒ νῦν, ἀντὶ τοῦ, ταχέως, ὡς καὶ ἐν ἄλλοις εἰρήκαμεν. Ταχέως, φησὶ, Pss 48.15γ, 58.
παρελεύσεται τὰ χίλια ἔτη, δίκην χλόης ὠκυμόρου. 17β, 87.14β

6 Τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι· τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη.

Ταῦτα πρὸς τὸ τῆς χλόης ὠκύμορον ἀποτείνεται, ὅτι ἡ χλόη τὸ πρωῒ μὲν τῆς ἡμέρας ἀνθήσει, εἶτα παρελεύσεται ἀπὸ τοῦ ἀνθεῖν· τὸ δὲ ἑσπέρας ἀποπέσοι, ἤγουν κλιθήσεται εἰς γῆν (περιττεύει δὲ ἡ πρόθεσις)· εἶτα | σκληρυνθήσεται, δαπανωμένης τῆς ἐν αὐτῇ ἰκμάδος, καὶ οὕτω ξηρανθήσεται.

Τὰ γὰρ εὐκτικὰ νῦν ἀντὶ μελλόντων λαμβάνονται. Τὸ πρωῒ δὲ καὶ τὸ ἑσπέρας, ἀντὶ τοῦ, ἐν πρωΐᾳ καὶ ἐν ἑσπέρᾳ. Ἐν μιᾷ δὲ ἡμέρᾳ τὴν εἰκόνα τῆς ὠκυμορίας τῆς χλόης ἱστόρησε, δεικνύων τὸ τάχος τῆς παραδρομῆς αὐτῆς· ἄλλως τε καὶ ὅτι εἰσί τινες χλόαι, ἐν μιᾷ ἡμέρᾳ ἀνθοῦσαι καὶ ἀπανθοῦσαι καὶ ἀπολλύμεναι· ταῦτα μὲν οὕτως.

Τινὲς δὲ περὶ τῶν Ἰουδαίων προῤῥηθῆναι ταῦτά φασι, λέγοντες ἐπὶ χίλια ἔτη διαρκέσαι τὴν ἐν τῷ ναῷ λατρείαν αὐτῶν· τοσαῦτα γὰρ ἀπὸ Σολομῶντος ἄχρι τῆς

τοῦ Χριστοῦ σταυρώσεως ἔτη συναριθμεῖσθαι. Φασὶν οὖν προαγορεύειν τὸν λόγον, ὅτι ταυτὶ τὰ χίλια ἔτη, ὡς ἡ ἐχθὲς ἡμέρα σοι λελόγισται διὰ τὴν παρανομίαν αὐτῶν· διὸ τὰ ἐξουδενώματα αὐτῶν τῶν Ἰουδαίων ἐπὶ πλεῖον ἔσονται, ἀεὶ προσεπιγινόμενα· καὶ δὴ βλέπομεν αὐτοὺς οὐδέποτε παῦλαν τῆς ἐξουδενώσεως λαμβάνοντας. Καὶ τἄλλα δὲ ἀκολούθως νοοῦσιν, ὅτι τὸ πρωῒ αὐτῶν, ἤγουν ἡ εὐημερία αὐτῶν, ὡσεὶ χλόη παρελεύσεται· εὐημερία δὲ αὐτῶν, ἡ ἐπὶ Σολομῶντος μόνον βασιλεία· τὸ γὰρ ἑξῆς, ἐκυμαίνοντο· τὰ δὲ ἐφεξῆς ῥητὰ, πρὸς τὴν χλόην ἀποδώσεις, ὡς προείρηται.

7 Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.

Ἐξελίπομεν, ἀντὶ τοῦ, ὠλιγώθημεν· ἀπωλόμεθα ἐν τῷ ὀργισθῆναί σε ἡμῖν ἁμαρτήσασι.

Περὶ δὲ τῆς ὀργῆς καὶ τοῦ θυμοῦ διαφόρως εἴρηται, καὶ μᾶλλον ἐν τῷ ϛ′ Ps 6.2
ψαλμῷ. Ps 2.5

8α Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου.

Ἔθου αὐτὰς γυμνὰς ἐνώπιόν σου· καὶ ὁρώμεναι οὐ διαλανθάνουσιν, ἀλλὰ καὶ μάλιστα παροξύνουσί σε καθ’ ἡμῶν.

8β Ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.

Αἰῶνα νῦν, τὸν βίον λέγει καὶ τὴν ζωήν· ὅλος, φησὶν, ὁ βίος ἡμῶν, ὅλη ἡ ζωὴ, εἰς τὸ ἐμφανὲς τῆς σῆς ἐπισκοπῆς κεῖται, τουτέστι, πεφανέρωταί σοι· ὁ δὲ νοῦς, ὅμοιος τῷ τοῦ προλαβόντος στίχου.

9α Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον.

Αἱ ἡμέραι τῆς ζωῆς ἡμῶν παρῆλθον, τῇ τελευτῇ πεπλησιάκαμεν· οὕτω γάρ με πείθει νοεῖν ἡ σφοδρότης τῶν συμφορῶν. Ἔθος δὲ καὶ ἄλλως τοῖς ἐν θλίψεσι λέγειν, ὅτι τεθνήκαμεν, ἀποπνιγέντες ταῖς θλίψεσι καὶ ἀπεγνωκότες τὴν σωτηρίαν.

Εἴρηται δὲ πολλάκις περὶ τοῦ, ὅτι, καὶ νῦν δὲ καθόλου ῥητέον, ὅτι ἔνθα εὑρίσκεται, ἢ αἰτιολογικὸν νοεῖται, ἢ βεβαιωτικὸν, ἢ διηγηματικὸν καὶ παρέλκον, ὡς καὶ νῦν. Τοῦτο δὲ καὶ μᾶλλον πλεονάζει παρὰ τῷ Δαυίδ. Καὶ λοιπὸν ἔστω σοι τοῦτο καὶ εἰς τὸ ἑξῆς κανὼν ἀκριβέστατος· περιττὸν γὰρ πολλάκις περὶ τῶν αὐτῶν λέγειν τὰ αὐτά.

9β Καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν.

Τοῦτο καὶ ἀνωτέρω εἴρηκε· διττολογεῖ δὲ, νόμῳ τῶν ἐλεεινολογουμένων. Ps 89.7

9γ Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων.

Ἀράχνη νῦν, ὁ τῆς ἀράχνης ἱστός· ἐμελέτων δὲ, ἀντὶ τοῦ, ἐμελετῶντο, εἴτουν ἐλογίζοντο. Λέγει τοίνυν, ὅτι τὰ ἔτη ἡμῶν ἐλογίζοντο, τουτέστι, λογίζονται ἡμῖν, ὡσεὶ ἀράχνης ἱστὸς, ἐπίμοχθα καὶ ὀλιγοχρόνια· ὁ γὰρ τοιοῦτος ἱστὸς πολλῷ μὲν ὑφαίνεται μόχθῳ διὰ τὴν ἄγαν λεπτότητα, θᾶττον δὲ φθείρεται διὰ τὴν ἀσθένειαν.

10α Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν, ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη.

Ἐνταῦθα τὸν ἀριθμὸν ὁρίζεται τῶν ἐτῶν, πόσα μέν εἰσι τὰ τῆς δυνάμεως, πόσα δὲ τὰ τῆς βίας. Φησὶ γὰρ, ὅτι αἱ ἡμέραι | τῶν ἐτῶν ἡμῶν, εἴτουν τὰ ἔτη ἡμῶν, ἐν αὐτοῖς μὲν, ἤγουν ἐν ἑαυτοῖς, ἑβδομήκοντα ἔτη εἰσίν.

Ἐπὶ τοσοῦτον γὰρ ἑαυτῶν ἐσμεν, τουτέστιν, ἑαυτῶν κυριεύοντες, ἐνδυνάμως κινούμεθα. Ἐὰν δὲ ἐν δυναστείαις μέλλοι τις ζῆν, ὅ ἐστιν ἐν βίᾳ, διὰ τὸ μόγις τότε δύνασθαι, ὀγδοήκοντα ἔτη ζήσει.

10β Καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος.

Τὸ δ' ἐπέκεινα τούτων, ὅσον ζήσει τις, κόπος ἔσται καὶ πόνος διὰ τὴν ἄγαν ἀσθένειαν. Κόπος μὲν οὖν, ἡ ταλαιπωρία, πόνος δὲ, τὸ ἄλγος.

Τινὲς δὲ τὸ πλεῖον τῶν ἑβδομήκοντα ἢ ὀγδοήκοντα ἐτῶν νενοήκασιν, ὅτι ὀλίγη μὲν ἐν ἑαυτοῖς ἡ τέρψις, πλείων δὲ ἡ θλῖψις διὰ τὰ συνεχῆ συμπτώματα.

10γ Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα.

Πραότητα νῦν, τὴν μετρίαν ἐκ Θεοῦ παιδείαν ὠνόμασε. Πραότητα δὲ αὐτὴν εἶπε, πρὸς σύγκρισιν ἧς ἐσμεν ἄξιοι τιμωρίας διὰ τὰς ἁμαρτίας ἡμῶν.

11α Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου;

Ἐὰν ἡ μικρά σου παιδεία τοσαύτην ἡμῖν αἴσθησιν ἐνεποίησε, τίς ἄρα γινώσκει Isa 26.16
πόση, καὶ ὁποία τίς ἐστιν ἡ ἰσχὺς τῆς ὀργῆς σου, ἣν ἐπάγεις τοῖς ἀνεπιστρόφως ἔχουσιν; ὄντως πολλή ἐστι καὶ ἀφόρητος.

11β Καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι;

Καὶ τίς πάλιν γινώσκει μετρῆσαι τὸν θυμόν σου, τουτέστι, διαγνῶναι πόσος ἐστίν; Ὄντως οὐδεὶς τοῦτο δυνήσεται, διὰ τὸ εἶναί σε φοβερὸν ἄγαν.

12α Τὴν δεξιάν σου οὕτω γνώρισόν μοι.

Οὕτως, ἤγουν ἐν πραότητι καὶ μετρίᾳ παιδείᾳ ῥυθμίζων με, γνώρισόν μοι τὴν δεξιάν σου ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Γνωρίσεις μοι δὲ αὐτὴν, στήσας με ἐν δεξιᾷ σου μετὰ τῶν προβάτων. Mt 25.33

12β Καὶ τοὺς πεπεδημένους τὴν καρδίαν ἐν σοφίᾳ.

Καὶ ἔτι γνώρισόν μοι τότε τοὺς δικαίους, συντάξας με αὐτοῖς, ὧν αἱ καρδίαι πρὸ θανάτου τῇ σοφίᾳ σου ἐπεπέδηντο. Ἀρχὴ γὰρ σοφίας, φόβος Κυρίου· καὶ Prov 1.7 ἄλλως δὲ σοφία Θεοῦ, ἡ διάκρισις τῆς ἀρετῆς καὶ κακίας, καὶ ἐργασία τῆς ἀρετῆς.

Ἀλλ' οὕτω μὲν περὶ τῆς μελλούσης κρίσεως. Νοεῖται δὲ καὶ νῦν, ὅτι γνώρισόν μοι τὴν δεξιάν σου, δηλαδὴ, τὴν ἀντιληπτικὴν δύναμίν σου καὶ εὐεργετικὴν καὶ φυλακτικὴν, ναὶ μὴν, καὶ τοὺς σοφοὺς τὰ θεῖα, ἵνα συνετισθῶ δι' αὐτῶν.

13α Ἐπίστρεψον, Κύριε.

Ἢ σὺ πρὸς ἡμᾶς, οὓς ἀπεστράφης διὰ τὰς ἁμαρτίας ἡμῶν, ἢ ἡμᾶς πρὸς σὲ, τοὺς πλανωμένους τῇδε κἀκεῖσε.

13β Ἕως πότε;

Δηλονότι οὐκ ἐπιστρέφεις;

13γ Καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.

Ταλαιπωρουμένοις καὶ ἐπικαλουμένοις σε.

14α Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν.

Ὁ μὲν παρὼν βίος, εἴη ἂν ἑσπέρα καὶ νὺξ, διὰ τὴν κατακεχυμένην αὐτοῦ πλάνην καὶ διὰ τὸ καθεύδειν ἡμᾶς ἐν τούτῳ, θνήσκοντας· ὁ δὲ μέλλων, εἴη ἂν πρωῒ καὶ ἡμέρα, διὰ τὴν λαμπρότητα καὶ διὰ τὸ ἀνίστασθαι ἡμᾶς ἐκ νεκρῶν. Λέγει τοίνυν, ὅτι κατὰ τὸ πρωῒ, τουτέστι, τὸν μέλλοντα βίον, οἱ τῆς ἐπιστροφῆς, ὡς εἴρηται, τυχόντες, ἐμπλησθησόμεθα τοῦ ἐλέους σου καὶ ἀγαλλιασόμεθα καὶ εὐφρανθησόμεθα.

Ἀντιχρονίαν γὰρ ἐνταῦθα νενοήκαμεν, ὡς ὁ Ἀκύλας καὶ οἱ λοιποὶ παρεσημειώσαντο· περὶ δὲ τῆς ἀγαλλιάσεως καὶ τῆς εὐφροσύνης διαφόρως εἴρηται.

12β[1] τὴν καρδίαν MP^{corr}CF[T] : τῇ καρδίᾳ (P)BV[Ra]. 12β[3] ἐπεπέδηντο PS^{2}ABV : ἐπεδέδηντο M.

14β Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφράνθημεν.

Κἀνταῦθα ὁμοίως, ἀντὶ τοῦ, εὐφρανθησόμεθα. | Ἐν πάσαις δὲ ταῖς ἡμέραις, ἀντὶ τοῦ, διηνεκῶς· ἡ χαρὰ γὰρ τοῦ μέλλοντος αἰῶνος ἀμεσολάβητός τε καὶ ἀκατάλυτος.

15 Ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά.

Ἐταπείνωσας ἡμᾶς, πάσῃ κακοπαθείᾳ ἐκδοὺς, ᾗ προσομιλοῦσιν οἱ δίκαιοι. Κακὰ δὲ νῦν λέγει, τὰς θλίψεις καὶ τοὺς πειρασμούς.

16 Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Ἴδε ἐπὶ τοὺς δουλεύσαντάς σοι πατέρας καὶ διδασκάλους ἡμῶν, καὶ δι᾽ αὐτοὺς, ὁδήγησον εἰς ἀρετὴν ἡμᾶς τοὺς υἱοὺς αὐτῶν· ἢ ἴδε ἐφ᾽ ἡμᾶς τοὺς δούλους σου, καὶ μὴ μόνον ἡμᾶς, ἀλλὰ καὶ τοὺς σαρκικούς τε καὶ πνευματικοὺς υἱοὺς ἡμῶν ὁδήγησον.

17α Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς.

Λαμπρότης Θεοῦ, ἡ χάρις αὐτοῦ, λαμπρύνουσα τὸν μεταλαμβάνοντα. Λαμπρότης δὲ Θεοῦ, ἀντὶ τοῦ, ἡ ἀπὸ Θεοῦ. Ἔστω δὲ, ἀντὶ τοῦ, εἴη.

17β Καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς.

Ἐφ᾽ ἡμᾶς, ἀντὶ τοῦ, ἐν ἡμῖν.

17γ Καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Ἔργα χειρῶν πληθυντικῶς, αἱ πράξεις ἁπλῶς αἱ διὰ χειρῶν, ἃς κατευθυνθῆναι δεόμεθα, ὡς μὴ παρεγκλῖναι τῆς εὐθύτητος, ἤτοι τοῦ πρέποντος.

Ἔργον δὲ χειρῶν ἰδιαζόντως, τὴν ἐλεημοσύνην τινὲς ἐνόησαν, τῷ κεχωρίσθαι τιμηθεῖσαν, ὡς πεφιλημένην μάλα Θεῷ. Ἐλεήμων δὲ, οὐχ ὁ διδοὺς μόνον, ἀλλὰ καὶ ὁ συμπάσχων· ἐκ τῶν μὴ ἐχόντων γὰρ χρήματα, συμπάθεια μόνον ἀπαιτεῖται καὶ παράκλησις.

Ἄλλοι δὲ ἔργα μὲν χειρῶν εἶπον, τὰ τῆς τῆς πρακτικῆς, ὡς διάφορα· χεῖρες γὰρ, ἡ πρακτικὴ πολλάκις νοεῖται. Ἔργον δὲ χειρῶν, τὸ τῆς θεωρητικῆς, ὡς μονοειδές· χεῖρες γὰρ τρόπον τινὰ, καὶ ὁ νοῦς, ὡς χειραγωγῶν καὶ ἀνάγων τὴν Lk 10.42
ψυχήν.

17γ[3] παρεγκλῖναι MPS[2]F : παρεκκλῖναι CBV.

90 Ϟʹ
1α Ψαλμὸς τῷ Δαυίδ· ἀνεπίγραφος.

Καὶ περὶ μὲν τῶν ἀνεπιγράφων εἴρηται ἐν τῷ προοιμίῳ τῆς παρούσης βίβλου. §§ 55, 57
Διδάσκει δὲ ὁ ψαλμὸς τῆς εἰς Θεὸν ἐλπίδος τὸ ἄμαχον.

1β Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.

Ὁ χρώμενος ὡς οἰκήματι τῇ βοηθείᾳ τῇ ἀπὸ τοῦ Ὑψίστου, τουτέστιν, ὁ μὴ διάγων ἔξω ταύτης, ὅσον ἐπὶ τῷ θαῤῥεῖν ἐπὶ ταύτῃ μόνῃ, οὗτος ἐν τῇ σκέπῃ διαιτηθήσεται τοῦ Θεοῦ, ἤτοι σκεπασθήσεται ὑπὸ τοῦ Θεοῦ.

Θεὸς δὲ λέγεται τοῦ οὐρανοῦ, ὡς Δεσπότης· εἰ δὲ Θεὸς τοῦ οὐρανοῦ, δηλονότι καὶ τῆς γῆς, καὶ πάντων ἁπλῶς.

Νοεῖται δὲ βοήθεια τοῦ Θεοῦ, καὶ ὁ νόμος τῶν θείων ἐντολῶν, ὃν δέδωκε τοῖς ἀνθρώποις εἰς βοήθειαν κατὰ τῶν δαιμόνων.

2α Ἐρεῖ τῷ Κυρίῳ, Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου.

Ἐρεῖ τῷ Κυρίῳ μετὰ παῤῥησίας, ὅτι ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, σὺ μόνος.

2β Ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ᾿ αὐτόν.

Ἀλλὰ καὶ ἐνώπιον ἄλλων ἐρεῖ, ὅτι ὁ Θεός μού ἐστιν οὗτος, καὶ ἐλπιῶ ἐπ᾿ αὐτὸν, τουτέστι, καὶ παρ᾿ ἄλλοις ὁμολογήσει, ὅτι ὁ Θεὸς αὐτοῦ ἐστιν.

3 Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους.

Παγίδες τῶν αἰσθητῶν ἐχθρῶν τῶν θηρευόντων τὰ σώματα τῶν ἀνθρώπων, αἱ ἐνέδραι καὶ οἱ λόχοι, τῶν δὲ νοητῶν τῶν θηρευόντων τὰς ψυχὰς, αἱ πρὸς τὰ φαῦλα συμβουλαὶ, αἱ ἐπιθυμίαι, καὶ αἱ διὰ τῶν παθῶν ἐπιβουλαί.

Τὸν δὲ ταραχώδη λόγον, ἐπηρεαστικὸν λόγον, ἐξέδωκεν ὁ Σύμμαχος, τουτέστι, συκοφαντικόν· ταράσσει γὰρ τὴν ψυχὴν τοῦ συκοφαντουμένου.

Ἀπέστρεψε δὲ τὸν λόγον ὁ προφήτης | πρὸς τὸν τοιοῦτον ἄνθρωπον, δηλονότι τὸν κατοικοῦντα ἐν τῇ βοηθείᾳ τοῦ Ὑψίστου, καὶ παραθαῤῥύνει αὐτόν.

4α Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι.

Προασπιεῖ σου· μεταφορικὸς δὲ ὁ λόγος. Ὁ γὰρ προπολεμῶν τινος, πρὸ αὐτοῦ ἑστὼς, σκιάζει τοῦτον, εἴτουν ἀποκρύπτει τοῖς ὀπισθίοις αὐτοῦ μέρεσι· μετάφρενα δὲ, ὁ μεταξὺ τῶν ὤμων τόπος, ὅν τινες νῶτα καλοῦσι.

1β4 διαιτηθήσεται MS²CBF: διατηρηθήσεται PV. 4α3 αὐτοῦ MPCBFV : ἑαυτοῦ S²A.

Μετάφρενα δὲ Θεοῦ, ἡ φρουρητικὴ αὐτοῦ δύναμις. Ἡ αὐτὴ δὲ, καὶ πτέρυγες Θεοῦ.

4β Καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς.

Ἐλπιεῖς, ἀντὶ τοῦ, θαῤῥήσεις, δίκην νεοσσοῦ.

4γ Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

Ὅπλῳ, ἀντὶ τοῦ, δίκην ὅπλου. Λέγει δὲ, ὅτι ἐὰν ἔχῃς ἀλήθειαν, αὕτη δίκην ὅπλου κυκλώσει σε, τουτέστι, πανταχόθεν σε φρουρήσει.

Ὅρα δὲ τῆς ἀληθείας ἐγκώμιον· τοῦ Θεοῦ γὰρ ταύτην εἶπεν, ὡς οἰκείαν αὐτῷ. Εἰ γὰρ τὸ ψεῦδος οἰκεῖον τῷ δαίμονι, δῆλον ὡς αὕτη τοὐναντίον ἐστίν. Jn 8.44

Ἔνι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι ἐν ὅπλῳ, δηλαδὴ τῷ Σταυρῷ, κυκλώσει καὶ φρουρήσει σε ὁ Χριστὸς, ὅς ἐστιν ἀλήθεια τοῦ Πατρός· *Ὁ ἑωρακὼς γὰρ*, φησὶν, *ἐμὲ, ἑώρακε τὸν Πατέρα*. Jn 14.9

5α Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ.

Ἐπαγομένου εἴτε ἐκ δαιμόνων, εἴτε ἐξ ἀνθρώπων.

5β Ἀπὸ βέλους πετομένου ἡμέρας.

Ἀφιεμένου ὁμοίως. Ἀφίενται γὰρ ἐξ ἀνθρώπων μὲν τὰ αἰσθητὰ, ἐκ δὲ τῶν δαιμόνων, τὰ τῶν παθῶν βέλη.

6α Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου.

Ἐν σκότει διαπορεύεται κλέπτης, ἐπίβουλος, ἐμπρηστὴς, πορνεία, μοιχεία, δαίμων, καὶ εἴ τι τοιοῦτον.

6β Ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

Σύμπτωμα μέν ἐστι, πᾶν ἀπροσδοκήτως συμβαῖνον ἀβούλητον. Δαιμόνιον δὲ μεσημβρινὸν, οἱ μὲν, τὸν τῆς ἀκηδίας εἶπον δαίμονα, τότε μᾶλλον ἐπιτιθέμενον, οἱ δὲ, τὸν τῶν αἰσχρῶν λογισμῶν, οἱ δὲ, τὸν τῆς ἀκολασίας· καὶ οὗτοι γὰρ, βαρυνομένης τῆς γαστρὸς, ἐπανίστανται τοῖς ἀνθρώποις.

7 Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

Κλίτος ἐστὶ, τὸ μέρος ἁπλῶς, νῦν δὲ τὸ ἀριστερὸν αἰνίττεται, λέγων ὅτι κατοι-

κοῦντός σου ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ὡς προείρηται, πεσεῖται ἐκ μὲν τοῦ ἀριστεροῦ μέρους σου χιλιὰς βελῶν, ἐκ δὲ τοῦ δεξιοῦ, μυριὰς, σοῦ δὲ οὐχ ἅψεται.

Κατὰ δὲ ὑψηλοτέραν θεωρίαν, φησὶν ὁ λόγος, ὅτι τοξευθήσῃ μὲν πολλὰ, καὶ ἐκ τῶν ἀριστερῶν, πλεῖον δὲ ἐκ τῶν δεξιῶν. Εἶεν δ' ἂν ἀριστερὰ μὲν, ὅταν φανεροῖς πάθεσι τοξευώμεθα, δεξιὰ δὲ, ὅταν ἐπικεκρυμμένοις. Εἰδὼς γὰρ ὁ ἐχθρὸς, ὅτι πολλοὶ γυμνὴν τὴν ἐμπαθῆ συμβουλὴν οὐ παραδέχονται, ἄρχεται μὲν ἀπὸ χρηστοῦ, τελευτᾷ δὲ εἰς πονηρόν.

8 Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψῃ.

Ὅμως, τοῖς νοεροῖς ὀφθαλμοῖς σου θεασάμενος, μαθήσῃ τοῦτο ὅτι ἀληθές ἐστι, καὶ τὴν τιμωρίαν τῶν ἐχθρῶν ἴδῃς.

9α Ὅτι σὺ, Κύριε, ἡ ἐλπίς μου.

Ἀκούσας τὰς ῥηθείσας ἐπαγγελίας, ὁ μέλλων κατοικεῖν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἀναβοᾷ ὑφ' ἡδονῆς, λέγων, Σὺ, Κύριε, ὑπάρχεις ἡ ἐλπίς μου.

Εἶτα ἀντιφθέγγεται αὐτῷ ὁ προφήτης τὰ ἑξῆς.

9β-10α Τὸν Ὕψιστον ἔθου καταφυγήν σου; Οὐ προσελεύσεται πρὸς σὲ κακά.

Τὸ, *Τὸν Ὕψιστον ἔθου καταφυγήν σου*, κατ' ἐρώτησιν ἀναγνωστέον· εἶτα τὰ λοιπὰ κατὰ ἀπόφασιν.

Τοῦ γὰρ ἔχοντος καταφυγὴν τὸν Θεὸν, οὐχ ἅπτεται πειρασμὸς, καὶ μάρτυς αὐτὸς ὁ διάβολος, βοῶν πρὸς τὸν Θεὸν περὶ τοῦ Ἰὼβ, *Οὐ σὺ περιέφραξας τὰ ἔσωθεν αὐτοῦ καὶ τὰ ἔξωθεν;* Ὅτε δὲ παραχωρήσει ὁ Θεὸς, τότε ἅπτεται αὐτοῦ. Job 1.10

Κακὰ δὲ λέγει, τὰς περιστάσεις, τοὺς κινδύνους.

10β Καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.

Ἀλλ' οὐδὲ τῷ οἴκῳ σου πλησιάσει συμφορά· | περιττὴ δὲ ἡ πρόθεσις.

Καὶ ἄλλως δὲ μάστιξ μὲν ἂν εἴη, ἡ νόσος, σκήνωμα δὲ τῆς ψυχῆς, τὸ σῶμα. Ps 28.1α

Τὸ δὲ γλαφυρώτερον, ὅτι τῷ μὲν ἀνθρώπῳ τοῦ Θεοῦ, τὰ τοιαῦτα κακὰ καὶ ἡ μάστιξ, ἀγῶνες καὶ δοκίμιόν εἰσι, τῷ δὲ ἁμαρτωλῷ, μάστιγες· *Πολλαὶ* γὰρ, φησὶν, *αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ*. Ps 31.10α

11 Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Τοιοῦτον καὶ ἐν τῷ λγ´ ἔφη ψαλμῷ, *Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς*. Ps 33.8

Καὶ ὁ Ἀβραὰμ δὲ, τὸν οἰκέτην παραθαῤῥύνων, εἶπεν, ὁ ἀγαθὸς Θεὸς *Ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ πρὸ προσώπου σου*· καὶ Ἰακὼβ δὲ εἴρηκεν, *Ὁ ἄγγελος ὁ ῥυσάμενός με ἐκ πάντων τῶν κακῶν*. Ἐξ ὧν μανθάνομεν, ὅτι δι' ἀγγέλων φρουρεῖ τοὺς πεποιθότας ἐπ' αὐτὸν ὁ Θεός. Gen 24.7 Gen 48.16

Ὁδοὺς δὲ λέγει, τὰς πράξεις· περιττὸν δὲ τὸ, τοῦ.

12 Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Χεῖρες ἀγγέλων, αἱ φρουρητικαὶ δυνάμεις αὐτῶν· ἀροῦσι δὲ, ἀντὶ τοῦ, βαστάσουσιν ἐν ταῖς δυσχερείαις, ὡς μηδὲ λίθῳ προσκροῦσαι τὸν πόδα σου.

Καὶ ἄλλως δ' ἂν εἴη λίθος μὲν, πᾶσα ἁμαρτία καὶ πᾶν ἐμπόδιον, ποὺς δὲ, ἡ πολιτεία, δι' ἧς περῶμεν τὸν βίον.

13 Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Οὐχ ἅψεταί σου, οὔτε ἰοβόλον θηρίον, οὔτε σαρκοβόρον. Καὶ τοῦτο εἰς πολλοὺς τῶν ἁγίων ἐξέβη, καθὼς αἱ ἱστορίαι διδάσκουσιν.

Ἀναγωγικῶς δὲ, διὰ τῆς ἐπιβάσεως καὶ καταπατήσεως τῶν ἄγαν ἰοβόλων καὶ λίαν σαρκοβόρων θηρίων, τὴν ἐπικράτειαν πάσης πονηρίας καὶ βλάβης ᾐνίξατο.

Νοηθείη δ' ἂν ἀσπὶς μὲν, ἡ διαβολή — καὶ αὕτη γὰρ ἰὸν ἐναποπτύει τοῖς ὠσὶ τῶν ἀνθρώπων — βασιλίσκος δὲ, ἡ βασκανία — ὥσπερ γὰρ ἐκεῖνος ἐν τοῖς ὀφθαλμοῖς ἔχει τὴν λύμην, οὕτω καὶ αὕτη διὰ τῶν ὀφθαλμῶν λυμαίνεται. Λέων δὲ, ἡ ὠμότης· δράκων δὲ, ὁ θυμὸς, διὰ τὸ θερμόν τε καὶ ὀξὺ καὶ δραστήριον, ἃ πάντα καταπατήσει ὁ δίκαιος καὶ ὑφ' ὧν οὐδὲν ὅλως βλαβήσεται.

Λέγεται καὶ ὁ δαίμων, ἀσπὶς καὶ βασιλίσκος, καὶ λέων καὶ δράκων, ὡς τὰς λύμας τούτων φέρων ἐν ἑαυτῷ.

14α Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν.

Ἐπεὶ μεγάλα καὶ μικροῦ ἄπιστα ἐπηγγείλατο, καταπατεῖν τὰ χαλεπώτατα τῶν θηρίων καὶ μηδὲν ἐκεῖθεν βλάπτεσθαι, εἰσάγει τὸν Θεὸν αὐτὸν, βεβαιοῦντα τὰ εἰρημένα καὶ διδάσκοντα, τίς ὁ τῆς εἰς αὐτὸν ἐλπίδος καρπός. Ἐπ' ἐμὲ, φησὶν, ἤλπισεν ὁ τοιοῦτος, καὶ λοιπὸν ἐγὼ ῥύσομαι αὐτὸν ἐκ παντὸς κινδύνου.

14β Σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου.

Ὅρα πῶς εἶπε, τὸ ὄνομά μου· τὴν γὰρ φύσιν αὐτοῦ, οὐδεὶς τῶν ἁπάντων ἐννοῆσαι δύναται.

Γινώσκει δὲ τὸ ὄνομα τοῦ Θεοῦ, οὐχ ὁ ἁπλῶς γινώσκων ὅτι οὗτος Θεὸς, ἀλλ' ὁ ἀξίως αὐτῷ προσφερόμενος.

14β[4] οὗτος Θεός PV : οὗτός ἐστι Θεός SC : οὗτός ἐστιν ὁ Θεός MBF.

15α Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ.

Διότι οὐδὲν ζητήσει ἀνάξιον Θεοῦ καὶ ἑαυτοῦ.

15β Μετ᾽ αὐτοῦ εἰμι ἐν θλίψει.

Ἐν παντὶ πειρασμῷ, ὡς μετὰ τῶν Τριῶν Παίδων, ὡς μετὰ τῶν μαρτύρων ὕστερον.

15γ Ἐξελοῦμαι αὐτόν.

Ἐκ πάσης ἀνάγκης. Ζήτει ἐν τῷ λϛʹ ψαλμῷ τὴν ἐξήγησιν τοῦ, *Καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον*, καὶ τοῦ, *Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ*. Ps 36.25α, 33α

15δ Καὶ δοξάσω αὐτόν.

Οὐ μόνον ἐξελοῦμαι, ἀλλὰ καὶ περιφανῆ ποιήσω διὰ τὴν εἰς ἐμὲ οἰκείωσιν.

16α Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν.

Εἴγε ταύτην ζητήσει.
Ἢ μακρότητα ἡμερῶν λέγει, τὴν αἰώνιον ζωήν, διότι μία ἐστιν ἡ ἡμέρα ἐκείνη, μακρότης ἡμερῶν | ὀνομαζομένη διὰ τὸ ἀκατάλυτόν τε καὶ ἀδιάδοχον.
Ἀδιάφορος δὲ ἐνταῦθα ἡ τοῦ, ἐμπλήσω, σύνταξις.

16β Καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Τὴν παρ᾽ ἐμοῦ σωτηρίαν, ὅτι δύναμαι σῴζειν τὸν εἰς ἐμὲ ἐλπίζοντα.

91 ϟαʹ
1 Ψαλμὸς ᾠδῆς· εἰς τὴν ἡμέραν τοῦ Σαββάτου.

Τί μέν ἐστι, ψαλμὸς ᾠδῆς, προείρηται ἐν τῷ προοιμίῳ τῆς παρούσης βίβλου. § 65
Ἔστι δὲ ὁ ψαλμὸς οὗτος ἀνώνυμος μέν, οὐκ ἀνεπίγραφος δέ.
Ὄνομα μὲν γὰρ οὔτε τοῦ Δαυὶδ, οὔτε τινὸς τῶν ἀρχῳδῶν ἐμφέρει, διὰ τὸ παρὰ πάντων κοινῇ τότε μελῳδεῖσθαι. § 50
Ἐπιγέγραπται δὲ, εἰς τὴν ἡμέραν τοῦ Σαββάτου, ὡς μέν τινές φασιν, ὅτι τῷ Σαββάτῳ μόνῳ τοῦτον ἀπεκλήρωσεν ὁ Δαυὶδ χαριστήριον τῷ Θεῷ, καὶ τηνικαῦτα πάντες οἱ ἀρχῳδοὶ, συνιόντες, ᾖδον αὐτόν.

Ὡς δὲ λέγουσιν οἱ θεωρήσαντες ὑψηλότερον, εἰς τὴν ἡμέραν τοῦ μέλλοντος αἰῶνος οὗτος ὁ ψαλμὸς ἀφορᾷ καὶ τὰ ἐν αὐτῇ διδάσκει, λέγω δὴ, τὴν τῶν ἁμαρτωλῶν τιμωρίαν καὶ τὴν τῶν δικαίων τιμήν. Ὥσπερ γὰρ τὸ Σάββατον, *κατάπαυσις* ἑρμηνευόμενον, ἀργίαν εἶχε παντὸς ἔργου βιωτικοῦ, οὕτω δὴ καὶ ἡ Gen 2.2-3
ἡμέρα ἐκείνη, κατάπαυσις οὖσα τοῦ παρόντος βίου, πάσης βιωτικῆς ἠλευθέρωται φροντίδος, καὶ Σάββατον ὀνομάζεται.

2α Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ.

Ὄντως ἀγαθὸν τὸ εὐχαριστεῖν τῷ Θεῷ.

2β Καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Καὶ ᾄδειν σοι χαριστήρια.

Τινὲς δὲ οὕτως ἡρμήνευσαν, ὅτι ἀγαθὸν τὸ ἐξαγορεύειν πρῶτον τῷ Θεῷ τὰς ἁμαρτίας, εἶτα ᾄδειν αὐτῷ, ἵνα καθαρὰ γένηται ἡ ψαλμῳδία.

3 Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Εἰπὼν δὲ ἁπλῶς ὅτι ἀγαθὸν τόδε καὶ τόδε, εἶτα ἀφορίζει τῷ ἀγαθῷ τούτῳ πράγματι καὶ καιρούς, καί φησιν, ὅτι ἀγαθόν ἐστιν ὥστε ἀναγγέλλειν, εἴτουν ἀναλογίζεσθαι καὶ ἐκφωνεῖν, τὸ πρωῒ μὲν, ἀρχομένης τῆς ἡμέρας, τὸ ἔλεος τοῦ Θεοῦ — ὅτι ἐλεήσας ἡμᾶς, οὐ σεισμῷ κατέχωσεν, οὐ πυρὶ κατέκαυσεν, οὐχ ὕδατι κατεβάπτισεν, οὐ θηρίοις, οὐ πολεμίοις, οὐδὲ φονεῦσιν ἄλλοις παραδοθῆναι συνεχώρησεν, ἅπερ καὶ τὰ ὅμοια τούτοις ὡς ἐπίπαν ἐν νυκτὶ πεφύκασιν γίνεσθαι, καὶ τὸ μέγιστον, οὐκ ἐπιβουλευθῆναι παρὰ δαιμόνων εἴασε.

Κατὰ τὴν νύκτα δὲ, ὁμοίως ἀναγγέλλειν τὴν ἀλήθειαν αὐτοῦ. Ἀλήθειαν δὲ τοῦ Θεοῦ νόησον ἐνταῦθα, τὸ ἀλάθητον αὐτοῦ, ἵνα, τοῦτο ἀναγγέλλοντες κατὰ τὸν νυκτερινὸν καιρὸν ὅτε μᾶλλον πρὸς ἡδονὰς σαρκὸς καὶ κακοβουλίας κινούμεθα, συστελλώμεθα, ὑπομιμνήσκοντες ἑαυτοὺς ὅτι οὐ λανθάνομεν αὐτὸν, εἴτι καὶ πράξομεν ἢ μελετήσομεν.

Δυνάμεθα δὲ λέγειν, ὅτι διὰ τῆς πρωΐας, ὅλην τὴν ἡμέραν ἐνέφηνεν, ὡς ἀπὸ μέρους τὸ ὅλον.

4 Ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ᾽ ᾠδῆς ἐν κιθάρᾳ.

Ζήτει τὴν ἐξήγησιν τοῦ τρίτου στίχου τοῦ λβ′ ψαλμοῦ, σφόδρα τῷ παρόντι συνᾴδουσαν. Ps 32.2

5 Ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.

4 Add. [MF in marg.]PBV: Τάς τε πέντε τοῦ σώματος αἰσθήσεις καὶ τὰς πέντε τῆς ψυχῆς δυνάμεις, συμφώνους ἀλλήλαις ἀπεργασάμενοι, καὶ διὰ πασῶν τούτων ᾄδοντες τῷ Κυρίῳ. : om. SC.

Ποίημα μὲν εἶπόν τινες καθολικῶς, τὴν αἰσθητὴν κτίσιν, ἔργα δὲ χειρῶν, τὰ κατὰ μέρος εἴδη τῆς τοιαύτης κτίσεως, ὧν ὁρῶν τὸ μέγεθος, τὸ κάλλος, τὴν ποικιλίαν, τὴν εὐαρμοστίαν, τὴν χρησιμότητα καὶ εἴτι τοιοῦτον, καὶ ὁμοῦ καὶ ἰδίᾳ εὐφραίνομαι καὶ ἔτι ἀγαλλιάσομαι.

Ἄλλοι δὲ, ποίημα καὶ ἔργα χειρῶν, διπλασιασμὸν νοήματος ἐκάλεσαν. |

6α *Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε.*

Τὸ, ὡς, κατ' ἐπίτασιν κεῖται. Λίαν, φησὶ, μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, οὐ μόνον ὅσα ἐν τῇ προῤῥηθείσῃ κτίσει, ἀλλὰ καὶ ὅσα ἐν προνοίαις καὶ οἰκονομίαις καὶ τερατουργίαις καὶ τοῖς τοιούτοις.

Περὶ δὲ ἔργων εἴρηται πλατύτερον ἐν τῷ πε΄ ψαλμῷ. Ps 85.10

6β *Σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου.*

Τὸ, ἐβαθύνθησαν, ἀντὶ τοῦ, βαθεῖς καὶ ἀνέφικτοι ἐφάνησαν. Διαλογισμοὺς δὲ λέγει, τὰς βουλάς.

Τούτοις ὅμοια καὶ Παῦλος εἴρηκεν, *Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.* Rom 11.33

7α *Ἀνὴρ ἄφρων οὐ γνώσεται.*

Ἄφρονα νῦν καλεῖ, τὸν μὴ τὴν θείαν φρόνησιν ἔχοντα, καὶ εἰ τὴν ἀνθρωπίνην ἐκτήσατο, τὴν ἐκ τῆς θύραθεν σοφίας. Ὁ γὰρ τοιοῦτος, φησὶν, οὐ γνώσεται, ὅτι μεγάλα τὰ ἔργα σου, καὶ ὅτι βαθεῖς οἱ διαλογισμοί σου, ἀλλ' ἑαυτῷ θαῤῥήσας, καταλαβεῖν πειράσεται, καὶ διὰ τοῦτο καταπεσεῖται.

7β *Καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.*

Τὸ αὐτὸ καὶ νῦν ἐδίπλωσε νόημα.

8α *Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.*

Περιττὸς ὁ *καί* σύνδεσμος ἐνταῦθα. Διέκυψαν δὲ, ἀντὶ τοῦ, κατεκάμφθησαν, ἐταπεινώθησαν.

Ὁ δὲ νοῦς ἐστι τοιοῦτος, ὅτι ἀνατείλαντες οἱ ἁμαρτωλοὶ δίκην χόρτου, τουτέστιν, ἀνθήσαντες πρόσκαιρα, οὐ μέχρι πολλοῦ τὴν ἀκμὴν παρέτειναν, ἀλλὰ διέκυψαν· τοὺς αὐτοὺς δὲ λέγει, καὶ ἐργαζομένους τὴν ἀνομίαν.

8β *Ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.*

Διέκυψαν δὲ καὶ τῆς εὐημερίας ἐξέπεσον, ἵνα κολασθῶσιν εἰς τὸν μέλλοντα αἰῶνα. Ἐξολόθρευσιν γὰρ ἐπὶ τοῦ ἀτελευτήτου αἰῶνος καὶ ἀπώλειαν, τὴν ἀπαρηγόρητον κόλασιν εἴωθεν ὁ Δαυὶδ ὀνομάζειν.

Λέγει τοίνυν, ὅτι τὴν ἐνταῦθα τῆς εὐδαιμονίας ἔκπτωσιν, ἀῤῥαβῶνα τῆς ἐκεῖ τιμωρίας ἐκομίσαντο. Ἐντεῦθεν οὖν εἰσβάλλει εἰς τὰ τῆς ἡμέρας τοῦ μέλλοντος αἰῶνος, ὡς ἐν προοιμίῳ τοῦ ψαλμοῦ προειρήκαμεν. Ps 91.1

9 Σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα, Κύριε.

Σὺ δὲ ἀνέφικτος ἀεὶ, καὶ ἀνεξερεύνητα τὰ κρίματά σου. Rom 11.33

10α Ὅτι ἰδοὺ οἱ ἐχθροί σου, Κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται.

Ἐχθροὶ τοῦ Θεοῦ, οὐχ οἱ ἄπιστοι μόνον, ἀλλὰ καὶ οἱ ἁμαρτωλοὶ, ὡς τῷ ἐχθρῷ αὐτοῦ τῷ διαβόλῳ πειθόμενοι. Ἀπώλειαν δὲ, τὴν ἐν τῷ μέλλοντι αἰῶνί φησι.

10β Καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Διασκορπισθήσονται εἰς τὰς διαφόρους κολάσεις.

11α Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου.

Κέρας ἑαυτοῦ, τὸν Χριστὸν ὁ Δαυὶδ ἐκάλεσεν, ὡς ἐξ αὐτοῦ τὸ κατὰ σάρκα ἀναβλαστήσαντα, περὶ οὗ πλατύτερον εἴρηται ἐν τῷ πη΄ ψαλμῷ, ἔνθα τὸ, *Καὶ ἐν* Ps 88.25β
τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ. Ps 77.69α

Ὑψωθήσεται δὲ, ἀντὶ τοῦ, μεγαλυνθήσεται, ἐν τῷ καιρῷ δηλαδὴ τῆς μελλούσης κρίσεως, πάντων τῶν ἐχθρῶν αὐτοῦ ταπεινωθέντων. Ὑψωθήσεται δὲ ὡς μονοκέρωτος τὸ κέρας, τουτέστιν, ἐπὶ πολύ.

11β Καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι.

Διὰ τοῦ ἐλαίου, τὴν ἱλαρότητα ἐνέφηνε· *Τοῦ ἱλαρῦναι γὰρ*, φησὶ, *πρόσωπον ἐν ἐλαίῳ.* Ps 103.15

Λέγει δὲ, ὅτι ἐπεὶ ἔγνων ὑψωθησόμενον τὸ κέρας μου, λοιπὸν τὸ γῆράς μου ἐν ἱλαρότητι πίονι, εἴτουν πολλῇ ἔσται· τουτέστι, φαιδρῶς καὶ ἀλύπως αὐτὸ διέλθω, ταῖς τοῦ μέλλοντος ἐλπίσι παρηγορούμενος. |

12α Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου.

Ἀντὶ τοῦ, *ἐπεῖδεν*, *ἐπόψεται* ἐκδεδώκασι Σύμμαχος καὶ Θεοδοτίων. Οἱ δὲ Ἑβδομήκοντα ὡς γεγενημένα τὰ ἐσόμενα ἡρμήνευσαν.

11α[7] *τὸ κέρας* MCBF: *κέρας* PV.

Ἐχθροὺς δέ φησι, τοὺς δαίμονας καὶ τοὺς ἀπίστους, ἐν οἷς ἐπόψεται τότε τὴν ἐκδίκησιν. Τοῦτο γὰρ ἐλλείπει. Ps 53.9β

12β Καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ᾽ ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου.

Καὶ τοῦτο ἐλλειπτικόν. Ἀκούσεται γὰρ τὴν κατ᾽ αὐτῶν ἀπόφασιν τοῦ Δεσπότου. Τοὺς αὐτοὺς δὲ λέγει, ἐπανισταμένους καὶ πονηρευομένους, ἀσυνδέτως.

13α Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Εἰπὼν ἀνωτέρω περὶ τῶν ἁμαρτωλῶν, ὅτι ὡσεὶ χόρτος ἀνθοῦσι, νῦν δὲ λέγει Ps 91.8α
καὶ περὶ τοῦ δικαίου, ὅτι ὡς φοῖνιξ ἀνθήσει· τοῦ φοίνικος δὲ οὔτε τὸ ἄνθος ἀποπίπτει, ἀλλ᾽ εἰς καρπὸν προκόπτει γλυκύτατον, οὔτε ὁ θαλλὸς μαραίνεται, ἀειθαλὴς γάρ ἐστιν.

13β Ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Πεπληθυσμένη γάρ ἐστιν ἡ κέδρος ταῖς κόμαις.

Ἔχει δὲ καὶ ἄλλας ὁμοιότητας ὁ δίκαιος — πρὸς μὲν τὸν φοίνικα, τὸ μικρὸν μὲν αὐτοῦ μέρος ἐμπεπῆχθαι τῇ γῇ, τὸ πᾶν δὲ ὑπὲρ τὴν γῆν ἀνέχειν, καὶ τὸ τὴν καρδίαν αὐτοῦ τετάσθαι πρὸς οὐρανὸν, καὶ τὸ τὸν καρπὸν αὐτοῦ ἀνάλωτον εἶναι θηρίοις διὰ τὸ ὑψηλὸν καὶ δύσβατον, καὶ τὸ πολλοῦ χρόνου δεῖσθαι πρὸς τελείωσιν — πρὸς δὲ τὴν κέδρον, τὸ εὐῶδες καὶ ἄσηπτον, καὶ τὸ πολύερνον καὶ τὸ κατάσκιον· εὐωδίας γὰρ τῆς ἀπὸ τῶν ἀρετῶν ἐμπέπλησται καὶ ἄφθορός ἐστι, καθαρισθεὶς ἐκ πάσης κηλῖδος, καὶ πολλοὺς γεννᾷ τῷ πνεύματι, καὶ πολλοῖς σκέπη χρηματίζει.

14 Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Πεφυτευμένοι οἱ δίκαιοι ἐν τῇ κάτω Ἐκκλησίᾳ, ἐν ᾗ οἰκεῖ ἡ τοῦ Κυρίου χάρις, καὶ ἐῤῥιζωμένοι ἐν τῇ πίστει, ἐξανθήσουσιν ἐν ταῖς ἄνω οὐρανίαις αὐλαῖς, εἴτουν φανήσονται κεκοσμημένοι τοῖς ἄνθεσι τῶν ἀρετῶν.

Νοεῖται δὲ καὶ ἄλλως, οἶκος μὲν Κυρίου, ἡ γνῶσις τῶν θείων Γραφῶν, ἐν ᾗ εὑρίσκομεν τὸν Κύριον, αὐλαὶ δὲ, αἱ ἐντολαὶ αὐτοῦ.

15α Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι.

Πῖον γῆρας, τὸ βαθύτατον. Οἱ τοιοῦτοι, φησὶ, καὶ ἄγαν γηράσαντες, οὐκ ἀτονήσουσιν εἰς προκοπὴν ἀρετῆς, ἀλλ᾽ ἔτι μᾶλλον πληθυνθήσονται ταῖς ἀρεταῖς.

13α[4] θαλλός corr. : θαλός MPSC : θάλος V.

15β Καὶ εὐπαθοῦντες ἔσονται.

Καὶ λοιπὸν εὐπαθοῦντες ἔσονται ἐν τῷ μέλλοντι αἰῶνι, τουτέστι, τρυφῶντες ἀγαλλιώμενοι.

16 Τοῦ ἀναγγεῖλαι, ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

Ὥστε χαίροντας ἀναγγεῖλαι ἀλλήλοις, ὅτι δίκαιος ὁ Κύριος, ἀντὶ τῶν ἐν τῷ βίῳ καμάτων, ἀνάπαυσιν τοῖς δούλοις αὐτοῦ παρέχων. Τὸ δὲ, *οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ*, ἀνάπτυξις καὶ διπλασιασμός ἐστι τοῦ, *δίκαιος*.

92 ϞΒʹ
1α Ἀνεπίγραφος παρ' Ἑβραίοις.

Ἀνεπίγραφος παρ' Ἑβραίοις ὁ ψαλμὸς οὗτος. Πλήν τινα τῶν ἀντιγράφων φέρουσιν ἐπιγραφὴν ὡς ἀπὸ τῆς ἐξηγήσεως τῶν Ἑβδομήκοντα, οὕτως ἔχουσαν, *Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκιστο ἡ γῆ*.

Καὶ ἐξηγήσαντό τινες, ὅτι ἡμέραν μὲν Σαββάτου ἐν τῷ προλαβόντι ψαλμῷ νενοήκαμεν τὴν τῆς παγκοσμίου ἀναστάσεως, ἡμέραν δὲ προσαββάτου ἐν τῷ παρόντι, τὴν τῆς Χριστοῦ ἀναστάσεως, ἥτις προοίμιον ἦν τῆς παγκοσμίου, ὅτε κατῳκίσθη ἡ γῆ ὑπὸ τῶν μεταπλασθέντων καὶ ἀναγεννηθέντων διὰ τοῦ Εὐαγγελίου καὶ τοῦ βαπτίσματος. | Ὅμως οὐκ ἔχουσι τὴν ἐπιγραφὴν ταύτην τὰ ἀκριβέστερα ἀντίγραφα.

1β Ὁ Κύριος ἐβασίλευσεν.

Ὁ Υἱὸς ἀεὶ μέν ἐστι βασιλεὺς ὡς Θεός· οὐκ ἀεὶ δὲ τοῦτο τοῖς ἀνθρώποις ἐγνωρίζετο· πρότερον γὰρ ἀγνοοῦντες αὐτὸν, ὕστερον μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἐπληροφορήθησαν οἱ πιστεύσαντες ὅτι βασιλεύς ἐστιν ὡς Θεός. Τοῦτο τοίνυν προαναφωνῶν ὁ Δαυὶδ, φησὶν, ὅτι ἐβασίλευσε, τουτέστι, βασιλεὺς ἐγνωρίσθη.

Ἢ καὶ ἄλλως, βασιλεὺς ὢν ὡς Θεὸς, ἐβασίλευσε καὶ ὡς ἄνθρωπος· *Ἐδόθη μοι*, γὰρ, φησὶ, *πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς*, καὶ πάλιν, *Ἐγὼ δὲ κατεστάθην* Mt 28.18
βασιλεὺς ὑπ' αὐτοῦ. Ps 2.6α

1γ Εὐπρέπειαν ἐνεδύσατο.

Τὴν πρέπουσαν αὐτῷ ὡς Θεῷ δόξαν καὶ ἐξουσίαν ἐφανέρωσε· τοῦτο γὰρ σημαίνειν οἶμαι τὸ, *ἐνεδύσατο*.

Ἢ καὶ ἄλλως, νεκρωθεὶς μὲν τῇ σαρκὶ, *Οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος*, κατὰ Isa 53.2
τὸν προφήτην, ἀναστὰς δὲ, εὐπρέπειαν ἐνεδύσατο.

15β3 ἀγαλλιώμενοι MSCBF : καὶ ἀγαλλιώμενοι PV.

1δ Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Ὁμοίως κἀνταῦθα νοητέον τὸ, ἐνεδύσατο. Εἶχε μὲν γὰρ ὡς Θεὸς ἀεὶ καὶ τὴν θείαν εὐπρέπειαν καὶ τὴν θείαν δύναμιν κρυπτομένας· ὕστερον δὲ ἐφανέρωσε ταύτας, ἀποκαταστὰς εἰς οὐρανούς.

Οὐ μὴν ἔξωθεν αὐτὰς περιεβάλετο· καὶ τὸ περιεζώσατο δὲ εὐσεβῶς νοητέον, ἀντὶ τοῦ, ηὐτρεπίσθη· σύμβολον γὰρ εὐτρεπισμοῦ ἐστι τὸ ζωννύεσθαι.

1ε Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Σαλευομένην τῇ ἀπάτῃ, ἐστερέωσεν αὐτὴν ἤδη τῇ ἀληθείᾳ, ὥστε μὴ σαλευθῆναι λοιπὸν ὑπὸ τῆς πλάνης, ἐπὶ πέτρας τῆς πίστεως στερεωθεῖσαν.

Νοεῖται δὲ καὶ εἰδικῶς οἰκουμένη, ἡ Ἐκκλησία, ἣν οἰκοῦσιν οἱ πιστοὶ, ἧς οὐ κατισχύσουσι πύλαι ᾄδου, κατὰ τὴν Δεσποτικὴν ἀπόφασιν. Mt 16.18

2α Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε.

Ἕτοιμος, ἀντὶ τοῦ, ἑδραῖος, ὡς ἐν τῷ πε´ ψαλμῷ παρασεσημείωται. Ps 88.3β

Ἀπὸ τότε δὲ, ἀντὶ τοῦ, ἀπ᾽ ἀρχῆς· τὸ δὲ, ἀπ᾽ ἀρχῆς, ἐπὶ τῆς θείας φύσεως, οὐκ εἰς ἀρχὴν ἀνάγεται χρονικὴν, ἀλλὰ τῆς ὑπεραιωνίου ἐστὶν ἐμφαντικὸν παλαιότητος· τοιοῦτον δέ ἐστιν ἐπὶ Θεοῦ καὶ τὸ, ἀπ᾽ αἰῶνος.

Λέγει δὲ νῦν ὁ Δαυὶδ, ὅτι εἰ καὶ δούλου μορφὴν ἐνδύῃ, ἀλλ᾽ οὖν ἑδραία σοι ἡ Php 2.7
βασιλεία σου ἀπ᾽ ἀρχῆς, καὶ οὐδέποτε ταύτης ἐξέπεσας.

2β Ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

Ἑδραία δέ σοι ἀπ᾽ ἀρχῆς ἡ βασιλεία, διότι καὶ σὺ ἀπ᾽ αἰῶνος εἶ, τουτέστιν, ὁμοίως ἀπ᾽ ἀρχῆς, ὡς εἴρηται.

3α Ἐπῆραν οἱ ποταμοὶ, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.

Ποταμοὺς καλεῖ, τοὺς ἀποστόλους, ὡς ἀρδεύοντας τὰς ψυχὰς τῶν ἀνθρώπων τοῖς πνευματικοῖς νάμασι τοῦ Εὐαγγελίου. Λέγει δὲ, ὅτι ὕψωσαν τὰς φωνὰς αὐτῶν, τουτέστι, διαῤῥήδην καὶ φανερῶς καὶ ἀνεπαισχύντως ἐκήρυξαν.

Εἴρηται δὲ ἡμῖν πολλάκις, ὅτι ὡς ἤδη γεγενημένα προαγορεύει τὰ μέλλοντα. Ὁ διπλασιασμὸς δὲ τοῦ, ἐπῆραν οἱ ποταμοὶ, ἐμφαντικός ἐστι χαρᾶς.

3β Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν.

Οἱ μετ᾽ αὐτοὺς ποταμοὶ λήψονται τὰς χαραχθείσας καὶ τμηθείσας ὑπ᾽ αὐτῶν ὁδούς· ἐπιτρίψεις γάρ εἰσιν αἱ τομαὶ, ἃς χαράττουσιν οἱ ποταμοὶ, ἐπιτρίβοντες

1δ6 εὐτρεπισμοῦ MSCBV : εὐπρεπισμοῦ PF. 2α7 ἐξέπεσας MBV [cf. 2Rg 3.34] : ἐξέπεσες PCA(S)F.

τὴν γῆν ἐν τῷ φέρεσθαι. Φησὶ δὲ, ὅτι οἱ μετ' αὐτοὺς διδάσκαλοι ταῖς ὁδοῖς τῆς διδασκαλίας αὐτῶν ἀκολούθως χρήσονται.

4α Ἀπὸ φωνῶν ὑδάτων πολλῶν θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης.

Ὕδατα πολλὰ νοοῦνται, τὰ κατὰ πᾶσαν Ἐκκλησίαν τελούμενα βαπτίσματα τῶν πιστῶν. Φωναὶ δὲ τῶν ὑδάτων τούτων, | αἱ γινόμεναι ἐπ' αὐτοῖς ἐπικλήσεις τῆς ἁγίας Τριάδος καὶ τῆς ἄνωθεν χάριτος.

Θάλασσα δὲ πάλιν ἑνικῶς, αὐτὸ τὸ πανταχοῦ τῆς γῆς βάπτισμα, ὡς ἐν τῷ ογ' ψαλμῷ προείρηται· πληθύνεται μὲν γὰρ ταῖς χρείαις, ἑνίζεται δὲ τῇ δυνάμει. Ps 73.[13]

Μετεωρισμοὶ δὲ αὐτῆς, τὰ ἀποτελούμενα κύματα ἐκ τῆς καταδύσεως καὶ ἀναδύσεως τῶν βαπτιζομένων. Τούτους τοίνυν τοὺς μετεωρισμοὺς, θαυμαστοὺς εἶναί φησι, πρὸς σύγκρισιν τῶν μετεωρισμῶν τῆς αἰσθητῆς θαλάσσης· ἐκεῖνα μὲν γὰρ τὰ κύματα, φοβερὰ τοῖς ἀνθρώποις, ἥδιστα δὲ τοῖς δαίμοσι, ταῦτα δὲ τοὐναντίον, φοβερὰ μὲν τοῖς δαίμοσιν, ἥδιστα δὲ τοῖς ἀνθρώποις· καὶ ἐκεῖνα μὲν ἀπολλύουσι τοὺς ἐμπλέοντας, ταῦτα δὲ σῴζει. Γεγόνασι δὲ θαυμαστὰ ἀπὸ τῆς δηλωθείσης ἐπικλήσεως καὶ τῆς ἐκεῖθεν τελετῆς.

4β Θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος.

Θαυμαστὸς δὲ μᾶλλον ἐν τοῖς ὑψηλοῖς τούτοις καὶ μεγάλοις πράγμασιν ὁ Θεὸς, ὁ τοιαῦτα ποιῶν θαυμάσια.

Ἢ καὶ ἄλλως ἡ σύνταξις, ὅτι θαυμαστὸς μᾶλλον, ὁ ἐν ὑψηλοῖς ὢν Κύριος, κατ' ἀντιστροφήν. Καὶ ἀλλαχοῦ γάρ φησιν, *Ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν*. Ps 112.5-6

5α Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα.

Αἱ περὶ σοῦ μαρτυρίαι σφόδρα εἰσὶ πισταὶ, τουτέστιν, ἀληθεῖς. Λέγει δὲ, τὰς ῥήσεις τῶν προφητῶν, ὅσας περὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ καὶ τῆς ἐνσάρκου πολιτείας αὐτοῦ διαφόρως ἐξεφώνησαν.

5β Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Οἶκος Θεοῦ, ἡ καθόλου Ἐκκλησία τῶν πιστῶν, ὡς πολλάκις εἴρηται. Τούτῳ, φησὶ, τῷ οἴκῳ πρέπει ἁγιασμὸς, ἤγουν τὸ εἶναι ἅγιον, ὡς οἶκον ἁγίου. Ἔσται δὲ τοῦτο, ἁγνείας ἐμπολιτευομένης τοῖς ἐν αὐτῷ καὶ καθαρότητος ἀπὸ παντὸς μολύσματος. Πρέπει δὲ αὐτῷ τὸ τοιοῦτον ἁγίασμα ἀεί.

Λέγεται δὲ οἶκος Θεοῦ καὶ ναὸς Θεοῦ, κατὰ τὸν Ἀπόστολον, καὶ πᾶς πιστὸς, 1Cor 3.16
ᾧ ὁμοίως πρέπει ἁγίασμα εἰς μακρότητα ἡμερῶν.

5α[4] πολιτείας MSCBF: οἰκονομίας καὶ πολιτείας PV. 5β[5] μολύσματος MSCBF : μολυσμοῦ PV.

93 ϟγʹ
1α Ψαλμὸς τῷ Δαυίδ· τετράδι σαββάτου.

Ἀνεπίγραφος καὶ οὗτος παρ' Ἑβραίοις. Τὸ δὲ, τετράδι σαββάτου, προστεθήκασί τινες, εὑρόντες ὅτι ἐν τετράδι ἡμέρᾳ τῆς ἑβδομάδος ἐμελῳδήθη· Σάββατον γὰρ ἐνταῦθα, τὴν ἑβδομάδα ἐκάλεσαν.

Εἰσάγει δὲ διὰ τοῦ παρόντος ψαλμοῦ παραμυθίαν ὁ Δαυὶδ τοῖς καταδυναστευομένοις ὑπὸ τῶν ἀδίκων.

1β Θεὸς ἐκδικήσεων Κύριος.

Θεὸς ἐκδικήσεων, ἀντὶ τοῦ, Θεὸς ἐκδικητής. Τούτῳ γὰρ τῷ ἰδιώματι λέγεται καὶ Θεὸς ἐλέους, καὶ Θεὸς οἰκτιρμῶν, καὶ Θεὸς παρακλήσεως, καὶ Θεὸς εἰρήνης, καὶ τὰ τοιαῦτα. Λέγει τοίνυν, ὅτι Θεὸς ἐκδικητής ἐστιν ὁ Κύριος.

1γ Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο.

Ἐπαῤῥησιάσατο, ἀντὶ τοῦ, ἐφανέρωσε τὴν ἑαυτοῦ δικαιοκρισίαν· καὶ μακροθυμῶν ἄχρι τοῦ παρόντος, νῦν ἐχρήσατο τῇ ἐκδικήσει.

2α Ὑψώθητι, ὁ κρίνων τὴν γῆν.

Ἀναβὰς εἰς τὸν δικαστικὸν θρόνον, εἴτουν κρίνων καὶ ἀποφαινόμενος καὶ ἐκδικῶν, ὑψώθητι, τουτέστι, φάνηθι καὶ γνωρίσθητι πᾶσι.

Περὶ δὲ τοῦ, ὑψώθητι, εἴρηται καὶ ἐν τῷ νςʹ ψαλμῷ. Ps 56.6

2β Ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.

Ὑπερηφάνους λέγει, τοὺς δυνάστας, ὡς καταφρονοῦντας τῶν πενήτων.

3 Ἕως πότε ἁμαρτωλοὶ, Κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται;

Τοὺς αὐτοὺς, ὁμοίως καλεῖ ἁμαρτωλοὺς, ὡς εἰς Θεὸν ἁμαρτάνοντας ἐν τῷ παρωθεῖσθαι τὸν περὶ δικαιοσύνης νόμον αὐτοῦ, καὶ εἰς αὐτοὺς | τοὺς ἀδικουμένους
ἐν τῷ ἀδικεῖν αὐτούς. Ταῦτα δὲ αὐτοὺς προσηγόρευσε καὶ ἐν τῷ θʹ ψαλμῷ. Ἔθος Ps 9.24
δὲ τοῖς τοιούτοις καυχᾶσθαι ἐπὶ τῇ δυναστείᾳ αὐτῶν.

Ἡ δὲ ἀναδίπλωσις τοῦ, ἕως πότε ἁμαρτωλοὶ, Κύριε, ἐμφαντική ἐστι ζήλου, ὥσπερ καὶ ἡ τοῦ, λαλήσουσιν, ἐπὶ τοῦ ἐφεξῆς.

Οὐκ ἀγνοεῖ δὲ ὁ λέγων τὸ πρόσκαιρον τῆς τῶν ἀδίκων εὐημερίας, ἀλλὰ σχετλιάζει ἐπὶ τῇ μακροθυμίᾳ τοῦ Θεοῦ.

4 Φθέγξονται καὶ λαλήσουσιν ἀδικίαν; λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν;

Ἐπὶ μὲν τοῦ, φθέγξονται, ληπτέον ἀπὸ κοινοῦ τὸ, ἕως πότε· ἐπὶ δὲ τοῦ, λαλήσουσι, τοῦ ἐν τῷ δευτέρῳ στίχῳ, τὸ, ἀδικίαν. Τὸ δὲ, λαλήσουσι, ταὐτὸν ἐκ παραλλήλου τῷ, φθέγξονται.

5 Τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν.

Προείρηται ὅτι παλαιὸς μὲν λαὸς καὶ παλαιὰ κληρονομία, οἱ Ἰουδαῖοι, νέος δὲ καὶ νέα, οἱ ἐξ ἐθνῶν.

6 Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσαν.

Ταῦτα καὶ οἱ ἄρχοντες τῶν Ἰουδαίων ἐποίουν διὰ πλεονεξίαν, καὶ πολλοὶ τῶν ἡμετέρων ἀρχόντων.

Ἀποκτείνει δὲ καὶ φονεύει, οὐ μόνον ὁ ξίφει κατ' αὐτῶν χρώμενος, ἀλλὰ καὶ ὁ τὰ αὐτῶν ἁρπάζων, καὶ ὁ περιορῶν αὐτοὺς ἀδικουμένους, καὶ ὁ καταχαριζόμενος τοῖς ἀδικοῦσιν αὐτούς.

Προσήλυτος δὲ παρὰ μὲν Ἰουδαίοις, ὁ ἐξ ἐθνῶν Ἰουδαῖος, παρὰ δὲ ἡμῖν, ὁ πάροικος.

7 Καὶ εἶπον, Οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ.

Ταῦτα εἰ καὶ μὴ τῇ γλώσσῃ πολλάκις, ἀλλά γε τῇ γνώμῃ λέγουσιν οἱ παράνομοι. Οὐ γὰρ ἂν τοιαῦτα ἐτόλμων, εἰ μὴ τοιαῦτα τοῖς λογισμοῖς ὑπέγραφον.

Συνήσει δὲ, ἀντὶ τοῦ, ἀκούσει, γνώσεται.

8 Σύνετε δὴ, ἄφρονες ἐν τῷ λαῷ, καὶ, μωροὶ, ποτὲ φρονήσατε.

Ἐπίγνωτε τὰ πᾶσι γνώριμα, καί ποτε καὶ αὐτοὶ φρονήσατε.

9 Ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει; ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐχὶ κατανοεῖ;

Οὐχ ὁρᾷ; καὶ πῶς εἰκὸς ἀναισθητεῖν τὸν Ποιητὴν τῶν αἰσθήσεων; Αἰσχύνει δὲ τούτους διὰ τοιούτων ὁμολογουμένων ἐρωτήσεων.

10α Ὁ παιδεύων ἔθνη οὐχὶ ἐλέγξει;

Ὁ παιδεύων ἔθνη διὰ τῶν παρ' αὐτοῖς νόμων, ὧν τὴν γνῶσιν αὐτὸς αὐτοῖς ἐχαρίσατο, καὶ διὰ τῆς αὐστηρίας αὐτῶν κολάζων τοὺς ἁμαρτάνοντας, πῶς οὐχὶ καὶ τοὺς οὕτω παρανομοῦντας ἐλέγξει, τουτέστι, κολάσει;

10β Ὁ διδάσκων ἄνθρωπον γνῶσιν;

Ὁ χορηγὸς τῆς γνώσεως, πῶς οὐ γνώσεται δηλονότι;

11 Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι.

Τῶν οὕτω διαλογιζομένων, ὅτι οὐκ ἐφορᾷ Θεὸς τὰ ἀνθρώπινα. Γινώσκει μὲν οὖν αὐτοὺς ὅτι εἰσὶν ἐσφαλμένοι, μακροθυμεῖ δὲ πολλάκις δι' οἰκονομίαν τινά.

Ἢ καὶ διαλογισμοὺς λέγει, τῶν ἐκ κοιλίας διαλογιζομένων, καὶ μὴ ἀπὸ θείας διδασκαλίας.

12α Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε.

Ὃν ἂν συνετίσῃς τῇ παρὰ σοῦ διδασκαλίᾳ.

12β Καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν.

Εἴτε τοῦ φυσικοῦ, εἴτε τοῦ γραπτοῦ, ἢ καὶ ἀμφοτέρων· πηγαὶ γὰρ οὗτοι συνέσεως καὶ σοφίας.

13α Τοῦ πραῦναι αὐτὸν ἀφ' ἡμερῶν πονηρῶν.

Ὥστε πρᾶον αὐτὸν γενέσθαι καὶ ἀνεξίκακον ἐν ταῖς ἡμέραις τῶν πειρασμῶν, μὴ σχετλιάζοντα, μηδ' ἀγανακτοῦντα πρὸς τοὺς πόνους, ἀλλ' ἐκ τοῦ | νόμου σου γινώσκοντα, ὅτι καὶ οἱ πάσχοντες ἐπὶ συμφέροντι πάσχουσι, καὶ οἱ κακοποιοῦντες δώσουσιν ἀξίαν τὴν δίκην.

13β Ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.

Ἕως εὐτρεπισθῇ τοῖς παρανόμοις κίνδυνος, ἕως ἂν ἐμπέσωσι· τότε γὰρ καὶ ἐλεεῖ τοὺς ἀδικήσαντας αὐτόν.

14 Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.

Εἰ καὶ πρὸς καιρὸν παραχωροῦνται πάσχειν καὶ κακουχεῖσθαι· καὶ τοῦτο ποιήσει μέχρι συντελείας, νῦν μὲν παραχωρῶν τοῖς πονηροῖς ἐκθλίβειν αὐτοὺς, νῦν δὲ ἀντιλαμβανόμενος αὐτῶν· καὶ τοῦτο δὲ κἀκεῖνο λυσιτελῶς.

Λαὸς δὲ αὐτοῦ καὶ κληρονομία, πάλαι μὲν, Ἰουδαῖοι, νῦν δὲ, οἱ ἀντ' ἐκείνων εἰσποιηθέντες Χριστιανοὶ, καθὼς πολλάκις εἰρήκαμεν.

11² οὖν PSCABF : om. MV. 13β³ ἀδικήσαντας MPSBF : ἀδικοῦντας CV.

15α *Ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν.*

Ἕως ἂν ὁ Χριστὸς, ἡ αὐτοδικαιοσύνη, καταλιπὼν τὸ μακροθυμεῖν, ἐπὶ τῷ κρίνειν τραπῇ. Ὅτι δὲ ὁ Χριστὸς δικαιοσύνη καλεῖται, φησὶν ὁ Ἀπόστολος, *Ὃς ἐδόθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις.* 1Cor 1.30

15β *Καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.*

Καὶ λοιπὸν τότε ἐγγὺς αὐτοῦ πάντες οἱ δίκαιοι, παριστάμενοι αὐτῷ κρίνοντι πᾶσαν τὴν γῆν.

16α *Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους;*

Τίς βοηθήσει μοι κατὰ τῶν πονηρευομένων ἐχθρῶν;

16β *Ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοὺς ἐργαζομένους τὴν ἀνομίαν;*

Τὴν αὐτὴν πάλιν εἶπεν ἔννοιαν, σφόδρα τῆς βοηθείας ὀρεγόμενος διὰ τὴν σφοδρότητα τῆς πονηρίας τῶν δαιμόνων.

Τίς, φησὶ, συμπαραστήσεταί μοι παραταττομένῳ κατὰ τῶν δυσμενῶν; ἢ πάντως ὁ Θεὸς, ὁ διαφόρως ἐπικουρήσας μοι.

17 *Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου.*

Καὶ γὰρ εἰ μὴ ὄντως Κύριος ἐβοήθησέ μοι κινδυνεύοντι πολλάκις, μικροῦ ἂν ἀπέθανον, εἴτε τὸν σωματικὸν θάνατον, εἴτε καὶ τὸν ψυχικόν.

Παρῴκησε δὲ νῦν, τὸ ἐνῴκησεν.

Ἅιδης δὲ λέγοιτ' ἂν, καὶ ὁ βόθρος τῆς ἁμαρτίας.

18 *Εἰ ἔλεγον, Σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου, Κύριε, ἐβοήθει μοι.*

Εἰ ἔλεγον πρὸς τὸν Θεὸν, Σεσάλευται ἡ ἑδραίωσίς μου καὶ ὑποσύρομαι, εἰ ἐξωμολογούμην τὴν ἰδίαν ἀσθένειαν, ἐτύγχανον βοηθείας.

Διδάσκει δὲ ὅτι ὃς ἂν ὀλισθαίνων ἐπιγνῷ, καὶ μὴ ἀπογνῷ, μηδὲ ῥαθυμήσῃ, ἀλλ' ἐξομολογήσηται, ταχεῖαν εὑρίσκει τὴν ἀντίληψιν. Ἐλεήμων γὰρ καὶ συμπαθὴς ὁ Θεός.

19 *Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου.*

Ἀναλόγως τῷ πλήθει τῶν ὀδυνῶν μου τῶν ἐν τῇ καρδίᾳ μου, ἐχορηγοῦντό μοι

καὶ αἱ παρακλήσεις σου. Ὥσπερ δὲ αἱ ὀδύναι διάφοροι, οὕτως καὶ αἱ παρὰ Θεοῦ ψυχαγωγίαι, καὶ πρὸς τὸ εἶδος τοῦ τραύματος ἐπάγεται καὶ ἡ θεραπεία.

20α Μὴ συμπροσέστω σοι θρόνος ἀνομίας.

Θρόνος ἀνομίας, ὁ διάβολος, ὡς ἐν αὐτῷ καὶ βασιλευούσης καὶ ἀναπαυομένης. Μὴ συμπροσέστω δὲ, ἀντὶ τοῦ, μὴ συμπαρείη σοι κρίνοντι· προστακτικὸν ἀντὶ εὐκτικοῦ, ὡς τὸ, ἐλέησον.

Τινὰ δὲ ἀντίγραφα, μὴ συμπρόσεσται γράφουσι, ἤγουν οὐ συμπροσέσται· ἢ καὶ οὕτω μέλλων ἀντὶ εὐκτικοῦ.

20β Ὁ πλάσσων κόπον ἐπὶ πρόσταγμα.

Ὁ ὑπογράφων ἡμῖν κόπον εἰς ἐμποδισμὸν τοῦ προστάγματός σου· | ὁ πρὸ τοῦ προστάγματός σου τιθεὶς κόπον, ἵνα ὡς ἐπίπονον αὐτὸ παραδράμωμεν.

Εἶτα λέγει καὶ τὴν αἰτίαν, δι᾽ ἣν αὐτὸν ἀπεύχεται συμπαρεῖναι.

21α Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου.

Διότι οἱ περὶ τὸν διάβολον θήρας ἄρξονται κατὰ τοῦ τυχόντος δικαίου, εἰ συμπαρέσονται, κατηγοροῦντες αὐτοῦ τὰ ἐν ἀγνοίᾳ καὶ τὰ παρὰ γνώμην ἁμαρτήματα διὰ πονηρίας καὶ μισανθρωπίας ὑπερβολήν.

21β Καὶ αἷμα ἀθῷον καταδικάσονται.

Τόγε ἐπ᾽ αὐτοῖς. Αἷμα δὲ ἀθῷον, ὁ ἀθῷος περιφραστικῶς, ἢ κόλασις ἡ ἀκαταδίκαστος, ὅσον πρὸς τοὺς θείους νόμους, ἵνα καὶ νοηθείη ὅτι κόλασιν ἄδικον ἀποφήνωνται· διὸ πάντως οὐ συμπαρέσονται.

22α Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν.

Πολεμουμένῳ καὶ διωκομένῳ κατὰ τὸν παρόντα βίον.

22β Καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου.

Ἤλπιζον μὲν γὰρ ἀντέχειν, καταπονουμένου δέ μου, λοιπὸν ὑπέῤῥεεν ἡ ἐλπίς· ἐβοήθησε δὲ ταύτῃ ὁ Θεὸς, ἐπανασώσας μοι πάλιν αὐτὴν καὶ δοὺς ἐλπίζειν χρηστότερα.

23α Καὶ ἀποδώσει αὐτοῖς Κύριος τὴν ἀνομίαν αὐτῶν.

Τὴν καταδίκην τῆς ἀνομίας αὐτῶν.

23β Καὶ κατὰ τὴν πονηρίαν αὐτῶν, ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεός.

Ἀφανισμὸν ἐνταῦθά φησι, τὴν ἐκ μέσου ἄρσιν αὐτῶν, μηδαμοῦ φαινομένων
ἔτι διὰ τὸ κατακεχῶσθαι τῷ ἡτοιμασμένῳ τούτοις πυρί. Mt 25.41

Νοηθεῖεν δ' ἂν τὰ εἰρημένα καὶ περὶ τῶν πονηρῶν ἀνθρώπων, οἷον, οὐ συμπροσέσται, οὐ προσεγγίσει σοι ἄρχων ἄνομος, ὁ τιθεὶς κόπον καὶ μὴ συγχωρῶν ἡμῖν ἀπόνως ἐκπληροῦν τὰ προστάγματά σου. Θηρεύσουσιν οἱ παράνομοι τοὺς δικαίους, καὶ τοὺς ἀθῴους καταδικάσουσι, καὶ τὰ ἑξῆς.

Τὸ δὲ, *εἰς βοηθὸν ἐλπίδος μου*, ἀντὶ τοῦ, εἰς στήριγμα τῆς εἰς αὐτὸν ἐλπίδος μου, σαλευομένης, ὡς ἐγκαταλιμπανομένου· ἀντιλαβόμενός μου γὰρ, ἐστήριξεν αὐτήν. Καὶ ἀποδώσει αὐτοῖς Κύριος ἐν τῷ μέλλοντι αἰῶνι, καὶ ἀφανιεῖ αὐτοὺς ἐν τῷ παρόντι, διὰ καταστροφῆς καὶ θανάτου.

94 ϞΔʹ

1α Αἶνος ᾠδῆς τῷ Δαυίδ.

Ἀνεπίγραφος καὶ οὗτος παρ' Ἑβραίοις. Οἱ Ἑβδομήκοντα δὲ τὴν ἐπιγραφὴν ταύτην ἔταξαν, αἶνον μὲν αὐτὸν εἰπόντες, ὅτι αἰνεῖ τὸν Θεὸν, ᾠδῆς δὲ, ὅτι μετὰ
μέλους ᾔσθη· *Καὶ ἐν ψαλμοῖς γὰρ*, φησὶν, *ἀλαλάξωμεν αὐτῷ*. Ps 94.2β

Οὗτος τοὺς μὲν πιστεύσαντας ἤδη τῷ Χριστῷ συγκαλεῖ πρὸς ἀγαλλίασιν, τοῖς δὲ μήπω πεπιστευκόσιν Ἰουδαίοις συμβουλεύει, ἕως καιρὸν ἔχουσι μετανοίας, ἐπιστρέψαι καὶ προσπεσεῖν αὐτῷ.

Συντάττει δὲ καὶ τούτοις κἀκείνοις ἑαυτὸν ὁ Δαυὶδ, τοῖς μὲν, ὡς οἰκείοις ἀπὸ τῆς εὐσεβείας, τοῖς δὲ, ὡς ἰδίοις ἀπὸ τοῦ γένους.

1β Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ.

Ἐν τῷ Δεσπότῃ Χριστῷ· ὑπὸ τοιοῦτον Κύριον ἀξιωθέντες ταγῆναι, σφόδρα φιλανθρωπότατον.

1γ Ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν.

Ἀλαλάξωμεν αὐτῷ, ὡς νικητῇ τῶν τυραννούντων καὶ ῥυσαμένῳ ἡμᾶς ἀπὸ Pss 26.6γ, 32.
τῆς ἐκείνων αἰχμαλωσίας· βοὴ γὰρ ἐπινίκιος, ὁ ἀλαλαγμός. 3β, 46.2β, 6

2α Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει.

Προλάβωμεν τὴν ἐπιφάνειαν αὐτοῦ, τὴν δευτέραν δηλονότι· πρὸ τοῦ ἐπιφανῆναι αὖθις αὐτὸν, ἐξομολογησώμεθα, τουτέστι, μετανοήσωμεν. Σημεῖον γὰρ μετανοίας,

23β9 ἐγκαταλιμπανομένου MS²CBF : ἐγκαταλελειμμένου P : ἐγκαταλειπομένου V.

ἡ ἐξαγόρευσις τῶν πεπλημμελημένων.

2β Καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. |

Καὶ ἡμεῖς ὁμοίως, μετὰ τὸ πιστεῦσαι, μετὰ ψαλμῶν ἀλαλάξωμεν αὐτῷ ἐπινίκια, τῷ εἰπόντι, *Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.* Jn 16.33

3 Ὅτι Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

Ὅτι, εἰ καὶ ἄνθρωπος ἐφάνη καὶ πέπονθεν, ἀλλά γε Θεός ἐστι μέγας καὶ Κύριος, καὶ τὰ ἑξῆς. Ἡδέως δὲ ἐνδιατρίβει, διηγούμενος τὸ μέγεθος καὶ τὴν ἐξουσίαν καὶ τὴν δύναμιν αὐτοῦ.

4α Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς.

Ἐν τῇ ἐξουσίᾳ αὐτοῦ, σύμπασα ἡ γῆ.
Ἢ καὶ ἄλλως τουτὶ τὸ ῥητὸν συμφωνεῖ τῷ τοῦ Ἡσαΐου λέγοντος, *Ὁ κατέχων τὸν γύρον τῆς γῆς δρακί.* Isa 40.12

4β Καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσι.

Κτίσματα ἢ κτήματα.

5α Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν.

Οὐ μόνον γὰρ αὐτῆς ἐστι Κύριος, ἀλλὰ καὶ ποιητής.

5β Καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Διὰ τῶν στοιχείων, καὶ τὰ ἐν αὐτοῖς ὑπεδήλωσε. Τὰ ὕψη δὲ τῶν ὀρέων ὡς θαύματος ἄξια παρέλαβε.

6 Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς.

Προσκυνήσωμεν ὡς δοῦλοι· προσπέσωμεν ὡς βοηθείας τῆς αὐτοῦ δεόμενοι· κλαύσωμεν ὡς ἁμαρτωλοί.

7α Ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ καὶ πρόβατα χειρὸς αὐτοῦ.

[2α][1] πεπλημμελημένων PABF : πεπλημμένων MS : πλημμελημάτων V.

Λαὸς μὲν, οἱ συνετώτεροι, πρόβατα δὲ, οἱ ἀσυνετώτεροι.

Καὶ λαὸς μὲν, ὡς βασιλέως, πρόβατα δὲ, ὡς ποιμένος· καὶ λαὸς μὲν νομῆς, ὡς παρ' αὐτοῦ τρεφόμενοι καὶ προνοούμενοι, πρόβατα δὲ χειρὸς, ὡς παρ' αὐτοῦ ἰθυνόμενοι καὶ διεξαγόμενοι.

7β-8α Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ.

Τὸ, *σήμερον*, οὐχ ὡρισμένην ἡμέραν ἐνταῦθα παρίστησιν, ἀλλὰ πᾶσαν ἐν ᾗ τὸ σήμερον λέγεσθαι δύναται. Οὕτω γὰρ αὐτὸ καὶ Παῦλος ἡρμήνευσε, τουτέστιν, ἐν Heb 3.13
οἱῳδήποτε καιρῷ ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, καλοῦντος ὑμᾶς διὰ τῶν θείων Γραφῶν, καὶ μάλιστα διὰ τοῦ Εὐαγγελίου, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, παρακούοντες, καὶ μὴ πραραδεχόμενοι αὐτὴν, ὡς ἐν τῷ παραπικρασμῷ γέγονε.

8β Κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ.

Εἴρηται ἐν τῷ οζ′ ψαλμῷ, ὅτι *Παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ, καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν*, καὶ τὰ ἑξῆς ἀκολούθως. Ps 77.17β-18

Καὶ τότε γὰρ ἐσκλήρυναν τὰς καρδίας αὐτῶν, ἀποπεμψάμενοι τὴν τοῦ Θεοῦ φωνὴν, ἣν ἤκουσαν ἐν Σινᾶ, καὶ ἐκλαθόμενοι τῶν εὐεργεσιῶν αὐτοῦ, καὶ Ex 20.18
ἀπιστήσαντες ὅτι πάντα δύναται.

9α Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν.

Οὗ, ὅπου, ἐν τῇ ἐρήμῳ· ἢ, οὗ πειρασμοῦ.

Ἀπὸ δὲ τοῦ ἁγίου Πνεύματος ὁ λόγος.

9β Ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη.

Τὰ θαυμάσια καὶ τὰς εὐεργεσίας περὶ ὧν διέξεισιν ὁ εἰρημένος οζ′ ψαλμός.

Τὸ δὲ, *τεσσαράκοντα ἔτη*, τινὲς μὲν τῷ παρόντι στίχῳ συνάπτουσι, τινὲς δὲ τῷ ἐφεξῆς, ἀναγινώσκοντες οὕτως·

10α [Τεσσαράκοντα ἔτη] προσώχθισα τῇ γενεᾷ ἐκείνῃ.

Τουτέστιν, ἐπαχθῶς ἔσχον αὐτῇ· δυσηρεστήθην ἐκείνοις διὰ τὴν σκληροκαρδίαν καὶ ἀπιστίαν αὐτῶν.

10β Καὶ εἶπα, Ἀεὶ πλανῶνται τῇ καρδίᾳ.

Ἀστατοῦσι. *Γενεὰ γὰρ*, φησὶν, *ἥτις οὐ κατεύθυνε τὴν καρδίαν ἑαυτῆς*. Ps 77.8β

10α[2] αὐτῇ MPS : αὐτήν CV.

10γ Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου.

Ὁδοὺς πολλάκις ἡ Γραφὴ, καθάπερ καὶ νῦν, τὰς | ἐντολὰς ὀνομάζει, διὰ τὸ φέρειν εἰς Θεόν. Γνῶσιν δὲ αὐτῶν, οὐ τὴν δι' ἀναγνώσεως καὶ μελέτης, ἀλλὰ τὴν δι' ἐνεργείας καὶ πράξεως,

11 Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Τὸ, ὡς, βεβαιωτικόν. Βεβαίως, φησὶν, ἀπεφηνάμην ἐν τῷ ὀργισθῆναί με, οὐκ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Τί μὲν οὖν ἐστιν ὅρκος ἐπὶ Θεοῦ εἴρηται ἐν τῷ πη′ ψαλμῷ, ἔνθα τὸ, Ὤμοσα Δαυὶδ τῷ δούλῳ μου. Ps 88.4β

Περὶ δὲ ὀργῆς πάλιν ἐξηγησάμεθα ἐν τῷ ς′ ψαλμῷ, ὅπου τὸ, Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ps 6.2

Ὅτι δὲ τὸ, εἰ, τὸ, οὐ, σημαίνει πολλάκις παρ' Ἑβραίοις, καὶ ἐν ἄλλοις εἰρήκαμεν. Ps 88.36

Κατάπαυσις δὲ, ἡ γῆ τῆς ἐπαγγελίας, ὡς παύσασα τοὺς εἰσελθόντας Ἰσραηλίτας ἀπὸ τῆς ἐν τεσσαράκοντα ἔτεσι πλάνης καὶ μεταβάσεως, καὶ ἀνάπαυσις αὐτοῖς γενομένη· λοιπὸν οὖν οὐδ' οἱ παρακούοντες τῆς φωνῆς τοῦ Θεοῦ εἰσελεύσονται εἰς τὴν κατάπαυσιν τῆς βασιλείας τῶν οὐρανῶν.

95 ϟε′

1α Αἶνος ᾠδῆς τῷ Δαυίδ·
ὅτε ὁ οἶκος ᾠκοδόμητο μετὰ τὴν αἰχμαλωσίαν.

Ἀνεπίγραφος καὶ οὗτος παρ' Ἑβραίοις.

Διατί δὲ αἶνος ᾠδῆς παρὰ τῶν Ἑβδομήκοντα ἐπιγέγραπται, προείρηται ἐν τῷ πρὸ τούτου ψαλμῷ. Ps 94.1α

Οἴκου δὲ οἰκοδομὴ μετὰ τὴν αἰχμαλωσίαν, καθ' ἱστορίαν μὲν, ἡ παρὰ Ζοροβάβελ ἀνέγερσις τοῦ ἐν Ἱεροσολύμοις ναοῦ, κατὰ δὲ ἀναγωγὴν, ἡ κατασκευὴ 2Esdr 3.8
τοῦ προσλήμματος, ᾧ ἐνῴκησεν ὁ Υἱὸς καὶ Θεὸς μετὰ τὴν αἰχμαλωσίαν, ἣν ᾐχμαλώτευσεν ὁ διάβολος, περὶ ἧς εἴρηται, Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας Ps 67.19α
αἰχμαλωσίαν, ἢ ἡ σύστασις τῆς Ἐκκλησίας, ἣν ὁ μέγας καὶ σοφὸς ἀρχιτέκτων 1Cor 3.10
ᾠκοδόμησε.

Πάντα γὰρ ταυτὶ προϊδὼν ὁ Δαυὶδ, ᾄδειν προτρέπεται χαριστήρια.

1β Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Τί ἐστιν ᾆσμα καινὸν εἰρήκαμεν ἐν τῷ λβ′ ψαλμῷ, ἔνθα τὸ, Ἄισατε αὐτῷ ᾆσμα καινόν. Ps 32.3α

Εἴη δ' ἂν ᾆσμα καινὸν, καὶ ὅπερ ᾖσαν οἱ ἄγγελοι γεννηθέντος τοῦ Χριστοῦ, τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ τὰ ἑξῆς. Lk 2.14

1γ Ἄισατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ.

Ἦκε γὰρ ἐλευθερώσων πᾶσαν τὴν γῆν ἀπὸ τῆς αἰχμαλωσίας τοῦ διαβόλου.
Τοῦτο δὲ, τῇ καθ' ἱστορίαν οἰκοδομῇ τοῦ ναοῦ, πῶς ἂν ἁρμόσῃ, μηδὲν ἐντεῦθεν τῶν ἄλλων ἐθνῶν ὠφελουμένων;

2α Ἄισατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ.

Εὐφημήσατε τὸ ὄνομα αὐτοῦ, ὅτι σωτήριον· Ἰησοῦς γὰρ, ὁ Σωτήρ· ἢ ὅτι Mt 1.21
παντοδύναμον ἐκ πίστεως ὀνομαζόμενον.
Τρὶς δὲ τὸ αὐτὸ, ἤγουν τὸ, Ἄισατε τῷ Κυρίῳ, ὅτι καὶ τοῖς τρισὶ προσώποις, ἡ αὐτὴ θεότης, καὶ ἡ αὐτὴ πρέπει λατρεία τῇ ἁγίᾳ Τριάδι.

2β Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ.

Διαγγέλλετε ἀεὶ τὸ σωτήριον κήρυγμα τοῦ Εὐαγγελίου· πρὸς τοὺς ἀποστόλους δὲ καὶ τοὺς τῶν ἀποστόλων διαδόχους ὁ λόγος.
Ζήτησον δὲ καὶ ἐν τῷ λθʹ ψαλμῷ τὴν ἐξήγησιν τοῦ, *Τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα.* Ps 39.11β

3α Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ.

Τὴν ἐνανθρώπησιν καὶ τὰ δι' ἡμᾶς πάθη. Δόξα γὰρ τῷ Δεσπότῃ, τὸ παθεῖν ὑπὲρ τῆς τῶν δούλων σωτηρίας.

3β Ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.

Τὰ θαυμάσια ἔργα ἃ ἐποίησε συναναστρεφόμενος τοῖς ἀνθρώποις. Bar 3.38

4α Ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα.

Μέγας μὲν, ὡς παντοδύναμος, αἰνετὸς δὲ, ὡς φιλάνθρωπος.

4β Φοβερός ἐστιν | ὑπὲρ πάντας τοὺς θεούς.

Οὗτος μὲν γὰρ ἐν τῷ παρόντι αἰῶνι δύναται κολάζειν καὶ ἐν τῷ μέλλοντι, καὶ οὐ σῶμα μόνον, ἀλλὰ καὶ ψυχήν· ἐκεῖνοι δὲ, οὐδαμῶς. Καὶ οὗτος μὲν ἀληθείᾳ φοβερὸς, ἐκεῖνοι δὲ, φαντασίᾳ. Θεοὺς δὲ λέγει, τοὺς τῶν ἐθνῶν.

5α Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια.

Ἕλληνες μὲν δαίμονας, τοὺς θεοὺς αὐτῶν ὠνόμαζον, ὡς δαήμονας καὶ ἐπιστήμονας τοῦ καλοῦ, ἡμεῖς δὲ προσαγορεύομεν αὐτοὺς δαίμονας, ὡς ἐπιστήμονας τοῦ κακοῦ.

5β Ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησε.

Καὶ μὴν καὶ τὰ λοιπὰ πάντα· *Πάντα γὰρ, φησὶ, δι' αὐτοῦ ἐγένετο.* Ἀλλὰ τὰ μεγαλοπρεπέστερα παρέλαβεν, ὡς θαυμασιώτερα. Jn 1.3

6α Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ.

Διὰ τῶν ἕξεων τοὺς ἔχοντας ὑποδηλοῖ· ἐξομολόγησιν μὲν λέγων, τοὺς ἐξομολογουμένους τὰς ἁμαρτίας αὐτῶν, ὡραιότητα δὲ, τοὺς ὡραίους ἐντεῦθεν γινομένους, ὡς διὰ μετανοίας ἀπολουομένους. Οὗτοι οὖν ἐνώπιον αὐτοῦ, κατὰ τὸ, *Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.* Ps 33.16

6β Ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.

Ἁγίασμα αὐτοῦ, οἱ κατὰ τόπους ναοὶ, ὡς ἁγιαζόμενοι παρ' αὐτοῦ, καὶ ἁγιάζοντες τοὺς μετὰ πίστεως εἰσερχομένους εἰς αὐτούς.

Ἐν τούτῳ, φησὶ, τῷ ἁγιάσματι, ἁγιωσύνη καὶ μεγαλοπρέπεια πολιτεύονται· τουτέστι, καθαρότης καὶ τὰ μεγάλοις πρέποντα ἔργα.

7 Ἐνέγκατε τῷ Κυρίῳ, αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.

Πατριαὶ, τὰ γένη· ἢ, πατριαὶ τῶν ἐθνῶν, οἱ πατέρες αὐτῶν, ἤγουν οἱ ἱερεῖς καὶ διδάσκαλοι.

Ποίαν δὲ λέγει δόξαν καὶ τιμὴν, ἡρμηνεύσαμεν ἐν τῷ κη´ ψαλμῷ· κἀκεῖ γὰρ κεῖται τὸ, *Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.* Ps 28.1γ

Ἢ καὶ ἄλλως, δόξαν μὲν, ὡς Θεῷ, ἴδιον γὰρ Θεοῦ τὸ δοξάζεσθαι, τιμὴν δὲ, ὡς Πατρὶ, *Τίμα γὰρ, φησὶ, τὸν πατέρα σου.* Καὶ γὰρ καὶ Θεὸς ἡμῶν ἐστιν, ὡς Ex 20.12
δημιουργὸς, καὶ Πατὴρ, ὡς διὰ τοῦ βαπτίσματος υἱοθετήσας ἡμᾶς.

8α Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ.

Ἡρμηνεύθη καὶ τοῦτο ἐν τῷ ῥηθέντι ψαλμῷ. Ps 28.2α

Ἢ καὶ ἄλλως, προτρέπεται τοὺς περικειμένους τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ Χριστιανοὺς καλουμένους, δοξάζειν αὐτὸ διὰ πολιτείας ἐπαινουμένης.

Τρίτον δὲ κἀνταῦθα τὸ, *Ἐνέγκατε τῷ Κυρίῳ*, κατὰ τὴν ἐν ἀρχῇ τοῦ ψαλμοῦ ῥηθεῖσαν ἐξήγησιν. Ps 95.2α

[5α][1] δαήμονας corr. : δαΐμονας MPSC. 5β[3] μεγαλοπρεπέστερα PSCABFV : μεγαλοπρεπέστατα M.

8β Ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ.

Θυσίας πνευματικάς· *Πνεῦμα γὰρ, φησὶν, ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν·* θυσίαι δὲ τοιαῦται, αἱ ἀρεταί. Jn 4.24
Αὐλαὶ δὲ αὐτοῦ νῦν, αἱ κατὰ τόπους ἐκκλησίαι.

9α Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.

Ἡρμηνεύθη καὶ οὗτος ὁ στίχος ἐν ἐκείνῳ τῷ ψαλμῷ. Ps 28.2β

Πρόσχες δὲ πῶς εἰπὼν, αὐλὰς, εἶπε πάλιν, αὐλὴν, διδάσκων ὅτι πολλαὶ μέν εἰσι τῷ ἀριθμῷ, μία δὲ τῇ πίστει. Διήρηνται μὲν γὰρ τοῖς τόποις, ἥνωνται δὲ τῇ ὁμοδοξίᾳ.

9β Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

Τῇ ἐπιφανείᾳ αὐτοῦ, μετακινηθήτω ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν· σεισμὸν γὰρ τοῦτο καὶ προφήτης ἕτερος ἐκάλεσεν. Ez 38.19

Εἴποι δ' ἄν τις καὶ τὸν κλόνον τῆς γῆς, τὸν ἐν τῷ καιρῷ τοῦ σταυροῦ, καὶ ὅτι Mt 27.51
τοῦ Κυρίου ἐπιφανέντος τοῖς ἀνθρώποις, ἐσείσθησαν λαοὶ, ἐταράχθησαν ἔθνη διὰ τὸ κήρυγμα.

10α Εἴπατε ἐν τοῖς ἔθνεσιν ὅτι Κύριος ἐβασίλευσεν. |

Ἡρμηνεύθη τοῦτο ἐν τῇ ἀρχῇ τοῦ ϟβʹ ψαλμοῦ. Ps 92.1β

Ἢ καὶ ἄλλως, ὅτι μέχρι τότε ὁ διάβολος ἐβασίλευε καὶ ἡ ἁμαρτία.

Εἴη δ' ἂν καὶ ἑτέρως βασιλεία τοῦ Χριστοῦ, ἡ κατὰ πίστιν ὑποταγὴ τῶν ἀνθρώπων.

10β Καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην.

Ὀρθοποδεῖν εἰς εὐσέβειαν παρεσκεύασεν, ἢ ἥδρασεν εἰς θεογνωσίαν.

Οἰκουμένην δὲ λέγει, τὴν ἁπανταχοῦ τῆς οἰκουμένης Ἐκκλησίαν. *Εἰς πᾶσαν γὰρ, φησὶ, τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.* Περιττὸν δὲ τὸ, *γάρ*. Ps 18.5α

10γ Ἥτις οὐ σαλευθήσεται.

Τῶν σαλευόντων αὐτὴν δαιμόνων ἀπαλλαγεῖσα, καὶ ἐπὶ τῆς ἀῤῥαγοῦς πέτρας τῆς πίστεως θεμελιωθεῖσα.

Εἴρηται δὲ καὶ ἐν τῷ ϟβʹ ψαλμῷ, *Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται*, καὶ ἀνάγνωθι τὴν ἐξήγησιν. Ps 92.1ε

10α[3] *καὶ ἡ ἁμαρτία* PSCBFV : *τῇ ἁμαρτίᾳ* M.

10δ Κρινεῖ λαοὺς ἐν εὐθύτητι.

Κατὰ τὴν ἡμέραν δηλαδὴ τῆς κρίσεως. Εἶπε δὲ τοῦτο, ἵνα γνῶμεν ὅτι οὗτος καὶ κρινεῖ πάντας. Jn 5.22

11α Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ.

Διὰ τὸν Ἐπουράνιον εἶτα Ἐπίγειον· τοῦ γὰρ Χριστοῦ τὸ μὲν ἄνωθεν κατῆλθε, τὸ δὲ κάτωθεν ἀνέτειλε.

11β Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς.

Σάλευσιν ἐνταῦθα, τὴν σκίρτησιν λέγει.

Πλήρωμα δὲ τῆς θαλάσσης, τὰ πέρατα αὐτῆς, ἢ οἱ ποταμοὶ, αἱ λίμναι, καὶ αἱ πηγαὶ, καὶ ἁπλῶς πᾶσα φύσις ὑδάτων. Σκιρτησάτω δὲ αὕτη, διὰ τὸ βάπτισμα τοῦ Σωτῆρος.

12α Χαρήσεται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς.

Ὅτι μέλλει δι' αὐτῶν ὁδεύειν ὁ ἁγιάζων Χριστός. Πάντα δὲ τὰ ἐν αὐτοῖς φυτὰ δηλονότι.

12β Τότε ἀγαλλιάσεται πάντα τὰ ξύλα τοῦ δρυμοῦ.

Διὰ τὸ μέλλειν ἐξ αὐτῶν ληφθῆναι τὸν σωτήριον σταυρόν. Isa 60.13

13α Ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται.

Γενήσεται δὲ ἡ εὐφροσύνη καὶ ἀγαλλίασις καὶ τὰ τοιαῦτα ἀπὸ προσώπου Κυρίου, τουτέστι, διὰ τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ. Διότι ἰδοὺ ἔρχεται πρὸς τὴν ἔνσαρκον οἰκονομίαν.

Εἰώθασι δὲ οἱ προφῆται περιτιθέναι τοῖς ἀψύχοις χαρὰν ἐμψύχων, ὅταν ὑπερβάλλουσαν ἀγαλλίασιν ἐμφῆναι βουληθῶσιν, ὡς μονονουχὶ καὶ τῶν ἀψύχων εὐφραινομένων.

Νοήσαις δ' ἂν καὶ ἑτέρως· οὐρανοὺς μὲν, τοὺς ἐπουρανίους ἀγγέλους, γῆν δὲ, τοὺς ἐπιγείους ἀνθρώπους, θάλασσαν δὲ, τοὺς ἐπιθαλαττίους ἢ τοὺς νησιώτας καὶ τοὺς ναυτιλλομένους, πεδία δὲ, τοὺς ἐν ταῖς πεδιάσι γεωργοῦντας, ξύλα δὲ δρυμοῦ, τοὺς δενδροτόμους καὶ τοὺς ἐν ἀγροῖς ἢ ὄρεσιν.

Ἢ καὶ ἄλλως, οὐρανοὺς μὲν, τοὺς οὐράνια φρονοῦντας, γῆν δὲ, τοὺς γήϊνα, θάλασσαν δὲ, τοὺς ἐν τῇ πικρίᾳ τῆς ἀσεβείας, πεδία δὲ, τοὺς ὑπτίους καὶ εὐεπιβάτους τοῖς πάθεσι, ξύλα δὲ δρυμοῦ, τοὺς σκληροὺς ἢ ἀκάρπους εἰς ἀρετήν.

Πάντες γὰρ ἡδονῆς πλησθήσονται, διὰ τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ, πρὸς τὴν εἰς αὐτὸν πίστιν μετατιθέμενοι.

13β Ὅτι ἔρχεται κρῖναι τὴν γῆν.

Διπλῆν, φησὶν, ἕξουσιν ἡδονὴν, ὅτι τε ἔρχεται κατορθῶσαι τὴν οἰκουμένην, Ps 95.10β
καὶ ὅτι πάλιν ἔρχεται κρῖναι τὴν γῆν, καὶ ἀποδοῦναι μὲν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, ἐλευθερῶσαι δὲ καὶ τὰ στοιχεῖα ἀπὸ τῆς φθορᾶς.

13γ Κρινεῖ τὴν οἰκουμένην ἐν δι | καιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

Οἰκουμένην μὲν, τὰ τῆς οἰκουμένης ἔθνη, λαοὺς δὲ, τοὺς Ἰουδαίους.

Ἢ οἰκουμένην καὶ λαοὺς, τὸ αὐτὸ νοήσεις· λαοὺς δὲ πληθυντικῶς διὰ τὰς πολλὰς διαφορὰς τῶν γενῶν.

Κρινεῖ δὲ δικαίως μὲν, ὡς ἀπροσωπόληπτος· ἀληθῶς δὲ, ὡς πάντα εἰδώς. 1Pt 1.17
Jn 21.17

96 ϟϛʹ

1α Τῷ Δαυΐδ· ὁπότε ἡ γῆ αὐτοῦ καθίστατο.

Ἀνεπίγραφος καὶ οὗτος παρ' Ἑβραίοις. Οἱ Ἑβδομήκοντα δὲ καὶ ταύτην ἐπέθηκαν τὴν ἐπιγραφὴν, στοχασάμενοι τῆς ὑποθέσεως.

Τῷ Δαυὶδ μὲν, ὅτι τῷ ἐκ Δαυὶδ Χριστῷ ἀνατέθειται· καὶ ἄλλως γὰρ, τοῦ
Δαυὶδ — τὸν ἱκανὸν χειρὶ σημαίνοντος — ἱκανὸς ἂν εἴη χειρὶ κυρίως οὗτος, ὡς PG 88.765A
παντοδύναμος.

Ὁπότε δὲ ἡ γῆ αὐτοῦ καθίστατο, τουτέστιν, ὁπότε εἰρήνευσε, καὶ ἐγαληνίασε, τῆς τυραννίδος τῶν δαιμόνων ἀπαλλαγεῖσα. Τοῦ Κυρίου δὲ, φησὶν, ἡ γῆ καὶ τὸ
πλήρωμα αὐτῆς. Τότε οὖν αὐτῷ ἥρμοσεν ὁ ψαλμὸς οὗτος, πρὸ πολλοῦ συντεθείς. Ps 23.1β

1β Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ.

Περὶ τοῦ, ἐβασίλευσεν, εἴρηται ἐν τῷ πρὸ τούτου ψαλμῷ. Ἐβασίλευσε δὲ, Ps 95.10α
καταβαλὼν τὸν βασιλεύοντα διάβολον καὶ ἀνελὼν τὴν βασιλεύουσαν ἁμαρτίαν.

Καὶ περὶ τῆς ἀγαλλιάσεως δὲ τῆς γῆς ἐν ἐκείνῳ εἴρηται. Ps 95.12α

1γ Εὐφρανθήτωσαν νῆσοι πολλαί.

Αἱ κατὰ χώραν ἐκκλησίαι, τῆς ἁλμυρᾶς ἀπιστίας ἀνακύψασαι, καὶ πανταχόθεν μὲν περικλυζόμεναι τοῖς κύμασι τῶν πειρασμῶν, πῆξιν δὲ ἐν τῷ Χριστῷ βάσιμον κεκτημέναι.

Ἢ καὶ ἁπλῶς νήσους νοήσομεν, τὰς πεπιστευκυίας, ὥσπερ καὶ γῆν, τὴν
καινὴν κτίσιν. 2Cor 5.17

1γ[5] νοήσομεν MPB : νοήσωμεν S[2]CFV.

2α Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ.

Νεφέλη καὶ γνόφος, ἡ προσληφθεῖσα σὰρξ, ὡς ὑποκρύπτουσα τὴν θεότητα· ἔοικε δὲ τοῦτο τοῖς ἐν τῷ ιζʹ ψαλμῷ ῥητοῖς, *Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ.* Ps 17.12α-β

2β Δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.

Τῆς βασιλείας αὐτοῦ· ταῦτα γὰρ κατώρθωσε βασιλεύσας. Καὶ ὄντως δικαία κρίσις, τὸ τὸν μὲν τυραννοῦντα διάβολον καθελεῖν, τοὺς δὲ τυραννουμένους ἀνθρώπους ἐλευθερῶσαι.

Ἢ καὶ ἄλλως, δικαιοσύνην, ἤτοι καθόλου πᾶσαν ἀρετὴν, καὶ κρίσιν ὀρθὴν, εἴτουν διάκρισιν, ἐδίδαξεν ἡ βασιλεία αὐτοῦ.

3 Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ.

Ταῦτα, τοῦ καιροῦ τῆς παγκοσμίου κρίσεως. Τοῦτο καὶ Δανιὴλ θεασάμενος ἔγραψεν, ὅτι *Ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ.* Dan 7.10

Ἐχθροὶ δὲ αὐτοῦ κοινῶς, πάντες οἱ τῷ ἐχθρῷ αὐτοῦ τῷ διαβόλῳ πειθόμενοι. Κύκλῳ δὲ, ἀντὶ τοῦ, πανταχόθεν.

4α Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ.

Οἱ ἀπόστολοι· τοῦ ἀληθινοῦ γὰρ μετασχόντες φωτὸς, ἤστραψαν καὶ αὐτοὶ, Jn 1.9
πρὸς οὓς καὶ ὁ Χριστὸς ἔλεγεν, *Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.* Mt 5.14

Τοῦτο συνᾴδει τῷ ῥητῷ τοῦ εἰρημένου ψαλμοῦ, τῷ, *Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.* Ps 17.9γ

4β Εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.

Εἶδε τὰς ἀστραπὰς ταύτας καὶ ἐσκίρτησεν.

Ἢ μετεκινήθη ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν, καὶ ἀπὸ τοῦ σκότους ἐπὶ τὸ φῶς.

Ἢ ἐσαλεύθη, ἵνα κρεῖττον ἑδραιωθῇ. Καὶ τέκτονες γὰρ τὰ παλαιωθέντα θέλοντες ἀνακαινίσαι, σαλεύουσιν αὐτὰ πρότερον. Διὸ καὶ περὶ Παύλου καὶ Σίλα τινὲς ἔλεγον, *Οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι* | *καὶ ἐνθάδε πάρεισι.* Ac 17.6

5 Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου Κυρίου, ἀπὸ προσώπου Κυρίου πάσης τῆς γῆς.

Ὄρη τροπικῶς, οἱ δαίμονες, διὰ τὸ ἐπηρμένον καὶ ἀλαζονικὸν καὶ ἄκαρπον

καὶ σκληρὸν καὶ κρημνῶδες.

Εἴρηται δὲ καὶ ἐν τῷ ξζ′ ψαλμῷ, *Ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ·* καὶ ἀνάγνωθι τὴν Ps 67.3β
ἐξήγησιν αὐτοῦ.

6α *Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ.*

Οὐρανοὶ, οἱ προφῆται ἢ οἱ ἀπόστολοι, ὡς οὐράνιον πολιτείαν ἐπιδεδειγμένοι.

Δικαιοσύνην δὲ λέγει, τὸ μὴ μόνον τοῖς Ἰουδαίοις περικλεῖσαι τὴν θεογνωσίαν, ἀλλὰ καὶ τὰ ἔθνη καλέσαι πρὸς ἐπίγνωσιν τῆς ἀληθείας. Ἢ καθὼς εἰρήκαμεν, 1Tim 2.4
ἑρμηνεύοντες τὸ, *Δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.* Ζήτησον Ps 96.2β
δὲ καὶ ἐν τῷ λθ′ ψαλμῷ τὴν ἐξήγησιν τοῦ, *Εὐηγγελισάμην δικαιοσύνην ἐν Ἐκκλησίᾳ μεγάλῃ.* Ps 39.10α

6β *Καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ.*

Τὰ θαυμάσια ἔργα αὐτοῦ, δι᾽ ἃ ἐδοξάσθη.

7α *Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν.*

Αἰσχυνθήτωσαν τοιούτων ἔργων ὑπ᾽ αὐτοῦ τελουμένων, ἢ τῆς εἰδωλικῆς πλάνης ἐλεγχομένης.

7β *Προσκυνήσατε αὐτῷ, πάντες ἄγγελοι αὐτοῦ.*

Οἱ μὲν, ὅτε γεννηθῇ κατὰ σάρκα, ὑμνολογοῦντες καὶ τὸ, *Δόξα ἐν ὑψίστοις,* Lk 2.14
λέγοντες· οἱ δὲ, μετὰ τοὺς ἐν τῇ ἐρήμῳ πειρασμοὺς, δουλοπρεπῶς διακονοῦντες
αὐτῷ· οἱ δὲ, ἀναλαμβανομένου πρὸς οὐρανὸν, δορυφορικῶς προπορευόμενοι καὶ Mt 4.11
τὸ, *Ἄρατε πύλας,* κράζοντες. Ps 23.7, 9

8α *Ἤκουσε καὶ εὐφράνθη ἡ Σιών.*

Ἤκουσε τῶν οὐρανῶν, ὡς εἴρηται, ἀναγγελλόντων τὰ περὶ αὐτοῦ ἡ νέα Σιὼν, ἤγουν ἡ καθολικὴ Ἐκκλησία, καὶ ηὐφράνθη.

8β *Καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας.*

Πάλαι μὲν θυγατέρες τῆς Ἰουδαίας, αἱ κατὰ τὰς ὑπ᾽ αὐτὴν πόλεις μερικαὶ συναγωγαί· νῦν δὲ, θυγατέρες τῆς καθολικῆς Ἐκκλησίας, αἱ κατὰ πᾶσαν γῆν ἐκκλησίαι, ὡς ἐξ αὐτῆς προελθοῦσαι.

Ἐπεὶ γὰρ Σιὼν μὲν ἑρμηνεύεται, *σκοπευτήριον*, Ἰουδαία δὲ, *ἐξομολόγησις*, ἀμφότερα ἂν εἴη ἡ Ἐκκλησία, οἷα σκοπευτικὴ καὶ θεωρητικὴ τῆς ἀληθείας, καὶ ἐξομολογουμένη καὶ εὐχαριστοῦσα τῷ Κυρίῳ.
Ηὐφράνθη δὲ αὕτη καὶ ἠγαλλιάσαντο αὗται, τίνος χάριν;

8γ Ἕνεκεν τῶν κριμάτων σου, Κύριε.

Ὅτι ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς μὲν πιστοῖς, αἰώνιον ἀνάπαυσιν, τοῖς δὲ ἀπίστοις, αἰώνιον κόλασιν.

9α Ὅτι σὺ Κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

Κύριος ἐπὶ πᾶσαν τὴν γῆν· ὑψηλὸς Δεσπότης πάσης τῆς γῆς, ὥσπερ καὶ τοῦ οὐρανοῦ.

9β Σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς.

Τοὺς νομιζομένους. Ἐκεῖνοι μὲν γὰρ ὑψώθησαν ἀπὸ πλάνης, σὺ δὲ ἀπὸ ἀληθείας, ἀπὸ τῆς πανσθενοῦς δυνάμεως· ὅσον οὖν μείζων ἀλήθεια πλάνης, τοσοῦτον καὶ τὸ σὸν ὕψος τοῦ ἐκείνων.
Ὑψώθης δὲ, ἀντὶ τοῦ, ὑψηλὸς ἐγνωρίσθης· εἰπὼν δὲ ὅτι σφόδρα, καὶ δὶς χρησάμενος τῷ, ὑπέρ, ἐπέτεινε τὴν ἐπίτασιν τῆς ἐπιτάσεως τοῦ ὕψους.

10α Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά.

Μισοπόνηρος γὰρ ὁ Κύριος καὶ φιλάγαθος.

10β Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ.

Τῶν ἀφωσιωμένων καὶ ἀνακειμένων αὐτῷ.

10γ Ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσεται αὐτούς. |

Ἐπηρεαζομένους.
Ἁμαρτωλὸς δὲ κυρίως, ὁ διάβολος, ὡς καὶ πάσης ἁμαρτίας δημιουργός.

11α Φῶς ἀνέτειλε τῷ δικαίῳ.

Φῶς, τὸ τοῦ ἀληθινοῦ φωτός· φῶς πνευματικὸν, ὁδηγοῦν αὐτὸν εἰς πᾶσαν ἀλήθειαν. Jn 16.13
Ἢ φῶς, τὸ τῆς θεωρητικῆς, ἀνέτειλε τῷ δικαίῳ τὴν πρακτικήν.

11β Καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

Πνευματικὴ παράκλησις.

12α Εὐφράνθητε, δίκαιοι, ἐν τῷ Κυρίῳ.

Τὰς βιωτικὰς πάσας εὐφροσύνας, ὡς ψευδομένας, ἀποσειόμενοι.
Εἴρηται δὲ καὶ ἐν τῷ τέλει τοῦ λα′ ψαλμοῦ, *Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε, δίκαιοι*, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν. Ps 31.11

12β Καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Εὐχαριστεῖτε ἐν τῷ μνημονεύειν τῆς ἁγιωσύνης αὐτοῦ, ὅτι ἡγιάσθητε· ἢ ἐξομολογεῖσθε τὰ οἷα δήποτε μολύσματα ἐν τῷ μνημονεύειν τῆς καθαρότητος αὐτοῦ. Οὐδεὶς γὰρ καθαρὸς παντάπασι.

Δύνανται δὲ καὶ πάντα τὰ ἀπὸ τοῦ, *Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται*, ῥητὰ, μέχρι τοῦ, *Ἤκουσε καὶ εὐφράνθη Σιὼν*, περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας νοεῖσθαι. Ἔφαναν γὰρ, φησὶν, αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, κατιόντος αὖθις, ἐξ οὐρανοῦ δηλαδή. *Ὥσπερ γὰρ*, φησὶν, *ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου*. Καὶ εἰ Mt 24.27
τότε *Ὁ ἥλιος*, φησὶ, *σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ* Mt 24.29
οἱ ἀστέρες πεσοῦνται ἐκ τοῦ οὐρανοῦ, πόθεν ἄλλοθεν φωτισθήσεται ὁ κόσμος;
Εἶδε δὲ τὴν κάθοδον αὐτοῦ καὶ ἐσαλεύθη ἡ γῆ τῷ φόβῳ, ἢ τῶν νεκρῶν ἀνισταμένων μετὰ σπουδῆς. Τὰ ὄρη δὲ ὡσεὶ κηρὸς ἐτάκησαν, διαλυόμενα, τῶν στοιχείων ἀλλιουμένων. Εἴρηται δὲ περὶ τούτου καὶ ἐν τῷ οδ′ ψαλμῷ, ἔνθα τὸ, *Ἐτάκη ἡ γῆ*. Ps 74.4α
Ἀνήγγειλαν δὲ οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, πάλαι, τουτέστιν, οἱ ὑψηλοὶ προφῆται, ὅτι δίκαιός ἐστι κριτής.
Τότε δὲ, ἐν τῷ καιρῷ τῆς πρὸς τὸ κρίνειν ἀφίξεως, εἶδον πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ, *ἐρχομένου ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ*, ὡς αὐτὸς ἐδίδαξεν. Mt 16.27
Εἶτα ἐγκελεύεται τοῖς μὲν εἰδωλοθύταις αἰσχύνεσθαι τότε, τοῖς δὲ ἀγγέλοις προσκυνεῖν αὐτὸν, εἰδὼς καὶ ἄμφω γενησόμενα. Τῶν ἀγγέλων δὲ προσκυνησάντων, πάντες εὐθὺς οἱ λοιποὶ προσκυνήσουσιν, ὅτι αὐτῷ *Πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων*, κατὰ τὸν Ἀπόστολον. Php 2.10

97 ϟζ′
1α Ψαλμὸς τῷ Δαυίδ.

Καὶ οὗτος περὶ τῶν δύο τοῦ Χριστοῦ παρουσιῶν διαλαμβάνων, οἰκείωσιν ἔχει πρὸς τὸν προλαβόντα, καθάπερ κἀκεῖνος πρὸς τὸν πρὸ αὐτοῦ.

12β[9] φαίνεται V [Mt 24.27] : ἔρχεται MPSC.

1β Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Εἴρηται τοῦτο καὶ ἐν τῇ ἀρχῇ τοῦ ϟε´ ψαλμοῦ. Ps 95.1β

1γ Ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος.

Δεῖ γὰρ ᾄσματος καινοῦ ἐπὶ καινοῖς πράγμασι.

Τί δὲ θαυμαστότερον τοῦ τὸν Θεὸν ἐνανθρωπῆσαι καὶ τ᾽ ἄλλα ποιῆσαι καὶ παθεῖν ὅσα τὸ θεῖον διέξεισιν Εὐαγγέλιον;

1δ Ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

Ἐπανεσώσατο αὐτῷ ἡ οἰκεία ἀντίληψις τοὺς αἰχμαλωτισθέντας ὑπὸ τοῦ ἐχθροῦ δούλους· ἥτις δεξιὰ μὲν λέγοιτ᾽ ἄν, ὡς ἐπιτήδεια, βραχίων δὲ, ὡς ἰσχυρά. Εἴρηται δὲ καὶ ἐν τῷ μγ´ ψαλμῷ, *Ἀλλ᾽ ἡ δεξιά σου καὶ ὁ βραχίων σου.* Ps 43.4γ

Τινὲς δὲ, ἔσωσεν αὐτὸν, ἑρμηνεύουσιν, ἤγουν τὸν ἀπολωλότα ἄνθρωπον· καὶ τοῦτο γὰρ θαυμαστὸν ἔργον, τὸ τὸν Δεσπότην τοῖς ἰδίοις πάθεσιν σῶσαι τὸν ἀφηνιάσαντα καὶ ἀπολωλότα δοῦλον.

2α Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ.

Ἐφανέρωσε τὴν σωτηρίαν τὴν παρ᾽ αὐτοῦ. Λέγω δὴ τὴν ἐνανθρώπησιν, ἢ τὸ σωτήριον αὐτοῦ βούλημα· *Οὐκ ἦλθον γὰρ*, φησὶ, *κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι τὸν κόσμον.* | Jn 12.47

2β Ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.

Τοῦτο, ἑρμηνευτικὸν τοῦ ῥηθέντος. Εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἀποστόλων, κηρυσσόντων πᾶσι τοῖς ἔθνεσι τὴν σωτηρίαν ἣν εἰργάσατο, καὶ τὴν δικαιοσύνην, ὡς ἐν τῷ ϟε´ ψαλμῷ προειρήκαμεν. Rom 10.18 Ps 95.10β, 13γ

Νοεῖται δὲ καὶ ὅτι ἐγνώρισε μὲν τὸ σωτήριον αὐτοῦ τοῖς προφήταις, ἀπεκάλυψε δὲ τὴν δικαιοσύνην αὐτοῦ τοῖς ἔθνεσιν.

3α Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ.

Πάλαι τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ἐλεῆσαι τὸ γένος αὐτοῦ, καὶ δι᾽ ὅρκου βεβαιώσας ὅτι ἀληθεύσει, ὕστερον ἐμνήσθη τοῦ ἐπαγγελθέντος ἐλέους καὶ τῆς βεβαιωθείσης ἀληθείας, τουτέστιν, εἰς ἔργον αὐτὰ ἐξήγαγεν ἐν τῷ νέῳ Ἰακὼβ, ἤτοι τῷ οἴκῳ τοῦ νέου Ἰσραὴλ, ὅς ἐστι τὸ γένος τῶν Χριστιανῶν. Οὗτοι γὰρ Ἰακὼβ μὲν λέγοιντ᾽ ἄν, ὡς πτερνισταὶ τοῦ πονηροῦ, ὑποσκελίζοντες καὶ καταβάλλοντες καὶ νικῶντες αὐτόν· Ἰσραὴλ δὲ, ὡς θεωροῦντες Θεὸν τοῖς ὄμμασι Gen 22.16-17

τῆς ψυχῆς, ὅσον ἐγχωρεῖ. Ἰακὼβ μὲν γὰρ, πτερνιστὴς ἑρμηνεύεται, Ἰσραὴλ δὲ, νοῦς ὁρῶν Θεόν. Gen 25.26 Gen 35.9-10

3β *Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ.*

Ἐνώπιον αὐτῶν ἀποκαλυφθὲν διὰ τῶν ἀποστόλων, ὡς ἀνωτέρω δεδήλωται. Ps 97.2β

4α *Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ.*

Εἴρηται περὶ τοῦ ἀλαλαγμοῦ ἐν τῷ β′ στίχῳ τοῦ ϟδ′ ψαλμοῦ. Ps 94.1γ

4β *Ἄισατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε.*

Ἄισατε μὲν ᾆσμα καινὸν, ὡς εἴρηται· ἀγαλλιᾶσθε δὲ ὡς τῆς αἰχμαλωσίας ἐλευθερωθέντες· ψάλατε δὲ εἰς ἔνδειξιν τῆς ἀγαλλιάσεως. Ps 95.1β

5 *Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ.*

Κιθάραν μὲν, τὴν πρακτικὴν ἀναγωγικῶς ὑποληπτέον· φωνὴν δὲ ψαλμοῦ, τὴν θεωρητκήν. Δοξάσατε τὸν Κύριον διὰ πράξεως καὶ θεωρίας.

6α *Ἐν σάλπιγξιν ἐλαταῖς καὶ φωνῇ σάλπιγγος κερατίνης.*

Ἐν ταῖς εὐαγγελικαῖς ἐντολαῖς, αἵτινες σάλπιγγες λέγονται πληθυντικῶς διὰ τὸ εἶναι τέσσαρα τὰ Εὐαγγέλια, καὶ σάλπιγξ ἑνικῶς, διότι εἰ καὶ τέσσαρα λέγονται διὰ τοὺς ἐκθεμένους αὐτὰ, ἀλλ' οὖν ἕν εἰσι τῇ συμφωνίᾳ καὶ δυνάμει.

Καὶ ἐλατὰς μὲν τὰς σάλπιγγας ταύτας ἐκάλεσεν, ὡς κεχαλκευμένας ὑπὸ τοῦ ἁγίου Πνεύματος· κερατίνην δὲ σάλπιγγα, ὡς ζωηράν· ἐκ ζῴου γὰρ ἡ κερατίνη κατεσκευάζετο.

6β *Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως Κυρίου.*

Περὶ τοῦ ἀλαλαγμοῦ προείρηται. Ps 94.1γ

7 *Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.*

Σάλευσιν κἀνταῦθα, τὴν ἀγαλλίασιν καὶ σκίρτησιν λέγει, καθὼς καὶ ἐν τῷ ϟε′ ψαλμῷ προείρηκεν, εἰπὼν, *Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς*· ἀνάγνωθι οὖν καὶ τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν. Ps 95.11

3β[1] Θεοῦ MPSCFV : Θεοῦ ἡμῶν B[TRa].

Πλήρωμα δὲ τῆς θαλάσσης ἐνόησάν τινες, τοὺς πληροῦντας αὐτὴν ἰχθύας, ὡς καὶ αὐτῶν χαίρειν κελευομένων.

8α Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό.

Ὁμοῦ ἐν χειρὶ κροτήσουσι, δίκην ἀνθρώπων συγχαιρόντων ἀλλήλοις, τουτέστι, καὶ αὐτοὶ μονονουχὶ σκιρτήσουσιν οἱ ποταμοὶ, τῆς παγκοσμίου χαρᾶς ἐρχομένης.

Ἀναγωγικῶς δὲ, ποταμοὶ, οἱ ῥέοντες τὸ πότιμον νᾶμα τῆς διδασκαλίας, περὶ ὧν εἴρηκεν ὁ Χριστὸς, *Ὁ πιστεύων εἰς ἐμὲ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ
ῥεύσουσιν ὕδατος ζῶντος*· ἢ τὰ ποταμηδὸν συῤῥέοντα πλήθη τῶν πιστῶν ἐν ταῖς Jn 7.38
ἐκκλησίαις.

8β Τὰ ὄρη ἀγαλλιάσεται | ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται.

Καὶ αὐτὰ τὰ ὄρη, ὥσπερ ἐν τῷ ϟε´ ψαλμῷ, τὰ ξύλα τοῦ δρυμοῦ. Ps 95.12β

Κατὰ δὲ ἀναγωγὴν, ὄρη, οἱ προφῆται, διὰ τὸ ὕψος τῆς θεωρίας αὐτῶν· ἀγαλλιάσονται δὲ, τῆς προφητείας αὐτῶν εἰς ἔργον ἐξερχομένης.

9 Ὅτι ἥκει κρῖναι τὴν γῆν, κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι.

Ταῦτα πάντα καθεξῆς ἡρμηνεύθησαν ἐν τῷ τέλει τοῦ ῥηθέντος ϟε´ ψαλμοῦ.
Ἀλλ᾽ ἐκεῖ μὲν εἴρηται, *καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ*, ἐνταῦθα δὲ, *καὶ λαοὺς ἐν* Ps 95.13γ
εὐθύτητι, ὡς νοεῖσθαι ταὐτὸν ἀλήθειαν καὶ εὐθύτητα· ὅ τε γὰρ ἀληθὴς, εὐθὴς, καὶ ὁ εὐθὴς, ἀληθής.

98 ϟη´

1α Ψαλμὸς τῷ Δαυίδ.

Ἀνεπίγραφος μὲν καὶ οὗτος ὁ ψαλμὸς παρ᾽ Ἑβραίοις. Τῷ Δαυὶδ δὲ ὑπὸ τῶν Ἑβδομήκοντα ἐπιγέγραπται, ὡς ἐν τῇ ἐπιγραφῇ τοῦ ϟς´ παρεσημειωσάμεθα.

1β Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Φησὶ Ματθαῖος, ὅτι *Τοῦ Ἰησοῦ γεννηθέντος*, καὶ τὰ ἑξῆς, *Ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες, Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων;* καὶ τὰ ἐπὶ τούτοις· εἶτα ὅτι, *Ἀκούσας Ἡρῴδης ὁ βασιλεὺς,*
ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ᾽ αὐτοῦ. Ταῦτα τοίνυν προϊδὼν ὁ Δαυὶδ, Mt 2.1-3
φησὶν, Ὁ Θεὸς ἐγεννήθη βασιλεύς· καὶ αὐτὸς γὰρ εἶπεν, ὅτι *Εἰς τοῦτο γεγέννημαι.* Jn 18.37
Ὀργιζέσθωσαν λαοὶ, οἱ τῶν Ἰουδαίων.

8β[1] ἀγαλλιάσεται MPSCF : ἀγαλλιάσονται V[LTRa].

1γ Ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ.

Ὁ Κύριος ἐκεῖνος, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ὡς ἐν τῷ οθʹ ψαλμῷ διείληπται, ἔνθα τὸ, *Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἐμφάνηθι.* Ps 79.2γ

1δ Σαλευθήτω ἡ γῆ.

Ἡ τῶν Ἰουδαίων· ἐταράχθη γὰρ, ὡς δεδήλωται. Ἢ καὶ πᾶσα ἡ γῆ, τῶν μὲν ταρασσομένων, τῶν δὲ μετατιθεμένων εἰς εὐσέβειαν.

2 Κύριος ἐν Σιὼν μέγας καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς.

Ἱστορικῶς μὲν, ἐν τῇ Ἰερουσαλὴμ μέγας ἦν ὁ Χριστὸς, διδάσκων καὶ θαυμάσια ἐκτελῶν. *Ἐξεπορεύετο γὰρ*, φησὶν, *ἦχος περὶ αὐτοῦ*, καὶ αὖθις, *Ἐξῆλθε δὲ ἡ ἀκοὴ* Lk 4.37
αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας, καὶ πάλιν, *Ἀπῆλθε δὲ ἡ ἀκοὴ* Mk 1.28
αὐτοῦ εἰς ὅλην τὴν Συρίαν. Mt 4.24

Ἀναγωγικῶς δὲ, μέγας ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ· ἐπεὶ γὰρ ἡ Σιὼν σκοπευτήριον ἑρμηνεύεται, αὕτη ἐστὶ τοῦτο, σκοπούντων ἡμῶν, ὥς φησι Παῦλος, οὐ τὰ ἐπίγεια, ἀλλὰ τὰ ἐπουράνια, ἐν ᾗ καὶ ὑψηλός ἐστιν ὑπὲρ πάντας ἀνθρώπους, ὡς μὴ μόνον 2Cor 4.18
ἄνθρωπος, ἀλλὰ καὶ Θεός.

Ἢ μέγας μὲν ἐν Σιὼν, ὑψηλὸς δὲ ἐν πᾶσι τοῖς λαοῖς τῶν ἐθνῶν, δηλοῦντος οὕτω τοῦ λόγου, ὅτι καὶ ἐν Ἰουδαίοις καὶ ἐν ἔθνεσι μεγαλυνθήσεται, τουτέστι, καὶ ἐν τοῖς ἐκ περιτομῆς καὶ ἐν τοῖς ἐξ ἐθνῶν. Tit 1.10

Τὸ γὰρ, *ἐπὶ πάντας*, οὐ μόνον σημαίνει νῦν τὸ, ὑπὲρ πάντας, ἀλλὰ καὶ τὸ, ἐν πᾶσιν.

3α Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ.

Εὐχαριστείτωσαν. Ὄνομα δὲ νόει, τὸ τῆς θεότητος· *Ἐχαρίσατο γὰρ*, φησὶν, *αὐτῷ*, δηλαδὴ τῷ προσλήμματι, *ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα.* Php 2.9

Ἐξομολογησάσθωσαν δὲ τῷ ὀνόματί σου, μὴ περιεργαζόμενοι τὴν φύσιν ἢ τὸν τρόπον τῆς ἐνανθρωπήσεως.

3β Ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι.

Φοβερὸν μὲν τοῖς ἐχθροῖς, ἐλαῦνον καὶ μαστίζον αὐτοὺς, ἅγιον δὲ τοῖς οἰκείοις, ἁγιάζον καὶ καθαῖρον τούτους.

Ἢ ὄνομα λέγει, τὸ *Ἰησοῦς*· μέγα δὲ τοῦτο, ὡς φοβερὸν καὶ ἅγιον, καθὼς εἴρηται.

4α Καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ.

Τὸ ἀξίωμα τοῦ βασιλέως, δικαιοσύνην ἀγαπᾷ· διὸ βοηθήσει μὲν τοῖς τυραννουμένοις, καταβαλεῖ δὲ τὸν τυραννοῦντα διάβολον. |

4β Σὺ ἡτοίμασας εὐθύτητας.

Σὺ δέδωκας τὸν νόμον, ἐν ᾧ αἱ εὐθύτητες.

4γ Κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας.

Τὸ αὐτὸ λέγει σαφέστερον· σὺ ἐποίησας κατάκρισιν καὶ δικαιοσύνην ἐν τῷ γένει τοῦ Ἰακὼβ, ἐν τοῖς Ἰσραηλίταις, διὰ τοῦ δοθέντος νόμου.

5α Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ὑψηλὰ περὶ αὐτοῦ νοεῖτε. Ὑψοῦτε τοῖς ὕμνοις· ὑψοῦτε τῇ φυλακῇ τῶν ἐντολῶν αὐτοῦ. Εἰ γὰρ διὰ τοὺς ἀθετοῦντας βλασφημεῖται τὸ ὄνομα αὐτοῦ ἐν τοῖς ἔθνεσιν, εὔδηλον ὅτι διὰ τοὺς φυλάσσοντας μεγαλύνεται. Isa 52.5

5β Καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Κατὰ μὲν τὴν θεότητα, ὑποπόδιον τῶν ποδῶν αὐτοῦ, ἡ γῆ· *Ὁ οὐρανός μοι* γὰρ, φησὶ, *θρόνος, ἡ δὲ γῆ, ὑποπόδιον τῶν ποδῶν μου.* Isa 66.1

Κατὰ δὲ τὴν ἀνθρωπότητα, ὑποπόδιον τῶν ποδῶν αὐτοῦ λέγει νῦν, τὸν Γολγοθᾶν, ἐφ' οὗ ἐσταυρώθη, ἢ καὶ τὸν σταυρὸν, *ἐφ' οὗ ἔστησαν οἱ πόδες αὐτοῦ* Ps 131.7
προσηλωθέντος.

5γ Ὅτι ἅγιός ἐστι.

Διὰ τὴν ἁγιάζουσαν θεότητα. Ἅγιος δὲ ὢν, ἡγίασε καὶ τὸ τοιοῦτον ὑποπόδιον.

Ἐπεὶ δὲ ἅγιοι λέγονται καὶ οἱ δίκαιοι, δείκνυσιν ὅσον τὸ τοῦ Χριστοῦ πρὸς αὐτοὺς διάφορον·

6 Μωυσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ, ἐπεκαλοῦντο τὸν Κύριον, καὶ αὐτὸς εἰσήκουεν αὐτῶν.

Οὗτοι σύμπαντες, φησὶν, ὑπηρέται καὶ δοῦλοι αὐτοῦ. Παρέλαβε δὲ τῷ λόγῳ, τὸν Μωυσῆν μὲν, ὡς νομοθέτην, τὸν Ἀαρὼν δὲ, ὡς πρῶτον ἐν ἱερεῦσι, τὸν Σαμουὴλ δὲ, ὡς ἔξαρχον ἐν προφήταις.

Ἢ Μωυσῆν καὶ Ἀαρὼν καὶ Σαμουὴλ ὀνόμασε, πάντας ἁπλῶς τοὺς μιμουμένους τὰς ἀρετὰς αὐτῶν· καὶ γὰρ καὶ ἐν Ἰεζεκιὴλ ὁ Θεὸς εἰπὼν, Ἐὰν ῥομφαίαν

ἐπάξω ἐπὶ τὴν γῆν, καὶ εὑρεθῶσιν ἐπ' αὐτῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ, ἐπὶ τούτους οὐκ ἐλεύσεται ἡ ῥομφαία, οὐκ ἐκείνους αὐτοὺς εἴρηκε — πῶς γὰρ, τοὺς πρὸ Ez 14.14-20
πάνυ πολλῶν ἐτῶν ἀποθανόντας; — ἀλλὰ τοὺς τὴν πολιτείαν αὐτῶν ζηλοῦντας, ὁμωνύμως αὐτοῖς ἐκάλεσεν.

7α Ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς.

Πρὸς τὸν Μωυσῆν καὶ τὸν Ἀαρών. Καὶ μὴν πρὸς τὸν Μωυσῆν ἐλάλει· ἀλλὰ Ex 24.18-25.1
τρόπος ἐστὶν, ὁ λεγόμενος συλληπτικὸς, διὰ τὸ συλλαμβάνειν καὶ ἕτερον. Καὶ ὁ Ἀπόστολος γὰρ, ἀπαριθμησάμενος πάντας τοὺς διὰ πίστεως εὐαρεστήσαντας, εἶτα συλλήβδην ἐπήγαγεν, *Οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας*, καὶ τὰ Heb 11.33
ἑξῆς. Βούλεται δὲ νῦν λέγειν ὁ προφήτης, ὅτι οὗτος ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς.

7β Ὅτι ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ καὶ τὰ προστάγματα αὐτοῦ, ἃ ἔδωκεν αὐτοῖς.

Τούτου γὰρ ἦσαν τὰ μαρτύρια καὶ τὰ προστάγματα τοῦ νόμου, καὶ αὐτὸς αὐτοῖς ἔδωκεν αὐτά.

8α Κύριε ὁ Θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν.

Σὺ ἦσθα ὁ τότε ἐπακούων αὐτῶν.

8β Ὁ Θεὸς, σὺ εὐΐλατος ἐγίνου αὐτοῖς.

Ἱλεουμένοις σε, ὑπὲρ τοῦ παροργίζοντος λαοῦ, ἢ καὶ ὑπὲρ ἑαυτῶν, σφαλλομένων. Μωυσῆς γὰρ παρώξυνε τὸν Θεὸν ἐπὶ τῇ ἀπιστίᾳ τοῦ ὕδατος, Ἀαρὼν Nu 20.12
δὲ ἐπὶ τῇ μοσχοποιΐᾳ. Ex 32.35

8γ Καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν.

Καὶ ἐκδικῶν ὑπῆρχες, ἤγουν βοηθῶν, εἰς πάντα τὰ ἐπιτηδεύματα αὐτῶν, τὰ ὑπὲρ τοῦ λαοῦ, ἢ ἀμυνόμενος εἰς πάντα τὰ ἐπιτηδεύματα τὰ κατ' αὐτῶν.

9α Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ἀνωτέρω περὶ τούτου προείρηται. Ps 98.5α

9β Καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. |

Ὄρος ἅγιον αὐτοῦ, παρ' Ἰουδαίοις μὲν, ἡ ἐπίγειος Σιὼν, παρ' ἡμῖν δὲ, ἡ ἐπουράνιος, περὶ ἧς φησιν ὁ Ἀπόστολος, *Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἰερουσαλὴμ ἐπουρανίῳ·* ἢ ὄρος ἅγιον, ἡ Ἐκκλησία, διὰ τὸ ὕψος τῶν δογμάτων ἢ τῆς πολιτείας. Heb 12.22

Προσκυνεῖτε οὖν, φησὶ, Χριστὸν τὸν Θεὸν ἐν τῇ Ἐκκλησίᾳ.

Ἢ τοίνυν καὶ ἑαυτὸν ἡμῖν συντάττων ὁ προφήτης ταῦτά φησιν, ἢ προσώπῳ τοῦ πληρώματος τῶν πιστῶν τὰ τοιαῦτα διακελεύεται.

99 ϞΘ´

1α Ψαλμὸς τῷ Δαυίδ· εἰς ἐξομολόγησιν.

Καὶ ταύτην οἱ Ἑβδομήκοντα τὴν ἐπιγραφὴν ἐπέθηκαν, ἀπὸ τῶν ἐγκειμένων ῥητῶν διαγνόντες, ὅτι τῷ ἐκ Δαυὶδ Χριστῷ, τῷ *ἀληθῶς ἱκανῷ χειρὶ*, οὗτος ἀνατέθειται, παρακελευόμενος δουλεύειν αὐτῷ καὶ ἐξομολογεῖσθαι. Ps 96.1α

1β Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ.

Εἴρηται τοῦτο καὶ ἐν τῷ ϞΖ´ ψαλμῷ. Ps 97.4α

2α Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ.

Δουλεύσατε τῷ τῆς δουλείας τῶν δαιμόνων ὑμᾶς ἐλευθερώσαντι.

Ἐν εὐφροσύνῃ δὲ, ὅτι τε τοιαύτης ἀπηλλάγητε τυραννίδος καὶ ὅτι τοιοῦτον Δεσπότην ἔχειν κατηξιώθητε.

2β Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.

Γνησίως αὐτῷ λατρεύετε χαίροντες.

3α Γνῶτε ὅτι Κύριος, αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν.

Γνῶτε ἀπό τε τῶν περὶ αὐτοῦ προφητειῶν, ἀπό τε τῶν ἔργων αὐτοῦ, ὅτι ὁ Κύριος Ἰησοῦς, αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν.

3β Αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς.

Εἰ γὰρ καὶ δοκοῦσιν οἱ πατέρες ποιεῖν τὰ τέκνα, ἀλλ' οὖν ὁ Θεὸς ταῦτα ποιεῖ, αὐτὸς μὲν ὢν αἴτιος, οἱ δὲ πατέρες, συναίτιοι, ὡς τῷ ἐξ ἀρχῆς προστάγματι αὐτοῦ διακονοῦντες. Διὰ τοῦτο πολλοὶ πολλὰ θέλοντες παιδοποιεῖν, οὐδ' ὅλως ἰσχύουσιν. Gen 1.28
Ὅθεν καὶ πρὸς τὴν λέγουσαν τῷ ἀνδρὶ, *Δός μοι τέκνον*, δογματικῶς ἐκεῖνος ἀπεκρίνατο, *Μὴ ἀντὶ Θεοῦ σοί εἰμι ἐγὼ, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας;* Gen 30.1-2

2β[2] λατρεύετε MSCBFV : λατρεύσατε P.

3γ Ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ.

Εἴρηται τοῦτο καὶ ἐν τῷ ϟδʹ ψαλμῷ· εἰ δὲ ἐκεῖ λαὸς νομῆς γέγραπται, καὶ πρόβατα χειρὸς, οὐδὲν παρὰ ταῦτα. Ps 94.7α

4α Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις.

Ὥσπερ εἰσιέναι δεῖ πρῶτον εἰς τὰς πύλας, εἶτα εἰς τὰς αὐλὰς, οὕτως ἐξομολογεῖσθαι χρὴ πρῶτον τὰ ἡμαρτημένα, εἶτα ὑμνεῖν τὸν Θεὸν, ἵνα τῇ ἐξομολογήσει καθαρθείσης τῆς γλώσσης, καθαρὸς ὁ ὕμνος προσενεχθείη.

Πύλαι δὲ καὶ αὐλαὶ τοῦ Χριστοῦ, αἱ κατὰ πᾶσαν γῆν ἐκκλησίαι, ὡς οἶκος αὐτοῦ· περὶ τῶν αὐλῶν δὲ καὶ ἐν τῷ πγʹ ψαλμῷ προείρηται. Ps 83.3α

4β Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ.

Τὰ αὐτὰ δοκεῖ λέγειν πάλιν, ἐπιτείνων καὶ κατεπείγων. Ἢ ἐξομολόγησιν ἐνταῦθα νόει, τὴν εὐχαριστίαν· εὐχαριστεῖτε, φησὶ, τηλικαῦτα εὐεργετηθέντες· εὐφημεῖτε τὸ ὄνομα τοῦ Λυτρωτοῦ καὶ Δεσπότου.

5α Ὅτι χρηστὸς Κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Χρηστὸς, ὡς συμπαθής· αἰώνιον δὲ τὸ ἔλεος αὐτοῦ, καὶ οὐ πρόσκαιρον, οἷον τὸ τῶν ἀνθρώπων.

5β Καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

Διηνεκὴς ἡ ἀλήθεια τῶν λόγων αὐτοῦ· ἢ οὐ μόνον ἐν τῇ γενεᾷ τοῦ παλαιοῦ λαοῦ, ἀλλὰ καὶ ἐν τῇ τοῦ νέου.

100 ρʹ

1α Ψαλμὸς τῷ Δαυίδ.

Ὁ μακάριος Ἰωσίας μεγάλας κατώρθωσεν ἀρετὰς ἐν τῷ βασιλεύειν, ἃς 4Rg 22-23
προϊδὼν ὁ Δαυὶδ, τὸν παρόντα ψαλμὸν συνέγραψε, τὸν ἐνάρετον ἐκείνου βίον προσώπῳ αὐτοῦ διηγούμενος, καὶ προτιθεὶς τοῖς ἀνθρώποις ὀρθῆς πολιτείας χαρακτῆρα καὶ παράδειγμα τελειότητος. |

1β Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε.

Ἆισμά σοι προσοίσω, τὸν ἔλεον καὶ τὴν κρίσιν, ᾄδων τὰ περὶ τοῦ ἐλέους σου καὶ τῆς κρίσεως, ὅτι ἐλεεῖς μὲν κατὰ τὴν παροῦσαν ζωὴν, κρίνεις δὲ κατὰ τὴν

μέλλουσαν· ἢ ὅτι οὔτε ὁ ἔλεός σου ἄκριτος, οὔτε ἡ κρίσις σου ἀνέλεος.

Ἐπεὶ δὲ ταῦτα ᾄσομαι, ταῦτα καὶ μιμήσομαι, ἐλεῶν καὶ κρίνων ὀρθῶς.

2α Ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ.

Ὁδεύων ἀμώμως, ψαλῶ καὶ συνήσω· χρὴ γὰρ τὸν ψάλλοντα καὶ συνιέναι τὰ ψαλλόμενα.

Εἴη δ' ἂν τὸ μὲν ὁδεύειν ἀμώμως, τῆς πρακτικῆς, τὸ δὲ ψάλλειν καὶ συνιέναι, τῆς θεωρητικῆς· ἢ διὰ μὲν τοῦ ψάλλειν, τὴν πρακτικὴν ἐνέφηνε, διὰ δὲ τοῦ συνιέναι, τὴν θεωρητικὴν, ἅπερ ἄμφω κατορθοῖ τις ἕνεκεν ὁδοῦ ἀμώμου.

2β Πότε ἥξεις πρός με;

Τὸν διὰ τοῦτο ὁδεύοντα ἀμώμως καὶ ψάλλοντα καὶ συνιέντα, ἢ τὸν διαπύρως ἐπιθυμοῦντα τῆς παρουσίας σου. Εἴρηκε γὰρ ὁ Χριστὸς, *Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.* Jn 14.23

2γ Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.

Ἀνεστρεφόμην ἐν καθαρότητι καρδίας.

3α Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον.

Οὔτε πρὸ τῶν αἰσθητῶν, οὔτε πρὸ τῶν νοητῶν, τουτέστιν, οὐκ ἠνειχόμην οὔτε ὁρᾶν, οὔτε ἐνθυμεῖσθαι παρανομίαν.

3β Ποιοῦντας παραβάσεις ἐμίσησα.

Τοὺς παραβαίνοντας τὸ δίκαιον, εἴτε πρὸς Θεὸν, εἴτε πρὸς ἀνθρώπους.

4α Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή.

Τῷ γὰρ εὐθεῖ, τὸ στρεβλὸν ἀνάρμοστον.

4β Ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον.

Οὐ χρὴ γὰρ τῆς τοῦ πονηροῦ φιλίας ἀντέχεσθαι, ἀλλὰ προσεδρεύοντα μὲν, πειρᾶσθαι βελτιοῦν, ἀναχωροῦντος δὲ, καταφρονεῖν.

Νοεῖται δὲ καὶ περὶ τοῦ διαβόλου, ὅτι μὴ διδοὺς αὐτῷ πάροδον, οὐδ' ἀναχωροῦντος ἐγίνωσκον.

2β[4] τὸν λόγον μου τηρήσει corr. : καὶ τὸν λόγον μου τηρήσῃ MPS[2]F : καὶ τὸν λόγον μου τηρήσει CV : καὶ τὸν λόγον μου τηρεῖ B.

5α Τὸν καταλαλοῦντα λάθρᾳ τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.

Ὡς κακοήθη καὶ ἀνελεύθερον, καὶ κύνα λαθροδήκτην.

Τὸ, λάθρᾳ, δὲ προσέθηκεν, ὅτι ὁ τοῦ παρόντος καταλαλῶν, οὐ τοσοῦτον ἁμαρτάνει· παρὼν γὰρ ἐκεῖνος, ἀπολογήσεται.

5β Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.

Οὐ συνδιητώμην. Ὑπερήφανον δὲ ὀφθαλμὸν λέγει, τὸν ὑπερήφανον ἄνθρωπον, ἀπὸ μέρους τὸ ὅλον, καὶ αὖθις ἄπληστον καρδίαν, τὸν ἀκόρεστον, τὸν πλεονέκτην. Διὸ καὶ τὸ, τούτῳ, προσθεὶς, ἑκάτερον ἐνέφηνεν.

6α Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς τοῦ συγκαθῆσθαι αὐτοὺς μετ᾽ ἐμοῦ.

Τοὺς πιστεύεσθαι ἀξίους διὰ τὴν τῆς πολιτείας αὐτῶν εὐθύτητα.

Ἢ πιστοὺς λέγει νῦν, τοὺς ἀγαθούς· φησὶ γὰρ καὶ Σολομὼν, Ἄνδρα δὲ πιστὸν, ἔργον εὑρεῖν· τὸ γὰρ ἀγαθὸν, σπάνιον. Τούτοις, φησὶ, προσεῖχον, καὶ συνέδροις Prov 20.6
ἐχρώμην.

6β Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.

Ὁ πορευόμενος ἐν ὁδῷ ἀμώμῳ πολιτείας, οὗτός μοι διηκόνει. Προσήκει γὰρ μὴ μόνον φίλοις, ἀλλὰ καὶ ὑπηρέταις ἀγαθοῖς κεχρῆσθαι.

7α Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν.

Ἄνω μὲν, περὶ φίλου ὑπερηφάνου εἴρηκεν, ἐνταῦθα δὲ, περὶ ὑπηρέτου ὑπερηφάνου.

7β Λαλῶν ἄδικα οὐ κατεύθυνεν | ἐνώπιον τῶν ὀφθαλμῶν μου.

Οὐ κατώρθου, ἃ ἐσπούδαζεν· οὐκ εὐωδοῦτο ἐνώπιόν μου.

8α Εἰς τὰς πρωΐας ἀπέκτενον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς.

Εἰς τὰς πρωΐας, μήτε τῆς ἐξ οἴνου μέθης, μήτε τῆς ἐκ θυμοῦ σφαλλούσης τὸν λογισμόν. Τοὺς ἁμαρτωλοὺς δὲ, οὐχὶ πάσης τῆς γῆς, ἀλλὰ μόνης τῆς ὑπ᾽ ἐμέ· καὶ πάντας δὲ, οὐχ ἅμα, ἀλλὰ νῦν μὲν τοῦτον, νῦν δὲ ἐκεῖνον.

8β Τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

8α[2] τῆς ἐξ οἴνου PSCV : ἐξ οἴνου M.

᾿Απέκτενον δὲ αὐτοὺς, χάριν τοῦ ἐξολοθρεῦσαι τοὺς παρανόμους, ἵνα τὴν ἀποτομίαν τῆς κολάσεως ἡ παρανομία βλέπουσα, συσταλῇ καὶ ἀφανισθῇ.

Κατὰ δὲ ἀναγωγὴν, γῆ μὲν, τὸ σῶμα καὶ τὰ σωματικὰ, ὡς γεώδη· ἁμαρτωλοὶ δὲ τῆς τοιαύτης γῆς, οἱ τῆς ἁμαρτίας λογισμοί. Λέγει οὖν ὅτι, ὅτε ἀνέτελλεν ἐν τῇ ψυχῇ μου ὁ ἥλιος τοῦ ἁγίου Πνεύματος — τοῦτο γὰρ πρωΐα νοητὴ — τότε ἀπέκτενον πάντας τοὺς ἐμπαθεῖς λογισμοὺς, τοὺς ἐκ τοῦ γεώδους σώματος καὶ τῶν γηΐνων ἁπλῶς φυομένους. Πόλιν δὲ Κυρίου νόει, τὴν ψυχὴν, ὡς οἶκον τοῦ ἁγίου Πνεύματος.

101 ρα´

1 Προσευχὴ τῷ πτωχῷ·

ὅταν ἀκηδιάσῃ καὶ ἐνώπιον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.

Πτωχὸν ἐνταῦθα λέγει, τὸν δεόμενον τῆς θείας ἐπικουρίας. Τούτῳ, φησὶν, ἁρμόζει ἡ προσευχὴ τοῦ παρόντος ψαλμοῦ, ὅταν ἀκηδιάσῃ πολεμούμενος ὑπὸ τῶν ἐχθρῶν, εἴτε ὁρατῶν, εἴτε ἀοράτων, καὶ προσφέρῃ τὴν δέησιν αὐτοῦ ἐνώπιον τοῦ Θεοῦ. *᾿Εκχεῶ γὰρ*, φησὶν, *ἐνώπιον αὐτοῦ τὴν δέησίν μου*, ὅπερ ἐφερμηνεύων, ἐπήγαγε, *τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.* Ps 141.3

Προηγουμένως δὲ εἰς ἑαυτὸν ἔγραψε τὸν ψαλμὸν, διωκόμενον καὶ ἀκηδιῶντα καὶ δεόμενον τοῦ Θεοῦ.

῎Εχει δὲ καὶ περὶ Χριστοῦ προφητείας ἐνεσπαρμένας.

2 Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Προσευχὴν μὲν λέγει, τοῦ στόματος, κραυγὴν δὲ, τῆς καρδίας. ῾Ο δὲ Σύμμαχος ἀντὶ κραυγῆς, *οἰμωγὴν*, ἐξέδωκεν.

῎Ερχεται δὲ εἰς Θεὸν ἡ τοιαύτη κραυγὴ, ὅταν ἀκουστὴ γένηται. Γίνεται δὲ ἀκουστὴ, ὅταν ἀρέσκῃ Θεῷ.

3α Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ.

Μὴ ἀποστραφῇς με ὡς ἀνάξιον, ὅπερ εἰώθασι ποιεῖν οἱ μὴ θέλοντες ἀκούειν τοῦ ἱκετεύοντος.

3β ᾿Εν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Μὴ νῦν μόνον, ἀλλὰ παρ᾿ ὅλην ζωήν. Περὶ δὲ τῆς κλίσεως τοῦ θείου ὠτὸς εἴρηται ἐν τῷ ις´ ψαλμῷ, ἔνθα τὸ, *Κλῖνον τὸ οὖς σου ἐμοὶ, καὶ εἰσάκουσον τῶν ῥημάτων μου.* Ps 16.6β

4α Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου.

Ταχὺ, φησὶν, ἐπάκουσόν μου, ὅτι ἐκλείπει ἤδη ἡ ψυχή μου. Καὶ ἀλλαχοῦ δὲ, ὁμοίως λέγει, *Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.* Ps 142.7
Ἐξέλιπον, φησὶν, ὡσεὶ καπνὸς αἱ ἡμέραι μου· διῆλθον, ἠφανίσθησαν δίκην καπνοῦ τὰ ἔτη τῆς ζωῆς μου.

4β Καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

Ἀντὶ φρυγίου, δαλὸν, ὁ Σύμμαχος ἐξέδωκε· καὶ αὐτὰ τὰ ὀστᾶ μου, ὡς δαλὸς συνεφρύγησαν, φλεγόμενα τῷ πυρὶ τῶν πειρασμῶν.
Κατὰ δὲ ἀναγωγὴν, ὀστᾶ, οἱ στερεοῦντες καὶ ἀνέχοντες τὴν ψυχὴν λογισμοὶ, οἳ καὶ αὐτοὶ πυρποληθέντες, εὔθραυστοι γεγόνασιν.

5α Ἐπλήγην ὡσεὶ χόρτος καὶ ἐξηράνθη ἡ καρδία μου.

Ὥσπερ ὁ χόρτος πληγεὶς μαραίνεται, οὕτω κἀγὼ πληγεὶς τοῖς | πάθεσιν, ἐμαράνθην τὴν καρδίαν, μὴ τυχὼν παρακλήσεως, δροσιζούσης καὶ μαραινούσης τὴν φλόγα τούτων.

5β Ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.

Ἀπέβαλον καὶ τὴν ὄρεξιν τῆς τροφῆς, ὑπ' ἀθυμίας. Οἱ παλαιοὶ γὰρ τὴν μὲν ὄρεξιν, μνήμην τροφῆς καλοῦσι, τὴν δὲ ἀνορεξίαν, λήθην τροφῆς.

6 Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.

Ὁ γὰρ ἀληθὴς στεναγμὸς τήκει πᾶσαν πιμελὴν μεσάζουσαν ὀστῷ καὶ σαρκί. Τινὲς δὲ, σάρκα νῦν, τὸ δέρμα νοοῦσιν, ὡς τῶν ὀστῶν τῷ δέρματι κολληθέντων, ἀναλωθέντων ὑπὸ λύπης τῶν μεσαζόντων κρεῶν.

7α Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ.

Φεύγων τὰς ἐν ὄχλῳ διατριβὰς, καὶ ζητῶν τὴν μόνωσιν· φιλέρημον γὰρ ζῷον, ὁ πελεκάν.

7β Ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.

Καὶ τοῦτο πάλιν τὸ ζῷον, δειλὸν, διὸ φεύγον πανταχόθεν, τοῖς ἐρειπίοις τῶν οἰκημάτων ἐναυλίζεται. Κἀγὼ, φησὶ, ταῖς ἐρημικαῖς καλύβαις ἐνδιαιτῶμαι.
Ἢ καὶ ἄλλως, φασὶ τοῦτο, τοῖς οἰκοπέδοις ἐνδιαιτώμενον, ἐν νυκτὶ κράζειν ὑπὸ

δειλίας, διὸ καὶ νυκτικόρακα ὀνομάζεσθαι, παρὰ τὸ ἐν νυκτὶ κράζειν. Οὕτως οὖν, φησὶ, κἀγὼ ἐν νυκτὶ κράζω πρὸς σὲ τὸν Θεὸν, τὴν ἐπίθεσιν δειλιῶν τῶν πολεμίων.

8 Ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος.

Καὶ τοῦτο γὰρ ὁμοίως ὑπὸ δειλίας ἀγρυπνεῖ καὶ μονάζει ἐπὶ δώματός τινος, εἴτουν μόνον μένει. Δῶμα δὲ, τὴν στέγην νοήσεις.

9α Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου.

Ὠνείδιζόν μοι δειλίαν καὶ ταλαιπωρίαν οἱ διώκοντές με.

9β Καὶ οἱ ἐπαινοῦντές με κατ᾽ ἐμοῦ ὤμνυον.

Καὶ οἱ ἐπαινοῦντές με πρότερον, οἱ θαυμάζοντες τὰ ἐμὰ, καὶ οὗτοι κατ᾽ ἐμοῦ ὤμνυον ὅρκους ἐπιβουλῆς· ἢ ὅρκον τὰς ἐμὰς ἐποιοῦντο συμφορὰς, οἷον, Μὴ πάθοιμεν ὡς ὁ δεῖνα, μὴ γενοίμεθα ὡς ἐκεῖνος.

10 Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.

Εἴποτε τροφῆς ἐμνήσθην, σποδὸν ἔπαττον ἐπὶ τὸν ἄρτον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων· οὕτω γὰρ ἐποίουν οἱ ἐν ὑπερβολῇ συμφορῶν, μηδ᾽ αὐτὴν ἄλυπον τὴν τροφὴν προσφέρεσθαι ἀνεχόμενοι.

Ἢ σποδὸν μὲν ἀντὶ ἄρτου ἔφαγον· ποτὸν δὲ ἐν κλαυθμῷ ἐκίρνων, ἤγουν δάκρυα ἐκίρνων ἀντὶ ποτοῦ. Ἐγίνετο δὲ τοῦτο πῶς, ὅτε πάντες τροφῆς μεταλαμβάνοντες ἱλαρύνοντο; Τότε αὐτὸς ἐπὶ πρόσωπον καὶ στόμα κείμενος καὶ πενθῶν, ἔσπα μὲν κόνιν, τῇ ὁλκῇ τοῦ πνεύματος συνεισπίπτουσαν, ἐφύρετο δὲ τοῖς δάκρυσι.

Διὰ μέντοι τῶν ῥημάτων τούτων, τὴν ὀδυνηρὰν αὐτοῦ ζωὴν ἐνέφηνεν.

Εἴρηται δὲ πολλάκις, ὅτι τὸ, ὅτι, ποτὲ μὲν αἰτιολογικόν ἐστι, ποτὲ δὲ βεβαιωτικὸν, ποτὲ δὲ παρέλκον ἢ διηγηματικὸν, ὡς καὶ νῦν.

11α Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου.

Ταῦτά μοι συνέβησαν ἀπὸ τῆς ὀργῆς σου, ὅτι ὠργίσθης μοι· ὠργίσθης μοι δὲ, ὅτι παρεπίκρανά σε ἁμαρτήσας. Πρόσωπον δὲ ὀργῆς, ἡ ὀργὴ περιφραστικῶς.

11β Ὅτι ἐπάρας κατέῤῥαξάς με.

Ὑψώσας με πρότερον, ὅτε καλῶς εἶχον, ὕστερον κατέῤῥαξάς με, παραχωρήσας καταπεσεῖν με.

Ὅμοιον δέ ἐστι τοῦτο, τῷ, Ὑψωθεὶς δὲ ἐταπεινώθην. | Ps 87.16

9β Add. [MP in marg.]BV: Τοῦτο, τινὲς ὡς ἀπὸ τοῦ Χριστοῦ περὶ τοῦ Πέτρου προῤῥηθῆναι νενοήκασι, ὀμόσαντος ὕστερον, ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον [Mt 26.72]. : om. SCF. 10[8] ἔσπα PCBF : ἔσπαν MS.

12α Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν.

Ταχέως παρῆλθον· καὶ ἀλλαχοῦ δέ φησιν, Ἄνθρωπος ματαιότητι ὡμοιώθη· αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι. Ταχέως γὰρ ἡ σκιὰ ἀφανίζεται. Ps 143.4

12β Κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.

Εἴρηκε ταῦτα καὶ ἀνωτέρω. Ἀλλ' ἐκεῖ μὲν, τὴν καρδίαν ἑαυτοῦ ξηρανθῆναι Ps 101.5α
εἶπεν, ἐνταῦθα δὲ, ὅλον ἑαυτὸν ὑπὸ τηκεδόνος μαρανθέντα.

13α Σὺ δὲ, Κύριε, εἰς τὸν αἰῶνα μένεις.

Τὰ μὲν κατ' ἐμὲ, ἤτοι τὰ ἀνθρώπινα, τοιαῦτα, εὐμετάβολα καὶ ἀνώμαλα· σὺ δὲ, Κύριε, ἀΐδιος καὶ ἀναλλοίωτος εἶ.

13β Καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.

Ἀΐδιον· ἢ εἴς τε τὴν τοῦ παλαιοῦ λαοῦ, καὶ εἰς τὴν τοῦ νέου.

14α Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών.

Κατὰ μὲν τὸ πρόχειρον, περὶ τῆς αἰσθητῆς Ἰερουσαλὴμ ἡ προφητεία νοεῖται,
ὅτι, πληρωθέντος τοῦ ὁρισθέντος τῇ αἰχμαλωσίᾳ καιροῦ, οἰκτειρήσει τὴν Σιὼν ὁ Jer 25.12
Θεὸς, ὅτι ἥκει καιρὸς ἐπισκοπῆς, προφητευθεὶς καὶ αὐτὸς, καὶ τὰ ἑξῆς, ἀκολούθως Jer 10.15
τῷ σκοπῷ.

Κατὰ δὲ τὸ βαθύτερον, περὶ τῆς νέας Σιὼν, ἤγουν τῆς Ἐκκλησίας τῶν πιστῶν, ἡ προφητεία, ὅτι, ἀναστὰς ἐκ τῶν νεκρῶν, οἰκτειρήσεις τὴν Ἐκκλησίαν τῶν ἀποστόλων, καὶ ἀντιλήψῃ αὐτῆς.

14β Ὅτι καιρὸς τοῦ οἰκτιρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός.

Καιρὸς ἀπαιτῶν ἀντίληψιν, διὰ τὸ πάντας συνεπιτίθεσθαι καὶ πολεμεῖν αὐτῇ.

15 Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσιν.

Ὅτι οἱ ἀπόστολοι ἡτοίμασαν τοὺς λίθους τῆς οἰκοδομῆς αὐτῆς, τοὺς στερεωτέρους καὶ δοκιμωτέρους εἰς εὐσέβειαν καὶ ἀρετὴν, ὧν ἡ συμφυΐα καὶ πρὸς ἀλλήλους ἁρμογὴ τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας ἀπεργάζεται· ἀλλὰ καὶ τὸν χοῦν αὐτῆς ἀξιώσουσιν ἐπιμελείας, ἤτοι τοὺς ἀσθενεστέρους καὶ χοϊκώτερον ζῶντας ἐν αὐτῇ.

12β3 μαρανθέντα MPS(C)F : μαρανθῆναι V.

16α Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα Κυρίου.

Τοῦ Χριστοῦ, διὰ τὰ τελούμενα σημεῖα καὶ τέρατα ἐκ μόνης τῆς ἐπικλήσεως αὐτοῦ.

16β Καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου.

Τὴν ἀπὸ τῆς δυνάμεως δόξαν σου. Νοοῦνται δὲ καὶ ἔθνη μὲν, οἱ ἐξ ἐθνῶν πεπιστευκότες, βασιλεῖς δὲ, οἱ καὶ αὐτοὶ πιστεύσαντες.

17α Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών.

Ὄντως οἰκοδομήσει συστήσεται.

17β Καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.

Ὀφθήσεται αὖθις ἐν τῇ ἐνδόξῳ παρουσίᾳ αὐτοῦ, ὅτε ἥξει *μετὰ δυνάμεως καὶ δόξης πολλῆς*, ὡς αὐτὸς εἴρηκεν ἐν τοῖς Εὐαγγελίοις. Lk 21.27

18α Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν.

Τῶν ταπεινοφρόνων.

18β Καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.

Οὐ παρεῖδεν, οὐκ ἀπώσατο.

19α Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν.

Ἀφορισθήτω αὕτη ἡ προσευχὴ — ἤγουν ὁ παρὼν ψαλμὸς, ᾧ ἐπιγέγραπται, *Προσευχὴ τῷ πτωχῷ* — ἀφορισθήτω, παραδοθήτω, φησὶν, εἰς γενεὰν ἑτέραν, εἴτουν τὴν τοῦ νέου λαοῦ, ἐπειδὴ ταῖς ἐγκειμέναις περὶ Χριστοῦ προφητείαις ὁ παλαιὸς οὐκ ἐπίστευσε.

19β Καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.

Τὸν Χριστόν. Λαὸς δὲ κτιζόμενος, ὁ νέος, περὶ οὗ φησι Παῦλος, *Εἴτις ἐν Χριστῷ, καινὴ κτίσις*. 2Cor 5.17
Οὐκ εἶπε δὲ, ὁ κτισθεὶς, ἀλλ' ὁ κτιζόμενος, διὰ τὴν ἄχρι συντελείας ἐπίδοσιν τῶν πιστευόντων. Κτίσιν δὲ νόει, μὴ οὐσίωσιν, ἀλλὰ μεταβολὴν ἐπὶ τὸ κρεῖττον.

17α[2] οἰκοδομήσει συστήσεται P : οἰκοδομήσει, συστήσει MS[2]CBF.

20α Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ.

Ἐξέκυψεν, ἄνω μείνας, καὶ κάτω φανείς· ἴδιον γὰρ τῶν ἐκκυπτόντων, ἄνω μένειν, καὶ τοῖς κάτω φαίνεσθαι. Ἐφάνη δὲ διὰ τῆς ἐνανθρωπήσεως.

Ὕψος δὲ ἅγιον, ὁ οὐρανὸς, ἢ τὸ ὕψος τῆς θεότητος.

20β Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψεν.

Ἐξ οὐρανοῦ ἐπὶ | τὴν γῆν κατῆλθε· διὰ τῆς ἐπισκοπῆς γὰρ, τὴν παρουσίαν αὐτοῦ ἐνέφηνε.

21α Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων.

Χάριν τοῦ ἐπακοῦσαι τοῦ στεναγμοῦ, τοῦ ὑπὲρ τῶν πεπεδημένων ταῖς σειραῖς τῶν ἁμαρτημάτων, ὃν ἐστέναζον ὑπὲρ ἐκείνων οἱ δίκαιοι. Prov 5.22

21β Τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

Καὶ τοῦ λῦσαι τοῦ δεσμοῦ τῆς ἁμαρτίας, ἢ τῆς δουλείας τῶν δαιμόνων, τοὺς υἱοὺς τῶν ἀπολωλότων ἐν ἁμαρτίαις.

22α Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου.

Τὸ Πατρικόν· ὅτι ἔστι Πατὴρ Υἱοῦ γνησίου, περὶ οὗ καὶ αὐτὸς εἴρηκεν, *Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις.* Jn 17.6

22β Καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἰερουσαλήμ.

Καὶ τὴν τιμὴν αὐτοῦ, ἥτις ἦν αὐτὸ δὴ τὸ ὄνομα.

Ἢ καὶ ἄλλως, αἴνεσιν, ἣν ᾔνει τὸν Πατέρα συνεχῶς, αὐτῷ πάντα ἀνατιθεὶς, καὶ παρ᾽ ἐκείνου λέγων ἀποσταλῆναι· εἶτα λέγει καὶ πότε τοῦτο ἐποίει. Jn 5.36

23 Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ.

Ὅτε δηλονότι συνήγοντο πρὸς αὐτὸν οἱ λαοὶ καὶ οἱ βασιλεῖς, ἐπὶ τῷ πιστεύσαντας δουλεῦσαι αὐτῷ, Κυρίῳ ὄντι κατὰ τὴν θεότητα· *Ἐν μέσῳ* γὰρ, φησὶν, *Ἐκκλησίας ὑμνήσω σε.* Ps 21.23

Βασιλεῖς δὲ νῦν λέγει, τοὺς ἀποστόλους, οὐ μόνον ὡς βασιλεύσαντας τῶν παθῶν καὶ κυριεύσαντας τῶν δαιμόνων, ἀλλὰ καὶ ὡς τιμηθέντας ὕστερον ὑπὸ πάσης τῆς οἰκουμένης καὶ ὑπὲρ βασιλεῖς καὶ ὑπὸ βασιλέων αὐτῶν, περὶ ὧν καὶ ἐν τῷ μδʹ ψαλμῷ εἴρηται, *Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.* Ps 44.17β

22β[3] πάντα MS[2]CBFV : τὰ πάντα P.

Συμπεράνας δὲ τὴν προφητείαν ταύτην, ἔχεται πάλιν τῆς προτέρας ἀκολουθίας.

24α Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ.

Ἐλάλησε πρὸς αὐτὸν, πρὸς ὃν ἡ προσευχὴ τοῦ παρόντος ψαλμοῦ, ὁ πτωχὸς, ὁ ἀκηδιάσας, ὡς ἀνωτέρω δεδήλωται. Ps 101.1

Ἀπόκρισιν γὰρ νῦν, τὸν ἁπλῶς λόγον, τὸν χωρὶς ἐρωτήσεως ὑποληπτέον· ἔστι γάρ τι καὶ τοιοῦτον εἶδος ἐν ταῖς σημασίαις τῆς ἀποκρίσεως.

Ὁδὸν δὲ ἰσχύος νόει, τὸν καιρὸν ἐν ᾧ ἔτι δύναται, καὶ οὔπω τέλεον ἐξησθένησεν, οὔπω κατεβλήθη παντελῶς ὑπὸ τῆς ἀκηδίας.

24β Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.

Ὅμοιον τοῦτο τοῖς ῥηθεῖσιν ἐν τῷ λη´ ψαλμῷ, *Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν, ἵνα γνῶ, τί ὑστερῶ ἐγώ.* Ps 38.5

Βλέπων, φησὶν, ἐμαυτὸν ἀτονοῦντα καὶ βαρυνόμενον, ὑπολαμβάνω καιρὸν ὀλίγον ὑπολελεῖφθαί μοι ζωῆς, ὃν γνωρισθῆναί μοι παρακαλῶ, ἵνα συντονωτέραν θήσω τὴν ἐπιμέλειαν τῆς ψυχῆς.

25α Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου.

Ἀναγωγὴν ἐνταῦθα λέγει, τὴν ἐκδημίαν τῆς ψυχῆς, ἀναγομένης διὰ τοῦ ἀέρος, [ἢ ἀναγομένης τοῦ σώματος].

Ἡμίσειαν δὲ ἡμερῶν, τὸ ἀτελὲς, ἤτοι τὸ ἀκαρποφόρητον τῶν ἡμερῶν τῶν ἀποκεκληρωμένων αὐτῷ εἰς καρποφορίαν· διὰ τοῦτο γὰρ ἡμέραι ζωῆς ἀποκληροῦνται τοῖς ἀνθρώποις, ἵνα καρποφορῶσιν.

Εὔχεται οὖν, μὴ ἐν τῷ ἀκαρποφορήτῳ τῶν ἡμερῶν τῆς ζωῆς ἀποθανεῖν, ἀλλ' ἔτι ζῆν ἄχρι καρποφορήσει. Ἢ καὶ διὰ τὸ εἰρημένον ἐν τῷ νδ´ ψαλμῷ, ὅτι, *Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν*, οὗ τὴν ἐξήγησιν Ps 54.24
ζητήσας, ἀνάγνωθι.

25β Ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.

Γενεὰ γενεῶν, τὸ, ἀεὶ, δηλοῖ παρ' Ἑβραίοις.

Παραπλέκει δὲ τῇ προσευχῇ καὶ δόγματα· Σὺ δὲ, φησὶν, ἀΐδιος εἶ καὶ αἰώνιος, καὶ ὑπεραιώνιος κατὰ τὴν θεότητα.

26α Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας.

Ἥδρασας, ἐποίησας.

25α3 *ἢ ἀναγομένης τοῦ σώματος* [P in marg.]C(S2)FBV : om. M.

26β *Καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί.* |

Τῆς ἐνεργητικῆς σου δυνάμεως.

Οὐρανοὶ δὲ, ὁ πρῶτος καὶ τὸ στερέωμα· *Ἐν ἀρχῇ γὰρ, φησὶν, ἐποίησεν ὁ Θεὸς* Gen 1.1
τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ αὖθις, *Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν.* Gen 1.8

27α *Αὐτοὶ ἀπολοῦνται.*

Ἀλλοιούμενοι, ὡς ποιήματα.

27β *Σὺ δὲ διαμένεις.*

Ἀναλλοίωτος, ὡς ποιητής.

27γ *Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται.*

Πάντες, εἴτουν ἀμφότεροι, ἢ καὶ ἡ γῆ μετ᾽ αὐτῶν, τῇ συνεχεστέρᾳ χρήσει καὶ τῷ χρόνῳ παλαιωθήσονται, δίκην ἱματίου ταύτῃ παλαιουμένου.

27δ *Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται.*

Ἑλίξεις, συστελεῖς — οὕτως εὐχερῶς, ὡς ἑλίσσει τις περιβόλαιον· διὰ τούτου δὲ τὸ μεγαλοδύναμον καὶ πανσθενὲς τοῦ Χριστοῦ ἐμφαίνει.

Ὅπερ δὲ εἶπεν ἀνωτέρω, ἀπολοῦνται, τοῦτο νῦν, ἀλλαγήσονται, φησὶν,
ἐφερμηνεύων αὐτὸ, καὶ δηλῶν, ὅτι καὶ αὐτοὶ πρὸς ἀφθαρσίαν ἀλλαγήσονται, 1Cor 15.52
ἀνακαινιζόμενοι. Φησὶ δὲ ὁ Ἀπόστολος, ὅτι *Παράγει τὸ σχῆμα τοῦ κόσμου* 1Cor 7.31
τούτου, καὶ ὁ Ἡσαΐας, ὅτι *Ἑλιγήσεται ὁ οὐρανὸς ὡς βιβλίον.* Isa 34.4

Ἄλλοι δὲ ἑρμηνεύουσιν, ὅτι ὥσπερ τὸ περιβόλαιον πληρῶσαν τὴν ἀποτεταγμένην χρείαν ἑλίσσεται, οὕτω καὶ ὁ οὐρανὸς, κρείττονος δὲ χρείας γινομένης, εἰς τὸ κρεῖττον ἀλλαγήσεται καὶ αὐτός.

28α *Σὺ δὲ ὁ αὐτὸς εἶ.*

Ἄτρεπτος, ἀμετάβλητος.

28β *Καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.*

Ὥσπερ γὰρ εἶ ἄναρχος κατὰ τὴν θεότητα, οὕτω καὶ ἀτελεύτητος. Ἔτη δὲ ἐπὶ Θεοῦ, τὴν παράτασιν τοῦ εἶναι νοητέον.

29α *Υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι.*

27δ[6] φησὶ δέ MS[2]CBF : φησὶ γάρ PV. 27δ[10] ἀλλαγήσεται BV : ἀλάσσεται MPS[2] : ἀλλάσσεται F : ἐλάσσεται C.

Τῶν δούλων σου, περὶ ὧν ἀνωτέρω εἴρηκεν, ὅτι *Εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς*· υἱοὶ δὲ τῶν ἀποστόλων, οὓς ἐκεῖνοι διὰ τοῦ Εὐαγγελίου ἐγέννησαν· Ps 101.15
υἱοὶ, κατὰ παίδευσιν καὶ ὁμοίωσιν δογμάτων καὶ πολιτείας.

Οὗτοι οὖν, φησὶ, κατασκηνώσουσιν ἐν τῇ οἰκτειρηθησομένῃ παρὰ σοῦ Σιὼν, εἴτουν ἐν τῇ Ἐκκλησίᾳ.

29β Καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

Αὐτῶν τῶν δούλων σου, ἢ τῶν υἱῶν τῶν δούλων σου. Σπέρμα δὲ πάλιν, οὐ τὸ κατὰ σάρκα, ἀλλὰ τὸ κατὰ διαδοχὴν καὶ κληρονομίαν εὐσεβείας καὶ ἀρετῆς. Τοῦτο τοιγαροῦν αἰωνίως κατευθυνθήσεται εὐοδούμενον. *Πύλαι γὰρ*, φησὶν, *ᾅδου οὐ κατισχύσουσιν αὐτῆς*. Mt 16.18

102

ρβ´

1α

Ψαλμὸς τῷ Δαυίδ.

Εὐχαριστήριος οὗτος, καὶ ἀπὸ τοῦ προοιμίου γνώριμος.

1β Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Εὐχαρίστει, ὕμνει, δοξολόγει τὸν τοσαῦτα καὶ τηλικαῦτά με εὐεργετήσαντα.

1γ Καὶ πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ἐντὸς λέγει, τὰς τῆς ψυχῆς δυνάμεις, τὰς ἐνθυμήσεις, τοὺς λογισμοὺς, ἢ μετὰ τούτων, καὶ πάντα τὰ ἐν ἑαυτῷ μέρη καὶ μέλη.

Πάντα γὰρ ἑαυτὸν καθ᾽ ὁλόκληρον προτρέπεται εὐλογεῖν τὸν Κύριον καὶ τὸ ὄνομα αὐτοῦ, τὸ ἁγιάζον τοὺς ἀξίως εὐλογοῦντας αὐτό.

2α Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Ἐπίτασις προτροπῆς, ἡ παλιλλογία.

2β Καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ἀνταποδόσεις, τὰς εὐεργεσίας ὠνόμασεν· οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἐξέδωκε. Λαβόντες γὰρ καλὰ, ἀπεδώκαμεν πονηρὰ διὰ τῆς παρακοῆς· αὐτὸς δὲ ἀνταπέδωκεν αὖθις ἀγαθά. Εἶτα καταλέγει τὰς ἀνταποδόσεις ἐφεξῆς.

3α Τὸν εὐϊλατεύοντα πάσαις ταῖς ἀνομίαις σου.

Τὸν ἵλεων ἑκάστῃ τούτων γινόμενον, ὅταν ἐφ' ἑκάστῃ μετανοήσῃς.

3β Τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τάς τε ψυχικὰς καὶ σωματικάς, ὅτε θερμῶς ὑπὲρ αὐτῶν ἱκετεύσεις.

4α Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου. |

Ἐκ κινδύνου ψυχικοῦ καὶ σωματικοῦ· ἢ τὸν τὴν ἄφθαρτον ζωήν σοι δωρούμενον ἐν τῇ ἀναστάσει.

4β Τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν δρόμον τετελεκυῖαν καὶ τὴν πίστιν τετηρηκυῖαν· ἐν ἐλέει δὲ καὶ οἰκτιρμοῖς, 2Tim 4.7
ὅτι οὐδεὶς ἐξ ἔργων δικαιοῦται. Ἐὰν γὰρ ἀνομίας, φησὶ, παρατηρήσῃ, Κύριε, Rom 3.20
Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι, καὶ αὖθις, *Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ*. Παραμιγνὺς γὰρ ταῖς ἀγαθοεργίαις ἑκάστου τὸν Ps 129.3-4
οἰκεῖον ἔλεον καὶ τὴν φιλανθρωπίαν, τὸ ἐλλεῖπον ἀναπληροῖ.

5α Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου τὴν ἐν ἀγαθοῖς, τουτέστι, τὸν κορεννύοντά σε ἀγαθῶν, πεινῶσαν ἀγαθῶν.

Τινὲς δὲ ἐπιθυμίαν ἐνταῦθα, τὴν τῆς θεώσεως ἐνόησαν, ἧς ἐπιθυμήσας ὁ
Ἀδὰμ, ἐσπούδασεν ἐμπλῆσαι τὴν τοιαύτην ἐπιθυμίαν ἐν κακοῖς, διὰ παρακοῆς· Gen 3.5
σοῦ δὲ ἐμπιπλᾷ τὴν ἐπιθυμίαν ταύτην ὁ Θεὸς ἐν ἀγαθοῖς, δι' ὑπακοῆς. Php 2.8

Τούτων πασῶν ὁμοῦ τῶν εὐεργεσιῶν, ὦ ψυχὴ, διὰ παντὸς μιμνησκομένη, εὐλόγει τὸν τοσαῦτά σε εὐεργετοῦντα.

5β Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Τὸ ἐκ τῶν παθῶν γῆρας, καὶ τὴν ἐντεῦθεν ἀσθένειαν ἀποῤῥιπτούσης, ὡς ἐκεῖνος τὸ ἐκ τῶν πτερῶν, καὶ διὰ μετανοίας ἀνανεουμένης, ὡς ἐκεῖνος διὰ παλιμφυΐας πτερῶν.

6α Ποιῶν ἐλεημοσύνας ὁ Κύριος.

Λείπει τὸ, ἔστι.

6β Καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.

4β[3] παρατηρήσῃ MSCF : παρατηρήσῃς PBV.

Κρίμα ἐκδικήσεως.

7α Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ.

Διὰ τοῦ ὑπαγορευθέντος αὐτῷ νόμου. Ὁδοὺς δὲ λέγει, τὰ θελήματα αὐτοῦ· εἴρηται δὲ περὶ τούτων ἀκριβέστερον ἐν τῷ κδ´ ψαλμῷ, ἔνθα τὸ, *Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι.* Ps 24.4

7β Τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Προηγουμένως μὲν τῷ Μωυσῇ, δι᾿ αὐτοῦ δὲ καὶ παντὶ τῷ λαῷ. Ex 24.3

8 Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

Ταῦτα ἡρμηνεύθησαν ἐν τῷ πε´ ψαλμῷ, ἔνθα τὸ, *Καὶ σὺ, Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων*, καὶ τὰ ἑξῆς. Ps 85.15

9α Οὐκ εἰς τέλος ὀργισθήσεται.

Εὐδιάλλακτος ὢν τοῖς μετανοοῦσιν.

9β Οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Τὸ αὐτὸ λέγει σαφέστερον.

10 Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὡς ἀνεξίκακος καὶ πολυέλεος· τὸν αὐτὸν δὲ περὶ τοῦ ἐλέους λόγον διαφόρως ἀνακυκλεῖ, θέλων ἐπιδεῖξαι τὴν ὑπερβολὴν τῆς τοῦ Θεοῦ φιλανθρωπίας.

11 Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Ὅσον τὸ διάστημα τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, τοσοῦτον τὸ ἔλεος αὐτοῦ ἐστήριξεν ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τουτέστιν, ἄμετρον καὶ ἀνείκαστον· οὐχ εὗρε δὲ τούτου μεῖζον διάστημα αἰσθητὸν, ἵνα τούτῳ πρὸς παράδειγμα χρήσηται.

12 Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾿ ἡμῶν τὰς ἀνομίας ἡμῶν.

11[5] τούτῳ PCBV : τοῦτο MSF.

Φοβουμένων αὐτὸν δηλονότι· οὗ γὰρ φόβος, ἐντολῶν τήρησις. PG36.344A

13 Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν.

Οἰκτείρει πατὴρ υἱοὺς, προνοούμενος, πλημμελούντων ἀνεχόμενος, νουθετῶν, παρακαλῶν, ἀπειλῶν, μακροθυμῶν, μαστίζων, θεραπεύων, καὶ πάντα πρὸς παίδευσιν αὐτῶν καὶ σωτηρίαν πραγματευόμενος.

14α Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν. |

Εἰκότως ἀνέχεται καὶ φιλανθρωπεύεται· καὶ γὰρ οἶδε τὸ καθ' ἡμᾶς πλάσμα, ὅτι ἀσθενές.

14β Ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Ἐφερμηνευτικὸν τοῦτο τοῦ προῤῥηθέντος. Ἐμνήσθη, φησὶν, ὅτι ἀπὸ χοὸς ἐπλάσθημεν, αὐτόθεν ἀσθενοῦς. Ἔγνω δὲ καὶ ἐμνήσθη, ἀντὶ τοῦ, οἶδεν· ἰδίωμα Gen 2.7 δὲ καὶ τοῦτο τῆς Ἑβραΐδος διαλέκτου.

15α Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ.

Εὐμάραντοι καὶ πρόσκαιροι. Ἡμέρας δὲ λέγει, τὴν ζωήν. Εἰ δὲ ὁ Σολομὼν λέγει, *Μέγα ἄνθρωπος καὶ τίμιον ἀνὴρ*, μὴ θορυβηθῇς. Ἐπεὶ γὰρ διπλῆν ἔχει Prov 20.6 τὴν κατασκευὴν ὁ ἄνθρωπος, τὴν μὲν ἐξ εὐτελοῦς χοὸς, τὴν δὲ ἐκ ζωοποιοῦ ἐμφυσήματος, ἐξουδενοῦται μὲν διὰ τὸ τοῦ σώματος ἐπίκηρον, μεγαλύνεται δὲ Gen 2.7 διὰ τὸ ἀθάνατον τῆς ψυχῆς· καὶ ἀτιμάζεται μὲν διὰ τὸ ἐπίνοσον καὶ μοχθηρὸν, τιμᾶται δὲ διὰ τὰς ἀρετὰς καὶ τὰ κατορθώματα· καὶ ὅτι φυλάττων μὲν, εἰκών ἐστι Θεοῦ, καὶ βασιλείας οὐρανῶν κληρονόμος, παραβαίνων δὲ, δοῦλος ἁμαρτίας, καὶ βασάνοις ὑπεύθυνος.

15β Ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

Νῦν μὲν ὡραῖος ὢν, ὕστερον δὲ μαραινόμενος καὶ φθειρόμενος κατὰ τὴν διάζευξιν.

16α Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ.

Πᾶν γὰρ τὸ σπῶν ἀέρα διαυλωνίζοντα, φθαρτόν ἐστιν· ἢ πνεῦμα, τὴν ψυχὴν ὑποληπτέον, διϊκνουμένην ὅλου τοῦ σώματος, καὶ κατὰ τὸν ὡρισμένον καιρὸν ἐξερχομένην.

16β Καὶ οὐχ ὑπάρξει.

Κατὰ τὸν παρόντα βίον, ἀποθνήσκων ὁ ἄνθρωπος.

16γ Καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Πρὸς ἑτέραν κατοικίαν μεταναστεύων· ἀλλ' οὐδὲ τὸ πνεῦμα, ἤγουν ἡ ψυχὴ, διελθὸν τὸν δεσμὸν τοῦ σώματος, ἐνυπάρξει τούτῳ, οὐδὲ κατασκηνώσει καθὼς τὸ πρότερον, οὐδ' ἐπιγνώσεται τὸν τόπον τῆς κατοικίας αὐτοῦ, λέγω δὴ τὸ σῶμα· εἰ γὰρ καὶ κατὰ τὴν ἀνάστασιν ἀπολαμβάνουσιν αἱ ψυχαὶ τὰ ἴδια σώματα, ἀλλ' οὐχ οἷα πρότερον ἦσαν, ὑποκείμενα φθορᾷ καὶ τροπαῖς· εἰκότως οὖν διὰ τὴν ἐναλλαγὴν οὐκ ἐπιγινώσκουσι ταῦτα.

17α Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοῖς φοβουμένοις αὐτόν.

Ἀπὸ τοῦ παρόντος αἰῶνος, καὶ ἕως τοῦ μέλλοντος, τουτέστι, καὶ ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι· καὶ ὧδε κἀκεῖ, διηνεκῶς, φησὶν, ἐλεεῖ, καὶ οὐδέποτε παύσεται· ἐνταῦθα μὲν, τῶν ἐνταῦθα κινδύνων ῥυόμενος, τότε δὲ, τῶν τότε κολαστηρίων ἐξαιρούμενος· ἔστι δὲ τὸ τοιοῦτον ἔλεος αὐτοῦ ἐν τοῖς φοβουμένοις αὐτόν.

17β Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν.

Ἡ ἀμοιβὴ τῶν κατορθωμάτων· οὕτω γὰρ ὁ Σύμμαχος ἐξέδωκε.

Λέγει τοίνυν, ὅτι καὶ ἡ τοιαύτη δικαιοσύνη ὁμοίως ἐστὶ διηνεκὴς, κατὰ διαδοχὴν παρεχομένη τοῖς υἱοῖς τῶν υἱῶν, καὶ αὖθις τοῖς υἱοῖς τῶν υἱῶν, καὶ οὕτως ἐφεξῆς ὁδεύουσα· καὶ ἐνταῦθα κἀκεῖ τοῦ Θεοῦ τούτους ἀμειβομένου.

Εἶτα λέγει καὶ ἐπὶ τίσιν ἐστὶν ἡ ῥηθεῖσα δικαιοσύνη.

18α Τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ.

Τὴν διαθήκην τῶν ἐντολῶν, ἣν διέθετο ὑπὲρ τῶν υἱοποιηθέντων αὐτῷ, κληρονομίαν αὐτοῖς ἐπαγγειλάμενος δι' αὐτῆς.

18β Καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Μεμνημένοις αὐτῶν, οὐκ ἐπὶ τῷ γινώσκειν ἁπλῶς, ἀλλ' ἐπὶ τῷ πληρῶσαι αὐτάς.

Υἱοὶ δὲ υἱῶν, οὐ μόνον οἱ κατὰ διαδοχὴν συγγενείας, ἀλλὰ καὶ οἱ κατὰ διαδοχὴν εὐσεβείας καὶ ἐναρέτου πολιτείας.

19α Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ.

Λοιπὸν οἱ τῷ θρόνῳ αὐτοῦ παραστῆναι βουλόμενοι, οὐράνια φρονείτωσαν, τῶν γηΐνων καταφρονοῦντες. | Τὸ ὕψος δὲ τῆς βασιλείας τοῦ Θεοῦ τὸ ῥητὸν ἐμφαίνει.

Ζήτησον καὶ ἐν τῷ β′ ψαλμῷ τὴν παραγραφὴν τῆς ἐξηγήσεως τοῦ, Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς. Ps 2.4

19β Καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ὡς ποιητοῦ· ἀλλὰ τῶν μὲν εὐσεβῶν, ἑκόντων μᾶλλον, τῶν δὲ ἀσεβῶν, ἀκόντων.

20α Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ.

Τοῦ ἐν οὐρανῷ θρόνου μνημονεύσας, εἰκότως καὶ τῶν παρισταμένων ἀγγέλων ἐμνημόνευσε, κἀκείνους ὡς ὁμοδούλους εὐλογεῖν τὸν κοινὸν Δεσπότην προτρεπόμενος, χαίροντας ὅτι τοιαῦτα τοὺς ἀνθρώπους εὐεργετεῖ.

20β Δυνατοὶ ἰσχύϊ.

Εὐσθενεῖς. Ἀγήρως γὰρ ἡ δύναμις αὐτῶν καὶ ἀνώλεθρος, ἐπεὶ καὶ Δυνάμεις λέγονται, παρὰ τὸ δύνασθαι πληροῦν τὰ ἐπιταττόμενα.

20γ Ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Πληροῦντες τὸ πρόσταγμα αὐτοῦ, ἅμα τῷ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ, τῆς ἀκουστῆς αὐτοῖς.

21α Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Εἰπὼν τοὺς ἀγγέλους, λέγει καὶ τὰς ἄλλας τάξεις τῶν ἀσωμάτων δυνάμεων.

21β Λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Οἱ ἐν διαφόροις τάξεσι λειτουργοῦντες αὐτῷ, ἤτοι ποιοῦντες τὸ θέλημα αὐτοῦ. Εἶτα προτρέπεται ἁπλῶς ἅπασαν κτίσιν.

22α Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ.

Καὶ πῶς εὐλογήσουσι τὰ ἄλογα καὶ τὰ ἄψυχα; ἢ πάντως ἀντὶ φωνῆς χρώμενα τῇ ὄψει, τῷ κάλλει, τῷ μεγέθει, τῇ θέσει, τῇ χρείᾳ, καὶ τοῖς τοιούτοις ἐμφαντικοῖς τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως θαυμασίοις, ὑφ’ ὧν οἱ λογικοὶ κινοῦνται πρὸς

22α[2] εὐλογήσουσι MPS[2]F : εὐλογοῦσι CBV.

εὐφημίαν τοῦ Κτίσαντος.

Εἰώθασι δὲ καὶ ἄλλως οἱ προφῆται καὶ τὴν ἄλογον καὶ ἄψυχον φύσιν πολλάκις προσπαραλαμβάνειν εἰς εὐφημίαν τοῦ Θεοῦ, τοῦτο μὲν ἐμφαίνοντες ὡς οὐκ ἀρκεῖ πρὸς εὐφημίαν ἡ λογικὴ κτίσις, τοῦτο δὲ καὶ τοὺς λογικοὺς ἐπὶ πλέον διεγείροντες· εἰ γὰρ καλοῦνται πρὸς αἶνον τοῦ Πεποιηκότος τὰ ἄλογα, πολλῷ μᾶλλον οἱ λογικοί.

22β *Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.*

Καὶ ποῖος τόπος οὐκ ἔστι τῆς δεσποτείας αὐτοῦ; Λοιπὸν οὖν ἔνθα ἂν καὶ τύχωμεν ὄντες, ἀδιαστόλως εὐλογῶμεν τὸν Κύριον.

Τί δ' ἂν εἴποιεν οἱ μὴ δυνάμενοι *ᾄδειν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας* Ἰου- Ps 136.4
δαῖοι, προδήλως τοῦ ῥητοῦ τὴν τῶν ἐθνῶν εὐαγγελικὴν λατρείαν προτιμῶντος;

103 ργʹ

1α Ψαλμὸς τῷ Δαυίδ.

Διὰ μὲν τοῦ προλαβόντος ψαλμοῦ εὐλογεῖ τὸν Κύριον, εὐχαριστῶν ὑπὲρ τῶν εἰς ἡμᾶς γινομένων εὐεργεσιῶν· διὰ δὲ τοῦ παρόντος εὐλογεῖ πάλιν αὐτὸν, ὑπερθαυμάζων μάλιστα τὴν ὑπ' αὐτοῦ γενομένην κτίσιν.

1β Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Μέγας σφόδρα ἐγνωρίσθης ἡμῖν ἀπὸ τῆς μεγαλουργίας καὶ προνοίας τῶν κτισμάτων σου.

1γ *Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω.*

Ἐξομολόγησιν μὲν λέγει νῦν, τὴν εὐχαριστίαν, μεγαλοπρέπειαν δὲ, τὴν ὡς μεγάλῳ πρέπουσαν τιμήν. Ταύτας, φησὶ, περιέθου σεαυτῷ διὰ τῆς μεγαλουργίας, ὡς εἴρηται, τῶν κτισμάτων, εὐχαριστούμενος μὲν, ὅτι δι' ἡμᾶς τοιαῦτα πεποίηκας, τιμώμενος δὲ, ὡς τοιούτων κτίστης.

2α Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐνδυόμενος φῶς, ἐγκαλυπτόμενος | φωτί. Ὅμοιον δὲ καὶ Παῦλος εἴρηκε,
Φῶς οἰκῶν ἀπρόσιτον, ἀφ' ὧν τὸ κατὰ φύσιν ἀόρατον καὶ ἀκατάληπτον τοῦ Θεοῦ 1Tim 6.16
διδάσκουσιν.

Οὐκ εἰσὶ δὲ ταῦτα ἐναντία πρὸς τὸ, *Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ*· τὸ γὰρ Ps 17.12
ἀπρόσιτον φῶς, ταὐτὸν ποιεῖ τῷ σκότει, μὴ συγχωροῦν ἐνορᾶν αὐτῷ· εἰ δὲ τὸ ἐκτὸς φῶς ἀπρόσιτον, πολλῷ μᾶλλον τὸ ἐντὸς τοῦ τοιούτου φωτός.

2a7 ἐκτὸς φῶς MPS²CBF : ἐκτὸς φωτός V.

Ἄλλοι δὲ φῶς νῦν, τὴν καθαρότητα νενοήκασιν, ἕτεροι δὲ, τὴν γνῶσιν.

2β Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν.

Κύριε, φησὶν, ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα, σὺ ὁ ποιήσας τάδε καὶ τάδε, ὁ ἐκτείνων τὸν οὐρανὸν οὕτως εὐχερῶς, ὡς ἐκτείνει τις δέρμα.

Ἀλλὰ Δαυὶδ μὲν τὸ ῥᾴδιον τῆς τοῦ οὐρανοῦ παραγωγῆς οὕτως ἐδίδαξεν, Ἡσαΐας δὲ καὶ τὸ ἀκίνητον αὐτοῦ παρέστησε καὶ τὸ σχῆμα, λέγων, *Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν.* Εἰ δέ γε τὴν δέῤῥιν, σκηνὴν ἑρμηνεύσεις, ἐμφαίνει Isa 40.22
καὶ τὸ σχῆμα Δαυίδ· καμαροειδὴς γὰρ ἡ σκηνή.

Ἀδιάφορον δὲ τὸ, ἐκτείνων, ἀντὶ τοῦ, ὁ ἐκτείνας· τοιαῦτα δὲ [κατ᾽ ἀντιχρονίαν] καὶ τὰ ἑφεξῆς.

3α Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ σκεπάζων τὰ ὑψηλὰ ἑαυτοῦ, ἤτοι τὸν δεύτερον οὐρανόν. *Καὶ διεχώρισε,* φησὶν, *ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος.* Ὑπερθαύμαστον οὖν καὶ Gen 1.7
τὸ κρατεῖσθαι τὴν ῥυτὴν τοῦ ὕδατος φύσιν ἄνωθεν τοῦ κυρτοῦ στερεώματος ἀδιάχυτον· καμαροειδὲς γὰρ καὶ τοῦτο, καθὼς δείκνυσιν ἡ ὄψις.

3β Ὁ τιθεὶς νέφει τὴν ἐπίβασιν αὐτοῦ.

Ὁ ἐπιβαίνων νέφους καὶ ὀχήματι τούτῳ χρώμενος, ὡς ἐπὶ τοῦ Σινᾶ.

3γ Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ταῖς πτέρυξι τῶν ἀνέμων ἐποχούμενος, δι᾽ οὗ τὸ πανταχοῦ παρεῖναι τοῦτον ἐμφαίνει. Ὀξυκίνητον γὰρ ὁ ἄνεμος, καὶ θᾶττον ἀπὸ περάτων εἰς πέρατα τοῦ κόσμου φθάνων, καὶ ταχέως τὸ πᾶν ἐπιπορευόμενος.

4 Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον.

Καὶ τῆς ἀοράτου κτίσεως ποιητὴν αὐτὸν κηρύττει. Τοὺς αὐτοὺς δὲ καὶ πνεύματα καὶ πῦρ προσηγόρευσε, τὸ ὀξυκίνητον αὐτῶν καὶ τὸ δραστήριον ἐντεῦθεν ὑποδηλῶν, ἢ καὶ ὑπογράφων αὐτῶν τὴν φύσιν· πνεύματα δὲ, νοερὰ, καὶ πῦρ, ἄϋλον.

5α Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς.

2β8 [κατὰ ἀντιχρονίαν] [MP in marg.]BFV : om. SC. 3β1 νέφει PSCAFV[T] : νέφη MB[Ra].

Ἐπὶ ποίαν; ἢ δηλαδὴ, τὸν ὅρον τοῦ Θεοῦ, τὸν ἀντὶ ἕδρας αὐτῇ γενόμενον, καὶ αὐτὴν ἐφ' ἑαυτῆς ἑδράζοντα.

5β Οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Οὐ περιτραπήσεταί ποτε, εἰ καὶ σαλευθήσεται. Ps 81.5

6α Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ.

Τὸ περιβόλαιον αὐτοῦ τοῦ στοιχείου, ἤτοι τῆς γῆς, ἄβυσσός ἐστιν, ἤγουν πλῆθος ὑδάτων, ὅ ἐστι θάλασσα, ὡς ἱμάτιον περιβεβληκυῖα καὶ ἐφηπλωμένη αὐτῷ.

Νοεῖται δὲ καὶ περὶ τῆς ἀκαταληψίας τῆς σοφίας καὶ δυνάμεως καὶ προνοίας τοῦ Θεοῦ. Ἐκπλαγεὶς γὰρ, φησὶν, ὅτι ἄβυσσος ἀκαταληψίας, ὡς ἱμάτιον, ἡ Rom 11.33
περιβολὴ αὐτοῦ, τουτέστιν, ἀκαταληψίαν ὡς ἱμάτιον περιεβάλετο, πανταχόθεν ἀκατάληπτος ὤν.

6β Ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἐπὶ τῶν ὀρέων συναχθήσονται | καὶ πηγάσουσι, καίτοι πεφυκότα καταῤῥέειν ἀπὸ τῶν ὑψηλοτέρων τόπων.

Ἢ ἐπίσης τοῖς ὄρεσιν ἀναστήσονται μετεωριζόμενα τὰ ὕδατα τῆς θαλάσσης, ἤτοι τὰ κύματα.

7α Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται.

Ἀπὸ σφοδρᾶς σου κελεύσεως, τὰ μὲν ἐπὶ τῶν ὀρέων πηγάζοντα ξηρανθήσονται, τὰ δὲ μετεωριζόμενα κύματα τῆς θαλάσσης κατασταλήσονται.

Καὶ ἐπετίμησε, φησὶ, τῇ Ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη. Ps 105.9

7β Ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσι.

Τρομάσουσι, φυσικῷ τινι λόγῳ, ἢ καὶ πρὸς ὠφέλειαν ἡμῶν. Εἰ δὲ τὰ ὕδατα τρέμουσι βροντῆς γινομένης, οἷον ἀγανακτήσεώς τινος αἰσθανόμενα, πολλῷ μᾶλλον τοὺς λογικοὺς ἡμᾶς τοῦτο πάσχειν χρὴ καὶ συστέλλεσθαι.

8 Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτοῖς.

Ὑψώθησαν τὰ ὄρη καὶ ἐταπεινώθησαν τὰ πεδία εἰς τὸν τόπον ὃν ἥδρασας αὐτοῖς.

Εἰ δὲ μὴ περὶ τῆς θέσεως τῶν ὀρέων καὶ τῶν πεδιάδων ταῦτα νοήσεις, εἴη ἂν περὶ τῶν ὑδάτων τῆς θαλάσσης, ὅτι ἀναβαίνουσι τὰ κύματα, ὡς ὄρη ὑψούμενα, καὶ καταβαίνουσιν, ὡς πεδία ταπεινούμενα, λείποντος τοῦ, ὡς.

9α Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται.

Τὰ ὄρη ἢ τὰ κύματα. Ὅριον δὲ, τὸ θεῖον πρόσταγμα συνέχον αὐτά.

9β Οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Οὐδὲ μετακινηθήσονται τῆς τάξεως, τὰ μὲν ὄρη κατακυλιόμενα, τὰ δὲ κύματα ἐκτρέχοντα.

10α Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν.

Ὁ ἀναδιδοὺς εἰς χρείαν τῶν ἐν αὐταῖς ζώων.

10β Ἀνὰ μέσον τῶν ὀρέων διελεύσεται ὕδατα.

Διέρχονται ποταμοί. Εἶτα προστίθησι καὶ τίνος ἕνεκεν.

11α Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ.

Τοῦ ὄρους· οὐ μάτην ῥέοντα, ἀλλ' ἐπὶ προνοίᾳ καὶ τῶν εὐτελεστάτων.

11β Προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἀποδέξονται ταῦτα διὰ τὴν δίψαν αὐτῶν· κατάξηρον γὰρ τὸ ζῷον τοῦτο καὶ διψῶδες. Δηλοῖ δὲ τοῦτο καὶ Ἰερεμίας περὶ τῆς ἀνομβρίας διηγούμενος, Ὄνοι ἄγριοι, φησὶν, ἔστησαν ἐπὶ νάπας αὐτῶν, εἵλκυσαν ἄνεμον ἐμψύχεσθαι. Jer 14.6

12α Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει.

Παρὰ τοῖς ὕδασι τῶν ποταμῶν, ἐν ταῖς ὄχθαις, τὰ πετεινὰ, ὅσα φίλυδρα, κατασκηνώσει.

12β Ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Τὰ ὕδατα δηλονότι· ἐκ πετρῶν γὰρ ἐκπορευόμενα μετὰ ῥύμης καὶ ἤχου, μονονουχὶ τὰ ζῷα μὲν καλοῦσιν εἰς πόσιν, τοὺς ἀνθρώπους δὲ κινοῦσιν εἰς ὕμνον τοῦ ἐκ πετρῶν ξηρῶν φύσιν ὑγρὰν εἰς πλῆθος προχέοντος.

13α Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ.

Ἐκ τῶν νεφελῶν· ἐκεῖθεν γὰρ τὰ ὄρη ποτίζεται. Εἰ δὲ τὰ ὄρη, πάντως καὶ τὰ

πεδία, καὶ ἁπλῶς πᾶσα ἡ γῆ, συμμέτρως ἄνωθεν ἐπιχορηγουμένων τῶν ὑετῶν.

13β Ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Τὰ ἐκ τῆς γῆς ζῷα, ἤτοι τὰ ἐπὶ τῆς γῆς. Καρποὶ δὲ τῶν ἔργων τοῦ Θεοῦ, οἱ καρποὶ σύμπαντες, οὐ μόνον ὡς τῷ προστάγματι τοῦ Θεοῦ γινόμενοι, ἀλλὰ καὶ ὡς τῶν φυόντων αὐτούς, ἐργασθέντων ὑπὸ Θεοῦ.

Τινὲς δὲ, τὸ προηγούμενον ῥητὸν περὶ μόνων τῶν ὀρέων νοοῦντες, ἐκλαμβάνουσι τὸ παρὸν περὶ τῆς ἄλλης γῆς, ὅτι ἀρδευθήσεται ἀπὸ καρποῦ τῶν ἔργων σου, καρπὸν τῶν ἔργων αὐτοῦ, τὸν ὑετὸν ἐνταῦθα | προσαγορευθῆναι λέγοντες, ὡς καρπὸν τῶν οἰκονομιῶν αὐτοῦ, καθ' ἃς ἐργάζεται τὰς νεφέλας.

Εἶτα προστίθησι καὶ τὴν χρείαν τῶν ὑετῶν.

14α Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Χόρτον μέν τινές φασι, τὸν ἐν τοῖς ἀγεωργήτοις τόποις φυόμενον, χλόην δὲ, τὴν ἐν τοῖς γεωργουμένοις, ὧν τὸν μὲν τοῖς ἐλευθέροις κτήνεσιν ἀπονενεμῆσθαι, τοῖς ποηφάγοις, τὸν δὲ τοῖς δουλεύουσι τῷ γένει τῶν ἀνθρώπων, οἷον βουσὶν, ἵπποις, ὄνοις, προβάτοις, αἰξὶ, καὶ τοῖς τοιούτοις, ἅπερ ὁμοῦ πάντα, δουλείαν τῶν ἀνθρώπων, ὡς δουλεύοντα, προσαγορευθῆναι.

Τινὲς δὲ πάλιν, ἑτέρως ἡρμήνευσαν, χόρτον μὲν νοήσαντες, τὸν μὴ φέροντα καρπὸν χρήσιμον εἰς βρῶσιν ἀνθρώπου, χλόην δὲ, τὴν καρποφοροῦσαν εὔχρηστον· κἀκεῖνον μὲν ἐξανατέλλεσθαι τοῖς κτήνεσι, ταύτην δὲ τοῖς ἀνθρώποις· τῇ δουλείᾳ τῶν ἀνθρώπων, ὡς τῆς γῆς δουλευούσης τοῖς ἀνθρώποις, δι' οὓς καὶ γέγονε.

14β Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς.

Χορτασθήσεται, φησὶν, ἡ γῆ, ἕνεκα τοῦ ἐξαγαγεῖν ἄρτον ἐξ αὐτῆς, ἀπὸ τοῦ σίτου κατασκευαζόμενον.

15α Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Καὶ ὁ οἶνος, καρπὸς τῆς γῆς ὢν, καὶ ἐξ αὐτῆς ἀναδιδόμενος, εὐφραίνει καρδίαν ἀνθρώπου, θεραπεύων καὶ ἀνιεὶς αὐτήν.

15β Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ.

Καὶ ἕνεκα πάλιν τοῦ ἁπαλῦναι καὶ φαιδρῦναι, ἐν ἐλαίῳ γεωργουμένῳ ἀπὸ φυτοῦ αὐτῆς, πρόσωπον ἀνθρώπου σκληραγωγηθέν.

15γ Καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Ὁ μὲν οἶνος εὐφραίνει αὐτὴν, οὗτος δὲ δυναμοῖ κεκμηκυῖαν, καρπὸς ὢν καὶ αὐτὸς τῆς γῆς· πάντων γὰρ ἔθετο πρόνοιαν ὁ Δημιουργὸς, καὶ ἀλόγων καὶ λογικῶν, χορτάζων τὴν γῆν, ἵνα, πιανθεῖσα, τούτοις ἀνήσει τὰ ἐπιτήδεια.

16α Χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου.

Ἀρδευθήσεται, πιανθήσεται τὰ φυτὰ τῆς γῆς, τὰ παντοῖα δένδρα.

16β Αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Διὰ τούτων, ὡς ἐπισημοτέρων, πάσας ὑποδηλοῖ. Ἐφύτευσας δὲ, ἀντὶ τοῦ, ἀνῆκας προστάγματι.

17α Ἐκεῖ στρουθία ἐννοσσεύσουσιν.

Ἐν τοῖς φυτοῖς, ἐν τοῖς δένδροις, ἐν ταῖς κέδροις. Διὰ δὲ τῶν στρουθίων, καὶ τἄλλα νόησον ὄρνεα. Οὐ μόνον γὰρ ἀνθρώποις, ἀλλὰ καὶ τοῖς ὀρνέοις χρήσιμος ἡ ἀνάδοσις τῶν δένδρων.

17β Τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ἐρωδιὸς, εἶδος ὀρνέου, πρώτου πηγνύντος τὴν καλιάν.

18 Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Ὅρα καὶ τῶν ὑψηλῶν ὀρέων καὶ τῶν πετρῶν τὸ χρήσιμον· πάντων γὰρ, ὡς εἴρηται, προνοεῖται, μέχρι καὶ τῶν σμικροτάτων ζῴων, ὁ Κτίστης. Εἰ γὰρ μὴ τὰ ὄρη μηδὲ αἱ πέτραι γεγόνασιν, ἐπέλειψαν ἂν πάλαι τὰ ῥηθέντα γένη τῶν ζῴων, ὑπὸ τῶν σαρκοφάγων ἐκδαπανηθέντα.

19α Ἐποίησε σελήνην εἰς καιρούς.

Τοὺς τῆς νυκτὸς δηλονότι· *τὴν σελήνην γὰρ καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς* Gen 1.16
νυκτὸς, ἐπὶ τῷ φωτίζειν αὐτήν. Ps 135.9

19β Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔγνω ταύτην, οὐχ ὡς ἔμψυχος, ἀλλὰ κατὰ τὸν θεῖον ὅρον, ὃν οὐχ ὑπερβαίνει, καθάπερ τις λογικὸς, εἰδὼς τὸ προστεταγμένον.

Μεταφορικὸν δὲ τὸ, *ἔγνω*· δηλοῖ δὲ τὸ, *ἐνεργεῖ*, ἢ τὸ, *ἀσπάζεται*.

20α Ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὥρισας σκότος παρυφιστάμενον, ὑποχωροῦντος τοῦ ἡμερινοῦ καὶ ἡλιακοῦ φωτὸς, καὶ ἐγένετο νύξ· *Καὶ τὸ σκότος γὰρ, φησὶν, ἐκάλεσε νύκτα.* Gen 1.5

20β Ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκόπει καὶ τῆς νυκτὸς τὸ χρήσιμον. Οὐ μόνον | γὰρ τοῖς ἀνθρώποις ἀνάπαυσιν ἐπάγει καὶ παραλαβοῦσα κεκμηκότας τοῖς μεθημερινοῖς πόνοις ἀκμαίους αὖθις ἐργάζεται, ἀλλὰ καὶ τοῖς θηρίοις παῤῥησίαν εἰς τὸ βαδίζειν χαρίζεται.

21 Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Σκύμνοι λεόντων ὠρυόμενοι χάριν τοῦ ἁρπάσαι καὶ πορίσασθαι βρῶσιν ἑαυτοῖς, παρὰ τῷ Θεῷ οὖσαν, ἢ παρὰ τοῦ Θεοῦ χορηγουμένην· ἐκεῖθεν γὰρ ἡ τροφὴ πᾶσι τοῖς ζῴοις· *Ὁ διδοὺς γὰρ, φησὶ, τροφὴν πάσῃ σαρκί·* ἢ καὶ ζητῆσαι Ps 135.25
παρὰ τοῦ Θεοῦ.

Πολλοὶ γὰρ πολλάκις πολλὰ τῶν ζῴων εἶδον, ἐν καιρῷ λιμοῦ καὶ δίψης, ἀνατεινόμενα πρὸς τὸν οὐρανὸν καὶ ἀποῤῥήτῳ λόγῳ τὸν Ποιητὴν ἐπικαλούμενα.

22 Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Φυσικῶς εἰδότα τὸν ἀποκεκληρωμένον αὐτοῖς εἰς τὸ διοδεύειν καιρόν.

23α Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ.

Τῆς ἡμέρας αὐτῷ τε καὶ τοῖς ἡμέροις ζῴοις ἀπονεμηθείσης, ἵνα μὴ τὰ ἄγρια καὶ τὰ ἥμερα συνιόντα, λύμην ἀλλήλοις ἐργάζωνται.

23β Καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ἔργον καὶ ἐργασίαν, ἐκ παραλλήλου τὸ αὐτὸ καλεῖ.

Εἶτα μεταξὺ τῶν λόγων ἐκπλαγεὶς, ἀνεβόησεν·

24α Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε.

Λίαν ἐθαυμαστώθησαν, ἄλλου πρὸς ἄλλο τι καλῶς ἔχοντος, καὶ πάντων πρὸς ἅπαντα, εἰς ἑνὸς κόσμου συμπλήρωσιν.

24β Πάντα ἐν σοφίᾳ ἐποίησας.

Οὐδὲ τοῦ σμικροτάτου μάτην καὶ περιττῶς γεγονότος, ἀλλὰ πάντων λόγους ἐχόντων, δι' οὓς παρήχθησαν, εἰ καὶ ἡμῖν τέως ἀκαταλήπτους.

24γ Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Ἐπληρώθη τῶν κτισμάτων σου.

25α Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος.

Καὶ αὕτη ἡ θάλασσα.

25β Ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός.

Ἐν αὐτῇ νηκτὰ ἀναρίθμητα.

25γ Ζῷα μικρὰ μετὰ μεγάλων.

Τοῦτο δῆλον.

26α Ἐκεῖ πλοῖα διαπορεύεται.

Ἐν τῇ θαλάσσῃ δηλονότι.

26β Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.

Καὶ ὁ δράκων οὗτος, ἤτοι τὸ κῆτος, ὃν ἔκτισας ἐνσκιρτᾶν αὐτῷ, φημὶ δὴ τῷ ὕδατι. Δράκοντα δὲ τὸ κῆτος ὠνόμασεν, ὡς ὑπερμεγεθέστατον ἐν τοῖς ἐναλίοις, ὥσπερ αὖ καὶ ὁ δράκων ἐν τοῖς χερσαίοις.

27 Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον.

Πάντα τὰ ζῷα εἰς σὲ ἐλπίζουσιν, ἀλλὰ τὰ ἄλογα, φυσικῷ τινι λόγῳ, καθὼς ἀνωτέρω δεδήλωται, ἔνθα τὸ, *Καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.* Ps 103.21
Προσδοκῶσι δὲ δοῦναι αὐτοῖς τὴν τροφὴν αὐτῶν ἐν καιρῷ χρείας.

28α Δόντος σου αὐτοῖς συλλέξουσι.

Τὴν τροφήν.

28β Ἀνοίξαντός σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσεται χρηστότητος.

26α[1] διαπορεύεται MPC[T] : διαπορεύονται BFV[Ra]. 28β[1] πλησθήσεται MSCB[Ra^B] : πλησθήσονται PAFV[TRa^A].

Χεῖρα μὲν λέγει, τὴν χορηγὸν δύναμιν, χρηστότητα δὲ, τὴν πρόνοιαν.

29α Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται.

Πρόσωπον, τὴν ἐπισκοπήν.

29β Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἀφελεῖς τὴν ψυχὴν αὐτῶν, καὶ ἀποθανοῦνται, καὶ εἰς τὴν γῆν αὐτῶν ἐπι- Gen 2.7
στρέψουσιν ἀναλυόμενοι, ἀφ' ἧς ἐλήφθησαν· περὶ τῶν ἀνθρώπων δὲ ὁ λόγος. Gen 3.19

30α Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται.

Τὸ Πνεῦμά σου τὸ ζωοποιὸν, καὶ κτισθήσονται ἐκ γῆς ἀνιστάμενοι, ἢ τὸ 1Cor 15.45
Πνεῦμά σου, τὸ διὰ τοῦ ἁγίου βαπτίσματος ἐπιφοιτῶν, καὶ κτισθήσονται εἰς
καινὴν κτίσιν, εἰς νέον λαὸν, ὡς νοεῖσθαι τὸ μὲν περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, 2Cor 5.17
τὸ δὲ περὶ τῆς ἐκ βαπτίσματος παλιγγενεσίας.

30β Καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Τὸ κάλλος τῆς γῆς, ὅπερ εἰσὶν οἱ ἄνθρωποι.
Καὶ | ἄλλως δὲ, ἡ γῆ ἀπαλλαγήσεται τῆς φθορᾶς, κατὰ τὸν Ἀπόστολον. Rom 8.21

31α Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας.

Τοῦ τὰ μὲν τῶν εἰρημένων ποιήσαντος, τὰ δὲ ποιοῦντος, τὰ δὲ ποιήσοντος.

31β Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Τοῖς διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ κατορθωθησομένοις, ἢ τοῖς διὰ τῆς κτίσεως τοῦ κόσμου.

32α Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν.

Ὡς ἐπὶ τῶν σεισμῶν· ἐπιβλέπει γὰρ ὀργίλον· ἡ δὲ, μὴ φέρουσα, τρέμει κατά τινα φυσικὴν ἢ μᾶλλον ἀπόῤῥητον συναίσθησιν.

32β Ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.

Ὡς ἐπὶ τοῦ Σινᾶ. Καπνίζονται γὰρ δίκην χόρτου πλησιάσαντος πυρί· θεο- Ex 20.18
πρεπῶς δὲ νοητέον καὶ τὸ, ὁ ἐπιβλέπων, καὶ τὸ, ὁ ἁπτόμενος.

33α Ἄισω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου.

Ἕως ἂν ζῶ.

33β Ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω.

Παλιλλογεῖ, σαφηνείας ἕνεκεν ἢ ἐπιτάσεως.

34α Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου.

Ἀρέσοι αὐτῷ ἡ διάλεξίς μου, ἡ διὰ τῶν ᾠδῶν καὶ τῶν ψαλμῶν, ἤγουν ἡ πρὸς αὐτὸν ὁμιλία μου ἢ οἱ διαλογισμοί μου.

34β Ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἡδυνθείσης αὐτῷ τῆς διαλογῆς μου, καθὼς εἴρηται.

35α Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς.

Ἐκλείποιεν, γινόμενοι οἱ μὲν ἁμαρτωλοὶ, δίκαιοι, οἱ δὲ ἄνομοι, ἔννομοι, ὥστε μὴ ὑπάρχειν αὐτοὺς οἷοί εἰσιν, ἀλλὰ μεταβληθῆναι.

Εὔχεται οὖν οὐ τοὺς ἀνθρώπους ἀφανισθῆναι, ἀλλὰ τὴν κακίαν αὐτῶν· ἢ ἁμαρτωλοὺς καὶ ἀνόμους, τοὺς δαίμονάς φησιν, ἢ καὶ τοὺς ἀνίατον τὴν κακίαν ἔχοντας, ὡς λύμην τῶν ὑγιαινόντων.

35β Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Ἐοικὸς τῇ ἀρχῇ τὸ τέλος ἐπέθηκεν.

Οὐκ ἠγνόησα δὲ τάς τινων εἰς τὸν παρόντα ψαλμὸν ἀλληγορίας, ἀλλ' ἑκὼν παρῆκα ταύτας, ὡς βεβιασμένας τε καὶ δυσπαραδέκτους.

104 ρδ´

1α Ἀλληλούϊα.

Εἴρηται μὲν ἐν τῷ προοιμίῳ τῆς βίβλου τῶν ψαλμῶν περὶ τῶν ἐχόντων ἐπιγραφὴν τὸ, ἀλληλούϊα· ἑρμηνεύει δὲ τοῦτο, αἰνεῖτε τὸν Ὄντα, ἤτοι τὸν §§ 57-58
Κύριον.

Προτρέπεται δὲ ὁ ψαλμὸς ὑμνεῖν τὸν Θεὸν, καὶ διδάσκει τὰ ἔθνη περὶ ὧν εὐηργέτησεν ὁ Θεὸς τὸν πάλαι λαὸν, καὶ οἷον ἀφ' οἵου τοῦτον ἐποίησεν.

1β Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ.

Ὅμοιόν ἐστι τῷ, *Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ*, ὅπερ ἡρμηνεύσαμεν ἐν τῷ ϟθʹ ψαλμῷ. Ps 99.4

1γ Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ.

Ἐν δὲ τῷ ϟεʹ ψαλμῷ φησιν, *Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ*, τὸ Ps 95.3α
αὐτὸ λέγων. Δόξα γὰρ αὐτοῦ, ἃ προϊὼν ἐρεῖ.

2α Ἄισατε αὐτῷ καὶ ψάλατε αὐτῷ.

Καὶ ἐν τῷ ῥηθέντι προοιμίῳ τῆς παρούσης βίβλου καὶ ἐν πολλοῖς τῶν
ψαλμῶν εἴρηται περὶ διαφορᾶς ᾠδῆς καὶ ψαλμοῦ· ὡς ἐπὶ τὸ πλεῖστον δὲ τὸ αὐτὸ § 62
σημαίνουσιν, ἐπιτάσεως ἕνεκεν.

2β Διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.

Καὶ ἐν τῷ προμνημονευθέντι ϟεʹ ψαλμῷ εἴρηκεν, *Ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ*. Ps 95.3β

3α Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ.

Μεγαλοφρονεῖτε, καυχᾶσθε ἐν τῷ ὀνομάζεσθαι Χριστιανοί. Πρὸς γὰρ τοὺς ἀποστόλους ὁ λόγος καὶ τοὺς διαδόχους αὐτῶν.

3β Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον.

Τῶν ἐπικαλουμένων αὐτὸν εἰς βοήθειαν· βοηθηθήσονται γάρ.

Ἢ τῶν ὁδευόντων πρὸς αὐτὸν διὰ τῆς ὁδοῦ τῶν ἐντολῶν αὐτοῦ, αἳ φέρουσιν εἰς αὐτόν· εὑρήσουσι γὰρ αὐτόν.

4α Ζητήσατε τὸν Κύριον καὶ κραταιώθητε. |

Κραταιώθητε εἰς τὸ ζητῆσαι αὐτὸν, καὶ μὴ χαυνοῦσθε.

4β Ζητήσατε τὸ πρόσωπον αὐτοῦ διὰ παντός.

Τὸ πρόσωπον αὐτοῦ, τουτέστιν, αὐτὸν περιφραστικῶς, ἢ τὴν ἐπισκοπὴν αὐτοῦ, ἢ Col 1.15
τὸν Υἱὸν αὐτοῦ, τὸν Χριστὸν, ὅς ἐστιν ἀπαράλλακτος εἰκὼν τοῦ Πατρὸς, καὶ *χαρακτὴρ* Heb 1.3
τῆς ὑποστάσεως αὐτοῦ· Ὁ ἑωρακὼς γὰρ, φησὶν, *ἐμὲ ἑώρακε τὸν Πατέρα*. Jn 14.9

1γ[1] ἀναγγείλατε MPCBF : ἀπαγγείλατε V[TRa]. 3β[2] βοηθηθήσονται MPBF(cf. Isa 44.2) : βοηθήσονται S[2]CV.

5α Μνήσθητε τῶν θαυμασίων αὐτοῦ, ὧν ἐποίησε.

Μνήσθητε τούτων, διδάσκοντες τὰ ἔθνη, καὶ ἀναγγείλατε αὐτά.

5β Τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ.

Μνήσθητε δηλονότι· ἀδιάφορος δὲ ἡ σύνταξις. Τέρατα μὲν οὖν, αἱ ὑπερφυεῖς θεοσημεῖαι, κρίματα δὲ, αἱ ἀποφάσεις αὐτοῦ αἱ διὰ τοῦ νόμου. Ps 17.23

6α Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ.

Ὦ σπέρμα Ἀβραάμ! Καλεῖ δὲ τοὺς ἀποστόλους.

6β Υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.

Οὗτοι ταῦτα πάντα· καὶ δοῦλοι μὲν, κατὰ τὸ, *Εἰ οὖν ἐγὼ ὁ Κύριος καὶ ὁ διδάσκαλος ἔνιψα ὑμῶν τοὺς πόδας*, ἐκλεκτοὶ δὲ, κατὰ τὸ, *Οὐχ ὑμεῖς με* Jn 13.14
ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς. Jn 15.16

7α Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν.

Αὐτὸς ὁ Χριστός.

7β Ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.

Οὐκ ἐν Ἰουδαίοις μόνον, πανταχοῦ γὰρ διεδόθησαν.

8α Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.

Τῆς εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, τῆς αἰωνίου, ἤτοι τῆς ἀμετακινήτου καὶ ἀναλλοιώτου. Gen 15.18

Καταλέγει δὲ λοιπὸν ἐντεῦθεν ὁ προφήτης τὰς εἰς τοὺς Ἑβραίους εὐεργεσίας, ἄνωθεν ἀπὸ Ἀβραὰμ ἀρξάμενος.

8β Λόγου, οὗ ἐνετείλατο εἰς χιλίας γενεάς.

Τὸ αὐτὸ λέγει πάλιν, διαθήκην καὶ λόγον, τὴν ὑπόσχεσιν τῆς εἰρημένης γῆς ὀνομάζων. Ἐμνήσθη, φησὶ, τοῦ λόγου, οὗ ἐνετείλατο, τοῦ εἰς χιλίας γενεὰς, τοῦ Gen 12.7
μέχρι πολλῶν γενεῶν ἐξικνουμένου· χιλίας γὰρ νῦν ἁπλῶς, τὰς πολλὰς καλεῖ, καὶ τὸ, ἐνετείλατο δὲ, ἀντὶ τοῦ, ἐπηγγείλατο τέθεικεν.

9α Ὃν διέθετο τῷ Ἀβραάμ.

Ὃν λόγον δηλονότι.

9β Καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ.

Καὶ ἐμνήσθη πάλιν τοῦ ὅρκου αὐτοῦ, τοῦ ὀμοσθέντος τῷ Ἰσαάκ. Τὸ αὐτὸ γὰρ καὶ τῷ Ἰσαὰκ ἐπηγγείλατο, περί τε τῆς γῆς καὶ περὶ τοῦ πληθυσμοῦ τοῦ σπέρματος. Gen 26.24
Τί δέ ἐστιν ὅρκος Θεοῦ εἴρηται ἐν τῷ πη′ ψαλμῷ, ἔνθα τὸ, Ὤμοσα Δαυὶδ τῷ δούλῳ μου. Ps 88.4β

10α Καὶ ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα.

Εἰς τὸ εἶναι πρόσταγμα ἀπαράβατον. Gen 28.13-15

10β Καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον.

Εἰς τὸ εἶναι διαθήκην ἀμετακίνητον, ἀναλλοίωτον, ὡς εἴρηται. Ps 104.8α

11α Λέγων, Σοὶ δώσω τὴν γῆν Χαναάν.

Τὴν Παλαιστίνην, ἣν κατῴκουν οἱ Χαναναῖοι. Gen 15.18-21

11β Σχοίνισμα κληρονομίας ὑμῶν.

Μέτρημα, μέρισμα. Dt 32.9

12α Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς.

Λέγων ταῦτα καὶ διατιθέμενος καὶ ὑπισχνούμενος ὅτε ἦσαν ἀριθμῷ βραχεῖς οἱ περὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.

12β Ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ.

Μετανάσται γὰρ παρῴκησαν ἐν τῇ γῇ τῶν Χαναναίων οἱ περὶ τὸν Ἀβραάμ· Gen 23.4
Καὶ Ἀβραὰμ γὰρ, φησὶ, παρῴκησεν ἐν γῇ Χαναάν. Gen 35.27

13α Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος.

Πολλὰ ἔθνη διερχόμενοι, καὶ τόπους ἐκ τόπων ἀμείβοντες, περὶ ὧν ἁπάντων ἡ βίβλος τῆς Γενέσεως ἱστορεῖ.

13β Καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον.

Τινὲς μὲν γὰρ χῶραι ἐβασιλεύοντο, τινὲς δὲ ἐδημοκρατοῦντο.

14α Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς.

Ἄνθρωπον, ἤτοι τινά. Τὸν μὲν γὰρ Φαραὼ ἤτασεν ἐτασμοῖς μεγάλοις καὶ πονηροῖς καὶ τὸν οἶκον αὐτοῦ, διὰ Σάῤῥαν τὴν γυναῖκα Ἀβραάμ· τῷ δὲ Ἀβιμέλεχ, ἐπιστὰς νυκτός, εἶπεν ἄλλα τε φοβερὰ, καὶ ὅτι Ἀπόδος τὴν | γυναῖκα τῷ ἀνθρώπῳ· εἶτα ἐπήγαγεν ὅτι Προφήτης ἐστὶ, καὶ εὔξεται περὶ σοῦ, καὶ ζήσῃ. Τὸν Ἠσαῦ δὲ καὶ τὸν Λάβαν οὐκ ἀφῆκεν ἀδικῆσαι τὸν Ἰακὼβ, καὶ ἄλλους πολλοὺς οὐ συνεχώρησε βλάψαι τοὺς εἰρημένους τρεῖς πατριάρχας. Gen 12.17 Gen 20.7 Gen 32-33 Gen 31

14β Καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς.

Ἤλεγξεν αὐτοὺς ἀδίκους, ᾔσχυνεν, ἐφόβησεν, ὡς τὸν Φαραὼ βασιλέα Αἰγύπτου, καὶ τὸν Ἀβιμέλεχ βασιλέα Γεράρων. Gen 12.15-20 Gen 20.1-18

15 Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

Λέγων καὶ ταῦτα δηλονότι. Χριστοὺς μὲν οὖν αὐτοὺς ὠνόμασεν, ὡς κεχρισμένους τῷ ἁγίῳ Πνεύματι, ἢ τῷ προφητικῷ χαρίσματι. Προφήτας δὲ, ὡς πολλὰ προφητεύσαντας· καὶ γὰρ καὶ πρὸς τὸν Ἀβιμέλεχ εἶπεν ὁ Θεὸς, ὡς εἴρηται, περὶ τοῦ Ἀβραὰμ, ὅτι προφήτης ἐστί.

Ῥητῶς μὲν οὖν οὐ κεῖνται ταῦτα ἐν τῇ προῤῥηθείσῃ βίβλῳ, τὸ Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ τὰ ἑξῆς· ἕτερα δὲ, εἰς τὴν αὐτὴν διάνοιαν τείνοντα.

16α Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν.

Ἔταξεν, ἔπεμψε, προοδοποιῶν εὐμηχάνως τοῖς περὶ τὸν Ἰακὼβ τὴν εἰς Αἴγυπτον κάθοδον, ὅτε τὰ ἑπτὰ ἔτη τῆς εὐθηνίας ἑπτὰ ἕτερα τοῦ λιμοῦ διεδέξαντο. Gen 41.53-54

16β Πᾶν στήριγμα ἄρτου συνέτριψε.

Πᾶσαν ἰσχὺν τροφῆς ἠφάνισε, πᾶσαν ὑπόστασιν βρώσεως ἐξέτριψεν.

17α Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον.

Ἔμπροσθεν τῶν περὶ τὸν Ἰακὼβ, τὸν Ἰωσὴφ, τῇ πονηρίᾳ τῶν ἀδελφῶν αὐτοῦ χρησάμενος εἰς δέον, καὶ τὴν εἰς δουλείαν ἀπαγωγὴν, ἀποστολὴν ποιησάμενος. Διὸ καὶ πρὸς αὐτοὺς εἴρηκεν, ὅτι Εἰς ζωὴν ἀπέσταλκέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν. Gen 40.5

17β Εἰς δοῦλον ἐπράθη Ἰωσήφ.

Παρὰ τῶν ἀδελφῶν αὐτοῦ, τοῖς Ἰσμαηλίταις, καὶ παρὰ τῶν Ἰσμαηλιτῶν, αὖθις εἰς Αἴγυπτον, τῷ Πεντεφρῇ. Gen 37.28, 36

18α Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ.

Ἐκάκωσαν οἱ περὶ τὸν κύριον αὐτοῦ, βαλόντες εἰς δεσμωτήριον. Gen 39.20

18β Σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ.

Τουτέστιν, αὐτός. Σίδηρον δὲ λέγει, τὸν σιδηροῦν κλοιόν· ἢ σίδηρον, ἤτοι τὸ ξίφος διέφυγεν, ἄχρι τούτου ἐλθοῦσα.

19α Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ.

Τὴν σοφίαν αὐτοῦ, καθ' ἣν ἔλυσε τοὺς ὀνείρους τῶν συνδεσμίων· ἢ τὴν φροντίδα, ἣν ἐφρόντισεν αὐτοῦ ὁ Θεός, θέλων αὐτὸν δοξάσαι, καὶ τὸ γένος αὐτοῦ. Gen 40.8-19

19β Τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν.

Ὁ ἐνδιάθετος λόγος, ὁ παρὰ Θεοῦ δοθεὶς ἡμῖν, καθ' ὃν λογικοὶ λεγόμεθα. Ὁ φυσικὸς νόμος πυρωθῆναι αὐτὸν παρεσκεύασεν ἐν τῇ καμίνῳ τῶν πειρασμῶν, καὶ ἔδειξε καθαρὸν καὶ δόκιμον, ὡς χρυσόν· ἐδίδασκε γὰρ αὐτὸν ὁ λόγος οὗτος, ὅτι οὐ χρὴ γυναικὸς ἀλλοτρίας ἅπτεσθαι.

20α Ἀπέστειλε βασιλεὺς καὶ ἔλυσεν αὐτόν.

Ὁ Φαραώ. Ἐν τῇ δηλωθείσῃ δὲ βίβλῳ τῆς Γενέσεως πάντα σαφῶς ἱστόρηται. Gen 41.14

20β Ἄρχων λαοῦ, καὶ ἀφῆκεν αὐτόν.

Τὸ αὐτὸ λέγει πάλιν, ὡς εἴωθε πολλάκις ποιεῖν.

21-22 Κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ, τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτόν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.

Τοῦ Θεοῦ ταῦτα οἰκονομοῦντος.

23α Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον.

Κατ᾽ ἐπιτομὴν τὴν ἱστορίαν διέξεισι.

23β Καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.

Τὸ αὐτὸ λέγει πάλιν· γῆ γὰρ Χὰμ, ἡ Αἴγυπτος, ἐπεὶ ὁ Αἴγυπτος, ἔκγονος ἦν τοῦ Χὰμ, ὧν καὶ ἄμφω τὰς κλήσεις αὕτη ἔσχεν ἡ γῆ. Ps 77.51β

24α Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα.

Τὸν τοῦ Ἰσραὴλ, ὁ Θεὸς, ἢ τὸν ἑαυτοῦ· μόνοι γὰρ οὗτοι τὸν Θεὸν ἐσέβοντο. |

24β Καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.

Ὑπὲρ τοὺς Αἰγυπτίους, οἵτινες ἐμίσουν καὶ τοὺς Ἰσραηλίτας καὶ τὸν Θεόν.

25α Μετέστρεψε τὴν καρδίαν αὐτοῦ τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ.

Τὴν καρδίαν τοῦ Φαραὼ, οὐ τοῦ φιλοῦντος τὸν Ἰωσὴφ, ἀλλ᾽ ἑτέρου μὴ Ex 1.8
εἰδότος αὐτόν· *Ἐσκλήρυνε γὰρ*, φησὶν, *ὁ Θεὸς τὴν καρδίαν Φαραὼ*, τουτέστι, Ex 9.12
σκληρυνθῆναι παρεχώρησεν, ἵνα, κακούμενοι οἱ Ἰσραηλῖται, θερμῶς ἐπιθυμήσωσιν
ἐξελθεῖν ἐκ τῆς Αἰγύπτου, καὶ φυγεῖν τὴν λύμην αὐτῶν.

25β Τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.

Τοῦ ἐπιβουλεύειν. Εἴρηκε γὰρ ὁ Φαραὼ πρὸς τοὺς Αἰγυπτίους, *Ἰδοὺ νῦν*
πολυπληθεῖ τὸ ἔθνος, καὶ ἰσχύει ὑπὲρ ἡμᾶς, καὶ λοιπὸν προσέταξεν ἀναιρεῖσθαι Ex 1.10
τὰ ἄῤῥενα τῶν τικτομένων βρεφῶν.

26α Ἐξαπέστειλε Μωυσῆν τὸν δοῦλον αὐτοῦ.

Ὁ Θεός.

26β Ἀαρὼν, ὃν ἐξελέξατο ἑαυτῷ.

Τὸν ἀδελφὸν Μωυσέως.

27α Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ.

Τὰ προστάγματα τὰ περὶ τῶν σημείων αὐτοῦ, ὥστε δι' αὐτῶν ἐνεργεῖσθαι ταῦτα· ἢ ἐγνώρισεν αὐτοῖς τὰς αἰτίας τῶν σημείων αὐτοῦ, ἢ τοὺς τρόπους αὐτῶν.

27β *Καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ.*

Περὶ σημείων καὶ τεράτων εἴρηται ἐν τῷ οζʹ ψαλμῷ, ἔνθα τὸ, *Ὃς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.* Ps 77.43

Καὶ ἐν ἐκείνῳ γὰρ τῷ ψαλμῷ τὰς εἰς τοὺς Ἰσραηλίτας εὐεργεσίας ἱστόρησεν, ἀλλ' ἀπὸ τῆς ἐξόδου μόνον ἀρξάμενος τῆς ἐξ Αἰγύπτου, καὶ τρόπον ἕτερον.

28α *Ἐξαπέστειλε σκότος, καὶ ἐσκότασε.*

Καὶ μὴν καὶ πρὸ τοῦ σκότους ἑτέρας πληγὰς τοῖς Αἰγυπτίοις ἐπήγαγε. Τέθεικε δὲ νῦν τοῦτο πρῶτον ὁ Δαυὶδ ἀδιαφόρως, ἢ καὶ ἐπεὶ κάλλιστον ὁμοῦ καὶ ἀναγκαιότατον τοῖς ἀνθρώποις τὸ φῶς, τὴν διὰ τοῦ σκότους τιμωρίαν ὡς βαρυτάτην προέταξε. Καὶ ἐν τῷ οζʹ ψαλμῷ ἀπαρατηρήτως διηγεῖται τὰς τοιαύτας μάστιγας, ὡς εἰρήκαμεν ἔνθα τὸ, *Ἐξαπέσειλεν εἰς αὐτοὺς κυνόμυιαν.* Ps 77.45α

28β *Ὅτι παρεπίκραναν τοὺς λόγους αὐτοῦ.*

Ὅτι, φησὶν, οἱ Αἰγύπτιοι παρώξυναν τὰ προστάγματα αὐτοῦ, κελεύσαντος ἀπολῦσαι τὸν λαόν.

Παρεπίκραναν δὲ αὐτοὺς, ἀπειθοῦντες· καταχρηστικὸν δὲ ἐπὶ τῶν λόγων τὸ, *παρεπίκραναν.* Ἢ καὶ ἄλλως, διὰ τῶν λόγων, τὸν λαλήσαντα ἐνέφηνε.

Τινὲς δὲ τὸ, *παρεπίκραναν*, παρέβησαν ἑρμηνεύουσιν, ὡς καὶ τοῦτο δηλούσης παρ' Ἑβραίοις ἔστιν ὅτε τῆς τοιαύτης λέξεως.

Ἔνια δὲ τῶν ἀντιγράφων, *οὐ παρεπίκραναν*, γράφουσιν, ὡς ἀναφέρεσθαι τοῦτο πρὸς Μωυσῆν καὶ Ἀαρών.

29 *Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.*

Ζήτησον ἐν τῷ εἰρημένῳ ψαλμῷ τὸ, *Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν.* Ps 77.44α

30α *Ἐξεῖρψεν ἡ γῆ αὐτῶν βατράχους.*

Ἐν ἐκείνῳ καὶ περὶ τούτων ἡρμήνευται. Ἐξεῖρψεν δὲ, ἀντὶ τοῦ, ἐξέδωκεν ἑρπυστικά. Ps 77.45β

28β^{3} λαόν MS^{2}CBF : λαὸν αὐτοῦ PV.

30α Add. [MPS^{2}F in marg.]BV: Ἐκ τῶν ὑδάτων μὲν οἱ βάτραχοι γεγόνασιν, ὡς ἡ βίβλος τῆς Γενέσεως παρίστησι [Gen 1.20]· τὸ δ' ἐξεῖρψεν ἡ γῆ, ἀντὶ τοῦ, ἐξείρφθη, ἐκαλύφθη κατὰ βατράχους· ἐνεργητικὸν, παθητικὸν ἔχον σημασίαν· ἢ καὶ βατράχους, ἀντὶ τοῦ, βατράχοις, ἀντίπτωσις. : om. C.

30β Ἐν τοῖς ταμιείοις τῶν βασιλείων αὐτῶν.

Οὐ μόνον ἐν πᾶσι τοῖς ἄλλοις τόποις, ἀλλὰ καὶ ἐν τοῖς εἰς τὰ βασίλεια ταμιείοις, ἔνθα πολλὴ καὶ φυλακὴ καὶ ἀσφάλεια.

31 Εἶπε, καὶ ἦλθε κυνόμυια καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.

Ἐκεῖ καὶ περὶ τούτων ἐῤῥήθη, ἔνθα τὸ, Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν. Ps 77.45α

32-33 Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν, καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν.

Ὁμοίως καὶ περὶ τούτων. Ps 77.47

34-35 Εἶπε, καὶ ἦλθεν | ἀκρὶς καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμὸς, καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν.

Ἔτι καὶ περὶ τούτων. Ps 77.46

36 Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν, ἀπαρχὴν παντὸς πόνου αὐτῶν.

Ὡσαύτως καὶ περὶ τούτων. Ps 77.51

37α Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ.

Ἃ ἐχρήσαντο παρὰ τῶν Αἰγυπτίων, οὕτω τοῦ Θεοῦ κελεύσαντος, ὥστε Gen 15.14
λογισθῆναι ταῦτα μισθὸν τῆς πλινθοποιΐας καὶ τῆς ἄλλης ὑπηρεσίας. Ex 12.35

37β Καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.

Ἵνα μηδεὶς ὑπολειφθείη διὰ νόσον. Τοῦτο δὲ Μωυσῆς ῥητῶς μὲν οὐκ ἀνέγραψε, νοεῖται δὲ διὰ τὸ μηδαμοῦ μνημονευθῆναί τινα νοσήσαντα.

Ἴσως δὲ καὶ ἑτέρωθεν ἐδιδάχθη περὶ τούτου Δαυὶδ, ἢ ἐξ ἀποκρύφου βίβλου, ἢ ἐκ παραδόσεως, ἢ ἐκ τοῦ θείου Πνεύματος, ὡς καὶ περὶ ἑτέρων πολλῶν.

38 Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς.

Ἐπέπεσεν ὁ φόβος διὰ τὰς ὑπὲρ αὐτῶν θεηλάτους μάστιγας. Αἴγυπτον δὲ λέγει, τοὺς ὑπολειφθέντας Αἰγυπτίους.

37β Add. [MFB in marg.]PV: Καὶ ἑτέρως δέ· οἱ ἀκολουθοῦντες τῷ Θεῷ οὐκ ἀσθενοῦσι, πάντα ἰσχύοντες ἐν τῷ ἐνδυναμοῦντι αὐτοὺς Χριστῷ [Php 4.13]. : om. CS[2].

Διεξελθὼν δὲ τὰς κατὰ τῶν Αἰγυπτίων πληγὰς ἐπιτομώτερον, ἤδη μεταβαίνει καὶ ἐπὶ τὰς εἰς τοὺς Ἑβραίους εὐεργεσίας.

39 Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.

Ἐν ἐκείνῳ τῷ ψαλμῷ καὶ περὶ τούτων ἐῤῥήθη, ὅπου τὸ, *Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας*, καὶ τὰ ἑξῆς. Ps 77.14

40α Ἤιτησαν καὶ ἦλθεν ὀρτυγομήτρα.

Ἐκεῖ καὶ περὶ ταύτης, ἔνθα τὸ, *Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χνοῦν σάρκας*. Ps 77.27

40β Καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς.

Ἐν δὲ τῷ οζ′ ψαλμῷ γέγραπται, *Καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς*. Ps 77.24β

41 Διέῤῥηξε πέτραν καὶ ἐῤῥύησαν ὕδατα, ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.

Ὁμοίως καὶ περὶ τούτων, ὅπου τὸ, *Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα*. Ἐπορεύθησαν, φησὶν, ἐν ἀνύδροις τόποις ποταμοὶ ῥέοντες ἀπὸ τῆς διαῤῥαγείσης ἐκείνης πέτρας. Ποταμοὺς δὲ, τοὺς ὀχετοὺς ἐκάλεσε διὰ τὸ πλῆθος τῶν ὑδάτων. Ps 77.16

42 Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ.

Τοῦ λόγου τῆς ἐπαγγελίας, ὅτι πληθυνεῖ τὸ σπέρμα αὐτοῦ, καὶ ὅτι δώσει αὐτῷ τὴν γῆν Χαναὰν, ἤτοι τὴν Παλαιστίνην. Gen 13.15

43α Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει.

Χαίροντα μετὰ τὴν τῶν Αἰγυπτίων καταπόντισιν.

43β Καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.

Τὸν αὐτὸν λαὸν, λέγει καὶ ἐκλεκτοὺς, ὡς ἐξῃρημένον Θεῷ.

44α Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν.

Τῶν κατοικούντων τὴν Παλαιστίνην.

44β Καὶ πόνους λαῶν κατεκληρονόμησαν.

43β[2] Θεῷ MPS[2]BF : τῷ Θεῷ CV.

Τῶν εἰρημένων ἐθνῶν.

45 Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσι.

Ταῦτα δὲ ἐποίησεν αὐτοῖς, προτρεπόμενος αὐτοὺς εἰς φυλακὴν τῶν ἐντολῶν αὐτοῦ, ἤτοι πρὸς ἐκζήτησιν τοῦ νόμου αὐτοῦ. Ἐκζήτησιν δὲ νόει, τὸν πόθον· ὃ γάρ τις ποθεῖ, τοῦτο καὶ ζητεῖ.

105 ρε΄
1α Ἀλληλούϊα.

Καὶ οὗτος ὁ ψαλμὸς, ὁμοίως τῷ προλαβόντι τὰ τοῦ Θεοῦ θαυμάσια διηγούμενος, ἔτι δὲ καὶ τὴν τῶν Ἑβραίων μὲν ἀχαριστίαν καὶ πονηρίαν, αὐτοῦ δὲ μακροθυμίαν καὶ φιλανθρωπίαν, ὁμοίαν ἐκείνῳ φέρει καὶ τὴν ἐπιγραφήν.

1β Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός.

Ἐξομολογεῖσθε αὐτῷ τὰς ἁμαρτίας ὑμῶν, ὅτι ἀγαθός ἐστι | καὶ ἀμνησίκακος τοῖς ἐξομολογουμένοις.

1γ Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εἰς τὸν αἰῶνα τοῦτον, τὸ ἔλεος αὐτοῦ τοῖς μετανοοῦσιν, εἰς δὲ τὸν μέλλοντα, ἡ κρίσις αὐτοῦ· διὸ χρὴ εἰς τὸν αἰῶνα τοῦτον ἐξομολογεῖσθαι. Ἢ ὅτι ἀεὶ ἐλεεῖ, καὶ προσῆκον ἀεὶ ἐξομολογεῖσθαι· ἢ ὅτι αἰώνιον τὸ ἔλεος αὐτοῦ τοῖς ἀξίοις.

2α Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου;

Τὰς μεγαλοδυνάμους εὐεργεσίας, τὰς εἰς τὸν λαὸν αὐτοῦ· ὄντως οὐδεὶς, ὡς ἀνεφίκτους.

Ἢ ἁπλῶς τὰς μεγαλουργίας· Ὁ Θεὸς γὰρ, φησὶν, ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα ὅσα ἠθέλησεν ἐποίησεν. Ps 113.11

Ἢ τὰς θεοπρεπεῖς δυνάμεις, ἃς ἐργάσεται πολιτευόμενος ἐν σαρκὶ, ὡς εἶναι τοῦτο προφητείαν περὶ αὐτῶν.

2β Ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;

Τίς ἀπαγγελεῖ τὰς ἐφ’ ἑκάστῳ τούτων ἁρμοζούσας αἰνέσεις;

3α Μακάριοι οἱ φυλάσσοντες κρίσιν.

45[1] φυλάξωσι S[2]BV[TRa] : φυλάξωνται MPCAF [cf. Ps 131.12].

Οἱ τηροῦντες νόμον Θεοῦ, ἢ οἱ ἔχοντες κρίσιν εἰς τὸ κρίνειν ὀρθῶς, μὴ μόνον ἑτέροις, ἀλλὰ καὶ πρὸ τούτων ἑαυτοῖς, ὥστε μὴ παραχωρεῖν κατεξανίστασθαι τὸ χεῖρον τοῦ κρείττονος, μηδὲ νικᾶσθαι τὸ καλὸν ὑπὸ τοῦ κακοῦ.

3β Καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.

Ἑαυτοῖς, ὡς εἴρηται, καὶ ἑτέροις.

4α Μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου.

Προϊδὼν ὁ Δαυὶδ τὰ κατὰ τὴν ἔνσαρκον οἰκονομίαν καὶ τὸν νέον λαὸν, ἱκετεύει μνημονευθῆναι τότε καὶ αὐτὸν, εὐδοκίαν λέγων, τὴν ἐκλογὴν τοῦ τοιούτου λαοῦ· μνήσθητι, φησὶν, ἡμῶν εἰς τὸ συντάξαι καὶ ἡμᾶς ἐκείνῳ.

Ἢ εὐδοκίαν, περὶ ἧς ἔλεγον οἱ ἄγγελοι, *Ἐν ἀνθρώποις εὐδοκία.* Lk 2.14

4β Ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου.

Τὸ αὐτὸ λέγει πάλιν, ἐπιτείνων τὴν αἴτησιν. Ἐν τῷ σωτηρίῳ, φησὶ, τῷ παρὰ σοῦ γενησομένῳ ἐν τῷ κόσμῳ, ὅπερ ἐστὶν ἡ ἐνανθρώπησις· *Αὐτὸς γὰρ*, φησὶ, *σώσει τὸν λαὸν αὐτοῦ.* Mt 1.21

5α Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου.

Τοῦ ἰδεῖν καὶ ἡμᾶς ἐν τῇ εὐεργεσίᾳ τοῦ λαοῦ σου, ἃ κἀκεῖνοι. Διὸ καὶ ὁ Χριστὸς ἔλεγε πρὸς τοὺς μαθητὰς, ὅτι *Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ εἴδετε.* Mt 13.17

5β Τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου.

Τοῦ τῶν Χριστιανῶν. Περὶ ἧς εὐφρονσύνης εἶπε πάλιν ὁ ἄγγελος, ὅτι *Ἰδοὺ εὐαγγελίζομαι ἡμῖν χαρὰν μεγάλην.* Lk 2.10

5γ Τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου.

Διὰ τῶν εἰρημένων πάντων, ἱκετεύει κοινωνίαν ἔχειν καὶ αὐτὸν ἐν τῷ κλήρῳ τοῦ νέου λαοῦ, ὡς ἤδη πιστεύσαντα.

6 Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, ἠνομήσαμεν, ἠδικήσαμεν.

Νοηθεῖεν ἂν τά τε ῥηθέντα, τά τε προκείμενα, καὶ προσώπῳ τῶν ἐκ περιτομῆς πιστεῦσαι μελλόντων εἰς Χριστὸν, ὡς ἀπὸ τούτων, τοῦ Δαυὶδ ταῦτα δεομένου, Tit 1.10

6[3] δεομένου MS[2]CB(F) : φθεγγομένου PV.

κατὰ τὴν ὑφήγησιν τοῦ ἁγίου Πνεύματος, καὶ τὰς πρὸ τοῦ πιστεῦσαι αὐτοὺς ἁμαρτίας ἐξομολογουμένου.

7α Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου.

Οὐ συνῆκαν τὰ ἐκεῖ τερατουργηθέντα.

7β Οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου.

Τοῦ εἰς αὐτοὺς γενομένου τότε. Οὐ συνῆκαν δὲ, καὶ οὐκ ἐμνήσθησαν, τουτέστιν, ἐπελάθοντο πάντων. Πότε; Ὅτε δηλαδὴ, πλησιάσαντες τῇ Ἐρυθρᾷ θαλάσσῃ, εἶδον τοὺς Αἰγυπτίους στρατοπεδεύσαντας ὀπίσω αὐτῶν. Τότε γὰρ, φησὶ, φοβηθέντες σφόδρα, εἶπον πρὸς Μωυσῆν, *Παρὰ τὸ μὴ ὑπάρχειν μνήματα ἐν Αἰγύπτῳ ἐξήγαγες ἡμᾶς ἀποκτεῖναι ἐν τῇ ἐρήμῳ;* καὶ ὅτι, *Πάρες ἡμᾶς, ὅπως δουλεύσωμεν τοῖς Αἰγυπτίοις· κρεῖσσον γὰρ ἦν ἡμᾶς δουλεύειν τοῖς Αἰγυπτίοις ἢ ἀποθανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ.* Ex 14.11-12

7γ Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ.

Καὶ τοιαῦτα λέγοντες, παρώργησαν αὐτὸν παρὰ τὴν Ἐρυθρὰν θάλασσαν· πλησίον γὰρ | αὐτῆς ἡ ἔρημος, ὅπου στρατοπεδεύσαντες τοιαῦτα ἐγόγγυζον· ἢ ἀναβαίνοντες πρὸς τὴν Ἐρυθρὰν θάλασσαν· ἀναβαίνοντες δὲ εἶπε, διότι χθαμαλή ἐστιν ἡ Αἴγυπτος, ὅθεν ἀνέβαινον.

8α Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

Οὐ συνέκλεισεν αὐτοὺς εἰς τὰς χεῖρας τῶν καταδιωκόντων Αἰγυπτίων, ἵνα μὴ βλασφημηθῇ, ὡς ἀσθενὴς ἢ ἀπατεών· αὐτοὶ γὰρ ἀνάξιοι ἦσαν σωτηρίας, ὡς Isa 52.5 ἀγνώμονες.

8β Τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ.

Τοῦ γνωσθῆναι τὸ μεγαλοδύναμον αὐτοῦ, οὐ μόνον Ἑβραίοις καὶ Αἰγυπτίοις, ἀλλὰ καὶ πᾶσι τοῖς ἔθνεσι.

9α Καὶ ἐπετίμησε τῇ Ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη.

Ἐπέταξεν αὐτῇ, καὶ ἐξηράνθη κατὰ τὸ μέσον.

9β Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ.

Ὡς ἐν ξηρᾷ. Ἐν ἀβύσσῳ δὲ εἶπε, διὰ τὸ μέσον ὁδεύειν τῆς θαλάσσης.

10α Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος.

Τοῦ Φαραώ.

10β Καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν.

Τῶν Αἰγυπτίων.

11 Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς, εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.

Ὕδωρ, τὸ τῆς θαλάσσης.

12α Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ.

Ταῖς ἐπαγγελίαις αὐτοῦ.

12β Καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ.

Ἤισαν τὴν ἐπινίκιον ᾠδὴν, ἣν ὑπηγόρευσεν αὐτοῖς Μωυσῆς. Ex 15.1-19

13α Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ.

Ταχέως ἐπελάθοντο πάλιν τῶν εἰς αὐτοὺς εὐεργεσιῶν, ὅτε, πεινάσαντες καὶ μνησθέντες τῶν λεβήτων τῶν κρεῶν καὶ τῆς πλησμονῆς τῶν ἄρτων τῶν ἐν Αἰγύπτῳ, διεγόγγυζον. Ex 16.2-3

13β Οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ.

Οὐκ ἀνέμειναν αὐτὴν, βουλομένου οἰκονομῆσαί τι, καὶ διὰ τοῦτο παραχωρήσαντος πεινᾶσαι αὐτούς.

14α Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ.

Ἐπιθυμίαν κρεῶν, ὡς εἴρηται, καὶ ἄρτων. Nu 11.4

14β Καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ.

Ζήτησον ἐν τῷ οζʹ ψαλμῷ τὸ, *Παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ, καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν.* Ps 77.17β-18

15α Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν.

Τὸ περὶ βρωμάτων, ἔτι δὲ καὶ τὸ περὶ ὕδατος. Αἴτημα δὲ λέγει, τὴν ἐπιθυμίαν· οὐ γὰρ ᾐτήσαντο, ἀλλ' ἐπεθύμησαν καὶ ἐγόγγυσαν.

15β Ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν.

Οὐχ ἁπλῶς αὐτοῖς ἔδωκε, κρέας μὲν τὴν ὀρτυγομήτραν, ἄρτον δὲ τὸ μάννα, ὕδωρ δὲ τὸ ἐν Μεῤῥᾷ γλυκανθὲν καὶ τὸ ἐκ πέτρας ῥυὲν, ἀλλ' ἄχρι καὶ κόρου.

16α Καὶ παρώργισαν τὸν Μωυσῆν ἐν τῇ παρεμβολῇ.

Οἱ περὶ Δαθὰν καὶ Ἀβειρών· ἀντέστησαν γὰρ αὐτῷ, καθὼς ἡ τῶν Ἀριθμῶν βίβλος ἱστορεῖ. Nu 16.1-2

16β Τὸν Ἀαρὼν τὸν ἅγιον Κυρίου.

Τὸν καθιερωμένον Κυρίῳ· οἱ περὶ Κορὲ Λευῖται, φιλονεικοῦντες ἱερατεύειν. Nu 16.10

17α Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθάν.

Ζῶντα.

17β Καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών.

Καὶ ἐκάλυψε τὴν συναγωγὴν Ἀβειρών· περιττὴ γὰρ ἡ πρόθεσις.
Ἡ μὲν οὖν εἰρημένη βίβλος, ἅμα καὶ τὸν Δαθὰν καὶ τὸν Ἀβειρὼν, καὶ τὴν περὶ αὐτοὺς συναγωγὴν, καὶ τὰ κτήνη αὐτῶν, καὶ τὰς σκηνὰς αὐτῶν, καὶ πάντα ὅσα ἦν αὐτοῖς, φησὶ συγκαταποθῆναι· Δαυὶδ δὲ διεῖλεν αὐτοὺς, αὔξων τὴν συμφορὰν αὐτῶν. Nu 16.32-33

18α Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν.

Τῶν περὶ Κορέ· πῦρ γὰρ ἐξελθὸν παρὰ Κυρίου, κατέκαυσε τοὺς πεντήκοντα καὶ διακοσίους ἄνδρας, τοὺς προσφέροντας τὸ θυμίαμα. Nu 16.35

18β Φλὸξ κατέφλεξεν ἁμαρτωλούς.

Τοὺς ῥηθέντας, ὡς ἀναξίως ἁρπάζειν τὴν ἱερωσύνην ἐπιχειροῦντας.

19α Καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ.

Ὡς ἡ βίβλος τῆς Ἐξόδου παρίστησιν. Οὐ κέχρηται δὲ τάξει περὶ τὴν ἱστορίαν, Ex 32.4
ἀλλ' ὡς ἔτυχε, καταλέγει τὰς ἁμαρτίας καὶ ἀσεβείας αὐτῶν.

19β Καὶ προσεκύνησαν τῷ γλυπτῷ. |

Τῷ μόσχῳ δηλονότι.

20 Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον.

Καὶ μετέστησαν τὴν τιμὴν τοῦ Θεοῦ ἐπὶ ὁμοίωμα μόσχου, εἰς εἴδωλον μόσχου. Τὸ δὲ, ἐσθίοντος χόρτον, προσέθηκε, διασύρων μάλα τὴν ἄνοιαν αὐτῶν, ὅτι λογικοὶ ὄντες, ξόανον ἀλόγου ἐδόξαζον.

Τινὰ δὲ τῶν ἀντιγράφων τὴν δόξαν αὐτῶν γράφουσιν, ὡς νοεῖσθαι δόξαν αὐτῶν, τὸν Θεὸν, τὸν δοξάσαντα αὐτοὺς διὰ τῶν προειρημένων εὐεργεσιῶν. Ἠλλάξαντο οὖν, φησὶ, τὸν Θεὸν, εἰς ὁμοίωμα μόσχου.

21- Ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σῴζοντος αὐτοὺς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ,
23α θαυμάσια ἐν γῇ Χὰμ, φοβερὰ ἐπὶ θαλάσσης Ἐρυθρᾶς, καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς.

Εἶπεν ὁ Θεὸς δηλονότι περὶ τοῦ ἐξολοθρεῦσαι αὐτούς. Εἶπε γὰρ πρὸς Μωυσῆν,
Ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ εἰς αὐτοὺς, ἐκτρίψω αὐτούς. Ex 32.10

23β Εἰ μὴ Μωυσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ, τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς.

Ὅτε δυσωπῶν ἔλεγε, Δέομαι, Κύριε, ἡμάρτηκεν ὁ λαὸς οὗτος ἁμαρτίαν μεγάλην καὶ ἐποίησαν ἑαυτοῖς θεοὺς χρυσοῦς· καὶ νῦν εἰ μὲν ἀφῇς αὐτοῖς τὴν
ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλου, ἧς ἔγραψας. Ex 32.31-32

Φασὶ δέ τινες ὅτι, εἰ καὶ μόσχον ἕνα φησὶν ἡ Γραφὴ, ἀλλ' οὖν πλείονες γεγόνασι· διὸ καὶ οἱ Ἑβραῖοι ἔλεγον, Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ, οἵτινες ἀνεβίβασάν σε ἐκ
γῆς Αἰγύπτου· καὶ ὁ Μωυσῆς δὲ, θεοὺς χρυσοῦς, εἴρηκεν, ὡς εἴρηται. Ἄλλοι δὲ Ex 32.4
πάλιν καθ' Ἑβραΐδα συνήθειαν, ἀντὶ ἑνικοῦ, τὸ πληθυντικὸν ἐνόησαν.

24α Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν.

Ἀπεπέμψαντο γῆν ἀγαθὴν, τὴν τῆς ἐπαγγελίας, ὡς εὑρήσεις ἐν τῇ βίβλῳ τῶν
Ἀριθμῶν. Εἶτα λέγει πῶς αὐτὴν ἐξουδένωσαν. Nu 14.23

24β Οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ.

20[4] ξόανον ἀλόγου MS[2]CBF : ξόανα ἀλόγων PV. 23β[4] ἀφῇς MPSCV : ἀφεῖς [Ra]. 24α [MF in marg.]PBV: Καὶ μὴν ἐθαύμαζον αὐτὴν, ἀλλὰ τῷ μαλακισθῆναι καὶ μὴ θελῆσαι πόνους ὑπὲρ αὐτῆς ἀναδέξασθαι, τούτῳ πάντως ἐξουδένωσαν. : CS[2] om.

Ὅτι δώσει αὐτοῖς αὐτήν· τοῦτο γὰρ αὐτοῖς ἐπηγγείλατο.

25α Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν.

Ἐν ταῖς σκηναῖς αὐτῶν. Πᾶσα γὰρ, φησὶν, ἡ συναγωγὴ ἔδωκε φωνὴν, καὶ ἔκλαιεν ὁ λαὸς ὅλην τὴν νύκτα ἐκείνην, καὶ διεγόγγυζον. Ὅτε δηλονότι οἱ Nu 14.1-2 ἀποσταλέντες εἰς τὴν εἰρημένην γῆν κατάσκοποι ὑποστρέψαντες ἀνήγγειλαν περὶ τῆς ἰσχύος τῶν κατοικούντων ἐν αὐτῇ διαφόρων ἐθνῶν.

25β Οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου.

Τῆς ὅτι δίδωσιν αὐτοῖς τὴν εἰρημένην γῆν. Οὐκ ἐπίστευσαν τῇ τοιαύτῃ φωνῇ.

26α Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ᾽ αὐτούς.

Ἐκίνησε τὴν χεῖρα αὐτοῦ κατ᾽ αὐτῶν, ἤτοι τὴν κολαστικὴν δύναμιν.

26β Τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ.

Τοῦ θανατῶσαι αὐτούς.

27α Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι.

Τοῦ καταφυτεῦσαι τὰ τέκνα αὐτῶν ἐν τῇ γῇ τῶν ἐθνῶν, τῶν Χαναναίων καὶ τῶν ἄλλων. Εἶπε γὰρ, φησὶ, Κύριος πρὸς Μωυσῆν, ὅτι πάντες οἱ ἄνδρες, οἳ ἐπείρασάν με τοῦτο δέκατον, καὶ οὐκ εἰσήκουσαν τῆς φωνῆς μου, ἦ μὴν οὐκ ὄψονται τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, ἀλλ᾽ ἢ τὰ τέκνα αὐτῶν, ἅ ἐστι Nu 14.20, μετ᾽ ἐμοῦ ὧδε. 22-23

27β Καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.

Ταῖς τῶν εἰρημένων ἐθνῶν.

28α Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ.

Τελετὴ γεγόνασι, καὶ οἷον ἑορτὴ τῷ Βεελφεγώρ· ἢ ἐμυήθησαν τῷ Βεελφεγὼρ, εἰδώλῳ τῶν Μωαβιτῶν, ἤτοι Μαδιανιτῶν, ὡς ἐν τῇ προμνημονευθείσῃ βίβλῳ τῶν Ἀριθμῶν ἱστόρηται, ὅτε, ἐπιθυμήσαντες τῶν θυγατέρων Μωὰβ, ἀνεπείσθησαν Nu 25.1-5 ὑπ᾽ αὐτῶν τοῦ προσκυνῆσαι τοῖς εἰδώλοις αὐτῶν.

28α[2] τελετή MPCBFV : τελετῇ S[2]. 28α[2] ἑορτὴ PA[corr.]BV : ἑορτῇ MS[2]CAF.

28β Καὶ ἔφαγον θυσίας νεκρῶν. |

Νεκρὰ λέγει, τὰ εἴδωλα, ὡς ἀναίσθητα καὶ ἀνενέργητα.

29α Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

Ἐν τοῖς τοιούτοις ἔργοις αὐτῶν.

29β Καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.

Ἀποθνησκόντων πολλῶν.

30 Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις.

Ἀνέστη ἐκ μέσου τῆς συναγωγῆς, καὶ ἐξιλεώσατο τὸν Θεὸν ἐν τῷ λαβεῖν σειρομάστην, εἴτουν δόρυ, καὶ ἀποκεντῆσαι τὸν Ἰσραηλίτην ἅμα καὶ τὴν Μαδιανῖτιν· καὶ ἐκόπασεν ἡ ὀργὴ τοῦ Θεοῦ, εἴτουν ἡ πτῶσις τοῦ λαοῦ. Ἦν δὲ Φινεὲς, υἱὸς Ἐλεάζαρ τοῦ υἱοῦ Ἀαρών. Nu 25.6-11

31α Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

Εἰς ἀρετήν· διὸ καὶ ἆθλον ἔλαβεν ἐκ Θεοῦ, ἱερωσύνην αἰώνιον, ἑαυτῷ καὶ τῷ σπέρματι αὐτοῦ. Nu 25.13

31β Εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος.

Ἀεὶ γὰρ διὰ τὸν φόνον ἐκεῖνον εὐφημεῖται, τὸν ὑπὲρ εὐσεβείας γενόμενον.

32α Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας.

Ἐν τῇ ἐρήμῳ Κάδης. Ἐκεῖ γὰρ διψήσας ὁ λαὸς, ἐδεινοπάθει, καὶ διεγόγγυζε, καὶ ἀντέλεγε. Διὸ τὸ ἐκ πέτρας καὶ τότε ῥυὲν ὕδωρ ἐκλήθη ὕδωρ ἀντιλογίας. Nu 20.13

32β Καὶ ἐκακώθη Μωυσῆς δι᾿ αὐτούς.

Παρὰ Θεοῦ γὰρ κελευσθεὶς λαβεῖν τὴν ῥάβδον αὐτοῦ καὶ ἐκκλησιάσαι τὴν συναγωγὴν καὶ λαλῆσαι πρὸς τὴν ἀπέναντι πέτραν ὅπως δώσει ὕδωρ, λαβὼν τὴν ῥάβδον καὶ ἐκκλησιάσας, εἶπεν· *Ἀκούσατέ μου οἱ ἀπειθεῖς· μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὑμῖν ὕδωρ; εἶτα ἐπάταξε τὴν πέτραν τῇ ῥάβδῳ δὶς, καὶ ἐξῆλθεν ὕδωρ πολύ.* Nu 20.8-11

Ἐπεὶ οὖν οὐκ ἐλάλησε πρὸς τὴν πέτραν, ὡς εἶπεν αὐτῷ Κύριος, εἰς δόξαν

31α[2] ἐκ Θεοῦ MS[2]CBF : ἀπὸ τοῦ Θεοῦ P : ἀπὸ Θεοῦ V.

Θεοῦ, ἀλλὰ πρὸς τὸν λαὸν μετ' ἀγανακτήσεως κατ' ὀλιγωρίαν, ἐκακώθη παρὰ Θεοῦ, εἰπόντος πρὸς αὐτόν τε καὶ τὸν Ἀαρών· *Ἐπεὶ οὐκ ἐπιστεύσατέ μοι ἁγιάσαι με ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν, ἣν ἔδωκα αὐτοῖς.* Ἁγιάσαι λέγων, τὸ δοξάσαι. Nu 20.12

33α *Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ.*

Τὴν ψυχὴν τοῦ Μωυσέως οἱ Ἰσραηλῖται, γογγύζοντες καὶ διαλοιδορούμενοι αὐτῷ. Δείκνυσι δὲ ὅτι ἀναγκασθεὶς, ὠλιγώρησε.

33β Καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ.

Διέστειλεν, ἤτοι διστακτικῶς ἐλάλησεν. Ἀμφιβόλως εἶπε, καὶ οὐ πιστεύων ὅτι ῥυήσεται ὕδωρ. Οἶμαι γὰρ, ὑπέλαβεν ὅτι διὰ τὸ συνεχῶς αὐτοὺς ἀγνωμονεῖν περὶ τὸν πυκνῶς εὐεργετοῦντα, οὐκ ἐξενεχθήσεται ὕδωρ.

34 Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς.

Περὶ τούτων ἡ βίβλος τῶν Κριτῶν ἱστορεῖ. Jdc 1

35- Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι καὶ ἔμαθον τὰ ἔργα αὐτῶν, καὶ ἐδούλευσαν τοῖς
36α γλυπτοῖς αὐτῶν.

Ἔργα, τὰ παράνομα καὶ ἀσεβῆ. Ζήτησον ἐν τῷ οζ' ψαλμῷ τὸ, *Καὶ ἀπέστρεψαν, καὶ ἠθέτησαν, καθὼς καὶ οἱ πατέρες αὐτῶν.* Ps 77.57α

36β Καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον.

Ἐγενήθη τὰ γλυπτὰ, ἢ τὸ δουλεῦσαι τοῖς γλυπτοῖς· ἐγένετο, φησὶν, αὐτοῖς εἰς ἐμπόδιον τῆς θείας ἐπισκοπῆς, εἰς πρόσκομμα καὶ πτῶσιν.

37- Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις· καὶ
38α ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς
Χαναάν.

Ὡς τοὺς μαθόντας τὰ ἔργα τῶν ἐθνῶν εἰκός. Εἰργάζοντο γὰρ καὶ τοῦτο τὰ ἔθνη κατά τινας καιρούς.

38β- Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν.
39α

Ἐφερμηνευτικὸν τὸ, ἐμιάνθη, τοῦ, ἐφονοκτονήθη.

37[4] μαθόντας MCBF : μανθάνοντας PV.

39β Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

Ἀποστάντες τοῦ Θεοῦ, ἐκολλήθησαν τοῖς δαίμοσι· τοῦτο γὰρ καὶ ἄλλοι προφῆται, πορνείαν καὶ μοιχείαν ὠνόμασαν. Ps 72.27β
Νοεῖται δὲ καὶ περὶ τῆς ἀκολασίας αὐτῶν ὁ λόγος.

40- Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ | τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν
41α αὐτοῦ, καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν.

Ὡς ἡ τῶν Κριτῶν βίβλος διδάσκει. Jdc 2.14

41β- Καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς, καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν,
43α καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν. Πλεονάκις ἐῤῥύσατο αὐτούς, αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν.

Ἐν τῇ βουλῇ αὐτῶν, τῇ πονηρᾷ· ἐν τῇ γνώμῃ αὐτῶν, τῇ ἀχαρίστῳ καὶ ἀγνώμονι.

43β Καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.

Κατεπτώθησαν, ἠσθένησαν.

44- Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτούς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως
45α αὐτῶν, καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ.

Τῆς πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.

45β Καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ.

Μετέβαλε τὴν ὀργὴν εἰς οἶκτον, ὡς πολυέλεος.

46α Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμούς.

Ὤικτειρεν αὐτούς.

46β Ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς.

Περιφανῶς, ὥστε πάντας τοῦτο μαθεῖν τοὺς αἰχμαλωτεύσαντας αὐτούς. Διάφορα γὰρ ἔθνη κατὰ διαφόρους καιροὺς ἠχμαλώτευσαν αὐτούς, ὡς ἡ δηλωθεῖσα βίβλος ἱστορεῖ. Jdc 3-13
Γέγονε δὲ τοῦτο ἐπὶ Κύρου, καὶ Δαρείου, καὶ Ἀρταξέρξου τῶν βασιλέων, ὡς Ἔσδρας ἔγραψεν. 2Esdr 6.14

47α Σῶσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν.

Εἰς τὴν προτέραν αὖθις ἀνέδραμεν ἱκεσίαν. Ps 105.4

47β Καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν.

Οἶμαι, προσώπῳ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας ἡ παράκλησις· ἴσως δὲ καὶ τῶν διασπαρέντων μετὰ τὴν παρὰ Βαβυλωνίων αἰχμαλωσίαν.

47γ Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ.

Τοῦ εὐχαριστῆσαι, ὡς Σωτῆρι καὶ ἐλευθερωτῇ.

47δ Τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.

Μέγα γὰρ καὶ τὸ αἰνεῖν σε, καὶ καύχησις ὄντως τοῖς αἰνοῦσιν, ὅτι ἀξιοῦνται ὑμνολόγοι γίνεσθαι τοιούτου Θεοῦ.

48α Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος.

Εὐφημητὸς, αἰνετὸς ἀεί.

48β Καὶ ἐρεῖ πᾶς ὁ λαὸς, Γένοιτο, γένοιτο.

Ἐρεῖ τὸ, Εὐλογητὸς Κύριος· ἢ τὸ, Γένοιτο εὐλογητός. Ps 71.19β

106 ρϛʹ
1α Ἀλληλούϊα.

Καὶ οὗτος ὁ ψαλμὸς, διεξιὼν εὐεργεσίας τοῦ Θεοῦ, τὴν αὐτὴν τῷ προλαβόντι δικαίως ἔλαχεν ἐπιγραφήν.

1β Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τοιοῦτον ἔχει προοίμιον καὶ ὁ πρὸ τούτου ψαλμός.

2α Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου.

Εἰπάτωσαν ὅτι χρηστὸς καὶ τὰ ἑξῆς.

2β Οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ.

Τοῦ διαβόλου.

Περὶ γὰρ τῶν πιστευσάντων εἰς Χριστὸν ὁ λόγος, εἰ καὶ Ἰουδαῖοι φιλονεικοῦσι νοεῖσθαι τὸν ψαλμὸν περὶ τῶν μετὰ τὴν παρὰ Βαβυλωνίων αἰχμαλωσίαν ἀνακληθέντων.

Τινὰ δὲ τῶν ἀντιγράφων, ἐκ χειρὸς ἐχθρῶν, γράφουσιν, ἤτοι τῶν δαιμόνων.

3α Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς.

Ἐκ τῶν χωρῶν τῶν ἐθνῶν, εἰς μίαν Ἐκκλησίαν καὶ πίστιν.

3β Ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης.

Ἐκ τῶν τεσσάρων γὰρ τοῦ κόσμου περάτων συνήχθησαν. *Εἰς πᾶσαν γὰρ*, φησὶ,
τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἀποστόλων, *καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ* Ps 18.5
ῥήματα αὐτῶν. Rom 10.18

4α Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ.

Ἐπλανήθησαν πρότερον ἐν τῇ πολιτείᾳ τῇ ἐρήμῳ καρπῶν ἀρετῆς καὶ μὴ ἐχούσῃ πόμα διδασκαλίας θείας.

4β Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον.

Πόλις κατοικητηρίου κυρίως, ὁ οὐρανὸς, οὗ τὴν ὁδὸν οὐχ εὗρον, οἷα πλανώμενοι· εἴη δ' ἂν ἡ θεογνωσία, καὶ ἡ εὐσέβεια, καὶ αἱ ἀρεταί.

5α Πεινῶντες καὶ διψῶντες.

Ἦσαν | δηλονότι· οὐκ εἶχον γὰρ θεογνωσίαν ἢ διδασκαλίαν τρέφουσαν καὶ ποτίζουσαν ψυχάς.

5β Ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν.

Ἐν ἁμαρτίαις κατετρίβη, ἐξησθένησε.

6α Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς.

Ἐκέκραξαν οἱ προφῆται ὑπὲρ αὐτῶν, καὶ οἱ θεῖοι ἄγγελοι, οἱ προεστηκότες
τῶν ἐθνῶν. Dt 32.8

6β Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτούς.

5β[1] ἐν αὐτοῖς P[AF in marg.]V[TRa] : ἐν κακοῖς MSCABF (cf. Ps 106.26β).

Ἐκ τῶν τυραννίδων τῶν δαιμόνων.

7α Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν.

Τὴν ἀνάγουσαν εἰς τὸν οὐρανὸν, ἣν πρότερον οὐχ εὗρον, ἐν πλάνῃ διάγοντες· ἐνανθρωπήσας γὰρ, ἐδίδαξεν αὐτοὺς τὴν ἀλήθειαν.

7β Τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου.

Περὶ οὗ μικρὸν ἀνωτέρω διελάβομεν. Ps 106.4β

8α Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ.

Ἐξαγορευσάτωσαν τὰ εἰς αὐτοὺς ἐλέη αὐτοῦ.

8β Καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Τὰ εἰς αὐτοὺς ἢ δι' αὐτοὺς θαυμάσια διηγησάσθωσαν τοῖς ἀγνοοῦσιν αὐτά.

9α Ὅτι ἐχόρτασε ψυχὴν κενήν.

Ψυχὰς πεινώσας ἐνέπλησεν ἄρτου θείου καὶ πόματος ζωηῤῥύτου, λέγω δὴ, τῆς εὐαγγελικῆς διδασκαλίας.

9β Καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.

Τὸ αὐτὸ λέγει πάλιν.

10α Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου.

Ἐν σκότει πλάνης, ἥτις ἐστὶν εἰκὼν θανάτου, χωρίζουσα τῆς ἀληθινῆς ζωῆς, ὡς ὁ θάνατος τῆς παρούσης.

10β Πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ.

Ἐν πτωχείᾳ ἀρετῶν καὶ κλοιῷ ἰσχυρῷ καὶ βαρεῖ ἁμαρτημάτων· Σειραῖς γὰρ, φησὶ, τῶν ἑαυτοῦ ἁμαρτημάτων ἕκαστος σφίγγεται. Prov 5.22

11α Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ.

Ἤτοι τὸν λέγοντα περὶ τῆς σωτηρίας αὐτῶν Θεόν· λέγοντα δὲ διὰ λόγου τοῦ

ἐμφύτου πᾶσιν ἀνθρώποις, καὶ νόμου τοῦ δοθέντος Ἰουδαίοις, καὶ προφητῶν, καὶ εὐεργεσιῶν, καὶ ἀπειλῶν, καὶ πληγῶν, καὶ λοιπῶν, ὑφ’ ὧν ἐκτριβῆναι τὴν κακίαν τὸ σπουδαζόμενον ἦν, ὡς ὁ Θεολόγος φησὶ Γρηγόριος. PG36.325

11β Καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν.

Εἴτουν τὸν βουλόμενον τὴν σωτηρίαν αὐτῶν Ὕψιστον· λόγια γὰρ Θεοῦ, τὸν Θεὸν, κατὰ περίφρασιν, καὶ βουλὴν Ὑψίστου, τὸν Ὕψιστον ἐνταῦθα χρὴ νοεῖν.

12α Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν.

Ἐταλαιπώρησεν ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς τῆς ἁμαρτίας.

12β Ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν.

Ὁ ῥυόμενος αὐτοὺς τῆς τυραννίδος τοῦ διαβόλου.

13 Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

Εἴρηται περὶ τούτων ἀνωτέρω· τετράκις γὰρ ἐν ὅλῳ τῷ ψαλμῷ ταῦτα τέθεικεν, ἐμφαίνων τὸ μέγεθος τῆς εὐεργεσίας. Ps 106.6, 13, 19, 28

14α Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου.

Εἴρηται καὶ περὶ τοῦ σκότους καὶ τῆς σκιᾶς τοῦ θανάτου. Ps 106.10α

14β Καὶ τοὺς δεσμοὺς αὐτῶν διέῤῥηξε.

Τοὺς δεσμοὺς τῆς ἁμαρτίας, οὓς ἐπέβαλεν αὐτοῖς ὁ διάβολος, τοὺς δεσμοὺς τῆς δουλείας τῶν δαιμόνων.

15 Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Ἐῤῥήθη καὶ περὶ τούτων· ὁμοίως γὰρ τετράκις ἐν ὅλῳ τῷ ψαλμῷ καὶ ταῦτα τέθεικεν, ἐπιτείνων τὴν εὐχαριστίαν. Ps 106.8, 15, 21, 31

16α Ὅτι συνέτριψε πύλας χαλκᾶς.

Πύλας ἰσχυρὰς, πύλας ἀῤῥήκτους, τὰς τοῦ ᾅδου· κατέλυσε γὰρ αὐτὰς, ἐκεῖ

κατελθὼν, καὶ τὰς κατεχομένας ψυχὰς ἐξήγαγε.

16β Καὶ μοχλοὺς σιδηροῦς συνέθλασε.

Τοὺς τῶν τοιούτων πυλῶν· εἶεν δ' ἂν πύλαι ᾅδου καὶ μοχλοὶ, τὸ ἄφυκτον αὐτοῦ καὶ ἀδιεξόδευτον.

17α Ἀντελάβετο αὐτῶν | ἐξ ὁδοῦ ἀνομίας αὐτῶν.

Ἔτι ὁδευόντων ἐν ἀνομίᾳ.

17β Διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.

Ἐταλαιπώρησαν, καὶ ἐφάνησαν ἐλέους καὶ ἀντιλήψεως ἄξιοι.

18α Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν.

Πᾶν βρῶμα ψυχικὸν, λογικὸν, διδασκαλικόν· δι' ὑπερβολὴν καχεξίας. Καὶ αὐτοῖς γὰρ τοῖς Ἑλληνικοῖς δόγμασιν ἐδυσηρεστοῦντο.

18β Καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.

Τοῦ ψυχικοῦ, τοῦ παραδιδοῦντος ταῖς αἰωνίαις κολάσεσι. Πύλας δὲ θανάτου λέγει, τὰς μεγάλας καὶ χαλεπὰς ἁμαρτίας, τὰς εἰσαγούσας εἰς αὐτὸν, ἢ περιφραστικῶς, τὸν θάνατον. Περὶ δὲ τῶν πιστευσάντων ὁ λόγος.

19 Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

Εἴρηται καὶ περὶ τούτων. Ps 106.13

20α Ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς.

Τὸν Λόγον τὸν ἐνυπόστατον, ἤτοι τὸν Υἱὸν αὐτοῦ· ὑφεστῶτος γὰρ καὶ ζῶντος Ac 10.36
τὸ ἀποστέλλεσθαι, διὸ καὶ συνεχῶς οὗτος ἔλεγεν, ὅτι *Ὁ Πατὴρ ἀπέσταλκέ με*· ὃς Jn 5.36
καὶ *ἰάσατο πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν*. Mt 4.23

20β Καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

Ἐκ τῶν ἁμαρτιῶν αὐτῶν.

18β[2] *παραδιδοῦντος* MSCBF : *παραδιδόντος* PV.

21 Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Εἴρηται καὶ περὶ τούτων. Ps 106.15

22α Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως.

Θυσίαν λογικὴν, εὐαγγελικὴν, αἰνοῦντες, εὐλογοῦντες, εὐχαριστοῦντες αὐτῷ.

22β Καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.

Οἱ γινώσκοντες, τοῖς ἀγνοοῦσιν, οἱ παλαιότεροι, τοῖς νεωτέροις.

Ἔργα δὲ νόει, τὰς εὐεργεσίας, τὸν ἔλεον, τὴν ἐνανθρώπησιν, καὶ τὰ ἑξῆς τῆς σωτηρίου οἰκονομίας.

23- Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς,
24α αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου.

Περὶ τῶν ἀποστόλων, τῶν πρὶν ἁλιέων, ὁ λόγος. Οὗτοι γάρ εἰσιν οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, καὶ ποιοῦντες ἐργασίαν ἁλείας ἐν ὕδασι πολλοῖς τῆς θαλάσσης, οἳ καὶ εἶδον μᾶλλον τὰ ἔργα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

24β Καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.

Ποῖα; Διὰ τῶν ἑξῆς, ἄκουσον.

25 Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς.

Προσέταξε, καὶ ἠγέρθη κλύδων. *Γίνεται γὰρ*, φησὶ, *λαῖλαψ ἀνέμου μεγάλη· τὰ δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι.* Mk 4.37

26α Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων.

Τὰ τότε κύματα, νῦν μὲν λίαν ὑψούμενα, νῦν δὲ σφόδρα ταπεινούμενα, καθὼς ἐπὶ τῶν σάλων εἴωθε γίνεσθαι.

Καθ’ ὑπερβολὴν δὲ ὁ λόγος, ὡς τὸ, *Καὶ ὑπὲρ χιόνα λευκανθήσομαι*, καὶ τὸ, Ps 50.9β
Αἱ πόλεις δὲ τετειχισμέναι ἦσαν ἕως τοῦ οὐρανοῦ. Καὶ πολλὰ παρὰ τῇ Γραφῇ Dt 1.28
παραδείγματα τοῦ τοιούτου τρόπου.

26β Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο.

Ἐν φόβοις, ἐν κινδύνοις ἐξελίμπανεν, ὅτε αὐτὸς μὲν ἐκάθευδεν, αὐτοὶ δὲ, *προσελθόντες, ἤγειραν αὐτὸν λέγοντες, Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα.* Mt 8.25

27α Ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων.

Ἐσαλεύθησαν τὰς φρένας. Ἀλλ᾽ ὁ μὲν μεθύων σαλεύεται ὑπὸ οἴνου, οὗτοι δὲ ὑπὸ φόβου.

27β Καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη.

Ἡ περὶ τὸ θαλαττεύειν σοφία, ἡ περὶ τὸ πλεῖν ἐμπειρία, ἠφανίσθη τότε.

28α Καὶ ἐκέ | κραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς.

Ἐν τῷ χειμάζεσθαι, ὡς εἴρηται.

28β Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς.

Ἐκ τῶν φόβων ἐκείνων, ἐκ τοῦ κινδύνου· εἶτα λέγει καὶ τὸ πῶς.

29 Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησε τὰ κύματα αὐτῆς.

Ἐ*πετίμησε* γὰρ, φησὶ, *τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη*. Αὔρα γὰρ, τὸ πρᾶον καὶ γαληναῖον πνεῦμα. Mt 8.26

30α Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν.

Ὅτι ἡσύχασαν τὰ κύματα.

30β Καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτοῦ.

Λιμὴν γὰρ ὄντως, αἱ ἐντολαὶ αὐτοῦ, παντὸς ψυχικοῦ ναυαγίου τηροῦσαι τὸν ἐν αὐταῖς ἀνώτερον.

31 Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Κηρυξάτωσαν πάντα οἱ ἀπόστολοι.

32α Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαῶν.

29[1] ἐσίγησε MPS[2]CBF : ἐσίγησαν V[Ra].

Ἐν συναγωγῇ λαῶν.

32β Καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.

Ἐν συνεδρίῳ ὑπερεχόντων.

33α Ἔθετο ποταμοὺς εἰς ἔρημον.

Ἔθετο τοὺς ποταμηδὸν εὐροοῦντας ἐν λόγοις Ἕλληνας, εἰς ἐρημίαν σοφίας, ἐπιστομιζόντων αὐτοὺς τῶν ἁλιέων καὶ ἀγραμμάτων ἀποστόλων.

33β Καὶ διεξόδους ὑδάτων εἰς δίψαν.

Καὶ τὰς πλημμύρας τῶν λόγων αὐτῶν εἰς ξηρασίαν.

34 Γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.

Καὶ τὴν γῆν τῶν Ἰουδαίων, τὴν καρποφοροῦσαν τοὺς προφήτας, εἰς ἀκαρπίαν· ἄκαρπος γὰρ ἡ ἁλμυρὰ γῆ. Αἴτιον δὲ, ἡ κακία τῶν κατοικούντων ἐν αὐτῇ, δι' ἣν οὐκέτι τοιούτους ἄνδρας καρποφορεῖ.

35α Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων.

Τὴν πρὶν ἔρημον καρπῶν ἀρετῆς Ἐκκλησίαν, εἰς λίμνας ὑδάτων τοῦ θείου βαπτίσματος, εἰς τὸ λιμνάζειν ὕδασι τοιούτοις.

35β Καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων.

Τὴν Ἐκκλησίαν τῶν πιστῶν αὖθις, τὴν ἄνυδρον πρὶν ἐν ἀγονίᾳ θείου λόγου, ἔθετο εἰς τὸ πηγάζειν ὕδατα δογμάτων ζωῤῥυτα.

36α Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας.

Τοὺς πρὶν ἐνδεεῖς βρώσεως πνευματικῆς.

36β Καὶ συνεστήσαντο πόλεις κατοικεσίας.

Πόλεις κατοικίας πνευματικῆς· λέγει δὲ, τὰς κατὰ τόπους Ἐκκλησίας. Οὕτως ἐναργῶς προφητεύει πάντα.

37α Καὶ ἔσπειραν ἀγρούς.

36α[1] κατῴκισεν B[TRa] : κατῴκησεν MPSCFV.

Ἔσπειραν οἱ ἀπόστολοι τὰς ψυχὰς τῶν ἀνθρώπων τῷ σπόρῳ τοῦ κηρύγματος, ἠγριωμένας πρότερον.

37β Καὶ ἐφύτευσαν ἀμπελῶνας.

Τὰς ψυχὰς αὖθις νόησον ἀμπελῶνας, καρποφορούσας βότρυας ἀρετῶν.

37γ Καὶ ἐποίησαν καρπὸν γενήματος.

Γενήματος μυστικοῦ, προσφερομένου τῷ Δεσπότῃ Χριστῷ, καὶ τοῦτον εὐφραίνοντος.

38α Καὶ εὐλόγησεν αὐτούς.

Φησὶ γὰρ ὁ Λουκᾶς περὶ τῶν ἀποστόλων ὅτι, *Ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς*· δῆλον δὲ ὅτι δι᾽ αὐτῶν ἄρα, καὶ τοὺς διαδόχους τῆς πίστεως αὐτῶν. Lk 24.50

38β Καὶ ἐπληθύνθησαν σφόδρα.

Ἀπὸ δώδεκα γὰρ καὶ ἑβδομήκοντα, εἰς ἀναριθμήτους μυριάδας ἐξήνθησαν.

38γ Καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε.

Κτήνη νόησον, τοὺς ἀλογωτέρους ἐν αὐτοῖς· ἢ καὶ ἄλλως, κτήνη τῶν ἀποστόλων, οἱ μαθηταὶ αὐτῶν, ὡς δίκην κτηνῶν ἑπόμενοι τούτοις, ὅπουπερ ἄγουσι, καὶ τροφὴν πνευματικὴν παρ᾽ αὐτῶν λαμβάνοντες, καὶ ὡς πρόβατα λογικά, οἳ καὶ αὐτοὶ πολλοὶ γεγόνασι.

Προαγορεύσας δὲ τὴν προκοπὴν καὶ αὔξησιν τῆς Ἐκκλησίας, ἔτι προλέγει καὶ τοὺς ἐπισυμβῆναι μέλλοντας αὐτῇ διωγμούς.

39 Καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης.

Ὠλιγώθησαν μὲν οἱ εὐσεβεῖς, μυριάδων πολλῶν ποικίλοις τρόποις ἀναιρεθεισῶν ὑπὲρ τοῦ Χριστοῦ· ἐκακώθησαν δὲ ὑπὸ θλίψεως, | πειρασμῶν καὶ ὀδύνης τῆς ἐντεῦθεν, ἀφαιρούμενοι τὰς οὐσίας, ἐλαυνόμενοι, μαστιζόμενοι, καὶ μυρία πάσχοντες.

40α Ἐξεχύθη ἐξουδένωσις ἐπ᾽ ἄρχοντας αὐτῶν.

Ἄρχοντες αὐτῶν, οἱ βασιλεῖς καὶ ἡγεμόνες, ὑφ᾽ οὓς ἐτέλουν καὶ ὑφ᾽ ὧν ἐδιώκοντο, οἵτινες ἐξουδενώθησαν παρὰ τοῦ Θεοῦ, ὡς ἀχρεῖοι.

40β Καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.

Πλανηθῆναι παρεχώρησεν, ὡς ἀνιάτους· ἰδίωμα δὲ τοῦτο τῆς Γραφῆς, περὶ οὗ πολλάκις εἰρήκαμεν.

Ἄβατος δὲ καὶ οὐχ ὁδὸς, τὰ δυσσεβῆ δόγματα καὶ ὀλέθρια.

41α Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας.

Τῷ πένητι λαῷ, τῷ πένητι ἐκ πτωχείας τῆς διὰ Χριστόν.

41β Καὶ ἔθετο ὡς πρόβατα πατριάς.

Ὡς πρόβατα οἰκεῖα τὰς πατριὰς, ἤγουν ἔταξεν ὡς πρόβατα ἑαυτοῦ, τὰς ἐν ταῖς χώραις πατριάς· πατριὰς δὲ λέγει νῦν, τὰ συστήματα ἑκάστης Ἐκκλησίας· πατριὰς δὲ, διὰ τὴν ἐκ πίστεως συγγένειαν, ἕνα πατέρα τὸν Θεὸν ἐχούσας· ἐπεὶ καὶ Ποιμὴν ὀνομάζεται καλὸς, καὶ τὴν ψυχὴν τιθεὶς ὑπὲρ τῶν προβάτων. Jn 10.14-15

42α Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται.

Ὄψονται τὰ ἤδη προφητευθέντα· εὐθεῖς δὲ, οἱ τὴν εὐθεῖαν ὁδεύοντες εὐσεβεῖς.

42β Καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.

Τοῦ κηρύγματος πλατυνθέντος ἄχρι καὶ βασιλέων· ἀνομία δὲ, οἱ ἄνομοι καὶ ἀσεβεῖς.

43α Τίς σοφὸς καὶ φυλάξει ταῦτα;

Καὶ παρατηρήσει ταῦτα πιστεύων ὅτι γενήσονται.

43β Καὶ συνήσουσι τὰ ἐλέη τοῦ Κυρίου.

Γνώσονται ταῦτα, ὅταν λάβωσι πέρας.

107 ρζʹ

1 Ὠιδὴ ψαλμοῦ τῷ Δαυίδ.

Περὶ τῆς ἐπιγραφῆς ταύτης, καὶ ἐν τῷ προοιμίῳ τῆς παρούσης βίβλου, καὶ ἐν ψαλμοῖς ἑτέροις εἰρήκαμεν. § 65

2-6 Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐξεγέρθητι, ἡ δόξα μου, ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου. Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε· ψαλῶ σοι ἐν ἔθνεσιν, ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς, ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Ταῦτα πάντα καθεξῆς καὶ ἐν τῷ νϛ′ ψαλμῷ κείμενα, τῆς καθηκούσης ἐξηγήσεως τετυχήκασιν ἐν ἐκείνῳ· ταὐτὸν δὲ τὸ, *Ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν*, καὶ τὸ, *Μέγα ἐπάνω τῶν οὐρανῶν*. Ps 56.8-12

Νοηθεῖεν δ᾽ ἂν καὶ περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ ταυτὶ τὰ ῥητὰ, τὸ *Ἐξεγέρθητι*, καὶ τὸ, *Ἐξεγερθήσομαι*, τοῦ μὲν Δαυὶδ ἱκετεύοντος, τοῦ δὲ Χριστοῦ ὑπισχνουμένου καὶ προστιθέντος καὶ τὸν καιρόν· ὄρθρου γὰρ βαθέος ἐξηγέρθη, κατὰ τὸν Λουκᾶν. Lk 24.1

Δόξα δὲ αὐτοῦ, ὁ Χριστὸς, ὡς ἐκ τοῦ σπέρματος αὐτοῦ γεννηθείς. Jn 7.42

7α Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου.

Ὁ νέος λαός σου. *Ἀγαπήσας* γὰρ, φησὶ, *τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς*. Jn 13.1

7β-14 Σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. Ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ Ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν· τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; Οὐχὶ σὺ, ὁ Θεὸς, ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεὸς, ἐν ταῖς δυ | νάμεσιν ἡμῶν; Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

Καὶ ταῦτα πάντα καθεξῆς εὑρήσεις ἐν τῷ νθ′ ψαλμῷ, καὶ ζήτησον ἐκεῖ· εἰ δὲ κατά τινας λέξεις μικρόν τι παραλλάττουσιν, ἀλλά γε τὴν αὐτὴν ἔχουσι διάνοιαν. Μὴ θαυμάσῃς δὲ, εἰ τὰ αὐτὰ καὶ ἐν ἑτέροις τίθησι πολλάκις ψαλμοῖς· ἔθος γὰρ καὶ τοῦτο τοῖς Ἑβραίοις, καὶ μάλιστα τοῖς προφήταις. Ps 59.7β-14

108 ρη′

1α Εἰς τὸ τέλος· τῷ Δαυὶδ ψαλμός.

Καὶ περὶ ταύτης τῆς ἐπιγραφῆς εἴρηται διαφόρως ἐν ἑτέροις ψαλμοῖς.

Ὁ δὲ παρὼν ψαλμὸς ἐσχημάτισται μὲν εἰς ἀρὰν, ἔστι δὲ προφητεία μελλόντων καταλήψεσθαι κακῶν τόν τε προδότην Ἰούδαν καὶ ἑτέρους τινάς.

2[2] Ἐξεγέρθητι, ἡ δόξα μου MPCV[T] : om. S[Ra].

Καὶ γὰρ ἔστι τι καὶ τοιοῦτον εἶδος ἐν ταῖς προφητείαις, καὶ μυρία τούτου παρὰ τῇ Γραφῇ παραδείγματα. Καὶ γὰρ καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, διαιρῶν τὰς δώδεκα φυλὰς, ὅτε εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσήεσαν, ἐκελεύσθη παρὰ Θεοῦ, τὰς μὲν εὐλογῆσαι, ταῖς δὲ ἀράσασθαι· καὶ ἦσαν προφητεῖαι καὶ τὰ τῶν εὐλογιῶν Jos 9.2e
καὶ τὰ τῶν ἀρῶν.

1β Ὁ Θεὸς, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς.

Τὸν παρόντα ψαλμὸν εἰς πρόσωπον τοῦ Χριστοῦ συντεθεῖσθαι λέγομεν, ἱκετεύοντος ὡς ἀνθρώπου ζῆν ἔτι, καὶ τὰ προκείμενα λέγοντος·

Ὁ Θεὸς, τὴν αἴνεσιν, τὴν δι' ἐμοῦ προσφερομένην σοι παρὰ τῶν ὁρώντων ἃ ἐργάζομαι θαυμάσια καὶ δοξαζόντων σε, μὴ καταπαύσῃς· ἢ τὴν αἴνεσίν μου, ἣν αἰνῶ σε αὐτὸς, πάντα ὅσα κατορθῶ σοὶ ἐπιγραφόμενος εἰς δόξαν σὴν, ἢ τὴν μετὰ αἰνέσεως δέησίν μου, μὴ παρέλθῃς ἐν σιωπῇ.

2α Ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη.

Ἁμαρτωλὸν καὶ δόλιον, τὸν Ἰούδαν νόησον, ὃς ἤνοιξε στόμα κατὰ τοῦ Σωτῆρος, ὅτε συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ πρεσβυτέροις τοῦ λαοῦ περὶ τῆς προδοσίας.

2β Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ.

Οὗτός τε κἀκεῖνοι, ῥάπτοντες δόλους καὶ ἐπιβουλάς.

3α Καὶ λόγοις μίσους ἐκύκλωσάν με.

Λέγοντες ῥήματα μίσους· πολλάκις γὰρ Ἰουδαῖοι, κυκλοῦντες αὐτὸν, ἐλάλουν τοιαῦτα, διασύροντες, ὑβρίζοντες, ἐρωτῶντες κακοήθως.

3β Καὶ ἐπολέμησάν με δωρεάν.

Μάτην, ἀνευλόγως.

4α Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με.

Δέον ἀγαπᾶν με, καθεκάστην αὐτοὺς εὐεργετοῦντα καὶ λόγῳ καὶ ἔργῳ· οἱ δὲ τοὐναντίον διεκωμῴδουν με, πλάνον, καὶ παράνομον, καὶ ἀντίθεον ἀποκαλοῦντες.

4β Ἐγὼ δὲ προσηυχόμην.

4α[1] ἐνδιέβαλλον V[TRa] : ἐνδιέβαλον MPS[2]CABF.

Προσηυχόμην ὑπὲρ αὐτῶν· καὶ γὰρ ἐν τοῖς Εὐαγγελίοις προσεύχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων ἐνομοθέτησεν· ἢ προσηυχόμην, ἐπικαλούμενος τὴν παρὰ σοῦ Mt 5.44
βοήθειαν· διαφόρως γὰρ πρὸς τὸν Πατέρα προσευχόμενον αὐτὸν δηλοῦσιν οἱ εὐαγγελισταί.

5α Καὶ ἔθεντο κατ᾽ ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν.

Εἰργάσαντο κατ᾽ ἐμοῦ κακὰ, ἀνθ᾽ ὧν εὐηργετήθησαν παρ᾽ ἐμοῦ.

5β Καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.

᾽Αντὶ τῆς ἀγάπης, ἣν ἠγάπων αὐτούς.

6α Κατάστησον ἐπ᾽ αὐτὸν ἁμαρτωλόν.

Τὸ *κατάστησον*, καὶ τὰ ἑξῆς προστακτικά τε καὶ εὐκτικὰ, σχῆμα μὲν ἔχουσι τοιοῦτον, σημασίαν δὲ μέλλοντος καὶ προφητικὴν, ἀντὶ τοῦ, *καταστήσεται*, καὶ *στήσεται*, καὶ *ἐξελεύσεται*, καὶ τὰ τοιαῦτα.

Τάξον, φησὶν, ἐπὶ τὸν ᾽Ιούδαν, τὸν διάβολον· *Εἰσῆλθε* | *γὰρ*, φησὶν, *εἰς αὐτὸν ὁ Σατανᾶς*. Τὸ δὲ, *κατάστησον*, ἀντὶ τοῦ, *παραχώρησον καταστῆναι*, κατὰ τὸ τῆς Jn 13.27
Γραφῆς ἰδίωμα, περὶ οὗ πολλάκις εἰρήκαμεν.

6β Καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ.

Στήσεται ἐκ δεξιῶν αὐτοῦ, τουτέστιν, οἰκειωθήσεται αὐτῷ ὁ Σατανᾶς. Τῶν οἰκείων γὰρ, ἡ δεξιὰ στάσις· διὸ καὶ οἱ δίκαιοι παρὰ Θεῷ τῆς δεξιᾶς ἀξιοῦνται στάσεως. Mt 25.33-34

Καὶ ἑτέρως δὲ, *στήσεται ἐκ δεξιῶν αὐτοῦ*, τὰς δεξιὰς αὐτοῦ πράξεις ἀποσυλῶν. Εἰ δὲ περὶ ᾽Ιησοῦ τοῦ μεγάλου ἀρχιερέως γέγραπται, ὅτι *Καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ*, ἀλλ᾽ ἐκεῖ πρόσκειται ὅτι τοῦ ἀντιστῆναι αὐτῷ· ἔστη γὰρ ἐκ τῶν Zach 3.1
δεξιῶν, μαχόμενος ταῖς δεξιαῖς αὐτοῦ πράξεσιν.

7α ᾽Εν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος.

᾽Εν τῷ κρίνεσθαι αὐτὸν ὑπὸ τοῦ ἰδίου συνειδότος, ἐξελεύσεται ἀπὸ τοῦ συνεδρίου κατακεκριμένος· *Μεταμεληθεὶς* γὰρ, φησὶν, *ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, λέγων, ῞Ημαρτον παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον, Τί πρὸς ἡμᾶς; σὺ ὄψῃ*. Καὶ ὑφ᾽ ἑαυτοῦ γὰρ κατεκρίθη, καὶ Mt 27.3-4
ὑπ᾽ ἐκείνων· καταγνώσεως γὰρ, τὸ, *σὺ ὄψῃ*.

7β Καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.

[4β][1] *καὶ γὰρ* MS[2]FV : *καὶ γὰρ καί* PCB. 7α[6] *καταγνώσεως* MS[2]CFV : *κατακρίσεως* P.

Εἰς ἀποτυχίαν. Ὅτε γὰρ ἀπέκλινε πρὸς τοὺς ἐχθροὺς τοῦ Χριστοῦ, πάντως που καὶ προσηύχετο μετ᾽ αὐτῶν ἐξολοθρευθῆναι καὶ τὸν Χριστὸν καὶ τὸ μνημόσυνον αὐτοῦ. Ἢ ἁπλῶς, ἀποτεύξεται ὧν αἰτεῖ, διὰ τὴν δυστροπίαν αὐτοῦ.

8α Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι.

Τελευτήσει ταχέως. Μετὰ γὰρ τὴν προδοσίαν ὀλίγον ἐπέζησε, καὶ εὐθὺς ἀπήγξατο.

8β Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.

Τὴν ἀποστολικὴν ἐπισκοπὴν αὐτοῦ λήψεται ἕτερος· ὁ Ματθίας δηλονότι, ὁ Ac 1.20, 26
ἀντ᾽ αὐτοῦ κληρωθείς. Οἱ ἀπόστολοι γὰρ, ἐπίσκοποι τῶν πιστευόντων ἦσαν καὶ ποιμένες.

9 Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ, καὶ ἡ γυνὴ αὐτοῦ χήρα.

Τοῦτο καὶ τὰ ἑξῆς οὐκ ἀφορῶσι πρὸς τὸν Ἰούδαν· οὐδὲν γὰρ περὶ γυναικὸς
αὐτοῦ καὶ τέκνων ἱστόρηται. Διό φησιν ὁ Χρυσόστομος, περὶ ἑτέρου ταῦτα PG55.262
προφητεῦσαι τὸν Δαυὶδ, ἐπιβουλεύσαντος τῇ ἱεροσύνῃ μετὰ τοὺς χρόνους τῆς ἐκ Βαβυλῶνος ἐπανόδου, εἰς ὃν καὶ προδήλως πεπληρῶσθαι πάντα.

10α Σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτωσαν.

Διασειόμενοι, μεταναστήσονται ἀπὸ τοῦ ἰδίου οἴκου, καὶ ἐπαιτήσουσι, πρὸς τῇ ὀρφανίᾳ καὶ μετανάστευσιν καὶ πενίαν ὑφιστάμενοι.

10β Ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.

Ἐκβληθήσονται καὶ ἐξ αὐτῶν, μηδ᾽ ἐν αὐτοῖς οἰκεῖν συγχωρούμενοι.

Οἰκόπεδα δὲ, τὰ ἐρείπια τῶν οἰκιῶν.

Τοιαύτην δὲ καὶ οὗτοι δώσουσι δίκην, ὡς κοινωνήσαντες τῆς τοῦ πατρὸς μοχθηρίας.

11α Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ.

Ἐξερευνήσει, ζητῶν ἱκάνωσιν τῶν χρεῶν, οἷς ἔτι ζῶν περιπέπτωκε.

11β Καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ.

Διαρπάσουσι μετὰ τὸν δανειστὴν τὰ ὑπολειφθέντα.

9[4] ἐπιβουλεύσαντος CFV : ἐπιβουλεύσαντα MPS[2].

12α Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ.

Οὐχ ὑπάρξει· μετὰ θάνατον δηλονότι.

12β Μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ.

Οὐ γενηθήσεται διὰ τὴν ἀνωτέρω ῥηθεῖσαν αἰτίαν. Ps 108.10β

13α Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν.

Ἐξολοθρευθήσονται, καὶ οὐχ ἁπλῶς, ἀλλὰ ἄγονα· ἐπήγαγε γάρ·

13β Ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ.

Ἐξαλειφθήσεται τὸ μνημόσυνον αὐτοῦ, ἐν γενεᾷ | μιᾷ συγκλειόμενον, τῇ τῶν τέκνων μόνων, μὴ ὑπολιμπανομένων ἐκγόνων.

14α Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου.

Τοῦ πατρὸς καὶ τοῦ πάππου, ὡς κἀκείνων ἢ συμπραξάντων αὐτῷ ἢ παιδοτριβησάντων εἰς κακίαν. Ἀναμνησθήσεται δὲ, ἀντὶ τοῦ, οὐ παροραθήσεται, οὐ συγχωρηθήσεται αὐτοῖς.

14β Καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.

Οὐκ ἐξαλειφθήσεται, κἀκείνης ὁμοίως τοῖς πατράσιν αὐτοῦ κατακρινομένης.

Ἀνομίαν δὲ καὶ ἁμαρτίαν λέγει, τὴν ἐπὶ τῷ συμπρᾶξαι ἢ παιδοτριβῆσαι πρὸς κακίαν, ὡς εἴρηται.

15α Γενηθήτωσαν ἐναντίον Κυρίου διὰ παντός.

Γενήσονται ἡ ἀνομία καὶ ἡ ἁμαρτία αὐτῶν· ἤγουν ἀνεπίληστοι ἀεὶ ἔσονται παρὰ Θεῷ.

15β Καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτοῦ.

Πάλιν εἰς τὴν περὶ τοῦ Ἰούδα προφητείαν ἀνέδραμεν· εἶδος γὰρ καὶ τοῦτο προφητείας, μεταξὺ διακόπτειν, καὶ ὑπόθεσιν ἑτέραν ἐμβάλλειν, εἶτα πάλιν ἐπὶ τὴν προτέραν ἀνάγεσθαι, καθὼς ἂν ὑφηγήσηται τὸ Πνεῦμα τὸ ἅγιον.

Ἐξολοθρευθήσεται, φησὶ, μήτε κτήσεώς τινος, μήτε γένους κατὰ διαδοχὴν τὸ μνημόσυνον αὐτοῦ σῳζούσης.

16α Ἀνθ’ ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος.

Διότι, φησὶν, οὐκ ἠθέλησε ποιῆσαι ἔλεος εἰς τὸν ἀδίκως ἐπιβουλευόμενον, ἀλλὰ καὶ μᾶλλον συνέπραξε τοῖς ἐπιβουλεύουσι. Διότι οὐκ ἐμνήσθη ὧν εὐηργετήθη παρὰ τοῦ Χριστοῦ, ὥστε μνησθεὶς αὐτῶν, ποιῆσαι ἔλεος, εἴτουν ἐλεῆσαι.

16β Καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.

Κατεδίωξεν αὐτὸν, ὅτε λαβὼν ὄχλον πολὺν μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ, ἦλθε ζητῶν αὐτόν. Mt 26.47
Πένης δὲ καὶ πτωχὸς ὁ Χριστὸς, διὰ τὴν εὐτέλειαν τῆς σαρκὸς, καὶ τὸ μὴ ἔχειν Mt 8.20
ποῦ τὴν κεφαλὴν κλίνῃ· ἀνάγνωθι καὶ τὴν ἐξήγησιν τοῦ α′ στίχου τοῦ μ′ ψαλμοῦ. Ps 40.2α
Κατανενυγμένος δὲ τῇ καρδίᾳ, κατὰ τὸ, Μάθετε ἀπ’ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. Mt 11.29

17 Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ’ αὐτοῦ.

Διὰ τῶν ἔργων γὰρ τὴν μὲν ἐπεσπάσατο, τὴν δὲ ἀπεκρούσατο· καὶ καταρῶνται μὲν αὐτῷ πάντες οἱ εὐσεβεῖς, εὐλογεῖ δὲ οὐδείς.

18α Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον.

Ὅλον αὐτὸν δι’ ὅλου συνέχουσαν καὶ μὴ χωριζομένην· ἐνεδύσατο δὲ αὐτὴν διὰ τοῦ μύσους τῆς προδοσίας.

18β Καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ.

Οὐκ ἔξω μόνον περιέσχεν αὐτὸν, ἀλλὰ καὶ ἔνδον ἐχώρησε.

18γ Καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ.

Οὐκ ἔνδον μόνον, ἀλλὰ καὶ ἐνδοτέρω. Αὔξει δὲ τὸ πρᾶγμα, δηλῶν τὸ μέγεθος τῆς κατάρας· καὶ διὰ μὲν τοῦ ὕδατος, αἰνιττόμενος τὸ σφοδρὸν αὐτῆς, διὰ δὲ τοῦ ἐλαίου, τὸ δυσέκνιπτον καὶ μόνιμον.

19 Γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διὰ παντὸς περιζώννυται.

Γενήσεται ὥστε συνέχειν καὶ διασφίγγειν αὐτόν.

20α Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου.

Αὕτη ἡ τιμωρία παρὰ Κυρίου τῶν ἐν Ἰουδαίοις διαβαλλόντων με, τουτέστι, τοῦ Ἰούδα καὶ τῶν κατ' αὐτόν. Τοῦτο τὸ κολαστικὸν ἔργον, περὶ οὗ προείρηται, ὅτι πείσεται τόδε καὶ τόδε.

Ἢ τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίῳ, ἐν τῷ λέγειν με ἀντίθεον. Jn 9.16

20β Καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.

Εἴρηται ἐν τῷ δηλωθέντι μʹ ψαλμῷ, *Κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι*, καὶ Ps 40.8β
ζήτησον τὴν ἐξήγησιν αὐτοῦ.

21α Καὶ σὺ, Κύριε Κύριε, ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου. |

Ποίησον εἰς ἐμὲ ἔλεος δηλονότι, οὐκ ἐπειδὴ ἄξιός εἰμι, ἀλλὰ διὰ σαυτὸν, ὅτι φιλάνθρωπος εἶ καὶ ἐλεήμων. Ὡς ἄνθρωπος δὲ καθικετεύει, παιδεύων ἡμᾶς, ἀδικουμένους, μετριοφρονεῖν, καὶ οὕτω τὴν θείαν ἐπισπᾶσθαι βοήθειαν.

Εἴρηται δὲ καὶ ἐν τῷ δηλωθέντι ψαλμῷ, *Σὺ δὲ, Κύριε, ἐλέησόν με*, καὶ ἐν τῷ Ps 40.11
εἰκοστῷ δὲ πρώτῳ, πολλὰ τοιαῦτα γέγραπται.

21β Ὅτι χρηστὸν τὸ ἔλεός σου.

Ὅτι χρήσιμον ἀεὶ, ὅτι ἐνεργόν· τὸ δὲ τῶν ἀνθρώπων ἔστιν ὅτε βλαβερὸν ἢ καὶ ἀνενέργητον.

22α Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.

Περὶ πτωχοῦ καὶ πένητος, ἀνωτέρω δεδήλωται. Ps 108.16β

Εἴρηται δὲ καὶ ἐν τῷ καʹ ψαλμῷ, *Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου*, καὶ ἐν Ps 21.21
τῷ Εὐαγγελίῳ δὲ γέγραπται, *Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης*. Jn 12.27

22β Καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.

Καὶ τοῦτο ἐν τῷ Εὐαγγελίῳ γέγραπται, *Νῦν γὰρ*, φησὶν, *ἡ ψυχή μου* Jn 12.27
τετάρακται, καὶ, *Περίλυπός ἐστιν ἡ ψυχή μου, ἕως θανάτου*. Mt 26.38

23α Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανηρέθην.

Ἀνῃρέθην οὕτω ταχέως ὡσεὶ σκιὰ ἐν τῷ ἀφανισθῆναι αὐτήν.

Ἢ τοίνυν περιττὴ ἡ πρόθεσις κατὰ τὸ ἰδίωμα τῆς Ἑβραΐδος διαλέκτου, ἢ ἀντὶ Ps 7.4
τῶν ἀγαθῶν ὧν ἐποίησα αὐτοῖς ἀνῃρέθην.

23β Καὶ ἐξετινάχθην ὡσεὶ ἀκρίδες.

Οὕτως εὐκόλως ὡσεὶ ἀκρίδες· ἐξετινάχθην δὲ τῆς παρούσης ζωῆς ὑπὸ τοῦ φθόνου, ὡσεὶ ἀκρίδες τοῦ τυχόντος τόπου ὑπὸ ἀνέμου.

24 Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.

Ἐστενωμένον γὰρ καὶ κατεσκληκότα καὶ αὐχμηρὸν βίον ἔζησε, καὶ μάρτυς Mt 4.2
ἡ τεσσαρακονθήμερος νηστεία, καὶ οἱ κρίθινοι ἄρτοι, καὶ οἱ τιλλόμενοι παρὰ τῶν Jn 6.9
μαθητῶν στάχυες, εἰ καὶ κατ' οἰκονομίαν ἔστιν ὅτε μετελάμβανεν ἱλαρωτέρας Mt 12.1
τραπέζης.

Καὶ ἡ σάρξ μου, φησὶν, ἠλλοιώθη πρὸς σκληρότητα καὶ δυσμορφίαν, δι' ἔνδειαν ἐλαίου δι' ἀναλειψίαν· οἱ παλαιοὶ γὰρ λουόμενοι, ἠλείφοντο.

25α Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς.

Τοῖς μιαιφόνοις Ἰουδαίοις· ὠνείδιζον γὰρ καὶ ἐνέπαιζον αὐτῷ, ὡς ἐν τοῖς Εὐαγγελίοις ἱστόρηται. Mk 15.31-32

25β Εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.

Εἶδόν με κρεμάμενον ἐπὶ τοῦ σταυροῦ· *Οἱ δὲ παραπορευόμενοι*, φησὶν, *ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν*. Mt 27.39-40

26 Βοήθησόν μοι, Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου.

Ὥσπερ ὡς ἄνθρωπος ἔπαθεν, οὕτω καὶ ὡς ἄνθρωπος παρακαλεῖ τὸν Θεόν.

Τὸ δὲ, *κατὰ τὸ ἔλεός σου*, ἀντὶ τοῦ, ἐν τῷ ἐλέει σου, ἢ ὡς ἐλεήμων.

27 Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ, Κύριε, ἐποίησας αὐτήν.

Ὅτι ἡ βοήθειά σου, αὕτη ἡ βοήθεια· τουτέστιν, ὅτι σὴ ἡ βοήθεια καὶ ἀντίληψις, βοηθοῦντος ὡς ἠγαπημένῳ υἱῷ, καὶ οὐ παρορῶντος ὡς ἀντίθεον.

28α Καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις.

Ἔλεγον γὰρ οἱ θεομάχοι, *Μή τις τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ ἐκ τῶν Φαρισαίων; ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον ἐπικατάρατοί εἰσι*. Jn 7.48-49
Κατάρα δὲ ἄλλως, καὶ ἡ βλασφημία.

28β Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν.

Αἰσχυνθήσονται, ἢ μετὰ τὴν ἐμὴν ἀνάστασιν ἢ μετὰ τὴν παγκόσμιον.

28γ Ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.

Ἐπὶ τοῖς σεσωσμένοις τῶν ἀνθρώπων.

29α Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν.

Ἐνδύσονται αἰσχύνην, εἰς πάντα τὰ ἔθνη διασκορπιζόμενοι, καὶ δουλεύοντες καὶ ἀτιμαζόμενοι.

29β Καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. |

Περιβαλοῦνται· τὸ αὐτὸ δὲ λέγει καὶ νῦν. Διπλοῒς δὲ, τὸ διπλοῦν ἱμάτιον.

30α Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου.

Εὐχαριστήσω, ὡς Ῥύστῃ καὶ Σωτῆρι.

30β Καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν.

Καὶ ὄντως εὐχαριστεῖ καὶ αἰνεῖ αὐτὸν ἐν μέσῳ πολλῶν, ἀναγινωσκομένων τῶν Εὐαγγελίων, ἐν οἷς πανταχοῦ δοξάζει τὸν Πατέρα.

31 Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

Ἐκ τοῦ δεξιοῦ γὰρ μέρους οἱ συμμαχοῦντες παρίστανται.

Ἢ καὶ ἄλλως· ἐκ τῶν δεξιῶν πράξεων παρέστη, ὑπὸ τῶν ἀρετῶν ἐπισπώμενος εἰς ἀντίληψιν, καὶ ἔσωσεν αὐτὸν, ἀναστήσας ἐκ νεκρῶν.

109 ρθʹ

1α Ψαλμὸς τῷ Δαυίδ.

Εἴρηται περὶ τῆς τοιαύτης ἐπιγραφῆς πολλάκις.

Εἰς τὸν Χριστὸν δὲ καὶ ὁ ψαλμὸς οὗτος ἀναγέγραπται.

1β Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Ὁ Θεὸς καὶ Πατὴρ, πρὸς τὸν Θεὸν καὶ Υἱὸν, μετὰ τὴν ἀπὸ γῆς εἰς οὐρανοὺς

ἀνάληψιν. Εἰ δὲ καὶ γέγραπται, *Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν*, οὐ πρὸς ἀθέτησιν τοῦτο τοῦ Μονογενοῦς, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῶν οὐκ ὄντων θεῶν. Εἶπε δὲ θεοπρεπῶς. Dt 6.4

Καὶ τοῦτο δὲ τὸ ῥητὸν ἐμφράττει τὰ στόματα τῶν Ἰουδαίων. Τίνες γὰρ οἱ δύο Mt 22.44
κύριοι τοῦ Δαυὶδ, ὧν *ἅτερος ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγεννήθη* καὶ ἱερωσύνῃ Ps 109.3γ
κεκόσμηται *κατὰ τὴν τάξιν Μελχισεδέκ*, οὐκ ἔχουσιν ὅλως εἰπεῖν. Ps 109.4γ

1γ Κάθου ἐκ δεξιῶν μου.

Ὥσπερ διὰ τοῦ, *Κύριος καὶ Κύριος*, τὸ ἰσότιμον δείκνυται, οὕτω καὶ διὰ τῆς ἐκ δεξιῶν καθέδρας ἐπὶ τοῦ βασιλικοῦ θρόνου· ὧν γὰρ ἡ καθέδρα κοινὴ, τούτων καὶ ἡ βασιλεία κοινή. Ἐπιστομιζέσθωσαν οἱ ἄνισον τῷ Πατρὶ τὸν Υἱὸν ληροῦντες, Ἄρειος καὶ Εὐνόμιος.

Ἐπεὶ δὲ ὁ Θεὸς καὶ Πατὴρ, ἀσώματος ὢν, οὐκ ἔχει δεξιὰ καὶ ἀριστερὰ — τῶν σωμάτων γὰρ ταῦτα — λοιπὸν τὸ μὲν καθῆσθαι, τὴν ἀνάπαυσιν δηλοῖ καὶ ἀπόλαυσιν τῆς θείας βασιλείας, τὸ δὲ ἐκ δεξιῶν, τὴν γνησιότητα καὶ οἰκείωσιν καὶ ὁμοτιμίαν.

1δ Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Τοὺς Ἰουδαίους, τοὺς Ἕλληνας, καὶ τοὺς αἱρετικοὺς καὶ τοὺς δαίμονας.

Τὸ δὲ, ἕως, οὐ πάντοτε ἀντιδιαστέλλεται τῷ μέλλοντι, ἀλλὰ πολλάκις, τὸ μέχρι μὲν τοῦδε δηλοῖ, τὸ δ᾿ ἐφεξῆς οὐκ ἀναίνεται, καθάπερ καὶ νῦν, περὶ οὗ καὶ
ὁ Θεολόγος Γρηγόριος ἐν τῷ *Περὶ Υἱοῦ* πρώτῳ λόγῳ πεφιλοσόφηκε, καὶ ἡμεῖς PG36.108B
ἐν τῷ Εὐαγγελικῷ ῥητῷ, τῷ, *Ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον*, Mt 1.25
ἡρμηνεύσαμεν, τοῖς Πατράσιν ἀκολουθήσαντες. Πῶς γὰρ ἂν καὶ φυλαχθείη PG129.133
τὸ, *Καὶ ἡ βασιλεία αὐτοῦ, βασιλεία ἥτις οὐ διαφθαρήσεται*, καὶ τὸ, *Καὶ τῆς* Dan 7.14
βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος; Lk 1.33

Εἰ δ᾿ ἐνταῦθα μὲν ἀκούεις ὅτι ὁ Πατὴρ τίθησι τοὺς ἐχθροὺς ὑποπόδιον, παρὰ δὲ Παύλῳ ὅτι ὁ Υἱὸς — *Δεῖ γὰρ*, φησὶν, *αὐτὸν βασιλεύειν ἄχρις ἂν θῇ πάντας*
τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ — μὴ θορυβηθῇς· κοινὴ γὰρ ἀμφοῖν ἡ 1Cor 15.25
ἐνέργεια, καὶ κοινὰ τὰ κατορθώματα. Πάντες δὲ ὑποταγήσονται, οἱ μὲν ἑκόντες,
οἱ δὲ ἄκοντες, ὅταν αὐτὸν ἴδωσιν ἐξ οὐρανοῦ κατερχόμενον, περὶ οὗ σαφέστερον Thes 4.16
ἐδίδαξε Παῦλος. Ὑποπόδιον δὲ, ἀντὶ τοῦ, ὑποτεταγμένους. Jos 10.24

2α Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.

Ἡ ῥάβδος ποτὲ μὲν εἰς σύμβολον κολάσεως παραλαμβάνεται, ὡς τὸ, *Τί*
θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ; ποτὲ δὲ εἰς ποιμαντικὴν, ὡς τὸ, 1Cor 4.21
Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, | ποτὲ δὲ εἰς βασιλείαν, ὡς τὸ, *Ἐξελεύσεται* Ps 2.9
ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, ποτὲ δὲ εἰς δύναμιν, ὡς τὸ προκείμενον ῥητόν. Isa 11.1

1γ[7] καθῆσθαι PCV : καθίσθαι MS[2] : καθέζεσθαι B : καθίσασθαι F.

Ἐξαπέστειλε γὰρ Κύριος τῷ Χριστῷ, ὡς ἀνθρώπῳ, δύναμιν ἐκ Σιὼν, τῆς ἐν οὐρανοῖς, ἢ ἐκ Σιὼν, τῆς ἐν Ἱεροσολύμοις. Ἐκεῖθεν γὰρ ἤρξατο καὶ ἡ τῶν κατορθωμάτων δύναμις καὶ ἡ τοῦ κηρύγματος.

Νοηθείη δ᾽ ἂν ῥάβδος δυνάμεως, καὶ ὁ σταυρός· τί γὰρ αὐτοῦ δυνατώτερον, οὕτως εὐχερῶς τροπουμένου τοὺς ἐχθρούς.

2β Καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.

Ὑποτάττων αὐτοὺς καὶ κατεξουσιάζων, καὶ τῇ ζεύγλῃ τῶν εὐαγγελικῶν σου νόμων ὑπάγων.

Τοῦτο γὰρ ἦν τὸ παράδοξον, ὅτι μέσον τῶν ἐχθρῶν ἐναπειλημμένοι, πανταχόθεν οἱ ἀπόστολοι περιεγίνοντο, καὶ οὐχ ἁπλῶς ἐκράτουν, ἀλλ᾽ ἐπιτατικώτερον κατεκράτουν.

3α Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου.

Ἐν ἡμέρᾳ ὅτε ἡ δύναμίς σου δείκνυται, τότε μετὰ σοῦ ἡ ἀρχὴ, τουτέστιν, ἐν σοὶ ἡ βασιλεία, οὐκ ἔξωθεν ἐπιγενομένη, ἀλλ᾽ ἐνοῦσα τῇ φύσει τῆς θεότητός σου.

Ἡμέρα δὲ δυνάμεως, ἡ τῆς πρώτης αὐτοῦ παρουσίας καὶ τῶν ἀπείρων θαυμάτων, ἢ ἡ τῆς δευτέρας καὶ τῆς ἐσχάτης σάλπιγγος, τῆς ἀνιστώσης τοὺς νεκρούς. 1Cor 15.52

3β Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου.

Ὅτε λάμψουσιν οἱ ἅγιοί σου. Τί γὰρ λαμπρότερον τῶν ἀποστόλων, οἳ περιέτρεχον τὴν οἰκουμένην, λάμποντες ὡς ὁ ἥλιος ταῖς τῶν ἀρετῶν ἀκτῖσιν; εἰ δὲ ἐνταῦθα τοιοῦτοι, ποταποὶ ἐν τῇ ἀναστάσει ἔσονται, ὅτε *Οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος*, κατὰ τὴν τοῦ Κυρίου φωνήν;

Εἴτε γὰρ ἐπὶ τῆς παρελθούσης ἡμέρας, εἴτε ἐπὶ τῆς μελλούσης, ὡς εἴρηται, τοῦτο νοήσεις, οὐχ ἁμαρτήσεις. Mt 13.43

3γ Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.

Τὸ μὲν, *Κάθου ἐκ δεξιῶν μου*, καὶ τὸ, *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε*, προσώπῳ τοῦ Πατρὸς εἴρηται πρὸς τὸν Υἱόν· τὸ δὲ, *Ῥάβδον δυνάμεως*, καὶ τὸ, *Μετὰ σοῦ ἡ ἀρχὴ*, προσώπῳ τοῦ προφήτου.

Καὶ τὸ μὲν, *ἐκ γαστρὸς*, τὸ γνήσιον δηλοῖ τῆς γεννήσεως καὶ τὸ ταὐτὸν τῆς οὐσίας. Τὸ δὲ, *πρὸ ἑωσφόρου*, τὸ πρὸ τοῦ γενέσθαι τὸν ἥλιον. Καὶ ἐν τῷ οα´ δὲ ψαλμῷ φησι, *Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ*. Ps 71.17β

3α Add. [M in marg.]PBV : Εἴη δ᾽ ἂν ἀρχὴ, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὡς αἴτιος πάντων, ἤτοι Δημιουργὸς, ὅς ἐστι μετὰ τοῦ Πατρός. : om. CS^{2}F. 3γ Add. [MP in marg.]BV : Τὰ γνήσια γὰρ γεννήματα, ἐκ γαστρὸς τῶν γονέων ἀπογεννῶνται. : om. CS^{2}F.

Τί οὖν; πρὸ τοῦ ἡλίου μόνον ἐγέννησεν αὐτόν; Οὐδαμῶς, ἐπεὶ καὶ ἀλλαχοῦ φησι, *Καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, σὺ εἶ*· καίτοι οὐκ ἀπὸ τοῦ αἰῶνος μόνον, ἀλλὰ καὶ πρὸ τοῦ αἰῶνος· καὶ οὐχ ἕως τοῦ αἰῶνος μόνον, ἀλλ' ἀπεράντως. Ps 89.2

Θεοπρεπῶς οὖν χρὴ τὰ τοιαῦτα δέχεσθαι, καὶ τὸ πρὸ πάντων νοεῖν ἐκ τούτων καὶ τὸ προαιώνιον.

Οἱ δὲ νοοῦντες, *πρὸ ἑωσφόρου*, τὴν νύκτα καθ' ἣν τὸν Χριστὸν ἐγέννησεν ἡ Παρθένος εὐδοκίᾳ Πατρὸς καὶ συνεργίᾳ Πνεύματος ἁγίου, κακῶς ἄρα νοοῦσιν· ἔδει γὰρ εἰρῆσθαι, *πρὸ ἀνατολῆς ἑωσφόρου*, καὶ μὴ, *πρὸ ἑωσφόρου*, μόνον. Ἀεὶ γὰρ τὸ, *πρὸ ἡλίου*, ἁπλῶς, τὸ πρὸ τῆς ὑπάρξεως αὐτοῦ βούλεται σημαίνειν, ὥσπερ καὶ τὸ, *πρὸ ἀνατολῆς αὐτοῦ*, τὸν ὄρθρον.

4α Ὤμοσε Κύριος.

Ὥσπερ ὁ θυμὸς ἐπὶ Θεοῦ λεγόμενος οὐ σημαίνει πάθος, ἀλλὰ τὴν κίνησιν τῆς τιμωρητικῆς δυνάμεως, οὕτω καὶ ὁ ὅρκος αὐτοῦ τὴν βεβαίωσιν δηλοῖ, καὶ οὐ τὸν παρ' ἡμῖν γινόμενον ὅρκον. Ps 2.5β

4β Καὶ οὐ μεταμεληθήσεται.

Οὐ μεταβαλεῖ τὸ δεδογμένον, οὐκ ἀλλοιώσει, καθάπερ ποιεῖ πολλάκις ἐπ' ἄλλων, δι' οἰκονομίας τινας.

Τί δὲ ὤμοσεν, ἤτοι βεβαίως ἀπεφήνατο, ἄκουσον·

4γ Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Ἱερεὺς μὲν, ὡς ἄρτου καὶ οἴνου μεταδοὺς τοῖς ἀποστόλοις ἐν τῷ μυστικῷ δείπνῳ, κα | θάπερ ὁ Μελχισεδὲκ τοῖς περὶ τὸν Ἀβραὰμ, ὅτε ὑπέστρεψεν ἀπὸ τοῦ πολέμου. Gen 14.18

Αἰώνιος δὲ, ὡς μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, κατὰ τὴν θεότητα, ὥσπερ ὁ Μελχισεδὲκ, κατὰ τὴν ἱστορίαν. Ἀλλὰ Μελχισεδὲκ μὲν οὐκ ἔχει ταῦτα, διὰ τὸ παρασιωπηθῆναι τῇ ἱστορίᾳ τῆς Γραφῆς, ὁ δὲ Χριστὸς, διὰ τὴν ἀλήθειαν.

Τοῦτο δὲ τὸ ῥητὸν ἡρμήνευσε σοφῶς ἅμα καὶ σαφῶς ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, ἔνθα καὶ ἄλλας εὑρήσεις ὁμοιότητας. Heb 6.20-7.2

5α Κύριος ἐκ δεξιῶν σου.

Βοηθῶν ὡς ἀνθρώπῳ. Καὶ ἐν τῷ ιε' δὲ ψαλμῷ γέγραπται, *Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ*. Ps 15.8

5β Συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς.

Περὶ τῆς ἡμέρας τῆς κρίσεως ὁ λόγος, ὅτι συντρίψει τοὺς ἀσεβεῖς βασιλεῖς ἐν ταῖς ἀποτεταγμέναις κολάσεσιν. Εἰ δὲ τοὺς βασιλεῖς, δῆλον ὡς καὶ τοὺς ἄλλους πάντας.

6α Κρινεῖ ἐν τοῖς ἔθνεσι.

Κρινεῖ τὰ ἔθνη· ἢ κρινεῖ ἐν τοῖς ἔθνεσιν τοὺς ἀξίους κρίσεως.

6β Πληρώσει πτώματα.

Πληθυνεῖ πτώσεις, πολλοὺς καταβάλλων, ὅσοι κακῶς ἵσταντο.

6γ Συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.

Κεφαλὰς πολλῶν, τουτέστι, πολλούς. Ὃ γὰρ εἶπεν ἀνωτέρω περὶ τῶν βασιλέων εἰδικῶς, τοῦτο λέγει νῦν καθολικώτερον καὶ περὶ τῶν ἄλλων.

Οὐ μόνον δὲ ταῦτα νοοῦνται περὶ τῆς μελλούσης κρίσεως, ἀλλὰ καὶ ἄλλως διδάσκουσι τὴν ἀνυπόστατον ἰσχὺν αὐτοῦ, ὅτι ὅταν ὀργισθῇ, συνθλάσει βασιλεῖς, καὶ τ' ἄλλα ποιήσει.

7α Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται.

Ἐνταῦθα τὴν εὐτέλειαν προαγορεύει τῆς διαίτης αὐτοῦ, ὅτι λιτὸν βίον μετιὼν, ἐκ χειμάῤῥου πίεται· ἐκ χειμάῤῥου τοῦ ἐν ὁδῷ ῥέοντος, ἢ ἐν ὁδῷ ὁδεύων, πίεται.

Ἀναγωγικῶς δὲ, χείμαῤῥον μὲν νοήσεις, τὸν χειμῶνα καὶ τὴν σύῤῥοιαν καὶ πλημμύραν τῶν πειρασμῶν· ὁδὸν δὲ, τὸν παροδικὸν τοῦτον βίον· πόσιν δὲ, τὴν μέθεξιν, ὅτι πειρασθήσεται.

7β Διὰ τοῦτο ὑψώσει κεφαλήν.

Διὰ τὴν εὐτέλειαν καὶ ταπείνωσιν ὑψωθήσεται καὶ δοξασθήσεται, εἰς Eph 1.20
οὐρανοὺς ἀνελθὼν καὶ καθίσας ἐν δεξιᾷ τοῦ Θεοῦ. Οὐ μόνον γὰρ οὐδὲν αὐτὸν ταῦτα παρέβλαψεν, ἀλλὰ καὶ εἰς ὕψος ἄφατον ἀνήγαγεν.

110 ρι´

1α Ἀλληλούϊα.

Εὐχαριστήριος γὰρ καὶ οὗτος ὁ ψαλμός.

1β Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.

Εὐχαριστήσω σοι, οὐ μόνον ἐν ῥήμασιν, οὐδ' ἁπλῶς ἐν γλώσσῃ καὶ στόματι, ἀλλ' ἐν ὅλῃ καρδίᾳ, ἐν συντεταμένῃ ψυχῇ, ἐν προσεχούσῃ διανοίᾳ, πάσης βιωτικῆς φροντίδος ἀπαλλαγεὶς καὶ μετάρσιος ἤδη πρὸς σὲ γενόμενος.

Εὐχαριστήσω δὲ ὑπέρ τε τῶν εἰς ἐμὲ γινομένων εὐεργεσιῶν ἀεὶ, καὶ ὑπὲρ τῶν εἰς τοὺς ἄλλους ἀνθρώπους. Τοῦτο, θυσία πρόχειρος· τοῦτο, εὐπόριστος προσφορά· τοῦτο, ἀναγκαῖον ἔργον, καὶ διηνεκῶς ἀπαιτούμενον.

1γ-2α Ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ, μεγάλα τὰ ἔργα Κυρίου.

Ἐν βουλῇ καὶ συναγωγῇ τῶν ὀρθὰ φρονούντων, μεγάλα τὰ ἔργα Κυρίου πάντα, ὅσα τε θαυματουργῶν ἐργάζεται, καὶ πάλαι καὶ νῦν καὶ μετέπειτα, καὶ ὅσα παράγων τὸν κόσμον ἔκτισε.

Καὶ ἐπὶ θαυμάτων γὰρ καὶ ἐπὶ κτισμάτων λαμβάνεται τὸ ῥητόν· βουλευομένων γὰρ καὶ συναγομένων τῶν εἰρημένων, εἴτουν διασκεπτομένων περὶ τῶν τοιούτων ἔργων, οὐδὲν τούτων φαίνεται μικρὸν, οὐδ' ἀνάξιον τοῦ ποιήσαντος· πάντα δὲ μεγάλα καὶ λόγου τινὸς ἐχόμενα, κἂν μὴ τοῖς ἄλλοις τοιαῦτα πολλάκις δοκῇ διὰ τὸ διεστραμμένον τῆς φρονήσεως αὐτῶν. |

2β Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.

Ἐξηκριβωμένα, καθὼς ἕτερος ἑρμηνευτὴς ἐξέδωκεν· ἀπηρτισμένα τὰ ῥηθέντα ἔργα, [τουτέστιν, ἐπιτήδεια εἰς πάντα τὰ θελήματα αὐτοῦ, παρασκευάζοντα τοὺς συνετοὺς ποιεῖν αὐτά.] Τίς γὰρ ὁρῶν καὶ ἀκούων τὰ τοιαῦτα ἔργα, οὐ δι' αὐτῶν ἀναχθήσεται πρὸς ἀποπλήρωσιν τῶν θελημάτων τοῦ ἐργασαμένου αὐτὰ, συνιεὶς ὅτι Θεός ἐστιν ὄντως, καὶ φιλάνθρωπος ὄντως;

Θελήματα δὲ αὐτοῦ, αἱ ἐντολαὶ αὐτοῦ.

3α Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ.

Εὐχαριστία καὶ μεγαλοπρεπὴς αἴνεσις τὸ ἔργον αὐτοῦ· οὐχὶ τόδε ἢ τόδε, ἀλλ' ἁπλῶς πᾶν, ὡς ἱκανὸν κινεῖν εἰς εὐχαριστίαν καὶ μεγαλοπρεπῆ αἴνεσιν τοῦ κτίσαντος αὐτὸ τὸν ὁρῶντα καὶ ἀκούοντα.

Νοεῖται δὲ καὶ εἰδικῶς ἔργον τοιοῦτον, ἡ ἐνανθρώπησις αὐτοῦ.

3β Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τοῦτο, πρὸς παραμυθίαν μὲν τῶν ἀδικουμένων, σωφρονισμὸν δὲ τῶν ἀδικούντων· ὅτι ἡ δικαία κρίσις αὐτοῦ μένει αὐτοὺς, ἀΐδιος οὖσα, καὶ τοῖς μὲν, ἄνεσιν, τοῖς δὲ, κόλασιν ἐπάξει· ἢ ὅτι ἡ δικαιοσύνη αὐτοῦ διηνεκής ἐστιν, εἴτουν ἀμετακίνητος.

2β[3-4] τουτέστιν... αὐτά MPB[F in marg.]VL : om. CS. 2β[5] ἀναχθήσεται MCBV : ἐναχθήσεται PS[2]F.

4α Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ.

Τὸ, *ἐμνήσθη*, καὶ τὸ, *μνείαν ἐποιήσατο*, καὶ τὰ τοιαῦτα, ἐπὶ τῆς ἐνεργείας οἱ προφῆται λαμβάνουσι πολλάκις, ὡς καὶ ἐν ἄλλοις εἰρήκαμεν.

Λέγει γοῦν ὅτι ἐνεργεῖ τὰ θαυμάσια αὐτοῦ, καὶ οὐ παύεται θαυματουργῶν διὰ πάσης γενεᾶς, ἵνα τοὺς παχυτέρους ἐπαγάγηται διὰ τῶν τεραστίων, οἷα τὰ ἐπὶ τοῦ κατακλυσμοῦ, τὰ ἐπὶ τῆς συγχύσεως τῶν γλωσσῶν, τὰ ἐπὶ τῶν Σοδόμων, τὰ ἐπὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐξόδῳ τῶν Ἰουδαίων, τὰ ἐν τῇ ἐρήμῳ, τὰ ἐν τῇ γῇ τῆς ἐπαγγελίας, τὰ ἐν Βαβυλῶνι, τὰ μετὰ τὴν ἐπάνοδον, τὰ ἐπὶ τῶν Μακκαβαίων, τὰ ἐπὶ τῆς τοῦ Χριστοῦ παρουσίας, τὰ μετ᾽ αὐτὴν ἄχρι καὶ νῦν, ἰδίᾳ καὶ δημοσίᾳ, ἐπί τε τῶν ἀποστόλων καὶ τῶν μαρτύρων καὶ τῶν ἄλλων ἁγίων, καὶ ἐν οἰκίαις καὶ ἐν πόλεσι καὶ πανταχοῦ τερατουργούμενα.

4β Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος.

Ὁ τὰ ῥηθέντα ποιῶν, ἐλεῶν γὰρ καὶ οἰκτείρων ταῦτα ποιεῖ, καὶ θέλων τὴν σωτηρίαν τῶν ἀνθρώπων.

5α Τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν.

Καὶ μὴν καὶ τοῖς μὴ φοβουμένοις αὐτόν· ἀλλὰ τροφὴν ἐνταῦθα, τὴν ψυχικὴν λέγει, τὴν λογικὴν, τὴν πνευματικὴν, τὸν οὐράνιον ἄρτον, ἣν ἐξαιρέτως δίδωσι μόνοις τοῖς φοβουμένοις αὐτόν.

Νοηθείη δ᾽ ἂν, καὶ ὁ μυστικὸς δεῖπνος, ἢ καὶ ὅτι τρέφει πολλάκις ἀπορουμένους 3Rg 17.6,
τοὺς αὐτοῦ, ὡς τὸν Ἠλίαν καὶ τὸν Δανιὴλ καὶ ἄλλους πολλούς. 19.6 Dan 1

5β Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.

Ἰουδαῖοι μέν φασιν, ἐμνήσθη αἰωνίου διαθήκης αὐτοῦ, ἐνήργησεν ἀμετάβλητον διαθήκην αὐτοῦ, τὴν περὶ τοῦ πληθυσμοῦ τοῦ σπέρματος Ἀβραὰμ καὶ τὴν περὶ τῆς ἐπαγγελθείσης γῆς.

Ἡμεῖς δὲ λέγομεν, ὅτι προφητεία ἐστὶ περὶ τοῦ Χριστοῦ· *μνησθήσεται γὰρ*,
φησὶν, *εἰς τὸν αἰῶνα* τὸν πρέποντα τῆς πρὸς τοὺς πατριάρχας *διαθήκης*, ὅτι τῷ Gen 22.18
σπέρματι αὐτῶν ἐνευλογηθήσονται πάντα τὰ ἔθνη, καὶ πληρώσει αὐτήν. Ps 71.17γ

6α Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ.

Τῷ μὲν παλαιῷ λαῷ ἔδειξεν *ἰσχὺν ἔργων αὐτοῦ*, τουτέστι, δύναμιν ἐν ἔργοις, διὰ τῶν τότε γεγονότων τεραστίων· τῷ δὲ νέῳ, | διὰ τῶν μετὰ τὴν ἐνανθρώπησιν αὐτοῦ τελουμένων ἑκάστοτε.

6β *Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν.*

Τοῖς μὲν Ἰουδαίοις, τὴν γῆν τῆς ἐπαγγελίας, ἣν ἔθνη κατῴκουν πρότερον· ἡμῖν δὲ, ταύτην τε, καὶ τὴν τῶν ἄλλων, ὅσης ἐκυρίευσαν οἱ πιστοί.

7α *Ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις.*

Χεῖρας τοῦ Πατρὸς, τινὲς τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα νενοήκασιν, ὡς συνδημιουργοὺς, ὧν φασιν ἔργα τοῦ μὲν ἁγίου Πνεύματος, ἀλήθεια — *Ἐκεῖνος γὰρ, φησὶν, ὑμᾶς ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν* — τοῦ δὲ Υἱοῦ, κρίσις — Jn 16.13
Πᾶσαν γὰρ, φησὶ, τὴν κρίσιν δέδωκε τῷ Υἱῷ. Ταῦτα δὲ μάλιστα τούτοις πολλάκις Jn 5.22
ἡ Γραφὴ προσανατίθησιν.

Ἢ τὰ ἔργα φησὶ τοῦ Χριστοῦ, ἀληθινὰ, καὶ οὐ κατὰ φαντασίαν, καὶ δίκαια, ἢ διακριτικὰ καὶ οἰκονομικά.

Ὁ δὲ Χρυσόστομος ἑρμηνεύων τὸ προκείμενον ῥητὸν, λέγει τὴν Γραφὴν PG55.287
πολλάκις ἀλήθειαν ὀνομάζειν τὴν φιλανθρωπίαν, καθ' ὃ σημαινόμενον χρὴ νοεῖν, ὅτι τὰ ἔργα τοῦ Θεοῦ φιλανθρωπίας μεστὰ καὶ δικαιοσύνης, πανταχοῦ μιγνῦντος ἀμφοτέρας· εἴτε γὰρ φιλανθρωπίᾳ μόνον ἐκέχρητο, πάντες ἂν ἐῤῥαθυμήσαμεν, εἴτε δικαιοσύνῃ μόνῃ, πάντες ἂν ἀπωλώλεισαν.

7β *Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ.*

Πιστεύεσθαι ἄξιαι· ἢ ἐπειδὴ πᾶσαι εἶπε, νόει μοι πρῶτα μὲν τὰς τῆς κτίσεως, ἃς διατηροῦσι φυσικῶς οὐρανὸς, καὶ ἥλιος, καὶ σελήνη, καὶ ἄστρα, καὶ ἡμέρα, καὶ νὺξ, καὶ ὧραι, καὶ γῆ, καὶ ποταμοὶ, καὶ λίμναι, καὶ πηγαὶ, καὶ φυτὰ, καὶ βοτάναι, καὶ ἁπλῶς ὅσα τε τῆς ἀψύχου φύσεως, καὶ ὅσα τῆς ἐμψύχου μὲν, ἀλόγου δέ· ἔπειτα καὶ τὰς συγκαταβληθείσας ἐξ ἀρχῆς τῇ φύσει τῶν ἀνθρώπων, ἃς φυλάττουσι καὶ οἱ μὴ νόμον ἔγγραφον εἰληφότες· εἶθ' οὕτως καὶ τὰς γραπτὰς ἐντολὰς τοῦ διὰ Μωυσέως δοθέντος νόμου· καὶ τελευταῖον, τὰς εὐαγγελικὰς, αἳ πᾶσαι, φησὶ, πισταὶ, τουτέστι, βέβαιαι, ἀμετακίνητοι. Εἰ γὰρ καί τινες τοῦ
Μωσαϊκοῦ νόμου κατελύθησαν, ἀλλ' ἐπὶ τὸ βέλτιον, ἐπὶ τὸ ὑψηλότερον. Οὐδεὶς Mt 5.17-48
οὖν δύναται ταύτας ἀφανίσαι· *Ὁ οὐρανὸς γὰρ, φησὶ, καὶ ἡ γῆ παρελεύσονται, οἱ*
δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. Mt 24.35

8α *Ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.*

Ἑδραῖαι, διηνεκεῖς, μόνιμοι.

8β *Πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.*

Οὐδὲν, φησὶν, ἐν αὐταῖς ψευδὲς, οὐδὲ σκολιόν.

Ἢ καὶ ἄλλως, *ἀλήθειαν μὲν νόησον, τὴν σαφήνειαν, εὐθύτητα δὲ, τὴν ὀρθοτομίαν, ὅτι πᾶσαι ἀληθεῖς καὶ σαφεῖς καὶ ὀρθὰ βαίνειν διδάσκουσαι.*

9α *Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ.*

Ὁ Πατὴρ, τὸν Υἱὸν, ἤτοι τὸν Χριστόν· Ἀπέσταλκε γάρ με, φησὶ, *κηρύξαι* Lk 4.18
αἰχμαλώτοις ἄφεσιν, καὶ πάλιν, Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ· καὶ ὃς ἐδόθη Mt 1.21
ἡμῖν τά τε ἄλλα ἀπὸ Θεοῦ, καὶ ἀπολύτρωσις, κατὰ τὸν Ἀπόστολον. 1Cor 1.30

9β *Ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ.*

Ἐνετείλατο εἰς τὸν αἰῶνα τὸν πρέποντα διαθήκην αὐτοῦ τὴν νέαν· ἢ αἰώνιον
διαθήκην αὐτοῦ, τὴν εὐαγγελικήν· *Δώσω γὰρ, φησὶν, ὑμῖν διαθήκην αἰώνιον·* ἡ Bar 2.35
γὰρ Μωσαϊκὴ, πρόσκαιρος ἦν, τό γε φαινόμενον αὐτῆς, καὶ ὅσον τυπικὸν καὶ σκιῶδες.

9γ *Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.*

Τὸ, *Χριστός·* ἅγιον μὲν, ὡς μυρία θαύματα ἐργαζόμενον, φοβερὸν δὲ, ὡς ἐλαῦνον δαίμονας καὶ νόσους.

Εἰ δὲ ἅγιον, ἁγίων ἄρα δεῖται στομάτων εἰς ὑμνολογίαν.

10α *Ἀρχὴ σοφίας, φόβος Κυρίου.*

Πηγὴ σοφίας, ῥίζα, ὑπόθεσις. Οὗ γὰρ φόβος, ἐντολῶν τήρησις, οὗ δὲ αὕτη, PG36.344A
κάθαρσις, οὗ δὲ κάθαρσις, ἔλλαμψις.

10β *Σύνεσις δὲ ἀγαθὴ πᾶσι | τοῖς ποιοῦσιν αὐτήν.*

Τοῖς ποιοῦσι τὴν σοφίαν, τοῖς ἐργαζομένοις ταύτην, τοῖς εὐποροῦσιν αὐτῆς, σύνεσις ἀγαθὴ προσγίνεται. Ἔστι γὰρ καὶ σύνεσις πονηρά· *Σοφοὶ γὰρ, φησὶ, τοῦ*
κακοποιῆσαι. Jer 4.22

Ἢ καὶ ἑτέρως, ἡ σύνεσις ἀγαθή ἐστιν, εἴτουν ὠφέλιμος, οὐ τοῖς ἁπλῶς ἔχουσιν αὐτὴν, ἀλλὰ τοῖς καὶ χρωμένοις αὐτῇ πρὸς ἔργα καὶ λόγους.

10γ *Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.*

Ἡ αἴνεσις τοῦ Χριστοῦ μένει ἀτελεύτητος, παρά τε ἀγγέλοις καὶ ἀνθρώποις· δεῖ οὖν αἰνεῖν αὐτὸν διὰ παντὸς καὶ εὐχαριστεῖν.

111 ρια´
1α Ἀλληλούϊα.

Σφόδρα μοι δοκεῖ τῷ τέλει τοῦ πρὸ τούτου ψαλμοῦ ἕπεσθαι τὸ τοῦ παρόντος
προοίμιον· διὸ τὴν αὐτὴν καὶ οὗτος εἴληχεν ἐπιγραφὴν, ὡς ἐκείνου μέρος. Ἐκεῖ
μὲν γάρ φησιν, *Ἀρχὴ σοφίας, φόβος Κυρίου*, ἐνταῦθα δὲ, *Μακάριος ἀνὴρ ὁ* Ps 110.10α
φοβούμενος τὸν Κύριον.

Φασὶ δέ τινες τὸν προκείμενον ψαλμὸν, δύο τε καὶ εἴκοσι στίχους ἔχειν,
κατὰ τὸν ἀριθμὸν τῶν Ἑβραϊκῶν γραμμάτων, καὶ τὰς ἀρχὰς τῶν στίχων ἐν τῷ
Ἑβραϊκῷ, τὰς ἀρχὰς τῶν Ἑβραϊκῶν φέρειν γραμμάτων.

1β Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ἐν τῷ προλαβόντι μὲν ψαλμῷ, τὸν φόβον τοῦ Κυρίου, σοφὸν ποιεῖν εἶπεν, ἐν
τούτῳ δὲ, μακάριον. Μακάριος ὁ φοβούμενος τὸν Κύριον, οὐχ ἁπλῶς, καθάπερ οἱ
δαίμονες, ἀλλ’ ὥστε φυλάττειν τὰς ἐντολὰς αὐτοῦ· ἐκεῖνο μὲν γὰρ, φόβος ψιλὸς, Jc 2.19
τοῦτο δὲ, φόβος ἐνεργός.

1γ Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Ὁ τοιοῦτος ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου αὐτοῦ χαιρήσει, εὐφρανθήσεται·
τοῦτο γὰρ τὸ, θελήσει σφόδρα. Καὶ ἀλλαχοῦ γὰρ, δεικνὺς τὴν ἡδονὴν ἣν ἔχει περὶ
τὰ προστάγματα τοῦ Θεοῦ, φησὶν, *Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου,*
ὑπὲρ μέλι τῷ στόματί μου. Ps 118.103

2α Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ.

Δυναμούμενον ὑπὸ τοῦ Θεοῦ κατὰ τῶν ἐπηρεαζόντων. Σπέρμα δὲ αὐτοῦ, οἱ
μαθηταὶ καὶ μιμηταὶ, καὶ τὴν ὁμοιότητα καὶ τὸ γνήσιον ἀπὸ τῶν χαρακτήρων
τῆς πολιτείας σῴζοντες, καὶ καθάπερ τινὰ κλῆρον ἐκ πατρὸς, τὰς ἀρετὰς τοῦ
διδασκάλου διαδεξάμενοι.

2β Γενεᾷ εὐθέων εὐλογηθήσεται.

Ὑπὸ τῆς γενεᾶς τῶν μὴ διεστραμμένων, ἀλλ’ ὀρθὰ φρονούντων, εὐλογηθήσεται.

3α Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ.

Δόξα παρὰ Θεοῦ, καὶ πλοῦτος ἐν ἔργοις ἀγαθοῖς· ἢ καὶ δόξα παρὰ ἀνθρώπων,
τιμώντων αὐτὸν διὰ τὰς ἀρετὰς αὐτοῦ, καὶ πλοῦτος, τὸ εὐπορεῖν ὧν ἂν βούλοιτο,
ὅτε καὶ θελήσει, διὰ τὴν εἰς Θεὸν πίστιν καὶ παῤῥησίαν αὐτοῦ.

1β[4] ἐκεῖνο PV : ἐκεῖνος MS[2]CBF. 2β[1] γενεᾷ MB : γενεα S[2]C : γενεὰ PFV[RaT]. 2β[2] ὑπό MPS[2]BFV : ὑπέρ C.

3β Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἡ ἀρετὴ ἡ δικαιοῦσα αὐτὸν μένει ἀνώλεθρος εἰς τὸν αἰῶνα τὸν μέλλοντα, συναποδημοῦσα τούτῳ.

4α Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν.

Ἐξανέτειλεν ὁ Θεὸς τοῖς ἐν σκότει πειρασμῶν καὶ θλίψεων φῶς ἀπαλλαγῆς καὶ ψυχαγωγίας.

Ἢ ἐκ γῆς ἀνέτειλεν ἐν σκότει τῆς πλάνης φῶς ἀληθείας, ὁ Χριστός· *Ἐγὼ γὰρ*, φησὶν, *εἰμὶ τὸ φῶς τοῦ κόσμου*. Ἐξανέτειλε δὲ τοῖς εὐθέσι, τοῖς ὀρθὰ φρονεῖν Jn 8.12
δυναμένοις· οὗτοι μὲν γὰρ εἶδον αὐτό· οἱ δὲ σκολιοὶ καὶ διεστραμμένοι ἔμυσαν πρὸς αὐτό.

4β Ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.

Περὶ τοῦ Θεοῦ καὶ τοῦτο· ἐλεήμων μὲν γὰρ καὶ οἰκτίρμων ἐστὶν ὡς ἀγαθὸς, δίκαιος δὲ, ὡς κριτής. Ζήτησον καὶ ἐν τῷ ρʹ ψαλμῷ τὸ, *Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε*. | Ps 100.1β

5α Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν.

Ὁ οἰκτείρων μὲν, τοὺς ἐν ἀνάγκαις, κιχρῶν δὲ, τοῖς δανείου χρῄζουσι. Γέγραπται δὲ καὶ ἐν τῷ λςʹ ψαλμῷ, *Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος*. Ps 36.26α

5β Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει.

Οὗτος εὖ χρήσεται τοῖς λόγοις αὐτοῦ, ἐν διακρίσει λέγων, καὶ οὐχ ὡς ἔτυχεν, οὐδ᾽ ἀπερισκέπτως.

Ἢ εὖ διαθήσει τὰ κατ᾽ αὐτὸν πράγματα, μετὰ διακρίσεως· οὕτω γὰρ ὁ Σύμμαχος ἐξέδωκεν.

Ἢ εὖ διαθήσει τὰς ἀπολογίας αὐτοῦ, ἐν κρίσει τῇ μελλούσῃ, τουτέστι, συνηγορίαν ἑαυτῷ παρασκευάσει, κατὰ τὸν πιστὸν καὶ φρόνιμον οἰκονόμον. Lk 12.42

6α Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται.

Εἰς τὸν αἰῶνα τοῦτον οὐ σαλευθήσεται πειρασμοῖς, ἀσφαλῶς τεθεμελιωμένος ἐπὶ τὴν πέτραν τῆς εἰς Θεὸν πίστεως καὶ ἀγάπης καὶ ἐλπίδος, καὶ τὸ συνειδὸς 1Cor 13.13
ἔχων ἀπερίτρεπτον ἄγκυραν.

Οὐκ εἶπε δὲ ὅτι οὐκ ἐπιβουλευθήσεται — *Πολλὰ γὰρ*, φησὶν, *αἱ θλίψεις τῶν δικαίων* — ἀλλ᾽ ὅτι οὐ σαλευθήσεται. Τοῦτο γὰρ τὸ θαυμαστὸν, ὅτι μυρία Ps 33.20

πάσχοντες οἱ ἅγιοι, οὐ περιετρέποντο, ἀλλ' ἀκλινὲς ἄχρι τέλους ἔσῳζον τὸ φρόνημα· τοῦτο περιφανὴς νίκη, τοῦτο λαμπρὰ τῶν ἀριστέων ἀνάῤῥησις.

Ἢ καὶ εἰς τὸν αἰῶνα τὸν μέλλοντα οὐ σαλευθήσεται· *Ἡτοιμάσθην γὰρ, φησὶ, καὶ οὐκ ἐταράχθην*, οὐδὲν ἑαυτῷ φαῦλον συνειδώς. Ps 118.60

6β Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Διὰ τὰς ἀρετὰς αὐτοῦ μνημονευόμενος, οὐ μόνον ζῶν, ἀλλὰ καὶ θανών.

7α Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.

Ἀπὸ ἀγγελίας φοβερᾶς οὐ δειλιάσει. Οὐκ εἶπε δὲ καὶ νῦν ὅτι οὐκ ἀκούσεται, ἀλλ' ὅτι οὐ φοβηθήσεται· προαπέθετο γὰρ αὐτοῦ τὸν πλοῦτον ἐν ἀσύλῳ χωρίῳ, καὶ σπεύδει μᾶλλον ἀπελθεῖν ἐκεῖ. *Ὅπου γάρ ἐστι, φησὶν, ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν*· καὶ διὰ τοῦτο οὐ φοβεῖται, οὐδὲ τοὺς ἀποκτένοντας τὸ Mt 6.21
σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένους ἀποκτεῖναι. Mt 10.28

7β Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον.

Ἑδραία ἐλπίζειν, ἀμετακίνητος ἀπὸ τῆς ἐπὶ Κύριον ἐλπίδος, ἐλπίζων ὅτι νικήσει δι' αὐτοῦ καὶ τεύξεται σωτηρίας.

8α Ἐστήρικται ἡ καρδία αὐτοῦ· οὐ μὴ φοβηθῇ.

Ὡς ἀνωτέρω δεδήλωται.

8β Ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ.

Κυρίως τοὺς δαίμονας· ἕως οὗ ἐπίδῃ ἐπ' αὐτοὺς ἃ βούλεται ἢ ἃ πείσονται, ὡς εἴρηται καὶ ἐν τῷ τέλει τοῦ νγ' ψαλμοῦ, ἔνθα τὸ, *Καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου*. Ps 53.9β

Εἰ δ' οὐ μὴν φοβηθῇ μέχρι τῆς πτώσεως τῶν ἐχθρῶν αὐτοῦ, πολλῷ μᾶλλον, οὐδὲ μετὰ ταύτην. Περὶ γὰρ τοῦ ἀμφιβόλου διδάξας, τὸ ἑξῆς, ὡς ἀναμφίβολον, παρεσιώπησεν· ἰδίωμα δὲ καὶ τοῦτο τοῦ, *ἕως οὗ*. Ps 109.1δ

9α Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν.

Ἐσκόρπισε τὰ ὄντα. Διὰ τοῦ *ἐσκόρπισε* δὲ, τὴν δαψίλειάν τε τοῦ παρέχοντος ἐνέφηνε καὶ σπόρον τινὰ τὸ πρᾶγμα ὑπεδήλωσε· σκορπίζουσι γὰρ οἱ σπείροντες.

9β Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἀνωτέρω περὶ ταύτης εἰρήκαμεν· παλιλλογεῖ γὰρ εἰς βεβαίωσιν τῶν τοιούτων λόγων· ἢ καὶ εἰδικῶς δικαιοσύνην ἐνταῦθα λέγει, τὴν ἐκ τῆς ἐλεημοσύνης. Ps 111.3β

9γ Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.

Ἡ τιμὴ αὐτοῦ μεγαλυνθήσεται.

Περὶ δὲ τοῦ μεταφορικοῦ κέρατος εἴρηται σαφῶς ἐν τῷ πη´ ψαλμῷ, ἔνθα τὸ, *Καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.* Ps 88.25β

10α Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται.

Ἔλεγχον τῆς ἀπανθρωπίας ἑαυτοῦ, τὴν φιλανθρωπίαν τοῦ δικαίου νομίζων. Τοιοῦτον γὰρ ἡ ἀρετὴ, φορτικὸν καὶ ἐπαχθὲς ἀεὶ τῇ κακίᾳ.

10β Τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται.

Βρύξει μὲν, τὴν ἔνδον ὀδύνην | διὰ τῶν ὀδόντων ἐπιδεικνύμενος, οὐ τολμήσει δὲ φθέγξασθαι, τῆς ἀρετῆς ἐμφραττούσης αὐτοῦ τὸ στόμα· διὸ καὶ τακήσεται δακνόμενος τοῖς ἐκείνου κατορθώμασι, καὶ κατατεινόμενος τῷ φθόνῳ, καὶ δήμιος αὐτὸς ἑαυτοῦ γινόμενος.

10γ Ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται.

Ἀπολλυμένων καὶ φθαρτῶν πραγμάτων ἐπιθυμοῦντος, ὧν ἀπολλυμένων, συναπόλλυται καὶ αὐτή.

Τινὲς δὲ καὶ τὸ, *Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι*, τῷ μακαρισθέντι ἀνδρὶ προσνέμουσιν, ὅτι φωτίσει τὰς ἐσκοτισμένας ψυχὰς τῶν εὐπειθῶν. Ὁμοίως δὲ καὶ τὸν ἐφεξῆς στίχον, ὅτι ἐλεεῖ καὶ οἰκτείρει καὶ δίκαια κρίνει. Ps 111.4α

112 ριβ´

1α Ἀλληλούϊα.

Εὐχαριστήριος καὶ οὗτος, διὸ τοιαύτην ἔσχεν ἐπιγραφήν.

1β Αἰνεῖτε, παῖδες, Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου.

Παῖδας ἐνταῦθα, τοὺς δούλους ὠνόμασε, καὶ γὰρ ἐν τῷ ρλδ´ ψαλμῷ φησιν, *Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε, δοῦλοι, Κύριον*, τὸ αὐτὸ λέγων κατ᾽ ἐναλλαγὴν τῶν στίχων. Ps 134.1β

Τινὲς δὲ παῖδας ἐνόησαν, τοὺς ἀκάκους, ἢ τοὺς μαθητὰς τοῦ Χριστοῦ, ἢ τοὺς τῶν ἀποστόλων. Mt 21.15

10α[2] ἑαυτοῦ MPF : αὐτοῦ SCBV.

Αἰνεῖτε δὲ αὐτὸν, οὐ διὰ λόγων μόνον, ἀλλὰ καὶ δι' ἔργων· Ὅπως γὰρ, φησὶν, *ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.* Mt 5.16

2 Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Εἴη εὐλογημένον ἐν ἡμῖν καὶ μὴ βεβλασφημημένον, ἀεὶ εὐλογούντων ἡμῶν αὐτὸ, διὰ παντὸς ὑμνούντων, πάντοτε δοξαζόντων, καὶ λόγοις καὶ ἔργοις, ὡς ἀνωτέρω δεδήλωται.

Καθ' ἑαυτὸ μὲν γὰρ, εὐλογημένον ἐστί· γίνεται δὲ καὶ ἐν ἡμῖν εὐλογημένον, ὅταν μὴ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις εὐλογῶμεν αὐτὸ, τῶν ὁρώντων αὐτὰ δοξαζόντων τὸν Δεσπότην ἡμῶν.

3 Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου.

Οὐκ ἐν Παλαιστίνῃ μόνον, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης, αἰνετὸν τὸ ὄνομα Κυρίου.

Προαγορεύει δὲ τὸν εἰς πᾶσαν τὴν γῆν ἐξελθόντα φθόγγον τοῦ κηρύγματος. Rom 10.18

4α Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος.

Ὑψηλὸς ἐν τοῖς ἔθνεσιν ἔσται, οὐ τότε τοῦτο γινόμενος, ἀλλὰ τότε τοῦτο φαινόμενος αὐτοῖς, ὑψηλὰ περὶ αὐτοῦ δογματιζόντων καὶ ὑψούντων αὐτὸν ταῖς θεοπρεπέσι δοξολογίαις.

4β Ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.

Ἐν τοῖς οὐρανοῖς δοξαζομένου παρὰ τῶν ἀγγέλων.

Νοηθεῖεν δ' ἂν ταῦτα καὶ εἰδικῶς περὶ τοῦ Χριστοῦ καὶ τῶν ἀγγέλων τῶν ἐπὶ τῇ γεννήσει αὐτοῦ αἰνούντων τὸν Θεὸν καὶ λεγόντων, *Δόξα ἐν ὑψίστοις Θεῷ,* Lk 2.14
καὶ τὰ ἑξῆς.

5α Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν;

Τοῦτο πρὸς διασυρμὸν καὶ χλεύην εἶπε τῶν παρὰ τοῖς ἔθνεσι ψευδωνύμων θεῶν.

5β-6α Ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν.

Καὶ μὴν *ἐμέτρησε τὸν οὐρανὸν σπιθαμῇ καὶ τὴν γῆν δρακὶ*, καὶ τὸν οὐρανὸν Isa 40.12
καὶ τὴν γῆν πληροῖ, καὶ πανταχοῦ πάρεστι, καὶ ἀχώρητός ἐστι καὶ ἀπερίγραπτος. Καὶ πῶς ἐν οὐρανῷ κατοικεῖ καὶ τὴν γῆν ἐφορᾷ; ἢ δῆλον ὅτι συγκαταβὰς πρῶτον

ὁ Δαυὶδ τῇ παχύτητι τῶν Ἰουδαίων, εἶτα κατὰ μικρὸν ἀνάγει τὴν διάνοιαν αὐτῶν· ἐπήγαγε γάρ·

6β Ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ.

Καὶ ἄνω καὶ κάτω ὢν δηλαδὴ, τουτέστι, πανταχοῦ. Ζήτησον καὶ ἐν τῷ β´ ψαλμῷ τὸ, *Ὁ κατοικῶν ἐν οὐρανοῖς.* Ps 2.4α

Ἄλλοι δὲ καὶ συντάττουσι, *Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ;*

7 Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα.

Γῆν καὶ κοπρίαν, τὴν εὐτέλειαν ὀνομάζει· καὶ ὑμνεῖ τὴν δύναμιν τοῦ Θεοῦ, ῥᾳδίως μεταβάλλουσαν | ἃ βούλεται.

8 Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.

Οὐ μόνον πλουτίζων αὐτὸν καὶ δοξάζων, ἀλλὰ καὶ τοῖς ἄρχουσι τοῦ λαοῦ αὐτοῦ συγκαθίζων, καὶ εἰς ἀρχὴν καὶ τοῦτον ἀνάγων.

Νοεῖται δὲ καὶ ὁ ἐξ ἐθνῶν λαὸς, πτωχὸς καὶ πένης, ὃν ὁ Χριστὸς ἀπὸ τῆς ἀτιμίας τῶν παθῶν ἐγείρας, καὶ ὑψώσας διὰ τοῦ Εὐαγγελίου, ἰσότιμον ἐποίησε τοῖς ἀποστόλοις, οὓς κατέστησεν ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν, ὡς ἐν ἑτέρῳ ψαλμῷ δεδήλωται. Ps 44.17β

Εἶτα ὑμνεῖ καὶ μείζονα δύναμιν αὐτοῦ, μεταβάλλοντος οὐ πράγματα μόνον ἁπλῶς, ἀλλὰ καὶ φύσεις.

9 Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

Τὴν στεῖραν ποιῶν οἰκεῖν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην, ὡς ἐπὶ πολλῶν γέγονε. Τινὲς δὲ οἶκον, τὴν φαμιλίαν τῶν παίδων ἐνόησαν.

113 ριγ´
1α Ἀλληλούϊα.

Εὐχαριστήριος καὶ οὗτός ἐστι, τὰς Ἰουδαίοις ὑπὸ τοῦ Θεοῦ πάλαι παρασχεθείσας εὐεργεσίας διεξιὼν, καὶ τὴν θείαν δύναμιν ὑμνῶν, καὶ τῶν εἰδώλων κωμῳδῶν τὴν ἀσθένειαν.

1β-2 Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ.

Ἰσραὴλ μὲν καὶ οἶκον Ἰακὼβ, τὸ γένος λέγει τῶν Ἰσραηλιτῶν· Αἴγυπτον δὲ καὶ λαὸν βάρβαρον, τὸ ἔθνος τῶν Αἰγυπτίων.

Ἐν τῇ ἐξόδῳ τῶν Ἰσραηλιτῶν, φησὶ, τῇ ἐκ τοῦ ἔθνους τῶν Αἰγυπτίων, τουτέστι, μετὰ τὸ ἐξελθεῖν τοὺς Ἑβραίους ἐξ Αἰγύπτου, ἐγένετο ἡ νῦν Ἰουδαία χώρα, ἁγίασμα αὐτοῦ, ἀφωρισμένον ἀνάθημα, καὶ ὁ Ἰσραηλίτης λαὸς, κλῆρος αὐτοῦ, ἐξουσιαζόμενος καὶ στρατηγούμενος καὶ διαταττόμενος ὑπ' αὐτοῦ· οἱ μὲν γὰρ ἄλλοι πάντες κατὰ φύσιν ἦσαν ἐξουσία αὐτοῦ, οὗτοι δὲ μόνοι κατ' οἰκείωσιν, ὡς περιούσιος λαός. Ex 19.5

3α Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν.

Ἔγνω τὴν δύναμιν αὐτοῦ· ᾔσθετο ἀποῤῥήτως καθάπερ τις λογικὴ τοῦ θείου θελήματος, καὶ διαιρεθεῖσα, ἔφυγεν ἐκ τοῦ μέσου, καὶ παρέσχε δίοδον ξηρὰν τοῖς Ἰσραηλίταις. Λέγει δὲ περὶ τῆς Ἐρυθρᾶς, ὁπότε Μωυσῆς ἐξῆγε τὸν λαόν. Ex 14.21-22

Ἔφυγε δὲ εἰπὼν, τὸν φόβον καὶ τὸ τάχος τῆς διαιρέσεως αὐτῆς ἐνέφηνεν.

3β Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

Ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ, ὅτε ἀνεχαίτισε τὸ ῥεῦμα ἑαυτοῦ, παρέχων καὶ αὐτὸς δίοδον ἄβροχον τῇ κιβωτῷ τοῦ Θεοῦ. Jos 3.13

Ὁμοίως δὲ καὶ ἐν τῷ ξε΄ ψαλμῷ τὰ δύο ταῦτα θαύματα ὁμοῦ τέθειται· *Ὁ μεταστρέφων γὰρ, φησὶ, τὴν θάλασσαν εἰς ξηρὰν, ἐν ποταμῷ διελεύσονται ποδί.* Ps 65.6α-β

4 Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.

Τὴν ὑπερβολὴν τῆς τηνικαῦτα χαρᾶς ἐμφῆναι βουλόμενος, περιτίθησι καὶ τοῖς ἀψύχοις αἴσθησιν αὐτῆς καὶ ἀγαλλίασιν, λέγων ὅτι καὶ αὐτὰ τὰ ὄρη καὶ οἱ βουνοὶ τῆς Ἰουδαίας ἐσκίρτησαν, ἤγουν ἐχάρησαν. Οἱ κριοὶ γὰρ καὶ τὰ ἀρνία ὅτε εὐφραίνονται τοῖς σκιρτήμασι δηλοῦσι τὴν ἡδονήν.

Εἴρηται δὲ ἡμῖν καὶ ἐν τῷ ϟε΄ ψαλμῷ περὶ χαρᾶς τῶν ἀψύχων, ἔνθα τὸ, *Ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται*· ἐν ἐκείνῳ γὰρ γέγραπται τὸ, *Εὐφραινέσθωσαν οἱ* Ps 95.13α
οὐρανοὶ, καὶ πολλὰ τοιαῦτα. Ps 95.11α

5-6 Τί σοι ἔστι, θάλασσα, ὅτι ἔφυγες, καὶ σὺ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων;

Προσωποποιῶν, διαλέγεται τοῖς στοιχείοις, ἐρωτῶν, διατί οὕτω πεποιήκασιν, ὡς παραδόξου καὶ ὑπερφυοῦς πράγματος γεγονότος· εἶτα αὐτὸς ἀντ' ἐκείνων ἀποκρίνεται, λέγων·

7α Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ.

Ἀπὸ τῆς ἐπιφανείας τοῦ Κυρίου ἐσκίρτησεν ἡ γῆ, τὰ ὄρη | δηλαδὴ καὶ οἱ βουνοί. Ἐπιφάνειαν δὲ νόει μοι, τὴν ἐν Ἰουδαίᾳ παρουσίαν τοῦ Θεοῦ· ἢ τοῦτο νοήσεις κατὰ τὸ λεχθὲν ἐν τῷ ῥηθέντι ψαλμῷ, τὸ, *Τότε ἀγαλλιάσεται πάντα τὰ ξύλα τοῦ δρυμοῦ, ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται.* Περὶ μέντοι τῆς θαλάσσης Ps 95.12β-13α
καὶ τοῦ Ἰορδάνου, οὐδὲν εἶπε πλέον, ὡς ἐγνωσμένης τῆς αἰτίας.

7β Ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ.

Τοῦ Θεοῦ τοῦ Ἰακώβ· γέγραπται γὰρ, *Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ.* Ex 3.6

8α Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων.

Τοῦ μεταβαλόντος τὴν πέτραν ἀπὸ τῆς κατὰ φύσιν σκληρότητος εἰς τὸ λιμνάζειν ὕδασιν, ὡς ἐν τῷ οζʹ ψαλμῷ δεδήλωται. Ps 77.16

8β Καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.

Τὸ αὐτὸ λέγει πάλιν. Ἀκρότομον δὲ τὴν πέτραν εἶπεν, ὡς ἐκ τῶν ἄκρων μόλις ἀποθραυομένην σιδήρῳ, διὰ τὴν ἄγαν ἀντιτυπίαν, ἵνα τὸ θαῦμα πλέον ἐπιτείνῃ.

Διηγησάμενος οὖν τὰς παλαιὰς εὐεργεσίας, δεῖται καὶ ὑπὲρ τῶν παρόντων.

9α Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν.

Μὴ δι᾽ ἡμᾶς ποιήσῃς ἔλεος· ἀνάξιοι γάρ ἐσμεν ὥσπερ καὶ οἱ τῶν εἰρημένων εὐεργεσιῶν ἀπολαύσαντες.

9β Ἀλλ᾽ ἢ τῷ ὀνόματί σου δὸς δόξαν.

Ἀλλὰ τὸ ὄνομά σου δόξασον.

9γ Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου.

Δόξασον αὐτὸ ἐν τῷ ἐλέει σου καὶ τῷ ἀληθεῖ σου ἐλέει, τουτέστιν, ἐλεήσας ἡμᾶς καὶ ἀληθῶς ἐλεήσας. Ἔλεος γὰρ καὶ ἀλήθειαν πολλάκις, τὸν ἔλεον τὸν ἀληθῆ φησιν ὁ προφήτης, τὸν κυρίως, ὅσον πρὸς τὸν ἀνθρώπινον. Ps 137.2β

10 Μήποτε εἴπωσι τὰ ἔθνη, Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

Μή ποτε, κατακυριευθέντων ἡμῶν, ἀσθένειαν ὀνειδίσωσι τὰ ἔθνη.

11 Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα ὅσα ἠθέλησεν ἐποίησε.

Τὰ ἔθνη μὲν ἴσως τοιαῦτα ληρήσουσιν· ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα δύναται, θελήσας μόνον· μακροθυμεῖ δὲ πολλάκις καὶ ἀνεξικακεῖ κατ' οἰκονομίαν.

12-15 Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται· ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται· ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθήσονται· χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.

Πάντα αὐτῶν ἔπεισι τὰ μέρη, πλατύνων τὴν κωμῳδίαν. Καὶ πρῶτα μὲν τοὺς τύπους τῶν αἰσθητηρίων, εἶτα τὰς χεῖρας καὶ τοὺς πόδας αὐτῶν διέβαλεν εἰς ἀναισθησίαν, ὡς ὕλην ἄψυχον.

Ζητήσαι δ' ἄν τις, πῶς ἐπὶ τοῦ στόματος αὐτῶν οὐκ εἶπεν ὅτι οὐ γεύσονται, ἵνα κἀνταῦθα τῆς καταλλήλου αἰσθήσεως ἐπιμνησθῇ. Δοκεῖ μοι γὰρ διότι τὸ μὲν ὁρᾶν καὶ ἀκούειν καὶ ὀσφραίνεσθαι, καὶ τὰ λοιπὰ, λέγονται πολλάκις ἐπὶ Θεοῦ, τὸ δὲ ἐσθίειν οὐ λέγεται· διὸ ἀντὶ τῆς γεύσεως, τὸν λόγον παρέλαβε, καὶ πρῶτον καὶ ὕστερον, ὡς ἀπόδειξιν ζωῆς ἐναργεστάτην.

16 Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.

Ὅμοιοι αὐτοῖς, κωφοὶ καὶ ἀναίσθητοι καὶ ἀνενέργητοι. Ἀλλὰ τὰ μὲν εἴδωλα τῶν ἐθνῶν, τοιαῦτα, καὶ οἱ τιμῶντες αὐτὰ, οὕτως ἀνόητοι, μηδεμιᾶς ἐπικουρίας αὐτῶν ἀπολαύοντες· ἡμεῖς δὲ, οὐχ οὕτως.

17-19 Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν | ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

Οὐ μάτην, φησὶν, ἠλπίσαμεν ἐπὶ Κύριον· βοηθεῖ γὰρ καὶ ὑπερασπίζει ἡμῶν.

Διαιρεῖ δὲ τὸν λαὸν τοῦ Θεοῦ εἴς τε τὸν ἁπλῶς Ἰσραὴλ, καὶ εἰς τὸ ἱερατικὸν γένος, καὶ εἰς τοὺς προσηλύτους· οἶκον μὲν Ἰσραὴλ ὀνομάζων, τοὺς ἁπλῶς Ἰσραηλίτας, οὓς καὶ προτάττει διὰ τὸ πλῆθος αὐτῶν· οἶκον δὲ Ἀαρὼν, τὸ ἱερατικὸν γένος, πρὸ πάντων γὰρ οὗτος ἱεράτευσε καὶ γέγονε ῥίζα τῶν μετ' αὐτόν· φοβουμένους δὲ τὸν Κύριον, τοὺς προσηλύτους, ὡς ἐξ ἐθνῶν προσελθόντας καὶ φοβουμένους αὐτόν.

20α Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν ἡμᾶς.

Τί ἐστιν, *εὐλόγησεν ἡμᾶς*; Μυρίων ἐνέπλησεν ἀγαθῶν, ἄνωθεν ἐκ προγόνων καὶ μέχρις ἡμῶν εὐεργετῶν τὸ ἔθνος ἡμῶν.

20β- Εὐλόγησε τὸν οἶκον Ἰσραὴλ, εὐλόγησε τὸν οἶκον Ἀαρὼν, εὐλόγησε τοὺς φοβου-
21α μένους τὸν Κύριον.

Τῇ αὐτῇ διαιρέσει καὶ νῦν ἐχρήσατο. Ps 113.17-19

21β Τοὺς μικροὺς μετὰ τῶν μεγάλων.

Τοῦτο, κοινῶς περὶ πάντων. Μικροὺς δὲ καὶ μεγάλους, μὴ καθ' ἡλικίαν μόνον ὑποληπτέον, ἀλλὰ καὶ κατ' ἀδυναμίαν καὶ δύναμιν, καὶ πενίαν καὶ πλοῦτον, καὶ ἀδοξίαν καὶ δόξαν, καὶ δουλείαν καὶ ἐλευθερίαν.

22 Προσθείη Κύριος ἐφ' ἡμᾶς, ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ἡμῶν.

Αὐξῆσαι Κύριος ἡμᾶς καὶ τοὺς υἱοὺς ἡμῶν· προσθείη ἀγαθά.

Τινὰ δὲ τῶν ἀντιγράφων, *Ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν* γράφουσιν, ὡς εἶναι δῆλον ἐντεῦθεν ὅτι τῶν Χριστιανῶν ὑπερεύχεται καὶ τοῦ γένους αὐτῶν, οἳ καὶ μᾶλλον ηὐξήθησαν, καὶ οἷς προσετέθη τὰ ὄντως ἀγαθὰ, τὰ οὐράνια.

23 Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.

Καὶ τοῦτο περὶ τούτων ὑποληπτέον, οὓς εὐλόγησεν ὁ Χριστὸς, μέλλων εἰς οὐρανὸν ἀναληφθῆναι, καθὼς ἱστόρησεν ὁ Λουκᾶς· διὰ γὰρ τῶν ἀποστόλων Lk 24.51
πάντας ηὐλόγησεν.

24α Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ.

Ὁ πρῶτος οὐρανὸς, οἰκητήριον δηλονότι τῷ Κυρίῳ. Ζήτησον καὶ ἐν τῷ πρὸ τούτου ψαλμῷ τὴν ἐξήγησιν τοῦ, *Ὁ ἐν ὑψηλοῖς κατοικῶν*. Ps 112.5β

24β Τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Εἰς κατοικίαν καὶ ἀπόλαυσιν, δι' οὓς καὶ πεποίηκεν αὐτήν.

25-26 Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου· ἀλλ'
ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὅμοιον τοῦτο δοκεῖ τῷ, *Μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου*; καὶ τῷ, *Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν* Ps 29.10β

22^4 *καὶ τοῦ γένους αὐτῶν* MS^{2}CBFV : om. P. 23^4 *ηὐλόγησεν* MS^{2}BF : *εὐλόγησεν* PV.

ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Ps 87.12

Τοῖς δὲ βαθύτερον ἐπισκεπτομένοις, νεκροὺς μὲν λέγει, τοὺς νεκρωθέντας εἰς ἐργασίαν ἀρετῆς, καὶ πρὸ τοῦ φυσικοῦ θανάτου φθαρέντας ὑπὸ τῆς ἁμαρτίας· ζῶντας δὲ, τοὺς ζῶντας ἐναρέτως, καὶ ἀπὸ τῆς ζωῆς ταύτης εἰς τὴν ὑψηλοτέραν καὶ θείαν μεταβαίνοντας. Ἐκεῖνοι μὲν γὰρ, οὔτε ἐνταῦθα αἰνέσουσιν (*Οὐχ ὡραῖος γὰρ αἶνος ἐν στόματι ἁμαρτωλοῦ*), οὔτε ἐκεῖ, ὡς διηνεκῶς βασανιζόμενοι. Οὗτοι Sir 15.9
δὲ, καὶ ὧδε κἀκεῖ· *ἀπὸ τοῦ νῦν γὰρ*, φησὶ, *καὶ ἕως τοῦ αἰῶνος*. Κἀκεῖνοι μὲν καταβαίνουσιν εἰς ᾅδου, οὗτοι δὲ ἀναβαίνουσιν εἰς οὐρανόν. Ἡμεῖς δὲ εἰπὼν, ὑπεδήλωσε τοὺς κατ' αὐτὸν, τοὺς ἐναρέτους.

114 ριδ'

1α Ἀλληλούϊα.

Καὶ οὗτος εὐχαριστήριος ὁ ψαλμός.

1β Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Ηὐφράνθην ἐν τούτῳ.

2α Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί.

Περὶ κλίσεως ὠτὸς, εἰρήκαμεν ἐν τῷ ις' ψαλμῷ, ἔνθα τὸ, *Κλῖνον τὸ οὖς σου ἐμοί.* Ps 16.6β

2β Καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. |

Καὶ ἐν ταῖς ἡμέραις πάσαις τῆς ζωῆς μου.

3-4α Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με, θλῖψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην.

Ὑπολαμβάνω συνῳδὰ ταῦτα εἶναι τοῖς ἐν τῷ ιζ' ψαλμῷ ῥηθεῖσι. Φησὶ γὰρ Ps 17.2-7
ἐκεῖ μὲν, *Ἀγαπήσω σὲ, Κύριε*· εἶτα καὶ τὴν αἰτίαν προστίθησι δι' ἣν αὐτὸν ἀγαπήσει. Λέγει γὰρ, ὅτι ἐνισχύεις με, ὅτι στερεοῖς με, ὅτι καταφυγή μου εἶ, ὅτι ῥύστης μου, καὶ τὰ τοιαῦτα. Ἔπειτα ἐπάγει ὅτι καὶ ἔτι ἐπικαλέσομαι τὸν Κύριον. Εἶθ' οὕτως διηγεῖται τὰς συμφορὰς, αἷς περιπεσὼν καὶ θλιβεὶς, ἐπεκαλέσατο τὸν Κύριον καὶ εἰσηκούσθη.

Ἐνταῦθα δὲ, τὰ αὐτὰ πάλιν. *Ἠγάπησα ὅτι εἰσακούσεται*, ἀντὶ τοῦ, ὅτι εἰσήκουσε δεηθέντος μου, ἢ ὅτι εἰσακούσεται καὶ ἔτι, εἰσήκουσε γὰρ νῦν. Αἰτία δὲ τῆς ἀγάπης, τὸ, ὅτι εἰσακούσεται. Ἔπειτα ὁμοίως ἐπάγει ὅτι καὶ ἐν ταῖς ἡμέραις μου ταῖς ἑξῆς, ἐπικαλέσομαι. Εἶθ' οὕτως, καθάπερ ἐποίησεν ἐκεῖ, διηγεῖται τὰς συμφορὰς, αἷς περιπεσὼν καὶ θλιβεὶς, ἐπεκαλέσατο πάλιν τὸν Κύριον, καὶ

ἐῤῥύσθη δηλονότι· διὰ τοῦτο γὰρ καὶ εἶπεν ὅτι ἠγάπησα. Ὀνομάσας δὲ ὠδῖνας θανάτου καὶ κινδύνους ᾅδου, ἐφηρμήνευσεν αὐτὰ, ἐπάγων, θλῖψιν καὶ ὀδύνην εὗρον. Εἴρηται δὲ καὶ περὶ αὐτῶν πλατύτερον ἐν τῷ ῥηθέντι ψαλμῷ. Ps 17.5-6

4β Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου.

Ἔτι καὶ ἔτι ἀπὸ τῶν μελλόντων κακῶν.

5 Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.

Ὅρα πῶς παιδεύει τὸν ἀκροατήν. Ἐλεήμων, φησὶν, ὁ Κύριος, μὴ ἀπογνῷς ἁμαρτήσας, ἀλλὰ καὶ δίκαιος, μὴ, τῷ ἐλέει αὐτοῦ θαῤῥήσας, ἀναπέσῃς. Εἶτα δεικνὺς τὸν Θεὸν ἐπιῤῥεπέστερον εἰς φιλανθρωπίαν, προσέθηκεν ὅτι Καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.

Τὸ δὲ, ὁ Θεὸς ἡμῶν, πρὸς ἀντιδιαστολὴν εἴρηται τῶν παρὰ τοῖς ἔθνεσι θεῶν.

6α Φυλάσσων τὰ νήπια ὁ Κύριος.

Συνεξακούεται, τὸ, ἐστίν. Ὑμνεῖ γὰρ καὶ ταύτην αὐτοῦ τὴν μεγίστην πρόνοιαν. Εἰ γὰρ μὴ αὐτὸς ἐφύλασσεν ἕκαστον, ῥᾳδίως ἂν καὶ ὄφις ἀνεῖλε καὶ σκορπίος καὶ πολλὰ τῶν ἑρπόντων ἰοβόλων, καὶ ταχέως ἂν ἀπωλώλεισαν, εἰς βόθρους καὶ κρημνοὺς καὶ πολλὰ τοιαῦτα κατενεχθέντα.

Τινὲς δὲ περὶ τῶν ἐμβρύων ἐνόησαν τὸν λόγον, ἅπερ ἐν σκοτεινοῖς καὶ ὑγροῖς χωρίοις, δίκην ἰχθύων, φερόμενα, καὶ μηδὲ ἀναπνεῖν κατ' ἄνθρωπον ἔχοντα· εἶτα ἀπὸ τῆς ἐν τῇ μήτρᾳ θερμότητος ἐπὶ τὸν ἀέρα τὸν ψυχρὸν καὶ ἀσυνήθη τοῦτον ἐξολισθαίνοντα, οὐδὲ πρὸς βραχὺ διήρκεσεν ἂν, εἰ μὴ παρὰ τῆς θείας προνοίας ἐφυλάττετο.

Ἢ καὶ ἑτέρως, νήπια νοήσεις, τοὺς ἀρτιπαγεῖς εἰς ἀρετὴν, οὓς φυλάσσει διὰ τὴν αὐτῶν ἀπειρίαν, ἄχρις ἂν γένωνται πρὸς τοὺς ἐχθροὺς ἀξιόμαχοι.

6β Ἐταπεινώθην, καὶ ἔσωσέ με.

Ἐταλαιπωρήθην τοῖς πειρασμοῖς, καὶ ἐῤῥύσατό με τούτων. Εἴασε μὲν γάρ με κακοπαθῆσαι, ἵνα φιλοσοφώτερος γένωμαι· ἔλυσε δέ μοι τοὺς πειρασμοὺς, ἵνα γνῶ τὴν χάριν αὐτοῦ, καὶ ἑκατέρωθεν εὐηργέτησε.

Καὶ ἄλλως δὲ, τὸν κατορθώσαντα τὴν ἀρετὴν τῆς ταπεινώσεως οἶδε σῴζειν ὁ Θεός.

7-8α Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε, ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.

Δοκεῖ μέν τισι, προτρέπειν ἑαυτὸν εἰς ἀνάπαυσιν καὶ ἐλευθερίαν τῶν ἄχρι τότε πειρασμῶν, ὡς εὐεργετηθέντα ἤδη, καὶ ἐξαιρεθέντα τοῦ προσδοκωμένου θανάτου, ἤτοι τῆς διαζεύξεως, | καὶ τῶν ἀπὸ τῆς θλίψεως δακρύων καὶ τῶν παγίδων, ἃς ἔπησσον αὐτῷ οἱ ἐχθροὶ, εἰς ἃς πολλάκις ὠλίσθαινεν.

Εἰ δέ τις κατὰ ἀναγωγὴν ἐκλάβοι ταῦτα, ἀνάπαυσιν μὲν ἐρεῖ, τὴν ἐντεῦθεν τῆς τοῦ δικαίου ψυχῆς ἐκδημίαν, ἀπαλλάττουσαν παντὸς ἀνιαροῦ λοιπὸν, ὃ καὶ εὐεργεσία Θεοῦ τούτοις ἐστὶν, ἐλευθερουμένοις τοῦ βάρους τοῦ σώματος καὶ τῶν ἐκ τούτου κακῶν. Φησὶ γὰρ ὁ Παῦλος, ὅτι, *Οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ στενάζομεν βαρούμενοι*, καὶ πάλιν, *Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, πολλῷ* 2Cor 5.4
μᾶλλον κρεῖσσον. Php 1.23

Ἁρμόζουσι δὲ ταυτὶ τὰ ῥητὰ τοῖς ἐξερχομένοις ἤδη τοῦ σώματος δικαίοις. Εἰπὼν γοῦν ὅτι *Κύριος εὐηργέτησέ σε*, προσέθηκεν, ὅτι ἐξείλετο λοιπὸν τὴν ψυχήν μου ἐκ τῆς ἁμαρτίας, ἥτις ἐστὶ θάνατος, νεκροῦσα τὰς εἰς ἀρετὴν ἐνεργείας τῆς ψυχῆς, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, μηκέτι δακρυόντων ὑπὸ τῶν συνεχῶν θλίψεων, καὶ τοὺς πόδας μου ἀπὸ ὑποσκελίσματος τοῦ παρὰ τῶν ἐπιβουλευόντων ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν.

8β Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

Χώρα ζώντων, ὁ οὐρανὸς ἢ ὁ μέλλων κόσμος, ἔνθα οὐδείς ἐστιν ἀποθνήσκων· ὁ δὲ παρὼν κόσμος, χώρα ἐστὶν ἀποθνησκόντων, ἐν ᾧ οὐδείς ἐστι μὴ ἀποθνήσκων. Εὐαρεστήσω, φησὶν, ἐν ἐκείνῃ τῇ χώρᾳ, μετὰ τῶν ἀγγέλων λατρεύων ἀνεμποδίστως, οὐδενὸς ἐνεδρεύοντος. Ἢ εὐαρεστήσω, ἀντὶ τοῦ, εὐάρεστος κριθήσομαι.

Τὰ παρόντα δὲ ῥητὰ ἐν τῷ νε´ ψαλμῷ καθ᾽ ἑτέραν ἔννοιαν ἡρμηνεύθησαν. Ps 55.14γ

115 ριε´

1α Ἀλληλούϊα.

Καὶ οὗτος ὁμοίως εὐχαριστήριος.

1β Ἐπίστευσα, διὸ ἐλάλησα.

Φησὶν ὁ μέγας Βασίλειος, ὅτι εἰπὼν ὁ προφήτης ἐν τῷ τέλει τοῦ προλαβόντος PG30.105BC
ψαλμοῦ, *Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων*, αὖθις ἐν ἀρχῇ τοῦ παρόντος λέγει, *Ἐπίστευσα*, περὶ οὗ προεφήτευσα ἐκεῖ, ὅτι εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων, διὸ καὶ ἐλάλησα τοῦτο. Καὶ γὰρ καὶ ἐν τῷ κϛ´ ψαλμῷ πάλιν εἴρηκε, *Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων*· εἰ καὶ καθ᾽ Ps 26.13
ἑτέραν ἐπιβολὴν ἐκεῖ τοῦτο διηρμήνευται.

1γ Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Τυχὼν προγνώσεως τοιαύτης, ἐταπεινώθην σφόδρα, ἀνάξιον ἐμαυτὸν ἡγησάμενος, ἵνα μὴ ἐπαρθεὶς ἀπολέσω τὴν χάριν.

2 Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, Πᾶς ἄνθρωπος ψεύστης.

Ἔκστασιν, τὴν ἔκπληξιν ὑποληπτέον. Ἐκπλαγεὶς, φησὶν, ἐκείνην τὴν χώραν τῶν ζώντων, ἣν ἐφαντάσθην διὰ τοῦ ἁγίου Πνεύματος, εἶπον διαῤῥήδην, ὅτι πᾶς ἄνθρωπος ψεύστης ἐνταῦθα, κατὰ τὴν ἀνθρωπίνην μακαριότητα, ἣν καὶ ὁ μέγας Γρηγόριος, ψευδομένην εὐημερίαν ὠνόμασεν, ὡς μὴ παραμένουσαν, ἀλλὰ δίκην PG35.1048
ὀνείρων ταχέως ἀφιπταμένην. Πάντα γὰρ τὰ ἀνθρώπινα ματαιότης ματαιοτήτων, Eccl 1.2
μεταβαλλόμενα καὶ φθειρόμενα· τὰ δὲ τῶν ἐν ἐκείνῃ τῇ χώρᾳ, ἀληθῆ ὄντως, ὡς μόνιμα καὶ ἀμετάβλητα καὶ ἄφθαρτα.

3 Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

Μυρίων γὰρ ἄλλων ἐμπλήσας εὐεργεσιῶν, ἔτι καὶ τὴν εἰρημένην χάριν ἐδωρήσατο. Τὸ δὲ, ἀνταπέδωκεν, ἀντὶ τοῦ, ἀπέδωκεν ἁπλῶς, ὡς καὶ ἐν τῷ ζ΄ ψαλμῷ παρεσημειωσάμεθα, ἔνθα τὸ, *Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά.* Ps 7.5
Εἶτα μηδὲν ἀντάξιον εὑρὼν, φησί·

4α Ποτήριον σωτηρίου λήψομαι.

Ποτήριον σωτηρίου, τὸν ὑπὲρ τοῦ Χριστοῦ θάνατον ὠνόμασε, τὸν διὰ μαρτυρίου. | Καὶ γὰρ ὁ Χριστὸς ἐν τοῖς Εὐαγγελίοις, ποτήριον αὐτὸν ὠνόμασε· *Δύνασθε γὰρ*, φησὶ πρὸς τοὺς υἱοὺς Ζεβεδαίου, *πιεῖν τὸ ποτήριον;* Σωτηρίου δὲ τοῦτον Mk 10.38
εἶπεν οὗτος, ὡς σῴζοντα καὶ ζωοποιοῦντα πολλῷ κρεῖττον τοὺς ἀποθνήσκοντας δι' αὐτοῦ. Ὑπὲρ τοῦ Χριστοῦ, φησὶν, ἀποθανοῦμαι, διψῶν τὸν ὑπὲρ αὐτοῦ θάνατον, τοῦ τοσούτων εὐεργεσιῶν με καταξιώσαντος, ὡς Υἱοῦ τοῦ Θεοῦ.

4β Καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Καὶ αὐτὸν ἐπικαλέσομαι δωρήσασθαί μοι καὶ τοῦτο· λοιπὸν οὖν, τόγε εἰς αὐτὸν ἧκον, ὑπὲρ Χριστοῦ τέθνηκεν, ὅσον ἐπὶ τῇ προαιρέσει.

5 Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Τὰς ὑποσχέσεις, ὅσας ὑπεσχόμην· ὅσον οὔπω γὰρ ἐκδημήσω τοῦ παρόντος βίου.

6 Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

4α[6] δι' αὐτοῦ MPCF : δι' αὐτόν SBV.

Χαίρω, φησὶν, ἀποθνήσκων· τίμιος γὰρ παρὰ Θεῷ ὁ θάνατος τῶν ὡσιωμένων αὐτῷ. Εἰ γὰρ ἡ ζωὴ τούτων τιμία, πολλῷ μᾶλλον ὁ θάνατος, ὡς εἰς τὸν Δεσπότην αὐτῶν διαβιβάζων αὐτοὺς, τιμωμένους διὰ προπομπῆς ἁγίων ἀγγέλων.

7α Ὦ Κύριε, ἐγὼ δοῦλος σός.

Ὡσιωμένος σοὶ, ἀνακείμενος τῇ σῇ δεσποτείᾳ.

7β Ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου.

Ἐδιττολόγησε μὲν, ἐμφαίνων ὅτι χαίρει τοῦτο καλούμενος, καὶ ἀνεπαισχύντως ὁμολογεῖ τοῦτο καὶ κηρύττει. Υἱὸς δὲ, φησὶ, τῆς παιδίσκης σου, δηλῶν ὅτι ἐκ προγόνων δοῦλός ἐστι τοῦ Θεοῦ.

Ἀδιαφόρως δὲ τῆς μητρὸς μόνης ἐμνημόνευσεν· ἢ καὶ διότι τότε τὰ ἐκ τῶν θεραπαινίδων οἰκογενῆ, τιμιώτερα τοῖς δεσπόταις ἦσαν.

7γ Διέῤῥηξας τοὺς δεσμούς μου.

Τοὺς ἀπὸ τῆς ἁμαρτίας, τῷ ξίφει τῆς μετανοίας.

8α Σοὶ θύσω θυσίαν αἰνέσεως.

Θυσίαν λογικὴν, θυσίαν οἰκείαν, γέννημα τῆς ἐμῆς καρδίας· σοὶ θύσω θυσίαν αἰνέσεως ἐπὶ τοῦ θυσιαστηρίου τῆς ἐμαυτοῦ ψυχῆς.

8β Καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.

Καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι εἰς χορηγίαν τῆς τοιαύτης θυσίας καὶ συνεργίαν.

9 Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Εἶπε τοῦτο καὶ ἀνωτέρω, καὶ παλιλλογεῖ, βεβαιῶν τὸν λόγον αὐτοῦ. Ps 115.5

10 Ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου, Ἱερουσαλήμ.

Λέγει καὶ τὸν τόπον ἔνθα τὰς εὐχὰς ἀποδώσει, ὅτι ἐν αὐλαῖς οἴκου Κυρίου· διαφόρους γὰρ εἶχεν αὐλὰς ἡ σκηνὴ, ἥτις τότε ἦν ἐν μέσῳ τῆς Ἱερουσαλήμ.

Ταῦτα μὲν κατὰ τὴν ἀκολουθίαν ἡρμηνεύσαμεν τοῦ προλαβόντος ψαλμοῦ. Λοιπὸν οὖν παραθώμεθα καὶ τὴν ἑρμηνείαν τοῦ Χρυσοστόμου. PG55.319-27

Λέγει γὰρ ὅτι προϊδὼν ὁ Δαυὶδ ὅσα μέλλουσι παθεῖν Ἰουδαῖοι, πολιορκηθέντες καὶ ἀπαχθέντες εἰς Βαβυλῶνα αἰχμάλωτοι, εἶτα μνησθεὶς καὶ περὶ τῆς ἀνακλήσεως αὐτῶν καὶ αὖθις ἀποκαταστάσεως, φησὶν ἐν τῷ παρόντι ψαλμῷ· Ἐπίστευσα
[1β] ὅτι καὶ αἰχμαλωτισθήσονται καὶ ἐπανελεύσονται, διδαχθεὶς ταῦτα διὰ τοῦ προφητικοῦ χαρίσματος, διὸ ἐλάλησα περὶ τούτων ἐν διαφόροις ψαλμοῖς.

[1γ] Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Ἐκακώθην σφόδρα, περιαλγήσας ἐπὶ τῇ αἰχμαλωσίᾳ.

[2] Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, Πᾶς ἄνθρωπος ψεύστης.

Ἐν τῇ λύπῃ μου ἐκείνῃ· ἐξιστᾷ γὰρ τοῦ καθεστηκότος πολλάκις ἡ λύπη, σφοδρότερον δὲ καταχεθεῖσα, καὶ ἀναισθησίαν ἐργάζεται. Ἰδὼν γὰρ μάλιστα τὸ ἀβέβαιον τῆς ἀνθρωπίνης εὐημερίας ἐν τῇ μεταβολῇ τῆς εὐετηρίας τῶν Ἰουδαίων, εἶπον ὅτι ὄντως πᾶν ἀνθρώπινον ἀγαθὸν, ψευδὲς, | μὴ πεφυκὸς παραμένειν, ἀλλ' ἐπεὶ πάλιν ἀνάκλησις, πάλιν ἐπάνοδος, ὑπερχαίρω, διὸ καὶ λέγω·

[3] Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

Οἰκείαν εὐεργεσίαν τοῦτο λογίζεται διὰ τὸ γένος. Πολλά με, φησὶν, εὐηργέτησεν ὁ Κύριος· τί οὖν ἀντὶ πάντων ἀνταποδώσω αὐτῷ; Πολλῆς περιχαρείας καὶ εὐγνωμοσύνης ὁ λόγος.

[4α] Ποτήριον σωτηρίου λήψομαι.

Σπονδεῖον λήψομαι· σπείσω τῷ Θεῷ ὑπὲρ σωτηρίας τοῦ λαοῦ. Ἦσαν γὰρ παρ' Ἰουδαίοις διάφοροι τρόποι θυσιῶν, ὧν εἷς ἦν, σπονδὴ σωτηρίου· σπονδεῖον Nu 6.17
δὲ, τὸ ποτήριον, δι' οὗ ἔσπενδον.

[4β] Καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Εἰς σωτηρίαν τοῦ λαοῦ.

[5] Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Τὰς ὑποσχέσεις ἃς ἐν περιστάσεσιν ὤν, ὑπὲρ σωτηρίας ἐπηγγειλάμην.

[6] Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Τοῦτο, καθολικὴ διδασκαλία περὶ τοῦ τιμᾶσθαι παρὰ Θεοῦ καὶ τὸν θάνατον

τῶν δούλων αὐτοῦ διὰ παρουσίας ἀγγέλων καὶ λοιπῶν πολλάκις ἁγίων εἰς τιμὴν τῶν ἀποθνησκόντων. Ὧν δὲ ὁ θάνατος τίμιος, τούτων ἡ ζωὴ τιμιωτέρα, ἐν ᾗ τὰς ἀρετὰς ἐργαζόμενοι, τὸν ἑαυτῶν ἐθεράπευον δεσπότην.

[7α] Ὦ Κύριε, ἐγὼ δοῦλος σὸς, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου.

Οὐ τὴν κοινὴν λέγων δουλείαν, καθ' ἣν πάντες δοῦλοί εἰσι Θεοῦ — Τὰ σύμπαντα, γὰρ, φησὶ, δοῦλα σά — ἀλλὰ τὴν ἐκ προαιρέσεως καὶ πόθου καὶ Ps 118.91
στοργῆς.

Τίθησι δὲ τοῦτο ἀντὶ παντὸς ἀξιώματος, ἐγκαλλωπιζόμενος τῇ τοιαύτῃ δουλείᾳ μᾶλλον ἢ τῇ βασιλείᾳ.

Τὸ δὲ, καὶ υἱὸς τῆς παιδίσκης σου, κατὰ τὴν προαποδοθεῖσαν ἐξήγησιν. Ps 115.7β

[7β] Διέῤῥηξας τοὺς δεσμούς μου.

Τοὺς τῆς λύπης τῆς ἀπὸ τῶν πειρασμῶν, οἳ σφόδρα με συνεῖχον καὶ συσφίγγοντες ἐπίεζον. Ἢ καὶ κατὰ τὴν ἀνωτέρω ῥηθεῖσαν ἑρμηνείαν.

[8α] Σοὶ θύσω θυσίαν αἰνέσεως.

Ὑπὲρ τῆς διαῤῥήξεως αὐτῶν, οὓς διέῤῥηξας τῷ ξίφει τῆς φιλανθρωπίας.

Θυσίαν δὲ αἰνέσεως λέγει, τὴν ὑμνολογίαν καὶ εὐχαριστίαν.

[8β] Καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.

Ἀντὶ τοῦ, τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι καὶ εἰς τοὺς ἑξῆς πειρασμοὺς, πεῖραν λαβὼν τῆς δυνάμεως τοῦ τοιούτου ὀνόματος.

Τὰ δὲ λοιπὰ, κατὰ τὴν προεξηγηθεῖσαν διάνοιαν. Ἐνώπιον δὲ παντὸς τοῦ λαοῦ ἀπεδίδου τὰς εὐχὰς, οὐκ ἐπιδεικνύμενος, ἀλλὰ πάντας εἰς τὸν ἑαυτοῦ ζῆλον ἐνάγων, καὶ κοινωνοὺς λαμβάνων τοῦ πράγματος.

Πάσης δὲ θυσίας εὐαποδεκτοτέρα Θεῷ, ἡ εὐχαριστία, καὶ πρᾶγμά ἐστιν εὐπόριστον, καὶ οὗπερ εὐπορεῖ κατὰ πάντα καιρὸν καὶ ὁ πάντων ἀπορώτατος.

116 ρις´

1α Ἀλληλούϊα.

Ὁμοίως εὐχαριστήριος καὶ οὗτος· καλεῖ γὰρ πάντα τὰ ἔθνη πρὸς ὑμνολογίαν καὶ εὐχαριστίαν Χριστοῦ, τηλικαῦτα τούτους εὐεργετήσαντος.

1β Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη.

Ἀπὸ τοῦ σκότους τῆς πλάνης ἐπὶ τὸ φῶς τῆς ἀληθείας ὁδηγηθέντα δι’ αὐτοῦ.

1γ Ἐπαινέσατε αὐτὸν, πάντες οἱ λαοί.

Τὸ αὐτὸ λέγει, τὴν αἴνεσιν ἐπιτείνων· ἢ λαοὺς νόει, τοὺς Ἰουδαίους, ὅσοι προσῆλθον τῇ πίστει, ἢ καὶ πάντας ἁπλῶς. Δεῖ γὰρ κοινῶς πάντας ἀνθρώπους εὐχαριστεῖν αὐτῷ, ὡς ὑπὲρ τῆς πάντων σωτηρίας φιλανθρώπως ἐνανθρωπήσαντι καὶ τὰ σωτήρια πάθη καταδεξαμένῳ, μάλιστα δὲ πάντων, Ἰουδαίους πάντας· *Οὐκ ἀπεστάλην γὰρ, φησὶν, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.* | Mt 15.24

2α Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ’ ἡμᾶς.

Ἰσχυρὸν γέγονε, στερεὸν πολὺ, ἐῤῥύη σφοδρὸν ἐπὶ πάντας ἀνθρώπους δι’ ὑπερβολὴν φιλανθρωπίας, εἰ καί τινες ἀπώσαντο τοῦτο.

Καὶ ἑαυτὸν δὲ συντάττει, καθὼς ἐν πολλοῖς εἴωθε ποιεῖν, ἕνα καὶ αὐτὸν ἡγούμενος τῶν εἰς Χριστὸν πεπιστευκότων.

2β Καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Ἡ τοῦ Εὐαγγελίου, ἡ διὰ τοῦ Χριστοῦ παραδοθεῖσα τοῖς ἀποστόλοις.

Τὰ μὲν γὰρ τοῦ νόμου, σκιαγραφία τις ἦσαν τῆς ἀληθείας, διὸ ταύτης ἐλθούσης, ἐπαύθη, καθάπερ ἡ σκιαγραφία τῶν ζωγράφων, τῶν ἀληθῶν χρωμάτων ἐπιβληθέντων αὐτῇ· *Ἡ χάρις δὲ, φησὶ, καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.* Jn 1.17

117 ριζ´

1α Ἀλληλούϊα.

Καὶ οὗτος πάλιν εὐχαριστήριος ὑπὲρ ὧν ἀπήλαυσεν εὐεργεσιῶν.

1β Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εἶπε ταῦτα ἐν τῷ ρε´ ψαλμῷ, καὶ ἡρμηνεύθησαν ἐκεῖ. Ps 105.1β

2-4 Εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος Ἀαρὼν, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Πάντες γὰρ διαφόρως ἀπήλαυσαν τῆς χρηστότητος καὶ τοῦ ἐλέους αὐτοῦ.

Ἐποιήσατο δὲ κἀνταῦθα τὴν διαίρεσιν τοῦ ἔθνους τῶν Ἰουδαίων, οἵαν καὶ ἐν τῷ ριγ´ ψαλμῷ, ἔνθα τὸ, *Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον*, καὶ τὰ ἑξῆς. Ps 113.17-19

Ἕνα δὲ χορὸν πάντας ἀπεργασάμενος καὶ παρακελευσάμενος εὐχαριστεῖν τῷ Θεῷ καὶ λέγειν, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, διηγεῖται τὰ καθ' ἑαυτόν. Ἔδει γὰρ αὐτοὺς τοῦτο ποιεῖν ὑπὲρ τοῦ βασιλέως αὐτῶν, ὑπὲρ αὐτῶν πολεμοῦντος, καὶ πειρασμοῖς περιπίπτοντος, καὶ παραδόξως ῥυομένου παρὰ Θεοῦ.

5 Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν.

Οὐχ ἁπλῶς ἐπήκουσέ μου, φησὶν, ἀλλὰ καὶ εἰς πλατυσμὸν, τουτέστιν, εἰς ἐλευθερίαν, ἀπὸ στενοχωρίας εἰς εὐρυχωρίαν με καταστήσας.

Εἴρηται δὲ καὶ ἐν τῷ δ' ψαλμῷ, Ἐν θλίψει ἐπλάτυνάς με, καὶ ζήτησον καὶ Ps 4.2β
τὴν ἐκείνου ἐξήγησιν.

6 Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

Ὅμοιόν ἐστι τοῦτο τῷ ἐν τῷ κϛ' ψαλμῷ, *Κύριος φωτισμός μου καὶ σωτήρ*
μου, τίνα φοβηθήσομαι; Ps 26.1β

Σκόπει δὲ πῶς οὐκ εἶπεν, ὅτι οὐδὲν ὑπὸ ἀνθρώπου πάθω, ἀλλ' ὅτι οὐ φοβηθήσομαι, εἴ τι καὶ πάθω· καὶ γὰρ εἰ πάθω, οὐκ ἐξ ἀσθενείας ἔσται τοῦ βοηθοῦντός μοι, ἀλλὰ κατὰ παραχώρησιν, εἰς παίδευσιν ἐμὴν καὶ διόρθωσιν.

7 Κύριος ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.

Ἐκεῖνος πολεμήσει, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου πίπτοντας· τοὺς μὲν αἰσθητοὺς, ἐπόψομαι τοῖς αἰσθητοῖς ὀφθαλμοῖς, τοὺς δὲ νοητοὺς, τοῖς νοητοῖς.

Ἁρμόζουσι δὲ τὰ ῥητὰ καὶ πᾶσι τοῖς ἀδιστάκτως ἐλπίζουσιν ἐπὶ Κύριον.

8-9 Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον ἢ πεποιθέναι ἐπ' ἄνθρωπον· ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον ἢ ἐλπίζειν ἐπ' ἄρχουσι.

Μακάριος γὰρ, φησὶν, *ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ Κύριον*. Καὶ ἀλλαχοῦ, *Ἐπι-* Ps 83.13
κατάρατος πᾶς ὁ ἐλπίζων ἐπ' ἄνθρωπον. Καὶ ἄλλος δέ τις λέγει σοφὸς, *Ἐμβλέψατε* Jer 17.5
εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἤλπισεν ἐπὶ Κύριον καὶ κατῃσχύνθη; | Εἰ δὲ καὶ Sir 2.10
κατῃσχύνθη τις, οὐκ ἤλπισεν ὡς ἐχρῆν. Διὸ καὶ ὁ Παῦλος, βεβαιῶν τὸν λόγον,
εἴρηκεν, *Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει*. Rom 5.5

Οὐ συγκρίνων δὲ εἶπεν, ἀγαθὸν τόδε παρὰ τόδε, ἀλλὰ συγκαταβατικῶς λέγων πρὸς τὴν ἀσθένειαν τῶν ἀκροωμένων.

10-11 Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς· κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

5^{2} ἐπήκουσε CPBFV : ἐπήκουσας MS^{2}. 5^{3} με καταστήσας MPS^{2}BF(V) : μεταστήσας C. 6^{5} πάθω MS^{2}CFV : καὶ πάθω PB.

Πάντα τὰ ἔθνη τὰ πέριξ τῆς Παλαιστίνης ὁμοῦ ποτε συνεπιθέμενα καὶ ὥσπερ ἐν σαγήνῃ μέσον ἐναπολαβόντα.

Ἢ καὶ τὰ διάφορα πλήθη τῶν δαιμόνων δηλοῖ· ἔστιν ὅτε γὰρ ὁμοῦ πάντες ἐπιστρατεύουσι καθ᾽ ἑνὸς δικαίου, παντοίως αὐτῷ πολεμοῦντες καὶ πολυειδῶς ἐκδειματοῦντες.

Πολλάκις δὲ καὶ περὶ τῆς κυκλώσεως καὶ περὶ τῆς ἀμύνης εἰπὼν, ἔδειξε τῆς μὲν τὸ ἄφυκτον, τῆς δὲ τὸ παράδοξον, καὶ οἵαν ἔχει δύναμιν τὸ ὄνομα τοῦ Θεοῦ.

12 Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Διαγράφει τὸ μέγεθος τῶν δεινῶν, καὶ διὰ μὲν τῆς εἰκόνος τῶν μελισσῶν, τὸ σφοδρὸν τῆς προθυμίας αὐτῶν αἰνίττεται, διὰ δὲ τοῦ πυρὸς, τὸ ἀκάθεκτον τῆς ὀργῆς. Αἱ μέλισσαι μὲν γὰρ, εὑροῦσαι κηρίον μέλιτος, μετὰ σφοδρᾶς προθυμίας κυκλοῦσιν αὐτὸ, τὴν ἰκμάδα τοῦ μέλιτος ἐκμυζῶσαι· καὶ τὸ πῦρ ἀκανθῶν δραξάμενον, ἀκάθεκτον γίνεται.

13 Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου.

Ὠσθεὶς παρ᾽ αὐτῶν, ἔκλινα τοῦ πεσεῖν, τουτέστιν, ἐγγὺς ἐγενόμην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου, ἵνα καὶ μᾶλλον αὐτοῦ δείξῃ τὴν ἰσχὺν καὶ κηδεμονίαν, ἀφαρπάσας ἐκ στόματος τοῦ θανάτου τὸν ἀπεγνωσμένον πανταχόθεν ἑτέρωθεν.

14 Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

Καὶ ἰσχύς μού ἐστιν, ἐν αὐτῷ γὰρ ἰσχύω· καὶ ὕμνησίς μου, δι᾽ αὐτὸν γὰρ ὑμνοῦμαι καὶ δοξάζομαι παρὰ πάντων, ὡς τοιοῦτον βοηθὸν πεπλουτηκὼς, ἢ καὶ αὐτὸν ὑμνῶ διὰ παντός· καὶ ἐγένετό μοι Σωτήρ.

15α Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.

Καὶ ἐγένετό μοι πάλιν φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας, τουτέστιν, αἴτιος φωνῆς ἀγαλλιάσεως καὶ σωτηρίας, ᾀδομένης ἐν σκηναῖς δικαίων. Παραδόξως γὰρ ὑπ᾽ αὐτοῦ σωθεὶς, ἐκινήθην εἰς τὸ ὑμνεῖν τὴν ἀγαλλίασιν καὶ τὴν σωτηρίαν ἥν μοι δεδώρηται, ἢ εἰς τὸ ὑμνεῖν αὐτὸν ἐν ἀγαλλιάσει καὶ σωτηρίᾳ.

Σκηνὰς δὲ δικαίων οἶμαι προφητικῶς λέγειν αὐτὸν, τὰς καλύβας τῶν ἀσκητῶν, ἐν αἷς μᾶλλον ᾄδονται τὰ Δαυϊτικὰ, ἢ τὰς κατὰ τόπον Ἐκκλησίας.

15β Δεξιὰ Κυρίου ἐποίησε δύναμιν.

10-11[8-9] ἔδειξε τῆς μὲν… τῆς δὲ M : ἔδειξε τοῖς μὲν… τοῖς δὲ SV.

Ἡ συμμαχία τοῦ Κυρίου εἰργάσατο τὴν νίκην, ἔστησε τὸ τρόπαιον.

16α Δεξιὰ Κυρίου ὕψωσέ με.

Ἀνέστησε κλιθέντα, ἢ ἐδόξασε τροπωσάμενον τοὺς ἐχθρούς.

16β Δεξιὰ Κυρίου ἐποίησε δύναμιν.

Τὸ αὐτὸ λέγει πάλιν, ὑφ' ἡδονῆς ἐπιτείνων τὴν εὐχαριστίαν.

Ἢ καὶ τρεῖς δεξιὰς εἰπὼν Κυρίου, τὴν τριπλῆν συμμαχίαν τῆς τρισυποστάτου θεότητος ὑπέφηνεν.

17 Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι καὶ διηγήσομαι τὰ ἔργα Κυρίου.

Οὐκ ἀποθανοῦμαι λοιπὸν ἀπὸ τῶν κυκλωσάντων με, καθὼς ἐκείνοις ἐδόκει, τοὐναντίον μᾶλλον αὐτῶν ἀπολωλότων· ἀλλὰ ζήσομαι καὶ ὑμνήσω τὰ θαυμάσια τοῦ Θεοῦ.

Ἢ οὐκ ἀποθανοῦμαι τὸν ψυχικὸν θάνατον, | ἀλλὰ ζήσομαι τὴν κατὰ Θεὸν ζωήν.

Ἢ οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, τουτέστιν, ἀθάνατος ἔσομαι, διὰ τοῦ διηνεκῶς ᾄδειν παρὰ τοῖς ψάλλουσι τὰς ἐμὰς ᾠδάς, καὶ μηδέποτε παύεσθαι μέχρι παντὸς αἰῶνος.

Ἢ καὶ περὶ τῆς ἀναστάσεως ὁ λόγος, προφητεύοντος ὅτι οὐκ ἀποθανοῦμαι εἰς τὸ μηκέτι ἀναστῆναι, ἀλλὰ ζήσομαι πάλιν μετὰ πάντων ἀνθρώπων· διὸ καὶ διηγήσομαι νῦν τὰ ἔργα Κυρίου, μετὰ τῶν ἄλλων καὶ τὴν ἀνάστασίν μοι χαρισαμένου.

18 Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με.

Ἐπαίδευσέ με, συγχωρήσας ἐμπεσεῖν τοῖς δεινοῖς, ἵνα τῷ φόβῳ τοῦ χαλεποῦ κινδύνου καὶ τῆς ἀνάγκης ἐκείνης βελτιωθῶ καὶ σωφρονέστερος γένωμαι. Οὐκ ἀφῆκε με δὲ ἀποθανεῖν, ἐξαρπάσας, καθὼς ἀνωτέρω δεδήλωται, ἵνα δείξῃ τὴν Ps 117.13
ἰσχὺν αὐτοῦ καὶ κηδεμονίαν.

19α Ἀνοίξατέ μοι πύλας δικαιοσύνης.

Τὰς τῆς σκηνῆς, ἐν ᾗ ἀπέκειτο ἡ νομικὴ δικαιοσύνη, τὰ δικαιώματα τοῦ νόμου.

19β Εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ.

Εἰσελθὼν ἔνδον αὐτῶν, εὐχαριστήσω τῷ Κυρίῳ, ὑμνολογήσω αὐτὸν, ὡς ἐπηγγειλάμην.

Νοήσεις δὲ πύλας δικαιοσύνης, καὶ τὰς τῶν ἀνωτέρω ῥηθεισῶν σκηνῶν δικαίων, Ps 117.15α
καὶ τὰς τῶν πανταχοῦ Ἐκκλησιῶν, ἐν αἷς δικαιοσύνη καὶ πᾶσα ἀρετὴ πολιτεύεται, ὧν ἔνδον γενόμενος, διὰ τῶν ψαλμῶν αὐτοῦ ὁ Δαυὶδ εὐχαριστήσει τῷ Κυρίῳ.

20 Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.

Δοκεῖ μοι τὴν στενὴν λέγειν, περὶ ἧς εἴρηκεν ὁ Χριστὸς ἐν τοῖς Εὐαγγελίοις,
Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· διὸ καὶ προϊδὼν αὐτὴν οὗτος, ἐβόησεν, *Αὕτη ἡ* Mt 7.13
πύλη τοῦ Κυρίου, τουτέστι, περὶ ἧς ὁ Κύριος Ἰησοῦς Χριστὸς διδάξει, ἢ ἡ πρὸς Κύριον ἄγουσα.

Εἶτα προσέθηκε, *δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ*, ἤτοι δι᾽ αὐτῆς. Καὶ γὰρ ὁ
Χριστὸς εἶπεν, ὅτι *Ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν*. Mt 7.14

21 Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγένου μοι εἰς σωτηρίαν.

Πάλιν εὐχαριστεῖν ἐπαγγέλλεται τῷ Σωτῆρι.

22 Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.

Καὶ τοῦτο, προφητεία περὶ τοῦ Χριστοῦ· τὸ συνεχὲς γὰρ τοῦ λόγου διακόπτουσιν ἐν πολλοῖς αἱ προφητεῖαι, διὰ τὸ δεῖν αὐτὰς συσκιάζεσθαι τέως, ἵνα μὴ καὶ τὰ βιβλία παρὰ τῶν ἐχθρῶν ἐξαλειφθῶσι. Καὶ οἰκοδομοῦντας μὲν λέγει, τοὺς ἀρχιερεῖς, τοὺς γραμματεῖς, τοὺς διδασκάλους τῶν Ἰουδαίων, ὡς προκεχειρισμένους οἰκοδομεῖν καὶ καταρτίζειν τὸν λαὸν ἐπὶ τῷ θεμελίῳ τοῦ
νόμου. Λίθον δὲ ἀποδοκιμασθέντα, τὸν Χριστόν. Λίθον μὲν, διὰ τὸ στεῤῥὸν καὶ Mk 12.10
ἀνένδοτον πρὸς κακίαν· *Ἁμαρτίαν γὰρ*, φησὶν, *οὐκ ἐποίησεν*. Ἀπεδοκίμασαν δὲ 1Pt 2.22
αὐτὸν, ὡς ἄχρηστον εἰς οἰκοδομήν· ἔλεγον γὰρ, ὅτι *Σαμαρείτης εἶ σὺ*, καὶ ὅτι, Jn 8.48
Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλὰ πλανᾷ τὸν ὄχλον. Jn 9.16, 7.12

Ἀλλ᾽ ὅμως οὗτος ὁ παρ᾽ αὐτῶν ἀποδοκιμασθεὶς, οὕτως ἐφάνη δόκιμος, ὡς
γενέσθαι εἰς κεφαλὴν γωνίας, ἤγουν ἀκρογωνιαῖος. Οὐ πᾶς δὲ λίθος γίνεται Eph 2.20
ἀκρογωνιαῖος, ἀλλ᾽ ὁ τῶν ἄλλων δοκιμώτερος, καὶ ἐξ ἑκατέρας πλευρᾶς αὐτοῦ συνδῆσαι τοὺς δύο τοίχους εἰς μίαν γωνίαν δυνάμενος.

Πῶς δὲ ὁ Χριστὸς ἐγένετο ἀκρογωνιαῖος; ὡς ἐφ᾽ ἑαυτοῦ συνάψας τοὺς δύο
λαοὺς εἰς μίαν πίστιν, τόν τε ἐκ περιτομῆς πιστεύσαντα, καὶ τὸν ἐξ ἐθνῶν. Φησὶ Tit 1.10
γὰρ ὁ Παῦλος, ὅτι *Αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν*. Καὶ Eph 2.14
αὐτὸς δὲ ὁ Χριστὸς εἴρηκε, *Καὶ ἄλλα πρόβατα ἔχω*, | *ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς*
ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. Jn 10.16

23 Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

22 [M in marg.]PV: Ἢ γωνίαν λέγει, τὴν ἐκκλησίαν τῶν πιστῶν, ὥσπερ ἡ γωνία δύο τοίχων δι᾽ ἑαυτῆς ποιεῖται πρὸς ἀλλήλους συνάφειαν, οὕτω καὶ ἡ τοῦ Θεοῦ ἐκκλησία δύο λαῶν, τοῦ τε ἐξ Ἰουδαίων καὶ τοῦ ἐξ ἐθνῶν, ἕνωσιν ἀπεργάζεται· ταύτης δὲ κεφαλὴ, ὁ Χριστὸς, ὡς ἑνὸς λοιπὸν σώματος, οὐ κεφαλὴ δὲ μόνον, ἀλλὰ καὶ σύνδεσμος καὶ θεμέλιον. : om. CSF.

Αὕτη ἡ γωνία, αὕτη ἡ σύνοδος τῶν δύο λαῶν, οὗτος ὁ σύνδεσμος παρὰ Θεοῦ ἐγένετο, καὶ οὐ παρ' ἀνθρώπου ψιλοῦ. Καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν, τῶν ἰδεῖν αὐτὴν ἀξιωθέντων· καὶ πῶς γὰρ οὐ θαυμαστὸν τοιοῦτον ἔργον;

24α Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος.

Ἡμέραν λέγει, τὴν εὐημερίαν τῆς οἰκουμένης. Ὥσπερ γὰρ ἡμέραν λέγοντες Ps 40.2β
πονηρὰν, οὐ τὸν ἡλιακὸν λέγομεν δρόμον, ἀλλὰ τὰ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κακὰ, Ps 48.6α
οὕτω καὶ ἡμέραν ὀνομάζοντες ἀγαθὴν, τὰ ἐν αὐτῇ δηλοῦμεν κατορθώματα. Ps 33.13β

Καὶ νῦν οὖν τὰ ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως τοῦ Χριστοῦ κατορθωθέντα προαγορεύει, ἃ ἐποίησεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Κατήλλαξε γὰρ τὸν
Θεὸν πρὸς ἀνθρώπους, κατέλυσε τὴν τυραννίδα τοῦ διαβόλου, κατήργησε τὴν 2Cor 5.18
δύναμιν τοῦ θανάτου, τοὺς ἀναξίους τῆς γῆς ἐποίησεν ἀξίους τοῦ οὐρανοῦ, ἔλυσε Heb 2.14
τὸ σκότος τῆς πλάνης, ἀπήλασε τὴν ἁμαρτίαν, ἐφύτευσε τὴν ἀρετὴν, καὶ ἄλλων μυρίων ἀγαθῶν ἐνέπλησε τὴν οἰκουμένην.

24β Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Πνευματικῶς. Προτρέπεται δὲ εἰς τοῦτο τοὺς πιστοὺς, ὡς τοιούτων ἀξιωθέντας.

25α Ὦ Κύριε, σῶσον δή.

Τὸν λαόν σου.

25β Ὦ Κύριε, εὐόδωσον δή.

Τὸν αὐτὸν, καὶ τὴν πίστιν τοῦ κηρύγματος.

26α Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Καὶ τοῦτο περὶ τοῦ Χριστοῦ· οὗτος γὰρ ἦλθεν ἐν ὀνόματι Κυρίου, τουτέστιν, ἀπὸ Κυρίου, ἀπὸ τῆς οὐσίας Κυρίου. Διὸ καὶ πρὸς Ἰουδαίους ἔλεγεν· Ἐγὼ ἐλήλυθα
ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβάνετέ με. Jn 5.43

Ἢ, ἐν ὀνόματι Κυρίου, ἤτοι ἐν ὀνόματι Θεοῦ, τουτέστιν, ὄνομα Θεοῦ ἔχων.

26β Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου.

Ἡμεῖς οἱ προϊδόντες ταῦτα εὐλογήκαμεν ὑμᾶς, ὦ ἐξ οἴκου Κυρίου ἄνθρωποι, ὦ τῆς Ἐκκλησίας θρέμματα, ὡς τοιούτων ἀξιωθέντας· ἢ ὑμᾶς ἐξ οἴκου Κυρίου ὄντας. Οἶκος δὲ Κυρίου, ἡ Ἐκκλησία τῶν πιστῶν.

26α[3] Ἰουδαίους PS[2]CFV : τοὺς Ἰουδαίους MB.

27α *Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.*

Θεός ἐστιν ὁ Χριστὸς, Κύριός ἐστιν ὁ Χριστός· καὶ ἐπέφανε τοῖς ἀνθρώποις διὰ τῆς ἐνανθρωπήσεως. Ὡς γεγονότα δὲ λέγει τὰ μέλλοντα, νόμῳ προφητείας.

27β *Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.*

Εἷς μὲν ἑρμηνευτής φησιν· ἑορτάσατε ἐν τοῖς καλύπτουσιν, ἤγουν ἐν θυσίαις καλυπτούσαις τὸ θυσιαστήριον ἄχρι τῶν κεράτων αὐτοῦ· κέρατα δὲ αὐτοῦ, τὰ ἀκρότατα. Ἕτερος δέ· ἑορτάσατε ἐν τοῖς βλαστάνουσι, τουτέστιν, ἐν στεφάνοις ἀνθέων καὶ κλάδοις. Πυκάζειν γὰρ, κατὰ μέν τινας, τὸ, καλύπτειν, κατὰ δέ τινας, τὸ, βλαστάνειν.

Προτρέπεται δὲ ὁ λόγος ἑορτάζειν λαμπρῶς· καθ' Ἑβραίους μὲν, ὡς εἴρηται, καθ' ἡμᾶς δὲ, θυσίαις πνευματικαῖς καλυπτούσαις τῷ πλήθει τὸ θυσιαστήριον τῆς ψυχῆς, καὶ στεφάνοις ἀρετῶν καὶ κλάδοις ἀγαθοεργίας.

28α *Θεός μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σὺ, καὶ ὑψώσω σε.*

Θεός μου εἶ σὺ, διὸ καὶ χωρὶς ὧν εὐηργετήθην, εὐχαριστήσω σοι καὶ δοξάσω σε. Χρὴ γὰρ εὐχαριστεῖν τῷ Κτίσαντι, καὶ διὰ τὸ κτίσαι μόνον καὶ προνοεῖσθαι.

28β *Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγένου μοι εἰς σωτηρίαν.*

Εὐχαριστήσω διὰ παντὸς, ὡς εὐεργέτῃ.

29 *Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.*

Εἰς τὸν ἐν ἀρχῇ στίχον ἀποπερατωθεὶς ὁ ψαλμὸς, κύκλον μιμεῖται, προτρεπόμενος αὖθις τὸν λαὸν εἰς ὃ καὶ κατ' ἀρχάς.

118 ριη´

1α Ἀλληλούϊα.

Πολλὰς πραγμάτων ἔσχε μεταβολὰς ὁ θεῖος Δαυὶδ, ὡς καὶ ἐν τῷ προοιμίῳ τῆς | παρούσης βίβλου διηγησάμεθα· καὶ γὰρ ποτὲ μὲν ἔφευγε πολεμίους, ποτὲ δὲ § 29 περιέπιπτε συμφοραῖς, ποτὲ δὲ θυμηρεστέραν εἶχε ζωήν· καὶ νῦν μὲν ὥδευε τὴν θείαν ὁδὸν, νῦν δὲ ταύτῃ προσέπταιεν, ἅπερ ἅπαντα συνελὼν, ἤθροισεν εἰς τὸν παρόντα ψαλμὸν, ἐντάξας καὶ τὰς ἀγράφως ἑκάστοτε προσαχθείσας παρ' αὐτοῦ τῷ Θεῷ δεήσεις πρὸς παιδαγωγίαν καὶ ὠφέλειαν τῶν ἐντυγχανόντων.

27β Add. [M in marg.]B: Τὰς τῶν ἀποστόλων καὶ προφητῶν σάλπιγγας, ἃς κερατίνας ὁ νόμος φησὶ, διὰ τὸ γοῦν τὴν κατασκευὴν ἐκ τοῦ ἀληθινοῦ μονοκέρωτος, καλεῖ ὁ λόγος συστῆσαι σύμφωνον ἑορτὴν διὰ τοῦ πυκασμοῦ τῆς σκηνοπηγίας τῆς κάτω κτίσεως πρὸς τὰς ἐξαρχούσας καὶ προβεβλημένας περὶ τὸ ἀνωτέρω θυσιαστήριον δυνάμεις· τὰ γὰρ κέρατα τοῦ νοητοῦ θυσιαστηρίου, αἱ προβεβλημέναι τε καὶ ἐξέχουσαι τῆς νοερᾶς φύσεως δυνάμεις εἰσὶν, ἀρχαί τε καὶ ἐξουσίαι καὶ θρόνοι καὶ κυριότητες, πρὸς ἃς τῇ κοινωνίᾳ τῆς ἑορτῆς συνάπτεται διὰ τῆς κατὰ τὴν ἀνάστασιν σκηνοπηγίας, ἡ ἀνθρωπίνη φύσις τῇ ἀνακαινίσει τῶν σωμάτων πυκαζομένη· τὸ γὰρ πυκάζεσθαι ἴσον ἐστιν τοῦ κοσμεῖσθαι ἢ περιβάλλεσθαι, καθῶς ἑρμηνεύουσιν οἱ ταῦτα γινώσκοντες. 1α[3] ἔφευγε PS[2]A : ἔφυγε MCV.

Ἀρκεῖ δὲ οὗτος ὁ ψαλμὸς τοὺς μὲν ἀρετὴν μετιόντας τελειοῦν, τοὺς δὲ ζῶντας ῥαθύμως διεγείρειν.

Ἐπεὶ δὲ συνεχῶς ἐν τῷ παρόντι ψαλμῷ, νόμου, καὶ μαρτυρίων, καὶ ἐντολῶν, καὶ δικαιωμάτων, καὶ κριμάτων, καὶ λογίων μέμνηται, καὶ σχεδὸν ἐν ἑκάστῳ
στίχῳ — περὶ τούτων γὰρ, ὡς εἰπεῖν, ἡ σύμπασα πραγματεία τοῦ ψαλμοῦ Ps 17.23
τούτου, καὶ τούτοις εἰδικῶς ἀνέθηκε τοῦτον — ζήτησον ἐν τῷ ιζʹ ψαλμῷ τὸ, *Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου*, καὶ περὶ πάντων εὑρήσεις τὴν ἐξήγησιν ἐκείνου διαλαμβάνουσαν. Καὶ λοιπὸν οὐ χρεία πάλιν ἑρμηνεύειν ἔνθα τι τούτων εὑρίσκομεν.

Χρὴ δὲ γινώσκειν, ὡς εἰ καὶ διαφέρουσιν ἀλλήλων, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον τοῖς τοιούτοις ὀνόμασι τὸν νόμον δηλοῖ· ἀπὸ τῶν περιεχομένων, τὸν περιέχοντα.

1β *Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ.*

Ὁδὸν, τὸν παροδικὸν βίον τοῦτον ὀνομάζει, μακαρίζων τοὺς ἀμέμπτως ὁδεύοντας αὐτὸν, τοὺς ὀρθῶς βιοῦντας.

1γ *Οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.*

Οἱ βιοῦντες ἐννόμως, οἱ πολιτευόμενοι κατὰ νόμον Θεοῦ, καὶ μὴ βαίνοντες ἔξω τούτου.

2α *Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ.*

Οἱ μετ' ἐπιστασίας καὶ προσοχῆς ἀναγινώσκοντες αὐτὰ, καὶ τὸν ἐγκεκρυμμένον θησαυρὸν κατοπτεύοντες.

2β *Ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.*

Οὗτοι ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσι τὸν Θεὸν, ἤδη τοῦ κάλλους αὐτοῦ καὶ τοῦ φωτὸς, ὡς ἐφικτὸν, ἀπολαύσαντες· διὸ καὶ ὅλον τὸν πόθον τείναντες πρὸς αὐτὸν, τὰ μὲν βιωτικὰ πάντα παραδραμοῦνται. Τοῦτον δὲ μόνον ἐκζητήσουσιν, ἐπειγόμενοι συνεῖναι αὐτῷ δι' εὐαρεστήσεως. Ἐκζητεῖ δέ τις τὸν Θεὸν, ὁδεύων πρὸς αὐτὸν διὰ τῆς τρίβου τῶν ἐντολῶν, αἳ φέρουσιν εἰς αὐτόν.

3 *Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.*

Ὅταν μὲν ὁδὸν ἀπολύτως λέγῃ, τὸν παρόντα βίον ὡς ἐπὶ τὸ πλεῖστον αἰνίττεται· ὅταν δὲ, ὁδὸν τοῦ Θεοῦ ἢ ὁδοὺς αὐτοῦ, τὸν νόμον καὶ τὰς ἐντολάς.

Φησὶ γοῦν ὡς οἱ κατά τι παρανομοῦντες οὐκ ἐν ταῖς ὁδοῖς τοῦ Θεοῦ πορεύονται, κατ' ἐκεῖνο γὰρ ἐξέκλιναν ἀπ' αὐτῶν.

[1α][7] *εὑρίσκομεν* MPBFV : *εὑρίσκωμεν* SC.

4 Σὺ ἐνετείλω τὰς ἐντολάς σου φυλάξασθαι σφόδρα.

Σὺ τοῦτο προσέταξας ἐν τῷ νόμῳ, καὶ κατάραν ἐπήγαγες τοῖς ἀμελοῦσιν αὐτῶν. Καὶ χρὴ, δεδιότας τὸν ἐντειλάμενον, μὴ παραβαίνειν αὐτὰς ἐν μηδενί.

5 Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

Εἴθε κατευθυνθείησαν αἱ ὁδοὶ τῆς πολιτείας μου, ὥστε πληρῶσαι τὰς ἐντολάς σου. Εὔχεται γὰρ τοῦτο, γινώσκων μηδὲν δύνασθαι κατορθοῦν χωρὶς τῆς ἄνωθεν συνεργίας, *Οὐ γὰρ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος*, φησὶ Παῦλος, *ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ*. Rom 9.16

6 Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

Ὅτε κατευθυνθῶσιν αἱ ὁδοί μου, καθὼς εἴρηται, τότε οὐ μὴ αἰσχυνθῶ· καὶ γὰρ ἐπέβλεψα λοιπὸν ἐπὶ πάσας τὰς ἐντολάς σου, καὶ πάσας ἤδη | κατώρθωσα.

Ἢ καὶ ἑτέρως, τότε οὐ μὴ αἰσχυνθῶ, ὅτε ἐπιβλέψω ἐπὶ πάσας τὰς ἐντολάς σου, ὅτε μετέλθω πάσας· τὸ γάρ τινας παριδεῖν αἰσχύνην φέρει καὶ καταδίκην.

7 Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐν τῷ μεμαθηκέναι τὸν νόμον σου εὐχαριστήσω σοι δικαίως, ἐν ὀρθῇ καρδίᾳ, ἐν ὅλῃ ψυχῇ, ὅτι ἔμαθον, ὅτι ἐφωτίσθην τὸν νοῦν, ὅτι μεγάλα ἐντεῦθεν εὐηργετήθην.

8 Τὰ δικαιώματά σου φυλάξω· μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

Τὸν νόμον σου φυλάξω, μεμαθηκὼς αὐτόν· διὸ παρακαλῶ, μή με ἐγκαταλίπῃς ἐπὶ πολὺ — τοῦτο γὰρ δηλοῖ τὸ, *ἕως σφόδρα* — εἴγε κέκρικας ἐγκαταλιπεῖν με δι' οἰκονομίας τινὰς, ὡς εἴωθας πολλάκις ποιεῖν, πρὸς ὠφέλειαν τῶν ἐγκαταλιμπανομένων.

9 Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Καὶ ἐρωτᾷ, καὶ ἀποκρίνεται. Ἐπειδὴ γὰρ ἡ νεότης κούφη καὶ εὐπαράγωγος καὶ ῥᾳδίως ὑποσκελιζομένη, χρεία ταύτῃ τῆς φυλακῆς τῶν θείων ἐντολῶν· αὕτη γὰρ ὀρθοῖ τὸν βίον τοῦ νέου καὶ φυλάττει.

10 Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἐν ὅλῃ καρδίᾳ μου, μὴ μερίζων εἰς φροντίδας βιωτικὰς τὴν διάνοιαν. Ὅθεν

8³ εἴγε PCV : εἴτε MSBF.

ἱκετεύω, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου, ὡς ἀνάξιον. Ταπεινοφροσύνης δὲ ὁ λόγος, τῆς φυλαττούσης τὰ κατορθώματα.

Ἢ μὴ ἀπώσῃ με, ψυχρανθέντα ποτὲ περὶ αὐτάς· ἀλλ' εἰ καί τι πάθοιμι τοιοῦτον, ἄναψον τὴν θέρμην.

11 Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

Λόγια, τὰς ἐντολὰς λέγει. Ἐν τῷ ταμείῳ τῆς καρδίας μου ἔκρυψα ταύτας, ἀνεξάλειπτον ἐγκολάψας τὴν μνήμην αὐτῶν, ὅπως ἂν ἀεὶ ταύτας ὁρῶν καὶ μνημονεύων, μὴ ἁμάρτω σοι· καὶ γὰρ οὐκ ἐῶσιν ἁμαρτάνειν τὸν οὕτως ἔχοντα.

12 Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογεῖ μὲν τὸν Θεὸν, ὑμνολογῶν αὐτὸν ἐφ' οἷς ὠφελήθη παρὰ τοῦ νόμου· παρακαλεῖ δὲ μαθεῖν τοῦτον ἔτι βεβαιότερόν τε καὶ ὑψηλότερον.

13 Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

Οὐ μόνον αὐτὸς ἔμαθον αὐτὰ, ἀλλὰ καὶ ἄλλοις ταῦτα ἀπήγγειλα.

14 Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ.

Οὐκ εἶπεν ὡς ἐπὶ πλούτῳ ἁπλῶς, ἀλλ' ὡς ἐπὶ παντὶ πλούτῳ. Βαδίζων, φησὶ, τὴν ὁδὸν τῶν ἐντολῶν σου, οὕτως ἐτέρφθην, ὡς πάντα πλοῦτον ἤδη κτησάμενος, ἢ ὡς ἐπὶ παντὶ πλούτῳ τῷ ἐν ἀνθρώποις ἕτερος.

15 Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω καὶ κατανοήσω τὰς ὁδούς σου.

Περὶ ἀδολεσχίας εἰρήκαμεν ἐν τῷ νδʹ ψαλμῷ ἔνθα τὸ, Ἐλυπήθην ἐν τῇ Ps 54.3β
ἀδολεσχίᾳ μου. Φησὶν οὖν ὅτι συνεχέστερον ἐμμελετήσω ταῖς ἐντολαῖς σου, Ps 76.4β
κἀντεῦθεν ἀκριβέστερον κατανοήσω ταύτας, ἤτοι τὰ θελήματά σου.

16 Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

Ἐμμελετήσω αὐτοῖς καὶ οὐκ ἐπιλήσομαι· ἡ γὰρ ἐμμελέτησις συνέχει τὴν μνήμην.

17α Ἀνταπόδος τῷ δούλῳ σου.

Ἀντὶ τῆς ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχίας | καὶ τῆς ἐν τοῖς δικαιώμασί σου μελέτης, ἀπόδος ἀμοιβὴν τῷ δούλῳ σου.

17β Ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου.

Λαβὼν ἀμοιβὴν, ζήσομαι κρείττονα ζωὴν, ἐπεκτεινόμενος τοῖς ἔμπροσθεν. Php 3.13

18 Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

Περίελε τὸ κάλυμμα τῶν ὀφθαλμῶν τῆς ψυχῆς μου, τὴν τοῦ νομικοῦ γράμματος παχύτητα καὶ ἐπιπρόσθησιν, καὶ κατανοήσω τὰ ἐγκεκρυμμένα θαυμάσια νοήματα, τὰ περὶ τῆς ἐνσάρκου οἰκονομίας σου.

19 Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ᾽ ἐμοῦ τὰς ἐντολάς σου.

Παροδικῶς κέχρημαι τῷ παρόντι βίῳ, πρὸς ἑτέραν ζωὴν ἐπειγόμενος· διὸ γνώρισόν μοι βαθύτερον τὰς ἐντολάς σου, ἵνα σπουδαιότερον ἐργάζωμαι καὶ συντονώτερον τρέχω.

20 Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

Ἐπεπόθησε σφόδρα. Ἐπεπόθησεν ἡ ψυχή μου τὸ ἐπιθυμεῖν ἀεὶ τῶν κριμάτων σου· ἀδιάφορος δὲ ἡ σύνταξις ἐνταῦθα καὶ τοῦ, ἐπεπόθησε, καὶ τοῦ, ἐπιθυμῆσαι.

Λίαν ἠγάπησα, φησὶ, τὴν ἐπιθυμίαν τῶν κριμάτων σου, διὸ καὶ ἐπεθύμουν αὐτῶν ἐν παντὶ καιρῷ, τουτέστιν, ἐπιθυμητικῶς αὐτῶν εἶχον, θερμῶς ἐφίλουν.

Ἢ ἐπεπόθησεν ἡ ψυχή μου τὰ κρίματά σου ἐν παντὶ καιρῷ, ὥστε ἐπιθυμητικῶς ἔχειν αὐτῶν, ἢ διὰ τὸ ἐπιθυμῆσαι αὐτῶν.

21α Ἐπετίμησας ὑπερηφάνοις.

Ἠπείλησας κόλασιν ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῖς ὑπερόπταις τοῦ νόμου, ἢ ἐπικατηράσω αὐτοῖς, ὡς ἐφεξῆς δῆλον.

21β Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

Γέγραπται γὰρ, Ἐπικατάρατος ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά. Dt 27.26

22 Περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

Ὄνειδος καὶ ἐξουδένωσιν, ἅπερ ἡ προλαβοῦσα ῥαθυμία μοι προσετρίψατο, ὀνειδιζόντων καὶ ἐξουδενούντων με τῶν νοητῶν ἐχθρῶν.

Ἢ περίελε, ἀντὶ τοῦ, ἀπέλασον, μὴ συγχωήσας ὅλως προστριβῆναί μοι ταῦτα, περιγινομένῳ τῶν ἐπιβουλευόντων.

23 Καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ᾽ ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

Ἐκεῖνοι μὲν διέβαλλόν με, τὴν ἐν τῷ νόμῳ σου μελέτην μου χλευάζοντες, ἐγὼ δὲ ἐπέτεινον ταύτην, εἰδὼς τὸ ἐντεῦθεν κέρδος.
Εἶεν δ᾽ ἂν ἄρχοντες, καὶ αἱ ἀρχαὶ καὶ ἐξουσίαι καὶ οἱ κοσμοκράτορες τοῦ σκότους τοῦ αἰῶνος τούτου. Eph 6.12

24 Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

Ἐκείνοις μὲν, ἄλλα μελέτη, ἐμοὶ δὲ καὶ μελέτη καὶ σύμβουλος, ὁ νόμος σου.

25 Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου.

Σχεδὸν ἐκολλήθην τῷ ἐδάφει, τουτέστιν, ἐταπεινώθην σφόδρα, διὸ ζῆν με ποίησον κατὰ τὸν νόμον σου· ἢ ἐκολλήθην τοῖς γηΐνοις, προσηλώθην αὐτοῖς.

26α Τὰς ὁδούς μου ἐξήγγειλα.

Τὰς ἁμαρτίας μου ἐξήγγειλά σοι.

28β Καὶ ἐπήκουσάς μου.

Ζητήσαντος ἄφεσιν τῶν ἡμαρτημένων. Λέγε γὰρ, φησὶ, σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. Isa 43.26

26γ Δίδαξόν με τὰ δικαιώματά σου.

Ἀκριβέστερον, βαθύτερον.

27 Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

Τὴν ὁδὸν | τοῦ νόμου σου συνιέναι με ποίησον, θέλοντα βαδίζειν ἐν αὐτῇ, καὶ λοιπὸν ἐμμελετήσω καὶ ἐνδιατρίψω τοῖς θαυματουργηθεῖσι παρὰ σοῦ, μελέτην ταῦτα ποιούμενος.

28 Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

Ἐχαυνώθην ἀπὸ ἀκηδίας, ἣν ἐμποιεῖν εἴωθεν ἡ μέριμνα τῶν βιωτικῶν πραγμάτων, ἢ καὶ ὁ συνεχὴς πόλεμος τῶν δαιμόνων.

Στήριξόν με ἐν τοῖς λόγοις σου, τουτέστιν, εἰς τὴν μελέτην τῶν ἐντολῶν σου, ἵνα μὴ ἀποστῶ ταύτης, δι᾿ ἧς ἀποῤῥῖψαι δυνήσομαι τὸν νυσταγμὸν τῆς ἀκηδίας.

29 Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾿ ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.

Ὁδὸς ἀδικίας, ἡ πρᾶξις ἡ ἄδικος, ἡ πρὸς ἀδικίαν φέρουσα, ἣν ὁδεύουσιν οἱ ἄδικοι, ἣν ἀπέλασον ἀπ᾿ ἐμοῦ, καὶ τῷ νόμῳ τῆς φιλανθρωπίας σου ἐλέησόν με· νόμος γὰρ αὐτῆς, ἐλεεῖν τὸν ἐκ ψυχῆς δεόμενον.

30 Ὁδὸν ἀληθείας ᾑρετισάμην, τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Ὁδὸς ἀληθείας, τὰ ἀληθῆ δόγματα, δι᾿ ὧν ὁδεύει τις ὀρθῶς.

Ἢ ἐπεὶ ἀλήθεια μὲν ὁ Χριστὸς, Ἐγὼ γὰρ, φησὶν, εἰμὶ ἡ ἀλήθεια, ὁδὸς δὲ αὐτοῦ, ἡ εὐαγγελικὴ πολιτεία, ἣν ἔτεμε τοῖς πιστοῖς, ταύτην λέγει τὴν ὁδὸν ἀγαπῆσαι, προγνωσθεῖσαν αὐτῷ· ὁμοίως δὲ καὶ κρίματα, τὰς εὐαγγελικὰς ἐντολὰς, ἅς, φησὶν, οὐκ ἠγνόησα. Jn 14.6

31 Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε, μή με καταισχύνῃς.

Δυσαποσπάστως ἔχω τούτων, τρόνον τινὰ προσηλώθην αὐτοῖς, διὸ μή με καταισχύνῃς, παραχωρήσας ἡττηθῆναι τῶν ἐχθρῶν.

32 Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

Ὅταν ἀπήλλαξας τὴν ψυχήν μου τῆς ἀπὸ τῶν πειρασμῶν στενοχωρίας, τότε τὴν ὁδὸν τῶν ἐντολῶν σου ἔδραμον, ἤτοι σπουδαίως ἐβάδισα, βαίνων ἐν αὐταῖς, καὶ πολιτευόμενος ἐν τῷ νόμῳ σου.

33 Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διὰ παντός.

Καὶ μὴν αὕτη νενομοθετημένη ἦν, ὥστε τὸ, νομοθέτησον, ἀντὶ τοῦ, δίδαξον· καὶ γὰρ καὶ ὁ Σύμμαχος, ὑπόδειξον, ἐξέδωκεν. Ὁ γὰρ διδάσκων νομοθετεῖ τρόπον τινὰ, προτρέπων ἐπὶ τὰ χρηστὰ καὶ τῶν φαύλων ἀποτρέπων· καὶ γὰρ καὶ προλαβὼν εἴρηκε, Δίδαξόν με τὰ δικαιώματά σου. Ps 118.12

Ἢ φανέρωσόν μοι τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διὰ παντός· κέκρυπται γὰρ τοῖς πολλοῖς, ἀσαφὴς αὐτοῖς φαινομένη.

34 Συνέτισόν με καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

Ἐξερευνήσω μετ᾿ ἐπιστασίας, καὶ ἀκριβῶς κατανοήσας, φυλάξω.

30[1] τὰ κρίματά σου οὐκ ἐπελαθόμην V[TRa] : om. MSCBF[P]. 31[2] ἔχω MPS[2]BFV : ἔχων C.

Εἴρηται δὲ ἡμῖν καὶ ἐν ἄλλοις ὅτι φυλακὴ νόμου ἐστὶ τὸ ποιεῖν τὰ τοῦ νόμου, Pss 16.4β,
τὸ πληροῦν αὐτόν. 18.12α

35 Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

Ὁδήγησόν με, ἄγων εἰς αὐτήν· τοὺς γὰρ προθυμουμένους ὁδηγεῖ ὁ Θεός. Τρίβον δὲ, τὴν ὁδὸν ταύτην ὠνόμασεν, ὡς οὐ ξένην, ἀλλὰ συνήθη καὶ τετριμμένην ὑπὸ τῶν προοδευσάντων αὐτὴν δικαίων.

36 Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν.

Τρέψον αὐτὴν εἰς ἀγάπην τῶν μαρτυρίων σου, βοηθήσας τῇ προθυμίᾳ αὐτῆς· καὶ μὴ εἰς πλεονεξίαν τραπῆναι ἐάσῃς, ἡττωμένην ἴσως τῶν βιωτικῶν.

Ἐκ Θεοῦ δὲ πάντα αἰτεῖ, διδάσκων ὅτι τὸ πᾶν αὐτὸς κατορθοῖ· *Χωρὶς γὰρ, φησὶν, ἐμοῦ, οὐ δύνασθε ποιεῖν οὐδέν.* Τοῦτο καθολικὸς ἔστω σοι κανὼν καὶ ἐπὶ τῶν ἐφεξῆς ὁμοίων. Βοηθεῖ δὲ, οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀξίοις, καὶ τὸ ἐπ' αὐτοῖς ἅπαν Jn 15.5
εἰσενεγκοῦσιν.

37α Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα.

Ἀπόστρεψον αὐτοὺς ἀπὸ τῶν βλαβερῶν θεαμάτων, ὥστε μὴ ἰδεῖν ματαίαν θεωρίαν. Ὀφθαλμοὺς δὲ νόει, | καὶ τοὺς σωματικοὺς καὶ τοὺς ψυχικούς.

37β Ἐν τῇ ὁδῷ σου ζῆσόν με.

Ἐν τῷ νόμῳ σου ζωοποίησόν με· οὗτος μὲν γὰρ ζωὴν ἀληθῆ προξενεῖ τοῖς ἐμπολιτευομένοις, ὁ δὲ παρὼν βίος, θάνατον.

38 Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.

Στήριξον ἐν ἐμοὶ τῷ δούλῳ σου τὸ πρόσταγμά σου τὸ δεσποτικὸν εἰς τὸν φόβον σου· λόγιον λέγων, τὸν νόμον, τουτέστιν, ἑδραίωσον ἐν ἐμοὶ τὸ λόγιόν σου, εἰς τὸν φόβον σου, ἵνα γένηταί μοι τοῦτο λόγιον ἔμφοβον.

39α Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα.

Τὸν προστριβέντα μοι ἀπὸ τῆς ἁμαρτίας, ὃν ἐφοβήθην, προσαγόμενόν μοι παρὰ τῶν δαιμόνων· ἢ τὸν ἀπὸ τῶν ἐπιβουλευόντων μοι, ὃν ὑπώπτευσα, αἰσθανόμενος ἐμαυτοῦ ταλαιπωροῦντος.

Καὶ ἀνωτέρω δὲ εἴρηκε, *Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν.*

Ps 118.22

36[5] καὶ ἐπὶ MP : ἐπὶ S[2]CBFV.

39β Ὅτι τὰ κρίματά σου χρηστά.

Ὅτι κρίνεις δίκαια, γινώσκων ὅπως μετενόησα καὶ ὅπως ἐπὶ σοὶ, Κύριε, ἤλπισα, σοὶ ὅλον ἐμαυτὸν ἀναθείς.

40 Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιωσύνῃ σου ζῆσόν με.

Πεινῶ καὶ διψῶ τὰς ἐντολάς σου. Ἐν τῇ δικαιωσύνῃ σου ζῆσόν με· ἴσον δὲ τοῦτο τῷ, Ἐν τῷ νόμῳ σου ζῆσόν με, ὅπερ εἴρηκεν ἀνωτέρω. [Ps 118.37β]

41 Καὶ ἔλθοι ἐπ᾿ ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

Ἵνα ἐλεηθῶ καὶ σωθῶ· τέλος γὰρ τοῦ ἐλέους, ἡ σωτηρία.

Ἔλθοι δὲ κατὰ τὴν ὑπόσχεσίν σου· ἐπηγγείλω γὰρ ἐν τῷ νόμῳ ἐλεεῖν καὶ σῴζειν τοὺς φυλάττοντας τὰ προστάγματά σου.

42α Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον.

Τοῖς ὀνειδίζουσί μοι τὴν ὑπὲρ ἀρετῆς κακοπάθειαν ἀποκριθήσομαι λόγον.

42β Ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

Τοῦτο αὐτοῖς ἀποκριθήσομαι, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις τοῦ Θεοῦ, ὑποσχομένου πολλὰ ἀγαθὰ τοῖς φυλάττουσι τὰς ἐντολὰς αὐτοῦ· καὶ διὰ τοῦτο κακοπαθῶ, τρεφόμενος ἀγαθαῖς ἐλπίσι.

43α Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα.

Μὴ περιέλῃς ἀπ᾿ ἐμοῦ τὸ προφητικὸν χάρισμα ἐπὶ πολύ· ἀλλ᾿ εἰ καὶ κατ᾿ οἰκονομίαν ἐπισχεθῇ, πάλιν ἀποκαταστήτω μοι.

Ἢ μὴ περιαιρεθῆναι παραχωρήσῃς ἐπὶ πολὺ ἐκ τοῦ στόματός μου τὸ ἀληθεύειν, εἰκὸς γὰρ ψεύσασθαί μέ ποτε· ἢ μὴ περιέλῃς ἐπὶ πολὺ, τουτέστι, μηδέποτε.

43β Ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

Ὅτι ἐπὶ τῷ νόμῳ σου σφόδρα ἤλπισα, θαῤῥῶν ὅτι συντηρηθήσεταί μοι τὸ τῆς ἀληθείας χάρισμα, φυλάττοντι τοῦτον.

44 Καὶ φυλάξω τὸν νόμον σου διὰ παντὸς, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Διὰ παντὸς, ἤγουν ἐν παντὶ πράγματι. Τὸ δὲ, *εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος*, ἐπίτασίς ἐστι τοῦ, *ἀεί*· ἢ ὁμοῦ πάντα τὸ, *ἀεὶ*, σημαίνουσιν, ὡς εἶναι τὸ μὲν, διὰ παντὸς, ἀντὶ τοῦ, *ἀεὶ*, τὰ δὲ ἐφεξῆς, ἐφερμηνευτικὰ τοῦ, *ἀεί*.

Ἢ καὶ ὅτι φυλάξω τοῦτον, οὐ μόνον ἐν τῷ παρόντι αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ὅς ἐστιν αἰὼν τοῦ αἰῶνος τούτου, ὡς τιμιώτερος· δι' οὐ ἐμφαίνει τὸ σφόδρα πρόθυμον τῆς περὶ τὸν νόμον φυλακῆς αὐτοῦ.

45 Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Εὐωδούμην εἰς πάντα· αἴτιον δὲ, ὅτι τὰς ἐντολάς σου ἠγάπησα.

Ἢ καὶ θλιβόμενος, οὐκ ἐστενοχωρούμην· τὸ γὰρ συνειδέναι ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα ἐν θλίψει ἐπλάτυνέ με· παρηγορεῖ γὰρ τὸ ἀγαθὸν συνειδός. Ps 4.2β

46 Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην.

Ἐλάλουν τὸν νόμον σου ἐνώπιον βασιλέων | καὶ ηὐδοκίμουν· ἐπαῤῥησιαζόμην ἐν ταῖς ἐντολαῖς σου καὶ οὐχ ὑπεστελλόμην.

Ἁρμόζει δὲ τοῦτο καὶ τοῖς ὑπὲρ Χριστοῦ μαρτυροῦσι.

47- Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα σφόδρα· καὶ ἦρα τὰς χεῖράς μου
48α πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα.

Ἐμελέτων μὲν ἐν αὐταῖς, ἀναγινώσκων αὐτάς· ἦρα δὲ τὰς χεῖράς μου πρὸς αὐτὰς, πράττων αὐτάς.

Ἀδιάφορον δὲ τὸ, *αἷς ἠγάπησα*, καὶ τὸ, *ἃς ἠγάπησα*· τὸ μὲν, κατὰ τὸ, *ἐν ταῖς ἐντολαῖς σου*, ἀποδοθὲν, τὸ δὲ, κατὰ τὸ, *πρὸς τὰς ἐντολάς σου*.

48β Καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

Εἴρηται καὶ ἀνωτέρω περὶ τῆς τοιαύτης ἀδολεσχίας. Ps 118.15

49 Μνήσθητι τὸν λόγον σου τῷ δούλῳ σου, ὃν ἐπήλπισάς με.

Ἐπ' ἐμοὶ τῷ δούλῳ σου, μνήσθητι τὸν λόγον σου, ἐφ' ὃν λόγον ἐλπίζειν με ἐποίησας. Τίς δὲ ὁ λόγος σου; ὅτι ἐλεήσεις καὶ σώσεις τοὺς φυλάττοντας τὰ προστάγματά σου, καθὼς καὶ ἀνωτέρω δεδήλωται· Μνήσθητί μοι τῷ δούλῳ σου τὸν λόγον σου. Ps 118.41

Θεοπρεπῶς δὲ νοητέον ἐπὶ τοῦ Θεοῦ τὸ, *μνήσθητι*, ἀντὶ τοῦ, *περάτωσον*. Ἀδιάφορος δὲ καὶ νῦν ἡ σύνταξις τοῦ, *μνήσθητι*.

50α Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου.

47[5] *καὶ τὸ, ἃς ἠγάπησα* PCABFV : om. MS[2].

Αὕτη· τίς; Ἡ ἐλπὶς δηλονότι. Αὕτη με παρηγόρησεν, αὕτη με ἀνεκτήσατο ἐν τῇ ταπεινώσει μου τῇ ἀπὸ τῶν πειρασμῶν, ἐν τῇ κακοπαθείᾳ μου.

50β Ὅτι τὸ λόγιόν σου ἔζησέ με.

Ὁ δηλωθεὶς ἀνωτέρω λόγος σου· οὗτος ἐζωοποίησέ με, σχεδὸν ἀπονεκρωθέντα Ps 118.41, 49
τῇ ἀγχόνῃ τῶν θλίψεων.

51 Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

Ἐκεῖνοι μὲν παρέβαινον τὸν νόμον σου ἐπὶ πολὺ, ἐγὼ δὲ οὐ συναπήχθην αὐτοῖς.

Ἢ παρηνόμουν, διαγελῶντές με, τῷ νόμῳ σου πάντοτε προσκείμενον· ἐγὼ δὲ οὐκ ἀπέστην τῆς μελέτης αὐτοῦ.

Ὑπερηφάνους δὲ λέγει, τοὺς ὑπερόπτας τοῦ νόμου, ὡς προδεδηλώκαμεν· τοι- Ps 118.21α
οῦτοι δὲ πάντες οἱ ἐπηρμένοι.

52 Ἐμνήσθην τῶν κριμάτων σου ἀπ᾽ αἰῶνος, Κύριε, καὶ παρεκλήθην.

Τῶν κριμάτων σου τῶν ἀπ᾽ αἰῶνος, τῶν ἀπ᾽ ἀρχῆς καὶ εἰς τὸ ἑξῆς· ὅπως τοὺς μὲν ἀρετῇ κακοπαθοῦντας δοξάζεις, τοὺς δὲ κακίᾳ εὐημεροῦντας ἀτιμάζεις.

53 Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

Ἠθύμησα δι᾽ αὐτούς· τοῦτο μὲν ὀργιζόμενος, ὅτι ἀθετοῦσι τὸν νόμον σου, τοῦτο δὲ λυπούμενος, ὅτι ἀπόλλυνται.

54 Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.

Ψαλλόμενα, τουτέστι, μελετώμενά μοι ἔνθα παρῴκουν, ἐν οἵῳ ἂν τόπῳ διῆγον.

Ἢ καὶ ἄλλως, ἐν ψαλμοῖς ἦσάν μοι· ψαλμοὺς αὐτὰ ἐποιούμην, καὶ ψάλλων αὐτὰ ηὐφραινόμην.

55 Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.

Ἐν νυκτὶ, ὅτε μᾶλλον οἱ δαίμονες τῆς ἀκαθαρσίας ἐνοχλοῦσι, διὰ μνήμης σε ποιούμενος, ἐσωφρόνουν τῷ φόβῳ σου· ἢ ἐν νυκτὶ τῶν παθῶν, ὅτε ὑπ᾽ αὐτῶν ἐζοφούμην.

56 Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Αὕτη ἡ μνήμη· εἴωθε γὰρ πολλάκις εἰς ὄνομα τὸ ῥῆμα μεταλαμβάνειν, ὡς καὶ
τὸ, Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου. Ps 118.50α

52[3] ἀρετῇ PSCFV : ἐν ἀρετῇ MB.

Λέγει γοῦν, ὅτι αὕτη ἡ μνήμη γέγονέ μοι ἀπὸ τοῦ σφόδρα ζητεῖν τὰ δικαιώματά σου. Ἐκεῖθεν γὰρ τὸν φόβον ἔλαβον.

57 Μερίς μου εἶ, Κύριε· εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

Μερίς μου εἶ, κληρονομία, πλοῦτος, καταφρονήσαντι τῆς ἐπὶ γῆς μερίδος· | διὰ τοῦτο λοιπὸν εἶπα, συνεθέμην, ἐπηγγειλάμην, περὶ τοῦ φυλάξασθαι τὸν νόμον σου ἀπαράβατον.

58 Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

Ἐδεήθην σου ὁλοκαρδίως περὶ τῆς ἁμαρτίας μου, Ἐλέησόν με κατὰ τὸ λόγιόν σου· γέγραπται γὰρ ἐν τῷ νόμῳ, ἐλεεῖσθαι τοὺς μετανοοῦντας. Ἢ κατὰ τὴν Dt 30.2-3
ὑπόσχεσίν σου, ἢ κατὰ τὴν διάκρισίν σου.

Τοῦ προσώπου σου δὲ, ἀντὶ τοῦ, σοῦ, κατὰ περίφρασιν.

59 Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

Διελογιζόμην τὸν νόμον σου, καὶ ηὔθυνον τὴν ὁδὸν τῆς πολιτείας μου πρὸς τὰς ἐντολάς σου.

Τινὰ δὲ τῶν ἀντιγράφων, διελογισάμην τὰς ὁδούς μου, γράφουσι, τουτέστι, πρῶτον διεσκεπτόμην καὶ τὸ πρακτέον μοι καὶ τὸ λαλητέον, διὸ καὶ εἴσω ἐβάδιζον τῶν ἐντολῶν σου.

60 Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

Ἡτοιμάσθην εἰς τὸ φυλάξασθαι τὰς ἐντολάς σου, διὸ οὐκ ἐταράχθην ὑπὸ τῆς τραχύτητος καὶ βαρύτητος αὐτῶν· τὸ γὰρ μελετηθὲν καὶ προσδοκηθὲν, εὐμεταχειριστότερον.

Ἢ οὐκ ἐταράχθην, ἐπιθεμένων μοι τῶν δαιμόνων ἢ τῶν πειρασμῶν, εἰδὼς ὅτι προσβαλοῦσι, καὶ παρασκευασθεὶς εἰς ὑπομονήν.

61 Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Σχοινία τῶν ἁμαρτωλῶν δαιμόνων, οἱ πονηροὶ λογισμοὶ, δι’ ὧν δεσμεύειν ἐπιχειροῦσι τοὺς ἀγωνιζομένους. Ταῦτα, φησὶ, τὰ σχοινία περιεπλάκησάν μοι, καὶ οὐδ’ οὕτως ἐπελαθόμην τοῦ νόμου σου. Τῷ φόβῳ δὲ τούτου, καθάπερ τινὶ ξίφει διακόψας αὐτὰ, διέφυγον.

62 Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

57^2 καταφρονήσαντι MPS^{2}CBF : καταφρονήσαντος V. 61^4 καθάπερ τινί PCABFV : καθάπερ τι M.

Μεσονύκτιον, ὅτε μᾶλλον οἱ δαίμονες ἐπιτίθενται, τοὺς μὲν εἰς πονηρὰν μελέτην, τοὺς δὲ πρὸς ἁμαρτίαν ἀλείφοντες.

Ἢ καὶ ὅτε γλυκύτερον ὁ ὕπνος ἐπιῤῥεῖ, τότε, φησὶν, ἐξηγειρόμην τῆς κοίτης ἐπὶ τῷ ἐξομολογεῖσθαί σοι, ἐπὶ τῷ εὐχαριστεῖν σοι διὰ τὰ κρίματα τῆς δικαιοσύνης σου, ὅτι ταῦτα, φειδόμενος ἡμῶν, ἐνομοθέτησας, ἵνα φοβούμενοι σωφρονῶμεν, καὶ μὴ ἀκολασταίνοντες κολασθῶμεν.

Ἢ ἐξηγειρόμην ἐπὶ τῷ ἐξαγορεύειν σοι τὰς ἁμαρτίας μου, διὰ τὰ κρίματα τῆς δικαιοσύνης σου, τουτέστι, φοβούμενος δι᾽ αὐτά.

63 Μέτοχος ἐγὼ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

Μέτοχος, ἤτοι κοινωνὸς τοῦ ἴσου φόβου καὶ τῆς ὁμοίας φυλακῆς, ἤγουν εἷς αὐτῶν.

64 Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με.

Πᾶσαν τὴν γῆν ἐλεεῖς, τρέφων πάντας, προνοούμενος πάντων, μακροθυμῶν ἐπὶ πᾶσιν· ἐλέησον κἀμὲ, καὶ δίδαξόν με τὰ δικαιώματά σου ὑψηλότερον καὶ τελεώτερον. Καὶ μὴν καὶ αὐτὸς μετὰ πάντων ἠλεεῖτο, ἀλλὰ τοῦτο δυσωπητικώτερον εἴρηκεν.

65 Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου.

Εὐηργέτησας τὸν δοῦλόν σου· οὕτω γὰρ ὁ Σύμμαχος ἐξέδωκε.

Κατὰ τὸν λόγον σου δὲ, τὸν ἐν τῷ νόμῳ γεγραμμένον περὶ τοῦ εὐεργετεῖσθαι τοὺς εὐαρεστοῦντας.

Ἢ κατὰ τὸν λόγον σου, ἀντὶ τοῦ, κατὰ τὸ πρέπον σοι· εὐχαριστεῖ δὲ, ἐφ᾽ οἷς εὐηργέτηται.

66 Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

Χρηστότητα μὲν πρὸς τοὺς ὁμογενεῖς, παιδείαν δὲ | τὴν ἐν τῇ πρακτικῇ, γνῶσιν δὲ τὴν ἐν τῇ θεωρητικῇ. Συνέτισόν με, φησὶ, πρὸς ταύτας, ἀνθ᾽ ὧν ἐπείσθην ταῖς ἐντολαῖς σου· ἢ διότι ἐπίστευσα αὐταῖς ὅτι συνετίσουσί με.

67 Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.

Πρὸ τοῦ κακοπαθῆσαί με, ἥμαρτον· ἁμαρτήσας πρότερον, εἶτα ἐπαιδεύθην. Διὰ τοῦτο τὸν νόμον σου ἐφύλαξα, ἵνα μὴ πάλιν ἁμαρτήσας, πειρασθῶ. Ἕπεται γὰρ τῇ πλημμελείᾳ ταπείνωσις ἐκ πειρασμοῦ.

Ἢ καὶ ταπείνωσιν ὑποληπτέον, τὴν ἐνάρετον, τὴν ἐκ συναισθήσεως ἁμαρτίας τοῖς προσέχουσιν ἐπιγινομένην, ἵνα καὶ νοήσωμεν ὅτι ἡ πλημμέλεια γέγονεν αὐτῷ πρόξενος ταπεινοφροσύνης.

68 Χρηστὸς εἶ σὺ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.

Ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ φιλάγαθος, δίδαξόν με τρανότερον, ἵνα κἀγὼ τοῦτο γένωμαι.

Τὸ αὐτὸ δὲ λέγει πολλάκις, ἐπιτείνων τε τὴν δέησιν καὶ σφόδρα τῆς παρὰ Θεοῦ διδασκαλίας ὀρεγόμενος.

69 Ἐπληθύνθη ἐπ᾽ ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.

Ἐκεῖνοι μὲν πολλὰ ἀδικοῦσί με, ἐγὼ δὲ οὐδ᾽ οὕτως ἀποστήσομαι ἀπὸ τῶν ἐντολῶν σου, οὐδὲ μιμήσομαι τούτους, ἀλλ᾽ ἐξερευνήσω ταύτας, καὶ τὴν παραμυθίαν ἐκεῖθεν ἀρύσομαι.

Ὑπερηφάνους δὲ νόησον, καὶ τοὺς δαίμονας καὶ τοὺς ὑπερόπτας τοῦ νόμου.

70 Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

Ἐσκληρύνθη κατ᾽ ἐμοῦ· τὸ γάλα γὰρ εἰς τυρὸν πησσόμενον, σκληρύνεται.

Ἢ ἐλιπάνθη, ἐνευθηνουμένη ταῖς ἀδικίαις· τὸ γάλα γὰρ εἰς τυρὸν πησσόμενον, λιπωδέστερον γίνεται.

71 Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

Συμφέρον, ὠφέλιμόν μοι γέγονεν, ὅτι ἐπαίδευσάς με πειρασμοῖς, ἵνα μάθω τὸ δίκαιόν σου, ὅτι κολάζεις τοὺς ἁμαρτάνοντας, καὶ ὅτι εἰ ἐνταῦθα κολάζεις, πολλῷ μᾶλλον ἐκεῖ.

72 Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Ὁ νόμος ὃν ὑπηγόρευσας τῷ Μωυσῇ, ἀγαθός μοι, ὡς παιδαγωγῶν τὸ σῶμα, καὶ ῥυθμίζων τὰ ἤθη, καὶ συνετίζων τὴν ψυχήν.

73 Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Σύ με ἔπλασας, σύ με συνέτισον, σύ με δίδαξον, καὶ μαθήσομαι κατορθοῦν τὰς ἐντολάς σου.

Τινὲς δὲ χεῖρας τοῦ Πατρὸς νοοῦσι, τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, δι' ὧν τὰ πάντα ἐποίησεν, ὡς ἐν ἄλλοις εἰρήκαμεν. Ps 110.7α

74 Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ὄψονταί με προκόπτοντα, εἰ συνετίσεις με, καὶ εὐφρανθήσονται, ὅτι εἰς τὰς ἐντολάς σου ἐπήλπισα καὶ οὐκ εἰς ἄλλο τι βιωτικόν.

75 Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

Ἔγνων τῇ πείρᾳ ὅτι δίκαιαι αἱ κρίσεις σου, καὶ εὐλόγως καὶ δικαίως ἐταπείνωσάς με πειρασμοῖς, ἵνα σωφρονισθῶ· ἥμαρτον γάρ.

76 Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

Γενηθήτω μοι τῷ δούλῳ σου τὸ ἔλεός σου, ἐπὶ τῷ ψυχαγωγῆσαί με κακωθέντα. Γενηθήτω δὲ τοῦτο κατὰ τὸ λόγιόν σου, κατὰ τὴν ὑπόσχεσίν σου· ἐπηγγείλω γὰρ ἐν τῷ νόμῳ ἀντιλαμβάνεσθαι τῶν μετανοούντων. |

77α Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι.

Ἤδη ταῖς λύπαις ἀποπνιγόμενος.

77β Ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν.

Ἐλθέτωσάν μοι, διότι ὁ νόμος σου λοιπὸν μελέτη μού ἐστιν, ὡς οὐδὲν ἕτερον.

78α Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ.

Αἰσχυνθήτωσαν, τῷ μηδὲν ἀνύσαι, τῷ ἡττηθῆναι· λέγει δὲ, τοὺς ἀνωτέρω δηλωθέντας. Ἀδίκως δὲ ἠνόμησαν εἰς ἐμὲ, διὰ μόνον φθόνον ἐπιθέμενοι. Ps 118.69

78β Ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

Περὶ τῆς ἀδολεσχίας ταύτης προείρηται. Ps 118.15

79 Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

Ἐπιστρεψάτωσάν με οἱ τοιοῦτοι, εἴποτε ἀποπλανηθῶ τῶν ἐντολῶν σου.

80 Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασίν σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.

Γενηθήτω ἄμωμος, ἐμμελετῶσα τοῖς δικαιώμασί σου καὶ τῷ φόβῳ τούτων καθαιρομένη, ὅπως ἂν μὴ αἰσχυνθῶ, πράξας ἔργον αἰσχύνης.

81α Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου.

Ἀποδημεῖ τρόπον τινὰ, ἢ ἐκλύεται, μὴ φέρουσα τὴν σφοδρότητα τοῦ πόθου.

Σωτήριον δὲ λέγει, τὴν σωτήριον ἐνανθρώπησιν τοῦ Χριστοῦ. Φησὶν οὖν, ὅτι σφόδρα ποθῶ τὸ σωτήριόν σου τοῦτο.

81β Εἰς τοὺς λόγους σου ἐπήλπισα.

Τοῖς λόγοις σου θαῤῥῶ, ὅτι γενήσεται, τοῖς λόγοις σου τοῖς ἐν τῷ νόμῳ γεγραμμένοις περὶ αὐτοῦ.

Τινὲς δὲ νοοῦσι περὶ τῆς ἑαυτοῦ σωτηρίας ταῦτα λέγειν αὐτὸν, ὅτι ποθῶ τὴν παρὰ σοῦ σωτηρίαν, καὶ εἰς τὰς ἐντολάς σου θαῤῥῶ, ὅτι σωθήσομαι φυλάττων αὐτάς.

Ἀδιάφορον δὲ εἴτε λόγους εἴπῃς, εἴτε λόγον, ἀμφότερα γὰρ ἐμφέρεται τοῖς ἀντιγράφοις.

82 Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες, Πότε παρακαλέσεις με;

Ἐξελύθησαν, ἠτόνησαν οἱ ὀφθαλμοὶ τῆς ψυχῆς μου, εἰς τὸν νόμον σου ἀτενίζοντες. Ἐξέλιπον δὲ, ζητοῦντες πότε ψυχαγωγήσεις με, συνετίσας καὶ τὸν ἐγκεκρυμμένον πλοῦτον ἀνακαλύψας.

83 Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Φασὶ τὸν ἀσκὸν ἐν πάχνῃ ψυχόμενον συσφίγγεσθαι· τοιοῦτος ἐγένετο καὶ αὐτὸς ἐν τοῖς πειρασμοῖς, συσταλεὶς καὶ σωφρονισθεὶς, καὶ διὰ τοῦτο τοῦ λοιποῦ τὰ δικαιώματα τοῦ Θεοῦ μὴ ἐπιλαθόμενος, ἵνα μὴ πάλιν περιπέσῃ πειρασμοῖς.

Ἕτεροι δὲ λέγουσι τὸν ἀσκὸν ἐν πάχνῃ συρόμενον μαλακίζεσθαι καὶ χαυνοῦσθαι· τοιοῦτος, φησὶ, γέγονα, τοῖς πειρασμοῖς γὰρ ἐνσυρόμενος, ἠτόνησα καὶ ἐξελύθην, ἀλλ᾽ ὅμως τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην, ὥστε καὶ ποιῆσαί τι παράνομον.

Ἢ καὶ ἑτέρως· ἐγενήθην ὡς ἀσκὸς, νεκρὸς μὲν πρὸς τὰ πάθη, χωρητικὸς δὲ τῶν θείων λογίων· ἐγενήθην δὲ τοῦτο ἐν τῇ πάχνῃ τῆς θείας χάριτος, τῇ ἄνωθεν κατελθούσῃ καὶ ψυχρανάσῃ τὴν φλόγα τῶν παθῶν· διὸ καὶ οὐκ ἀπέστην τοῦ νόμου σου, γινώσκων ὅτι δι᾽ αὐτοῦ ταύτης τετύχηκα τῆς χάριτος.

81β[4] ἐμφέρεται PCB : ἐμφαίνεται F : ἐμφένεται MS[2].

84 Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Πόσαι εἰσί; πάντως ὀλίγαι. Πότε οὖν ποιήσεις μοι δικαίωσιν ἐκ τῶν καταδιωκόντων με ἀοράτων καὶ ὁρατῶν ἐχθρῶν; Ποιήσεις δὲ ταύτην, ἀποστρέψας αὐτοὺς καὶ πόῤῥω διώξας. |

85 Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ᾽ οὐχ ὡς ὁ νόμος σου, Κύριε.

Διηγήσαντό μοι φλυαρίας δογμάτων, ἀλλὰ ἐναντίας τῷ νόμῳ σου· ἢ διηγήσαντό μοι ληρωδίας, ἑρμηνεύοντες δῆθεν τὸν νόμον σου, ἀλλ᾽ οὐ συνεφθέγγοντο τούτῳ. Λέγοιτο δ᾽ ἂν τοῦτο περὶ πάντων ὁμοῦ τῶν αἱρετικῶν.

86 Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

Πᾶσαι ἀληθεῖς, ἐν αἷς ἐκέλευσας μὴ ἀδικεῖν· ἀδικουμένῳ οὖν, βοήθησόν μοι, τοὺς σοὺς μάλιστα νόμους ἐκδικῶν παραβαινομένους. Ἐνταῦθα δὲ περὶ τῶν αἰσθητῶν ἐχθρῶν ὁ λόγος.

87 Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

Παρ᾽ ὀλίγον ἀνεῖλόν με. Συντέλεια γὰρ λέγεται καὶ ἡ συμπλήρωσις τῆς ζωῆς· συνετέλεσαν οὖν, ἀντὶ τοῦ, συντελέσαι τὴν ζωὴν παρεσκεύασαν.

Ἢ συνέκλεισάν με ἐν τῇ γῇ, ἢ κατέστρεψάν με εἰς τὴν γῆν. Ἐγὼ δὲ οὐδ᾽ οὕτως ἀπέστην τῆς μελέτης καὶ φυλακῆς τῶν ἐντολῶν σου.

88 Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Ἐν τῷ ἐλέει σου ζῆσόν με, ὡς ἐλεήμων. Περὶ δὲ τοῦ, ζῆσόν με, προείρηται Ps 118.25,
ἀνωτέρω. 37β, 40

Τὰ μαρτύρια δὲ τοῦ στόματός σου, ἃ ὑπηγόρευσας τῷ Μωυσῇ.

89 Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.

Ἀεὶ τὸ πρόσταγμά σου ἀσάλευτον διαμένει ἐν τῷ οὐρανῷ, τὸ περὶ τῆς τάξεως αὐτοῦ, συνέχον αὐτὸν ἐν αὐτῇ.

90α Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου.

Ἀεὶ ἡ ἀλήθεια τοῦ τοιούτου προστάγματός σου· διὰ πάσης γενεᾶς ἀληθεύει, μὴ μετακινουμένης τῆς ὁρισθείσης τάξεως.

90β Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει τῇ διατάξει σου.

Διαμένει καὶ αὕτη ἐν τῇ διατάξει σου, ὡς διετάγη.

91 Διαμένει ἡ ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.

Διαμένει ἡ ἡμέρα, ὡς προσέταξας, τηροῦσα τὴν ἰδίαν τάξιν. Αἴτιον δὲ τῆς τοιαύτης διαμονῆς, ὅτι καὶ ταῦτα καὶ ὁμοῦ τὰ πάντα, δοῦλα σά. Διὸ καὶ πείθονται τῷ προστάγματι τοῦ Δεσπότου, καθάπερ τινὲς δοῦλοι.

Κατὰ δὲ ὑψηλοτέραν θεωρίαν, ἀεὶ διαμένει ἐν τῷ οὐρανῷ παρὰ τοῖς ἀγγέλοις ὁ λόγος σου· *Ποιοῦντες γὰρ*, φησὶ, *τὸν λόγον αὐτοῦ*. Ἐν γενεᾷ δὲ καὶ γενεᾷ, Ps 102.20γ
τῇ τε τοῦ παλαιοῦ λαοῦ, καὶ τῇ τοῦ νέου, ἡ ἀλήθειά σου ἡ ἐν τῷ νόμῳ· παρ' ἀμφοτέραις γὰρ ἀληθὴς οὗτος ὁμολογεῖται. Ἐθεμελίωσας δὲ τὴν Ἐκκλησίαν καὶ ἡδραίωσας αὐτὴν ἐν τῇ πίστει τοῦ Εὐαγγελίου, γῆν πρότερον οὖσαν, καὶ γήϊνα φρονοῦσαν, καὶ περὶ τὰ γήϊνα συρομένην· διὸ καὶ διαμένει, ὡς διετάξω, πολλῶν μὲν πειρασμῶν αὐτῇ προσρηξάντων, οὐδενὸς δὲ ταύτης κατισχύσαντος. Mt 16.18

Διαμένει δὲ ἡ ἡμέρα, τουτέστι, τὸ φῶς τῆς εὐσεβείας, ὅπερ ἀνέτειλε διὰ τοῦ κηρύγματος, μὴ τεμνόμενον ἢ σβεννύμενον ὑπὸ τῆς ἀντικειμένης δυνάμεως. Προφητικῶς δὲ ταῦτα.

92 Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

Εἰ μὴ διότι ὁ νόμος σου μελέτη μού ἐστιν ἀπηλλάγην, τότε ἂν ἀπέθανον ἐν τῇ κακοπαθείᾳ μου, σφοδρότερον ἐπιθεμένων μοι τῶν πειρασμῶν.

93 Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

Παρ' ὅλον τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι αὐτῶν, ὅτι δι' αὐτὰ ἐζωοποίησάς με, ἀποπνιγόμενον, ὡς προείρηται· διότι γὰρ μελέτην εἶχον τὸν νόμον σου, διὰ τοῦτο Ps 118.77α
ἀπηλλάγην, ὡς δεδήλωται.

94 Σός εἰμι ἐγὼ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. |

Γέγραπται γὰρ ἐν τῷ νόμῳ, ὅτι *ὁ ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς*. Ἐπεὶ οὖν Lev 18.5
σὸς ἐγὼ, ὡς τὰ σὰ δικαιώματα ἐκζητῶν, σῶσόν με ἀπὸ τῶν ἐπιβουλευόντων μοι.

95α Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με.

Ἐμὲ ἐνήδρευσαν· ὁ γὰρ ἐνεδρεύων περιμένει τὸν ἐνεδρευόμενον.

95β Τὰ μαρτύριά σου συνῆκα.

91³ τὰ πάντα PS²CABF : πάντα MV.

Συνετισθεὶς παρὰ σοῦ· διὸ τούτοις ψυχαγωγοῦμαι.

96 Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Πάσης σπουδῆς, καὶ ἀνθρωπίνης καὶ δαιμονικῆς, ἔγνων πέρας. Πλατεῖα γὰρ ἡ ἐντολή σου σφόδρα, μὴ στενοχωροῦσα τὸν νοῦν, ἀλλὰ πλατύνουσα πρὸς γνῶσιν· ὑφ' ἧς κἀγὼ πλατυνθεὶς, ἔγνων ἑκάστης συντελείας πέρας.

Ἢ καὶ ἑτέρως· πάσης καταστροφῆς ἔγνων πέρας· ὁποῖον μέν ἐστι τὸ πέρας τῆς τελευτῆς τοῦ δικαίου, ὁποῖον δὲ τὸ τῆς τοῦ ἁμαρτωλοῦ. Εἶτα τὸ ἑξῆς· πλατεῖα ἡ ἐντολή σου σφόδρα, πλατύνουσα ἐν στενοχωρίᾳ θλίψεως τὸν ἐμπολιτευόμενον. Νόμον δὲ νόει, τὰς ἐντολάς. Ἢ πλατεῖα, τῷ μὴ στενοχωρεῖν, μηδὲ ταλαιπωρίαν ἐπάγειν, εἰ καὶ δοκεῖ τοῖς ῥαθυμοτέροις ἐπίπονος.

97 Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μού ἐστι.

Λίαν ἠγάπησα τὸν νόμον σου, διὸ καὶ ὅλην τὴν ἡμέραν ἐμμελετῶ αὐτῷ, δηλονότι καθ' ἑκάστην· ποτὲ μὲν ἀναγινώσκων αὐτὸν, ποτὲ δὲ πράττων, ποτὲ δὲ διανοούμενος.

98 Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.

Ἐχθροὶ τῶν φυλασσόντων τὸν νόμον, οἱ μὴ τοῦτον φυλάσσοντες. Ὑπὲρ τούτους, φησὶ, σοφώτερον ἐδίδαξάς με τὴν ἐντολήν σου· διότι ἀεὶ ἠγαπημένη μοί ἐστιν. Ὅθεν ἐκεῖνοι μὲν ἀδικοῦσί με· ἐγὼ δὲ αὐτοὺς οὐκ ἀνταδικῶ, σοφώτερον ἐκείνων δεδιδαγμένος.

99 Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστι.

Καὶ αὐτῶν τῶν διδασκάλων μου γέγονα συνετώτερος, διότι μελέτην ἔχω συνεχῆ τὸν νόμον σου, ὃς φωτίζειν οἶδε καὶ σοφίζειν τὸν νοῦν.

100 Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Ὑπὲρ τοὺς παλαιοτέρους μου καὶ τῷ χρόνῳ προειληφότας· ὑποδηλοῖ δὲ καὶ τὸν Σαούλ. Τοιοῦτος γέγονε καὶ ὁ Δανιὴλ, συνεὶς τὴν κρίσιν τῆς Σωσάννης ὑπὲρ τοὺς πρεσβυτέρους τοῦ λαοῦ. Sus 41-59

Αἴτιον δὲ τῆς πλείονος συνέσεως, ἡ ἐκζήτησις τῶν θείων ἐντολῶν, ἡ ἀκριβὴς ἔρευνα καὶ φυλακή.

Δύνανται δὲ ταῦτα λέγεσθαι καὶ ἀπὸ τοῦ νέου λαοῦ. Τούτου γὰρ ἐχθροὶ μὲν, οἱ Ἰουδαῖοι, ὡς διὰ παντὸς ἐχθραίνοντες· διδάσκαλοι δὲ, ὡς αὐτοὶ πρῶτοι τὰ ἔθνη περὶ τοῦ μόνου Θεοῦ διδάξαντες καὶ τὰς βίβλους παρασχόμενοι· πρεσβύτεροι δὲ,

100[9] διδάξαντες MS[2]CBFV : διδάσκοντες P.

ὡς πρῶτος λαός· Υἱὸς γὰρ, φησὶ, πρωτότοκός μου Ἰσραήλ. Ex 4.22

Ὑπὲρ τούτους οὖν ἐσοφίσθημεν τὸν νόμον, σοφώτερον αὐτῶν κατὰ τὸ κεκρυμμένον νοοῦντες, διότι καὶ πλεῖον ἀγαπῶμεν αὐτόν· τά τε ἄλλα, καὶ ὡς τὰ περὶ Χριστοῦ προμηνύοντα.

101 Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.

Ἐποίησα τοῦτο, ἵνα μὴ ἀθετήσω τὰς ἐντολάς σου, τοῦτο κελευούσας.

102 Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Οὐκ ἄνθρωπος, ἀλλ᾽ ὁ Θεὸς, ὃν φοβούμενος οὐκ ἐξέκλινα.

Ἀδιάφορος δὲ ἡ σύνταξις τοῦ, ἐνομοθέτησας.

103 Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. |

Τῷ μὲν τοῦ σώματος λάρυγγι καὶ στόματι, λαλούμενα, τῷ δὲ τῆς ψυχῆς, νοούμενα. Ἐμφαίνει δὲ τὴν ἐπ᾽ αὐτοῖς ἡδονὴν, ἥτις ἐγγίνεται τοῖς ἐῤῥωμένοις τὰ αἰσθητήρια· τοῖς γὰρ κακοσίτοις, φασὶ, καὶ τὸ μέλι πικρόν.

104 Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

Ἀπὸ τούτων ἐσοφίσθην καὶ συνετώτερος ἐγενόμην, διὸ καὶ ἀπεστράφην τὰ πονηρά.

105 Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.

Οὗτός με ὁδηγεῖ πρὸς τὰ καλὰ δίκην λύχνου καὶ φωτὸς, ὑποδεικνύων ἐν νυκτὶ τοῦ βίου καὶ σκότει τῶν παθῶν τὴν εὐθεῖαν ὁδὸν, καὶ οὐ συγχωρῶν προσκόπτειν εἰς ἁμαρτίαν. Πόδας δὲ καὶ τρίβους λέγει, τὴν πορείαν τῆς πολιτείας.

106 Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Πεῖραν λαβὼν τῆς ὠφελείας τῶν ἐντολῶν σου, ὤμοσα, τουτέστιν, ἀληθῶς ὑπεσχόμην, καὶ ἔστησα τὸν ὅρκον τοῦτον ἀμετακίνητον, περὶ τοῦ τηρῆσαι αὐτάς. Στάσιν γὰρ λέγει, τὴν ἑδραίωσιν τοῦ τοιούτου ὅρκου.

107 Ἐταπεινώθην ἕως σφόδρα, Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου.

Ἐταπεινώθην ἐπὶ πολὺ, εἴτε ὑπὸ τῆς ἀκουσίου ταλαιπωρίας, εἴτε ὑπὸ τῆς

105 Add. [MF in marg.]PBV: Ὁ διὰ Μωυσέως νόμος, σωματικῶς μὲν λαμβανόμενος, λύχνος ἐστὶ τοῖς διὰ τῆς πρακτικῆς ἀρετῆς βαδίζουσι· πνευματικῶς δὲ νοούμενος, φῶς ἐστι τοῖς διὰ τῆς θεωρητικῆς γνώσεως ἀναγομένοις. : om. S[2]C.

ἑκουσίου κακοπαθείας. Περὶ δὲ τοῦ, *ζῆσόν με κατὰ τὸν λόγον σου*, εἴρηται ἀνωτέρω, ἔνθα τὸ, *Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου*. Ps 118.25

108α Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ, Κύριε.

Τὰς ἑκουσίους ὑποσχέσεις, τὰς οὐ κατ' ἀνάγκην, ἀλλὰ κατ' εὐγνωμοσύνην ἐπαγγελίας, ἀπόδεξαι, κατεύθυνον· οἷον ἦν ὁ ὅρκος τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

108β Καὶ τὰ κρίματά σου δίδαξόν με.

Δυσκατάληπτα ὄντα· *Τὰ κρίματα γὰρ, φησὶ, τοῦ Θεοῦ, ἄβυσσος πολλή*. Ps 35.7α
Ἢ δίδαξόν με ταῦτα βαθύτερον.

109 Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διὰ παντὸς, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Τὴν ψυχήν μού σοι ἐγχειρίζω πάντοτε, σὲ φρουρὸν ποιοῦμαι καὶ ὑπερασπιστὴν καὶ κυβερνήτην αὐτῆς· καὶ διὰ τοῦτο τοῦ νόμου σου οὐκ ἐπελαθόμην, ἵνα μὴ ἀποπέσω.

110 Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

Ἔθεντο παγίδα μοι, θηρεῦσαί με σπεύδοντες, καὶ οὐκ ἀπεπλανήθην τῶν ἐντολῶν σου, δεδιὼς μὴ ἐμπέσω ταύταις. Ὁ γὰρ βαδίζων ἐν τῷ νόμῳ τοῦ Θεοῦ, πάγαις οὐκ ἐμπίπτει.

Ἁμαρτωλοὺς δὲ λέγει, τοὺς δαίμονας ἢ καὶ τοὺς παρανόμους ἀνθρώπους.

111 Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μού εἰσι.

Κληρονομίαν ταῦτα ἐθέμην διηνεκῆ, καὶ ἀναφαίρετον κέρδος. Ἐμφαίνει δὲ ὁ λόγος τὴν περὶ αὐτὰ διάθεσιν αὐτοῦ.

112 Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν.

Ἔπεισα αὐτὴν, μετέστρεψα πρὸς τὸ ποιῆσαι τὰς ἐντολάς σου ἀεὶ διὰ τὴν ἀποκειμένην ἀμοιβὴν τοῖς εὐαρεστοῦσί σοι.

113- Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα· βοηθός μου καὶ ἀντιλήπτωρ
114 μου εἶ σὺ, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Εἰς τὸν νόμον σου τεθάῤῥηκα, τὸν δικαιοῦντα τοὺς πληροῦντας αὐτὸν, καὶ ἀγαθὰ τούτοις ἐπαγγελλόμενον.

115 Ἐκκλίνατε ἀπ᾽ ἐμοῦ, πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

Οἱ πονηροὶ γὰρ ἄνθρωποι καὶ δαίμονες, ἐνοχλοῦντες, παρεμποδίζουσιν εἰς τοῦτο.

116α Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου.

Κατὰ τὴν ὑπόσχεσίν σου· ἐπηγγείλω | γὰρ ἐν τῷ νόμῳ ὑπερασπίζειν τῶν φυλασσόντων αὐτὸν, ὡς καὶ ἀνωτέρω δεδήλωται· ἢ καὶ κατὰ τὴν ἁπλῶς σου Ps 118.41 ὑπόσχεσιν.

116β Καὶ ζῆσόν με.

Εἴρηται περὶ τούτου διαφόρως ἤδη. Ps 118.88

116γ Καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

Μὴ καταισχυνθῆναί με ποιήσῃς, ἀποτυχόντα τῆς ἐπὶ σοὶ ἐλπίδος μου.

117 Βοήθησόν μοι καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διὰ παντός.

Σωθήσομαι ἀπὸ τῆς ἐπιβουλῆς τῶν ἐχθρῶν.

118 Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

Ἐφαύλισας, ἀπώσω ὡς ἀχρήστους. Ἐνθυμούμενοι γὰρ παρανομεῖν, ἀποστατοῦσιν ἀπὸ τοῦ νόμου σου.

119 Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

Παραβάτας τοῦ νόμου ἡγησάμην πάντας τοὺς ἁμαρτάνοντας, διὸ ἠγάπησα τὸν νόμον σου, ἵνα μὴ καὶ αὐτὸς παραβάτης λογισθῶ.

Τῆς γῆς δὲ εἶπεν, ὡς ἐκ τῆς γῆς ὄντας, ἢ ὡς ἐν τῇ γῇ ἁμαρτάνοντας.

120 Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

Ἀπὸ τοῦ ἀναγινώσκειν τὰ κρίματά σου ἐφοβήθην μὲν κατὰ ψυχὴν, οὐκ ἔχω δὲ καὶ τὸ σῶμα τῷ τοιούτῳ φόβῳ συστελλόμενον· καθήλωσον οὖν καὶ αὐτὸ τῷ φόβῳ σου τούτῳ, πρὸς τὸ μὴ κινεῖσθαι εἰς ἀτάκτους ὁρμὰς καὶ πράξεις ἀτόπους.

121 Ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

Ἐποίησα κρίσιν δικαίαν· τὸ αὐτὸ γὰρ εἶπεν ἐκ παραλλήλου. Διὸ μὴ παραδῷς με, δίκαια κρίνοντα, τοῖς ἀδίκως ἐπιβουλεύουσι, μηδὲ κατακυριευσάτωσαν τοῦ ἐννόμου οἱ παράνομοι.

122 Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν· μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

Μακροθύμησον τῷ δούλῳ σου ὑπὲρ ἀγαθοῦ, ὥστε διὰ μετανοίας εἰλικρινοῦς ἀπολούσασθαι τὸν ἐπιγενόμενόν μοι μολυσμὸν τῆς ἁμαρτίας. Μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι, τουτέστιν, ὑπερόπται τοῦ νόμου, ὡς καθ' εἱμαρμένην πειρασμοῖς ταλαιπωρούμενον, καὶ οὐ διὰ τὴν πλημμεληθεῖσαν ἁμαρτίαν, ἢ ὡς εἰκῇ μεταμελόμενον, ἢ ὡς μάτην ἐλπίζοντα σωτηρίαν.

123 Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

Ἐξελύθησαν, ἠτόνησαν οἱ ὀφθαλμοὶ τῆς ψυχῆς μου, εἰς τὴν παρὰ σοῦ σωτηρίαν ἀτενίζοντες, καὶ εἰς τὴν ἐπαγγελίαν τῆς δικαιοσύνης σου. Εἴρηται δὲ καὶ ἀνωτέρω, *Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου.* Ps 118.82

124 Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Ποίησον εἰς τὸν δοῦλόν σου ἔλεος, ὡς ἐλεήμων· ἢ ποίησον εὐποιΐαν ἐν τῷ ἐλέει σου, καὶ ἐλεήσας με, *δίδαξόν με τὰ δικαιώματά σου*, καθὼς καὶ προλαβὼν εἴρηκε. Ps 118.12

125 Δοῦλός σού εἰμι ἐγώ· συνέτισόν με καὶ γνώσομαι τὰ μαρτύριά σου.

Καὶ εἰ συνετίσεις με, γνώσομαι ταῦτα.

126 Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.

Καιρός σοι τῷ Κυρίῳ τοῦ ποιῆσαι ἐκδίκησιν δηλονότι. Κατέλυσαν, ἠθέτησαν τὸν νόμον σου οἱ παράνομοι.

127 Διὰ τοῦτο ἠγάπησα | τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

Διότι διεσκέδασαν αὐτὸν ἐκεῖνοι, ἐγὼ μᾶλλον ἠγάπησα τοῦτον· ὑπὲρ χρυσίον καὶ λίθον τίμιον, ὑπὲρ πλοῦτον πολύν.

128α Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην.

Οὐ πρὸς ταύτην ἢ ἐκείνην, ἀλλὰ πρὸς πάσας· τοῦτο γὰρ τελειότητος.
Ἰθυνόμην δὲ πρὸς πάσας, ἵνα αὐτὸς θεραπεύσω σε τὸν ἐντειλάμενον ταύτας, ἐκείνων παροργιζόντων.

128β Πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Ὁ γὰρ τὰς ἐντολὰς ἀγαπῶν μισεῖ πᾶσαν κακίαν, ὡς ἀντικειμένην αὐταῖς· ἀσύμβατον γὰρ ἀρετὴ καὶ κακία, φῶς καὶ σκότος, ὑγεία καὶ νόσος.

129 Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Θαυμαστὰ, πᾶν εἶδος ἀρετῆς παιδεύοντα, πᾶσαν κακίαν ἐλαύνοντα. Διὰ τοῦτο οὐχ ἁπλῶς ἠρεύνησεν, ἀλλ᾽ ἐξηρεύνησεν ἀκριβῶς αὐτὰ ἡ ψυχή μου ὅλη.

130 Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους.

Καὶ αὐτοὺς τοὺς νηπίους τῇ ἡλικίᾳ, μήτι γε τοὺς ἄνδρας· ἢ τοὺς νηπίους ταῖς φρεσίν· ἢ τοὺς ἐξ ἐθνῶν πιστεύσαντας, ὡς ἀρτιπαγεῖς εἰς θεογνωσίαν· ἢ ἁπλῶς τὸν νέον λαόν.

131 Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

Τὸ στόμα τῆς ψυχῆς μου, ὅ ἐστιν ἡ διάνοια. Κλείσας τοῦτο τοῖς πονηροῖς
λογισμοῖς, ἤνοιξα αὐτὸ τοῖς ἀγαθοῖς, καὶ εἵλκυσα πνεῦμα συνέσεως, χάρισμα Ex 31.3
σοφίας. Τὸ δὲ, ἐπεπόθουν, καὶ, ἐξηρεύνησα, καὶ, ἐπήλπισα, καὶ τὰ τοιαῦτα, Isa 11.2
ἐμφαντικά εἰσιν ἐπιτάσεως.

132 Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Ἀεὶ ἐλέους Θεοῦ πᾶς ἄνθρωπος δεῖται. Ἐπίβλεψον ἐπ᾽ ἐμὲ πειραζόμενον. Κατὰ τὸ κρίμα δὲ, ἤτοι κατὰ τὸν ὅρον ὃν ἔθου τοῖς ἀγαπῶσί σε, κρίνας ἐλεεῖν αὐτοὺς, καὶ μᾶλλον ἐν πειρασμοῖς ὄντας, καὶ βοηθεῖν.

133 Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Τὴν ὁδὸν τοῦ βίου κατεύθυνον κατὰ τὸν νόμον σου, καὶ μὴ καταδουλωσάτω με πᾶσα ἀνομία, ὥστε ποιῆσαι αὐτήν· Πᾶς γὰρ, φησὶν, ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας· ἢ ἄνομος ἄνθρωπος, ὥστε λαβεῖν ὑποχείριον. Jn 8.34

Πᾶσα ἀνομία, οἵα ἂν καὶ εἴη, τουτέστι, μηδεμία.

134 Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Ἵνα μήτε ἐκεῖνοι ἐμὲ συκοφαντήσωσι, μήτε ἐγὼ αὐτούς· βαρὺ γὰρ ἡ συκοφαντία, ἀπόγνωσιν πολλάκις ἐμποιοῦσα τῆς ἄνωθεν προνοίας τοῖς μικροψυχοτέροις. Ἀμοιβὴν δὲ τῆς ἐλευθερίας ὑπισχνεῖται, τὴν φυλακὴν τῶν ἐντολῶν.

Ἢ καὶ ἑτέρως· λύτρωσαί με καὶ φυλάξω, μὴ ἐνοχλούμενος ὑπ’ αὐτῆς, εἰωθυίας ἐμποδίζειν εἰς τοῦτο.

135 Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Τὴν ἐποπτικήν σου δύναμιν ἐπίφανόν μοι, τουτέστιν, ἐπίβλεψον ἐπ’ ἐμὲ, Ps 118.132
καθὼς εἴρηται. Περὶ δὲ τοῦ ἑξῆς προείρηται. Ps 118.12

Ἢ καὶ ἄλλως· πρόσωπον τοῦ Πατρὸς, ὁ Υἱός· Ὁ ἑωρακὼς γὰρ, φησὶν, ἐμὲ Jn 14.9
ἑώρακε τὸν Πατέρα· ἐπεὶ καὶ χαρακτὴρ αὐτοῦ λέγεται. Δυσωπεῖ τοίνυν ἐμφανίσαι Heb 1.3
αὐτῷ τὸν Υἱὸν σεσαρκωμένον, οἷος ἐνανθρωπῆσαι μέλλει, καὶ διδάξαι αὐτὸν τὰ δικαιώματα | τοῦ Εὐαγγελίου αὐτοῦ, ὁποῖα ταῦτα μέλλει νομοθετῆσαι.

Ἢ καὶ προσώπῳ τοῦ νέου λαοῦ ποιεῖται τὴν δέησιν, ἱκετεύων ἀποστεῖλαι αὐτῷ τοῦτον, καὶ διδάξαι τὰ εὐαγγελικὰ δικαιώματα.

136 Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξαν τὸν νόμον σου.

Διέξοδοι ὑδάτων, αἱ χαράδραι καὶ τὰ κοιλώματα. Φησὶν οὖν, ὅτι κοιλώματα ἐκοιλάνθησαν οἱ ὀφθαλμοί μου δακρύοντες, ἤγουν ἐτάκησαν, πλῆθος δακρύων ἀποῤῥέοντες, διότι οὐκ ἐφύλαξαν τὸν νόμον σου οἱ παρανομοῦντες· πάνυ γὰρ ἀπεκλαιόμην τοὺς ἀθλίους.

Νοεῖται δὲ τοῦτο καὶ περὶ τῶν Ἰουδαίων, οἳ παρανομοῦντες, ἀνεῖλον τὸν Χριστόν· ἐδάκρυε γὰρ τούτους, ὡς ὁμογενεῖς.

137 Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.

Τοῦτο καὶ νοεῖν καὶ λέγειν ἀεὶ, καλὸν, καὶ πιστεύειν καὶ ὁμολογεῖν.

138 Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου καὶ ἀλήθειαν σφόδρα.

Ἐνετείλω αὐτὰ, δικαιοσύνην αὐτόχρημα καὶ ἀλήθειαν πάνυ. Ἢ ἐνετείλω αὐτὰ, δίκαια καὶ ἀληθῆ πάνυ. Ὁ νόμος σου γὰρ δικαίως ἀμείβεται καὶ τὸν

κατορθοῦντα καὶ τὸν σφαλλόμενον, καὶ ἀληθεύει ταῖς ἐπαγγελίαις.

139 Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

Ὁ ὑπὲρ σοῦ ζῆλος, καταφρονουμένου, ἡ ὑπὲρ σοῦ δικαία ὀργή· διότι ἐπελάθοντο τῶν ἐντολῶν σου οἱ διὰ τοῦτο ἐχθροί μου, ἀποστάντες τῆς μελέτης αὐτῶν.

140 Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

Καθαρώτατος, ἄμεμπτος ὁ νόμος σου· τοιοῦτον γὰρ τὸ πεπυρωμένον χρυσίον.

Εἴρηται δὲ καὶ ἐν τῷ ιαʹ ψαλμῷ, *Τὰ λόγια Κυρίου, λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον.* Ps 11.7

Καὶ ἠγάπησεν αὐτὸ μόνος ὁ δοῦλός σου, εἴ τίς ἐστι θεράπων σου, εἴ τις μετὰ φόβου λατρεύει.

141 Νεώτερός εἰμι ἐγὼ καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Καθ' ἱστορίαν, ὁ Δαυὶδ νεώτερος ἦν τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἐξουδενώθη παρὰ τοῦ πατρὸς διὰ τὴν βραχύτητα τῆς ἡλικίας, ὅτε ὁ Σαμουὴλ παρεγένετο χρίσων αὐτὸν εἰς βασιλείαν· ἀλλὰ καὶ τοῦ Σαοὺλ νεώτερος ἦν, καὶ ἐξουδενοῦτο παρ' αὐτοῦ 1Rg 16.11 καὶ ἐδιώκετο. Καὶ ὅμως ὑπὲρ πάντας τούτους ἐμνημόνευε τῶν ἐντολῶν τοῦ Θεοῦ.

Νοεῖται δὲ ὁ λόγος καὶ προσώπῳ τοῦ νέου λαοῦ, ἐξουδενωμένου μὲν ὑπὸ τοῦ παλαιοῦ, τὸν δὲ νόμον ὑπὲρ ἐκεῖνον καὶ νοοῦντος καὶ φυλάττοντος.

142α Ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα.

Δικαιοσύνη αἰώνιος, δικαιοσύνη κυρίως· ὃν ἂν δικαιοῖς, αἰωνίως καὶ δικαίως δικαιοῖς· ἡ δὲ τῶν ἀνθρώπων, οὐ τοιαύτη, πρόσκαιρός τε οὖσα καὶ σφαλλομένη τὰ πολλά.

142β Καὶ ὁ νόμος σου ἀλήθεια.

Αὐτόχρημα ἀλήθεια· σφόδρα ἀληθεύων ἐν πᾶσι.

Νοεῖται δὲ ἀλήθεια, καὶ ἡ ὀρθότης, κατὰ τὸ, *Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.* Εἴρηται δὲ καὶ ἐν τῷ ιηʹ ψαλμῷ, *Τὰ κρίματα Κυρίου ἀληθινὰ,* Ps 118.137 *δεδικαιωμένα ἐπὶ τὸ αὐτό.* Ps 18.10β-γ

143 Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σου μελέτη μου.

Ἐν ταῖς θλίψεσιν αἱ ἐντολαί σου μελέτη μου ἦσαν, παρηγοροῦσαι καὶ τὸ ἄλγος ἐπικουφίζουσαι.

142α[4] τὰ πολλά PSCAV : πολλά M.

144α Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα.

Δικαιοσύνη αἰώνιος, ὡς προείρηται· ἐνδιατρίβει γὰρ τῇ ὑμνολογίᾳ τοῦ νόμου. Ps 118.142α

144β Συνέτισόν με καὶ ζήσομαι.

Καὶ ζήσομαι ὄντως· οἱ γὰρ μὴ συνετισθέντες οὐκ ὄντως ζῶσιν, ὡς φαύλως ζῶντες.

145 Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου· ἐπάκουσόν μου, Κύριε, | τὰ δικαιώματά σου ἐκζητήσω.

Ἐν τῷ θλίβεσθαί με ἐκέκραξα πρὸς σὲ, καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐν ὅλῃ καρδίᾳ μου· διὰ τοῦτο ἐπάκουσόν μου· τὰ δικαιώματά σου ἐκζητήσω, εἰ ἐπακούσεις μου.

146 Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.

Τὸ αὐτὸ λέγει καὶ νῦν, ἐπιτείνων τὴν δέησιν καὶ βεβαιῶν τὴν ὑπόσχεσιν. Σῶσόν με κινδυνεύοντα.

147 Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Προέλαβον τὸν ὄρθρον, ἐν ἀωρίᾳ τῆς νυκτὸς, μήπω τῆς ὥρας ἐπιστάσης καθ' ἣν ἀνίστανται οἱ ἄνθρωποι, καὶ ἐκέκραξα πρὸς σέ· εἰς τοὺς λόγους σου τεθάῤῥηκα, οὓς ἐνήχησάς μοι διὰ τοῦ ἁγίου Πνεύματος — *Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ.* Ps 90.15

148 Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου.

Προέλαβον οἱ ὀφθαλμοί μου τὴν ἡμέραν, πρὸς καιρὸν ὄρθρου, ὥστε μελετᾶν τὸν νόμον σου. Ἐν ἀωρίᾳ μὲν γὰρ προσηύχετο, κατὰ τὸν ὄρθρον δὲ ἐμελέτα τὸν νόμον.

149α Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου.

Ἐν τῷ ἐλέει σου, ὡς ἐλεήμων.

149β Κατὰ τὸ κρίμα σου ζῆσόν με.

Κατὰ τὸν νόμον σου ζῆν με ποίησον, ἐννόμως βιοῦν.

150 Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

Ὅσον γὰρ ἐγγίζουσι τῇ ἀνομίᾳ, τοσοῦτον μακρύνουσι τοῦ νόμου.

Τινὰ δὲ τῶν ἀντιγράφων, ἀνομίαν γράφουσιν, ὡς νοεῖσθαι ὅτι προσεπέλασάν μοι ἀνομίαν· ἐγγύς μου ἤγαγον τὴν ἀνομίαν αὐτῶν· παρ' ὀλίγον ἐθήρευσάν με· ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν, τοιαῦτα σκαιωροῦντες.

151α Ἐγγὺς εἶ σὺ, Κύριε.

Καὶ ἀλλαχοῦ φησιν, *Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν*· καὶ ἐν Ps 144.14
ἑτέρῳ γέγραπται, *Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόῤῥωθεν*, κατὰ τὸ, *Οὐχὶ* Jer 23.23, 24
τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος; καὶ πάλιν, *Ἔτι λαλοῦντός*
σου, ἐρῶ, Ἰδοὺ πάρειμι. Isa 58.9

Ἐγγίζει μὲν οὖν ὁ Θεὸς, ἀλλὰ τοῖς ἐγγίζουσιν. Οἱ μὲν γὰρ δίκαιοι ἐγγίζουσιν αὐτῷ διὰ προκοπῆς καὶ ἀναβάσεως· οἱ δὲ ἁμαρτωλοὶ μακρύνουσιν ἀπ' αὐτοῦ, περὶ ὧν εἴρηται, *Ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται.* Ps 72.27α

151β Καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

Πάντα τὰ σὰ, ἀληθινὰ καὶ βέβαια· ἢ πᾶσαι αἱ πρόνοιαί σου, καθ' ἃς διοικεῖς τὸν κόσμον, ἀληθεῖς, ὡς ὄντως πρόνοιαι· ἢ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς, ὡς ἀσφαλεῖς καὶ ὀρθαί.

152 Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

Ἐν προοιμίοις ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι αἰωνίως ἥδρασας αὐτά. Ἀρξάμενος συνιέναι ταῦτα, ἔγνων ὅτι ἀσάλευτα πεποίηκας αὐτὰ, καὶ οὐδεὶς αὐτὰ καταλύσει. Εἰ γὰρ καὶ δοκοῦσι τὰ πλείω καταλυθῆναι παρὰ τοῦ Εὐαγγελίου, ἀλλ' οὐ κατὰ τὸν ἐγκεκρυμμένον νοῦν, ἀλλὰ κατὰ τὸ φαινόμενον καὶ σκιῶδες, ὡς προδιείληπται.

153 Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Ἴδε τὴν κακοπάθειάν μου, καὶ ἐξελοῦ με τῶν πειρασμῶν, ὅτι διὰ τὸν νόμον σου κακοπαθῶν, οὐκ ἐπελαθόμην αὐτοῦ, οὐδ' ἠνεσχόμην παρανομῆσαι, οὐδὲ μιμήσασθαι τοὺς ἐπιβουλεύοντας.

Ἤ, ἴδε τὴν ἐνάρετον ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην, τοῦ κελεύοντος ταπεινοφρονεῖν. |

154α Κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με.

Τὴν κρίσιν μου, μετὰ τῶν πολεμούντων μοι. Καὶ ἐν τῷ μβʹ ψαλμῷ, φησὶ, Ps 42.1γ
Δίκασον τὴν δίκην μου, καὶ ἐν τῷ λδʹ, *Πολέμησον τοὺς πολεμοῦντάς με.* Ps 34.1β

154β Διὰ τὸν λόγον σου ζῆσόν με.

Διὰ τὸν νόμον σου ζωοποίησόν με, δι᾽ ὃν ἀποθανεῖν κινδυνεύω ἤδη, καταπονούμενος ὑπὸ τῶν ἐχθρῶν.

155 Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

Μακρὰν ἀπὸ τῶν παρανόμων ἡ σωτηρία· κινδυνεύουσι γὰρ, ὅτι τῶν ἐντολῶν σου κατεφρόνησαν. Ἐγγὺς δὲ ἐμοῦ· ῥυσθήσομαι γὰρ τῆς ἐπιβουλῆς αὐτῶν, ὅτι αὐτὰς ἐξεζήτησα.

Ἢ καὶ διδασκαλικὸς ὁ λόγος, ὅτι οὐ σωθήσονται οἱ ἁμαρτωλοὶ, κἂν εὐροῶσιν ἐνταῦθα· ἢ ὅτι οὐχ ἕξουσι παρὰ Θεοῦ βοήθειαν, ὡς ὑπερόπται τῶν δικαιωμάτων αὐτοῦ.

156 Οἱ οἰκτιρμοί σου πολλοὶ, Κύριε, κατὰ τὸ κρίμα σου ζῆσόν με.

Πολυέλεος εἶ. Κατὰ τὴν κρίσιν σου τὴν παγκόσμιον ζῆν με ποίησον τὴν
μακαρίαν ζωὴν, ὅτε ἀπελεύσονται οἱ δίκαιοι εἰς ζωὴν αἰώνιον· ἢ καὶ ἐνταῦθα ζῆν Mt 25.46
με ποίησον κατὰ τὸν νόμον σου, συνεργῶν μοι, προθυμουμένῳ.

157 Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

Πολλοὶ ὁρατοὶ καὶ ἀόρατοι οἱ ζητοῦντες ἑλεῖν με, καὶ πᾶν εἶδος ἐπεγείροντες πειρασμοῦ· ἀλλ᾽ ἐγὼ σοὶ μόνῳ θαῤῥῶν, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξετράπην.

Διαφόρως δὲ λέγει τὰ προῤῥηθέντα, ἃ καὶ κατὰ διαφόρους ἔλεγε καιρούς.

158 Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

Καὶ ἀνωτέρω εἴρηκεν, *Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων
σου οἱ ἐχθροί μου.* Ps 118.139

159 Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με.

Ποτὲ μὲν ἱκετεύει ζωοποιηθῆναι διὰ τὴν φυλακὴν τῶν ἐντολῶν, ποτὲ δὲ,
διὰ τὸ ἔλεος τοῦ Θεοῦ· ἐκεῖνο μὲν, δικαιολογούμενος, τοῦτο δὲ, μετριοφρονῶν·
τελειοτέρων δὲ, τὸ δεύτερον. *Οὐδεὶς γὰρ*, φησὶν, *ἐξ ἔργων νόμου δικαιοῦται.* Rom 3.20
Ζήτησον καὶ ἐν τῷ ρβʹ ψαλμῷ τὴν ἐξήγησιν τοῦ, *Τὸν στεφανοῦντά σε ἐν ἐλέει
καὶ οἰκτιρμοῖς.* Ps 102.4β

157[3] πειρασμοῦ MS[2]CBF : πειρασμῶν PV.

160α Ἀρχὴ τῶν λόγων σου ἀλήθεια.

Βούλεται λέγειν, ὅτι οἱ λόγοι σου, ἀληθεῖς. Εἰ γὰρ ἡ ἀρχὴ αὐτῶν ἀλήθεια, καὶ τὰ ἑξῆς πάντως ἀλήθεια, ἑπόμενα τῇ ἀρχῇ.

Ἴσως δὲ καὶ περὶ τοῦ πρώτου λόγου λέγει τοῦ λαληθέντος πρὸς τὸν Ἀδάμ· *Ἀπὸ παντὸς γὰρ, φησὶ, ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε.* Ἀρχή τε γὰρ οὗτος ὁ λόγος πάντων τῶν πρὸς τὸν ἄνθρωπον λόγων τοῦ Θεοῦ, καὶ τοσοῦτον ἀληθὴς, ὅτι καὶ παντὸς τοῦ γένους ἡμῶν κατὰ διαδοχὴν ἐκράτησεν ὁ θάνατος. Gen 2.16-17

160β Καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

Αἰώνια, ἀσάλευτα. Καὶ ἀνωτέρω γὰρ εἶπεν, *Ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.* Ps 118.152

161 Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

Οὐκ ἐδειλίασεν ἀπ' ἐκείνων τῶν ἀποκτενόντων τὸ σῶμα, ἀλλὰ ἀπὸ τῶν λόγων σου, *τοῦ δυναμένου καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ·* τουτέστι, τὰς σὰς ἐντολὰς πλέον ἐφοβήθην ἢ ἐκείνους, καὶ οὐ διὰ τὸν φόβον ἐκείνων ἔπραξά τι | παρὰ ταύτας. Mt 10.28

Νοοῦνται δὲ ἄρχοντες, καὶ οἱ περὶ τὸν Σαοὺλ, ὃν πολλάκις δυνάμενος ἀνελεῖν, ἐφείσατο, εὐλαβηθεὶς τὰς ἐντολὰς τοῦ Θεοῦ. *Ἄρχοντα γὰρ, φησὶ, τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.* Εἰ δ' οὐ κακολογήσεις, πολλῷ μᾶλλον οὐκ ἀποκτενεῖς. Ex 22.27

162 Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

Ὥσπερ γὰρ ἐκεῖνον τὰ λάφυρα ἐκεῖνα πλουτίζουσιν, οὕτω κἀμὲ τὰ λόγιά σου, φωτίζοντά μου τὸν νοῦν, καὶ θησαυρὸν γνώσεως χαριζόμενα.

163 Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα.

Οὐχ ἁπλῶς ἐμίσησα, ἀλλὰ καὶ ἐβδελυξάμην· ἐπίτασις δὲ τοῦτο τοῦ μίσους. Καὶ ἀνωτέρω δὲ εἴρηκε, *Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.* Ps 118.113

164 Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Τὸ ἑπτάκις ἔστιν ὅτε παρ' Ἑβραίοις τὸ πολλάκις δηλοῖ. Πολλάκις, φησὶ, τῆς ἡμέρας, ὕμνησά σε διὰ τὰ κρίματα τῆς δικαιοσύνης σου, διὰ τὸν νόμον σου, ἢ διὰ τὰς μετὰ διακρίσεως οἰκονομίας σου, τοῦ δικαίως πάντα καὶ πρεπόντως ποιοῦντος.

160α[5] φαγῇ (φαγοῦμαι) MPSCBF [Holmes]: [φάγῃ (φάγομαι) Ra].

Εἰ δὲ καὶ κατ' ἀριθμὸν τὸ ἑπτάκις λαβοιμεν, ἡμέραν μὲν νόησον, τὸ ἡμερονύκτιον. Ἀριθμεῖ δὲ μεσονύκτιον, καὶ ὄρθρον, καὶ πρωΐ, καὶ τρίτην ὥραν, καὶ ἕκτην, καὶ ἐνάτην καὶ ἑσπέραν.

165 Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

Εἰρήνη, οὐ πρὸς τοὺς ἀοράτους ἐχθρούς, ἀλλὰ πρὸς τὸν Θεόν· καὶ οὐκ ἔστιν Rom 5.1
αὐτοῖς πρόσκρουσμα. Ἐξομαλίζει γὰρ τούτοις ὁ νόμος τὴν ὁδὸν τῆς ἀρετῆς, πᾶν σκῶλον ἁμαρτίας ἐξαίρων.

Ἢ εἰρήνη πρὸς τοὺς τῆς αὐτῆς πίστεως· εἰ καὶ ἐκεῖνοι πολλάκις εἰρηνεύειν πρὸς τούτους οὐ βούλονται.

166 Προσεδόκων τὸ σωτήριόν σου, Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.

Καὶ ἠγάπησα ταύτας, ἵνα ἔλθῃ μοι τὸ προσδοκώμενον.

167 Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

Οὐ μόνον ἐφύλαξεν, ἀλλὰ καὶ ἠγάπησε, καὶ οὐχ ἁπλῶς ἠγάπησεν, ἀλλὰ σφόδρα.

168α Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου.

Ἃ διεῖλε, νῦν ἥνωσεν.

168β Ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε.

Αἴτιον δὲ τῆς φυλακῆς αὐτῶν, ὅτι πᾶσαι αἱ ὁδοὶ τῆς πολιτείας μου, καὶ πᾶσα μου πρᾶξις, ἐνώπιόν σου τελεῖται, καὶ ὑπὸ σοὶ μάρτυρι ὁδεύω τὸν βίον· *Προωρώμην*
γάρ, φησὶ, *τὸν Κύριον ἐνώπιόν μου διὰ παντός*. Ὅθεν καὶ φοβούμενός σε, τὸν τὰ Ps 15.8α
ἐμὰ βλέποντα, φυλάττω τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου.

169α Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε.

Μὴ ἀποστραφείη, ὡς ἀπρόσδεκτος. Τίς δὲ αὕτη;

169β Κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Αὕτη ἐστὶν ἡ δέησις, ὅτι συνέτισόν με, μὴ κατὰ τέχνην ἀνθρωπίνην ἢ ἐπιστήμην βιωτικὴν, ἀλλὰ κατὰ τὸν λόγον σου, ἵνα συνῶ τοὺς λόγους σου, ἵνα γνῶ ἀκριβῶς τὸν νόμον σου.

170α Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε.

Τὸ ἀξίωμα, ὁ μὲν Ἀκύλας, δέησιν, ἐξέδωκεν, ὁ δὲ Σύμμαχος, ἱκεσίαν.
Ἀνωτέρω μὲν οὖν εἶπεν, ἐγγισάτω, ἐνταῦθα δὲ, εἰσέλθοι· εἰ γὰρ ἐγγίσει, καὶ εἰσελεύσεται.

170β Κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Κατὰ τὴν σοφίαν σου | ῥῦσαί με τῶν πειρασμῶν.
Ἢ κατὰ τὴν ὑπόσχεσίν σου, καθὼς καὶ ἀνωτέρω διαφόρως εἴρηται· καὶ εἰδικῶς γὰρ αὐτῷ ὁ Θεὸς ἐπηγγείλατο βοήθειαν.

171 Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.

Ἐξενέγκοιεν ὕμνον εὐχαριστήριον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου συνετώτερον· ὕμνον εἰδικῶς εὐχαριστήριον, ὑπὲρ τῆς εὐεργεσίας ταύτης.
Εὔχεται δὲ τοῦτο, τὴν ἐπιθυμίαν ἐμφαίνων.

172α Φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου.

Ἀεὶ αὐτὰ φθέγξαιτο, τοῦτο μὲν, μελετῶσα, τοῦτο δὲ, ἑτέρους διδάσκουσα, καὶ πρὸς μηδὲν ἕτερον ἀσχολουμένη.

172β Ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Εὐθύτης, εὐθύνουσαι τὸν βίον καὶ ῥυθμίζουσαι τὸν ἄνθρωπον. Καὶ προλαβὼν δὲ εἶπε, Δικαιοσύνη τὰ μαρτύριά σου. Ps 118.144α

173 Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ἡρετισάμην.

Γενέσθω εἰς τὸ σῶσαί με· παραγενέσθω ἐπὶ τῷ σῶσαί με. Τοιοῦτόν ἐστι καὶ τοῦτο, οἷον καὶ τὸ, Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν. Ps 30.3γ

174 Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε, καὶ ὁ νόμος σου μελέτη μού ἐστιν.

Ἐπεπόθησα τὴν παρὰ σοῦ σωτηρίαν, οὐ τὴν παρ' ἀνθρώπων βοήθειαν· διὸ καὶ ὁ νόμος σου μελέτη μού ἐστιν, ἵνα διὰ ταύτην ῥύσῃ με τῶν ἐχθρῶν.
Ἴσως δὲ καὶ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος λέγει· αὕτη γὰρ σωτήριον
τοῦ κόσμου παρ' αὐτοῦ. Ἐτέχθη γὰρ, φησὶν, ὑμῖν σήμερον Σωτὴρ, ὅπερ σωτήριον Lk 2.11
ἐπεπόθησεν ἰδεῖν, ὡς καὶ ἐν ἄλλοις εἰρήκαμεν. Καὶ ὁ νόμος σου, φησὶ, μελέτη μού Ps 118.81α
ἐστιν, ὡς τὰ περὶ τοῦ σωτηρίου τούτου σκιαγραφῶν καὶ ὑπαινιττόμενος.

175 Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ζήσεται τὴν ὄντως ζωὴν, ὅτε ἀπελεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ζωὴν Jn 5.29
αἰώνιον, καὶ αἰνέσει σε τότε ὑψηλότερόν τε καὶ τελεώτερον. Καὶ τὰ κρίματά σου Mt 25.46
τὰ νομικὰ βοηθήσει μοι, φυλάξαντι ταῦτα, καὶ παῤῥησίαν προξενήσει.

Τινὰ δὲ τῶν ἀντιγράφων, ζήσαιτο, γράφουσι, καὶ βοηθήσαι, εὐχομένου τοῦ προφήτου ζῆσαι ζωὴν ἐνάρετον — αὕτη γὰρ κυρίως ζωὴ — καὶ βοηθηθῆναι εἰς τοῦτο παρὰ τοῦ νόμου, ἰθύνοντος καὶ ῥυθμίζοντος αὐτὸν, ὡς προείρηται.

176 Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Ἐπλανήθην, οὐκ ἀπολέσας τὴν ὁδὸν τῶν ἐντολῶν σου, ἀλλ' ἐν τοῖς ὄρεσι διαιτώμενος, καὶ τῇδε κἀκεῖσε μεταβαίνων, ἐν τῷ καταδιώκεσθαι. Ζήτησόν με, καὶ ἐπανάγαγε εἰς τὴν προτέραν κατοικίαν, φιμώσας τοὺς καταδιώκοντας, ὅτι οὐκ ἠμέλησα τῶν ἐντολῶν σου.

Ἢ καὶ προσώπῳ τοῦ νέου λαοῦ ποιεῖται τὸν λόγον. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, μὴ τὴν ὀρθὴν τρίβον τῆς εὐσεβείας βαδίζων, ἀλλὰ σκολιάς τινας καὶ πολυσχιδεῖς καὶ φερούσας εἰς ὄλεθρον ἐμαυτῷ τεμόμενος. Ζήτησον τὸν δοῦλόν
σου· Τὰ σύμπαντα γὰρ, φησὶ, δοῦλα σά. Ζήτησον, ὁ ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς Ps 118.91
τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, κατὰ τὴν ἐν τοῖς Εὐαγγελίοις παραβολὴν Jn 10.11
τοῦ ἀπολωλότος προβάτου, καὶ συνάγαγε εἰς τὴν μάνδραν σου. Τὸ δὲ ἐφεξῆς Mt 18.12-14
ἀντίκειται· ἐπιλανθάνεται γὰρ, οὐχ ὁ μήπω μαθὼν τὰς ἐντολὰς, ἀλλ' ὁ πάλαι ταύτας μεμαθηκὼς, εἰ μή τις ἀντιχρονικῶς | ἑρμηνεύσοι τὸ ῥητόν· οὐκ ἐπελαθόμην, ἀντὶ τοῦ, οὐκ ἐπιλήσομαι.

119 ριθ'
1α Ὠιδὴ τῶν ἀναβάθμων.

Πεντεκαίδεκα μὲν αὗται αἱ ᾠδαὶ, μίαν δὲ πᾶσαι τὴν ἐπιγραφὴν ἔχουσιν· Ὠιδὴ τῶν ἀναβάθμων, ἢ καθ' ἕτερον ἑρμηνευτὴν, Ὠιδὴ τῶν ἀναβάσεων. Τινὲς δὲ, τῶν ἀναβαθμῶν, ἀναγινώσκουσι, περισπῶντες.

Ἔλαχον δὲ τοιαύτην ἐπιγραφὴν, ὅτι περὶ τῆς ἐκ Βαβυλῶνος πρὸς Ἰερουσαλὴμ ἀναβάσεως τῶν ἐκεῖ κατασχεθέντων αἰχμαλώτων προφητεύουσι· πῶς ἐν θλίψει ὄντες, ἱκέτευσαν τὸν Θεὸν, καὶ εἰσακουσθέντες, ἀπέλαβον τὴν ἑαυτῶν πατρίδα. Καὶ ἄρχονται μὲν ἀπὸ τῆς ἐν τῷ θλίβεσθαι κραυγῆς καὶ δεήσεως πρὸς Θεὸν, συμπερατοῦνται δὲ ἐπὶ τὴν τελείαν εἰς τὴν Ἰερουσαλὴμ ἀποκατάστασιν.

Καὶ οὕτω μὲν καθ' ἱστορίαν. Κατὰ δὲ ἀναγωγὴν, ἔσχον τοιαύτην ἐπιγραφὴν, ὡς μάλιστα τῶν ἄλλων ψαλμῶν ἀνάγουσαι τὸν λαὸν τοῦ Θεοῦ ἀπὸ τῆς Βαβυλῶνος, ἤτοι τῆς τοῦ παρόντος βίου συγχύσεως, αἰχμάλωτον εἰς δουλείαν τῶν παθῶν ἐνταῦθα κατεχόμενον, πρὸς τὴν ἄνω Ἰερουσαλήμ.

176[14] ἑρμηνεύσοι PSCAF : ἑρμηνεύσει M. 1α[2] ἔχουσιν PSCABFV : ἔχουσαι M.

Ἀναγινώσκων γὰρ ταύτας καὶ διαγινώσκων οἷον εἶχεν ἐκεῖνος ὁ λαὸς ἔρωτα τῆς Ἰερουσαλὴμ, καὶ ὅπως ἐθρήνει, καὶ οἵας ἠφίει πρὸς Θεὸν φωνὰς, καὶ οἷα ἔλεγεν ἀναγόμενος, καὶ ὅσα τῶν ᾠδῶν τούτων, διαθερμαίνεται καὶ αὐτὸς πρὸς ἔρωτα σφοδρὸν τῆς ἄνω Ἰερουσαλήμ.

1β Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου.

Ἐν τῇ θλίψει τῆς αἰχμαλωσίας καὶ τῆς ἐκεῖθεν κακοπαθείας· κραυγὴν δὲ λέγει, τὴν ἐκ κατωδύνου ψυχῆς καὶ συντετριμμένης, καὶ τεταμένης πρὸς μόνον τὸν δυνάμενον ῥύεσθαι, ἧς εὐθέως ἐπακούει Θεός.

Προσώπῳ δὲ τοῦ εὐσεβεστέρου μέρους, οἱ λόγοι.

2 Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.

Κράζων, τοῦτο ηὔξατο· ἢ μετὰ τῶν ἄλλων, καὶ τοῦτο.

Χείλη δὲ ἄδικα, τὰ ἀδικίαν εἰς τὸ ὕψος λαλοῦντα, ὡς ἐν τῷ οβʹ ψαλμῷ γέγραπται, ἔνθα τὸ, *Ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν*, καὶ τὰ τῶν συκοφαντῶν, καὶ Ps 72.8β
ἁπλῶς, τὰ τῶν παρανόμων πάντων.

Γλῶσσα δὲ δολία, ἡ αὐτῶν τε τούτων, καὶ εἰδικῶς τῶν ἐπιβουλευόντων.

3 Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;

Ἕτερος δέ φησιν ἑρμηνευτὴς, *Τί δοθήσεταί σοι καὶ τί προστεθήσεταί σοι πρὸς γλῶσσαν δολίαν;* Πρὸς γὰρ τὸν ἱκετεύοντα ὁ προφήτης ἀποκρίνεται, πυνθανόμενος τί δοθήσεταί σοι καὶ τί προστεθήσεταί σοι ἀμυντήριον πρὸς γλῶσσαν δολίαν.

Ἐμφαίνει δὲ ὁ λόγος, ἢ ὅτι δυσκαταγώνιστος αὕτη διὰ πονηρίας ὑπερβολὴν, ἢ ὅτι οὐ χρεία σοι ἀμυντηρίου, αὐτὴ γὰρ ἡ δολιότης, ἀρκοῦσα τοῦ δολίου τιμωρία.

4 Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

Καὶ τοῦτο, πρὸς παρηγορίαν τοῦ ἱκετεύοντος, μὴ ἀθυμεῖν ὑποτιθέμενον. Καὶ γὰρ τὰ βέλη τοῦ δυνατοῦ Θεοῦ ἠκόνηται κατὰ τῶν παρανόμων καὶ δολίων, μετὰ καὶ ἀνθράκων ἐρημοποιῶν, ὥστε τέμνειν καὶ καίειν καὶ ἀφανίζειν αὐτούς. Βέλη δὲ καὶ ἄνθρακας, τὰς διαφόρους τιμωρίας ὠνόμασεν.

Ἐνόησαν δέ τινες, δυνατὸν μὲν τὸν διάβολον, ὡς κατισχύοντα τῶν ῥαθυμούντων· βέλη δὲ αὐτοῦ ἠκονημένα μετʼ ἀνθράκων ἀφανιστικῶν, τοὺς ἐμπαθεῖς λογισμοὺς, ὀξέως εἰσδύνοντας | καὶ ἐμπιπρῶντας καὶ ἀφανίζοντας τὴν ἀρετὴν, οὓς καὶ ὁ Ἀπόστολος *βέλη πεπυρωμένα* ἐκάλεσεν. Eph 6.16

Εἶτα πάλιν ὁ λόγος ἀπὸ τοῦ ἱκετεύοντος.

5α Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη.

3[6] αὐτὴ MPS : αὕτη CBV.

Ἡ ἐν Βαβυλῶνι, ἡ ἐν αἰχμαλωσίᾳ· ἀποδύρεται γὰρ τὸ πολυετὲς αὐτῆς.

5β Κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ.

Μέσον τῶν σκηνωμάτων Κηδάρ· ἀποκλαίεται γὰρ καὶ τοῦτο.

Κηδὰρ δὲ, χώρα τίς ἐστι παρακειμένη Βαβυλωνίοις, οἰκήτορας ἔχουσα βδελυροὺς, ἐν οἷς καὶ αὐτοὺς οἱ Βαβυλώνιοι σκηνοῦν ἔταξαν. Ἐπεὶ δὲ Κηδὰρ Jer 30.23-28 σκοτασμὸς ἑρμηνεύεται, εἰκότως θρηνοῦσιν οἱ κατασκηνοῦντες ἐν τοῖς σκηνώμασι τοῦ σκοτασμοῦ. Σκηνώματα δὲ σκοτασμοῦ, ἡ ἐν τοῖς πάθεσι διατριβὴ, τοῖς σκοτίζουσι τὸν νοῦν.

6 Πολλὰ παρῴκησεν ἡ ψυχή μου.

Πολλὰ ἔτη, πολὺν καιρόν παρῴκησεν ἐν τῇ αἰχμαλωσίᾳ.

7α Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός.

Μετὰ τῶν φιλονείκων ἐκείνων, τῶν τῆς Κηδὰρ, εἰρήνευον, οὐκ ἀνθιστάμενος αὐτοῖς περὶ βιωτικοῦ τινος πράγματος, ἀλλὰ παραχωρῶν, ὡς αἰχμάλωτος.

Παιδεύει δὲ καὶ ἡμᾶς ὁ λόγος, τοιούτους γίνεσθαι, καὶ μετὰ πάντων εἰρηνεύειν· εἰ γὰρ μετὰ τῶν μισούντων τὴν εἰρήνην, πολλῷ μᾶλλον, μετὰ τῶν ἀγαπώντων αὐτήν. Ἐσόμεθα δὲ τοιοῦτοι, ἐὰν ὡς ξένοι διατρίβωμεν, ἐὰν ὡς πάροικοι πολιτευώμεθα, μὴ σφόδρα τῶν παρόντων ἀντεχόμενοι, μηδ᾽ ὡς παραμένουσι προσέχοντες τούτοις.

7β Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Ὅταν ἐλάλουν αὐτοῖς εἰρηνικὰ, ἐπολέμουν με μάτην, μηδεμίαν ἀφορμὴν ἔχοντες, καὶ οὐδὲ τότε ἐφείδοντο· ἐγὼ δὲ καὶ οὕτως εἰρήνευον.

120 ρκʹ

1α Ὠιδὴ, ὁμοίως. Ps 119.1α

1β Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Αὕτη ἡ ᾠδὴ προφητεύει ἃ ἔλεγον, ἀρξάμενοι ἀναβαίνειν.

Ὄρη δὲ λέγει, τοὺς οὐρανοὺς, διὰ τὸ ὕψος. Ἐκεῖθεν γὰρ ἤλπιζον ἐλθεῖν αὐτοῖς τὴν συνήθη βοήθειαν, παραπέμπουσαν ἀβλαβεῖς. Εἶτα καὶ σαφηνίζει τὸν λόγον.

2 Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Τοῦ ἀληθῶς Κυρίου· ἴδιον γὰρ Θεοῦ, τὸ δημιουργικόν.

Καὶ ἡμῖν οὖν, ἐὰν ἄρωμεν τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς εἰς τὸν οὐρανὸν, ἀποστήσαντες αὐτοὺς τῶν γηΐνων πραγμάτων, ἡ βοήθεια παρὰ Κυρίου ἔσται.

3 Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξαι ὁ φυλάσσων σε.

Τοῦτο, φιλαδελφίας· ἕκαστον ἑκάστου ὑπερεύχεσθαι.

Μὴ δῴης εἰς παρατροπὴν τὸν πόδα σου, μηδὲ παρατραπείη τῆς εὐθείας, ἥτις ἐστὶν ἡ ἐνάρετος ὁδός· μηδὲ διὰ τοῦτο νυστάξαι ὁ φυλάσσων σε Θεὸς, μὴ διὰ τοῦτο ῥαθυμῆσαι περὶ τὴν φυλακήν σου, ὡς ἐξ ἀπροσεξίας ὀλισθήσαντος.

Ἢ μὴ δῴης εἰς σαλευόμενα καὶ ὀλισθηρὰ πράγματα τὴν πορείαν σου, ἀλλ' ἐπιβαίνοις τρίβου ἀσφαλοῦς, ἥτις ἐστὶν ἡ ἔννομος, εὐθυπορεῖν σε παρασκευάζουσα.

4 Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

Εἰ ἀπέχεται δηλονότι τῶν ὀλισθηρῶν, εἰ ἀσφαλῶς βαίνει, οὔτε ῥαθυμήσει, οὔτε ἀμελήσει· Ἰσραὴλ δὲ, καὶ ἡμεῖς, νέος, ὡς πολλάκις εἰρήκαμεν.

Ζήτησον δὲ καὶ ἐν τῷ μγ′ ψαλμῷ τὸ, *Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, Κύριε;* Ps 43.24α-β

5 Κύριος φυλάξει σε, | Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου.

Κύριος φυλάξει σε, οὕτως βαδίζοντα· Κύριος σκέπη σοι παρὰ τὴν δεξιάν σου χεῖρα, τουτέστι, παραστάτης, σκεπαστὴς — παρὰ ταύτην γὰρ ὁ ὑπερασπίζων ἵσταται· ἢ σκέπη σοι ἐπὶ πράξεις δεξιάς σου, σκέπων σε, πράττοντα ἀγαθά· ἢ σκέπη σοι, διὰ πράξεις σου δεξιάς.

6 Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.

Τοσαύτην σου ποιήσεται πρόνοιαν, ὡς μηδὲ ταῦτα ἐᾶσαι παρενοχλῆσαί σοι. Πρὸς ἔμφασιν δὲ τοῦτο τῆς ἄκρας εἶπεν ἐπιμελείας· εἰκὸς δὲ αὐτοὺς καὶ τοιαύτης ἀπολαῦσαι χάριτος.

Συγκαίειν δὲ λέγουσι καὶ τὴν σελήνην τὰ σώματα, οὐ μόνον ὑγρὰν οὖσαν, ἀλλὰ καὶ θερμήν· ἢ ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη βλάψει δηλονότι.

7 Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.

Πολλάκις τοῦτο λέγει, βεβαιῶν τὸν λόγον καὶ προτρεπόμενος εἰς τὸ βαίνειν ὀρθῶς, πόθῳ τῆς ἐκ Θεοῦ φυλακῆς· ἢ φυλάξει τὸ σῶμά σου ἀπὸ παντὸς κινδύνου, καὶ τὴν ψυχήν σου.

3[1] *νυστάξαι* PS[A corr.]BF : *νυστάξει* MC[A] : *νυστάξῃ* V[TRa].

8α Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου.

Τὴν ἀναστροφήν σου, τὴν πολιτείαν σου, τὸν βίον σου.

8β Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Καὶ εἰς τὸ ἑξῆς· ἢ καὶ ἕως τοῦ αἰῶνος τῆς ζωῆς σου.

121 ρκα´
1α Ὠιδὴ, ὁμοίως.

1β Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, Εἰς οἶκον Κυρίου πορευσόμεθα.

Τοῦτο ἔλεγον, ὁδεύοντες καὶ προκόπτοντες μετὰ περιχαρείας.

2 Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἰερουσαλήμ.

Ἀκουσάντων ἡμῶν, εὐθὺς ἑστῶτες ἦσαν ἐν ταῖς αὐλαῖς σου τῇ δοκήσει· ἐδόξαμεν γὰρ ἑστάναι ἐν αὐταῖς, οὕτω τῆς σφοδρᾶς ἐπιθυμίας φαντασθῆναι παρασκευασάσης.

3α Ἰερουσαλὴμ, οἰκοδομουμένη ὡς πόλις.

Ὦ Ἰερουσαλὴμ, ἡ οἰκοδομουμένη πάλαι, ὡς πόλις κυρίως.

3β Ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

Καθ' ἕτερον δὲ ἑρμηνευτὴν, ἧς ἡ συνάφεια ὁμοῦ, τουτέστιν, ἧς τὰ μετόχια, τὰ συναφῆ οἰκοδομήματα, ὁμοῦ, διὰ τὸ πλῆθος τῶν ἐνοικούντων.

4α Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ Κυρίου.

Τοῦτο, μέγιστον ἐγκώμιον αὐτῆς ποιεῖται. Οὐχ οὕτω γὰρ ἐκοσμεῖτο τῷ μεγέθει καὶ τοῖς οἰκοδομήμασιν, ὡς τῷ πάσας τὰς φυλὰς τοῦ Ἰσραὴλ ἐκεῖ συλλέγεσθαι τρὶς ἑκάστου ἔτους, ἐν ταῖς δημοτελέσι πανηγύρεσιν, ἐν τῷ Πάσχα, ἐν τῇ Πεντηκοστῇ, καὶ ἐν τῇ Σκηνοπηγίᾳ. Ex 23.14-16

Ἐκεῖ γὰρ, φησὶν, ἀνέβησαν πάλαι πρὸ τῆς αἰχμαλωσίας, ἐκεῖ συνελέγοντο. Φυλὰς δὲ Κυρίου ταύτας ὠνόμασεν, ὡς λαὸν αὐτοῦ, ὡς ὑπ' αὐτοῦ τεταγμένας.

4β Μαρτύριον τῷ Ἰσραήλ.

8α Add. [MPF in marg.]BV: Ἤτοι τήν τε εἰς τὸν βίον τοῦτον εἴσοδον, καὶ τὴν ἐξ αὐτοῦ ἔξοδον· ἢ καὶ πάντα τὸν βίον· ἐν εἰσόδοις γὰρ οὗτος καὶ ἐξόδοις καθορᾶται. : om. SC.
1β[1] εὐφράνθην SV[TRa] : ηὐφράνθην MPCBF. 1β[1] πορευσόμεθα MV[TRa] : πορευσώμεθα PSCAF.

Ἀπόδειξις τῷ λαῷ τῆς περατωθείσης ὑποσχέσεως τοῦ Θεοῦ, ὅτι καὶ ἐπληθύνθη τὸ σπέρμα τοῦ Ἀβραὰμ καὶ τὴν γῆν τῆς ἐπαγγελίας ἐκληρονόμησεν.

Ἢ διαμαρτυρία τῷ λαῷ· διεμαρτύρατο γὰρ αὐτῷ ὁ Θεὸς, ἐκεῖ συλλέγεσθαι κατὰ τοὺς εἰρημένους καιρούς. Ἡ δὲ σύνταξις οὕτως· ἐκεῖ ἀνέβησαν φυλαὶ, καὶ τὰ ἑξῆς, περιττεύοντος τοῦ, γάρ· ἀνέβησαν φησὶ, διαμαρτυρία καὶ κέλευσις, ἤγουν κατὰ κέλευσιν θείαν.

4γ Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου.

Ἐπὶ τῷ εὐχαριστῆσαι διὰ τῆς νενομοθετημένης λατρείας.

5α Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν.

Ἰδοὺ καὶ ἄλλο τῆς Ἰερουσαλὴμ ἐγκώμιον. Ἐκεῖ γὰρ, φησὶν, ἱδρύθησαν θρόνοι βασιλείας εἰς τὸ κρίνειν τὸν λαόν. |

5β Θρόνοι ἐπὶ οἶκον Δαυίδ.

Ἐν τῷ οἴκῳ Δαυὶδ, ἐν τοῖς ἀνακτόροις Δαυίδ.

Ἢ τὸ πρῶτον μὲν, θρόνοι ἱερέων, τὸ δεύτερον δὲ, θρόνοι βασιλέων.

6α Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἰερουσαλήμ.

Προσαγορεύσατε αὐτὴν εἰρηνικὰ, ὅτι εἰρήνη σοι, εἰρήνη τῷ λαῷ σου· τοῦ λοιποῦ γὰρ εἰρήνην ἕξει βαθεῖαν καὶ χαράν. Ἕτερος γὰρ ἑρμηνεὺς, ἀσπάσασθε αὐτὴν, εἶπε.

6β Καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε.

Καὶ εὐθηνήσουσιν οὐχ οἱ πολῖταί σου μόνον, ἀλλὰ καὶ τῶν πέριξ ἐθνῶν οἱ ἀγαπῶντές σε. Προφητεία δὲ καὶ τοῦτο.

7α Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου.

Καθ' ἕτερον δὲ ἑρμηνευτὴν, γένοιτο ἢ γενήσεται. Δύναμιν δὲ αὐτῆς λέγει, τοὺς στρατιώτας αὐτῆς, ὧν εἰρήνη, τὸ μὴ μάχεσθαι, μηδ' ἔχειν πολέμιον.

7β Καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.

Ἕτερος δέ φησι, Καὶ πλοῦτος ἐν τοῖς βασιλείοις σου· ἄλλος δὲ, Ἐν τοῖς περιβόλοις σου. Πυργόβαρις γὰρ, τὸ ὀχυρώτατον τείχισμα.

[4β][5] διαμαρτυρία καὶ κέλευσις MPSCBF : διὰ μαρτύρια καὶ κέλευσιν V.

8 Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ.

Τοῦτο πρὸς αὐτὴν ὁ προφήτης φησίν· ὅτι διὰ τοὺς συγγενεῖς μου τοὺς Ἰσραηλίτας, διὰ τὰς φυλὰς τοῦ Ἰσραὴλ, ηὐχόμην εἰρήνην ὑπὲρ σοῦ, ἵνα, ἐν εἰρήνῃ διάγοντες, λατρεύωσι καὶ εὐχαριστῶσι Θεῷ.

9 Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

Διὰ τὸν ναὸν τοῦ Θεοῦ τὸν ἐν σοὶ ἐξητησάμην σοι γαλήνην καὶ εὐετηρίαν, ἵνα τὴν οἰκείαν ἀπολάβῃς εὐπρέπειαν, καὶ τὴν νενομισμένην λατρείαν.

122 ρκβʹ
1α Ὠιδὴ, ὁμοίως.

1β Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.

Καὶ οὗτοι, ἔτι ὁδευόντων οἱ λόγοι. Κατοικεῖν δὲ ὁ Θεὸς ἐν τῷ οὐρανῷ λέγεται, ὡς ταῖς ἐκεῖ καθαραῖς καὶ ἁγίαις δυνάμεσιν ἐπαναπαυόμενος· καὶ γὰρ καὶ περὶ τῶν ἐπὶ γῆς ἁγίων εἴρηκεν, *Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω.* 2Cor 6.16

2 Ἰδοὺ, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς.

Διὰ τοῦ τοιούτου παραδείγματος τῶν δούλων καὶ τῆς δούλης, τοῦτο δηλοῦσιν, ὅτι καὶ πρὸς αὐτὸν ὁρῶσι καὶ διηνεκῶς, καὶ οὐδαμόθεν ἑτέρωθεν ἔχουσιν ἀντιλήψεως ἐλπίδα, καὶ οὐκ ἀποστήσονται ἕως οἰκτηρηθῶσι. Τὸ δὲ, *οἰκτηρήσαι*, εὐκτικὸν μὲν ἔχει σχῆμα, σημασίαν δὲ μέλλοντος, ἀντὶ τοῦ, *οἰκτηρήσῃ*.

Τινὲς δέ φασι προσπαρειλῆφθαι τὸ παράδειγμα τῆς δούλης εἰς ἐπίτασιν διαθέσεως· πλέον γὰρ τῶν δούλων αἱ δοῦλαι τοῦτο ποιοῦσιν, ὡς ἀσθενέστεραι.

3 Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως.

Φαυλισμοῦ, ὀνειδισμοῦ, παρά τε τῶν αἰχμαλωτευσάντων καὶ τῶν γειτονούντων ἡμῖν πονηρῶν, ἐφηδομένων ταῖς συμφοραῖς ἡμῶν, ἢ τῶν ἄλλων ἐθνῶν, δι᾽ ὧν ἐβάδιζον.

Θερμότητος δὲ, ὁ διπλασιασμὸς τοῦ, *ἐλέησον*. Ἱκετεύουσιν οὖν ἐλεηθῆναι διὰ τοῦτο, καὶ τάχιον ἀποκαταστῆναι εἰς τὴν πατρίδα.

4α Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν.

8[4] Θεῷ MPS[2]BF : τῷ Θεῷ CV. 2[7] οἰκτειρήσῃ MS[2]CBFV : οἰκτειρήσει P.

Τῆς εἰρημένης ἐξουδενώσεως.

4β Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Ἀντιστραφείη δηλονότι εἰς ταπείνωσιν καὶ παίδευσιν αὐτῶν, ἵνα μὴ διὰ τὸ εὐπραγεῖν καὶ ὑπερη | φανεύεσθαι κατεπαίρωνται τῶν δυσπραγούντων καὶ τεταπεινωμένων.

Ἁρμόζει δὲ ὁ ψαλμὸς καὶ τοῖς ὁδεύουσι πρὸς τὴν ἄνω Ἰερουσαλὴμ, καὶ ἐπηρεαζομένοις ὑπὸ ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν.

123 ρκγʹ
1α Ὠιδὴ, ὁμοίως.

1β-3α Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραὴλ, εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ᾽ ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς.

Ταῦτα ἤδη ἐπανελθόντων εἰς τὴν πατρίδα τὰ ῥήματα. Εὐχαριστοῦντες γὰρ, παρακελεύονται τῷ λαῷ λέγειν, ὅτι ἐν τῷ ἐπαναστῆναί τινας καθ᾽ ἡμῶν ἐπανελθόντων — τὰ πλησιόχωρα γὰρ ἔθνη τούτοις ἐπεστράτευσαν, μήπω τειχισθείσης τῆς Ἰερουσαλὴμ — εἰ μὴ διότι Κύριος ἦν ἐν ἡμῖν ἐῤῥύσθημεν, ἄρα 2Esdr 14.1-2
ζῶντας ἂν κατέπιον ἡμᾶς ὑπὸ φθόνου. Ἐμφαίνει δὲ ὁ λόγος τὴν ἄγαν ταχυτῆτα τῆς πανωλεθρίας. Τινὲς δὲ τὸ, ὅτι, παρέλκον ἑρμηνεύουσιν.

3β-4α Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ᾽ ἡμᾶς, ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς.

Ὕδωρ λέγει, τὴν ῥύμην αὐτῶν καὶ σφοδρὰν κίνησιν, ὀργισθέντων διότι πάλιν ἀπέλαβον τὴν πατρίδα. Τὸ δὲ, ἄρα, συλλογιστικὸν, ἀντὶ τοῦ, λοιπὸν ἢ ὄντως.

4β Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν.

Χειμάῤῥῳ παρεικάζει τὴν ὀξεῖαν καὶ ἄτακτον καὶ πᾶν τὸ προστυχὸν παρασύρουσαν καὶ πρόσκαιρον φορὰν αὐτῶν, ὥσπερ καὶ ἀνωτέρω, ὕδατι. Διῆλθε δὲ, ἀντὶ τοῦ, διεπέρασε· διέφυγεν ἡ ψυχὴ ἡμῶν, ἤγουν ἡμεῖς, ἀπὸ μέρους τὸ ὅλον.

5 Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.

Ὄντως διεπεράσαμεν· ἐν ἀσφαλεῖ γεγόναμεν.

6 Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.

1β[5] τούτοις ἐπεστράτευσαν PSCF : τούτων ἐπεστράτευσαν MBV.

Διὰ τῶν ὀδόντων, τὴν θηριωδίαν καὶ δύναμιν αὐτῶν ἐνέφηνε, μονονουχὶ καταπιεῖν ζῶντας γλιχομένων.

7 Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν.

Ὥσπερ ἐκείνων ἐνέφηνε τὴν ἰσχὺν καὶ θηριωδίαν, θυμῷ καὶ δυνάμει καθωπλισμένων, οὕτω καὶ τὴν τούτων ἀσθένειαν. Ἀσθενὲς γὰρ καὶ εὐάλωτον τὸ στρουθίον. Παγίδα δὲ λέγει, τὰς ἐνέδρας καὶ τὰς μηχανὰς, αἳ συνετρίβησαν καὶ διελύθησαν.

8 Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Οὐκ ἐν ἅρμασι καὶ ἵπποις καὶ τοιαύτῃ δυνάμει, ὡς καὶ ἐν τῷ ιθʹ ψαλμῷ
προείρηται, ἀλλ' ἐν τῷ ὀνόματι Θεοῦ, τοῦ ὄντως Θεοῦ, ἐν τῷ ὀνομάζειν καὶ ἐπι- Ps 19.8α-β
καλεῖσθαι αὐτόν· ἢ ἐν τῷ Κυρίῳ, κατὰ περίφρασιν.

Ἁρμόζει δὲ ὁ ψαλμὸς καὶ πᾶσι τοῖς κατὰ θείαν πρόνοιαν ἐλευθερουμένοις πειρασμοῦ.

124 ρκδʹ
1α Ὠιδὴ, ὁμοίως.

1β Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών.

Ἀκόλουθα τοῖς προλαβοῦσι τὰ τοῦ παρόντος ψαλμοῦ, καὶ ὑπὲρ τῆς ἀπαλλαγῆς τῶν πολεμίων εὐχαριστήρια.
Ὡς τὸ ὄρος τὸ Σιὼν, ἀπερίτρεπτοι, ἀκαθαίρετοι, ἀσφαλεῖς.

1γ Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἰερουσαλήμ.

Οὐ περιτραπήσονται, οὐκ ἐκπεσοῦνται οἱ κατοικοῦντες Ἰερουσαλήμ· εἰς τὸν αἰῶνα, ἀντὶ τοῦ, παρ' ὅλον τὸν αἰῶνα τὸν ἀφωρισμένον. Κυρίως δὲ λέγει περὶ τῶν κατοικούντων τὴν ἄνω Ἰερουσαλήμ· ἐκεῖνοι γὰρ οὐδέποτε σαλευθήσονται.

2 Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἔχει μὲν, φησὶ, καὶ τὴν ἀπὸ τῶν πέριξ ὀρέων ἀσφάλειαν, ἔχει δὲ, καὶ τὴν ἀπὸ τοῦ Κυρίου φυλακὴν, | καὶ μάλιστα ταύτην. Διὸ καὶ οἱ κατοικοῦντες αὐτὴν οὐ σαλευθήσονται· ἕως δὲ τοῦ αἰῶνος, τοῦ ὁρισθέντος, ὡς εἴρηται, εἰς σωτηρίαν αὐτῆς.

3α Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων.

Αἰτίαν λέγει τῆς ἐκ Θεοῦ φυλακῆς. Ἁμαρτωλοὺς δὲ λέγει, τοὺς ἀσεβεῖς καὶ παρανόμους, ὁποῖοί εἰσι καὶ οἱ δαίμονες· ῥάβδον δὲ αὐτῶν, τὴν βασιλείαν αὐτῶν ἢ τὰ ὅπλα· δικαίους δὲ, τοὺς ἐννόμως βιοῦντας.

3β Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν.

Ἵνα, τοιαύτης ἀπολαύοντες παρὰ Θεοῦ φυλακῆς, μὴ ἅψωνται παρανομίας, ἀλλὰ θεραπεύωσι τὸν εὐεργέτην.

4 Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.

Εἰς εὐχὴν τὸν λόγον ὁ προφήτης κατέκλεισε, λέγων, Ἀγαθὰ ποίησον, Κύριε, ἀγαθὰ δὸς τοῖς ἀγαθοῖς ἀνθρώποις καὶ τοῖς ἀδιαστρόφοις τὴν καρδίαν, τοῖς ἀδόλοις καὶ ἀπονήροις.

5α Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Εἰς διεστραμμένα, εἰς σκολιότητας· τοὺς τοιούτους ἀπάξει εἰς κόλασιν, παραδώσει τιμωρίᾳ, ἢ ἀπώσεται, ὡς ἴσους τοῖς παρανόμοις.

5β Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Εἴη δηλονότι.

Ἁρμόζει δὲ καὶ οὗτος ὁ ψαλμὸς τοῖς κατοικοῦσι τὴν ὑψηλὴν καὶ ἀκαθαίρετον Ἐκκλησίαν, ἧς κύκλῳ, οἱ ὑψηλοὶ διδάσκαλοι, τειχίζοντες αὐτὴν καὶ φυλάττοντες, καὶ ὁ Χριστὸς κύκλῳ τοῦ λαοῦ αὐτοῦ.

125 ρκε´

1α Ὠιδὴ, ὁμοίως.

1β Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.

Καὶ οὗτος ὁ ψαλμὸς, ἀκόλουθα τῷ πρὸ αὐτοῦ φθέγγεται, ἐπιστροφὴν μὲν λέγων, τὴν εἰς τὴν πατρίδα Σιὼν ἀποκατάστασιν τῶν τέκνων αὐτῆς· οὗτοι γὰρ ἡ αἰχμαλωσία αὐτῆς· παράκλησιν δὲ, τὴν ἀνάκτησιν καὶ ψυχαγωγίαν. Ἐπιστραφέντες, φησὶν, εἰς τὴν πατρίδα, ἐγενόμεθα λίαν παρακεκλημένοι.

4[2] ἀγαθὰ ποίησον MPSBFV : ἀγαθοποίησον C.

Τὸ γὰρ, ὡσεὶ, ἐπίτασίς ἐστι τῆς παρακλήσεως, ὡς τὸ, Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ· ἢ ἐγενήθημεν ὥσπερ οἱ παρακεκλημένοι, τουτέστιν, ἐν εὐθυμίᾳ. Ps 72.1β

2α Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν.

Χαρμοσύνων ῥημάτων, δηλούντων τὴν χαρὰν τῆς ψυχῆς.

2β Καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως.

Τὸ αὐτὸ λέγει. Προαγορεύει δὲ τὰ μέλλοντα, ὡς ἤδη γενόμενα.

2γ Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν.

Ἐροῦσιν οἱ ἐν τοῖς ἔθνεσιν, ἢ ἁπλῶς ἐροῦσι τὰ ἔθνη, ἑωρακότα τὴν παράδοξον ἀποκατάστασιν ἡμῶν καὶ θαυμάσαντα.

2δ Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ᾽ αὐτῶν.

Ἐροῦσιν ὅτι ἐμεγαλούργησεν ὁ Θεὸς διὰ τοῦ ποιῆσαι ἔλεος ἐν αὐτοῖς, περὶ ἡμῶν ταῦτα λέγοντες.

Εἶτα τρέπει τὸν λόγον προσώπῳ τῶν τὰ προῤῥηθέντα λεγόντων.

3α Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ᾽ ἡμῶν.

Ὄντως ἐμεγαλούργησεν, ὡς εἰρήκατε. Ἰδίωμα δὲ καὶ τοῦτο τῆς Ἑβραΐδος, τὸ λέγειν, ἐποίησε μετὰ τοῦ δεῖνος· λείπει γὰρ τὸ, ἔλεος.

3β Ἐγενήθημεν εὐφραινόμενοι.

Ὅτι τε ἀπεκατέστημεν εἰς τὴν πατρίδα καὶ ὅτι ἐγνώσθη τοῖς πέριξ ἔθνεσιν ἡ τοῦ Θεοῦ ἡμῶν δύναμις.

4 Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ.

Περὶ τῶν ἐναπομεινάντων τῇ αἰχμαλωσίᾳ λοιπὸν ἡ δέησις· πολλοὶ γὰρ ὑπελείφθησαν, οὓς καὶ αὐτοὺς ἐπανελθεῖν ἱκετεύουσιν.

Ἐπίστρεψον, Κύριε, τὴν ὑπολειφθεῖσαν αἰχμαλωσίαν ἡμῶν, οὕτως ὠθῶν καὶ κατεπείγων αὐτὴν, ὡς τοὺς χειμάῤῥους | διὰ τοῦ Νότου· οὗτος γὰρ ὁ ἄνεμος, τήκων τὰς παχύτητας τῶν νεφῶν καὶ ὑετοὺς κατάγων, κινεῖ τοὺς χειμάῤῥους μετὰ πολλῆς ῥύμης καὶ σφοδρότητος.

Ἢ ὡς χειμάῤῥους εἶπεν, εὐχόμενος χειμάῤῥοις αὐτὴν φέρεσθαι παραπλησίως,

ἵνα καὶ ταχέως παυθῇ, πᾶσα ἐκκενωθεῖσα, μηδενὸς ἔτι ὑπολειφθέντος ἐν Βαβυλῶνι· ταχέως γὰρ οἱ χείμαῤῥοι ξηραίνονται.

Ἢ Νότον λέγει, τὴν Ἰερουσαλὴμ, οὕτω πολλάκις ὑπὸ προφητῶν καλουμένην, ὡς ἐν τῷ Νότῳ κειμένην. Ἐπίστρεψον αὐτὴν, φησὶν, ἐν τῷ Νότῳ, ἤγουν εἰς Ἱεροσόλυμα.

5 Οἱ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσιν.

Οἱ σπείροντες ἐλπίδα σωτηρίας ἐν δάκρυσιν ἱκεσίας, ἐν ἀγαλλιάσει θεριοῦσι τὸν καρπὸν αὐτῆς, ὅστις ἐστὶν ἡ ἀπαλλαγὴ τοῦ πιέζοντος.

Καθολικὸς δὲ ὁ λόγος, πᾶσι τοῖς ἐν τοῖς πειρασμοῖς ἁρμόζων.

6α Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν.

Ἀπὸ τοῦ καθολικοῦ πρὸς τὸ μερικὸν μετέβη, περὶ τῶν ἐν τῇ αἰχμαλωσίᾳ λέγων, ὅτι πορευόμενοι εἰς τὴν αἰχμαλωσίαν, ἐπορεύοντο καὶ ἔκλαιον, σπείροντες, ὡς εἴρηται, τὴν ἐλπίδα.

6β Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.

Ἐπανερχόμενοι δὲ ἐκεῖθεν, ἥξουσιν ἐν ἀγαλλιάσει, κομιζόμενοι τὸ θέρος, ἤτοι τὸν εἰρημένον καρπὸν τῆς καταβληθείσης ἐλπίδος.

Ὥσπερ γὰρ τὸ σπέρμα τοῦ σίτου δεῖται ὑετῶν, οὕτω καὶ τὸ σπέρμα τῆς ἐλπίδος χρῄζει δακρύων εἰς καρπογονίαν. Καὶ καθάπερ ἡ ἄρουρα χρείαν ἔχει τοῦ τέμνεσθαι καὶ ἀναῤῥήγνυσθαι, οὕτω καὶ ἡ ψυχὴ δεῖται πειρασμῶν καὶ θλίψεων, ἵνα μαλαχθῇ τὸ σκληρὸν αὐτῆς, καὶ μὴ βλαστήσῃ ἀκάνθας καὶ τριβόλους καὶ τοιαύτας ἄλλας βλαβερὰς βοτάνας.

126 ρκϛʹ

1α Ὠιδὴ, ὁμοίως.

1β Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.

Ἐπανελθόντες οἱ ἐν αἰχμαλωσίᾳ, καὶ οἰκοδομεῖν ἀρξάμενοι τὸν ναὸν καὶ τὴν πόλιν αὐτῶν, ἐκωλύοντο παρὰ τῶν γειτονούντων ἐθνῶν, φθονούντων ἅμα καὶ δεδοικότων τὴν ἐσαῦθις εὐημερίαν αὐτῶν. Καὶ πολὺς ἐτρίβη χρόνος ἄχρι καὶ τεσσαρακονταετίας, τῶν μὲν προθύμως ἐπιχειρούντων κτίζειν, τῶν δὲ πᾶσι τρόποις ἐμποδιζόντων. Οὓς παιδεύων ὁ προφήτης ἐπὶ τὸν Θεὸν καταφεύγειν καὶ αὐτὸν ἐπικαλεῖσθαι συνεργὸν, ταῦτα διέξεισιν· Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον διὰ συνεργίας τῆς παρ' αὐτοῦ, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Ἀνεβάλλετο δὲ ἐν τοσούτοις ἔτεσιν τὴν συνεργίαν, ἵνα κατὰ μικρὸν ἀφυπνίζωνται, καὶ μὴ τῇ

2Esdr 4.4 2Esdr 3.8, 6.15

ἀνέσει ῥαθυμότεροι γένωνται, καὶ πρὸς τὴν προτέραν πάλιν δρομήσωσι πονηρίαν, τῇ ταχίστῃ τῶν κακῶν ἀπαλλαγῇ.

Ἔλαβε μὲν οὖν ὁ λόγος οὗτος τὴν ἀρχὴν ἀπὸ τῆς ὑποθέσεως ταύτης, εἴρηται δὲ καθολικώτερον, ἁρμόζων ἐπὶ πᾶσι λέγεσθαι πράγμασιν.

1γ Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

Καὶ τί λέγω περὶ οἰκοδομῆς; Ἀλλ' οὐδὲ οἰκοδομηθεῖσαν καὶ ἀπαρτισθεῖσαν πόλιν φυλάξαι δυνήσεταί τις, μὴ συνεργοῦντος ἐκείνου.

2α Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν, ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης.

Λοιπὸν, ὦ οἱ ἐσθίοντες ἄρτον ὀδύνης, οἱ μηδὲ τὸν ἄρτον χωρὶς ὀδύνης ἐσθίοντες, | οἱ ζῶντες ἐν θλίψεσιν, εἰς μάτην ὑμῖν γίνεται τὸ ὀρθρίζειν εἰς τὴν οἰκοδομὴν, καὶ ἐγείρεσθαι εὐθὺς μετὰ τὸ καθῆσθαι, καὶ ταχύνειν εἰς τὸ ἔργον, καὶ μήτε ἐν νυκτὶ ὕπνου κορέννυσθαι, μήτε ἐν ἡμέρᾳ ἀπολαύειν ἀνέσεως.

Ὀδυνηροὺς δὲ αὐτοὺς εἶπε, διά τε ταῦτα καὶ διότι οὐ μόνον ἐκοπίων οὕτως, ἀλλὰ καὶ πρὸς τοὺς ἐχθροὺς ἐμάχοντο, καὶ ᾠκοδόμουν ὡπλισμένοι, καὶ ἔκτιζον ἅμα καὶ ἐπολέμουν τοῖς διακωλύουσι, καὶ διπλῆν ὑφίσταντο ταλαιπωρίαν.

2β-3α Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον, ἰδοὺ ἡ κληρονομία Κυρίου, υἱοί.

Ὅταν ὁ Θεὸς δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον ἡδὺν, ὕπνον φροντίδος ἀπηλλαγμένον, ἤγουν ἄνεσιν καὶ ἐλευθερίαν τῶν ἐνοχλούντων — δίδωσι δὲ ταύτην ὅτε συμφέρει — τότε οὐ μόνον οἰκοδομηθήσεται καὶ ὁ ναὸς καὶ ἡ πόλις, ἀλλὰ καὶ υἱοὶ ὑμῖν ἔσονται, ὁ κλῆρος Κυρίου· κλῆρος γὰρ αὐτοῦ χρηματίσουσι καὶ λαὸς οἰκεῖος. Ὡς κεφάλαιον δὲ τῶν ἀγαθῶν τοῦτο τέθεικε· περισπούδαστον γὰρ Ἑβραίοις, ἡ παιδοποιΐα.

Ἀλλ' οὕτω μὲν εἰδικῶς περὶ αὐτῶν. Καθολικώτερον δὲ εἰπεῖν, ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον, ὡς προειρήκαμεν, τότε οὐ μόνον τὰ σπουδαζόμενα ἀπαρτίζονται, ἀλλὰ καὶ ἀδιάδοχοι προσγίνονται υἱοί· ἡ κληρονομία ἡ παρὰ Κυρίου, κληρονόμοι τῆς σπουδῆς καὶ ἀρετῆς οἱ παρὰ Κυρίου δοθέντες.

3β Ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.

Ὁ μισθὸς τῆς θεοσεβείας, ὁ ἀπὸ τῆς καρπογονίας τῆς γαστρὸς, ἡ ἀμοιβὴ τῆς ἀρετῆς, ἡ ἀπὸ τῆς πολυτοκίας δοθεῖσα.

4 Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.

3β Add. [MF in marg.]BV : Κατὰ ἀναγωγὴν δὲ, οἱ υἱοθετηθέντες τῷ Θεῷ διὰ τοῦ βαπτίσματος τῆς παλιγγενεσίας, μισθοὶ ἦσαν τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ, ὅς ἐστι κυρίως καρπὸς γαστρὸς τῆς Θεομήτορος, ὡς ἐκ μόνης αὐτῆς ἄνευ σπέρματος ἀνδρὸς γεννηθείς. : om. PSC.

Ὥσπερ τὰ βέλη ἐν τῇ χειρὶ τοῦ δυνατοῦ φαίνονται φοβερὰ διὰ τὴν ἐκείνου ῥώμην, οὕτως ἄρα καὶ οἱ υἱοὶ τῶν ἐκτετιναγμένων ἀπὸ τῆς αἰχμαλωσίας ἔσονται φοβεροὶ τοῖς ἐχθροῖς, διὰ τὴν ἄμαχον ἰσχὺν τοῦ Θεοῦ.

Τοιοῦτοι δὲ καὶ οἱ κατὰ πνεῦμα υἱοὶ τῶν ἀπὸ τῆς αἰχμαλωσίας τῶν δαιμόνων ἐκτετιναγμένων διδασκάλων ἡμῶν, φοβεροὶ τοῖς δαίμοσι.

5α Μακάριος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν.

Ἐξ αὐτῶν· ποίων; Δηλαδὴ, τῶν προειρημένων, ἤγουν ἐκ τοῦ ἀπαρτισθῆναι τὸν ναὸν καὶ τὴν πόλιν, ἐκ τοῦ δοθῆναι ἄνεσιν καὶ ἐλευθερίαν τῶν ἐνοχλούντων, ἐκ τῆς πολυτεκνίας, ἐκ τῆς καλλιτεκνίας, καὶ τῶν τοιούτων ἐκ Θεοῦ χαρίτων.

5β Οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

Οἱ πληρώσαντες τὴν ἐπιθυμίαν αὐτῶν ἐκ τούτων, ὡς εἴρηται, οὐ καταισχυνθήσονται ἐπὶ ἀσθενείᾳ τινι, ὅταν διαλέγωνται τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις τῆς πόλεως, πάντων αὐτοῖς εὖ ἐχόντων.

Ἢ οὐ καταισχυνθήσονται ἔτι, ὡς ἀσθενῆ Θεὸν ἔχοντες, ὅπερ ὠνειδίζοντο πρὸ τοῦ ἀπαρτισθῆναι τὴν πόλιν, ἀλλὰ μετὰ πολλῆς παῤῥησίας διαλεχθήσονται.

Ἔθος δὲ ἦν πρὸ τῶν πυλῶν τῆς πόλεως διαλέγεσθαι τοῖς τῶν ἐχθρῶν ἀγγελιαφόροις.

127 ρκζʹ

1α Ὠιδὴ, ὁμοίως.

1β Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον.

Ἀκολουθεῖ τῷ πρὸ αὐτοῦ καὶ οὗτος ὁ ψαλμός. Μακαρίσας γὰρ ἐκεῖ τὸν πληρώσαντα τὴν ἐπιθυμίαν αὐτοῦ, ὡς προδεδήλωται, νῦν καθολικώτερον καὶ τελεώτερον ποιεῖται τὸν μακαρισμόν. Μακάριοι γὰρ κυρίως καὶ ἀληθῶς, οἱ φοβούμενοι τὸν Κύριον. Τὸ, *πάντες*, δὲ προσέθηκεν, | ἐμφαίνων καὶ δούλους καὶ πένητας καὶ ἀναπήρους· τοῖς γὰρ φοβουμένοις τὸν Κύριον, οὐδὲν τῶν τοιούτων ἐμποδίζει πρὸς μακαρισμόν. Ὁ μὲν γὰρ μὴ φοβούμενος τὸν Κύριον, κἂν πάντα ἔχῃ τὰ παρ᾽ ἀνθρώποις ζηλωτὰ καὶ μακαριστὰ, πάντων ἐστὶν ἀθλιώτερος· ὁ δὲ φοβούμενος αὐτὸν, κἂν πάντα ἔχῃ τὰ παρ᾽ ἀνθρώποις ἀπευκτὰ καὶ βδελυκτὰ, πάντων ἐστὶ μακαριώτερος. Καὶ ἑτέρως δὲ, κάλλος καὶ ῥώμη καὶ πλοῦτος καὶ δόξα καὶ εὐπαιδία καὶ καλλιτεκνία καὶ τὰ τοιαῦτα οὐκ εἰσὶ κυρίως μακαριστὰ διὰ τὸ ἄστατον αὐτῶν καὶ ῥευστόν.

Εἶτα σαφηνίζει καὶ τίνες εἰσὶν οἱ φοβούμενοι τὸν Κύριον, λέγων·

1γ Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

Ταῖς νενομοθετημέναις, ταῖς ὑποδειχθείσαις διὰ τῶν ἐντολῶν.

2α *Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι.*

Διδάξας τίς ἐστι κυρίως μακάριος, καὶ δείξας τίς ἐστιν ὁ φοβούμενος τὸν Κύριον, κἀντεῦθεν τὸν λαὸν εἰς τὸ πορεύεσθαι ἐν ταῖς ὁδοῖς τοῦ Θεοῦ προτρεψάμενος, λοιπὸν τείνει τὸν λόγον πρὸς τὸν φοβούμενον τὸν Θεὸν, προφητεύων αὐτῷ ἀγαθά.

Τινὲς μὲν οὖν, καρποὺς, τὰς χεῖρας ἐνόησαν, ἀπὸ μέρους τὸ πᾶν — μέρος γὰρ τῆς χειρὸς, ὁ καρπὸς — ἑρμηνεύοντες, ὅτι τοὺς πόνους τῶν χειρῶν σου θρέψῃ, κερδανεῖς, μηδενὸς κωλύοντος· οὕτω γὰρ καὶ Ἀκύλας καὶ Σύμμαχος ἐκδεδώκασιν.

Ἕτεροι δὲ ἀντισημασίαν τὸ ῥητὸν τοῦτο κεκλήκασιν, ὡς τῶν πόνων μὲν ἐνταῦθα τοὺς καρποὺς σημαινόντων, τῶν καρπῶν δὲ, τοὺς πόνους, οἷον τοὺς καρποὺς τῶν πόνων σου φάγεσαι.

2β *Μακάριος εἶ.*

Εἰ φοβῇ τὸν Θεόν. Πάλιν δὲ τοῦτο λέγει, βεβαιῶν τὸν λόγον.

2γ *Καὶ καλῶς σοι ἔσται.*

Καὶ εὐπραγήσεις.

3α *Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου.*

Ὡς ἄμπελος εὐθηνοῦσα βότρυσιν, οὕτως εὐθηνοῦσα τέκνοις. Εὐθηνοῦσα δὲ, ἀντὶ τοῦ, κομῶσα, βρίθουσα. Κλίτη δὲ οἰκίας, τὰ μέρη, τουτέστιν, ἐν τῇ περιοχῇ τῆς οἰκίας σου.

Ἄλλος δὲ ἑρμηνεὺς, ἐν τοῖς ἐσωτάτοις τοῦ οἴκου σου, ἐξέδωκεν, ἤγουν ἐν τοῖς θαλάμοις, ἔνθα τὸ κλίνεσθαι πρὸς ἀνάπαυσιν.

3β *Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου.*

Εὐθαλεῖς, ὡς νεόφυτα ἐλαιῶν.

4 *Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.*

Τοιαύτης εὐλογίας ἀπολαύσει παρὰ Θεοῦ. Εὐλογία δὲ νῦν, τὴν χάριν καλεῖ, τὴν εὐεργεσίαν, ὡς εὐφημίας ἀξίαν.

Τί λέγεις, τοιαύτης χάριτος ἀπολαύσει; Ναὶ, φησὶ, πρὸς γὰρ ἐρῶντας ἔτι τοιούτων ἀγαθῶν διαλέγομαι. Ἄλλωστε δὲ, καὶ ἐκ περιουσίας ὁ λόγος, ὅτι μετὰ τῶν ἀϊδίων ἀγαθῶν, καὶ ταῦτα δώσει· *Ζητεῖτε γὰρ, φησὶ, τὴν βασιλείαν τῶν οὐρανῶν,*

2α[8] κεκλήκασιν PCAB : κεκλήσασιν MSF.

καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Mt 6.33

Κατὰ δὲ ἀναγωγὴν, γυνὴ μὲν τοῦ θεοσεβοῦς, ἡ σύζυγος ψυχὴ, κομῶσα ταῖς ἀρεταῖς ἐν τῷ σώματι· υἱοὶ δὲ αὐτοῦ, οἱ μαθηταὶ καὶ μιμηταὶ καὶ διάδοχοι τῆς θεοσεβείας, θάλλοντες ἐν αὐξήσει πνευματικῆς ἡλικίας καὶ κυκλοῦντες αὐτὸν, διδάσκοντα καὶ ἑστιῶντα αὐτοὺς ἐδέσμασι λογικοῖς.

5α Εὐλογήσαι σε Κύριος ἐκ Σιών.

Ἐπαινέσαι, χαριτώσαι· ὃν γὰρ ἀποδέχεται, ἐπαινεῖ, καὶ ὃν ἐπαινεῖ, χαριτοῖ. Κύριος δὲ, ὁ ἐν Σιὼν οἰκῶν, ἐν τῷ οἴκῳ τῷ ἐν Σιών. Ἐκεῖσε γὰρ οἰκεῖν ἐλέγετο διὰ τὸ ὁμιλεῖν ἐν τῷ ναῷ τοῖς ἱερεῦσι. Ex 25.22

5β Καὶ ἴδοις τὰ ἀγαθὰ Ἰερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

Ἀγαθὰ τῆς μὲν κάτω Ἰερουσαλὴμ, πλοῦτος | ἐν χρήμασι, δύναμις ἐν
στρατεύμασι, νῖκαι κατ᾽ ἐχθρῶν, δόξα παρὰ πᾶσι, καὶ τὰ τοιαῦτα· τῆς δὲ ἄνω, ἃ Isa 64.3
οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. 1Cor 2.9

6α Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου.

Αἰσθητῶς μὲν, διαδοχὰς γένους σου· ἀναγωγικῶς δὲ, διαδοχὰς τῆς εὐσεβείας σου, τούτου ἐκεῖνον διδάσκοντος καὶ πνευματικῶς ἀναγεννῶντος.

6β Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Τοῦτο εἶπε καὶ ἐν τῷ τέλει τοῦ ρκδ′ ψαλμοῦ. Ἰσραὴλ δὲ, οὐ μόνον ὁ παλαιὸς Ps 124.5β
λαὸς, ἀλλὰ καὶ ὁ νέος, ὡς διαφόρως εἰρήκαμεν. Εἰ δὲ διεκόπη τὰ τῆς εἰρήνης, ἀλλὰ
παρὰ τὴν αἰτίαν τῶν φανέντων ἀναξίων αὐτῆς. Καὶ γὰρ οὔτε ἀπειλοῦντος τοῦ
Θεοῦ χρὴ ἀπογινώσκειν, ἀλλὰ διὰ μετανοίας τὴν ὀργὴν ἀποκρούεσθαι, καθάπερ οἱ
Νινευῖται· οὔτε ἀγαθὰ ἐπαγγελλομένου προσήκει ἀναπίπτειν καὶ ῥαθυμεῖν, ἀλλὰ Jon 3.10
πλείονι ἐπιμελείᾳ βίου, εἰς ἔργον προκαλεῖσθαι τὰς ἐπαγγελίας. Καὶ γὰρ καὶ τῷ
Ἰούδᾳ ὁ Χριστὸς ἐπηγγείλατο ὅτι καθιεῖται ἐπὶ θρόνου καὶ αὐτὸς μετὰ τῶν ἄλλων
μαθητῶν καὶ κρινεῖ τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ, ἀλλ᾽ αὐτὸς διεκρούσατο τὴν Mt 19.28
ἐπαγγελίαν, ἀνάξιον αὐτῆς ἑαυτὸν παρασχόμενος.

128 ρκη′

1α Ὠιδὴ, ὁμοίως.

1β Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου.

Προσώπῳ τοῦ λαοῦ καὶ ταῦτα, πολλάκις πολεμηθέντος παρὰ τῶν πλησιοχώρων

ἐθνῶν, ὡς προείρηται, κωλυόντων τὴν οἰκοδομήν. Νεότητα δὲ λέγει, τὴν ἀρχὴν Ps 126.1β
τῆς ἀπὸ Βαβυλῶνος ἐπανόδου.

Εἰ δὲ περὶ τοῦ τῶν δαιμόνων πολέμου λάβῃς τὸ ῥητὸν, νεότητα νοήσεις, τὴν καθ' ἡλικίαν, εὐθὺς ἐκ πρώτης ἡλικίας ἐπιτιθεμένων ἡμῖν.

1γ-2α Εἰπάτω δὴ Ἰσραὴλ, πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου.

Εἰπάτω δὴ τοῦτο διαῤῥήδην, ὅπως γνῶσι πάντες ἀφ' οἵων κινδύνων ἐῤῥύσατο ἡμᾶς ὁ Θεός.

2β Καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι.

Οὐκ ἠδυνήθησαν ἐν ἐμοί· οὐ κατίσχυσάν μου τέλεον, τοῦ Θεοῦ μὴ συγχωροῦντος. Διὸ καὶ συνεχέστερον ἐπολέμουν μοι, ἐκτρῖψαί με φιλονεικοῦντες.

3α Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί.

Ἐπὶ τὸν νῶτόν μου κατεσκεύαζον τὰ κακὰ οἱ ἀσεβεῖς, οἱ πονηροὶ, τουτέστιν, οὐ μόνον ἔμπροσθέν μου, ἀλλὰ καὶ ὄπισθεν, οὐ μόνον φανερῶς, ἀλλὰ καὶ ἀφανῶς μηχανώμενοι· ἢ σύνεγγύς μου, ἢ καὶ αὐτῶν ἁπτόμενοι τῶν σαρκῶν μου.

3β Ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.

Ἐπὶ μακρὸν χρὸνον πολεμοῦντές μοι.

4α Κύριος δίκαιος.

Ὄντως δίκαιος, ἐμὲ μὲν πάσχειν παραχωρῶν, ἵνα σωφρονέστερος γένωμαι, ἐκείνους δὲ κολάζων, ὡς ἀδίκως ἐπιτιθεμένους καὶ φθονερούς.

4β Συνέκοψεν αὐχένας ἁμαρτωλῶν.

Διέκοψε τὴν ὑψαυχενίαν τῶν πολεμίων, ἀφεῖλε τὴν ἔπαρσιν αὐτῶν, ἐπικρατεστέρους ἡμᾶς ποιήσας.

5 Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.

Ἢ εὐκτικῶς, ἀντὶ τοῦ, *αἰσχυνθείησαν*, ἢ προφητικῶς, ἀντὶ τοῦ, *αἰσχυνθήσονται*, καὶ τὰ ἑξῆς ὁμοίως.

Ἁρμόζουσι δὲ τὰ τοῦ ψαλμοῦ νοεῖσθαι καὶ λέγεσθαι καὶ περὶ τῆς νέας Σιὼν, τῆς Ἐκκλησίας τῶν πιστῶν.

6α Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων.

Μὴ ὡς χόρτος ἁπλῶς, ἀλλ' ὡς χόρτος ὁ ἐπὶ τῶν δωμάτων φυόμενος· εὐμαραντότερος | γὰρ οὗτος, καὶ ταχὺ διαφθειρόμενος. Γενηθήτωσαν εὐκατάπτωτοι, ὠκύμοροι, ἄκαρποι.

Εἶτα ἐνδιατρίβει τῇ εἰκόνι τοῦ τοιούτου χόρτου, καταλέγων ὅσα τούτῳ παρακολουθεῖ.

6β Ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη.

Ἄωρος ἐξηράνθη. Ὁ γὰρ ἄλλος χόρτος μετὰ τὸ καρποφορῆσαι ξηραίνεται, εἶτα ἀνασπᾶται.

7α Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων.

Ἤγουν, ὃν οὐκ ἐθέρισέ τις, ὡς προδιαφθαρέντα.

7β Καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων.

Καὶ οὗ πάλιν οὐκ ἐπλήρωσε τὸν κόλπον αὐτοῦ, ἅπερ γίνονται ἐπὶ τοῦ ὡρίμου χόρτου καὶ καρποφόρου.

8α Καὶ οὐκ εἶπον οἱ παράγοντες, Εὐλογία Κυρίου ἐφ' ὑμᾶς.

Καὶ ἐφ' οὗ χόρτου οὐκ εὐλόγησαν ὡς ἔθος τοὺς θερίζοντας οἱ παροδεύοντες. Εὐλογίαν δὲ λέγει, τὴν χάριν.

8β Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Καὶ οὗτος τῶν παροδευόντων ὁ λόγος. Εὐλογήκαμεν δὲ, ἀντὶ τοῦ, εὐλογίαν ὑμῖν ηὐξάμεθα, ἐν τῷ ὀνομάσαι τὸν Κύριον, ἐν τῷ ἐπικαλέσασθαι αὐτόν.

129 ρκθʹ
1α Ὠιδὴ, ὁμοίως.

1β Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε.

Τὸν παρόντα ψαλμὸν ἔγραψεν ὁ προφήτης, διεξιὼν μὲν πῶς ἐν πειρασμοῖς προσηύχετο, καὶ οἷα προσηύχετο· παιδεύει δὲ καὶ τοὺς ἐκ Βαβυλῶνος ἐπανελθόντας μιμεῖσθαι αὐτὸν ἐν τοῖς ὁμοίοις, καὶ ἐλπίζειν ἐπὶ τὸν Κύριον.

Ἐκ βάθους, φησὶ, τῆς καρδίας ἐκέκραξά σοι, καὶ οὐκ ἐξ ἄκρων χειλέων. Τὸ

8α[1] εἶπον MSBFV[T] : εἶπαν PC[Ra].

μὲν γὰρ θερμοτάτης ἐστὶ κραυγῆς, τὸ δὲ ψυχροτάτης· καὶ τὸ μὲν κάτωθεν εὐτόνως ἅμα καὶ ἐμπόνως ἀνιούσης, τὸ δὲ ἄνωθεν ἀτόνως καὶ ἀπόνως· καὶ τὸ μὲν ὅλον τὸν εὐχόμενον κατατεινούσης, τὸ δὲ μόνα τὰ τῆς φωνῆς ὄργανα συγκινούσης.

Κραυγὴν δὲ λέγει, τὴν μεγάλην βοὴν, οὐ τῇ σφοδρότητι τοῦ πνεύματος, ἀλλὰ τῇ συντονίᾳ τῆς διαθέσεως.

2α Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

Ἐκ βάθους ἀναπεμφθείσης.

2β Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Ἡ ἀκουστική σου δύναμις προσέχουσα εἰς ταύτην, ὡς εὔλογον καὶ ὡς χρὴ γενομένην, θερμῶς καὶ εὐτόνως.

3 Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσεται;

Ἐὰν ἀνομίας πάσας ἐξετάσῃς καὶ ἀκριβῶς ἐρευνήσῃς, τίς ὑπομενεῖ τὴν ἐξέτασιν ταύτην; Ἢ τίς ὑπολειφθήσεται; Ὄντως οὐδείς.

Τίς γὰρ, φησὶ, *καυχήσεται ἁγνὴν ἔχειν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς* Prov 20.9
εἶναι ἀπὸ ἁμαρτιῶν; Καὶ, *Πάντες ἥμαρτον*, φησὶ Παῦλος, καὶ αὖθις περὶ ἑαυτοῦ, Rom 3.23
Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. 1Cor 4.4

Τὸ δὲ, *Κύριε, Κύριε*, θαυμάζοντός ἐστι τὴν πολλὴν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ ἀγαθότητα.

4 Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ὄντως παρὰ σοί ἐστιν ὁ κυρίως ἱλασμὸς, ὁ ἀληθὴς ἔλεος· διὸ μετὰ φειδοῦς ἐξετάζεις.

5α Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε.

Οὐ διὰ τὰ κατορθώματά μου προσεδόκησά σε Σωτῆρα· ἁμαρτωλὸς γάρ εἰμι καὶ αὐτὸς, ὡς εἴρηται, ἀλλὰ διὰ τὸ ὄνομά σου, ἵνα μὴ ἐξουδενωθῇ παρὰ τῶν πολεμίων, ὡς μὴ δυναμένου σου σῴζειν τὸν λαόν σου. Λέγει γὰρ καὶ διὰ τοῦ Ἰεζεκιὴλ, *Οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, ἀλλ' ἢ διὰ τὸ ὄνομά μου, ἵνα μὴ βεβηλωθῇ ἐν τοῖς ἔθνεσιν.* Ez 20.9

5β Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου.

Προσεδόκησεν, ἤλπισεν εἰς τὴν ἐπαγγελίαν σου, τὴν πρὸς τοὺς πατριάρχας,

4[2] *κυρίως* MPSBF : *κύριος* CV.

τὴν πρὸς τοὺς προγόνους ἡμῶν, ὅτι κληρονομήσομεν τὴν γῆν τῆς ἐπαγγελίας, καὶ
ὅτι ἐὰν εἰσακούσωμέν σου, τὰ ἀγαθὰ τῆς γῆς φαγόμεθα· ἢ τὴν ὑπόσχεσιν, τὴν ὅτι Isa 1.19
σώσεις τοὺς εὐαρεστοῦντάς σοι καὶ τοὺς μετανοοῦντας. |

6α Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Εἰς τὸν Κύριον μόνον, οὐκ εἰς ἄλλο τι τῶν ἁπάντων.

6β Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Τὸν μόνον δυνάμενον ῥύεσθαι καὶ σῴζειν. Φυλακὰς δὲ, τὰ μέρη τῆς νυκτὸς ἐκάλουν οἱ παλαιοί· εἰς τέσσαρα γὰρ ταύτην διαιροῦντες οἱ νυκτοφύλακες ἐν τοῖς στρατοπέδοις, τὸ τεταρτημόριον αὐτῆς, ἤτοι τὸ ὀρθρινὸν, φυλακὴν πρωΐας ὠνόμαζον, ὡς τὴν πρωΐαν ἤδη μηνῦον.

Παραινεῖ τοίνυν ὁ προφήτης πάντα Ἰσραὴλ ἐλπίζειν ἐπὶ τὸν Κύριον μόνον παρ' ὅλην ζωήν· διὰ γὰρ τοῦ ἡμερονυκτίου, πᾶσαν τὴν ζωὴν ὑπεδήλωσεν. Ἀρξάμενος γὰρ ἀπὸ φυλακῆς πρωΐας καὶ μέχρι νυκτὸς ἐλθὼν, εἶτα πάλιν εἰς τὴν φυλακὴν τῆς πρωΐας καταντήσας, τὴν κυκλοφορικὴν ἐμιμήσατο τοῦ ἡμερονυκτίου περίοδον, ἀπὸ πρωΐας εἰς πρωΐαν ἐπανερχομένην.

7α Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος.

Τὸ ἀληθῶς ἔλεος, τὸ ταχινὸν καὶ ἰσχυρὸν καὶ ἀδιάπτωτον εἰς τοὺς ἀξίους αὐτοῦ.

7β Καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις.

Πηγὴ παρ' αὐτῷ λυτρώσεως, πέλαγος σωτηρίας.

8 Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Εὐαρεστοῦντα δηλονότι, καὶ κατὰ νόμους πολιτευόμενον.

Ἁρμόζει δὲ ὁ ψαλμὸς καὶ τῷ νέῳ Ἰσραήλ.

130 ρλʹ
1α Ὠιδὴ, ὁμοίως.

1β Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου.

Καὶ τοῦτον τὸν ψαλμὸν εἰς ἑαυτὸν μὲν ἔγραψε, διεξιὼν οἵαν εἶχεν ἐν ἀνέσει καὶ ἀπαλλαγῇ τῶν πειρασμῶν μετριοφροσύνην. Παιδεύει δὲ τὸν ἐπανελθόντα ἐκ τῆς αἰχμαλωσίας λαὸν ὁμοίως ταπεινοφρονεῖν, καὶ μὴ θαῤῥεῖν ἐπὶ κατορθώμασιν, ἀλλ' ἐλπίζειν ἐπὶ Κύριον. Οὐχ ὑψώθη, φησὶν, ἡ καρδία μου, τῇ ἐπάρσει τῆς οἰήσεως, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, τῷ νοσήματι τῆς ὑπερηφανίας. Τί οὖν; καυχᾶται νῦν ὁ προφήτης; Ναί· καιροῦ γὰρ καλοῦντος, χρὴ ἐγκαυχᾶσθαι τοῖς κατορθώμασιν, ὅταν μὴ δι' ἐπίδειξιν, ἀλλὰ δι' ὠφέλειαν τῶν ἀκροωμένων τὸ πρᾶγμα γίνηται, πρὸς μίμησιν ἐνάγον αὐτούς. Εἰπὼν δὲ, *Οὐχ ὑψώθη ἡ καρδία* 2Cor 12.1
μου, καὶ προσθεὶς, *Οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου*, ἔδειξεν ὅτι ταύτης πρῶτον ὑψουμένης, εἶτα οὗτοι μετεωρίζονται.

1γ Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.

Οὐδὲ ἐπορεύθην μετὰ ἀνδρῶν μειζόνων καὶ θαυμασιωτέρων μου· οὐ συνανεστράφην τοῖς ὑπὲρ ἐμὲ, ἀνάξιον ἐκείνων ἐμαυτὸν ἡγούμενος· εἰ μή που ἄκοντα κατηνάγκασαν.

Ἢ μεγάλους καὶ θαυμασίους λέγει, τοὺς δοκοῦντας τοιούτους παρ' ἑαυτοῖς, ἤτοι τοὺς ἐπηρμένους καὶ ὑψαύχενας, ὡσανεὶ λέγων, ὅτι οὐ μόνον ἔφευγον τὸ νόσημα τῆς ὑπερηφανίας, ἀλλ' οὐδὲ συνδιητώμην τοῖς νοσοῦσιν αὐτό.

2 Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.

Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ἐπήρθην, ὢν ταπεινὸς καὶ ὡς τὸ νήπιον εὐθὴς τὸ ἀποσχόμενον ἤδη τῆς θηλῆς παρὰ τῇ μητρὶ αὐτοῦ, οὕτως ἀνταποδώσεις· ἢ λίαν ἀνταποδώσεις εἰς τὴν ψυχήν μου.

Μέλλοντι δὲ ἐχρήσατο, εὐκτικὴν ἔχοντι σημασίαν· πολλὰ γὰρ τοιαῦτα παρὰ τοῖς παλαιοῖς. Ἢ ὄντως ἀνταποδώσεις ἀμοιβὴν τῆς ὑπερηφανίας.

Τινὲς δὲ οὕτω συν|τάττουσιν· εἰ μὴ ἐταπεινοφρόνουν ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ.

3 Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἐμὲ μιμούμενος, τὸν καὶ ἐν θλίψεσι καὶ ἐν ἀνέσεσι, καὶ κατὰ πάντα καιρὸν, ἐλπίζοντα ἐπὶ Κύριον.

Ἁρμόζει καὶ οὗτος ὁ ψαλμὸς τῷ νέῳ Ἰσραήλ. Ἴσως δὲ καὶ τὸν προλαβόντα ψαλμὸν καὶ τὸν παρόντα, προσώπῳ τοῦ θεοσεβεστέρου μέρους τῶν ἐπανελθόντων συνέγραψεν ὁ προφήτης, διεξιόντος οἷα μὲν προσηύχετο ἐν πειρασμοῖς, οἵαν δὲ μετριοφροσύνην εἶχεν ἐν ἀπαλλαγῇ πειρασμῶν, εἰς ὠφέλειαν καὶ παίδευσιν ἡμῶν, τῶν ἐκ τῆς αἰχμαλωσίας τῶν δαιμόνων ἐπανελθόντων.

[1β][8] *ἐνάγον* PABFV : *ἐνάγων* MSC.

131 ρλα´
1α Ὠιδὴ, ὁμοίως.

1β Μνήσθητι, Κύριε, τοῦ Δαυὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.

Προσώπῳ τοῦ ῥηθέντος λαοῦ καὶ τὸν παρόντα ψαλμὸν ἀνέγραψεν, ἱκετεύοντος ἀναστῆναι τὸν ναὸν, εἰ καὶ μὴ δι' αὐτοὺς, ἀλλά γε διὰ τὴν σπουδὴν ἣν εἶχε Δαυὶδ, ὁ πρόγονος καὶ βασιλεὺς αὐτῶν, ἐκζητῶν πρὸ τῆς οἰκοδομῆς ἐπιμελῶς τὸν τόπον τοῦ τοιούτου ναοῦ. 1Par 22.1
Πραότητα δὲ λέγει, τὴν ἀνεξικακίαν ἣν ἐνεδείκνυτο εἰς τὸν Σαοὺλ καὶ τοὺς περὶ αὐτὸν, ἔτι δὲ καὶ εἰς τὸν Σεμεεὶ τὸν ὑβρίζοντα αὐτὸν, καὶ εἰς πολλοὺς 2Rg 16.11
ἄλλους. Περὶ μόνης δὲ τῆς πραότητος αὐτοῦ λέγουσιν, ὡς ταύτην διαφερόντως κατορθώσαντος, ἢ καὶ ὡς διὰ ταύτης δηλουμένων καὶ τῶν λοιπῶν. Μνήσθητι τοῦ Δαυὶδ τοῦ πραοτάτου, τοῦ διὰ τῆς πραότητος εὐαρεστήσαντός σοι.

2 Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ.

Μνήσθητι αὐτοῦ, πῶς ἐνωμότως ὑπέσχετο Κυρίῳ τῷ Θεῷ τὰ ῥηθησόμενα.

3-5 Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.

Πῶς ποτε ζηλώσας ὑπὲρ τοῦ περιφέρεσθαι τῇδε κἀκεῖσε τὴν κιβωτὸν, ἐνωμότως ὑπέσχετο ὅτι οὐ ποιήσω τόδε ἢ τόδε, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ ἄξιον, ἤγουν οἰκητήριον, τουτέστι, τόπον ναοῦ· καὶ οὐκ ἀνεπαύσατο ἕως εὗρεν, ὡς ἡ πρώτη βίβλος τῶν Βασιλειῶν διαλαμβάνει. 2Rg 7.1
Εἴρηται ἡμῖν καὶ ἐν ἄλλοις, ὅτι τὸ, εἰ, τὸ, οὐ, σημαίνει πολλάκις παρ' Ps 88.36,
Ἑβραίοις, ὥσπερ καὶ νῦν. Σκήνωμα δὲ καὶ οἶκος τοῦ Θεοῦ ἐλέγετο, διὰ τὸ ἐκεῖθεν 94.11
χρηματίζειν καὶ ὁμιλεῖν τοῖς ἀξίοις, ὡς καὶ προλαβόντες εἰρήκαμεν. Ps 127.5α

6α Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ.

Ἐπειδὴ παρὰ τῶν πατέρων ἡμῶν ἢ καὶ παρὰ τῶν βίβλων ἠκούσαμεν ἐνεχθῆναι τὴν κιβωτὸν ἐν τῷ τόπῳ τῷ καλουμένῳ Ἐφραθᾶ· οὗτος δέ ἐστιν ἡ Βηθλεέμ. Φησὶ γὰρ προφήτης ἕτερος, *Βηθλεὲμ, οἶκος τοῦ Ἐφραθᾶ·* καὶ τὴν Ῥαχὴλ δὲ θάπτει Mich 5.1
Ἰακὼβ ἐν τῷ ἱπποδρόμῳ τοῦ Ἐφραθᾶ· *Αὕτη,* φησὶν, *ἐστὶ Βηθλεέμ.* Ἔφερε γὰρ Gen 48.7
ὁ τόπος τοῦ προκατόχου τὸ ὄνομα.

6β Εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.

Εὕρομεν αὐτὴν ἀπὸ τῶν εἰρημένων· παρὰ τούτων ἐμάθομεν αὐτὴν αὐλιζομένην ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ, τουτέστιν, ὧδε κἀκεῖσε περιφερομένην, παρὰ τὸ μὴ ἔχειν τόπον ἀφωρισμένον. Ταῦτα δὲ λέγουσι, συνιστῶντες ὅτι ἀναγκαίως ἐζήλωσεν ὑπὲρ αὐτῆς ὁ Δαυὶδ, καὶ τὸν τόπον εὗρεν, ὑπὲρ οὗ καὶ νῦν ἱκετεύουσιν. 2Par 3.1

7 Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. |

Ταῦτα, προσώπῳ τῶν ἐν αὐτοῖς ἁγίων, προφητευόντων αὐτοῖς ὅτι ἀναστήσεται ὁ ναὸς, καὶ εἰσελεύσονται καὶ προσκυνήσουσι καὶ λατρεύσουσιν ὡς τὸ πρότερον.

Σκηνώματα δὲ, ἢ τὰς αὐλὰς αὐτοῦ ὠνόμασεν, ἢ αὐτὸν δὴ τὸν ναὸν, πληθυντικῶς εἰπὼν, ὡς πολλάκις ἔθος Ἑβραίοις. Σκηνώματα δὲ καὶ πόδας καὶ στάσιν εἶπε Θεοῦ ἀνθρωποπρεπῶς, διὰ τὴν παχύτητα τῶν ἀκροωμένων.

Ἐκεῖθεν γὰρ ἐφέροντο αἱ φρικταὶ φωναὶ περὶ τῶν ἐν Ἰουδαίοις πραγμάτων, λύουσαι τὰ ἀσαφῆ καὶ περὶ τῶν μελλόντων προλέγουσαι. Ex 25.22

8α Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου.

Εἰς τὸν ναόν σου, εἰς οἰκοδομὴν αὐτοῦ, ἐν ᾧ ἀνεπαύου, τουτέστιν, εἰς τὸν ἀναπαύοντά σε ναὸν, εἰς συνεργίαν αὐτοῦ.

8β Σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

Ἀνάστηθι σὺ καὶ ἡ κιβωτὸς τῆς ἁγιωσύνης σου. Δύναται γὰρ καὶ αὐτὴ, ὡς πολλὰ πολλάκις τερατουργήσασα διὰ τῆς ἐν αὐτῇ χάριτος, καὶ ὅτι καὶ ταύτης οἶκος ἦν οὗτος.

Κιβωτὸς δὲ τῆς ἁγιωσύνης, ὡς πεπλησμένη ἁγιωσύνης, δι' ἧς ἡγίαζε· τά Ex 25.21
τε γὰρ ἐναποκείμενα αὐτῇ, ἅγια ἦσαν, καὶ τούτων μᾶλλον ὁ νόμος ἡγίαζε τοὺς Heb 9.4
μετιόντας αὐτόν.

Ἢ ἁγίασμα, τὸν ναὸν λέγει, ὡς ἡγιασμένον τῷ Θεῷ, καὶ ἁγιάζοντα, καὶ τῶν ἁγίων περιεκτικὸν, ὃν καὶ ἐν τῷ ογʹ ψαλμῷ, ἁγιαστήριον ὠνόμασεν· Ἐνεπύρισαν γὰρ, φησὶν, ἐν πυρὶ τὸ ἁγιαστήριόν σου. Ps 73.7α

9α Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην.

Εἰ τοῦτο γένηται, οἱ ἱερεῖς σου ἐνδύσονται, δίκην ἱματίου, τὴν δικαιοσύνην, τὰς λατρείας· ἢ δικαιοσύνην πᾶσαν, εἴτουν παντοίαν ἀρετὴν, ὡς ἤδη λατρεύοντες καὶ μᾶλλον ἀρετῆς φροντίζειν ὀφείλοντες.

9β Καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Καὶ οἱ λοιποί, οἱ καθωσιωμένοι σοι, τουτέστιν, ὁ λαός σου, ἀγαλλιάσονται· ἢ ὁσίους λέγει, τοὺς ἐναρετωτέρους.

Εἶτα πάλιν ἐπὶ τὸν Δαυὶδ καταφεύγουσιν, ἀναξίους ἑαυτοὺς ἡγούμενοι.

10 Ἕνεκεν Δαυὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

Τὸ πρόσωπον τοῦ χριστοῦ σου, τουτέστι, τὸν χρισθέντα εἰς τὸ ἄρχειν ἡμῶν· τό, σοῦ, δὲ, οἰκειώσεώς ἐστιν· ἢ τὸν χρισθέντα διὰ σοῦ, διὰ τοῦ νόμου σου.

Μὴ ἀποστρέψῃς αὐτὸν ἄπρακτον, δεόμενόν σου μεθ' ἡμῶν ὑπέρ τε τοῦ ναοῦ καὶ τῆς πόλεως καὶ τῆς βασιλείας.

11α Ὤμοσε Κύριος τῷ Δαυὶδ ἀλήθειαν.

Βεβαίως ἐπηγγείλατο ἀληθινὴν ἐπαγγελίαν.

11β Καὶ οὐ μὴ ἀθετήσῃ αὐτήν.

Ἀληθὴς ὢν καὶ αὐτοαλήθεια. Τίς δὲ ἡ ἐπαγγελία, ἄκουσον.

11γ Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

Ἐπὶ τοῦ θρόνου τῆς βασιλείας σου.

Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερα. Τίνα δὲ ταῦτα, φησίν.

12 Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου.

Ἐὰν τηρήσωσι τὸν νόμον μου οἱ υἱοί σου, ἐκ διαδοχῆς βασιλεύοντες — τοῦτον γὰρ ἐκάλεσε διαθήκην, ἔτι δὲ καὶ μαρτύρια, ὡς ἐν τῷ ριη´ ψαλμῷ πολλάκις δεδήλωται· ταῦτα δέ, φησίν, ἃ διδάξω αὐτοὺς διὰ τῆς ἀναγνώσεως αὐτῶν — οὐκ αὐτοὶ μόνον βασιλεύσουσιν, ἀλλὰ καὶ οἱ τούτων υἱοὶ ἀεὶ βασιλεύσουσι κατὰ διαδοχήν.

Τοιαῦτα μέν, τὰ τῆς ἐπαγγελίας· ἐπεὶ δὲ οὐκ ἐφύλαξαν, ἐξέπεσον.

Ταῦτα δὲ λέγουσιν οἱ δυσωποῦντες, ὥσπερ ἀναμιμνήσκοντες τὸν Θεὸν τῆς τοιαύτης ἐπαγγελίας καὶ εἰς ἀποπλήρωσιν αὐτῆς παρακαλοῦντες, ἢ καὶ ἀλλήλους παραμυθούμενοι | καὶ τῷ λαῷ χρηστὰς ἐλπίδας ἐντιθέντες.

Εἶτα καὶ τὰ ἑξῆς ἐπισυνάπτουσιν, ὡς καὶ αὐτὰ παρὰ τοῦ Θεοῦ τότε ῥηθέντα πρὸς τὸν Δαυίδ.

13 Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

Καθιοῦνται, φησὶν, ἐπὶ τοῦ θρόνου σου, διότι καὶ τὴν Σιὼν, ἐν ᾗ ὁ θρόνος τῆς βασιλείας σου, ἐξελέξατο ὁ Κύριος, ὁ ταῦτά σοι ἐπαγγελλόμενος, ἤγουν ἐγώ.

14α Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος.

Ἡ κατοικία μου.

14β Ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.

Καὶ ταῦτα καὶ τὰ ἑξῆς λέγουσιν, ὡς ἐπηγγελμένα καὶ αὐτά.

15α Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω.

Θήραν ὠνόμασε, τὸν πορισμὸν καὶ τὴν συγκομιδὴν τῆς τροφῆς. Εὐλογῶν εὐλογήσω, τουτέστι, χαριτώσω εἰς δαψίλειαν καὶ ἀφθονίαν.

15β Τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων.

Πλουτίσω.

16α Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν.

Ὑγείαν, ἀσφάλειαν.

16β Καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.

Εἴρηται ἀνωτέρω περὶ τῶν ὁσίων. Τὸ δὲ, *ἀγαλλιάσει ἀγαλλιάσονται*, καὶ τὸ, Ps 131.9β
εὐλογῶν εὐλογήσω, καὶ τὰ τοιαῦτα, τινὲς μὲν, ἰδίωμα φασὶ τῆς Γραφῆς, τινὲς δὲ, ἐπίτασιν ἐμφαίνειν ἢ βεβαίωσιν.

17α Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυίδ.

Ἐν τῇ Σιών· ἐκ τοῦ γένους τοῦ Δαυὶδ ἀνατελῶ αὐτῷ κέρας, ὕψος, τιμὴν, δοξαζομένῳ παρὰ τῶν μετέπειτα, καὶ διὰ τὸ βασιλεῦον ἀεὶ γένος αὐτοῦ.

17β Ἡτοίμασα λύχνον τῷ χριστῷ μου.

Ἡτοίμασα λύχνον τῷ βασιλεῖ μου Δαυίδ· οἰκειώσεως δὲ κἀνταῦθα τὸ, *μοῦ*. Λύχνον δὲ λέγει, τὴν εὔκλειαν τοῦ σπέρματος αὐτοῦ, δίκην λύχνου μηνύουσαν ἅπασι τὴν δόξαν αὐτοῦ, καὶ τρόπον φωτὸς ὑποδεικνύουσαν ταῖς ἐφεξῆς γενεαῖς τὸν πρόγονον τοῦ τοιούτου γένους· ἢ λύχνον, τὴν λαμπρότητα τοῦ γένους αὐτοῦ,

λάμπουσαν ἐν τοῖς ἔθνεσιν. Ἀλλὰ ταῦτα πάντα, ἐὰν φυλάξωνται τὴν διαθήκην, ὡς εἴρηται. Ps 131.12

18α Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην.

Τοὺς ἐχθροὺς τοῦ Δαυὶδ, ἤτοι τοὺς τοῦ γένους αὐτοῦ.

18β Ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

Ἐπὶ τὸν Δαυὶδ, ἤγουν ἐπὶ τὸ σπέρμα αὐτοῦ, φαιδρυνθήσεται θάλλων ὁ ναός μου. Τὸ, *ἐπ' αὐτὸν δὲ*, ἀντὶ τοῦ, *κατ' αὐτὸν*, ἤτοι κατὰ τὴν γενεὰν αὐτοῦ, ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Τινὲς δὲ, κέρας καὶ λύχνον, τὸν Ζοροβάβελ φασὶ, καὶ τούτου λέγουσι τοὺς ἐχθροὺς αἰσχυνθῆναι, καὶ ἐπὶ τῆς βασιλείας αὐτοῦ ἐξανθῆσαι τὸν ἀπομαρανθέντα πάλαι ναόν· ἕτεροι δὲ πάλιν τὸ, ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, καὶ τὰ ἐφεξῆς ἅπαντα ῥητὰ, προφητείαν εἶναι λέγουσι τῶν ἐν τῷ δηλωθέντι λαῷ προφητικοῦ χαρίσματος ἠξιωμένων.

Ἐπεὶ δὲ καθ' ἱστορίαν ὁ ψαλμὸς ἡρμήνευται, μεταχειριστέον ἤδη καὶ ὅσα τούτου περὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διαλαμβάνουσιν.
[7] *Εἰσελευσόμεθα*, φησὶν, *εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ*. Προφητεία τοῦτο περὶ Χριστιανῶν, ἀλλήλοις ταῦτα συμβουλευόντων, καὶ σκήνωμα μὲν λεγόντων, τοὺς ἐν Παλαιστίνῃ τόπους ἔνθα ἀνεστρέφετο καὶ κατῴκει· τόπον δὲ ὅπου ἔστησαν οἱ πόδες αὐτοῦ, ἢ αὐτὰ δὴ τὰ σκηνώματα ἔνθα περιεπάτει, ἢ τὸν σταυρὸν, ᾧ προσηλώθησαν οἱ πόδες αὐτοῦ, ὃν καὶ ὑποπόδιον ὠνόμασεν ἐν τῷ ϟη' ψαλμῷ. Καὶ μέντοι πανταχόθεν Ps 98.5β
συῤῥέοντες, εἰσέρχονται εἰς τοὺς τόπους ἐκείνους καὶ προσκυνοῦσιν ἑκάστοτε.
[8] *Ἀνά | στηθι*, φησὶ, *Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου*. Ἀνάστηθι ἐκ νεκρῶν, καὶ ἀνάβηθι εἰς τὸν θρόνον τῆς ἐν οὐρανῷ βασιλείας σου, σὺ ὁ Θεὸς καὶ τὸ πρόσλημμά σου· τοῦτο γὰρ κιβωτὸς τῆς ἁγιωσύνης, ἤτοι σκήνωμα τῆς θεότητος. Ὥσπερ γὰρ ἡ κιβωτὸς ἐκ ξύλων μὲν ἀσήπτων κατεσκεύαστο, κεχρύσωτο δὲ καθαρῷ χρυσῷ, οὕτω καὶ τὸ πρόσλημμα, Ex 25.10-11
ἐκ σώματος μὲν ἀδιαφθόρου συνεπέπηκτο, τεθέωτο δὲ ἐκ θεότητος φύσει, καὶ κυρίως θεότητος, ἤγουν ἐκ τῆς ἑνώσεως τοῦ ὄντως Θεοῦ.
[9] *Οἱ ἱερεῖς σου*, φησὶν, *ἐνδύσονται δικαιοσύνην*, τὴν κατὰ τὸ Εὐαγγέλιον, ἤτοι κοσμηθήσονται ἀρετῇ πάσῃ. *Καὶ οἱ ὅσιοί σου*, φησὶν, *ἀγαλλιάσονται*· καὶ οἱ μετὰ τοὺς ἱερεῖς φιλάρετοι, ἀγαλλιάσονται, πολιτευόμενοι εὐαγγελικῶς.
[10] *Ἕνεκεν*, φησὶ, *Δαυὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου*. Εἰ καὶ μὴ δι' ἄλλο τι, ἀλλά γε δι' ἐμὲ τὸν δοῦλόν σου, μὴ ἀποστρέψῃς τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ σου, μέλλοντος ἐπιφανῆναι τοῖς ἀνθρώποις δι' ἐνανθρωπήσεως, ἀλλ' ἐπιφανήτω.

[8][6] *συνεπέπηκτο* MPS[2]BF : *συμπέπηκτο* CV.

[11] Ἡ ὀμοσθεῖσα δὲ τῷ Δαυὶδ ἀλήθεια, ἤτοι τὸ ἐκ σπέρματος αὐτοῦ καθίσαι
εἰς τὸν θρόνον τῆς βασιλείας αὐτοῦ, τὸν Χριστὸν ᾐνίττετο. Οὗτος γάρ ἐστιν ὁ
κυρίως βασιλεὺς τοῦ Ἰσραήλ· ἐκ σπέρματος μὲν τοῦ Δαυὶδ ὤν, κατὰ τὴν μητέρα
ἐκ γένους Δαυὶδ καταγομένην, βασιλεὺς δὲ, κατὰ τὸ νομοθετεῖν τοῖς ὑπηκόοις
αὐτοῦ, καὶ ῥυθμίζειν καὶ περιέπειν καὶ ὑπεραποθνήσκειν αὐτῶν, ἃ μάλιστα
χαρακτηρίζουσι τὸν ἀληθῶς βασιλέα.
[12] Ἐὰν φυλάξωνται, φησὶν, οἱ υἱοί σου τὴν διαθήκην μου, τὴν εὐαγγελικὴν,
καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτοὺς διὰ σοῦ. Ὡς ἀπὸ τοῦ Πατρὸς δὲ
ὁ λόγος πρὸς τὸν ἐκ Δαυὶδ Χριστὸν, τὸν μονογενῆ Υἱὸν, περὶ τῶν μαθητῶν καὶ
ἀποστόλων, οὓς τεκνία ἐν τοῖς Εὐαγγελίοις ὠνόμασεν, ὡς ἐκ διδασκαλίας καὶ Jn 13.33
πίστεως υἱοθετηθέντας αὐτῷ. Ἐὰν τοῦτο ποιήσωσιν, οὐκ αὐτοὶ μόνον, ἀλλὰ
καὶ οἱ τούτων αὖθις μαθηταὶ καὶ μιμηταὶ καθιοῦνται ἐπὶ τοῦ θρόνου σου τοῦ
ποιμαντικοῦ καὶ διδασκαλικοῦ· Καταστήσεις γὰρ, φησὶν, αὐτοὺς ἄρχοντας ἐπὶ
πᾶσαν τὴν γῆν. Ἢ ἐπὶ τῆς ἀναπαύσεως καὶ ἀπολαύσεως τῆς αἰωνίου βασιλείας Ps 44.17β
σου· ὃ δὴ καὶ πέρας λαμβάνει, φυλαξάντων, ὡς εἴρηται.
[14] Κατάπαυσις δὲ τοῦ Θεοῦ αἰώνιος, ἡ Ἐκκλησία, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσι. Mt 16.18
[15] Θήρα δὲ αὐτῆς, ἡ σαγήνη τοῦ κηρύγματος, δι᾽ ἧς θηρεύει τοὺς ἐννηχομένους τῇ
ἅλμῃ τῆς πλάνης· ἢ ἡ θήρευσις καθ᾽ ἣν οἱ ἁλιεῖς ἀπόστολοι ἐζώγρουν τὰ πλήθη.
Πτωχοὶ δὲ αὐτῆς, οἱ πτωχοὶ τῷ πνεύματι, οὓς χορτάσει ἄρτου οὐρανίου, ἤτοι Mt 5.3
[16] τῆς βασιλείας τῶν οὐρανῶν. Τοὺς ἱερεῖς δὲ αὐτῆς ἐνδύσει σωτηρίαν αἰώνιον,
ἐνδυσαμένους πρῶτον δικαιοσύνην, ὡς προείρηται, ἧς οἱ ὅσιοι ἀγαλλιάσει αἰωνίῳ
ἀγαλλιάσονται, μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν δηλαδὴ, κἀκείνων οὕτως ἐνδυομένων,
καὶ τούτων οὕτως ἀγαλλιωμένων.
[17] Ἐν τῇ Ἐκκλησίᾳ δὲ ἐξανέτειλεν ὕψος καὶ τιμὴν τῷ Δαυὶδ, εὐφημουμένῳ καὶ
δοξαζομένῳ ὡς προγόνῳ τοῦ Χριστοῦ. Ἢ ἐν τῇ Σιὼν ἐξανέτειλε κέρας βασιλείας
τῷ Δαυὶδ, ὑψηλόν τε καὶ ἰσχυρὸν, κερατίζον καὶ καταβάλλον πάντας τοὺς
ἀνθισταμένους αὐτῷ, ὅ ἐστιν ἡ βασιλεία Χριστοῦ.
Λύχνος δὲ ἑτοιμασθεὶς τῷ Χριστῷ, ἡ κατασκευασθεῖσα αὐτῷ παναγία σὰρξ,
ἡ φωτεινὴ | διὰ τὴν λαμπρότητα τῆς ἀναμαρτησίας. Ἢ τὸ Εὐαγγέλιον, φωτίζον
τοὺς ἐν σκότει πλάνης καὶ ὁδηγοῦν εἰς ἀρετήν· Λύχνος γὰρ, φησὶ, τοῖς ποσί μου, Ps 118.105
ὁ νόμος σου. Ἢ ὁ Πρόδρομος· Ἐκεῖνος γὰρ, φησὶν, ἦν ὁ λύχνος ὁ καιόμενος. Jn 5.35
[18] Ἐχθροὶ δὲ αὐτοῦ, οἱ δαίμονες καὶ πάντες οἱ ἐχθροὶ τῆς ἀληθείας, οἳ σύμπαντες
αἰσχυνθήσονται, καὶ μάλιστα κατὰ τὴν παγκόσμιον ἀνάστασιν.
Εἰς αὐτὸν δὲ ἐξανθήσει ἡ ἁγία Ἐκκλησία, ἡ ἁγιάζουσα τοὺς ὀρθῶς προσερχομένους· αὐτὸν ἕξει ἄνθος καὶ εὐπρέπειαν.

132 ρλβʹ

1α Ὠιδή, ὁμοίως.

1β Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;

Τὴν τελείαν αὐτῶν ἀποκατάστασιν προϊδὼν ὁ Δαυὶδ, ὅπως ἀπαλλαγέντες τῶν ἐνοχλούντων, ᾠκοδόμησαν καὶ τὸν ναὸν καὶ τὴν πόλιν, καὶ ὑφ' ἕνα ἀρχηγὸν ἐπολιτεύοντο, παραινεῖ μὴ διασχισθῆναι καθάπερ τὸ πρότερον, ἡνίκα αἱ δέκα μὲν φυλαὶ ἴδιον εἶχον ἡγεμόνα, αἱ δύο δὲ πάλιν ἴδιον, ὃ πολλῆς αὐτοῖς παρανομίας καὶ στάσεως καὶ συμφορῶν αἴτιον ἐγένετο, ἀλλ' ὁμοῦ κατοικεῖν καὶ ὑφ' ἕνα ἡγεμόνα 3Rg 14.30
τάττεσθαι.

Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν οὕτως, εἰ μὴ τὸ κατοικεῖν ἀδελφοὺς ἅμα ἢ τῷ τόπῳ ἢ τῇ ὁμονοίᾳ; Πολλὰ γὰρ καλὰ μὲν, οὐ τερπνὰ δὲ, καὶ αὖθις, τερπνὰ μὲν, οὐ καλὰ δέ. Ἡ δὲ ὁμοσκηνία καὶ συμφωνία τῶν ἀδελφῶν ἀμφότερα κέκτηται, ἅπερ ὁμοῦ συνελθεῖν, οὐ σφόδρα εὔπορον.

Εἶτα τὸ τοιοῦτον ἀγαθὸν ἀπεικάζει παραδείγμασιν.

2α Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών.

Οὕτως ἐστὶ τὸ πρᾶγμα καλὸν καὶ τερπνὸν, ὡς τὸ νομικὸν ἐκεῖνο μύρον, τὸ Ex 30.22-25
χρῖον τοὺς ἱερεῖς, τὸ ἐπὶ κεφαλῆς τοῦ ἱερέως χεόμενον. Καθάπερ γὰρ τοῦτο καλὸν Lev 8.12
μέν ἐστιν, ὡς ἅγιον, τερπνὸν δὲ, ὡς εὐῶδες, οὕτω καὶ ἐκεῖνο, καλὸν μὲν, ὡς καὶ φύσει καὶ νόμῳ ἀπαιτούμενον, τερπνὸν δὲ, ὡς ὠφέλιμον. Ἐπεὶ δὲ ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν πώγωνα τὸ μύρον κατέβαινε, φησὶ τὸ καταβαῖνον ἐπὶ πώγωνα. Εἶτα προστίθησι καὶ τίνος πώγωνα, ὅτι τὸν τοῦ Ἀαρών· οὗτος γὰρ πρῶτος αὐτῷ ἐχρίσθη. Ἢ καὶ Ἀαρὼν λέγει, πάντα ἱερέα, ὡς ἐκ τοῦ Ἀαρὼν καταγόμενον. Ex 29.7

Ἐπεὶ δὲ ἀπὸ τοῦ πώγωνος καὶ ἐπὶ τὴν ᾤαν τοῦ ἱερατικοῦ ἐνδύματος αὖθις τοῦτο κατέβαινεν, ἐπήγαγε καὶ τοῦτο, λέγων·

2β Τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ.

Τὴν ᾤαν οἱ ἄλλοι ἑρμηνευταὶ, στόμα ἐνδύματος, ἐξέδωκαν· ἄχρι γὰρ τούτου κατήρχετο.

3α Ὡς δρόσος Ἀερμὼν, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών.

Ἀερμὼν, ὄρος ἐστὶ, παρακείμενον τῷ Λιβάνῳ, χιόνα πολλὴν συνάγον, καὶ φυλάττον, ἀφ' ἧς ἀτμοὶ ἀναδιδόμενοι, καὶ τὸν ἀέρα τὸν ὑπεράνω τῶν ὀρέων τῆς Σιὼν παχύνοντες, δρόσον ἀποτελοῦσιν ἐν θέρει, καλὴν μὲν, ὡς ἀναγκαίαν τῇ γῇ, τερπνὴν δὲ, ὡς ὁμαλῶς καὶ ἡδέως καταφερομένην. Ἐπεὶ οὖν ἡ δρόσος αὕτη ἐκ τοῦ Ἀερμὼν ἔχει τὴν αἰτίαν, δρόσον τοῦ Ἀερμὼν αὐτὴν ἐκάλεσεν.

3β Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν.

Ἐκεῖ· ποῦ; Ἐν τῇ ὁμοσκηνίᾳ, ἐν τῇ φιλαδελφίᾳ, ἐν τῇ ἀγάπῃ, ἥτις ἐστὶ τῶν ἀρετῶν τὸ κεφάλαιον. Εὐλογία δὲ παρὰ Θεοῦ μὲν εἰς ἀνθρώπους, ἡ χάρις,

παρὰ δὲ ἀνθρώπων | εἰς Θεὸν, ἡ εὐφημία, ἡ ὑμνολογία, παρὰ δὲ ἀνθρώπων εἰς ἀνθρώπους, ἡ ὑπὲρ τούτων εὐχή.

3γ Ζωὴν ἕως τοῦ αἰῶνος.

Καὶ αὖθις ἐκεῖ ἐνετείλατο καὶ ἀπέστειλε ζωὴν μακρὰν, ἕως τοῦ ὡρισμένου αἰῶνος, παρ' ὅλον τὸν ἀποκεκληρωμένον βίον. Ὥσπερ γὰρ ἡ στάσις θανάτους ἐργάζεται, οὕτως ἡ εἰρήνη, ζωὴν, οὔτε ἀλλήλους ἀναιρούντων, οὔτε παρ' ἐχθρῶν διαφθειρομένων, διὰ τὸ συμπεφράχθαι καὶ ὠχυρῶσθαι.

Ἁρμόζει δὲ καὶ ἡμῖν ὁ ψαλμός.

133 ρλγʹ
1α Ὠιδὴ, ὁμοίως.

1β Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου.

Ἐνταῦθα κατέλυσε τὰς ᾠδὰς τῶν ἀναβάθμων ἢ ἀναβαθμῶν, εἰς εὐχαριστίαν Ps 119.1α
κατακλείσας τὸν λόγον. Κελεύει γὰρ εὐχαριστεῖν τῷ Θεῷ, τῆς αἰχμαλωσίας ἀπαλλάξαντι, καὶ διὰ τοσούτων ἐθνῶν ἀβλαβεῖς ἐπανελθεῖν εἰς τὴν πατρίδα παρασκευάσαντι, καὶ τοῦ συνεχοῦς πολέμου τῶν πλησιοχώρων ἐλευθερώσαντι, καὶ τὸν ναὸν καὶ τὴν πόλιν ἀνοικοδομῆσαι δόντι, καὶ κατοικεῖν ἀδεῶς ἤδη καὶ πολιτεύεσθαι χαρισαμένῳ. Λοιπὸν εὐχαριστεῖτε, φησὶν, οἱ δοῦλοι, οἱ θεράποντες. Δοῦλος δὲ Θεοῦ, ὁ πειθόμενος τοῖς προστάγμασιν αὐτοῦ καὶ θεραπεύων αὐτόν.

1γ Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Οἱ λοιπὸν ἑστῶτες ἐν τῷ ναῷ, οἱ ἀπὸ τοῦ νῦν εἰσερχόμενοι, ἀπαρτισθέντι καὶ ἀπολαβόντι καὶ τὴν εὐπρέπειαν καὶ τὴν λατρείαν αὐτοῦ.

2 Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον.

Μὴ τὴν νύκτα πᾶσαν εἰς ὕπνον δαπανᾶτε, ἀλλὰ καὶ ἐν ταύτῃ ἐπάρατε τὰς
χεῖρας ὑμῶν εἰς τὰ Ἅγια τῶν ἁγίων, ὅπου ὁ Θεὸς κατοικεῖν ἐλέγετο, διὰ τὴν Heb 9.3
ἐκεῖσε χάριν, καὶ εὐφημεῖτε τὸν Θεὸν, ἐν ταῖς νυξὶ μᾶλλον, ὅτε καὶ κουφότερος ὁ νοῦς καὶ πλείων ἡ σχολή.

Εἰ δὲ ἐν νυκτὶ παραγίνεσθαι εἰς τὸν ναὸν κελεύει τῆς κλίνης ἀνισταμένους, ποίας τεύξεται συγγνώμης ὁ μηδὲ οἴκοι κατὰ τὸν καιρὸν τοῦτον εὐχὰς ἐπιτελῶν;

Εἶτα ὑπερεύχεται τοῦ λαοῦ.

3 Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Περὶ τοῦ, *Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν*, εἴρηται ἐν τῷ ρκζʹ ψαλμῷ. Ps 127.5α

Καὶ οὗτος δὲ ὁ ψαλμὸς ἁρμόδιος πᾶσιν.

134 ρλδʹ
1α Ἀλληλούϊα.

Εἰρήκαμεν προλαβόντες ὅτι οἱ εὐχαριστήριοι ψαλμοὶ τοιαύτην ἔσχον ἐπιγραφήν. Ps 104.1α

1β Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε, δοῦλοι, Κύριον.

Εἴρηται περὶ τούτου ἐν τῇ ἀρχῇ τοῦ ριβʹ ψαλμῷ. Ps 112.1β

2 Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Εἶπε τοῦτο καὶ ἐν τῷ προλαβόντι ψαλμῷ, ἀλλὰ νῦν περὶ τῶν ἑκάστοτε φοιτώντων Ps 133.1γ
εἰς τὸν ναὸν διαλαμβάνει. Αἰνεῖτε, φησὶν, οἱ ἑστῶτες ἐν τῷ ναῷ· τοῖς γὰρ μὴ ἑστῶσιν
ἐν τούτῳ, οὐκ ἐξῆν ὑμνολογεῖν αὐτὸν, οὐδ' ἐν ἑτέρῳ τόπῳ προσεύχεσθαι, ἵνα τὸν Dt 12.5
ναὸν καὶ τὰ ἐν αὐτῷ βλέποντες, μὴ ἐπιλάθωνταί ποτε τοῦ Θεοῦ.

3α Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος.

Ὅτι φιλάνθρωπος, ὅτι εὐεργετικώτατος, καὶ μάλιστα τοῖς αἰνοῦσιν αὐτόν.

3β Ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν.

Ὅτι καλὸν τὸ ψάλλειν αὐτῷ· παιδεύουσι γὰρ αἱ ᾠδαὶ δογμάτων ἀκρίβειαν, καὶ τείνουσι τὸν νοῦν τοῦ ψάλλοντος πρὸς τὸν Θεὸν, καὶ κοιμίζουσι τὰ πάθη, καὶ ἡδύνουσι τὴν ψυχὴν τῷ μέλει, καὶ μετὰ τῆς ὠφελείας ἔχουσι καὶ τὸ τερπνόν.

Ζήτησον καὶ ἐν τῷ θʹ ψαλμῷ τὴν ἐξήγησιν τοῦ, *Ψαλῶ τῷ ὀνόματί σου,*
Ὕψιστε. | Ps 9.3β

4α Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος.

Ὅτι τὸν Ἰσραηλίτην λαὸν ἐκ πάντων τῶν ἐθνῶν ἐξελέξατο καὶ ἀνέθηκεν ἑαυτῷ, ὡς μόνον αὐτῷ λατρεύοντα.

4β Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.

Τὸν ἐξ Ἰακὼβ λαὸν, καλεῖ καὶ Ἰσραήλ· ἀμφότερα γὰρ ὁ Ἰακὼβ ὠνομάζετο. Gen 32.29,
Τὸν αὐτὸν, φησὶν, ἐξελέξατο εἰς περιουσιασμὸν ἑαυτῷ, εἰς κλῆρον· διὸ καὶ λαὸν 35.10

2[5] τοῦ Θεοῦ PS[2]CABFV : Θεοῦ M.

περιούσιον προσηγόρευσεν αὐτὸν, ἤγουν ὡς περιουσίαν, ὡς πλοῦτον λογιζόμενον καὶ στεργόμενον, καὶ ἐπιμελείας ἀξιούμενον. Ex 19.5

5α Ὅτι ἐγὼ ἔγνωκα ὅτι μέγας ὁ Κύριος.

Ἰδοὺ καὶ ἄλλην αἰτίαν τοῦ αἰνεῖν τίθησιν· ὅτι, φησὶν, ἐγὼ πλέον ὑμῶν ἔγνωκα, ἢ ἀκριβῶς ἔγνωκα, ὅτι μέγας ὁ Κύριος· ἀπό τε τῆς θείας χάριτος, ἀπό τε τοῦ συνετῶς ὁρᾶν τὰ ἔργα αὐτοῦ, τοῦτο γνούς.

5β Καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς.

Ὁ μὲν γάρ ἐστιν, οἱ δὲ οὐκ εἰσί. Καὶ ὁ μὲν, Κύριος ὄντως, οἱ δὲ θεοὶ, οὐκ ὄντως. Δοκεῖ δὲ τοῦτο, συγκριτικὸν, οἰκονομικῶς διὰ τὴν παχύτητα τοῦ λαοῦ· ἀλλαχοῦ γὰρ Θεὸν τῶν θεῶν ὀνομάζει τοῦτον· καὶ νῦν δὲ κατὰ μικρὸν ἀνάγων Ps 83.8β
τοὺς ἀκροατὰς, ἐργάτην αὐτὸν δείκνυσι θαυμασίων, καὶ προϊὼν, διαμυκτηρίζει Ps 134.6-14
καὶ φαυλίζει τοὺς θεοὺς τῶν ἐθνῶν. Εἴρηται δὲ καὶ ἐν τῷ ϟϛʹ ψαλμῷ, Σφόδρα Ps 134.15-18
ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεοὺς, καὶ ζήτησον τὴν ἐξήγησιν αὐτοῦ. Ps 96.9β

6α Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ.

Εἶπε τοῦτο καὶ ἐν τῷ ριγʹ ψαλμῷ· Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα ὅσα ἠθέλησεν ἐποίησεν. Ps 113.11

6β Ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις.

Θαλάσσας μὲν λέγει, τοὺς διαφόρους κόλπους, Τὰ συστήματα γὰρ, φησὶ, τῶν ὑδάτων ἐκάλεσεν θαλάσσας, ἀβύσσους δὲ, τὰ ὑποκάτω τῆς γῆς, τὰ ἀνεξερεύνητα, Gen 1.10
ἐν οἷς πᾶσι πάντα ὅσα ἠθέλησεν ἐποίησεν.

Εἶτα ὑμνεῖ ἔργα τινὰ τοῦ Θεοῦ ἀξιοθαύμαστα, παραδραμὼν τὰ μείζονα, ἵνα καὶ ἀπὸ τῶν ἐλαττόνων δείξῃ τὸ μεγαλεῖον καὶ ἀξιύμνητον αὐτοῦ.

7α Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς.

Ὁ ἐξ αὐτοῦ τοῦ κατωτάτου βάθους τῆς γῆς ἀνάγων νεφέλας, καὶ τοσοῦτον αὐτὰς μετεωρίζων, βαρείας οὔσας, καὶ τὸ κατωφερὲς ὑγρὸν ἄνω φέρεσθαι ποιῶν.

7β Ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν.

Εἰς καιρὸν ὑετοῦ, ἢ ἐν τῷ ὑετῷ· καὶ δι' ἀλλήλων ἀβλαβῶς φέρεσθαι τὰ φθαρτικὰ ἀλλήλων παρεσκεύασεν, ὡς μήτε τὴν ἀστραπὴν πυρωδεστάτην οὖσαν ἀναλίσκειν τὸ ὑέτιον ὕδωρ, μήτ' αὖ τοῦτο ῥαγδαῖον φερόμενον σβεννύειν ἐκείνην.

7γ Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.

Θησαυροὺς αὐτοῦ νῦν λέγει, τοὺς ἀποκρύφους τόπους ὅθεν ἐξέρχονται — κεκρυμμένος γὰρ ὁ θησαυρὸς — τὸ ἄγνωστον τῆς γενέσεως αὐτῶν.

Ἢ ὁ ἐξάγων ἀνέμους, ὡς ἐκ θησαυρῶν αὐτοῦ, ὡς ἐντεῦθεν δηλοῦσθαι τὸ εὐχερὲς τῆς ἐξαγωγῆς αὐτῶν, καὶ πρόχειρον ὅτε βούλεται.

Θαυμαστὸν γὰρ τὸ νῦν μὲν τοῦτον εὐχερῶς, νῦν δὲ ἐκεῖνον ἐπιπέμπειν· ἄλλοτε δὲ, καὶ τοῦτον κἀκεῖνον ἅμα. Ἔστι δ' ὅτε καὶ πλείονας ἐν ταὐτῷ, καὶ πολλάκις οὐδένα· καὶ πάντα κατὰ χρείαν, καὶ οὐδὲν ἀλόγως, καθάπερ ἐν θησαυροῖς τισι κατακεκλεισμένων, καὶ ὁπηνίκα βούλεται, ῥᾳδίως ἐξαγομένων.

8 Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους.

Εἴρηται περὶ τούτων καὶ ἐν τῷ οζ' ψαλμῷ, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν τοῦ, *Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ.* Ps 77.50α

Ἕως δὲ κτήνους, εἰς ἐπίτασιν τῆς συμφορᾶς.

9 Ἐξαπέστειλε | σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε, ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.

Εἴρηται καὶ περὶ τούτων ἐκεῖ, *Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως·* μνημονεύσας δὲ τῆς βαρυτέρας πληγῆς, εἶτα Ps 77.43
συλλήβδην εἶπε, *σημεῖα καὶ τέρατα.*

10α Ὃς ἐπάταξεν ἔθνη πολλά.

Εἴτε τὰ ἀποτειχίζοντα τοῖς Ἰουδαίοις τὴν πάροδον, εἴτε τὰ ἐν Παλαιστίνῃ· ἐπιτόμως δὲ πάντα λέγει καὶ κατὰ παραδρομήν.

10β Καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς.

Τοὺς ἡγεμόνας αὐτῶν.

11α Τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν.

Σηὼν μὲν γὰρ πλούτῳ καὶ στρατοπέδοις περιβόητος ἦν, Ὢγ δὲ μεγέθει καὶ Nu 21.21-35
ῥώμῃ σώματος, πολυθρύλητος· φασὶ γὰρ αὐτὸν καὶ κλίνῃ σιδηρᾷ κεχρῆσθαι,
ἐννέα μὲν πηχῶν τὸ μῆκος, πέντε δὲ τὸ εὖρος ἐχούσῃ. Dt 3.11

11β Καὶ πάσας τὰς βασιλείας Χαναάν.

Τῆς Παλαιστίνης, ἐν ᾗ ἔθνος εἰδικῶς παρὰ τ' ἄλλα Χαναναῖοι καλούμενον.

12 Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ.

Δὶς εἶπε κληρονομίαν, τὸ δαψιλὲς αὐτῆς ἐμφαίνων — κληρονομίαν, ὄντως κληρονομίαν.

13 Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.

Διὰ ταῦτα, φησὶ, τὸ ὄνομά σου καὶ ἡ μνήμη σου ἀΐδια ἔσονται, εἰς τὸν αἰῶνα καὶ εἰς πάσας γενεὰς, παρὰ τοῖς οὕτως εὐεργετηθεῖσιν.

14α Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ.

Κρινεῖ αὐτὸν, ἤγουν ἐκδικήσει βλαπτόμενον παρ' ἐχθρῶν.

14β Καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

Ἱλεουμένοις αὐτὸν, ἐπικαμφθήσεται.

Ἢ κρινεῖ μὲν τὸν λαὸν ἁμαρτάνοντα καὶ δίκας ἀπαιτήσει· μετανοοῦσι δὲ παρακληθήσεται καὶ ἀντιλήψεται αὐτῶν.

15 Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.

Εἶπε τοῦτο καὶ ἐν τῷ ριγ′ ψαλμῷ. Ps 113.12

Καὶ μὴν καὶ αἱ παρ' ἡμῖν ἅγιαι εἰκόνες, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων, ἀλλ' οὐκ εἴδωλα, διότι ἐκείνων μὲν τὰ πρωτότυπα, ἀνυπόστατα καὶ ψευδῆ — θεοὺς γὰρ ἐπεφήμιζον οὐκ ὄντας, ἀλλὰ δαίμονας, ψευδομένους τὴν θεότητα — τῶν δὲ παρ' ἡμῖν εἰκόνων τὰ πρωτότυπα, ὄντα, καὶ ἀληθεύοντα ὃ καλοῦνται· κἀκεῖνα μὲν, εἴδωλα μιαρῶν, ταῦτα δὲ, εἰκόνες ἁγίων.

16- Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται, ὦτα ἔχουσι
17α καὶ οὐκ ἐνωτισθήσονται.

Εἶπε καὶ ταῦτα ἐν τῷ ῥηθέντι ψαλμῷ. Ps 113.13-14

17β Οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν.

Τοῦτο, αἰτία τῆς ἀναισθησίας· ἐμφιλοχωρεῖ δὲ τῇ κωμῳδίᾳ, ἐπιτείνων τὴν διαβολὴν αὐτῶν.

12[1] λαῷ VL[TRa] : δούλῳ MPSCBF[cf. Ps 135.22].

18 Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.

Καὶ ταῦτα ἐν ἐκείνῳ εἴρηται τῷ ψαλμῷ. Ps 113.16

19-20 Οἶκος Ἰσραὴλ, εὐλογήσατε τὸν Κύριον· οἶκος Ἀαρὼν, εὐλογήσατε τὸν Κύριον· οἶκος Λευὶ, εὐλογήσατε τὸν Κύριον· οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον.

Ἐν ἐκείνῳ καὶ ταύτην ἐποιήσατο τὴν διαίρεσιν τῶν ταγμάτων, καὶ ζήτησον τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν. Ἀλλ᾽ ἐκεῖ μὲν, *ἤλπισε*, γέγραπται, ἐνταῦθα δὲ, Ps 113.17-19 *εὐλογήσατε*, διὰ τὰς δηλωθείσας εὐεργεσίας. Εἰπὼν δὲ τὸν Ἀαρὼν, ἀνέδραμεν εἰς τὸν φύλαρχον, καθολικώτερον καὶ φανερώτερον τὸν λόγον ποιῶν. |

21α Εὐλογητὸς Κύριος ἐκ Σιών.

Εἴρηται τοῦτο καὶ ἐν τῷ ρκζ´ ψαλμῷ. Ps 127.5α

21β Ὁ κατοικῶν Ἰερουσαλήμ.

Ἐν τῷ ναῷ τῆς Ἰερουσαλήμ.

135 ρλε´

1α Ἀλληλούϊα.

Καὶ οὗτος ὁ ψαλμὸς, τῷ πρὸ αὐτοῦ πολλὰ συνᾴδων, ὁμοίαν ἔχει τὴν ἐπιγραφήν.

1β Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εὐχαριστεῖτε αὐτῷ ὑπὲρ τῶν μυρίων εὐεργεσιῶν. Ἡρμήνευται δὲ ὁ στίχος οὗτος καὶ ἐν τῇ ἀρχῇ τοῦ ρε´ ψαλμοῦ τρόπον ἕτερον. Ps 105.1β

Καὶ ἐν ὅλοις δὲ τοῖς ἐφεξῆς στίχοις, ἀκροτελεύτιον τὸ, *ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ*, πρὸς ἐπίτασιν τοῦ ὕμνου τοῦ τοιούτου ἐλέους, ἢ πρὸς ἔκπληξιν.

2 Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν.

Τῶν ψευδωνύμων· εἰ γὰρ καὶ ἠτιμώμενοι καὶ προσκεκρουκότες οἱ δαίμονες, ἀλλὰ δοῦλοι, καὶ ὑποκύπτοντες ἐξ ἀνάγκης.

3 Ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν κυρίων.

Τῶν προσκαίρων κυρίων, τῶν οὐκ ὄντως κυρίων· *Ὁ Βασιλεὺς γὰρ*, φησὶ, *τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων*. 1Tim 6.15

1α[2] *πολλά* MPSBF[L] : om. CV.

4 Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ.

Τὸ, *μόνῳ*, πρὸς ἀντιδιαστολὴν κεῖται τῶν εἰδώλων.
Κύριον γὰρ λέγει, τὸν ἐν τρισὶ προσώποις ἕνα Θεόν.

5 Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει.

Ἐν σοφίᾳ. Προσμαρτυρεῖ δὲ τῷ Θεῷ, διὰ τῶν εἰρημένων, ἀγαθότητα καὶ ἐλεημοσύνην, καὶ κυριότητα πάντων καὶ δύναμιν καὶ σοφίαν.

6 Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων.

Εἴρηται καὶ ἐν τῷ κγ΄ ψαλμῷ, *Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν*, καὶ ζήτησον τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν. Ps 23.2

7-9 Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός.

Καὶ ἐποίησε, φησὶν, *ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτὸς, καὶ ἔθετο αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός.* Gen 1.16-18

10 Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν.

Τῷ πλήξαντι Αἴγυπτον.

11-12 Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ.

Αὐτῶν, δηλαδὴ τῶν Αἰγυπτίων. Χεῖρα δὲ καὶ βραχίονα, τὴν δύναμιν ὀνομάζει· μεγάλης γὰρ δυνάμεως τὰ ἐν Αἰγύπτῳ σημεῖα καὶ τέρατα, καὶ ἡ ἐκεῖθεν ἐξαγωγὴ τοῦ λαοῦ, περὶ ὧν ὁ οζ΄ ψαλμὸς κατὰ μέρος διέξεισι. Ps 77.12-53

13-15 Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν.

Διαιρέσεις λέγει, τὰ τμήματα, διχῇ γὰρ διεῖλεν αὐτήν· περὶ ὧν ἁπάντων ἡ τῆς Ἐξόδου βίβλος διδάσκει. Ἐκτίναξιν δὲ λέγει, τὴν καταπόντισιν, τὴν ῥῖψιν· *Ἵππον γὰρ*, φησὶ, *καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν.* Ex 15.1

16 Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ.

Καὶ τοῦτο γὰρ οὐκ ἔλαττον θαῦμα τοῦ διὰ μέσης τῆς Ἐρυθρᾶς διαγαγεῖν αὐτούς. Πολλὰ γὰρ τὰ τρύχοντα ἐν τῇ ἐρήμῳ — λιμὸς, δίψα, αὐχμὸς, ἀκτὶς φλογωδεστέρα, θηρίων πλήθη, καὶ ἄλλα δεινὰ μυρία, ὧν ἁπάντων τῆς βλάβης ἀνωτέρους αὐτοὺς διήγαγε. Παρατρέχει δὲ τὰ πολλὰ, παραχωρῶν ἐκλέγεσθαι πάντα κατὰ | σχολὴν ἀπὸ τῆς βίβλου Μωυσέως.

17-22 Τῷ πατάξαντι βασιλεῖς μεγάλους, καὶ ἀποκτείναντι βασιλεῖς κραταιοὺς, τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ.

Εἴρηται ταῦτα καὶ ἐν τῷ προλαβόντι ψαλμῷ. Ps 134.10-12

23-24 Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.

Ταπεινουμένων ἡμῶν, ἤτοι κακοπαθούντων. Ἰδὼν γὰρ, φησὶν, εἶδον τὴν *κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ*. Ἡμῶν δὲ καὶ ἡμᾶς εἶπε, διὰ τοὺς Ex 3.7
προγόνους, οἰκειούμενος τὰ ἐκ τοῦ γένους.

Εἶτα ἀφεὶς τὰς εἰς Ἰουδαίους εὐεργεσίας, ἐπὶ τὴν καθολικὴν ἔρχεται πρόνοιαν τοῦ Θεοῦ.

25 Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί.

Κατάλληλον ἑκάστῃ φύσει.

26 Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ.

Τῷ Ποιητῇ καὶ Δεσπότῃ τοῦ οὐρανοῦ· εἰ δὲ τοῦ οὐρανοῦ, πάντως καὶ τῆς γῆς. Ἢ τοῦ οὐρανοῦ εἶπεν, ὡς ἐκεῖ λεγομένου κατοικεῖν.

Δυνάμεθα δὲ καὶ τὸν προλαβόντα ψαλμὸν καὶ τὸν παρόντα προσαρμόσαι ἡμῖν, καὶ προτρέπεσθαι ἀλλήλους εὐχαριστεῖν τῷ Θεῷ, τῷ ποικίλως εὐεργετήσαντι τὸν πάλαι λαὸν αὐτοῦ, καὶ καταβαλόντι τοὺς ἐχθροὺς αὐτοῦ, καὶ ποιήσαντι τάδε καὶ τάδε.

Εἰ δὲ καὶ ἀναγωγικώτερον ἐπιχειροίημεν, Ἰακὼβ μὲν καὶ Ἰσραὴλ ὀνομάζειν, τὸν ἐκλελεγμένον νέον λαὸν, Αἴγυπτον δὲ, τὴν ἀσέβειαν καὶ ἁμαρτίαν· σημεῖα δὲ καὶ τέρατα ἐν μέσῳ αὐτῆς, τὰ διὰ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων καὶ λοιπῶν ἁγίων γενόμενα· Φαραὼ δὲ, τὸν διάβολον· δούλους δὲ αὐτοῦ, τοὺς δαίμονας καὶ τοὺς λατρεύοντας αὐτοῖς· ἔθνη δὲ πολλὰ παταχθέντα, τὰ τῶν δαιμόνων· βασιλεῖς

22[3] δούλῳ VL[TRa] : λαῷ MPSCBF[cf. Ps 134.12]. 26[6] πάλαι MSCBFV : παλαιόν P.

δὲ κραταιούς, τοὺς κυριωτέρους ἐν αὐτοῖς ἢ καὶ ἡγεμονικωτέρους· Σηὼν δὲ καὶ Ὤγ, αὐτὸν τὸν Σατανᾶν καὶ τὸν μετ' ἐκεῖνον εὐθύς· βασιλείας δὲ Χαναὰν, τὰς δυναστείας τῆς κακίας· γῆν δὲ αὐτῶν δοθεῖσαν τῷ νέῳ Ἰσραὴλ, τὰς χώρας ὧν αὐτοὶ κυριεύοντες ἀπηλάθησαν· οἶκον δὲ Ἰσραὴλ μὲν ἁπλῶς, τὸν σύμπαντα λαόν· Ἀαρὼν δὲ, τοὺς ἱερεῖς· Λευὶ δὲ, τοὺς διακόνους· φοβουμένους δὲ τὸν Κύριον, τοὺς παρὰ τούτους ἐναρέτους· Σιὼν δὲ, τὴν Ἐκκλησίαν· πρωτότοκα δὲ Αἰγύπτου, τὰ ἡδύτερα πάθη ἢ τὰ περισπουδαστότερα τοῖς δαίμοσιν· Ἐρυθρὰν δὲ θάλασσαν, τὴν ἁλμυρίδα καὶ πικρίαν τῶν ἀσεβῶν δογμάτων, ἥτινι ἐναπολαμβανόμενοι οἱ ἄπιστοι, ἀποπνίγονται· ἔρημον δὲ, τὴν ἀκαρπίαν τῆς πλάνης, ἣν διερχόμενοι οἱ εὐσεβεῖς, εἰς τὴν καρποφόρον ἀλήθειαν καταντῶσι· ταπείνωσιν δὲ ἡμῶν ὑποληπτέον, οὐ μόνον τὴν ἐκ πειρασμῶν, τὴν ἀκούσιον, ἀλλὰ καὶ τὴν ἐνάρετον, τὴν ἑκούσιον.

136 ρλϛ'

1α Ψαλμὸς τῷ Δαυίδ.

Προσώπῳ τῶν ἐν Βαβυλῶνι δορυαλώτων ἱερέων καὶ Λευϊτῶν καὶ ψαλτῳδῶν οὗτος ὁ ψαλμὸς, ἅμα μὲν προλέγων τὰ ἐκεῖ γενησόμενα τούτοις, ἅμα δὲ καὶ διδάσκων αὐτοὺς τοιαῦτα ποιεῖν τότε, καὶ οὕτως εἰς οἶκτον ἐπισπᾶσθαι τὸν Θεόν.

Ἀνεπίγραφος δὲ παρ' Ἑβραίοις καὶ οὗτος.

1β Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.

Αἰχμάλωτοι γὰρ ὄντες, ἔξω τειχῶν καὶ πόλεων ηὐλίζοντο, | διὸ καὶ παρὰ τὰς ὄχθας τῶν ποταμῶν πολλάκις φοιτῶντες, ἡσυχῇ καὶ καθ' ἑαυτοὺς ἐθρήνουν.

Ἐπεὶ γὰρ ἐν χερσὶ τὰ ἀγαθὰ ἔχοντες, ἐξύβριζον, ἐξέπεσον αὐτῶν, ἵνα καταστῶσιν εἰς ἐπιθυμίαν αὐτῶν. Οὕτω γὰρ εἴωθεν ὁ Θεὸς τοὺς ἀνεπαισθήτους τῶν εὐεργεσιῶν εἰς συναίσθησιν αὐτῶν ἄγειν, διὰ τῆς ἐκπτώσεως.

2 Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.

Ἐπὶ ταῖς ἰτέαις, ταῖς κατὰ τὰς ὄχθας τῶν ποταμῶν, τῶν ἐν μέσῳ τῆς χώρας τῆς Βαβυλῶνος. Ὄργανα δὲ λέγουσι, τὰ τῶν ᾠδῶν, οἷον, ψαλτήριον, κιθάραν, καὶ τὰ τοιαῦτα. Καὶ γὰρ ἐπεφέροντο ταῦτα πρὸς ὑπόμνησιν θεοσεβείας, καὶ κρεμάσαντες, ἐθεώρουν, καὶ ἀφορμὴν ταῦτα μάλιστα θρήνων ἐποιοῦντο, τῆς ἐν Σιὼν λατρείας καὶ πολιτείας ὑπομιμνησκόμενοι.

3α Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον.

1α[3] ἐκεῖ MS[2]CBFV : ἐκεῖθεν P. 2 Add. [MPF in marg.]BV: Ἐπὶ τῇ ἀργίᾳ· διὰ γὰρ τῶν ὀλιγοκάρπων καὶ ἀκάρπων ἰτεῶν, τὸ ἐν ᾠδαῖς ἀπρακτεῖν ἐδήλωσαν : om. CS[2].

Ἐπηρώτησαν ἡμᾶς ἀποκριθῆναι ῥήματα ᾠδῶν, ἔτι δὲ καὶ ὕμνον, τουτέστιν, ἐκέλευσαν ᾆσαι, τερφθῆναι ἁπλῶς βουλόμενοι, ἢ καὶ διαγελᾶσαι τὰ σεμνὰ ἡμῶν.

3β Ἄισατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.

Λέγοντες δηλονότι ὅτι ᾄσατε.

4 Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;

Ἀπεκρίθημεν δηλονότι, Πῶς ᾄσωμεν, κωλύοντος ἡμᾶς τοῦ νόμου; Dt 12.5
Ὅρα πόσον ἐβελτίωσεν αὐτοὺς ἡ αἰχμαλωσία· παραβαίνοντες γὰρ τὸν νόμον ἐπὶ τῆς ἰδίας γῆς, φυλάττουσιν αὐτὸν ἐπὶ τῆς ἀλλοτρίας· γῆ δὲ ἀλλοτρία, καὶ πᾶσα καρδία ἀλλοτρία θεοσεβείας· ὡς συμβαίνειν ἐνταῦθα τὸ, Μὴ δῶτε τὰ ἅγια τοῖς κυσὶ, μηδὲ ῥίπτετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων. Mt 7.6

5 Ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου.

Ἡ δύναμίς μου, ἡ ἐνέργειά μου, τουτέστι, πάρετος γενοίμην· ἢ ξηρανθείη ἡ δεξιά μου, ὡς μηδ᾽ ἐπαισθάνεσθαί με αὐτῆς.

6α Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ.

Ἐπισχεθείη ἡ φωνή μου, ἤγουν ἀφαιρεθείην καὶ πρᾶξιν καὶ λόγον, ὧν τὸ μὲν διὰ τῆς δεξιᾶς, τὸ δὲ διὰ τῆς γλώττης ἐδήλωσε.
Ταῦτα δὲ καὶ ἡμεῖς ὀφείλομεν λέγειν περὶ τῆς ἄνω Ἱερουσαλήμ.

6β Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.

Τάδε καὶ τάδε πάθοιμι, ἐὰν μὴ πρὸ τῶν ἄλλων ἁπάντων ἀνατάξωμαι ἐν τῇ μνήμῃ μου τὴν Ἱερουσαλὴμ, ὡς ἐν ἀρχῇ οὖσαν τῆς οἵας δήποτε εὐφροσύνης μου, ὡς κεφάλαιον χαρᾶς μου, ὡς πρώτην ἡδονήν.

7 Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ, τὴν ἡμέραν Ἱερουσαλὴμ, τῶν λεγόντων, Ἐκκενοῦτε, ἐκκενοῦτε, ἕως τῶν θεμελίων αὐτῆς.

Υἱοὺς Ἐδὼμ λέγει, τοὺς Ἀραβίους, οἳ συνεμάχησαν τοῖς Βαβυλωνίοις κατὰ 4Rg 24.2
τῆς Ἱερουσαλὴμ, καὶ κατασκαπτομένης, ἤπειγον τούτους, κατασκάπτειν καὶ 2Par 36.19
αὐτὰ τὰ θεμέλια. Μνήσθητι, φησὶν, αὐτῶν, εἰς ἀνταπόδοσιν, ὅτι δίκαια συγγενείας ἔχοντες, ἐγένοντο πικρότεροι τῶν πολεμίων διὰ τὸν φθόνον.

5 [M in marg.]PBV: Δεξιὰν μὲν λέγει, τὴν πρᾶξιν τῆς ἀρετῆς, γλῶσσαν δὲ, τὴν θεωρίαν τῆς γνώσεως· ἡ μὲν γὰρ γλῶσσα, λόγου σύμβολον, ὁ δὲ λόγος, θεωρίας καὶ γνώσεως· λάρυγγα δὲ, τὸ περὶ τὸν λαιμὸν πάθος, ἤτοι τὴν ἡδονήν. Ἐπιλησθείη μοι, φησὶν, ἡ πρακτικὴ μὲν ἐνέργεια τῇ ἀργίᾳ, ἡ δὲ θεωρητικὴ, κολληθείη τῇ ἡδονῇ τῶν βρωμάτων, καὶ ἀκίνητος μείνοι πρὸς τὴν ἡδονὴν τῶν θείων γνώσεων. : om. S^2CF.

Εἰπὼν δὲ, *τῶν υἱῶν Ἐδὼμ*, προσέθηκε, *τὴν ἡμέραν Ἰερουσαλὴμ*, τὴν ἡμέραν τῆς συμφορᾶς Ἰερουσαλήμ. Ἀδιαφόρως δὲ ἀπὸ γενικῆς εἰς αἰτιατικὴν μεταβέβηκεν· ἢ τῶν υἱῶν Ἐδὼμ, τῶν κατὰ τὴν συμφορὰν τῆς πόλεως.

8α Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος.

Ὥσπερ υἱὸν ἀνθρώπου, τὸν ἄνθρωπον σύνηθες Ἑβραίοις ὀνομάζειν, οὕτω καὶ θυγατέρα Βαβυλῶνος, τὴν Βαβυλῶνα. | Ὦ ἡ θυγάτηρ Βαβυλῶνος, ἡ ταλαίπωρος· ὦ Βαβυλὼν ἀθλία, διὰ τὰ συμβησόμενά σοι δεινά. Προαγορεύει γὰρ καὶ ταύτῃ τὸν ὄλεθρον.

8β Μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν.

Ταῦτα, ῥήματα τοῦ λαοῦ, σφόδρα γλιχομένου τῆς καταστροφῆς τῶν ἐχθρῶν. *Ἀνταπόδομα δὲ, ὃ ἀνταπέδωκας ἡμῖν*, ἀντὶ τοῦ, τὴν ἀπόδοσιν, ἤτοι κάκωσιν, ἣν ἀπέδωκας ἡμῖν· περιττῆς κειμένης τῆς προθέσεως ἐπὶ τούτων, ὡς καὶ ἐν ἄλλοις εἰρήκαμεν. Ps 7.4

9 Μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.

Μέχρι τῆς ἀώρου ἡλικίας ἐκτείνουσι τὴν ὀργὴν, μακαρίζοντες τὸν καὶ τοῖς νηπίοις αὐτῆς ἀπανθρώπως καὶ ὠμῶς χρώμενον.

Ἀλλ᾽ οὐ τὰ ἡμέτερα τοιαῦτα, τῶν μαθητῶν τοῦ πράου καὶ φιλανθρώπου καὶ Mt 11.29
ἀγαπᾶν μάλιστα τοὺς ἐχθροὺς καὶ περιέπειν αὐτοὺς κελεύοντος. Mt 5.44

Ἀλλ᾽ ἀνακτέον ἤδη καὶ ὅσα τοῦ ψαλμοῦ εὐμεταχείριστα πρὸς ἀναγωγήν.

Υἱοὺς Ἐδὼμ νοήσεις, τοὺς δαίμονας, ἐγκελευομένους ἀλλήλοις ἐκκενοῦν τὸν πλοῦτον τῆς ψυχῆς ἕως ἐσχάτου· ταύτην γὰρ Ἰερουσαλὴμ ἡγητέον.

Βαβυλὼν δὲ ταλαίπωρος, ἡ ἀσέβεια, ἡ ταλαιπωρήσασα, καταδυναστευσάσης ἤδη τῆς εὐσεβείας, ἣν ὁ καθελὼν μακάριος· νήπια δὲ αὐτῆς, οἱ ἀρτιγέννητοι ἐμπαθεῖς λογισμοὶ ἢ οἱ νηπιώδεις καὶ ἀνόητοι, ὧν ὁ κυριεύων καὶ προσαράσσων αὐτοὺς τῇ πέτρᾳ τῆς πίστεως ἢ τῷ Χριστῷ — *ἡ δὲ πέτρα ἦν, φησὶν, ὁ Χριστὸς* 1Cor 10.4
— καὶ οὕτω διαφθείρων, μακάριος.

137 ρλζʹ
1α Ψαλμὸς τῷ Δαυίδ.

1β Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.

Εἴρηται τοῦτο καὶ ἐν τῇ ἀρχῇ τοῦ θʹ ψαλμοῦ. Ps 9.2α

1γ Καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι.

Ἐνώπιον ἀγγέλων, ἤγουν μετ᾽ ἀγγέλων ᾄσω σοι, κάτωθεν, ὧν ἔργον, ὑμνεῖν σε.
Ἢ ἀγγέλους λέγει, τοὺς ἱερεῖς· εἴωθε γὰρ ἡ Γραφὴ καὶ ἀγγέλους καλεῖν τοὺς ἱερεῖς, καὶ θεοὺς, νῦν μὲν λέγουσα, *Χείλη ἱερέων φυλάξεται κρίσιν, καὶ ἐκ στόματος αὐτοῦ ζητήσουσι δικαιοσύνην, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστι*, *νῦν δὲ*, Θεοὺς *οὐ κακολογήσεις καὶ ἄρχοντας τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.* Mal 2.7
Ἐνώπιον, φησὶ, τῶν ἱερέων ᾄσω σοι εὐχαριστήρια. Ex 22.27

1δ Ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου.

Ὅτι ἐπήκουσας πάσης δεήσεώς μου, κατὰ τὸ πρέπον γενομένης.

2α Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου.

Ἀποδώσων τὰ εὐχαριστήρια.

2β Καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου.

Καὶ εὐχαριστήσω, ὅτι ἠλέησάς με καὶ ἀληθῶς ἠλέησας, ὡς καὶ ἐν ἄλλοις εἰρήκαμεν· ἢ καὶ ὅτι ἠλήθευσας ἃ ὑπέσχου μοι. Ps 113.9γ

2γ Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου.

Καὶ ὅτι ἐθαυμάστωσας εἰς πᾶν ἔργον, ἢ ἐν παντὶ, τὸ ὄνομά σου τὸ ἅγιον· πάντα γὰρ ὅσα ἐποίησας κηρύττουσι τὴν μεγαλοσύνην τοῦ ὀνόματός σου. Ἕτερος δὲ ἑρμηνευτὴς ἐξέδωκεν, ὅτι ἐμεγάλυνας ὑπὲρ πᾶν.

3α Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Εἶπε τοῦτο καὶ ἐν τῷ ρα΄ ψαλμῷ. Ps 101.3β

3β Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου.

Πολλῆς ἐπιμελείας ἀξιώσεις με κατὰ ψυχὴν, ὡς δυνάμενος τοῦτο ποιῆσαι.
Ἢ ἐν τῇ δυνάμει σου ἐπὶ πολὺ ἀρεῖς με κατὰ ψυχὴν, τουτέστιν, ὑψώσεις τὴν ψυχήν μου, ὑπὲρ ἄνω ποιήσεις τῶν θλίψεων.
Εἴρηκε δὲ καὶ ἐν τῷ τέλει τοῦ ια΄ ψαλμοῦ, *Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.* | Ps 11.9β

4α Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς.

Οἱ εὐσεβεῖς. Εἶτα ἡ αἰτία, δι' ἣν εὐχαριστεῖν κελεύονται.

4β *Ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου.*

Τὰ διὰ τοῦ νόμου καὶ τῶν προφητῶν, τὰ διὰ τοῦ Εὐαγγελίου καὶ τῶν ἀποστόλων. Οὐ τοσοῦτον γὰρ διὰ τὰς ἄλλας εὐεργεσίας ὀφείλουσιν εὐχαριστεῖν, ὅσον διὰ τοῦτο, καὶ γὰρ ἐντεῦθεν ἡ εὐσέβεια καὶ ὁ ἐνάρετος βίος· καὶ τοῦτο, ἡ ἀληθὴς εὐεργεσία τῆς ψυχῆς.

5α Καὶ ᾀσάτωσαν ἐν ταῖς ᾠδαῖς Κυρίου.

Ἀισάτωσάν σοι διὰ τῶν ᾠδῶν τῶν εἰς σὲ πεποιημένων· ᾠδαὶ γὰρ Κυρίου, αἱ παρὰ Μωυσέως γεγενημέναι, καὶ αἱ παρὰ Δαυίδ.

Εἶεν δ' ἂν ᾠδαὶ, καὶ αἱ ἁπλῶς ὑμνολογίαι Θεοῦ.

5β *Ὅτι μεγάλη ἡ δόξα Κυρίου.*

Μεγάλη ἡ περὶ Θεοῦ ὑπόληψις· μέγαν αὐτὸν ὑπολαμβανόντων πάντων, ὅσοις αἴσθησις τῶν εὐεργεσιῶν αὐτοῦ.

Ἢ, πολλὴ καὶ ἡ δόξα αὐτοῦ· *Πλήρης γὰρ, φησὶν, ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ*, δοξαζόντων αὐτὸν καὶ ἀγγέλων καὶ ἀνθρώπων. Isa 6.3

6α *Ὅτι ὑψηλὸς Κύριος καὶ τὰ ταπεινὰ ἐφορῶν.*

Ὅμοιον τοῦτο τῷ, *Ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν*, ἐν τῷ ριβʹ ψαλμῷ. Ps 112.5β-6α

Ἢ ὑψηλὸς μὲν τὴν φύσιν, τὰ ταπεινὰ δὲ ἐφορῶν, ὡς καὶ τῆς γῆς προνοούμενος, καὶ μέχρι τῶν εὐτελεστάτων ἐκτείνων τὴν πρόνοιαν.

Ἢ καὶ τοὺς ταπεινόφρονας ἐφορῶν, καὶ φυλάττων αὐτούς.

6β Καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.

Τὰ μὲν γὰρ ταπεινὰ τῶν πράξεων, καὶ ἀνάξια τοῦ ὕψους αὐτοῦ, οὐδ' ἐκ τοῦ σύνεγγυς ἀνέχεται ὁρᾶν· Οὐκ οἶδα γὰρ, φησὶν, ὑμᾶς. Τὰ δὲ ὑψηλὰ καὶ ἄξια καὶ πόῤῥωθεν οἶδε· *Γινώσκει γὰρ, φησὶν, ὁ Κύριος ὁδὸν δικαίων*. Ἐμφαντικὸν δὲ τοῦτο τῆς πολλῆς ἐπὶ τούτοις ἀρεσκείας αὐτοῦ. Mt 25.12 Ps 1.6α

Ἢ περὶ προγνώσεως ὁ λόγος, ὅτι πόῤῥωθεν καὶ πρὸ τοῦ γενέσθαι οἶδεν αὐτά. Sus 35α

7α Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με.

Πειρασμοῖς ἐμπεσόντα, διασώσεις· κινδύνοις ἐναπειλημμένον, ζωογονήσεις.

6α[1] ἐφορῶν MPS[2]CBF : ἐφορᾷ V[TRa}.

7β Ἐπ᾽ ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖρά σου.

Ἐπὶ τὴν μανίαν καὶ λύτταν αὐτῶν ἐξέτεινας τὴν χεῖρά σου καὶ κατέσβεσας αὐτήν.

7γ Καὶ ἔσωσέ με ἡ δεξιά σου.

Ἡ δύναμίς σου.

8α Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ.

Ἀνταποδώσει τοῖς ἐχθροῖς μου· *Ἐμοὶ γὰρ*, φησὶν, *ἐκδίκησις, ἐγὼ ἀνταποδώσω*. Heb 10.30

8β Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα.

Ὅμοιον τοῦτο τῷ, *Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ*, πολλάκις ῥηθέντι. Ps 135.1β

8γ Τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Καὶ ἐλεήμων, φησὶν, εἶ, καὶ δημιουργός. Δι᾽ ἀμφότερα οὖν ἐπίβλεψον ἐφ᾽ ἡμᾶς εὐμενὲς καὶ κηδεμονικὸν, καὶ μὴ παρίδῃς τυραννουμένους καὶ ἀπολλυμένους, ἢ καὶ δεομένους καὶ ἐπικαλουμένους σε.

138 ρλη´

1α Ψαλμὸς τῷ Δαυίδ.

1β Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με.

Ἐδοκίμασάς με, τῷ δοκιμίῳ τῶν πειρασμῶν, οὐχ ὡς ἀγνοῶν με πρὸ πείρας· πῶς γὰρ, *ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν*; Ἀλλ᾽ ἵνα γνωσθῶ τοῖς ἀγνοοῦσί με Sus 35α
δόκιμος καὶ γένωμαι τούτοις καρτερίας ὑπόδειγμα. Καὶ ἔγνως με πρὸς ἀκρίβειαν, οἷός εἰμι· ἤ, ἐδοκίμασας καὶ ἔγνως με, ἀντὶ τοῦ, ἀκριβῶς οἶδάς με.
Καὶ ὁ Ἀπόστολος γὰρ, λέγων ὅτι ἐρευνᾷ τὰς καρδίας, οὐκ ἄγνοιαν ἐμφαίνει Rom 8.27
πρὸ τῆς ἐρεύνης, ἀλλ᾽ ἀκριβῆ γνῶσιν καὶ σαφῆ.

2α Σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου.

Τουτέστι, τὸν βίον μου· ἐν τούτοις γὰρ ὁ βίος, ἐν ἠρεμίᾳ καὶ κινήσει, ἐν σχολῇ καὶ ἀσχολίᾳ, ἐν ἡσυχίᾳ καὶ ἐνεργείᾳ. |

2β Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν.

Ἵνα μή τις αὐτὸν ὑπολάβοι δοκιμάζοντα γινώσκειν, ἐθεράπευσε τὸν λόγον. Ὁ γὰρ τοὺς διαλογισμοὺς εἰδὼς, καὶ τούτους πρὸ τοῦ κινηθῆναι αὐτοὺς, μᾶλλον δὲ πρὸ πολλοῦ χρόνου, πῶς ἂν δεηθείη δοκιμασίας;

3α Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας.

Τὴν ὁδὸν τοῦ βίου μου πᾶσαν, καὶ τὸ μέτρον αὐτῆς, ὅσον μὲν προέβη, ὅσον δὲ λείπεται, σὺ λίαν ἐπίστασαι. Σχοῖνος γὰρ, μέτρον ὁδοῦ παρ' Αἰγυπτίοις καὶ Πέρσαις· ὃ γάρ ἐστι παρ' ἡμῖν τὸ στάδιον, τοῦτο παρ' ἐκείνοις, ἡ σχοῖνος.
Τὸ δὲ, *ἐδοκίμασας* καὶ *ἐξιχνίασας* ἐπὶ Θεοῦ, τὴν ἀσφαλῆ γνῶσιν ἐμφαίνουσι.

3β Καὶ πάσας τὰς ὁδούς μου προεῖδες.

Πάσας τὰς πράξεις μου, τὰς ἀγαθὰς καὶ τὰς πονηράς. Οὐκ εἶπε δὲ ὅτι εἶδες, ἀλλ' ὅτι προεῖδες, πρὸ τοῦ γενέσθαι αὐτάς.

4 Ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου.

Ἔγνως καὶ τοῦτο μετὰ τῶν ἄλλων, ὅτι οὐκ ἔστι κακία ἐν λόγοις μου, οὐκ ἔστι πανουργία ἢ σκολιότης. Εἶτα λέγει καθολικώτερον.

5α Ἰδοὺ, Κύριε, σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα.

Τὰ τελευταῖα καὶ τὰ πρῶτα, τουτέστι, σύμπαντα, συλλήβδην, καὶ οὐδὲν διέφυγε τὴν σὴν γνῶσιν· ἔγνως, φησὶ, πάντα, τά τε γενησόμενα, τά τε γεγονότα.

5β Σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

Οὐ μόνον ἔπλασας, ἀλλὰ καὶ διακρατεῖς καὶ σκέπεις, ὡς εἶναι τὸ μὲν τῆς δημιουργίας, τὸ δὲ τῆς προνοίας δηλωτικόν.

6α Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ.

Τὸ γνῶναί σε ἐμεγαλύνθη ὑπὲρ ἐμέ· οὕτω γὰρ ἕτερος ἑρμηνεὺς ἐξέδωκεν· ὑπὲρ τὴν ἐμὴν γέγονε κατάληψιν. Ὃ καὶ διὰ τοῦ ἐφεξῆς ἐσαφήνισε στίχου, λέγων·

6β Ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.

Ἰσχυροτέρα γέγονεν ἢ ὥστε καταληφθῆναι τοῖς ἐμοῖς λογισμοῖς· οὐ μὴ ἰσχύσω πρὸς αὐτὴν, ὥστε περιδράξασθαι αὐτῆς.

Γνῶσιν δὲ λέγει, τὴν κατὰ φύσιν, ὅτι μὲν γάρ ἐστιν, ἴσμεν, τὸ δὲ τί τὴν οὐσίαν ἐστὶν, ἀγνοοῦμεν· ἀλλὰ καὶ ὅτι μὲν πανταχοῦ ἐστι, γινώσκομεν, τὸ δὲ πῶς, οὐκ ἴσμεν· καὶ ὅτι μὲν ἀγαθὸς καὶ φιλάνθρωπος καὶ σοφὸς καὶ δυνατὸς καὶ τὰ τοιαῦτα οἴδαμεν, τὸ δὲ πόσον, οὐκ οἴδαμεν.

Τούτῳ δὲ συνᾴδει καὶ ὁ Ἐκκλησιαστὴς λέγων, *Εἶπα, Σοφισθήσομαι, καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ, ὑπὲρ ὃ ἦν· καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτήν;* Καὶ ὁ Παῦλος Eccl 7.23-24
δέ φησιν, *Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.* Rom 11.33

Τινὲς δὲ καὶ οὕτω νενοήκασιν· ἐθαυμαστώθη ἡ σοφία σου ἐκ τῆς ἐμῆς διαπλάσεως, ἐκ τῆς ἐμῆς κατασκευῆς, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτὴν, ὥστε ὑμνῆσαι αὐτὴν ἀξίως. Ἀλλ' εἰ μὴ οἶδας αὐτὴν ἀκριβῶς, πῶς θαυμάζεις αὐτήν; Δι' αὐτὸ τοῦτο πάντως, ὅτι ἀκατάληπτος. Καὶ τὴν ἡλιακὴν γὰρ ἀκτῖνα μὴ δυνάμενοι καταμαθεῖν, δι' αὐτὸ τοῦτο μάλιστα θαυμάζομεν.

Εἶτα, καὶ ἑτέραν θαυμάζει δύναμιν τοῦ Θεοῦ, τὸ πανταχοῦ παρεῖναι τῇ δυνάμει καὶ προνοίᾳ, καὶ πάντα τόπον πληροῦν.

7-8 Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.

Πνεῦμα καὶ πρόσωπον Θεοῦ, τὸν Θεὸν λέγει κατὰ περίφρασιν, ἢ πνεῦμα μὲν αὐτοῦ, τὸ Πνεῦμα τὸ ἅγιον, πρόσωπον δὲ αὐτοῦ, τὸν Υἱὸν, ὡς εἰκόνα τοῦ Πατρὸς, Col 1.15
καὶ χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ. *Ὁ ἑωρακὼς γὰρ,* φησὶν, *ἐμὲ, ἑώρακε* | Heb 1.3
τὸν Πατέρα. Jn 14.9

Διὰ μὲν οὖν τοῦ οὐρανοῦ, τὸ ἀνώτατον δεδήλωκε, διὰ δὲ τοῦ ᾅδου, τὸ κατώτατον. Εἶτα λέγει καὶ τὴν ἄβυσσον καὶ τὸν πυθμένα τῆς θαλάσσης, δι' ὧν ἁπάντων, πάντα τόπον ἄβατον ἀνθρώποις συμπεριέλαβεν.

9-10 Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.

Πτέρυγες αὐτοῦ, ἡ κινητικὴ δύναμις τοῦ νοῦ. Ἐὰν ταῖς πτέρυξι τοῦ νοός μου, φησὶ, καταντήσω εἰς τὴν ἄβυσσον τῆς θαλάσσης, ὥστε κἂν γοῦν ἐκεῖ δύνασθαι κρυβῆναι ἀπὸ σοῦ, καὶ ἐκεῖ ἡ δύναμίς σου ὁδηγήσει με καὶ αὖθις καθέξει με, τουτέστιν, οὐδὲ ἐκεῖ ἄνευ αὐτῆς ἀπελεύσομαι, ἀλλὰ προπορεύσεταί μου, ἐνδιδοῦσα πορεύεσθαι, καὶ καθέξει αὖθις ἐν ἀφύκτῳ. Κατ' ὄρθρον δὲ εἶπε, δηλῶν τὸν καιρὸν ὅτε μάλιστα νηφαλέος ἐστὶν ὁ νοῦς. Περιττὸν δὲ τὸ, *γάρ.* Ps 100.8a

Τινὲς δὲ ὄρθρον μὲν, τὴν ἀνατολὴν ἐνόησαν, ἔσχατα δὲ τῆς θαλάσσης, τὴν δύσιν· οἷον ἐὰν πτερύξωμαι τῷ νοΐ μου κατὰ τὴν ἀνατολὴν καὶ καταντήσω εἰς Ps 88.13a
τὴν δύσιν, καὶ εἰς τὴν ἀνατολὴν ἡ δύναμίς σου ὁδηγήσει με πτερυσσόμενον, καὶ εἰς τὴν δύσιν καταντῶντα, αὕτη καθέξει με.

11 Καὶ εἶπα, Ἆρα σκότος καταπατήσει με; καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου.

Ἐλογισάμην, ἆρα σκότος ὑποδὺς, κρυβῆναι δυνήσομαι; καὶ εἶπα ἐν ἐμαυτῷ, ἆρα σκότος κατακρύψει με; τοῦτο γὰρ τὸ, *καταπατήσει*, δηλοῖ· κρύπτει γὰρ τὸ ἔδαφος ὁ πατῶν αὐτό. Εἶτα συνῆκα ὅτι καὶ ἡ νὺξ αὐτὴ, φωτεινή ἐστιν ἐν τῷ Θεῷ, ἤτοι παρὰ τῷ Θεῷ. Τοῦτον γὰρ λέγει, τρυφὴν ἑαυτοῦ, οὗ καὶ τὴν μνήμην μόνον, εὐφροσύνην ἡγεῖται· *Ἐμνήσθην γὰρ*, φησὶ, *τοῦ Θεοῦ, καὶ ηὐφράνθην*. Ps 76.4α
Ἔγνων ὅτι οὐδὲ τὸ σκότος κρύψαι με ἀπὸ τοῦ Θεοῦ δύναται.

12α Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ.

Ἤγουν παρὰ σοί· οὕτω γὰρ ἕτερος ἐξέδωκεν, ὅτι τὸ παρ' ἡμῖν σκότος οὐκ ἔστι σκότος παρὰ σοί· ἀλλὰ καὶ αὐτὸ, φαίνει. Εἶτα σαφηνίζει τὸν λόγον.

12β Καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται.

Παρὰ σοὶ δηλονότι.

12γ Ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς.

Ὡς τὸ σκότος τῆς νυκτὸς παρὰ σοὶ φωτεινὸν, οὕτως καὶ τὸ φῶς τῆς ἡμέρας, τουτέστιν, ἴσα παρὰ σοὶ καὶ ἄμφω, καὶ ὁμοίως φωτεινά.

Ταῦτα μὲν περὶ τοῦ πάντα φανερὰ εἶναι παρὰ τῷ Θεῷ. Νοοῦνται δὲ καὶ καθ' ἑτέραν διάνοιαν, ὅτι περιστοιχισθεὶς τῷ σκότει τῶν πειρασμῶν, εἶπα καθ' ἑαυτὸν, ἆρα κατακυριεύσει μου; εἶτα, σοῦ θελήσαντος, καὶ ἡ νὺξ τῆς ἀθυμίας, φωτισμὸς εὐφροσύνης ἐγένετο· ἀκολούθως δὲ καὶ τὰ ἑξῆς ἑρμηνευτέον.

Ὁ δὲ Θεολόγος Γρηγόριος ἑτέρως ἡρμήνευσε τὸ ῥητὸν, ὅτι τρυφῶντός μου, ἡ PG36.412B
νὺξ τῆς τρυφῆς ἡ σκοτίζουσα τὸν νοῦν, φωτισμὸς ἐδόκει μοι· νὺξ γὰρ, φησὶν, ἦν περὶ ἐμὲ τὸν δείλαιον, καὶ ἠγνόουν.

13α Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου.

Φησὶν ὁ Χρυσόστομος, νεφροὺς ἐνταῦθα τὸν προφήτην ὅλον ἑαυτὸν λέγειν, PG55.416
ἀπὸ μέρους τὸ πᾶν· ὅτι σὺ ἐκτήσω με, σὸν κτῆμά με πεποίηκας, καὶ προνοίας ἀξιοῖς· ὁ γὰρ κτώμενός τι καὶ προνοεῖται αὐτοῦ.

13β Ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.

Καὶ ἐν τῷ ο' ψαλμῷ εἶπεν, *Ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής*· | ἐξ Ps 70.6β
αὐτῶν τῶν σπαργάνων, ἐκ πρώτης ἡλικίας.

12γ[10] ἠγνόουν MPSCBF: ἠγνόουν· φωτισμὸν εἶναι τὴν τρυφὴν ὑπελάμβανον. V.

14α Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης.

Πολλὰ θαυμάζομεν, ἀλλ᾽ οὐ μετὰ φόβου, οἷον, κάλλη καὶ μεγέθη σωμάτων, καὶ οἰκοδομημάτων, καὶ σοφίαν τεχνῶν, καὶ τὰ τοιαῦτα· εἰς δὲ τὸ βάθος τῆς θαλάσσης κατακύψαντες, οὐχ ἁπλῶς αὐτὸ θαυμάζομεν, ἀλλὰ μετὰ φόβου.

Λοιπὸν οὖν καὶ ὁ προφήτης εἰς τὸ ἀχανὲς πέλαγος καὶ τὸν ἄπειρον βυθὸν τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως καὶ οἰκονομίας παρακύψας, καὶ ἰλιγγιάσας, καὶ μετὰ φόβου θαυμάσας, ἀνεχώρησεν εἰς ἑαυτὸν, καὶ ἐβόησεν ὅτι, Εὐχαριστήσω σοι μόνον.

14β Θαυμάσια τὰ ἔργα σου.

Πάντα γὰρ, φησὶν, ἐν σοφίᾳ ἐποίησας. Ps 103.24β

14γ Καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.

Γινώσκει ὅτι θαυμαστὰ ταῦτα.

15α Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ.

Φανερά σοι καὶ ἡ διάπλασις τῶν ὀστέων μου, ἃ ἐποίησας ἀφανῆ ὑποκεκρυμμένα τῇ σαρκί.

15β Καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς.

Φανερά σοι καὶ ἡ οὐσία τοῦ σώματός μου, ἡ ἐν τῷ βάθει τῆς γῆς κρυπτομένη καὶ λυομένη μετὰ θάνατον· τουτέστι, καὶ συμπηγνύμενον ἐν γαστρὶ τῆς μητρὸς ὁρᾷς με, καὶ λυόμενον αὖθις ἐν κοιλίᾳ τῆς γῆς.

Ἢ καὶ ἑτέρως· Φανερά σοι καὶ ἡ ὑπόστασίς μου, ἡ πλάσις μου, ἡ ὥσπερ ἐν τοῖς κατωτάτοις τῆς γῆς, ἐν τοῖς ἐγκάτοις τῆς μητρικῆς νηδύος ὑφαινομένη.

16α Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου.

Ἢ τὸ τοῦ ἐμβρύου ἀδιατύπωτον λέγει, μήπω ἐξεικονισθέντος ἐν τῷ ἐργαστηρίῳ τῆς φύσεως, ἢ τὴν τοῦ νοὸς ἀτελῆ κίνησιν.

Οἶδας κἀμὲ, φησὶ, πρὸ τοῦ διαμορφωθῆναί με, καὶ τοὺς λογισμούς μου, πρὸ τοῦ κινηθῆναι αὐτοὺς, τουτέστιν, *οἶδας πάντα πρὶν γενέσεως αὐτῶν.* Sus 35α

16β Καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται.

Βιβλίον Θεοῦ, ἡ ἀκριβὴς γνῶσις· γραφὴ δὲ αὐτοῦ, ἡ διηνεκὴς μνήμη.

15α[3] [M in marg.]PV: Ἡ γυνὴ, ὅτε ἔφαγεν ἀπὸ τοῦ ξύλου· ὀστοῦν γὰρ αὕτη τοῦ Ἀδὰμ, ὡς ἐκ τῆς πλευρᾶς αὐτοῦ πλαστουργηθεῖσα, ἣν καὶ ἐποίησεν ἐν κρυφῇ, ἔκστασιν ἐπιβαλὼν τῷ Ἀδάμ. [Gen 3.8-10; 2.21]. : om. SCBF.

Ἐν μὲν οὖν τῷ βιβλίῳ τῆς ἁπλῆς γνώσεως γράφονται ἁπλῶς πάντες, καὶ δίκαιοι καὶ ἁμαρτωλοί· ἐν δὲ τῷ τῆς κατ' οἰκείωσιν γνώσεως, μόνοι οἱ δίκαιοι. Ps 68.29α-β

16γ Ἡμέρας πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς.

Ἐν φωτὶ τοῦ ἁγίου Πνεύματος πλασθήσονται, πλάσιν τὴν ἀρίστην τε καὶ καθαρωτάτην καὶ τῆς νυκτερινῆς καὶ σωματικῆς ἀντίθετον· καὶ ἐν αὐτοῖς τοῖς ὡς εἴρηται γραφομένοις, οὐδείς ἐστι, μὴ πλασθεὶς ὡς δεδήλωται πνευματικῶς, καὶ ῥυθμισθεὶς καὶ ἀπευθυνθείς.

Ἡμεῖς μὲν οὖν ἡρμηνεύσαμεν ὡς οἷόν τε τὸ ῥητὸν, ἐκ τοῦ Θεολόγου Γρηγορίου PG36.509B
λαβόντες ἀφορμήν. Ὁ δὲ Χρυσόστομος ἀσαφὲς τοῦτο λέγει, καὶ μόνην ἔννοιαν ἐξ
ἑτέρου ἑρμηνέως εἰσάγει, ὅτι *Ἀμόρφωτόν με εἶδον οἱ ὀφθαλμοί σου*, καὶ οὕτως PG55.417
με εἶδον, ὡς τοὺς ἐπὶ τὸ βιβλίον σου γεγραμμένους, τοὺς εὐκαίρως πλασθέντας, καὶ οὐδεμιᾶς ἡμέρας δεομένους εἰς ἀπαρτισμὸν πλάσεως.

17α Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός.

Φίλοι Θεοῦ, ὅσοι δι' ἀρετῆς οἰκειοῦνται αὐτῷ· *Ὑμεῖς γὰρ*, φησὶ, *φίλοι μού ἐστε*· οὐ μικρὸν δὲ καὶ τοῦτο μέρος ἀρετῆς, τὸ τιμᾶν τοὺς φίλους τοῦ Θεοῦ. Jn 15.14

17β Λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν.

Ἄλλος, *αἱ κεφαλαὶ αὐτῶν*, ἤγουν αὐτοὶ, κατὰ περίφρασιν· ἰσχυροὶ, φησὶ, γεγόνασιν, εἰς | ἀρετὴν, ἀήττητοι κακίας.

Ἢ ἀρχὰς νόει, τὴν ἐξουσίαν ἣν ἔλαβεν ἕκαστος κατὰ πνευμάτων ἀκαθάρτων· Mt 10.1
αἰνίττεται δὲ τοὺς ἀποστόλους καὶ τοὺς διαδόχους αὐτῶν· ἢ καὶ τοὺς κατ' αὐτὸν, ὄντας ἐναρέτους.

18α Ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται.

Καθ' ὑπερβολὴν ὁ λόγος. Ἐξαριθμήσασθαι πειράσομαι καὶ ἀπειροπληθεῖς ἔσονται, ὑπὲρ ἀριθμὸν εὑρεθήσονται· πλὴν παρὰ Θεῷ οὐκ αὐτοὶ μόνον ἠρίθμηνται, ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς αὐτῶν. Mt 10.30

18β Ἐξηγέρθην καὶ ἔτι εἰμὶ μετὰ σοῦ.

Ἀπηλλάγην τῶν δεινῶν, καὶ οὐκ ἐπελαθόμην τῆς ἀρετῆς, ὅπερ πολλοὶ πάσχουσιν ἐν εὐημερίᾳ.

19α Ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς, ὁ Θεός.

Λείπει τὸ, εὖ ἔχει· ἁμαρτωλοὺς μὲν οὖν λέγει, τοὺς δαίμονας καὶ τοὺς παρανόμους ἀνθρώπους· ἀναίρεσις δὲ τῶν μὲν δαιμόνων, ἡ ἀνενεργησία, τῶν δὲ παρανόμων ἀνθρώπων, ἡ πρὸς ἀρετὴν μεταβολὴ, ἀναιρουμένης τῆς κακίας, ἢ καὶ ὁ σωματικὸς θάνατος ἀνιάτων φαινομένων, ἵνα μὴ ἐμποδίζωσι τῷ δρόμῳ τῆς ἀρετῆς.

19β Ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ.

Οἱ φονικοὶ, οἱ αἱμοχαρεῖς, οἱ ἀναιροῦντες ὧν ἂν περιγένησθε· τοιοῦτοι δὲ, πάντες οἱ τοῦ διαβόλου, τοῦτο μὲν ἔργῳ, τοῦτο δὲ λόγῳ φθείροντες. Οὐ μικρὸν δὲ κατόρθωμα, τὸ φεύγειν τὴν συνουσίαν τῶν παρανόμων.

20α Ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς.

Ὅτι μάχιμοί ἐστε καὶ φιλόνεικοι ἐν διαλογισμοῖς, ἐν κακοβουλίαις, ὡς ἕτερος ἐξέδωκε.

20β Λήψονται εἰς ματαιότητας τὰς πόλεις σου.

Οἰκήσουσι μάτην τὰς πόλεις σου. *Τοῦ Κυρίου γὰρ, φησὶν, ἡ γῆ*. Μενοῦσιν Ps 23.1β
ἄκαρποι εἰς ἀρετὴν οἱ τοιοῦτοι.

21-22 Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτοὺς, εἰς ἐχθροὺς ἐγένοντό μοι.

Εἰπὼν ἀνωτέρω, *Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός*· ἐνταῦθά Ps 138.17α
φησιν, *Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα*; Κἀκεῖ μεθ' ὑπερβολῆς ἡ τιμή· λίαν γάρ. Κἀνταῦθα μεθ' ὑπερβολῆς τὸ μῖσος· ἐξετήκετο γάρ· ἤγουν ἐπυρπολεῖτο τῷ κατ' αὐτῶν θυμῷ.

23α Δοκίμασόν με, ὁ Θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου.

Καὶ μὴν κατ' ἀρχὰς εἶπε· *Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με*. Ἀλλὰ καὶ ἔτι Ps 138.1β
δοκιμασθῆναι ζητεῖ πρὸς πλείονα πληροφορίαν τῶν ἀγνοούντων αὐτόν.

23β-24 Ἔτασόν με καὶ γνῶθι τὰς τρίβους μου, καὶ ἴδε εἰ ὁδὸς ἀδικίας ἐν ἐμοὶ, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

Τὸ αὐτὸ λέγει καὶ νῦν· ἢ τοίνυν διὰ τοὺς ἀδικοῦντας αὐτὸν ὁ λόγος, βεβαιῶν ὅτι οὐδὲν αὐτὸς ἐκείνους ἠδίκησεν, ἢ καὶ ἔτι δοκιμασθῆναι ζητεῖ, ἵνα, εἰ μὴ οὕτως ἔχων ἐλεγχθῇ, διορθώσηται ἑαυτὸν πλανώμενον.

20β[1] ματαιότητας MPS[2]CFV : ματαιότητα [TRa]. 23β[1] ἀδικίας MPCF : ἀνομίας S[2]BV[TRa]. 23β[1-2] καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ BV[TRa] : om. MSCF : add. P. 23β[5] ἑαυτόν PSABFV : αὐτόν MC.

139 ρλθʹ
1 Ψαλμὸς τῷ Δαυίδ.

2α Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ.

Κακούργου. Πονηρὸν δὲ ἡ κακία, ὡς πόνον καὶ κάματον ἐπιφέρουσα τῷ κεκτημένῳ. Εἶτα σαφηνίζει τίνα λέγει πονηρόν.

2β Ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

Παρανόμου. Ἐπεὶ γὰρ δυσφύλακτος ὁ τοιοῦτος ἄνθρωπος, καλεῖ τὸν Θεὸν εἰς ἐπικουρίαν· ζήτησον καὶ ἐν τῷ μβʹ ψαλμῷ τὴν ἐξήγησιν τοῦ, Ἀπὸ ἀνδρὸς ἀδίκου καὶ δολίου ῥῦσαί με. | Ps 42.1δ

Ἐν τῷ προλαβόντι γοῦν ψαλμῷ εἰπὼν, Ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ, καὶ ἐν τῷ ϛʹ δὲ ψαλμῷ φήσας, Ἀπόστητε ἀπ' ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι Ps 138.19β
τὴν ἀνομίαν, καὶ οἴκοθεν ἀποστραφεὶς καὶ φυγὼν αὐτοὺς, νῦν καὶ τὸν Θεὸν Ps 6.9α
ἐπικαλεῖται συνεργόν. Χρὴ γὰρ ἕκαστον τὸ παρ' ἑαυτοῦ εἰσάγειν πρότερον, εἶτα καὶ τὸν Θεὸν παρακαλεῖν· οὔτε γὰρ ὁ Θεὸς συνεργεῖ, σοῦ μὴ σπουδάζοντος, οὔτε σὺ σπουδάζων ἀνύσεις, ἐκείνου μὴ συνεφαπτομένου.

3α Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ.

Οἱ τοιοῦτοι, φησὶν, ἐμελέτησαν ἄδικα, παράνομα, βλαβερά.

3β Ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.

Ἐν ὅλῳ τῷ βίῳ αὐτῶν ηὐτρέπιζον πολέμους, νῦν μὲν κατὰ τούτου, νῦν δὲ κατ' ἐκείνου, μὴ συγχωρούσης αὐτοῖς τῆς κακίας ἠρεμεῖν, ἀλλὰ ποτὲ μὲν ἀφανῶς ἐπιτίθεσθαι πειθούσης, ποτὲ δὲ φανερῶς.

Πόλεμος δὲ νοεῖται, καὶ ὁ δόλος καὶ ἡ ἐπιβουλὴ, καὶ πᾶσα ἐπήρεια ἐν διανοίᾳ καὶ λόγῳ καὶ ἔργῳ θεωρουμένη.

4α Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως.

Ὤξυναν αὐτὴν εἰς τὸ ἐνιέναι ἰὸν φθοροποιὸν, ὅς ἐστιν οἱ βλαβεροὶ λόγοι.

4β Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.

Ἤγουν ἐν τῇ γλώσσῃ αὐτῶν, ἐν τῷ στόματι αὐτῶν, λόγος ὀλέθριος, ἰῷ ἀσπίδος ἐοικὼς, κατὰ τὸ βλαπτικόν τε καὶ δραστήριον εἰς ἀπώλειαν.

Ὁρᾷς πῶς εἰς θηριωδίαν τούτους ἡ κακία μετέστησεν; οὐ τὴν φύσιν αὐτῶν,

3β[2] ηὐτρέπιζον MP : ηὐτρεπίζοντο SCBFV.

ἀλλὰ τὴν προαίρεσιν εἰς ἀπανθρωπίαν καταγαγοῦσα.

5α Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με.

Τὰ προλαβόντα λέγει πάλιν, ἐπιτείνων τὴν δέησιν· ἁμαρτωλὸς γὰρ καὶ ἄδικος, πᾶς οἱωσδήποτε ἁμαρτάνων καὶ ἀδικῶν ἢ ἑαυτὸν ἢ καὶ ἕτερον· ἑαυτὸν μὲν γὰρ ἐν πάσῃ ἁμαρτίᾳ πάντως ἀδικεῖ, ἕτερον δὲ οὐ πάντως ἐν πάσῃ.

Ὥσπερ δὲ πολλάκις δικαιοσύνην ἡ Γραφὴ τὴν καθόλου ἀρετὴν ὀνομάζει, οὕτω καὶ ἀδικίαν, τὴν καθόλου κακίαν.

5β Οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου.

Ἐσκέψαντο ἐμποδίσαι τῇ κατὰ νόμον πορείᾳ μου· περιττὸν γὰρ νῦν τὸ, τοῦ, καθ᾽ Ἑβραϊκὸν ἰδίωμα.

6α Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι.

Ὑπερήφανος, πᾶς παράνομος, ὡς ὑπερόπτης τοῦ νόμου, καθὼς εἰρήκαμεν πολλάκις· παράνομος δὲ, πᾶς ἁμαρτωλός. Ps 118.122

6β Καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου.

Πολυπλόκοις ἐπιβουλαῖς, θηράτροις λαθραίοις, ἥπλωσαν παγίδα μοι.

6γ Ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι.

Ἁπτόμενα τῆς ὁδοῦ ἢ ἔγγιον αὐτῆς, ὥστε βαδίζοντα περιπεσεῖν αὐτοῖς ἀφυλάκτως· σκάνδαλον δὲ, τὸ πρόσκομμα.

Ἐπεξηγεῖται δὲ καὶ πλατύνει τὸν περὶ τῆς ἐπιβουλῆς λόγον· ἔκρυψαν γὰρ, φησὶ, καὶ διέτειναν καὶ ἐχόμενα τρίβου, ἵνα δείξῃ τὸ σπουδαῖον καὶ πανοῦργον τῆς κακομηχανίας αὐτῶν.

7α Εἶπα τῷ Κυρίῳ, Θεός μου εἶ σύ.

Ἐν τοιούτοις κινδύνοις γενόμενος καὶ προσδοκῶν ἑαλωκέναι, πάσης ἄλλης βοηθείας ἀφέμενος, μόνον τὸν Θεὸν ἐπεκαλεσάμην, εἰπὼν, Θεός μου εἶ σὺ, μὴ παρίδῃς τὸ δημιούργημά σου.

7β Ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου.

Δεομένου ῥυσθῆναι.

8 Κύριε, Κύριε, δύναμις τῆς | σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.

Κύριε, Κύριε, δύναμις σῴζουσά με, ἐσκέπασάς με ἐν ἡμέρᾳ πολέμου, ἐφρούρησας, ἐν ἀσφαλείᾳ κατέστησας, μὴ μόνον βελῶν καὶ ξιφῶν ἀθιγῆ τηρήσας, ἀλλὰ καὶ ἡλιακῆς προσβολῆς παραλυπούσης.

Εὐγνωμονεῖ δὲ καὶ ὁμολογεῖ τὰς προλαβούσας εὐεργεσίας, ἵνα καὶ ἔτι τοῦτον εἰς ἀντίληψιν ἐπισπάσηται.

9α Μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ.

Μὴ παραχωρήσῃς με τῷ ἁμαρτωλῷ δαίμονι, διὰ τὴν ἐπιθυμίαν μου τὴν φαύλην. Εἰκὸς γὰρ ἐπιθυμῆσαί ποτε κακῶς, ἀλλὰ μὴ ἀπὸ τούτου καταδικασθείην, μὴ διὰ τοῦτο ἀποῤῥιφθείην. Ἁμαρτωλὸς δὲ, καὶ ὁ παράνομος ἄνθρωπος.

9β Διελογίσαντο κατ᾽ ἐμοῦ, μὴ ἐγκαταλίπῃς με.

Ἐμελέτησαν κατ᾽ ἐμοῦ οἱ ἁμαρτωλοί.

9γ Μήποτε ὑψωθῶσι.

Μήποτε ἀλαζονικώτεροι καὶ ἰταμώτεροι γένωνται, φυσηθέντες τῇ κατ᾽ ἐμοῦ νίκῃ.

10 Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.

Κύκλωμα λέγει, τὴν σαγήνην, τὴν ἐπιβουλήν. Τὸ κεφάλαιον, φησὶ, τῆς ἐπιβουλῆς αὐτῶν, ᾧ μάλιστα πεποίθασιν, αὐτὸ τούτους καλύψει καὶ ἀφανίσει.

Τὸ αὐτὸ δὲ καὶ, κόπον τῶν χειλέων αὐτῶν ὠνόμασε, κοπιασάντων ἐν τῷ μελετᾶν αὐτὸ, καὶ μετὰ πόνου τοῦτο εὑρόντων.

Δι᾽ οὗ προσδοκῶσι καθελεῖν, διὰ τούτου καθαιρεθήσονται.

Ἢ κόπον τῶν χειλέων αὐτῶν λέγει, τὴν πονηρὰν μελέτην, τὴν μοχθηρὰν συμβουλήν. Τοιοῦτον δὲ ἡ πονηρία· τῷ κεκτημένῳ γίνεται ὄλεθρος.

11α Πεσοῦνται ἐπ᾽ αὐτοὺς ἄνθρακες ἐν πυρί.

Οὐχ ἁπλῶς ἄνθρακες, ἀλλ᾽ ἐν πυρὶ, τουτέστι, πολὺ πῦρ ἔχοντες, ἄγαν φλογίζοντες.

Ἄνθρακας δὲ νόει, τὴν ἄνωθεν τιμωρίαν, δίκην ἀνθράκων πικρῶς κολάζουσαν· προφητεύει δὲ ταῦτα κατὰ τῶν τοιούτων· ἐπὶ πολλοὺς δὲ καὶ πῦρ θεήλατον κατηνέχθη.

9γ[2] φυσηθέντες MS[2]CBFV : φυσιωθέντες P.

11β Καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν.

Ἐν ταλαιπωρούσαις αὐτοὺς κακώσεσι, καὶ οὐ μὴ ὑπενέγκωσι τὰς ταλαιπωρίας ὅλως, ἀλλ᾽ ἐκ πρώτης προσβολῆς καταβληθήσονται διὰ τὴν τούτων σφοδρότητα.

12α Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς.

Ἀνὴρ γλώσσης ἀκρατὴς, ἀδόλεσχος, φλύαρος, προπετὴς, ἢ καὶ ἐριστικὸς καὶ φιλόνεικος, οὐ κατευοδωθήσεται, ἀλλὰ περιτραπήσεται καὶ κατενεχθήσεται.

12β Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.

Καὶ ἄλλος δὲ σοφὸς εἶπε, *Παρανομίαι ἄνδρα ἀγρεύουσιν*. Prov 5.22
Ἐπεὶ δὲ πολλάκις θηρεύεταί τις εἰς σωτηρίαν, προσέθηκεν, ὅτι εἰς διαφθορὰν, εἴτουν εἰς ἀπώλειαν. Γνωμικὰ δὲ ταῦτα καὶ διδασκαλικά.

13 Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν δίκην τῶν πενήτων.

Εἰ καὶ βραδύνει πολλάκις ἡ ἐκδίκησις τῶν καταπονουμένων καὶ καταδυναστευομένων — τούτους γὰρ λέγει νῦν, πτωχοὺς καὶ πένητας — ἀλλ᾽ ὅμως εὖ οἶδα ὅτι, ἢ κατὰ τὸν παρόντα βίον ἢ κατὰ τὴν μέλλουσαν ζωὴν, ποιήσει Κύριος τὴν κρίσιν αὐτῶν καὶ τὴν δίκην αὐτῶν· ἃ καὶ ἄμφω, τὴν ἐκδίκησιν δηλοῦσι.
Τοῦτο δὲ εἶπεν, ἅμα μὲν τοὺς ἀδικουμένους παραμυθούμενος, ἅμα δὲ τοὺς ἀδικοῦντας ἐκδειματῶν καὶ σωφρονίζων.

14α Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου.

Πλὴν καὶ τῆς ἐκδικήσεως βραδυνούσης, οἱ δίκαιοι οὐ σκαν | δαλισθήσονται, ἀλλ᾽ εὐχαριστήσουσι καὶ οὕτως, εἰδότες ὅτι πάντα σὺν λόγῳ ποιεῖς καὶ πρὸς τὸ συμφέρον.

14β Καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

Εὐθεῖς, τοὺς δικαίους λέγει πάλιν, ὅτι κατοικήσουσι σὺν σοὶ, ἤγουν σὺν τῇ μνήμῃ σου, πάντοτε συνόντες αὐτῇ, καὶ οὐδέποτε ταύτης ἀφιστάμενοι.
Ἢ εὐθεῖς μὲν λέγει, τοὺς ἀποστόλους· πρόσωπον δὲ Θεοῦ, τὸν Χριστὸν, ὡς χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ· *Θέλω γὰρ*, φησὶν, *ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ* Heb 1.3
αὐτοὶ ὦσι μετ᾽ ἐμοῦ. Jn 17.24
Εἶεν δ᾽ ἂν καὶ ἄλλως, δίκαιοι μὲν, οἱ τὴν πρακτικὴν κατορθοῦντες, εὐθεῖς δὲ, οἱ τὴν θεωρητικήν· ἢ δίκαιοι μὲν, οἱ ἁπλῶς τὴν ἀρετὴν μετιόντες, εὐθεῖς δὲ, οἱ μετὰ λόγου.

12α[2] γλώσσης ἀκρατὴς S[2]CF : γλωσσώδης, ἀκρατὴς MPBV.

Ἐπεὶ δὲ περί τε τῆς μελλούσης κρίσεως, ἔτι δὲ καὶ περὶ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων ὁ ψαλμὸς διαλαμβάνει, τινὲς ἐπιγραφὴν τούτῳ τεθείκασιν, *Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.*

140 ρμʹ
1α Ψαλμὸς τῷ Δαυίδ.

1β Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου.

Ἐκέκραξα κραυγῇ καρδίας πεπυρωμένης, καθ' ἣν καὶ σιγῶν ἠκούετο Μωυσῆς, Ex 14.14-15
καὶ μηδὲν φθεγγομένη Ἄννα, οὐ κραυγῇ στόματος, καθ' ἣν καὶ πληθύνοντες τὴν 1Rg 1.13
δέησιν Ἰουδαῖοι, οὐκ εἰσηκούοντο. Καθάπερ γὰρ ὁ στόματι βοῶν ὅλον κατατείνει Mt 6.7
τὸ σῶμα, οὕτω καὶ ὁ καρδίᾳ κράζων, ὅλην συστρέφει τὴν ψυχὴν καὶ τὸν νοῦν, καὶ ἄξιός ἐστιν εἰσακούεσθαι.

1γ Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Ἐν τῷ κεκραγέναι, ὡς εἴρηται, ὡς τοῦγε μὴ οὕτω κράζοντος, οὐ προσέξει τῇ φωνῇ τῆς δεήσεως.

2 Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.

Δύο βωμοὶ πάλαι ἦσαν ἐν τῷ ναῷ, ὁ μὲν χρυσοῦς, ἔνδον τῶν ἀδύτων ἐν τοῖς Ex 30.1-5
Ἁγίοις τῶν ἁγίων, ὁ δὲ χαλκοῦς, ἔξω κείμενος. Καὶ ὁ μὲν χρυσοῦς, τῷ θυμιάματι Ex 27.1-8
ἀνεῖτο, ὁ δὲ χαλκοῦς, ταῖς ἄλλαις θυσίαις· τὸ δὲ θυμίαμα κατεσκευάζετο
πολυτελῶς καὶ καθαρῶς, κατὰ τὴν ὑφήγησιν τοῦ νόμου, καὶ ἦν εὐπρόσδεκτον Ex 30.34-38
Θεῷ, θυμιώμενον, διά τε ταῦτα καὶ ὡς εὐωδέστατον καὶ προτυποῦν τὴν καινὴν
λατρείαν. Mal 1.11

Κατευθυνθήτω οὖν, φησὶν, ἐνώπιόν σου ἡ προσευχή μου, ὡς θυμίαμα, τὸ νομίμως θυμιώμενον, ἐξαφθείσης ἐν ἐμοὶ τῆς καρδίας τῷ πυρὶ τῆς προθυμίας ὡς ἐσχάρας καὶ ἀναπεμπούσης αὐτήν· ἀλλὰ τοσαῦτα μὲν περὶ τοῦ θυμιάματος.

Νενομοθέτητο δὲ τοῖς ἱερεῦσιν, ὅταν μηδεὶς προσφέρῃ θυσίαν, δὶς τῆς ἡμέρας
θυσιάζειν παρ' ἑαυτῶν, ἕνα μὲν ἀμνὸν πρωΐας, ἕνα δὲ ἑσπέρας. Καὶ ἦσαν αὗται Ex 29.38-39
αἱ θυσίαι καθαραὶ καὶ δεκταὶ, τῶν ἄλλων πολλάκις μολυνομένων ἀπὸ τῆς τῶν προσαγόντων διαθέσεως. Ἡ μέντοι ἑσπερινὴ τοιαύτη θυσία τῆς ἑωθινῆς ἦν τιμιωτέρα. Ἐκείνη μὲν γὰρ πρὸς ταύτην ἑώρα· αὕτη δὲ συνεπλήρου τὴν ἱερουργίαν τῆς ἡμέρας καὶ τὴν λειτουργίαν ἀπήρτιζε.

Κατευθυνθήτω, φησὶ, πάλιν, ἡ ἔπαρσις τῶν χειρῶν μου, ὡς θυσία ἑσπερινή· ἢ ἡ ἔπαρσις τῶν χειρῶν μου, θυσία γενέσθω ἑσπερινὴ, ὡς ἐκείνη λογισθήτω καὶ προσδεχθήτω· τοῦ μὲν προσευχομένου στόματος καθαρεύοντος ἀπὸ λόγων

πονηρῶν, μᾶλλον δὲ τῆς προσευχομένης | καρδίας ἀπὸ λογισμῶν μοχθηρῶν· τῶν δὲ ἀνατεινομένων χειρῶν ἁγνευουσῶν ἀπὸ πλεονεξίας καὶ ἁρπαγῆς καὶ πάσης παρανόμου πράξεως.

3α Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου.

Εἰδὼς ὅτι τὸ στόμα αἴτιόν ἐστι τῶν κακῶν, ἀμελούμενον, ὥσπερ καὶ τῶν ἀγαθῶν, σπουδαζόμενον· τὰ γὰρ μυρία δεινὰ τῆς γλώττης ἡ εὐκολία εἰργάσατο· καὶ ὅτι καθάπερ οὐδὲν ὄφελος οἰκίας ἢ πόλεως, οὐ πυλῶν, οὐ τειχῶν, εἰ μὴ ὦσιν οἱ φυλάττοντες καὶ γινώσκοντες πότε μὲν κλείειν, πότε δὲ ἀνοίγειν καλόν· καὶ ὅτι πολλῆς ἐνταῦθα χρεία σπουδῆς καὶ ἀκριβείας, καὶ μᾶλλον τῆς ἄνωθεν ἐπικουρίας, εὔχεται καὶ καλεῖ τὸν Θεὸν εἰς βοήθειαν. Φυλακὴ δὲ στόματος, ἡ ἐπιστασία τοῦ νοῦ, προσέχοντος καὶ εἰδότος τίνα μὲν ἐκφέρειν, τίνα δὲ κατέχειν ἔνδον χρεών· Οὐ τοσοῦτοι γὰρ, φησὶν, ἔπεσον ἀπὸ μαχαίρας, ὅσοι ἀπὸ γλώσσης. Sir 28.18

3β Καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Θύραν φυλακῆς, φυλάττουσαν τὸ στόμα· τὸ αὐτὸ δὲ καὶ τοῦτο δηλοῖ.

4α Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας.

Μὴ παραχωρήσῃς ἐκτραπῆναι τὴν καρδίαν μου εἰς λογισμοὺς πονηροὺς, εἰς ἐνθυμήσεις ἀπρεπεῖς· τοῦ στόματος γὰρ φυλαττομένου, ἀκόλουθον τοῦτο καὶ εὐκατόρθωτον.

4β Τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Ὥστε μὴ μόνον ἐκκλίνεσθαι εἰς τούτους, ἀλλὰ καὶ προφασίζεσθαι προφάσεις ἐν τῷ ἁμαρτάνειν· καὶ οἱ πρωτόπλαστοι γὰρ ἁμαρτήσαντες, ὁ μὲν Ἀδὰμ τὴν Εὔαν ἐπροφασίσατο, ἡ δὲ Εὔα τὸν ὄφιν. Καὶ πάλιν ὁ μὲν φονεὺς προφασίζεται Gen 3.12-13
τὴν τοῦ θυμοῦ τυραννίδα, ὁ δὲ μοιχεύσας, τὴν βίαν τῆς ἐπιθυμίας, ὁ δὲ κλέπτης, τὴν ἀνάγκην τῆς ἐνδείας, καὶ ἄλλος, ἕτερον. Οὐ ταῦτα δὲ ποιοῦσι τὰς ἁμαρτίας, ἀλλ’ ἡ ῥαθυμία, καὶ δῆλον ἀπὸ τῶν προσεχόντων.

Εἰδὼς γὰρ ὁ διάβολος ὡς ἡ μὲν ὁμολογία τῆς ἁμαρτίας ἱλεοῦται τὸν Δεσπότην, ἡ δ’ ἄρνησις αὐτῆς παροξύνει μᾶλλον αὐτὸν, πείθει τοὺς ἁμαρτάνοντας προφασίζεσθαι, ὅτι οὐκ αὐτοὶ ἥμαρτον, ἀλλ’ ἕτερόν τι γέγονεν αἴτιον.

4γ Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν.

Τοῦ προφασίζεσθαι, φησὶ, μετὰ τῶν παρανόμων· τούτων γάρ ἐστι τὸ προφασίζεσθαι μετὰ τὴν ἁμαρτίαν.

4δ Καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Καὶ εἰ τοῦτο γένηται, εἰ βοηθήσεις μοι, οὐ μὴ συναυλισθῶ, οὐ μὴ κοινωνήσω, οὐ μόνον τοῖς ὑποδεεστέροις παρανόμοις, ἀλλ' οὐδὲ τοῖς ὑπερέχουσιν ἐν αὐτοῖς.

5α Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ἐπιπληξάτω, στυψάτω με δίκαιος, καὶ ἐλεγξάτω· φιλοφροσύνη δὲ ἁμαρτωλοῦ Prov 27.5
μὴ θεραπευσάτω με. *Κρεῖσσον γὰρ μάστιξ δικαίου ἢ χάρις ἁμαρτωλοῦ*, καὶ Eccl 7.5
Ῥάβδος δικαίου πλεῖον ἢ τιμὴ κακοῦ. PG37.910

Τὸ δὲ, *ἐν ἐλέει*, πρόσκειται, διότι φιλανθρωπευόμενος παιδεύει ὁ δίκαιος, ἵνα μὴ ἀπόληται.

5β Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν.

Μετὰ τοῦ φυγεῖν τοὺς παρανόμους καὶ ἀπωθεῖσθαι τὴν θεραπείαν αὐτῶν, ἔτι καὶ προσεύχομαι κατὰ τῶν εὐδοκιῶν αὐτῶν, ἤτοι | κατὰ τῶν θελημάτων αὐτῶν, ἵνα μὴ τελεσθῶσιν αἱ βουλαὶ καὶ ἐπιθυμίαι αὐτῶν. Ταῦτα γὰρ, εὐδοκίας λέγει.

6α Κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

Οἱ δυνάσται αὐτῶν, οἱ πάντα ἄγοντες καὶ φέροντες, ἠφανίσθησαν, παραπλησίως πέτρᾳ, δίκην πέτρας καταποντιζομένης, ἧς οὐδ' ἴχνος ὑπολιμπάνεται.

Τοῦτο καὶ περὶ τοῦ ἀσεβοῦς εἶπεν ὅτι *Καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ*
τόπος αὐτοῦ, τὸ πρόῤῥιζον καὶ ἀνώνυμον ἐντεῦθεν δηλῶν. Ps 36.36β

Τὸ δὲ, *κατεπόθησαν*, ἀντὶ τοῦ, *καταποθήσονται*, προφητεύοντος τὴν καταστροφὴν αὐτῶν.

6β Ἀκούσονται τὰ ῥήματά μου ὅτι ἡδύνθησαν.

Ὁ δὲ Σύμμαχος, *ἀκούσονται ῥήσεις μου ἡδίστας*. Παραδέξονται, φησὶν, οἱ συνετοὶ τὰ ῥήματά μου, διότι ἡδέα ταῦτα τοῖς εὐσεβέσιν, ὡς ἀληθῆ καὶ ὠφέλιμα.

7 Ὡσεὶ πάχος γῆς ἐῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.

Καθάπερ πάχος γῆς ἀρότρῳ διατεμνόμενον ῥήγνυται καὶ σκορπίζεται ἐπὶ τῆς ὑποκειμένης γῆς, οὕτω τὰ ὀστᾶ αὐτῶν διασκορπισθήσονται ἐν τῷ τάφῳ. Τοῦτον γὰρ ὠνόμασεν, ᾅδην.

8 Ὅτι πρὸς σὲ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου· ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Μὴ ἀφέλῃς τὴν ψυχήν μου, καταδιωκομένου παρὰ τῶν ἐχθρῶν καὶ σφοδρῶς ἐπιβουλευομένου.

9 Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Σκάνδαλα καὶ αὖθις, τὴν παγίδα λέγει καὶ τὴν ἐπιβουλήν.

10α Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί.

Ἐμπεσοῦνται τῷ δικτύῳ αὐτῶν, ὅπερ ἥπλωσαν κατ' ἐμοῦ· σαγηνευθήσονται τῇ οἰκείᾳ σαγήνῃ· ἢ ἐν ἀμφιβλήστρῳ αὐτοῦ, δηλονότι τοῦ Θεοῦ.

10β Καταμόνας εἰμὶ ἐγὼ, ἕως ἂν παρέλθω.

Μεμονωμένος ἀπ' αὐτῶν εἰμι, πόῤῥω τῆς γνώμης τούτων ἐλαύνων· καὶ οὐ τοσοῦτον διαστάσει τόπου, ὅσον ἀλλοτριώσει προαιρέσεως ἀποκεχωρισμένος αὐτῶν, ἕως ἂν ἀποθάνω.

141 ρμα´

1 Συνέσεως τῷ Δαυίδ·
ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον.

Τί μὲν δηλοῖ τὸ, *συνέσεως*, ἐν διαφόροις ἄλλαις ἐπιγραφαῖς παραδεδώκαμεν. Ps 31.1α
Σπήλαιον δὲ λέγει, τὸ διπλοῦν, ἐν ᾧ Δαυὶδ ηὐλίσατο φεύγων τὸν Σαούλ· ἐπεὶ γὰρ αὐτὸς μὲν ἐν τῷ ἐνδοτέρῳ ἐκέκρυπτο, Σαοὺλ δὲ, παρερχόμενος, ἐν τῷ ἐξωτέρῳ κατεσκήνωσεν, ἀγνοῶν τὸ πρᾶγμα· γνοὺς ὁ Δαυὶδ ὅτι συγκέκλεισται, 1Rg 24.4
προσηύξατο ταῦτα.

2 Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

Καὶ μὴν οὐκ ἠδύνατο φωνεῖν ἢ κράζειν, ἵνα μὴ γνωσθεὶς, αὐτίκα συλληφθῇ. Λοιπὸν οὖν φωνὴν κράζουσαν ὀνομάζει νῦν, τὴν συντεταμένην διάθεσιν τῆς καρδίας, ἀλαλήτως κραζούσης καὶ νοερῶς καθικετευούσης.

3α Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου.

Προθήσω.

3β Τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Τὸ αὐτὸ λέγει πάλιν. Τὴν θλῖψιν, φησὶν, ἀντὶ δεήσεως προβαλοῦμαι, κάμψαι πρὸς ἀντίληψιν τὸν Κύριον δυναμένην· αὕτη γὰρ οὐ μόνον σπουδαιοτέρους καὶ προσεκτικωτέρους εἴωθε ποιεῖν, ἀλλὰ καὶ παῤῥησίαν οὐ μικρὰν εἰς Θεὸν τῷ μετ' εὐχαριστίας | φέροντι χαρίζεται, καὶ μέγα δικαίωμα πρὸς τὸ εἰσακουσθῆναι γίνεται.

4α Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου.

Ταῦτα, φησὶ, ποιήσω ἐν τῷ κινδυνεύειν ἤδη, ἐν τῷ μέλλειν ἀποθνήσκειν· πανταχόθεν γὰρ ἀπογνοὺς, ὅλον ἑαυτὸν συνέτεινεν εἰς Θεόν.

4β Καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Ἐγὼ μὲν οὕτως ἐν ἐσχάτοις δεινοῖς γενόμενος, οὕτω ποιήσω. Σὺ δὲ, Κύριε, ἔγνως τὰς ὁδοὺς τῆς πολιτείας μου, καὶ οἶδας ὅτι μηδὲν ἠδικηκὼς τοὺς ἐπιβουλεύοντας, μάτην κινδυνεύω διὰ φθόνον.

4γ Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

Ἐν τῇ ὁδῷ ταύτῃ τῆς φυγῆς, ἔκρυψάν μοι παγίδα, κρυφίως ἐπελθόντες καὶ ἀποκλείσαντές μοι τὴν ἔξοδον, μὴ προαισθομένῳ.

Νοεῖται δὲ καὶ περὶ τῶν νοητῶν πολεμίων, ὅτι οὐ μόνον ἐν ὁδῷ κακίας κρύπτουσι παγίδας, ἀλλ' ὃ μάλιστα χαλεπώτερον, καὶ ἐν ὁδῷ ἀρετῆς, ὡς ἐν ἀνεξικακίᾳ, τὸν τῦφον, καὶ ἐν ἐλεημοσύνῃ, τὴν κενοδοξίαν.

5α Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἐκ τοῦ δεξιοῦ γὰρ μέρους εἰώθασιν οἱ σύμμαχοι καὶ φίλοι παρίστασθαι. Ἀπεσκόπουν, φησὶν, εἰς τὰ δεξιὰ, καὶ οὐκ ἦν ὁ βοηθῶν.

5β Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ.

Ἐξέλιπε καὶ ἡ φυγὴ ἀπ' ἐμοῦ, ἐν τῷ σπηλαίῳ συγκεκλεισμένου, καὶ μηδὲ φεύγειν δυναμένου.

5γ Καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ὁ ἐκδικῶν, ὁ ῥυόμενος, ὁ ἀμύνων.

6α Ἐκέκραξα πρὸς σὲ, Κύριε.

Πανταχόθεν ἀπελπίσας, καὶ πᾶσαν ἀνθρωπίνην ἐπικουρίαν ἀπογνούς.

6β Εἶπα, Σὺ εἶ ἡ ἐλπίς μου.

Σὺ μόνος.

6γ Μερίς μου εἶ ἐν γῇ ζώντων.

Ἐν γῇ ζώντων ὢν, ἐν ζῶσιν ἐξεταζόμενος, οὐδένα γήϊνον ἔχω κλῆρον, ἀλλὰ σὲ μόνον πλουτῶ θησαυρόν. Ἢ σύ μου εἶ κλῆρος καὶ πλοῦτος ἐν οὐρανῷ· οὗτος γὰρ, γῆ ζώντων, ὡς οἰκητήριον τῶν μὴ ἀποθνῃσκόντων.

7α Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

Τὴν κακοπάθειαν εἰς ἱκεσίαν προβάλλεται, καὶ ταύτῃ κάμπτειν τὸν Δεσπότην ἐπιχειρεῖ· εἴρηται δὲ καὶ ἐν ἄλλοις· *Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα*· καὶ Ps 37.9α-β
αὖθις, *Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας*
μου. Ps 24.18α-β

7β Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Ἐν ἀφύκτῳ μου συγκλεισθέντος.

8α Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Φυλακὴν λέγει, τὸν ἐν τῷ σπηλαίῳ συγκλεισμόν· ψυχὴν δὲ ἑαυτοῦ, ὅλον ἑαυτόν. Ἐξάγαγέ με, φησὶν, ὥστε εὐχαριστῆσαί σοι.

Κατὰ δὲ ἀναγωγὴν, εἴη ἂν φυλακὴ τὸ σῶμα, δεσμοῦν καὶ καθεῖργον τὴν ἐγκεκλεισμένην αὐτῷ ψυχήν.

8β Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

Ὁ δὲ Ἀκύλας, *Ἐμὲ περιμενοῦσι δίκαιοι, ἕως οὐ ἀμείψῃ με*. Ἀναμενοῦσί με, φησὶ, προσδοκῶντες ἀπαλλαγῆναι με τῶν δεινῶν· καὶ τοῦτο ποιήσουσιν, ἕως οὗ ἀμείψῃ με, χάριν τῆς τοσαύτης κακοπαθείας καὶ ταπεινώσεως.

Τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαί· καὶ τοῖς κακῶς πάσχουσι συναλγοῦσι, καὶ
τοῖς εὐημεροῦσι συγχαίρουσιν. Mt 11.17

142 ρμβʹ
1α Ψαλμὸς τῷ Δαυὶδ,
ὅτε αὐτὸν κατεδίωκεν ὁ υἱὸς αὐτοῦ.

Ἐν πολλοῖς μὲν ἀντιγράφοις, ἀνεπίγραφος ὁ προκείμενος ψαλμὸς, ἁρμόζων τοῖς ἐξεταζομένοις ἐν πειρασμοῖς. Ἔν τισι δὲ ἐπιγέγραπται, [ὡς ἀνωτέρω εἴρηται,] *Ψαλμὸς* | *τῷ Δαυὶδ, ὅτε αὐτὸν κατεδίωκεν ὁ υἱὸς αὐτοῦ*· ὁ μέντοι τρίτος ψαλμὸς ἑτέραν ἔσχεν ἐπιγραφὴν, *Ψαλμὸς τῷ Δαυὶδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.* Ps 3.1

1β Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Ὡς ἀληθής. Ἐπηγγείλω γὰρ εἰσακούειν τῶν ὀρθῶς ἐπικαλουμένων σε· κἀμοὶ δὲ πάλιν ἰδίᾳ τοῦτο καθυπέσχου.

1γ Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Ὡς δίκαιος καὶ μὴ ἀνεχόμενος ἀδικεῖσθαι μὴ μόνον πατέρας ὑπὸ τέκνων, ἀλλʼ οὐδὲ τὸν τυχόντα παρά τινος. Ὁ δὲ Χρυσόστομος ἀλήθειαν μὲν ἐνταῦθα λέγει, τὸν ἀληθινὸν ἔλεον, δικαιοσύνην δὲ, τὴν φιλανθρωπίαν· μόνος γὰρ ὁ Θεὸς PG55.448 ἀληθῶς ἐλεεῖ, καὶ μόνη ἡ τοῦ Θεοῦ δικαιοσύνη φιλανθρωπίᾳ κεκέρασται· τὸ γὰρ παρʼ ἀνθρώποις δίκαιον ἀπεστέρηται τοῦ ἐλέους.

2α Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου.

Μὴ δικαιολογηθῇς μετʼ ἐμοῦ. Δικαιωθήσῃ γὰρ ἐν τοῖς λόγοις σου, καὶ νικήσεις ἐν τὸ κρίνεσθαί σε μετὰ τοῦ δούλου σου. Ps 50.6γ

2β Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Οὐκ εἶπεν ὅτι οὐ δικαιωθήσεται ἁπλῶς, ἀλλʼ ὅτι ἐνώπιόν σου, τουτέστι, πρὸς τὴν σὴν ἀκρίβειαν ἐξεταζόμενος, ἢ πρὸς τὰς σὰς εὐεργεσίας, ἢ πρὸς τὰς σὰς ἐντολάς.

Διὸ καὶ ὁ μακάριος Ἰὼβ ἔλεγεν, *Ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην, ἥγημαι* Job 42.6, *δὲ ἐμαυτὸν γῆν καὶ σποδόν· χεῖρα θήσω ἐπὶ τῷ στόματί μου.* Ζήτησον καὶ ἐν 40.4 τῷ ρκθʹ ψαλμῷ τὴν ἐξήγησιν τοῦ, *Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσεται;* Ps 129.3

Πᾶς δὲ ζῶν, ἤτοι πᾶς ἄνθρωπος ζωῆς μετασχὼν, ζήσας καὶ πολιτευσάμενος· ὥστε κατὰ τὸν Ἀπόστολον, *Δικαιούμεθα δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ πίστεως Ἰησοῦ Χριστοῦ.* Rom 3.24

1α1-2 V : om. MPS2CBF. 1α4 ὡς ἀνωτέρω εἴρηται V : om. MPS2CBF.

3α Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου.

Τὸ μὲν προλαβὸν, ὅτι, αἰτιολογικόν· τοῦτο δὲ, διηγηματικόν. Ἐχθρὸν μὲν καθ' ἱστορίαν λέγει, τὸν Ἀβεσαλὼμ, κατὰ δὲ ἀναγωγὴν, τὸν διάβολον.

3β Ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Κατέκαμψέ με εἰς γῆν, οὐ μόνον εἰς γῆν συγκεκυφότα διὰ τὸ βάρος τῶν συμφορῶν, ἀλλὰ καὶ γῆν ἔχοντα καθέδραν δὲ καὶ στρωμνὴν ὡς φυγάδα. Ὁ μέντοι νοητὸς ἐχθρὸς κατέκαμψέ με εἰς τὰ γήϊνα πράγματα, καθελκύσας ἀπὸ τῶν οὐρανίων.

Πολυσήμαντον δὲ τὸ τῆς ταπεινώσεως ὄνομα· δηλοῖ γὰρ οὐ μόνον τὴν ἐξ ἀρετῆς, ἀλλὰ καὶ τὴν ἀπὸ συμφορῶν, καὶ τὴν ἀπὸ ἁμαρτημάτων, καὶ τὴν ἐξ ἐπάρσεως, καὶ τὴν ἐξ ἀπληστίας, ἥτις καὶ τὸν ὀβολὸν μέγα τι νομίζει, καὶ τὰ εὐτελῆ περισπούδαστα, καθάπερ τὰ παιδάρια τὰς σφαίρας καὶ τοὺς ἀστραγάλους.

3γ Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος.

Ἐνέβαλέ με σκότει θλίψεως, ἐζόφωσε τὸν νοῦν μου. Τὸ δὲ, *ὡς νεκροὺς αἰῶνος*, ἐπίτασίς ἐστι τῆς σκοτίσεως. Οὐδὲ γὰρ ἁπλῶς νεκροὺς εἶπεν, ἀλλ' αἰῶνος, ἤτοι παλαιοὺς, ὀγκῶσαι θέλων τὴν τραγῳδίαν· οὗτοι γὰρ, ἐν βαθεῖ κεῖνται σκότει, πολλῷ φορυτῷ κατακεχωσμένοι.

4α Καὶ ἠκηδίασεν | ἐπ' ἐμὲ τὸ πνεῦμά μου.

Ἠθύμησεν ἐν ἐμοὶ ἡ ψυχή μου τῇ ὑπερβολῇ τῆς θλίψεως.

4β Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Θορυβηθεῖσα καὶ στροβηθεῖσα.

5α Ἐμνήσθην ἡμερῶν ἀρχαίων.

Ἐν αἷς εὐαρεστῶν Θεῷ, καλῶς ἐφερόμην· ἢ ἐν αἷς οἱ πατέρες ἡμῶν εὐωδοῦντο καὶ κατώρθουν, ἢ τοὐναντίον, καὶ αὐτοὶ συμφοραῖς καὶ πειρασμοῖς ἐξητάζοντο. Φέρει γὰρ οὐ μικράν τινα παράκλησιν ἡ τοιαύτη μνήμη.

5β Ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου.

Ἀνελίττων παρ' ἐμαυτῷ τὰ θαυμάσιά σου, καὶ λογιζόμενος τοὺς παραδόξως τῶν συμφορῶν ἀπαλλαγέντας.

5γ Ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Ἐν τοῖς δημιουργήμασί σου διέτριβον τῇ μνήμῃ, καὶ εὑρίσκων αὐτὰ προνοίας τῆς παρὰ σοῦ τυγχάνοντα, χρηστὰς ἐλάμβανον ἐλπίδας, ὡς οὐ περιόψῃ με τοιαῦτα πάσχοντα καὶ ταλαιπωρούμενον.

6α Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Παρακαλῶν καὶ δεόμενος.

6β Ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ἡ ψυχή μου πρὸς σὲ, διψῶσα βοηθείας, ὡς γῆ ἄνυδρος πρὸς ὑετὸν, διψῶσα ὕδατος.

7α Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Ἐξέλιπεν ὅσον οὔπω, ἀφῆκέ με, εἰ μὴ ταχέως εἰσακούσεις.

7β Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Μὴ ἐγκαταλίπῃς με καὶ αὐτίκα ἀποθανοῦμαι. Νεκροὶ γὰρ οἱ καταβαίνοντες εἰς λάκκον· καὶ ὄντως νεκρὸς εἰς ἀρετὴν, ὁ τῆς παρὰ Θεοῦ βοηθείας ἐστερημένος. Ἀποστρέφει δὲ τὸ πρόσωπον, ἤτοι τὴν ἐπισκοπὴν, ἀπὸ τῶν πονηρῶν· *Καθαρὸς γὰρ*, φησὶν, *ὁ ὀφθαλμός σου τοῦ μὴ ὁρᾷν πονηρά.* Hab 1.13

8α Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Μήνυσόν μοι ταχέως τὸ ἔλεός σου, ἵνα καὶ πρὸ τῆς πείρας τῇ ἐπαγγελίᾳ ψυχαγωγηθῶ. Εἶτα καὶ ἡ δικαιολογία τοῦ τυχεῖν, ὅτι ἐπὶ σοὶ ἤλπισα· τοῦτο γὰρ οἶδεν ἐπισπᾶσθαι τὸν Θεόν.

8β Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Καὶ μὴν καὶ ὁ φυσικὸς νόμος καὶ ὁ γραπτὸς διδάσκουσι τὴν εὐθεῖαν ὁδόν. Ἢ τοίνυν τοῦτό φησιν, ὅτι κατεχώσθη μου τὸ συνειδὸς ὑπὸ τῆς ἁμαρτίας, ἢ ὅτι πολλὰ τοῖς ἀνθρώποις ἠγνόηνται. Διὸ καὶ Παῦλος ἔλεγε, *Τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ οὐκ οἴδαμεν.* Πρὸς σὲ, φησὶ, κέχηνα, γνώρισόν μοι ὁδὸν ἐν ᾗ βαδίσω Rom 8.26
πρὸς σέ.

8β[4] προσευξώμεθα V : προσευξόμεθα MPS[2]CBF.

9-10α Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Οὐκ εἶπε, δίδαξόν με τὸ θέλημά σου, ἀλλὰ τοῦ ποιεῖν. Μακάριος γὰρ οὐχ ὁ εἰδὼς μόνον, ἀλλ' ὁ καὶ ποιῶν αὐτό· καὶ γὰρ τὸ μὲν εἰδέναι, ῥᾴδιον, τὸ δὲ ποιεῖν, δυσχερὲς, καὶ μάλιστα τῆς ἄνωθεν διδασκαλίας καὶ βοηθείας δεόμενον.

10β Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἐν ὁδῷ ὀρθῇ καὶ ὁμαλῇ. Τοιαύτη δὲ, ἡ τῆς ἀρετῆς, | ὀρθὴ μὲν, ὡς ἀπλανὴς, ὁμαλὴ δὲ, ὡς ἀπηλλαγμένη σκώλων καὶ προσκομμάτων, ἅπερ εἰσὶ τὰ πάθη τῆς ἁμαρτίας.

11α Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Οὐ διὰ τὴν ἐμὴν ἀρετὴν, ἀλλὰ διὰ τὸ ὄνομά σου· φιλάνθρωπος γὰρ ὀνομάζῃ καὶ ἐλεήμων.

Εἴρηται δὲ καὶ ἐν τῷ ριγ′ ψαλμῷ, *Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν.* Ps 113.9α-β

11β-12α Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου.

Ἥνπερ εἶπεν ἐν ἀρχῇ τοῦ ψαλμοῦ δικαιοσύνην, ταύτην λέγει καὶ νῦν, καὶ ἣν ἐκάλεσεν ἀλήθειαν ἐκεῖ, ταύτην ὠνόμασεν ἐνταῦθα ἔλεος. Ἐξολόθρευσις δὲ καὶ Ps 142.1β-γ
ἀπώλεια τῶν νοητῶν ἐχθρῶν, ἡ ἀπέλασις αὐτῶν καὶ ὁ ἀφανισμὸς, ὅσον πρὸς τὸν ταῦτα λέγοντα. Τὸ δὲ, *ζήσεις* καὶ *ἐξάξεις* καὶ *ἐξολοθρεύσεις* καὶ *ἀπολεῖς*, εἰσὶ μὲν καὶ προφητικοῦ τύπου, εἰσὶ δὲ καὶ εὐκτικοῦ.

12β Ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Δοῦλος, ὡς θεραπεύειν ἐπειγόμενος καὶ φυλάττειν τὰ δεσποτικὰ προστάγματα.

143 ρμγ′

1α Ψαλμὸς τῷ Δαυίδ· πρὸς τὸν Γολιάθ.

Τινὰ τῶν ἀντιγράφων οὐκ ἔχουσι τὸ, *Πρὸς τὸν Γολιάθ*· οὐδὲν δὲ κωλύει καὶ τοῦτο προσκεῖσθαι, τοῦ ψαλμοῦ μετά γε τὸ κατ' ἐκείνου τρόπαιον καὶ μετὰ πολλὰς ἄλλας νίκας συντεθέντος ὑπὲρ εὐχαριστίας. Ἔστι δὲ καὶ νοητὸς Γολιὰθ, ὁ κοινὸς ἐχθρὸς, ὁ διάβολος.

11[2] ἐξολοθρεύσεις MPSCBF[T] : ἐξολεθρεύσεις [Ra].

1β Εὐλογητὸς Κύριος ὁ Θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον.

Αἰνετὸς ὁ Θεὸς ὁ εὐοδώσας ἐν παρατάξει καὶ πολέμῳ τὰς χεῖρας καὶ τοὺς δακτύλους μου, καὶ δούς μοι περιγενέσθαι τῶν ἐχθρῶν καὶ στῆσαι τοιαῦτα τρόπαια.

Εὐοδοῦνται δὲ καὶ ἐν τῷ νοητῷ πολέμῳ, χεῖρες εἰς ἀρετὴν ἐκτεινόμεναι καὶ πρὸς Θεὸν ἐπαιρόμεναι.

2α Ἔλεός μου καὶ καταφυγή μου, ἀντιλήπτωρ μου καὶ ῥύστης μου, ὑπερασπιστής μου, καὶ ἐπ᾽ αὐτῷ ἤλπισα.

Ἐλεήμων ἐστὶ, καὶ τὰ λοιπά.

2β Ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ᾽ ἐμέ.

Οὐ γὰρ ἐν τῇ τῶν ἐχθρῶν ὑποταγῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῶν οἰκείων, πολλῆς ἡμῖν τῆς ἄνωθεν δεῖ ῥοπῆς· καὶ καθάπερ ἀπὸ ταύτης αἱ νῖκαι τῶν ἐχθρῶν, οὕτω πάλιν καὶ αἱ τῶν οἰκείων ὑποταγαί.

3 Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτῷ;

Τοιαῦτα εἶπε καὶ ἐν τῷ η´ ψαλμῷ, *Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτὸν*, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν. Ps 8.5

Ὅτι, φησὶν, ἐχαρίσω αὐτῷ τὸ γινώσκειν σε Θεὸν, καὶ ὅτι λογίζῃ αὐτῷ, ἤτοι γνωρίζῃ αὐτῷ Θεός· τὸ αὐτὸ γὰρ λέγει πάλιν, ὅτι λογισμοῖς αὐτοῦ ὑποπίπτεις· μέγα γὰρ τοῦτο καὶ ὑπὲρ τὴν εὐτέλειαν τῆς φύσεως αὐτοῦ.

4α Ἄνθρωπος ματαιότητι ὡμοιώθη.

Διὰ τὸ σῶμα λέγει ταῦτα, καὶ τὸ μηδὲν τῶν ἀνθρωπίνων εἶναι στάσιμον ἢ βέβαιον, ἀλλ᾽ ἐπίκηρα πάντα καὶ ταχὺ παρερχόμενα· ματαιότης δέ ἐστιν, ἡ ἀνόνητος σπουδὴ καὶ τὸ οὐδαμινόν.

4β Αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι. |

Ταχέως παρέρχονται, δίκην σκιᾶς, βραχύ τι φαινομένης καὶ δοκούσης εἶναί τι, καὶ θᾶττον ἀφιπταμένης.

5 Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται.

1β Add. [MF in marg.]PBV: Ὁ μὲν Δαυὶδ, τάς τε χεῖρας εἰς παράταξιν καὶ τοὺς δακτύλους εἰς πόλεμον ὑπὸ Κυρίου διδασκόμενος, διὰ μὲν τῶν σωματικῶν μελῶν τούτων κατηγωνίζετο τοὺς αἰσθητοὺς πολεμίους, διὰ δὲ τῶν ψυχικῶν, τοὺς νοητούς· ἡμεῖς δὲ, ὑπὸ Χριστοῦ διδασκόμεθα τὰς χεῖρας μὲν εἰς παράταξιν, τῷ αἴρειν αὐτὰς πρὸς Θεὸν, τοὺς δακτύλους δὲ, τῷ ἐκτυποῦν τὸν σταυρόν. : om. S^2C.

Καὶ μὴν ὁ Θεὸς οὐ καταβαίνει· πῶς γὰρ, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν; Ἀλλ' ἀνθρωποπρεπῶς φθέγγεται τοιαῦτα νῦν ὁ Δαυὶδ, ἵνα διὰ τῶν φοβερῶν τούτων ῥημάτων καταπλήξῃ τοὺς μεγάλα φρονοῦντας καὶ φλεγμαίνοντας εἰς ἀπόνοιαν, καὶ συστείλῃ τὴν ἀλαζονείαν αὐτῶν. Καὶ γὰρ καὶ τὸ ἅψασθαι καὶ καπνίζειν, εἰ καὶ φρικτὸν, ἀλλὰ πολὺ τῆς τοῦ Θεοῦ ἀξίας καταδεέστερον.

Λέγει τοίνυν, ὅτι κατάβηθι καὶ ἅψαι τῶν ὀρέων, ἵνα κολάσῃς τοὺς μὴ συνορῶντας οἴκοθεν τὸ τῆς φύσεως τῆς ἀνθρωπίνης εὐτελὲς καὶ ἐπίκηρον, μηδὲ σωφρονιζομένους ἐντεῦθεν, ἀλλὰ τοὐναντίον διακειμένους. Καὶ γὰρ καὶ ἐν τῷ
Σινᾶ πάλαι τοιαῦτα δείγματα γενόμενα, τὸν λαὸν εἰς φόβον μέγαν ἐνέβαλον καὶ Ex 20.18
σωφρονέστερον ἀπειργάσαντο.

6 Ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς, ἐξαπόστειλον τὰ βέλη σου καὶ συνταράξεις αὐτούς.

Ἀστραπὴν ἐνταῦθα καὶ βέλη, τὰς θεηλάτους τιμωρίας καλεῖ, οἷον, λιμοὺς, λοιμοὺς, σκηπτοὺς, καὶ τὰ τοιαῦτα· ἀπὸ τῶν γνωρίμων καὶ φοβερῶν, τὸν καταφρονητὴν καὶ ἀναπεπτωκότα τρέμειν καὶ διεγείρεσθαι ποιῶν.

Νοοῦνται δὲ τὰ ῥηθέντα καὶ περὶ τῆς πρώτης τοῦ Σωτῆρος ἐπιδημίας.

Καὶ γὰρ καὶ ἐν τῷ ιζ΄ γέγραπται ψαλμῷ, περὶ μὲν τῆς κλίσεως τοῦ οὐρανοῦ,
ὅτι *Ἔκλινεν οὐρανοὺς καὶ κατέβη*· περὶ δὲ τῶν ὀρέων καὶ τοῦ καπνοῦ, ὅτι *Καὶ* Ps 17.10α,
τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν, καὶ ὅτι *Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ*· περὶ 8β, 9α,
δὲ τῆς ἀστραπῆς καὶ τῶν βελῶν, ὅτι *Ἐξαπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτοὺς*, 15α,
καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐτούς· καὶ ἀνάγνωθι τὰς ἐξηγήσεις 15β
τῶν τοιούτων ῥητῶν.

Οὐκ ἀπὸ δὲ σκοποῦ, καὶ περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας τὰ προῤῥηθέντα νοεῖν.

7α Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους.

Τὴν ἀντιληπτικήν σου δύναμιν, τὴν συμμαχικήν σου βοήθειαν.

7β Ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν.

Ὕδατα τροπικῶς λέγει, τοὺς πολεμίους, ὡς δίκην ὑδάτων σφοδρῶς καὶ ἀτάκτως καὶ μετὰ ῥύμης φερομένους, καὶ τὸ προστυχὸν κατασύροντας.

Ἀνάγνωθι δὲ καὶ ἐν τῷ ξη΄ ψαλμῷ τὴν ἐξήγησιν τοῦ πρώτου στίχου. Ps 68.2

7γ Ἐκ χειρὸς υἱῶν ἀλλοτρίων.

Ἀνθρώπων ἀλλοτρίων μου, ἢ ἀλλοτρίων Θεοῦ, διὰ τὰς παρανομίας αὐτῶν.
[Εἴρηται δὲ καὶ ἐν ἑτέρῳ ψαλμῷ, *Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι*.] Ps 17.45

7γ[3] ἐψεύσαντό μοι : ἐψεύσαντό με MPS[2]BF : VL om..

8α Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα.

Ψεῦδος καὶ λόγους ἀνωφελεῖς, ἔτι δὲ καὶ βλαβερούς.

8β Καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.

Ὧν, φησὶ, καὶ οἱ λόγοι πονηροὶ, καὶ τὰ ἔργα κάκιστα.

9α Ὁ Θεὸς, ᾠδὴν καινὴν ᾄσομαί σοι.

Εὐχαριστήριον. Ὥσπερ γὰρ ὁ βασιλεὺς ἀπὸ τοῦ εὐεργετηθέντος πένητος οὐδὲν ἕτερον ἐπιζητεῖ πάντως ἢ μόνον εὐγνωμοσύνην καὶ εὐφημίαν, οὕτω καὶ ὁ Θεός. Ἀλλ' ἐκεῖνος μὲν, ἵνα λαμπρότερος | γένηται, ὁ δὲ Θεὸς, ἵνα λαμπρότερον ποιήσῃ τὸν τὴν εὐχαριστίαν αὐτῷ προσάγοντα.

9β Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι.

Πάλαι μὲν δι' ὀργάνων τοιούτων ᾔδοντο Θεῷ οἱ ψαλμοί· νῦν δὲ ψαλτήριον δεκάχορδον, πᾶς ἄνθρωπος, κατά τε τὰς πέντε τοῦ σώματος αἰσθήσεις καὶ τὰς πέντε δυνάμεις τῆς ψυχῆς. Ὅταν οὖν ὁ μὲν ὀφθαλμὸς ὀρθὰ βλέπῃ, ἡ δὲ Ps 32.2
ἀκοὴ πνευματικοὺς ἐνηχῆται λόγους, καὶ ἑκάστη τῶν εἰρημένων αἰσθήσεων καὶ δυνάμεων ἀμέμπτως καὶ θεοφιλῶς ἐνεργῇ τὰ πρέποντα, τότε διὰ τῶν δέκα τούτων, ὡς ἐν δέκα χορδαῖς, ᾄδει τις καὶ εὐχαριστεῖ καὶ δοξάζει τὸν Θεόν.

10α Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι.

Οὐ γὰρ στρατόπεδα καὶ τοιαῦται δυνάμεις, ἀλλ' ἡ τοῦ Θεοῦ ῥοπὴ σῴζειν αὐτοὺς εἴωθε.

10β Τῷ λυτρουμένῳ Δαυὶδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς.

Ἐκ πολέμου δεινοῦ, ἐκ θανάτου πικροῦ.

11 Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.

Εἶπε ταῦτα καὶ ἀνωτέρω· διττολογεῖ δὲ, τὴν δέησιν ἐπιτείνων. Ps 143.7β-γ

12α Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἡδρυμμένα ἐν τῇ νεότητι αὐτῶν.

Τὴν εὐημερίαν αὐτῶν ὑπογράφει καὶ τὸν πλοῦτον· ὧν οἱ υἱοὶ, φησὶν, εὐθαλεῖς,

ἀκμάζοντες, ὡς νεόφυτα ηὐξημένα ἐν τῇ νεότητι αὐτῶν.

12β Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.

Ὁμοίως ναῷ, ἢ ὡς δοκεῖν ὁμοίωμα ναοῦ κατὰ τὸν κόσμον καὶ τὸν καλλωπισμόν.

13α Τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο.

Ἀποκενοῦνται εἰς ἕτερα, διὰ τὸ στενοχωρεῖσθαι τῷ πλήθει τῶν ἀποτεθησαυρισμένων, ἢ ἐκφορούμενα εἰς μείζονα, κατὰ τὸ, *Καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω*. Lk 12.18

13β- Τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν, οἱ βόες αὐτῶν
14α παχεῖς.

Ἐξόδους, ἢ τὰς γεννήσεις νοοῦμεν, ἢ τὰς ἐπὶ τὰς νομὰς προόδους.

14β Οὐκ ἔστι κατάπτωμα φραγμοῦ.

Οὐ μόνον κομῶσιν αὐτοῖς τὰ λήϊα καὶ θάλλουσιν οἱ ἀμπελῶνες, ἀλλ' ἑστᾶσι καὶ οἱ τούτων φραγμοί· φραγμὸς δὲ, καὶ τὸ τεῖχος τῆς πόλεως καὶ τῆς οἰκίας, ὧν οὐδὲν, φησὶ, πέπτωκεν.

14γ Οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν.

Οὐδὲ ἐκδρομὴ, οὐδὲ κραυγὴ, ἐν ταῖς πλατείαις τῆς πόλεως αὐτῶν· ἢ καθ' ἕτερον ἑρμηνευτὴν, ἐν ταῖς ἐπαύλεσιν αὐτῶν. Ἔνθα γὰρ θόρυβος καὶ ταραχὴ ἐκ πολεμίων, ἐκεῖ καὶ ἐκδρομὴ καὶ διαδρομή. Λέγει δὲ καὶ ἐν τῷ οβʹ ψαλμῷ, ὅτι *Ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν*, καὶ τὰ ἑξῆς. Ps 72.3

15α Ἐμακάρισαν τὸν λαὸν, ᾧ ταῦτά ἐστιν.

Ἐμακάρισαν αὐτὸν οἱ πολλοὶ, διὰ τὴν εὐθηνίαν τῶν δοκούντων ἀγαθῶν. Θεὶς δὲ τὴν ἐσφαλμένην κρίσιν τῶν πολλῶν, ἐπάγει καὶ τὴν ὀρθὴν ψῆφον ἑαυτοῦ.

15β Μακάριος ὁ λαὸς, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.

Οὗ μερὶς, Κύριος ὁ Θεὸς αὐτοῦ· ἢ οὗ Κύριος, ὁ Θεὸς αὐτοῦ, οὗ κυριεύει ὁ Θεὸς, οὐχ ἁπλῶς, ἀλλὰ πειθομένου ταῖς ἐντολαῖς αὐτοῦ.

Τοῦτο γὰρ ὄντως μακαριότης, ὡς ἀγαθὸν μόνιμον καὶ διαιωνίζον. |

144 ρμδʹ
1α Αἴνεσις τῷ Δαυίδ.

Αἴνεσις κοινὴ καὶ πᾶσιν ἁρμόζουσα.

1β Ὑψώσω σε, ὁ Θεός μου ὁ βασιλεύς μου.

Ὑψηλὰ περὶ σοῦ θεολογῶν, ἢ τὸ ὕψος σου γνωρίζων τοῖς ἀγνοοῦσι.

1γ Καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Πῶς γὰρ οὐκ ἄτοπον, τὴν μὲν κτίσιν διὰ παντὸς ἀναπέμπειν τῷ Κτίστῃ δόξαν (*Οἱ οὐρανοὶ γὰρ, φησὶ, διηγοῦνται δόξαν Θεοῦ, καὶ τὰ ἑξῆς*), τὸν δὲ λογικὸν Ps 18.2α ἄνθρωπον ἐλαττοῦσθαι ταύτης ἐν τούτῳ καὶ μὴ πάντοτε δοξάζειν αὐτὸν, καὶ δι' εὐφημίας καὶ δι' ἀγαθοεργίας, *Ὅπως γὰρ, φησὶν, ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς;* Mt 5.16

Καὶ γὰρ πολλῶν ἐσμεν ὀφειλέται τῷ Θεῷ, ὅτι τε οὐκ ὄντας, ἐποίησε, καὶ ὅτι τοιούτους εἰργάσατο, καὶ ὅτι γενομένους, διακρατεῖ καὶ προνοεῖται διὰ παντὸς, καὶ κοινῇ καὶ ἰδίᾳ, καὶ λάθρᾳ καὶ φανερῶς, καὶ εἰδότων καὶ ἀγνοούντων.

Τί γὰρ ἄν τις εἴποι τὰ δι' ἡμᾶς κτισθέντα, τὴν διακονίαν ἣν ἡμῖν παρέχεται, τὴν διάπλασιν τοῦ σώματος, τὴν εὐγένειαν τῆς ψυχῆς, τὴν σύνεσιν, τὸν φυσικὸν νόμον, τὸν γραπτόν; Καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν, ἡ δι' ἡμᾶς ἐνανθρώπησις, καὶ τὰ πάθη καὶ ἡ σφαγή.

Τούτων οὖν ἁπάντων καὶ μυρίων ἄλλων ὀφειλέται ἐσμὲν, ὡς εἴρηται.

2 Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ταῦτα σαφῆ.

3 Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.

Μέγας, οὐ μόνον ὡς μεγαλουργὸς, ἀλλὰ καὶ ὡς μεγαλόδωρος, καὶ διὰ ταῦτα αἰνετὸς σφόδρα. Εἰ δὲ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας, οὐδὲ μέτρον, πάντως οὐδὲ τῆς αἰνέσεως αὐτοῦ.

4α Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου.

Ἥ τε οὖσα, ἥ τε ἐπιοῦσα, τουτέστι, πᾶσα.

Ἔργα δὲ λέγει νῦν, τὰ ἐν ἓξ ἡμέραις δημιουργηθέντα· ἢ καὶ τὰ ἐν τέρασι καὶ σημείοις καθ' ἑκάστην γενεὰν ἐπιτελούμενα.

4β Καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.

Τὴν ἐν τούτοις τε καὶ τὴν ἐν τῷ εὐεργετεῖν ἢ κολάζειν.

Γενεὰν δὲ καὶ γενεὰν λέγει νῦν, τοὺς ἐν ἑκάστῃ γενεᾷ συνετοὺς καὶ θεοφιλεῖς, οἳ πρῶτα μὲν παρ' ἑαυτοῖς ἐπαινοῦσι τὰ ἔργα τοῦ Θεοῦ, εἶτα καὶ ἄλλοις ἀπαγγέλλουσι τὴν δύναμιν αὐτοῦ.

5-6 Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται, καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.

Θαυμάσια μὲν, τὰ ἐπ' εὐεργεσίᾳ τινῶν τελούμενα, ὡς ἐπὶ τῆς τῶν Ἑβραίων ἐξ Αἰγύπτου διαβάσεως, ὁ στῦλος τοῦ πυρὸς καὶ τῆς νεφέλης, ἡ διαίρεσις τῆς Ἐρυθρᾶς, τὸ ἐκ πέτρας ὕδωρ, τὸ μάννα, ἡ ὀρτυγομήτρα, καὶ τὰ τοιαῦτα· φοβερὰ δὲ τὰ ἐπὶ κολάσει τινῶν τερατουργούμενα, ὡς αἱ κατ' Αἰγυπτίων μάστιγες, καὶ τῶν ἄλλων ἐθνῶν.

Καὶ ἑτέρως δὲ, θαυμάσια μὲν, ὡρῶν εὐκραεῖς ἐναλλαγαὶ, παράδεισοι κομῶντες, λειμῶνες εὐανθεῖς, πηγαὶ διειδεῖς καὶ πότιμοι, ποταμοὶ ῥέοντες ἡδέως, ὑετῶν ἀρδεῖαι, γῆς ὠδῖνες, δένδρων εἴδη μυρία, καρπῶν | ποικιλία, προσηνεῖς ἄνεμοι, λαμπρότης ἡλίου, σελήνης λαμπὰς, ἀστέρων κάλλος, καὶ ὅσα ἔν τε ἀψύχοις καὶ ἐμψύχοις ἀξιοθαύμαστα· φοβερὰ δὲ, ἀστραπαὶ, βρονταὶ, κεραυνοὶ, λιμοὶ, λοιμοὶ, χιὼν, χάλαζα, πάγος, ἐπίκλυσις, ἐκπύρωσις, καὶ ὅσα ἐν ἀψύχοις καὶ ἐμψύχοις φρικτά.

Μεγαλοπρέπεια δὲ καὶ μεγαλοσύνη, τὸ ὑπερέχον τῆς φύσεως καὶ σοφίας καὶ δυνάμεως τοῦ Θεοῦ.

Εἶτα ἐνδιατρίβει πλέον τοῖς χρηστοτέροις, δεικνὺς αὐτὸν ἐπιῤῥεπέστερον εἰς φιλανθρωπίαν.

7α Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται.

Ἀπαγγελοῦσι διήγησιν, ἔχουσαν μνήμην τῆς ἀμετρήτου χρηστότητος.

7β Καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.

Μνημονεύοντες καὶ διηγούμενοι πῶς ἑκάστῳ τὸ πρὸς ἀξίαν ἀπονέμεις, καὶ εὐεργετῶν καὶ κολάζων, καὶ πάντα δικαίως ποιεῖς καὶ ποιήσεις, ἀγαλλιάσονται, πεπεισμένοι, μήτε τὴν ἀρετὴν ἀγέραστον παροφθῆναι, μήτε τὴν κακίαν ἀτιμώρητον.

8 Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

Εἶπε ταῦτα καὶ ἐν τῷ ρβ′ ψαλμῷ. Ps 102.8

9 Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

Ἐπιδαψιλεύεται τῷ λόγῳ τῆς χρηστότητος, εἰδὼς ἐν ταύτῃ μάλιστα τοῦ Θεοῦ τὸν πλοῦτον. Οὐδὲ γὰρ ἦν σωθῆναι, μὴ πολλῆς οὔσης τῆς αὐτοῦ φιλανθρωπίας· τοῖς σύμπασί φησιν, οὐ τοῖς δικαίοις μόνον, ἀλλὰ καὶ τοῖς ἁμαρτωλοῖς, οὐδὲ τοῖς λογικοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἀλόγοις, καὶ ἁπλῶς πᾶν ἔργον αὐτοῦ οἰκτείρει, μέχρι καὶ τῶν εὐτελεστάτων· καὶ γὰρ καὶ τὴν γέενναν καὶ τὰς ἄλλας αἰωνίους κολάσεις ὑπὸ φιλανθρωπίας τοῖς ἁμαρτωλοῖς ἠπείλησεν, ἵνα δέει τούτων ἀπόσχωνται κακίας, καὶ μεταποιησάμενοι ἀρετῆς, τύχωσι μᾶλλον τῆς βασιλείας τῶν οὐρανῶν. Κἀνταῦθα δὲ κολάζει πολλάκις τινὰς πλημμελοῦντας, ἵνα τούτους τε βελτίους, εἰ βούλοιντο, ποιήσῃ, ἢ κἂν γοῦν κουφίσῃ τὴν ἐκεῖ κόλασιν αὐτοῖς, καὶ τοὺς ἄλλους παιδεύσῃ διὰ τῆς τούτων τιμωρίας, καὶ σωφρονεστέρους ἐργάσηται.

10α Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου.

Εὐχαριστείτωσαν τὰ μὲν λογικὰ δι’ ἑαυτῶν, τὰ δ’ ἄλογα καὶ τὰ ἄψυχα, διὰ τῶν ὁρώντων αὐτὰ καὶ χρωμένων τούτοις, δι’ οὓς ταῦτα γεγόνασιν. Εὐχαριστείτωσαν, ὅτι πάντα σοφῆς μετέχει κατασκευῆς, καὶ χρησίμου παραγωγῆς καὶ προνοίας ἀπολαύει. Κἀκεῖνα μὲν εὐχαριστείτωσαν διὰ τῆς θαυμαστῆς φύσεως αὐτῶν, οἱ ἄνθρωποι δὲ, διὰ τῆς ἐπαινετῆς αὐτῶν πολιτείας.

10β Καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.

Οἱ ἀφωσιωμένοι σοι, οἱ θεράποντές σου· τούτοις γὰρ μάλιστα προσήκει τὸ διὰ παντὸς εὐλογεῖν σε, βιωτικῆς φροντίδος ἀπηλλαγμένοις καὶ δυναμένοις καθαρῶς εὐφημεῖν, ἅτε καὶ τῶν ἄλλων συνετωτέροις.

11-12 Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι, τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου καὶ τὴν δόξαν τῆς | μεγαλοπρεπείας τῆς βασιλείας σου.

Διδάξουσι περὶ τούτων τοὺς ἀγνοοῦντας, ὥστε γνώριμα ταῦτα τούτοις καταστῆσαι· προσίεται γὰρ ὁ Θεὸς τὰς εὐφημίας, οὐχ ὡς δεόμενος αὐτῶν, ἀλλ’ ὥστε μαθεῖν ἑτέρους τὴν δόξαν καὶ δύναμιν αὐτοῦ.

13α Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων.

Διαιωνίζουσα, ἄναρχός τε καὶ ἀτελεύτητος· εἶτα σαφέστερον τοῦτο λέγει.

13β Καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Πανταχοῦ τῶν γενεῶν καὶ χρόνων ἐκτεινομένη.

13γ Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ.

Βέβαιος, ἀληθὴς, πιστεύεσθαι πρεπωδέστατος.

13δ Καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ἄμεμπτος, μηδεμίαν μηδενὶ παρέχων λαβήν.

14 Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατεῤῥαγμένους.

Εἰπὼν περὶ τῆς βασιλείας αὐτοῦ, ὅτι ἀπέραντος, περὶ τῶν λόγων, ὅτι ἀληθεῖς, περὶ τῶν ἔργων, ὅτι ἀνεπίληπτα, καὶ πρὸ τούτων, περὶ τῆς μεγαλωσύνης, περὶ τῆς δυνάμεως, περὶ τῆς δόξης, περὶ τῆς χρηστότητος, καὶ τῶν τοιούτων, νῦν λέγει πάλιν περὶ φιλανθρωπίας, ὃ καὶ αὐτὸ, μεγίστη δόξα τῆς βασιλείας αὐτοῦ, τὸ μὴ μόνον διακρατεῖν ἑστῶτας, ἀλλὰ καὶ μέλλοντας καταπεσεῖν ὑποστηρίζειν, ὥστε μὴ τοῦτο παθεῖν, καὶ κειμένους ἀνιστᾶν, ὅσοι δηλονότι μὴ ἀντιτείνωσι, καὶ μὴ τὸν δεῖνα μόνον ἢ τὸν δεῖνα, πάντας δὲ πάντως, καὶ δούλους καὶ πένητας καὶ ἀσήμους, καὶ ἕτοιμον εἶναι βοηθεῖν πᾶσι τοῖς βουλομένοις.

Εἶτα λέγει καὶ ἕτερον εὐεργεσίας εἶδος· ποικίλη γὰρ αὐτοῦ καὶ παντοδαπὴ ἡ κηδεμονία.

15-16 Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σὺ τὴν χεῖρά σου καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.

Ὅμοια ταῦτα τοῖς ἐν τῷ ργʹ ψαλμῷ ῥηθεῖσι, *Πάντα γὰρ*, φησὶ, *πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον*· καὶ αὖθις, *Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος*, καὶ ζήτησον τὰς ἐκείνων ἐξηγήσεις. Ὅπερ οὖν εἶπεν ἐκεῖ χρηστότητα, τοῦτο εὐδοκίαν ἐνταῦθα λέγει. Ps 103.27, 28

Εἶδες πῶς ἔδειξεν ὅτι χρηστός ἐστι τοῖς σύμπασι καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ, καὶ ὅτι οὐ γῆ καὶ ὑετὸς καὶ ἥλιος καὶ ἀὴρ, ἀλλὰ τὸ πρόσταγμα τὸ δεσποτικὸν δίδωσι τὰς τροφὰς τῶν ζώων; Ἡ δ' ἄνοιξις τῆς χειρὸς καὶ τὴν εὐχέρειαν ἐμφαίνει τῆς χορηγίας.

17α Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

Ταῖς οἰκονομίαις, ταῖς προνοίαις.

Ὅπερ δὲ ἀνωτέρω σημαίνει τὸ, *ὅσιος*, τοῦτο κἀνταῦθα τὸ, *δίκαιος*. Ps 144.13δ

17β Καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Τὸ αὐτὸ λέγει πάλιν, ἐφερμηνευτικῶς, ὡς εἶναι τόν τε ἀνωτέρω ῥηθέντα στίχον καὶ τοὺς δύο τούτους τῆς αὐτῆς ὁμοῦ σημασίας. Ἢ δίκαιος ἐν ταῖς ἐντολαῖς αὐτοῦ, συμμετρήσας αὐτὰς τῇ δυνάμει τῶν εἰληφότων.

18 Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. |

Εἰπὼν τὰ κοινῇ καὶ τοῖς ἀπίστοις δεδομένα, λέγει καὶ τὰ ἰδιαζόντως τοῖς πιστοῖς παρεχόμενα — τὸ ἐγγὺς εἶναι, καὶ σκέπειν, καὶ ἀντιλαμβάνεσθαι.

Τὸ δὲ, *ἐν ἀληθείᾳ*, τὸ, ὀρθῶς καὶ ὡς χρὴ, δηλοῖ.

19 Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς.

Θέλημα, τὸ συμφέρον καὶ μὴ ἀπᾷδον τοῦ θελήματος αὐτοῦ.

20α Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν.

Τοὺς ἀγαπῶντας αὐτὸν ἐξ ὅλης τῆς καρδίας. Φυλάσσει δὲ, ἀφ᾽ ὧν φυλάττειν αὐτοὺς προσήκει.

20β Καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

Τοὺς ἀνίατα νοσοῦντας· ἐξολοθρεύσει δὲ ἀπὸ τοῦ λαοῦ αὐτοῦ.

21α Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου.

Διὰ παντὸς γὰρ, φησὶν, *ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου*. Ps 33.2β

21β Καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Εἴρηται καὶ ἐν τῷ ρβʹ ψαλμῷ, *Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ*, Ps 102.22α καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

Ἢ εὐλογείτω πᾶσα σὰρξ, ἡ πιστεύσασα δηλονότι· πῶς γὰρ ὁ ἄπιστος εὐλογήσει; Ἀπὸ δὲ τῆς σαρκὸς, ὅλον τὸν ἄνθρωπον λέγει, ὡς ἀπὸ μέρους τὸ ὅλον. Καὶ ἀλλαχοῦ γὰρ αὖθις ἀπὸ μόνης ψυχῆς τὸν ὅλον δηλοῖ, λέγων, *Πᾶσα πνοὴ, αἰνεσάτω τὸν Κύριον*. Ps 150.6

145
1α ρμε´
Ἀλληλούϊα.

Αἴνεσίς ἐστι καὶ ὁ παρὼν ψαλμός· τοῦτο γὰρ καὶ ἡ ἐπιγραφὴ σημαίνει. Ps 144.1α

Ἔν τισι μὲν οὖν τῶν ἀντιγράφων, *Ἀγγαίου καὶ Ζαχαρίου*, πρόσκειται τῇ ἐπιγραφῇ· οὔτε δὲ ἐν τῷ Ἑβραϊκῷ κεῖται, οὔτε παρά τινι τῶν ἑρμηνευτῶν, οὔτε παρὰ τοῖς Ἑβδομήκοντα.

1β Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον.

Ὅμοιον τῷ, *Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.* Ps 102.1β

2 Αἰνέσω Κύριον ἐν ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Τὸ, *ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω*, ἐφερμηνευτικόν ἐστι τοῦ, *αἰνέσω Κύριον ἐν ζωῇ μου*. Εἴρηται δὲ καὶ ἐν τῷ ργ´ ψαλμῷ, *Ἄισω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.* Ps 103.33

3 Μὴ πεποίθατε ἐπ᾽ ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία.

Οἷς οὐκ ἔστι τὸ σῶσαι ἑαυτούς. Εἰ δ᾽ ἑαυτοὺς οὐ δύνανται σῶσαι, πολλῷ μᾶλλον ἑτέρους.

Ὁρᾷς γὰρ, ὅπως διαφόροις ὑπόκεινται κινδύνοις καὶ νόσοις, καὶ τὸν θάνατον ἐκφυγεῖν οὐ δύνανται. Ἀκουέτωσαν οἱ πρὸς τὰς ἀνθρωπίνας κεχηνότες ἀντιλήψεις καὶ συμμαχίας.

Εἶτα δείκνυσι πῶς οὐκ ἔστιν αὐτοῖς σωτηρία.

4α Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ.

Ἡ ψυχὴ τοῦ ἄρχοντος, ἐφ᾽ ὃν πέποιθας.

4β Καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ.

Ἐπιστρέψει αὐτὸς, ἤτοι τὸ σῶμα αὐτοῦ εἰς τὴν γῆν ἀφ᾽ ἧς ἐλήφθη. *Γῆ* γὰρ, φησὶν, *εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.* Gen 3.19

4γ Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.

Ἡμέραν λέγει, τὴν τῆς ἐξόδου τῆς ψυχῆς· διαλογισμοὺς δὲ, τοὺς περὶ βιωτικῶν πραγμάτων, πλούτου καὶ δόξης, καὶ δυναστείας καὶ συμμαχίας, καὶ τῶν τοιούτων.

1β[2] ὅμοιον τῷ MPS[2]F : ὅμοιον τὸ CBV. 3[1] πεποίθατε S[2]BV[TRa] : πεποίθετε MPCF.

Ἐπεὶ δὲ τῶν ἀνθρωπίνων ἀπήγαγεν ἐλπίδων, δείκνυσι | λοιπὸν τὸν ἀσφαλῆ λιμένα, τὸν ἀχείρωτον πύργον. Τρόπος γὰρ ἄριστος παραινέσεως, ἀπάγειν μὲν τῶν σαθρῶν, ἐνάγειν δὲ πρὸς τὰ ἰσχυρὰ, καὶ τὰ μάταια μὲν καθαιρεῖν, ἱστᾶν δὲ τὰ ἀληθινὰ, καὶ διελέγχειν μὲν τὰ ἀπατῶντα, δεικνύειν δὲ τὰ ὠφελοῦντα.

5 Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Καὶ ἐν τῷ ριζ′ εἴρηται ψαλμῷ, *Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον ἢ πεποιθέναι ἐπ' ἄνθρωπον· ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον ἢ ἐλπίζειν ἐπ' ἄρχουσι.* Ps 117.8-9

Μακάριος, φησὶν, οὗ βοηθὸς, ὁ Θεὸς τοῦ Ἰακὼβ, ὁ μόνος καὶ κυρίως Θεὸς, ἐφ' ὃν ὁ Ἰακὼβ πεποιθὼς, ὅσης καὶ οἵας βοηθείας ἀπήλαυσε· ταῦτα γὰρ ἡ προσθήκη τοῦ Ἰακὼβ ἐμφαίνει. Εἶτα λέγει καὶ τὴν τοῦ βοηθοῦ τούτου δύναμιν, ὡσὰν ἐπὶ τοῦτον μάλιστα καταφεύγωμεν.

6 Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα.

Τὸν ἀληθεύοντα πάντοτε, καὶ ἐν ταῖς ἐπαγγελίαις τῶν εὐεργεσιῶν καὶ ἐν ταῖς ἀπειλαῖς τῶν τιμωριῶν.

7α Ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις.

Οὐ μόνον κατὰ τὸ, *Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω*, δηλονότι κατὰ τὴν Rom 12.19
μέλλουσαν κρίσιν, ἀλλὰ καὶ ἐνταῦθα.

7β Διδόντα τροφὴν τοῖς πεινῶσιν.

Οὐ μόνον κατὰ τὸ, *Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται*, ἀλλὰ καὶ ἐν τῷ παρόντι βίῳ· καὶ μυρία καὶ τῶν Mt 5.6
ἐκδικουμένων ἐπὶ τῆς ἐνταῦθα ζωῆς καὶ τῶν τρεφομένων τὰ παραδείγματα.

7γ-8α Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλοὺς, Κύριος ἀνορθοῖ κατεῤῥαγμένους.

Πεπεδημένους οὐ μόνον ἐν συμφοραῖς βιωτικαῖς, ἀλλὰ καὶ ἐν *σειραῖς ἁμαρτιῶν*· καὶ τυφλοὺς, οὐ μόνον τοὺς σωματικοὺς ὀφθαλμοὺς, ἀναπληρούσης Prov 5.22
αὐτοῖς τῆς ἐκ Θεοῦ σοφίας τὸ ὑστέρημα τῆς πηρώσεως, ἀλλὰ καὶ τοὺς ψυχικούς· καὶ κατεῤῥαγμένους, οὐ μόνον ἐξ ὑγείας καὶ εὐημερίας εἰς νόσον καὶ δυσπραγίαν, ἀλλὰ καὶ ἐξ ἀρετῆς εἰς κακίαν· ὁποῖοι ἦσαν οἱ ἐξ ἐθνῶν, πεπεδημένοι πρὸς τὴν ἀρετὴν, καὶ τυφλοὶ πρὸς τὴν ἀλήθειαν, καὶ κατεῤῥαγμένοι εἰς τὸν τῆς ἀπωλείας κρημνόν.

8β-9α Κύριος ἀγαπᾷ δικαίους, Κύριος φυλάσσει τοὺς προσηλύτους.

Δικαίους μὲν, τοὺς πρὸ τοῦ Εὐαγγελίου λάμψαντας ἐν ἀρετῇ· προσηλύτους δὲ, τοὺς μετὰ τὸ Εὐαγγέλιον προσεληλυθότας τῇ εὐσεβείᾳ· ἢ δικαίους μὲν, τοὺς τελειοτέρους εἰς ἀρετὴν, προσηλύτους δὲ, τοὺς ἀρτιπαγεῖς. Ἐκείνους μὲν γὰρ ἀγαπᾷ, ὡς εὐαρεστοῦντας, τούτους δὲ φυλάσσει, ὡς ἁπαλοὺς ἔτι καὶ μήπω πεπειραμένους τῆς πρὸς τοὺς δαίμονας συμπλοκῆς.

9β Ὀρφανὸν καὶ χήραν ἀναλήψεται.

Ἀντιλήψεται. Διττῶς δὲ καὶ περὶ τούτων νοήσεις.

Ὀρφανὸς μὲν γὰρ, ὁ καταλιπὼν πατέρα καὶ μητέρα διὰ Χριστόν· καὶ χήρα Gen 2.24
πάλιν, ἡ καταλιποῦσα τὸν ἄνδρα διὰ Χριστόν. Ὥσπερ δὲ τῷ ὀρφανῷ τὰ τιμιώτατα καὶ φίλτατα τοῦ γένους, | πατὴρ καὶ μήτηρ, οὕτω καὶ τῇ χήρᾳ, ἀνήρ.

Εἴη δ' ἂν ὀρφανὸς, καὶ ὁ ἀποβαλὼν τὸν διάβολον, ὃν εἶχε πρότερον πατέρα καὶ διδάσκαλον ἐν κακίᾳ· καὶ χήρα πάλιν, ἡ ἀποβαλοῦσα ψυχὴ τὸν διάβολον, ᾧ κεκόλλητο διὰ τοῦ θεραπεύειν αὐτόν.

9γ Καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.

Ὁδὸς ἁμαρτωλῶν, ἡ κακία καὶ πονηρία. Εἴρηται δὲ καὶ ἐν τῷ τέλει τοῦ
πρώτου ψαλμοῦ, *Καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.* Ps 1.6β

10α Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα.

Ὁ Υἱὸς τοῦ Θεοῦ, βασιλεύων ὡς Θεὸς, βασιλεύσει καὶ ὡς ἄνθρωπος εἰς τὸν
αἰῶνα, καθ' ὃν ἐρεῖ τὸ, *Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς·* ἢ ὁ Θεὸς Mt 28.18
ἁπλῶς βασιλεύσει αἰωνίως, *Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.* Lk 1.33

10β Ὁ Θεός σου, Σιὼν, εἰς γενεὰν καὶ γενεάν.

Βασιλεύσει δηλονότι, ἢ ἔσται.

Εἴρηται δὲ καὶ ἐν τῷ προλαβόντι ψαλμῷ, *Ἡ βασιλεία σου βασιλεία πάντων
τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.* Γενεὰ δὲ καὶ γενεὰ, Ps 144.13
ἥ τε τῶν ἀποθνῃσκόντων καὶ ἡ τῶν ἀνισταμένων νεκρῶν.

Σιὼν δὲ, καὶ ἡ Ἐκκλησία τῶν πιστῶν, ὡς δεδήλωται καὶ ἐν τῷ ϟς′ ψαλμῷ,
ἔνθα τὸ, *Καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας.* Ps 96.8β

146 ρμϛʹ
1α Ἀλληλούϊα.

Αἴνεσις καὶ οὗτος ὁ ψαλμὸς, ὁμοίως δὲ καὶ πάντες οἱ ἐφεξῆς.

1β Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸν ψαλμός.

Ἀγαθὸν ὁ αἶνος, ἡ ὑμνολογία τοῦ Θεοῦ· ὁ δὲ Σύμμαχος, Ἀλληλούϊα, ὅτι ἀγαθὸν ᾠδή.

1γ Τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις.

Ἡδεῖα λογισθείη, προσδεχθείη· τοῦτο δὲ γίνεται, ὅταν ὁ αἰνῶν βίον ἔχῃ θεάρεστον.

Ἔοικε δὲ καὶ ὁ ψαλμὸς οὗτος εἶναι περὶ τῆς ἐκ Βαβυλῶνος ἐπανόδου, καὶ δῆλον ἀπὸ τῶν ἐφεξῆς ῥητῶν.

2α Οἰκοδομῶν Ἰερουσαλὴμ ὁ Κύριος.

Ἔστι δηλονότι. Ὅμοιον δὲ λέγει τῷ, *Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.* Ps 126.1β

2β Τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει.

Περὶ τῶν ὑπολειφθέντων ἡ προφητεία· οὐ γὰρ ἀθρόοι πάντες ἀνήχθησαν.

3 Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν.

Τοῦτο καὶ Παῦλος εἶπεν, ὅτι *Ὁ παρακαλῶν τοὺς ταπεινούς.* 2Cor 7.6

Ψυχῶν γὰρ ὢν μᾶλλον ἰατρὸς, ἔργον ἔχει ψυχαγωγεῖν καὶ ἀνακτᾶσθαι τοὺς συντετριμμένους τὴν καρδίαν ὑπὸ πειρασμῶν καὶ συμφορῶν.

Εἰ δὲ τούτους, πολλῷ μᾶλλον τοὺς τὴν ἐνάρετον ταπείνωσιν τεταπεινωμένους. Δεσμοὶ δὲ συντριμμάτων, αἱ δι' ἔργων καὶ λόγων θεραπεῖαι καὶ παρηγορίαι.

Τοῦτο μὲν οὖν, περὶ τῆς χρηστότητος αὐτοῦ, τὸ δὲ μετὰ τοῦτο, περὶ τῆς δυνάμεως, ἵνα θαῤῥήσωσιν.

4α Ὁ ἀριθμῶν πλήθη ἄστρων.

Ὁ τὸν ἀριθμὸν αὐτῶν ἀκριβῶς εἰδώς· τινὲς δὲ ἀριθμὸν, τὴν γνῶσιν ἐνόησαν· οἷον, ὁ γινώσκων τὰ πλήθη τῶν ἄστρων, πῶς ἔχουσι κατά τε θέσιν καὶ τάξιν καὶ σχῆμα καὶ μέγεθος καὶ σχέσιν πρὸς ἄλληλα καὶ αἰτίαν.

4β *Καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.*

Ὀνόματα ἀφορίζων, ὀνομάζων, ὃ μεῖζον τοῦ ἀριθμεῖν αὐτά.

Ἔδειξεν οὖν ὅτι | ὁ ἰώμενος τοὺς συντετριμμένους δεσμήσει καὶ τὰ συντρίμματα τῶν ἔτι συντριβομένων ἐν τῇ αἰχμαλωσίᾳ· καὶ ὁ τοσοῦτον γινώσκων τὰ ἀναρίθμητα πλήθη τῶν ἄστρων ὡς καὶ ἕκαστον αὐτῶν ἐξ ὀνόματος καλεῖν — ὃ τῆς ἄκρας ἐστὶ γνώσεως ἐμφαντικὸν — οἶδε πάντως καὶ πάντας τοὺς διεσπαρμένους ἐν ταῖς χώραις τῶν αἰχμαλωτισάντων, καὶ ὡς μὲν πανοικτίρμων, οἰκτειρήσει τούτους, ὡς δὲ παντοδύναμος, δυνήσεται ἐπισυναγαγεῖν αὐτούς.

5α *Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.*

Ἐπειδὴ πρᾶγμα εἶπε μέγιστον, ὅτι τοσαύτας μυριάδας πανταχοῦ διασπαρείσας ἐπισυνάξει, περὶ τῆς δυνάμεως αὐτοῦ λοιπὸν διαλέγεται, θαῤῥεῖν παρασκευάζων καὶ πιστεύειν ἀνενδοιάστως.

5β *Καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.*

Μὴ ζήτει πῶς καὶ τίνι τρόπῳ. *Ὥσπερ γὰρ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας*, οὕτω καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός· οὗ δὲ καὶ ἡ μεγαλωσύνη Ps 144.3
καὶ ἡ σοφία ἄπειρος, περὶ τούτου μὴ ἀμφίβαλλε.

6α *Ἀναλαμβάνων πραεῖς ὁ Κύριος.*

Ἀνακτώμενος, φέρων, διαβαστάζων, πατρικῶς τε καὶ κηδεμονικῶς.

6β *Ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς.*

Καθαιρῶν εἰς ἔδαφος, καταράσσων σφόδρα. Τοῦτο γὰρ ἐμφαίνει τὸ, ἕως γῆς.

Πραεῖς μὲν οὖν λέγει, τοὺς ταπεινοὺς τῇ καρδίᾳ, ἁμαρτωλοὺς δὲ, τοὺς Mt 11.29
ὑπερηφάνους, κατὰ τὸ, *Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι
χάριν*. Jc 4.6

7α *Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει.*

Ἐξάρξατε αὐτῷ ᾠδῆς δηλονότι, ἐν εὐχαριστίᾳ· ἢ, ἐξάρξατε, ἀντὶ τοῦ, ᾄσατε αὐτῷ δι᾽ εὐχαριστίας.

7β-9α *Ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ, τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετὸν, τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν.*

Καλύπτει μὲν γὰρ τὸν οὐρανὸν ἐν νεφέλαις, ἵνα ὑετίσῃ· ὑετίζει δὲ, ἵνα χόρτον καὶ χλόην ἐξανατείλῃ· ἐξανατέλλει δὲ ταῦτα πρὸς τροφὴν τῶν ποηφάγων κτηνῶν, ἡμέρων τε καὶ ἀνημέρων. Εἴρηται δὲ καὶ ἐν τῷ ργʹ ψαλμῷ, *Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ.* Ps 103.13

Εἰ δὲ τὰ ὄρη, πολλῷ μᾶλλον τὴν καρποφόρον γῆν, καὶ εἰ τῶν ἀλόγων τίθεται πρόνοιαν, πολλῷ μᾶλλον τῶν λογικῶν, δι' οὓς παρήγαγε καὶ τὰ ἄλογα.

Ὁμοίως δὲ καὶ περὶ τῶν ἐφεξῆς ἐῤῥήθη ἐν τῷ δηλωθέντι ψαλμῷ, *Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων*, καὶ Ps 103.14
ἀνάγνωθι τὰς τούτων ἐξηγήσεις.

9β Καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.

Εἶπε καὶ ἐν τῷ ῥηθέντι ψαλμῷ, *Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον*, καὶ ζήτησον ἐκεῖ. Ps 103.27

Φυσικὸς δὲ λόγος, ὡς οἱ νεοσσοὶ τῶν κοράκων ἐγκαταλιμπανόμενοι παρὰ τῶν γεγεννηκότων δι' ὠμότητα καὶ μισοτεκνίαν, κράζουσιν ἰσχυρῶς, κεχηνότες ἄνω, καὶ ζητοῦντες τροφήν· οὓς ὁ Θεὸς ἀποῤ | ῥήτως τρέφει, πρὸς ἔνδειξιν τῆς οἰκείας προνοίας καὶ περὶ πάντα χρηστότητος, αὔρας τοῖς στόμασιν αὐτῶν ἐμπιπτούσης, βρῶσιν ἐξ ἀέρος τινὰ συνεπισπωμένης. Ἐπικαλοῦνται δὲ τὸν Θεὸν, οὐχ ὡς συνιέντες, ἀλλ' ὡς δοκοῦντες ἐπικαλεῖσθαι, καὶ ὡς τῆς κραυγῆς μιμουμένης δέησιν· διὰ τοῦτο γὰρ καὶ εἰδικῶς τούτους ἐνταῦθα μνημονευθῆναι.

Νεοσσοὶ δὲ κοράκων ἀναγωγικῶς, οἱ ἐξ ἐθνῶν, τῶν ἀκαθάρτων καὶ μεμελασμένων τὰς ψυχὰς τῷ ζόφῳ τῆς ἁμαρτίας, οἷς δίδωσι τροφὴν ὁ Θεὸς πνευματικήν τε καὶ μὴ ἀπολλυμένην. Jn 6.27

Ἐπεὶ δὲ ἀσθενεῖς ἦσαν οἱ ἐκ τῆς αἰχμαλωσίας καὶ ὅπλων ἔρημοι καὶ πάντων γεγυμνωμένοι, ἵνα μὴ δ' ἐντεῦθεν θορυβῶνται, καὶ ταύτην αὐτῶν θεραπεύει τὴν ὑποψίαν, λέγων·

10 Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ.

Θέλησιν καὶ εὐδοκίαν, τὴν ἀρέσκειαν λέγει, καὶ αὖθις δυναστείαν καὶ κνήμας, τὴν δύναμιν. Ὥσπερ γὰρ ἐν τοῖς βραχίοσι τῶν χειρῶν, οὕτω καὶ ἐν ταῖς κνήμαις τῶν ποδῶν, ἡ περιουσία τῆς δυνάμεως.

Οὐκ ἐν τῇ δυνάμει, φησὶ, τοῦ ἵππου ἢ τοῦ ἱππότου ἀρεσθήσεται ἢ εὐδοκεῖ τὸ κράτος, ἀλλ' ἐν τίσιν, ἄκουσον·

11 Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Λοιπὸν οὖν, φόβον τοιοῦτον καὶ ἐλπίδα τοιαύτην κτησάμενοι, μηδὲν θορυβεῖσθε.

9β[4] λόγος PS[2]CBF : ὁ λόγος MV.

147 ρμζʹ

1α Ἀλληλούϊα.

Αἴνεσις καὶ οὗτος ὑπὲρ τῶν ἀγαθῶν τῆς Ἰερουσαλήμ.

1β Ἐπαίνει, Ἰερουσαλὴμ, τὸν Κύριον, αἴνει τὸν Θεόν σου, Σιών.

Ἰερουσαλὴμ μὲν, ἡ οἰκοδομηθεῖσα πόλις· Σιὼν δὲ, τὸ ὄρος ἐφ' οὗ αὕτη ᾠκοδόμητο· ἀμφότερα δὲ τῆς αὐτῆς ὀνόματα.

2α Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου.

Ὕμνει, φησὶν, αὐτὸν, δόξαζε δὲ καὶ εὐχαρίστει, ὅτι ἐνεδυνάμωσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, θεὶς αὐτοὺς ἀδιαῤῥήκτους τοῖς πολεμίοις.

Εἶτα λέγει καὶ τὰς λοιπὰς εὐεργεσίας.

2β Εὐλόγησε τοὺς υἱούς σου ἐν σοί.

Ἐχαρίτωσεν αὐτοὺς εἰς πλῆθος, εἰς ἰσχὺν, εἰς σύνεσιν, εἰς πλοῦτον, καὶ τὸ μεῖζον, ὅτι ἐν σοὶ ὄντας ὁμοῦ κατοικοῦντας. *Ἰδοὺ δὴ γὰρ, φησὶ, τί καλὸν ἢ τί τερπνὸν ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.* Ps 132.1β

3α Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην.

Ὁ πάντων τῶν ὁρίων σου τὸν πόλεμον ἀπελάσας, ὁ τιθεὶς τὰ ὅριά σου εἰρηναῖα ἢ ὁ τιθεὶς εἰς τὰ ὅριά σου εἰρήνην.

3β Καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε.

Οὐ σῖτον ἁπλῶς, ἀλλὰ πιμελὴν σίτου, λέγει δὲ τὴν σεμίδαλιν· αὕτη γὰρ τὸ πιότατον καὶ καθαρώτατον τῆς ἀλεύρου· καὶ οὐ διδοὺς ἁπλῶς, ἀλλ' ἐμπιπλῶν· δι' ὧν ὁμοῦ τὴν εὐθηνίαν καὶ δαψίλειαν τῶν καρπῶν δηλοῖ.

4α Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ.

Ὅπερ αὐτῷ σύνηθες, ἀπὸ τῶν εἰδικῶν ἐπὶ τὰ κοινὰ μεταφέρειν τὸν λόγον, καὶ πάλιν ἀπὸ τῶν κοινῶν ἐπὶ | τὰ ἰδιάζοντα, τοῦτο κἀνταῦθα ποιεῖ· εἰπὼν γὰρ περὶ τῶν μερικῶν εὐεργεσιῶν τῆς Ἰερουσαλὴμ, νῦν λέγει καὶ περὶ τῆς καθόλου προνοίας, λόγιον καλῶν, τὸ περὶ τοῦ καρπογονεῖν πρόσταγμα. Gen 1.11

4β Ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.

Ἀποστέλλοντος αὐτοῦ τὸ λόγιον, ἤτοι κελεύοντος, ὁ τοιοῦτος λόγος ἕως τάχους δραμεῖται, τουτέστι, ταχέως δραμεῖται, παραυτίκα τελεσιουργηθήσεται.

Κατὰ δὲ ἀναγωγὴν, Ἰερουσαλὴμ καὶ Σιὼν, ἡ τῶν πιστῶν Ἐκκλησία, καθὼς πολλάκις εἰρήκαμεν· πύλαι δὲ αὐτῆς, ἡ πίστις καὶ τὸ βάπτισμα· μοχλοὶ δὲ αὐτῶν, ὁ σταυρός· εὐλόγησε δὲ τοὺς υἱοὺς αὐτῆς, τοὺς ἀποστόλους, ὁ Χριστός. *Ἐπάρας,* φησὶ, *τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτοὺς, καὶ δι᾽ αὐτῶν πάντας τοὺς ἐξ αὐτῶν.* Lk 24.50
Τέθεικε δὲ καὶ τὰ ὅρια αὐτῆς εἰρήνην, ὅτι καὶ πολεμουμένη, εἰρήνην ἄγει ἐν τῷ νικᾶν· στέαρ δὲ πυροῦ, ἡ τῆς πνευματικῆς τροφῆς πιότης καὶ καθαρότης· ἀποστελλόμενον δὲ τῇ γῇ λόγιον, τὸ κήρυγμα τοῦ Εὐαγγελίου, ὃ καὶ ταχέως δραμεῖσθαι προεφήτευσεν ὁ Δαυίδ.

Ἵνα δὲ μήτις ἀδύνατα νομίσῃ τὰ τῆς προφητείας, πιστοῦται ταῦτα διὰ τῶν ἐφεξῆς θαυμασίων, μονονουχὶ διδάσκων, ὡς ὁ ταῦτα ῥᾳδίως ἰσχύων, οὐδ᾽ ἐπ᾽ ἐκείνοις ἀδυνατήσει.

5α Διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον.

Οὕτω πολλὴν καὶ οὕτως ἀθρόαν, ὡς ἐν βραχεῖ πᾶσαν καλύπτεσθαι τὴν γῆν, ὡς ὑπό τινος ἐρίου λευκοῦ.

5β Ὀμίχλην ὡσεὶ σποδὸν πάσσοντος.

Πολλὴν καὶ ἀθρόαν καὶ ταύτην.

6α Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς.

Καταφέρεται γὰρ καὶ τοιαύτη κρυσταλλώδης χιὼν, βραχέσι κέρμασι ψωμῶν ἐοικυῖα. Τινὲς δὲ καὶ τὴν μεγάλην χάλαζαν ἐνόησαν.

6β Κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;

Καὶ τοῦτο γὰρ θαυμαστὸν καὶ μεγάλης δυνάμεως ἀπόδειξις, πῶς αἰφνίδιον τοιοῦτον καὶ τοσοῦτον ψῦχος.

7α Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ καὶ τήξει αὐτά.

Ἕτερον τοῦτο παράδοξον, πῶς τῷ προστάγματι αὐτοῦ τήκεται καὶ ἡ χιὼν καὶ ὁ κρύσταλλος.

7β Πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα.

Τὸν νότον λέγει.

Δείκνυσι δὲ διὰ πάντων, ὡς οὐκ αὐτόματα γίνεται ταῦτα, πάντα δὲ τοῖς προστάγμασιν αὐτοῦ πειθαρχεῖ καὶ ῥᾳδίως μεταβάλλεται, νῦν μὲν ἐξ ὕδατος εἰς χιόνα καὶ κρύσταλλον, νῦν δὲ ἀπὸ τούτων εἰς ὕδωρ· καὶ ἄρτι μὲν ἀπὸ θέρμης εἰς ψῦχος, ἄρτι δ' ἀπὸ τούτου εἰς θέρμην· ὅθεν οὐκ ἄπιστον ἐκ πειρασμῶν γενέσθαι ταχεῖαν ἄνεσιν, καὶ ἐκ πολέμων, ἀθρόαν εἰρήνην, καὶ ἀπὸ συμφορῶν καὶ θλίψεων, αἰφνίδιον μεταβολὴν καὶ χαράν.

Αἰνίττεται δὲ τὰ ῥηθέντα καί τι βαθύτερον, ὅτι καθάπερ τὰ τοῦ χειμῶνος, εἰ καὶ λυποῦσιν, ὅμως χρησιμεύει τῇ γῇ, οὕτω καὶ τὰ τῶν πειρασμῶν εἰς καιρὸν ὠφελοῦντα πάλιν οἰκονομικῶς μεταβάλλεται· τοῦτο μὲν παιδεύοντα, τοῦτο δὲ ψυχαγωγοῦντα, | πρὸς τὸ λυσιτελοῦν ἑκατέρωθεν.

Εἶτα πάλιν ἀπὸ τῶν κοινῶν ἐπὶ τὰ ἰδιάζοντα μετάγει τὸν λόγον, ὡς ἀνωτέρω δεδήλωται. Ps 147.4α

8α Ὁ ἀπαγγέλλων τὸ λόγιον αὐτοῦ τῷ Ἰακώβ.

Ἀρχόμενος μὲν τοῦ ψαλμοῦ, περὶ τῶν αἰσθητῶν διελέχθη καὶ σῶμα ὠφελούντων, οἷον ἀσφαλείας, εὐανδρίας, εἰρήνης καὶ εὐθηνίας· ἐνταῦθα δὲ, περὶ τῶν ὑψηλοτέρων καὶ ψυχὴν ῥυθμιζόντων, τὸν περὶ τῆς νομοθεσίας λόγον εἰσάγων, ἐκ τούτων τε κἀκείνων διεγείρων τὸν λαὸν εἰς ὑμνολογίαν καὶ ἀγάπην Θεοῦ, τοιαῦτα τούτους εὐεργετοῦντος.

Ὁ ἀναγγέλλων, φησὶ, τὸ πρόσταγμα αὐτοῦ τοῖς Ἰσραηλίταις, ὁ διδάσκων, ὁ γνωρίζων αὐτοῖς αὐτό. *Ἐγνώρισε γὰρ*, φησὶ, *τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ*. Ps 102.7α-β

Σαφηνίζων δὲ τὸν λόγον, ἐπήγαγε·

8β Δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ.

Ὃ προλαβὼν εἶπε λόγιον, τοῦτο λέγει νῦν, δικαιώματα καὶ κρίματα.

9α Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει.

Οὐδενὶ ἔθνει.

9β Καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς.

Οὐκ ἐποίησέ τινι ἔθνει τοιαῦτα καὶ τοσαῦτα· καὶ τὰ προστάγματα καὶ θελήματα αὐτοῦ οὐκ ἐδήλωσε τοῖς ἔθνεσιν, εἰ μὴ μόνοις τούτοις· τοῖς μὲν γὰρ ἄλλοις ἔθνεσι τὸν φυσικὸν ἐνέθηκε νόμον, τὸν ἀπὸ τοῦ συνειδότος, καθ' ὃν καὶ κρίνων αὐτοὺς κολάζει· τοῖς Ἰσραηλίταις δὲ, μετὰ τοῦ φυσικοῦ, δέδωκε καὶ τὸν γραπτὸν, Rom 2.14-16
δηλοῦντα τὰ κρίματα αὐτοῦ· διὸ καὶ βαρύτερον κρίνονται· καὶ γὰρ ἡ πολλὴ τοῦ Θεοῦ φιλανθρωπία πολλῆς κατακρίσεως τοῖς ἐρραθυμηκόσιν αἰτία γίνεται.

[7β][4] ἀπὸ τούτου PV : ἀπὸ ταύτης MSCBF.

148 ρμη΄
1α Ἀλληλούϊα.

Ἔθος τοῖς ἁγίοις, διὰ πολλὴν εὐγνωμοσύνην, ἐπειδὰν μέλλωσιν εὐχαριστεῖν τῷ Θεῷ, πολλοὺς καλεῖν κοινωνοὺς τῆς εὐφημίας, καὶ παρακαλεῖν συνεφάπτεσθαι τῆς καλῆς ταύτης λειτουργίας αὐτοῖς. Τοῦτο καὶ οἱ Τρεῖς Παῖδες πεποιήκασι, Dan 3.57-88
τὴν κτίσιν ἅπασαν, ἡνίκα ἦσαν ἐν τῇ καμίνῳ, πρὸς τὴν εὐφημίαν τῆς ὑπὲρ αὐτῶν εὐεργεσίας καὶ τὴν ὑμνῳδίαν τοῦ Δεσπότου καλέσαντες· τοῦτο καὶ οὗτος ἐνταῦθα ποιεῖ, ἑκάτερον κόσμον συμπαραλαμβάνων, τὸν ἄνω, τὸν κάτω, τὸν νοητὸν, τὸν αἰσθητόν. Ἅτε γὰρ οὐκ ὄντες ἱκανοὶ μόνοι πρὸς τὴν εὐφημίαν, περιέρχονται τῷ λόγῳ πάντα, καλοῦντες εἰς ὑμνολογίαν τοῦ Κτίσαντος.

Καὶ ἕτερον δέ τι βαθύτερον ἐκ τούτων κατασκευάζει, δεικνὺς ἕνα ποιητὴν ἑκατέρας κτίσεως, καὶ σαφῶς ἐπιστομίζων τοὺς λέγοντας δύο δημιουργοὺς, ἕτερον μὲν τῆς νοητῆς, ἕτερον δὲ τῆς αἰσθητῆς. Ἵνα γὰρ μή τις ἐκ τῆς διαφορᾶς τῶν ἔργων διαφόρους ὑπολάβοι, ἕνα χορὸν ἵστησιν ἐξ ἁπάντων, καὶ μίαν ὑμνῳδίαν πλέκει τῷ ἑνὶ καὶ μόνῳ Θεῷ.

1β Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Ἐκ μὲν τῶν οὐρανῶν, τοῦ τε πρώτου καὶ τοῦ δευτέρου, καλεῖ πρὸς αἴνεσιν τοῦ Ps 8.4α
Κυρίου τοὺς ἀγγέλους καὶ τοὺς ἀστέρας καὶ ὅσα κατὰ τοὺς οὐρανούς· ἐκ δὲ τῆς γῆς, | προϊὼν συγκαλεῖ τοὺς δράκοντας καὶ τὰ ἐφεξῆς, καὶ καταλύει τὸν λόγον εἰς τοὺς ἀνθρώπους.

Ταὐτὸν δὲ τῷ, *ἐκ τῶν οὐρανῶν*, τὸ, *ἐν τοῖς ὑψίστοις*.

Εἶτα λέγει τίνας ἐκ τῶν οὐρανῶν καὶ ἐν τοῖς ὑψίστοις μέρεσι καλεῖ.

2 Αἰνεῖτε αὐτὸν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Εἰπὼν περὶ τοῦ ἀγγελικοῦ τάγματος, ἐπήγαγε συλληπτικῶς καὶ περὶ τῶν λοιπῶν ταγμάτων, δυνάμεις αὐτὰ καλέσας.

Ἢ τὰ ὅλα τάγματα καλεῖ καὶ ἀγγέλους καὶ δυνάμεις, τὸ μὲν ὅτι τὰ θεῖα διαγγέλλουσι ῥήματα, τὸ δὲ ὅτι δύνανται τὰ ἐπιταττόμενα· *Δυνατοὶ* γὰρ, φησὶν, *ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ*. Ps 102.20

3 Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Ταῦτα τοῦ δευτέρου οὐρανοῦ, ἤτοι τοῦ στερεώματος.

Ἥλιον μὲν οὖν καὶ σελήνην καὶ ἄστρα, τὰ φωτοδόχα τούτων ὄργανα νοήσεις· φῶς δὲ, τὸ καταμερισθὲν εἰς αὐτά. Ἢ ταῦτα μὲν, τὰ ἐν τῇ τετάρτῃ ἡμέρᾳ Gen 1.14
κτισθέντα· φῶς δὲ, τὸ γεγονὸς ἐν τῇ πρώτῃ, τὸ ἄσχετον. Gen 1.3

Ἀλλὰ πῶς αἰνέσουσι ταῦτά τε καὶ τὰ ἐφεξῆς, οὐ φωνὴν ἔχοντα, οὐ γλῶτταν,

2[4] *καὶ ἀγγέλους* PSCABF : *ἀγγέλους* MV.

οὐ λογισμὸν, οὐ ψυχήν;

Τρεῖς τρόποι δοξολογίας· ὁ διὰ φωνῆς, ὡς Μωυσῆς ἐδόξασε μετὰ τῆς Μαρίας, αἰνῶν καὶ λέγων, *Ἄισωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται*· καὶ ὁ δι' ὄψεως, Ex 15.1
ὡς, *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ*, περὶ οὗ διελάβομεν ἐν τῷ ιη΄ ψαλμῷ· Ps 18.1β
καὶ ὁ διὰ βίου καὶ ἔργων· *Ὅπως γὰρ*, φησὶν, *ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.* Mt 5.16

Αἰνεῖ γοῦν τὸν Θεὸν καὶ τὰ ἄψυχα καὶ τὰ ἄλογα, τῷ μεγέθει, τῷ κάλλει, τῇ θέσει, τῇ χρείᾳ, τῇ διακονίᾳ, τῇ διαμονῇ, καὶ τοῖς τοιούτοις, τὸν θεατὴν εἰς θαῦμα καὶ εὐφημίαν τοῦ πεποιηκότος ἐνάγοντα, καὶ τῇ γλώττῃ τούτου πρὸς ὑμνολογίαν χρώμενα.

Κατὰ γὰρ τὸν Θεολόγον Γρηγόριον, *Πάντα Θεὸν ὑμνεῖ καὶ δοξάζει φωναῖς ἀλαλήτοις*. Ἐπὶ πᾶσι γὰρ εὐχαριστεῖται δι' ἐμοῦ Θεός· καὶ οὕτως ἐκείνων ὕμνος PG36.620
ὁ ἡμέτερος γίνεται, παρ' ὧν ἐγὼ τὸ ὑμνεῖν λαμβάνω.

4-5α *Αἰνεῖτε αὐτὸν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.*

Εἴρηται διαφόρως ὅτι ἔθος τῇ τῶν Ἑβραίων φωνῇ, τὰ ἑνικὰ πληθυντικῶς ἐκφέρειν. Οὐρανοὺς οὖν οὐρανῶν, τὸν οὐρανὸν τοῦ οὐρανοῦ καλεῖ, δηλαδὴ τὸν πρῶτον· καὶ ἀλλαχοῦ γὰρ, φησὶν, *Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ*· καὶ τὸ, Ps 113.24α
αἰνεῖτε δὲ, καὶ τὸ, *αἰνεσάτωσαν*, τοιαῦτα νῦν εἰσι, πληθυντικὰ, ἀντὶ ἑνικῶν.

Ὕδωρ δὲ ὑπὲρ ἄνω τῶν οὐρανῶν, τὸ ὑπὲρ ἄνω τοῦ στερεώματος· πῶς δὲ αἰνεῖ Gen 1.7
ὁ πρῶτος οὐρανὸς, ἀθέατος ὤν, εἴρηται ἐν τῷ ιη΄ ψαλμῷ, ἔνθα τὸ, *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ*. Εἰ δ' ὁ ἀθέατος ὑμνεῖ, πρόδηλον ὅτι πολλῷ μᾶλλον ὁ Ps 18.1β
θεατός.

5β *Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν.*

Διὰ τοῦ, εἶπε, δύο ταῦτα ἐνέφηνεν, οὐ μόνον ὅτι μὴ ὄντα παρήγαγεν, ἀλλ' ὅτι καὶ μετὰ πολλῆς εὐκολίας. Ὥσπερ γάρ σοι τὸ εἰπεῖν εὔκολον, οὕτως τῷ Θεῷ τὸ ποιῆσαι οὐκ ὄντα, μᾶλ | λον δὲ καὶ πολλῷ πλέον, οὐδὲ γὰρ δυνατὸν παραστῆσαι τῆς εὐκολίας τὴν ὑπερβολήν.

5γ Αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.

Τὸ αὐτὸ λέγει πάλιν, ὡς εἴωθε πολλάκις ποιεῖν. Γέγραπται γὰρ καὶ ἐν τῇ βίβλῳ τῆς Γενέσεως· Καὶ εἶπεν ὁ Θεὸς, *Γενηθήτω φῶς, καὶ ἐγένετο*, καὶ τὰ ἑξῆς Gen 1.3
ὁμοίως.

6α *Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.*

Ἡδραίωσεν αὐτὰ κατά τε τὴν τάξιν καὶ τὴν ἐνέργειαν καὶ τὴν χρείαν, ἀμετακίνητα δι᾽ αἰῶνος, μὴ παραβαίνοντα τοὺς ὅρους τῆς φύσεως.

6β Πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσονται.

Καὶ τοῦτο, τὴν εὐκολίαν τῆς συνοχῆς καὶ διακρατήσεως αὐτῶν ἐμφαίνει. Ἔθετο, φησὶν, αὐτοῖς πρόσταγμα τῶν ὅρων, καὶ οὐ παρελεύσονταί ποτε τοῦτο, καθάπερ δοῦλα μὴ τολμῶντα παρεξελθεῖν τὸ πρόσταγμα τοῦ δεσπότου· *Τὰ σύμπαντα γὰρ, φησὶ, δοῦλα σά.* Ps 118.91

7 Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Δράκοντας μὲν, τὰ κήτη λέγει νῦν, ὡς καὶ ἀλλαχοῦ, Δράκων, φησὶν, *οὗτος, ὃν ἔπλασας*· ἀβύσσους δὲ, τὰ πελάγη. Ὅταν γὰρ ἴδῃς τοῦ κήτους τὸ μέγεθος καὶ τὴν σύμπηξιν τοῦ σώματος, ἣν ἐν τῷ Ἰὼβ ἡ Γραφὴ μετὰ πλείονος διηγεῖται σαφηνείας, πῶς οὐ σφόδρα θαυμάσας, ὑμνήσεις τὸν δημιουργήσαντα τηλικαῦτα ζῷα, καὶ χωρία τούτοις τὰ ἄπλωτα πελάγη ἀποκληρώσαντα, καὶ μὴ συγχωροῦντα τῶν οἰκείων ἐκτρέχειν ὅρων, εἴτε πρὸς γῆν, εἴτε πρὸς τὰ πλεόμενα μέρη, μηδὲ λυμαίνεσθαι, μὴ μόνον τοῖς πλοίοις, ἀλλὰ μηδὲ τοῖς γένεσι τῶν ἰχθύων· οὐ τοῦτο δὲ μόνον ἄξιον θαυμάζειν, ἀλλὰ καὶ τὴν θάλασσαν, πῶς τοσοῦτον πλῆθος ὑδάτων ἔχουσα καὶ ταῖς βίαις τῶν ἀνέμων ἐλαυνομένη, καὶ φοβερῶς ἀναβρασσομένη καὶ στροβουμένη καὶ μαινομένη, τοὺς ἰδίους ὅρους οὐχ ὑπερβαίνει, οὐδὲ τὴν γείτονα γῆν ἐπικλύζειν τολμᾷ, τὸ πρόσταγμα φυλάττουσα τοῦ Δεσπότου, καὶ φύσιν ἄστατον καὶ ἄτακτον ἔχουσα, τὴν εὐταξίαν τηρεῖ. Ps 103.26 Job 3.8, 9.13, 26.13

Ταῦτα τοίνυν ἀναλογιζόμενος, θαυμάσεις ὄντως τοῦ Θεοῦ τὴν δύναμιν, τὴν σοφίαν, τὴν οἰκονομίαν, καὶ ὕμνον ὥσπερ ἀπὸ τῶν ἄλλων, οὕτω κἀντεῦθεν ὑφανεῖς αὐτῷ.

8 Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ διακονοῦντα τῷ προστάγματι αὐτοῦ πρὸς τὸ λυσιτελοῦν ἀνθρώποις, καὶ μὴ ἁπλῶς καὶ ὡς ἔτυχε γινόμενα· πῦρ δὲ νῦν λέγει, τὴν ἀστραπήν.

9-10 Τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι, τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Ἐπεὶ τὰ τερπνότερα καὶ χρησιμώτερα καὶ ὠφελιμώτερα πρόδηλον ἔχουσι τὸν θαυμασμὸν καὶ τὸν ἔπαινον, ἐνδιατρίβει πλέον τοῖς λυπηροτέροις, λέγων, πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος, καὶ τοῖς δοκοῦσιν ἀχρηστοτέροις, λέγων, τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ καὶ πᾶσαι κέδροι, καὶ τοῖς βλαβερωτέροις, λέγων, τὰ θηρία καὶ | τὰ ἑρπετὰ, ἐκ περιουσίας δεικνύων τοῦ Θεοῦ τὴν πρόνοιαν,

6β[1] παρελεύσονται MPSV : παρελεύσεται CABF[TRa].

καὶ διδάσκων ὅτι καὶ ταῦτα πάντα θαυμαστὰ καὶ χρειώδη καὶ λόγον ἔχοντα τῆς εἰς τὸ εἶναι παραγωγῆς, εἰ καὶ ἡμῖν ἴσως ἀκατάληπτον ἢ δυσκατάληπτον.

Ἀστραπὴ μὲν γὰρ, ὑετοῦ σημεῖον ἢ καὶ πολλάκις ἀνέμου· χάλαζα δὲ καὶ χιὼν καὶ κρύσταλλος, εἰς γεωργίαν ἐπιτήδεια· τὸ πνεῦμα δὲ τῆς καταιγίδος, ποτὲ μὲν ἀπελαύνει τὰ νέφη, ποτὲ δὲ συνάγει, καὶ τοῦτο δὲ κἀκεῖνο, πρὸς τὸ λυσιτελοῦν, εἰ καὶ ἡμῖν οὐχ οὕτω δοκεῖ δι' ἄγνοιαν.

Τὰ ὄρη δὲ καὶ αἱ κέδροι, δι' ὧν κέδρων ὡς μειζόνων, πάντα τὰ ἄκαρπα δένδρα συμπαρελήφθησαν, εἰς οἰκοδομίαν καὶ ναυπηγίαν χρησιμεύουσι, καὶ οὐδὲν ὅλως περιττὸν, οὐδὲ ὡς ἔτυχε γενόμενον.

Λέοντες καὶ παρδάλεις καὶ ἐλέφαντες καὶ μονοκέρωτες καὶ ῥινοκέρωτες καὶ τὰ τοιαῦτα, καὶ τῶν ἑρπετῶν, δράκοντες καὶ ὄφεις καὶ σκορπίοι, καὶ τὰ λοιπὰ, πολὺ καὶ αὐτὰ χρησιμεύουσιν εἰς τὸν βίον· φόβον γὰρ ἡμῖν ἐπιτειχίζει, καὶ σωφρονεῖν παρασκευάζει καὶ ἐναγωνίους ποιεῖ, καὶ ἀναμιμνῄσκει τῆς ἐν τῷ
παραδείσῳ τοῦ προπάτορος ἁμαρτίας, δι' ἣν ταῦτα τὴν τοῦ Ἀδὰμ ἀπεσείσαντο Gen 1.28
δουλείαν, ὑποχείρια τούτῳ δοθέντα καὶ τὰς κλήσεις παρ' ἐκείνου δεξάμενα· ἵνα Gen 2.19
μὴ λέγω τὴν ἄλλην χρείαν, ἣν πρὸς τὰ κατασκευαζόμενα παρέχουσι φάρμακα.

Εἰ τοίνυν τὰ λυπηρὰ καὶ τὰ δοκοῦντα ἄχρηστα καὶ βλαβερὰ, οὕτως χρήσιμα, ὡς καὶ δι' αὐτῶν ὕμνον ἀναφέρεσθαι τῷ Θεῷ καὶ δοξολογίαν, τί ἄν τις εἴποι περὶ τῶν μὴ τοιούτων;

11 Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοὶ, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Πάλιν ἕτερον ἐνταῦθα κινεῖ προνοίας εἶδος, τὸ τῶν ἀρχόντων· τῆς τοῦ Θεοῦ γὰρ σοφίας ἔργον, τὸ εἰς ἄρχοντας καὶ ἀρχομένους τόδε τὸ πᾶν διελεῖν· τοὺς βασιλεῖς δὲ λέγει, καὶ ἄρχοντας καὶ κριτὰς, ὡς καὶ τὸ ἄρχειν καὶ τὸ κρίνειν ἔχοντας.

Αἰνεῖτε γὰρ, φησὶ, τὸν Κύριον, οἱ μὲν ὅτι ἐπιμελεῖσθαι προεκρίθητε, οἱ δὲ ὅτι ἐπιμελείας τῆς παρὰ τῶν κρειττόνων ἀξιοῦσθε, ὁμοῦ δὲ πάντες ὅτι εὐταξίαν ἐντεῦθεν τοῖς ἀνθρώποις ὁ Θεὸς ἐδωρήσατο. Τὸ μὲν οὖν ἄρχειν, ἔργον Θεοῦ· τὸ δὲ κακῶς ἄρχειν, τῆς τῶν ἀρχόντων φαυλότητος· τὸ δὲ καὶ πονηροὺς εἰς τὸ ἄρχειν ἄγεσθαι, τῆς τῶν ἀνθρώπων πονηρίας.

Εἰπὼν δὲ ὅτι πάντες λαοὶ, οὐκ ἄνδρας ἐδήλωσε μόνον, ἀλλὰ καὶ γυναῖκας καὶ ἁπλῶς πᾶν γένος καὶ πᾶσαν ἡλικίαν.

12- Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεραι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα
13α Κυρίου.

Νεανίσκοι καὶ νεάνιδες, ἵνα ἐθισθῶσιν αἰνεῖν· πρεσβύτεροι, ὅτι εἰς τοιαύτην ἔφθασαν ἡλικίαν· νεωτέρους δὲ, τοὺς νεανίσκους αὖθις εἴρηκεν, ἀντιδιαστείλας αὐτοὺς τοῖς πρεσβυτέροις.

[10][6] δι' ἄγνοιαν PCABFV : om. M. [10][10] γενόμενον PM : γινόμενον CBFV.

13β Ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἐμεγαλύνθη διὰ τὰ μεγαλεῖα τῶν ἔργων αὐτοῦ.

13γ Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ.

Ἡ εὐχαριστία καὶ ἡ δοξολογία αὐτοῦ ἐπὶ γῆς ἐν ἀνθρώποις, καὶ | ἐπ' οὐρανοῦ ἐν ἀγγέλοις.

14α Καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Αὐξήσει, μεγαλυνεῖ ἰσχὺν λαοῦ αὐτοῦ.

14β Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Τοῖς ἀφωσιωμένοις αὐτῷ· τούτοις γὰρ μάλιστα προσήκει ὑμνεῖν, ὡς μᾶλλον εἰδόσι τὰ μεγαλεῖα καὶ τὰς εὐεργεσίας αὐτοῦ. Εἴρηκε δὲ καὶ ἐν τῷ λβʹ ψαλμῷ, *Τοῖς εὐθέσι πρέπει αἴνεσις*, καὶ ζήτησον κἀκείνην τὴν ἐξήγησιν. Ps 32.1γ

14γ Τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Λαῷ οἰκείῳ, λαῷ ἐγγίζοντι κατὰ σχέσιν καὶ διάθεσιν, ἐκ πίστεως, ἐκ θεραπείας, ἐξ ἀρετῶν οἰκειώσεως.

Νοεῖται δὲ καὶ καθ' ἕτερον λόγον, ὅτι ὕμνος ἔσται τοῖς ὁσίοις αὐτοῦ, καὶ δοξασθήσονται, ὡς ὅσιοι αὐτοῦ, ὡς λαὸς ἐγγίζων αὐτῷ· διὸ χρὴ γίνεσθαι τοιούτους, ἵνα διὰ τοῦτο δόξης ἀξιωθῶσιν.

149 ρμθʹ

1α Ἀλληλούϊα.

1β Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Εἴρηται μὲν τοῦτο πολλάκις· ἡρμηνεύθη δὲ καλῶς ἐν τῷ λβʹ ψαλμῷ. Ps 32.3α

Κατὰ μὲν ἱστορίαν, περὶ τῶν Ἰουδαίων ὁ ψαλμός.

Κατὰ δὲ ἀναγωγὴν, περὶ ὧν ὁ Θεολόγος Γρηγόριος εἴρηκεν ἐν τῷ λόγῳ τῶν PG36.608B
Ἐγκαινίων. Ἄιδουσι δὲ τῷ Κυρίῳ ᾆσμα καινὸν οἱ τῆς καινῆς κτίσεως, οἱ διὰ τῆς Gal 6.15
καινῆς διαθήκης τὸν καινὸν ἄνθρωπον ἐνδυσάμενοι. Eph 4.24

1γ Ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Εἶπε καὶ ἐν τῷ προλαβόντι ψαλμῷ, *Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ*. Ps 148.14β

2α Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν.

Ἰσραὴλ ὁ καινὸς, ᾄδων εὐφρανθήτω ἐπὶ τῷ Θεῷ, ὅτι τε αὐτὸν ἐποίησεν ἄνθρωπον, καὶ ὅτι αὐτὸν ἐποίησεν ἴδιον λαόν· ἐπήγαγε γάρ·

2β Καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Υἱοὶ Σιὼν τῆς καινῆς· ὁ Ἰσραηλιτικὸς αὖθις λαὸς, ᾄδων εὐφρανθήτω, καὶ εὐφραινόμενος εὐχαριστείτω, ὑπέρ τε τῆς δημιουργίας, ὑπέρ τε τῆς οἰκειώσεως· ὡς οἰκείων γὰρ αὐτῶν ἐβασίλευσεν, ὅπερ ἕτερον εἶδος εὐεργεσίας.

3α Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ.

Ἐν συμφωνίᾳ, ἵνα ἡ κοινωνία τῆς ᾠδῆς, κοινωνίαν αὐτοῖς ἀγάπης ἐμβάλη, καὶ σύμπνοιαν καὶ ὁμόνοιαν.

3β Ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Τῷ μὲν παλαιῷ λαῷ διὰ τοιούτων ὀργάνων ᾄδειν ἐπετέτραπτο, καθάπερ καὶ τὸ ζῳοθυτεῖν, διὰ τὴν ἀσθένειαν αὐτῶν καὶ φιληδονίαν· τῷ δὲ νέῳ, τύμπανον μὲν, ἡ νέκρωσις τῶν σωματικῶν ἡδονῶν (νεκρὸν γὰρ σῶμα, τὸ τύμπανον), ψαλτήριον δὲ, τὸ ἄνωθεν ἐνηχεῖσθαι (τὸ ψαλτήριον γὰρ ἄνωθεν ἐλάμβανε τῶν φθόγγων τὰς ἀφορμάς)· ἢ τύμπανον μὲν, ἡ πρᾶξις, ψαλτήριον δὲ, ἡ θεωρία, ἵνα ψάλλωμεν § 70
αὐτῷ, νεκροῦντες τὰ πάθη καὶ ἄνωθεν ἐνηχούμενοι παρὰ Θεοῦ, ἢ διὰ πράξεως καὶ θεωρίας.

Εἴρηται περὶ ἀναγωγῆς τοῦ ψαλτηρίου καὶ ἐν τῷ λβʹ ψαλμῷ, ἔνθα τὸ, Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ. Ps 32.2

4α Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ.

Εὐαρεστεῖται· ἢ ἀγαθὰ θέλει, κατὰ τὸ, ἐν ἀνθρώποις εὐδοκία. Lk 2.14

4β Καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Δοξάσει αὐτοὺς μετὰ καὶ | τοῦ σῶσαι.

Εἴρηται δὲ ἐν τῷ ρμςʹ ψαλμῷ, Ἀναλαμβάνων πραεῖς ὁ Κύριος. Ps 146.6

5α Καυχήσονται ὅσιοι ἐν δόξῃ.

Καθ' ἱστορίαν πρότερον τὰ ἐντεῦθεν ἑρμηνευτέον ἄχρι πέρατος τοῦ ψαλμοῦ, εἶτα καὶ ἀναγωγικῶς περὶ τούτων διαληπτέον.

3α[2] ἐμβάλη PBV : ἐμβάλλη MCF. 3β[6] ψάλλωμεν PFV : ψάλωμεν MCB.

Προλέγει τοίνυν, κατὰ τὸ προχείρως νοούμενον, περὶ τῆς τῶν Ἑβραίων νίκης, ἣν ἐνίκησαν τὰ πέριξ αὐτῶν ἔθνη, κωλύοντα τὴν ἀνοικοδομὴν τοῦ ναοῦ καὶ τῆς πόλεως. Καυχήσονται, φησὶν, οἱ ἀφωσιωμένοι τῷ Θεῷ Ἰσραηλῖται, ἐν δόξῃ τῇ Ps 126.1β
ἀπὸ τῆς θεοδωρήτου νίκης ἢ τῇ ἀπὸ τῆς παρὰ Θεοῦ συμμαχίας.

5β Καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Οὐ μόνον ἀφόβως κοιμηθήσονται, ἀλλὰ καὶ ἡδέως, ἅτε τῶν πολεμίων ἀπαλλαγέντες.

6 Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦτο βούλεται λέγειν, ὅτι ὑμνοῦντες τὸν Θεὸν, πολεμήσουσι τοῖς ἐχθροῖς, αἱ ὑμνολογίαι τοῦ Θεοῦ ἐν τῷ στόματι αὐτῶν καὶ σπάθαι ἐν ταῖς χερσὶν αὐτῶν,
συγκόπτουσαι τοὺς πολεμίους. Ps 126.2α

7 Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Ὑπὲρ τοῦ ποιῆσαι τὸν Θεὸν ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἀνθ' ὧν ἠδίκουν τὸν λαὸν αὐτοῦ, καὶ ἐλεγμὸν ἐν τῷ λαῷ, πληθυντικὸν ἀντὶ ἑνικοῦ, ἐλεγχομένῳ, ὅτι διὰ τὰς ἁμαρτίας αὐτοῦ μέχρι τότε κατεπονεῖτο, καὶ οὐ δι' ἀσθένειαν τοῦ Θεοῦ· ὅτε γὰρ ἔνευσε μόνον, εἰς θαυμαστὴν ἦλθε τὰ πράγματα μεταβολήν.

8 Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Ὑπὲρ τοῦ μὴ μόνον ἀπώσασθαι τοὺς πολεμίους, ἀλλὰ καὶ τοὺς βασιλεῖς αὐτῶν καὶ τοὺς ἄλλως ἐνδόξους ἐν αὐτοῖς δεσμώτας λαβεῖν.

9α Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον.

Τοῦ ποιῆσαι τὸν Θεὸν ἐν τοῖς ἔθνεσι καὶ ἐν τῷ λαῷ αὐτοῦ, κρίσιν ἀνάγραπτον βίβλοις καὶ μέχρι παντὸς αἰῶνος μνημονευομένην, ἢ ἀνάγραπτον τῷ βίῳ καὶ ἀνεξάλειπτον καὶ οἷον ἐστηλογραφημένην. Κρίσιν δὲ νόει μοι, τὴν ἔνδικον ἀπώλειαν τῶν ἐχθρῶν.

9β Δόξα αὕτη ἐστὶ πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Αὕτη· ποία; Τὸ νικῆσαι, μᾶλλον δὲ τὸ οὕτω νικῆσαι παραδόξως διὰ τῆς συμμαχίας τοῦ Θεοῦ.

[5] Ταῦτα μὲν οὖν καθ' ἱστορίαν. Κατὰ δὲ ἀναγωγὴν, *Καυχήσονται ὅσιοι ἐν δόξῃ*, τῇ μελλούσῃ· *Οὐκ ἄξια γὰρ*, φησὶ, *τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς*. Δόξα δὲ, καὶ ὁ σταυρὸς, κατὰ τὸ, Rom 8.18
Ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου Ἰησοῦ. Ἐπαινεῖ δὲ Gal 6.14
τοὺς πραεῖς καὶ τοὺς ὁσίους, προτρέπων ἡμᾶς εἰς ὁσιότητα καὶ πραότητα. *Καὶ ἀγαλλιάσονται*, φησὶν, *ἐπὶ τῶν κοιτῶν αὐτῶν*, ἤτοι τῶν ἡὐτρεπισμένων αὐτοῖς αἰωνίων μονῶν, τῶν ἀκαταλύτων σκηνῶν. Jn 14.2-3

[6] Ὑψώσεις μὲν οὖν νοοῦμεν, τὰς δι' ὕμνων καὶ θεολογίας θεοπρεπεῖς φωνὰς ὑπερυψούσας αὐτόν· ῥομφαίαν δὲ δίστομον, ἤτοι τμητικωτάτην, τὸν σταυρὸν, τέμνοντα καὶ λύοντα τὰς παρατάξεις τῶν δαιμόνων, ἢ ῥομφαίαν | δίστομον, τὴν πολιτείαν αὐτῶν, ἔργῳ καὶ λόγῳ ἐστομωμένην ἢ πράξει καὶ θεωρίᾳ. Περὶ δὲ τῶν ἀποστόλων ὁ λόγος καὶ τῶν διαδόχων αὐτῶν.

[7] *Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν*, ἐν τῷ ῥύσασθαι αὐτοὺς τῆς δουλείας καὶ τυραννίδος τοῦ διαβόλου, *καὶ ἐλεγμοὺς ἐν τοῖς λαοῖς* τῶν Ἰουδαίων, ἐν τῷ ἐλέγχειν αὐτοὺς παρανόμους καὶ θεομάχους καὶ τυφλοὺς πρὸς τὸ φῶς τῆς ἀληθείας.

[8] *Τοῦ δῆσαι τοὺς βασιλεῖς τῶν ἐθνῶν καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν δεσμοῖς* ἰσχυροῖς πίστεως καὶ φόβου καὶ ἀγάπης Θεοῦ. Εἰ δὲ τούτους, πολλῷ μᾶλλον τοὺς μετ' αὐτούς· ἢ βασιλεῖς καὶ ἐνδόξους, τοὺς βασιλεύοντας αὐτῶν δαίμονας καὶ δόξης τῆς παρ' αὐτῶν ἀπολαύοντας, ὧν τὰς χεῖρας ἐπέδησαν ταῖς πέδαις τῆς ἀνενεργησίας.

[9] *Τοῦ ποιῆσαι ἐν τοῖς ἔθνεσι κρίμα ἔγγραπτον*, ἤγουν ἀποφάσεις καὶ νόμους ἐγγράφους πολιτείας θεοφιλοῦς. *Δόξα αὕτη ἐστὶ πᾶσι τοῖς* ταῦτα ποιοῦσιν· αὕτη, ποία; τὸ τοιαῦτα κατορθῶσαι.

150 ρν´

1α Ἀλληλούϊα.

Εἰς αἶνον καὶ εὐχαριστίαν ὁ Δαυὶδ συνέκλεισε τὸ βιβλίον, παιδεύων ὑπὲρ πάντων ἄχρι βίου πέρατος εὐχαριστεῖν τῷ Θεῷ.

1β Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ.

Διὰ τοὺς ἁγίους αὐτοῦ, ὅτι τοιαύτην πολιτείαν εἰς τὸν βίον εἰσήγαγεν, ἥτις αὐτοὺς ἀγγέλους ἐξ ἀνθρώπων ἐποίησεν.

1γ *Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ.*

Διὰ τὸ στερέωμα τὸ παρὰ τῆς δυνάμεως αὐτοῦ γεγονὸς τοιοῦτον. Λέγει δὲ τὸν δεύτερον οὐρανὸν, ὡς φαινόμενον, καὶ θαῦμα κινοῦντα τοῖς ὁρῶσι τὸ μέγεθος αὐτοῦ καὶ κάλλος καὶ τ' ἄλλα τὰ περὶ αὐτόν.

Ὅρα δὲ καὶ τὴν τάξιν· τῶν γὰρ ἐγκοσμίων, ἀξιοθαυμαστότεροι μὲν οἱ ἅγιοι, μετὰ δὲ τούτους, ὁ φαινόμενος οὗτος οὐρανός.

2α Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ.

Διὰ τὰς δυνάμεις ἃς ἐργάζεται, κοινῇ καὶ ἰδίᾳ τερατουργῶν· ἢ καὶ διὰ τὰς δυνάμεις ἃς ἐμφαίνουσι τὰ κτίσματα αὐτοῦ, μεγαλοδύναμον καὶ παντοδύναμον αὐτὸν ἀνακηρύττοντα ἐκ μόνης τῆς ὄψεως.

2β Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Διὰ τὸ ἄπειρον τῆς μεγαλωσύνης αὐτοῦ. Εἴρηκε γὰρ καὶ ἐν τῷ ρμδ΄ ψαλμῷ,
ὅτι *Καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.* Ps 144.3

3-5 Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ· αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.

Παρακελεύεται τοῖς μὲν Ἰουδαίοις, ἐν πᾶσιν ὀργάνοις μελῶν μουσικῶν αἰνεῖν τὸν Θεόν, τοῖς δὲ Χριστιανοῖς, ἐν πᾶσιν ὀργάνοις μελῶν σωματικῶν, ἐν ὀφθαλμοῖς, ἐν ἀκοῇ, ἐν στόματι, ἐν χερσὶν, ἐν ποσίν. Ὅταν γὰρ οἱ μὲν ὀφθαλμοὶ μὴ βλέπωσιν ἀκόλαστα, προσηκόντως δὲ καὶ χρειωδῶς· ἡ δ᾽ ἀκοὴ μὴ δέχηται πονηροὺς λόγους, ἀλλὰ χρειώδεις καὶ ψυχω | φελεῖς· τὸ στόμα δὲ μὴ φθέγγηται βλαβερὰ, χρήσιμα δὲ καὶ πνευματικά· αἱ χεῖρες δὲ μὴ πλεονεκτῶσιν ἢ ἁρπάζωσιν ἢ πλήττωσιν, ἀλλ᾽ εἰς ἀγαθὰς ἐκτείνωνται πράξεις· οἱ πόδες δὲ μὴ τρέχωσιν εἰς κακίαν, ἀλλ᾽ εἰς εὐθεῖαν ὁδόν· τότε διὰ παντὸς αἰνοῦντες ὀργάνου, παναρμόνιον τῷ Θεῷ προσάγομεν μελῳδίαν.

Διὰ πάντων δὲ τῶν εἰρημένων μουσικῶν ὀργάνων, ᾠδὰς ᾖδον Ἰουδαῖοι τῷ
Θεῷ, περὶ ὧν ἐν προοιμίοις τῆς παρούσης βίβλου παραδεδώκαμεν. Χορὸν δὲ § 69
ἐνταῦθα λέγει, τὴν μετὰ χορείας ᾠδήν· ἕτερον γὰρ εἶδος τοῦτο μελῳδίας, χωρὶς ὀργάνων γινόμενον· αἱ δὲ χορδαὶ πάλιν ἕτερον ἦσαν εἶδος, παρὰ τὰ ῥηθέντα. Ὄργανον δὲ εἰδικῶς εἶπε, τὸ καὶ παρ᾽ ἡμῖν εἰδικῶς οὕτω καλούμενον. Διττὰ δὲ τὰ εἴδη τῶν κυμβάλων· τὰ μὲν εὔηχα, καὶ μάλιστα ταῖς ᾠδαῖς προσήκοντα, τὰ δὲ τραχύφθογγα ἢ βαρύφθογγα, καὶ τοῖς ἐν πολέμοις ἀλαλαγμοῖς ἐπιτήδεια.

Οὐκ ἀγνοῶ δὲ τὰ παρά τινων ἐπὶ τούτοις ἀλληγορηθέντα· παρέλιπον δὲ ταῦτα, καθάπερ καὶ ἐν τοῖς ἄλλοις ψαλμοῖς πολλὰ τοιαῦτα, διὰ τὸ εὐανάτρεπτον αὐτῶν καὶ δυσπαράδεκτον.

6 Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Συλληπτικῷ λόγῳ, πᾶν γένος καὶ πᾶσαν ἡλικίαν εἰς αἶνον καὶ εὐχαριστίαν ἐκίνησε, πνοὴν λέγων, τὴν ψυχὴν, ἀπὸ δὲ τῆς ψυχῆς, τὸ σύμπαν δηλῶν, ὡς ἀπὸ μέρους τὸ ὅλον.

Ἐν μὲν οὖν τῷ παρόντι βίῳ τοὺς πιστοὺς συγκαλεῖ, ἐν δὲ τῇ ἀναστάσει, καὶ τοὺς ἀπίστους· τότε γὰρ ὁμοῦ πάντες αὐτῷ γόνυ κάμψουσι καὶ αἰνέσουσιν. Php 2.10

Αἰνῶμεν τοίνυν καὶ ἡμεῖς καὶ εὐχαριστῶμεν ὑπὲρ ἁπάντων διὰ παντὸς ἐν ἔργῳ καὶ λόγῳ. Τοῦτο γὰρ, ἔργον ἀναγκαῖον καὶ χρέος διηνεκῶς ἀπαιτούμενον, θυσία εὐπόριστος, λειτουργία ἀγγελική· τοῦτο ποιοῦντες, καὶ τὸν παρόντα βίον ἀπροσκόπτως ἀνύσομεν καὶ τῶν μελλόντων ἀπολαύσομεν ἀγαθῶν·

χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι,
δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

151 ρναʹ

1α Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος τοῦ Δαυὶδ
καὶ ἔξωθεν τοῦ ἀριθμοῦ τῶν ρνʹ·
ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ.

1β Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου·
ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου.

2 Αἱ χεῖρές μου ἐποίησαν ὄργανον καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον.

3 Καὶ τίς ἀναγγελεῖ τῷ Κυρίῳ μου; αὐτὸς Κύριος αὐτὸς εἰσακούει.

4 Αὐτὸς ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός
μου καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ.

5 Οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ Κύριος.

6 Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ, καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις
αὐτοῦ.

7 Ἐγὼ δὲ σπασάμενος τὴν παρ᾽ αὐτοῦ μάχαιραν, ἀπεκεφάλισα αὐτὸν καὶ ἦρα
ὄνειδος ἐξ υἱῶν Ἰσραήλ.

Ps 151: [T].

Add. P[2]: Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος τῷ Δαυὶδ καὶ ἔξωθεν τοῦ ἀριθμοῦ, ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ. Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου. Ὁ Δαυὶδ, εἰκόνα φέρει τοῦ Χριστοῦ καὶ τύπον, ὁ δὲ Γολιὰθ, τοῦ διαβόλου· ὥσπερ οὖν ἐκεῖνος ἐμονομάχησε πρὸς τὸν αἰσθητὸν Γολιὰθ, οὕτω καὶ ὁ Χριστὸς πρὸς τὸν νοητὸν, καθὼς καὶ Ἡσαΐας, ὡς ἐκ προσώπου Χριστοῦ, φησὶ, *Ληνὸν ἐπάτησα μονώτατος*. Μικρὸς ἦν ὁ Δαυὶδ ἐν τοῖς ἀδελφοῖς αὐτοῦ καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. Μικρὸς ἦν καὶ ὁ Χριστὸς κατὰ τὴν ἀνθρωπίνην φύσιν ἐν τοῖς ἀδελφοῖς τῶν Ἰουδαίων καθώς φησι, *Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστι*· μείζων δὲ, καθὸ ἦν νεώτερος· τὸ γὰρ νεώτερος εἰς τὸ ἀκμαῖον καὶ ἰσχυρὸν τῆς θεότητος ἐκλαμβάνεται· καθὸ γὰρ ἦν ἄνθρωπος, ἐλογίζετο τοῖς ἀδελφοῖς αὐτοῦ Ἰουδαίοις μικρὸς, ἤγουν ἐξουδενωμένος, καθὸ δὲ ἦν Θεὸς, νεώτερος, ἤγουν ἰσχυρὸς καὶ ἀθάνατος ἐν τῷ οἴκῳ τοῦ Πατρὸς αὐτοῦ· οἶκος δὲ τοῦ Πατρὸς αὐτοῦ, ἡ κτίσις πᾶσα. Ἐποίμαινον τὰ πρόβατα τοῦ Πατρός μου. Ὅτι δὲ καὶ ὁ Χριστὸς ποιμὴν τῶν λογικῶν προβάτων τοῦ Θεοῦ καὶ Πατρὸς ἐστιν, [ἄκουε] αὐτοῦ λέγοντος, *Ἐγώ εἰμι ὁ Ποιμὴν ὁ καλὸς*, καὶ τοῦ Δαυὶδ περὶ αὐτοῦ βοῶντος, *Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες*. Αἱ χεῖρές μου ἐποίησαν ὄργανον καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον. Χεῖρες ἐπὶ Χριστοῦ νοητὰς, τὴν παντοκρατορικὴν ἐξουσίαν αὐτοῦ νοητέον· ἐποίησαν ὄργανον, τὸ σῶμα τοῦ ἀνθρώπου· οἱ δὲ δάκτυλοι αὐτοῦ, ἤγουν αἱ κατασκευαστικαὶ δυνάμεις τοῦ παντὸς κόσμου, ἥρμοσαν ψαλτήριον, τουτέστι τὴν ψυχὴν· ἢ ὄργανον τὸν παλαιὸν νόμον, ψαλτήριον δὲ τὴν καινὴν διαθήκην νοητέον· δάκτυλοι τοὺς εὐαγγελιστὰς· χεῖρας δὲ, τοὺς ἀποστόλους καὶ προφήτας. Καὶ τίς ἀναγγελεῖ τῷ Κυρίῳ μου; αὐτὸς Κύριος αὐτὸς εἰσακούει. Αὐτὸς ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ καὶ ἦρέ με ἐκ τῶν ποιμνίων τῶν προβάτων τοῦ πατρός μου καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ. Οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ Κύριος. Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ, καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ. Ἐγὼ δὲ σπασάμενος τὴν παρ᾽ αὐτοῦ μάχαιραν, ἀπεκεφάλισα αὐτόν. Ὡσαύτως καὶ ὁ Χριστὸς, λαβὼν τὴν παρὰ τοῦ διαβόλου μάχαιραν, ἥτις ἐστὶν ὁ Σταυρὸς, δι᾽ αὐτοῦ τὴν κεφαλὴν, ἤγουν τὴν ὑπερηφάνειαν καὶ δύναμιν τοῦ διαβόλου διέκοψεν. Καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ἰσραήλ. Ὡσαύτως καὶ ὁ Χριστὸς, ἐπὶ Σταυροῦ σφάζων τὸν ἐχθρὸν, ὠνειδίζετο παρὰ τῶν Ἰουδαίων λεγόντων, *Οὐὰ, ὁ καταλύων τὸν ναὸν τοῦ Θεοῦ*, καὶ τὰ ἑξῆς.

I

Ὠιδὴ α΄
Ὠιδὴ Μωυσέως ἐν τῇ Ἐξόδῳ. Ex 15.1-19

Ταύτην πρώτην ᾖσαν τὴν ᾠδὴν οἱ υἱοὶ Ἰσραὴλ, ἀβρόχῳ ποδὶ τὴν ἐρυθρὰν διαπεράσαντες θάλασσαν, καὶ αὐτοῖς ἅρμασι καὶ ἵπποις τοὺς διώκοντας Αἰγυπτίους καταποντισθέντας καὶ ὑποβρυχίους γεγονότας ἰδόντες.

1α Ἄισωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Τοιαῦτα παραδόξως τερατουργήσας.

1β Ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν.

Ἵππον πάντα καὶ ἀναβάτην ἕκαστον Αἰγύπτιον κατεπόντισεν ἐν τῇ θαλάσσῃ.

2 Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου Θεὸς καὶ δοξάσω αὐτὸν, Θεὸς τοῦ πατρός μου καὶ ὑψώσω αὐτόν.

Πῶς ὑψοῖ τις τὸν Θεὸν, εἴρηται ἐν τῇ ἀρχῇ τοῦ ρμδ΄ ψαλμοῦ. Ps 144.1β

3α Κύριος συντρίβων πολέμους.

Ἀφανίζων.

3β Κύριος ὄνομα αὐτῷ.

Ὥσπερ γὰρ Ὄντα, οὕτω καὶ Κύριον ἑαυτὸν ὠνόμασε, τῷ Μωυσῇ προσδιαλεγόμενος. Ex 3.14-15

4α Ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔῤῥιψεν εἰς θάλασσαν.

Ἐβύθισεν ἐν θαλάσσῃ· τὰ αὐτὰ δὲ διαφόρως ἀπαγγέλλει, περὶ ταῦτα στρεφόμενος καὶ μεγαλύνων τὸ θαῦμα.

4β-5 Ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ· πόντῳ ἐκάλυψεν αὐτοὺς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.

Τρεῖς γὰρ ἐπὶ τοῦ ἅρματος ἵσταντο, καὶ ὁ μὲν εἷς ἡνιόχει, οἱ δύο δὲ τοῖς πολεμίοις ἐμάχοντο.

$3β^2$ ἑαυτόν MP : αὐτὸς ἑαυτόν COBF.

6-7α Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Δεξιὰ Θεοῦ ἀπολύτως, καὶ δεξιὰ χεὶρ Θεοῦ, ἡ δύναμις τοῦ Θεοῦ· ὁμοίως δὲ καὶ πλῆθος δόξης ἐνταῦθα, τὴν πολλὴν δύναμιν ὠνόμασε, δι᾽ ἧς ἐνδόξως ἐδοξάσθη καὶ μεγάλως ἐμεγαλύνθη.

7β Ἀπέστειλας τὴν ὀργήν σου· κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην.

Ἠνάλωσεν, ἠφάνισεν αὐτοὺς, ὡς πῦρ καλάμην· ἀποστελλομένη δὲ ὀργὴ, ἡ θεόπεμπτος τιμωρία, ἢ ὁ τιμωρητικὸς ἄγγελος.

8α Καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ.

Πνεῦμα θυμοῦ λέγει, ἢ τὸν ἄγγελον τὸν τῇ θεηλάτῳ ταύτῃ τιμωρίᾳ διακονούμενον, ἢ τὸν ἄνεμον τὸν ὁμοίως ταύτῃ ὑπηρετούμενον· *Ὑπήγαγε γὰρ, φησὶ, Κύριος τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν νύκτα, καὶ ἐποίησε τὴν θάλασσαν ξηρὰν, καὶ ἐσχίσθη τὸ ὕδωρ.* Ex 14.21

8β Ἐπάγῃ ὡσεὶ τεῖχος τὰ ὕδατα· ἐπάγῃ καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.

Καὶ τὸ ὕδωρ, φησὶν, αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων. Ex 14.22

9 Εἶπεν ὁ ἐχθρὸς, Διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου.

Ἐχθρὸς, ὁ Αἰγύπτιος στρατὸς, ἢ ὁ Φαραώ· μεταμεληθέντες γὰρ, κατεδίωξαν ὀπίσω τοῦ λαοῦ.

10 Ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα, ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῶς.

Πνεῦμα κατὰ τὴν ἀνωτέρω ῥηθεῖσαν ἑρμηνείαν.

11α Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε;

Οὐδεὶς ὄντως· εἴρηται δὲ καὶ ἐν τῷ οϛʹ ψαλμῷ, *Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;* Ps 76.14β

11β Τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις. |

6[3] χεὶρ Θεοῦ MCOF : χεὶρ Κυρίου PB. 6[4] δι᾽ ἧς MPOB : δι᾽ ἣν CF. 10[2] σφοδρῶς MPCBF[T] : σφοδρῷ O[Ra].

Ὁ δὲ Σύμμαχος, *δεδοξασμένος ἐν ἁγιασμοῖς ἐξέδωκε*· νοεῖται δὲ καὶ ὅτι δοξάζεται μᾶλλον ἐν τοῖς ἁγίοις ἀγγέλοις ἢ καὶ ἀνθρώποις, τοῖς μᾶλλον εἰδόσι τὸ πανσθενὲς αὐτοῦ καὶ ὑπερβαλλόντως ἀσύγκριτον.

11γ Θαυμαστός· ἐνδόξως ποιῶν τέρατα.

Ἐνδόξως, ἤτοι μεγαλοπρεπῶς.

12 Ἐξέτεινας τὴν δεξιάν σου· κατέπιεν αὐτοὺς γῆ.

Οἱ καταποντισθέντες γὰρ ἐξεβράσθησαν μὲν εἰς τὴν γῆν, ὅπως ἴδωσιν οἱ Ἰσραηλῖται, καὶ πληροφορηθῶσι, καὶ σκυλεύσωσιν αὐτούς· εἶτα χάσματος γενομένου, κατεπόθησαν, εἰς ἔνδειξιν πλείονα τῆς θείας ὀργῆς. Ex 14.30

13α Ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω.

Ὡδήγησας αὐτὸν διὰ τῆς θαλάσσης, διὰ τῆς ξένης ταύτης ὁδοῦ, τῇ δικαιοσύνῃ σου· δικαιοσύνης γὰρ ἐλευθεροῦν τὸν καταδουλωθέντα καὶ ῥύεσθαι τὸν τυραννούμενον καὶ βοηθεῖν τῷ κακῶς πάσχοντι.

13β Παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου.

Τὰ ἐντεῦθεν, ἄχρι τοῦ *Ἐπιπέσοι ἐπ᾽ αὐτοὺς φόβος καὶ τρόμος*, προφητεῖαι μᾶλλόν εἰσιν, ὕστερον γὰρ ἐγένοντο· λοιπὸν οὖν, ἢ ἀντιχρονικῶς ταῦτα νοήσεις, ἀντὶ τοῦ, παρακαλέσεις, καὶ ἀκούσονται ἔθνη καὶ ὀργισθήσονται, καὶ τὰ ἑξῆς ὁμοίως, ἢ ὡς γεγενημένα λέγει τὰ γενησόμενα, νόμῳ προφητείας· παρεκάλεσας, φησὶν, ἤγουν ἐκάλεσας, ἤγαγες εἰς κατοικίαν ἁγίαν, ἐξῃρημένην, ἀφωρισμένην σοι· περὶ δὲ τῆς Ἰερουσαλὴμ ὁ λόγος.

14α Ἤκουσαν ἔθνη καὶ ὠργίσθησαν.

Ἀκούσονται τὰ θαυμάσιά σου καὶ τὰ τεράστια, ὅσα κατὰ τῶν Αἰγυπτίων ὑπὲρ τοῦ λαοῦ σου πεποίηκας· καὶ ὀργισθήσονται, ἤγουν ταραχθήσονται, κλονηθήσονται, δειλιάσουσιν.

14β Ὠδῖνες ἔλαβον κατοικοῦντας Φυλιστιείμ.

Ὠδῖνες, ἤτοι πόνοι ἐκ φόβου γινόμενοι λήψονται τούτους.

15α Τότε ἔσπευσαν ἡγεμόνες Ἐδὼμ καὶ ἄρχοντες Μωαβιτῶν.

[11β][3] ὑπερβαλλόντως PAO : ὑπερβαλόντως MC.

Ἔσπευσαν, ἐθορυβήθησαν· ἐταράχθησαν, ὡς ἕτερος ἑρμηνεὺς ἐξέδωκεν.

15β Ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν.

Τῶν γνωριμωτέρων ἐθνῶν ἐπιμνησθεὶς ἐξ ὀνόματος, νῦν καθολικώτερον Ex 23.23
πάντες εἶπεν οἱ κατοικοῦντες Χαναάν· διάφορα δὲ ταύτην ᾤκουν ἔθνη τὴν γῆν. Ps 77.55α

16 Ἐπιπέσοι ἐπ᾽ αὐτοὺς φόβος καὶ τρόμος, μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν· ἕως ἂν παρέλθοι ὁ λαός σου, Κύριε, ἕως ἂν παρέλθοι ὁ λαός σου οὗτος, ὃν ἐκτήσω.

Μεγέθει δυνάμεώς σου ἀποπαγέτωσαν· ἀκίνητοι τῷ φόβῳ καὶ τρόμῳ σου μεινάτωσαν· ἕως παρέλθοι αὐτοὺς ὁ λαός σου, βαδίζων δι᾽ αὐτῶν εἰς τὴν γῆν τῆς ἐπαγγελίας.

17α Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου.

Εἰς ὄρος ἀφορισθέν σοι εἰς κλῆρον, εἰς μερίδα· λέγει δὲ τὸ ὄρος Σιών.

17β Εἰς ἕτοιμον κατοικητήριόν σου.

Εἰς ἑτοιμασθέν σοι κατοικητήριον.

17γ Ὃ κατειργάσω, Κύριε, ἁγίασμα.

Ὃ προώρισας, ὃ προκατεσκεύασας ἁγίασμα, ἀφόρισμα· ἁγιάζειν γὰρ, καὶ τὸ Ex 29.24
ἀφορίζειν· ἢ οἶκον ἁγιάζοντα.

17δ Κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.

Αἱ χεῖρές σου, τουτέστι, σὺ, | περιφραστικῶς· ὃ ἡτοίμασας σύ.

18α Κύριος βασιλεύων τὸν αἰῶνα.

Ἐστὶ δηλονότι.

18β Καὶ ἐπ᾽ αἰῶνα καὶ ἔτι.

Εἰπὼν ὅτι βασιλεύων αἰωνίως, ἐπέτεινε τὸ αἰώνιον, προσθεὶς, ὅτι καὶ ἐπέκεινα τοῦ αἰῶνος· ἔπειτα προσεπέτεινε πλεῖον τὴν ἐπίτασιν, ἐπαγαγὼν, ὅτι καὶ ἐπὶ πλεῖον· τοῦτο γὰρ δηλοῖ τὸ, *καὶ ἔτι*.

19α Ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θάλασσαν.

Κύριος, φησὶ, βασιλεὺς αἰώνιος, καὶ ὑπεραιώνιος καὶ ἐπὶ πλέον· καὶ γὰρ τῇ αὐτοῦ πανσθενεῖ δυνάμει, ἐνέπεσεν εἰς θάλασσαν· ἐβυθίσθη ἡ πληθὺς τῶν ἵππων, αὐτοῖς ἅρμασι καὶ ἀναβάταις.

19β Καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης.

Καταποντίζον αὐτούς.

19γ Οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

Διὰ ξηρᾶς ὁδοῦ ἐν μέσῳ τῆς διαιρεθείσης θαλάσσης.

Ἀλλ' οὕτω μὲν καθ' ἱστορίαν. Ἀναγωγικῶς δὲ νοήσεις, ἀναβάτας μὲν καὶ τριστάτας, τοὺς δαίμονας, ἀναβαίνοντας ἐπὶ τοὺς ἀνθρώπους, καὶ κατὰ τῶν τριῶν
μερῶν τῆς ψυχῆς ἱσταμένους καὶ πολεμοῦντας· ἵππους δὲ, τὰ πάθη, δι' ὧν ἕλκουσι § 98
τοὺς ἀνθρώπους, ἅρματα νοουμένους, ὡς αἰρομένους καὶ μεταφερομένους ἔνθα τούτοις δοκεῖ· ὀχήματα γὰρ αὐτῶν, νῦν μὲν τὰ πάθη, νῦν δὲ οἱ ἄνθρωποι· Φαραὼ δὲ, ὁ Σατανᾶς, ὁ πρῶτος αὐτῶν· θάλασσα δὲ Ἐρυθρὰ, ἡ πικρία καὶ πνιγμονὴ, εἰς ἣν ἐμπίπτουσιν οἱ δαίμονες αὐτοῖς ἅρμασι καὶ ἵπποις, ὅταν ὁ Θεὸς ἐξαιρῆται τοὺς ὑπ' αὐτῶν ἐπιβουλευομένους δούλους αὐτοῦ· ἐχθρὸς δὲ, τούτων ἕκαστος, καὶ κοινῶς οὗτοι, ἔθνη, καὶ ἡγεμόνες Ἐδὼμ, ὡς κατάρχοντες τῶν πονηρῶν ἀνθρώπων, καὶ τὰ τοιαῦτα· λαὸς δὲ τοῦ Θεοῦ, οἱ ἀνακείμενοι αὐτῷ καὶ πειθόμενοι ταῖς ἐντολαῖς αὐτοῦ· ὄρος δὲ κληρονομίας Θεοῦ, ὁ οὐρανὸς, καὶ τὰ ἑξῆς· υἱοὶ δὲ Ἰσραὴλ, ὁ τοῦ Θεοῦ λαὸς, οἳ διέρχονται διὰ ξηρᾶς, μὴ βρεχόμενοι τῷ ὕδατι τῶν παθῶν ἐν μέσῳ τῆς θαλάσσης τοῦ βίου.

II

Ὠιδὴ β′
Ὠιδὴ Μωυσέως ἐν τῷ Δευτερονομίῳ. Dt 32.1-43

1 Πρόσεχε, οὐρανὲ, καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.

Μέλλων ἤδη τελευτᾶν Μωυσῆς, διαμαρτύρεται τῷ λαῷ, καὶ συγκαλεῖ πρὸς ἀκρόασιν ὧν εἰπεῖν μέλλει, τὰ ἀκρότατα καὶ συνεκτικώτατα μέρη τοῦ κόσμου, οὐρανὸν, τὸν τὰς θείας δυνάμεις φέροντα, καὶ γῆν, τὸ τῶν θνητῶν οἰκητήριον, ἐπεὶ καὶ μονιμώτατα ταῦτα καὶ διαρκεῖν εἰς πάσας τὰς γενεὰς δυνάμενα· σύνηθες δὲ τοῖς προφήταις ἐπὶ τῶν μεγάλων ὑποσχέσεων ἢ καὶ φοβερῶν ἀπειλῶν, μάρτυρας παραλαμβάνειν τὸν οὐρανὸν καὶ τὴν γῆν εἰς βεβαίωσιν.

19α3 ἐνέπεσεν MCOBF : ἐνέπεσαν P. 1[4] τὸν τὰς PCOABF : τὰς M.

2α Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου.

Προσδοκάσθω ταῖς ψυχαῖς ὑμῶν οὕτως ἡδέως, ὡς ὑετὸς ἄρδων, καὶ καταβήτω εἰς τὰς καρδίας ὑμῶν, ὡς δρόσος πιαίνουσα.

2β Ὡς ὄμβρος ἐπ᾽ ἄγρωστιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον.

Χαίρουσι γὰρ τούτοις αὗται μᾶλλον αἱ βοτάναι καὶ ταχέως ἐπιδιδόασιν, | ἃ μιμεῖσθαι πάντως βούλεται καὶ αὐτούς.

3 Ὅτι ὄνομα Κυρίου ἐκάλεσα, δότε μεγαλωσύνην τῷ Θεῷ ἡμῶν.

Ἐπειδὴ τὸ ὄνομα τοῦ Κυρίου ἐκάλεσα ἤδη, καὶ μέλλω περὶ αὐτοῦ εἰπεῖν, μεγαλύνατε πρὸ τοῦ λόγου τὸν Θεόν· ὑμνήσατε αὐτὸν πρὸ τῆς ἀκροάσεως.
Εἶτα λέγειν ἀπάρχεται.

4α Θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ.

Ὁ Θεὸς, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, ἤγουν τοῦ Θεοῦ, ἀληθινὰ τὰ ἔργα, ἄψευστα, βέβαια, ἢ ἄμεμπτα, εὐθέα. Ἰδίωμα δὲ τοῦτο τῆς Ἑβραΐδος γραφῆς.

4β Καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις.

Ὁδοὺς πάλιν, τὰ ἔργα αὐτοῦ λέγει· πάντα, φησὶ, τὰ αὐτοῦ, τά τε ἐν λόγῳ καὶ τὰ ἐν ἔργῳ, οὐ μόνον ἀληθινὰ, ἀλλὰ καὶ αὐτόχρημα κρίσις, ἤτοι δικαιοσύνη.
Εἰ βούλῃ δὲ, ἔργα μὲν νόησον, ὅσα ἐν πράξει, ὁδοὺς δὲ, ὅσα ἐν λόγῳ.

4γ Θεὸς πιστός.

Ὁ Θεὸς, ἀξιόπιστος, ἀψευδής.

4δ Καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

Πῶς γὰρ, ἐπεὶ καὶ Θεός· οἱ δὲ τῶν ἐθνῶν καὶ ψεύδονται καὶ ἀδικοῦσι καὶ πᾶν τοὐναντίον.

4ε Δίκαιος καὶ ὅσιος ὁ Κύριος.

Δίκαιος ἐν τῷ κρίνειν· ὅσιος ἐν πάσῃ πράξει, ἤτοι ἅγιος, ἀθῷος.

4β[1] κρίσις C[A corr.]O[Ra] : κρίσεις MPBF[T]. 4β[3] κρίσις PCOF : κρίσεις MB. 4ε[1] ὁ Κύριος MPOB[T] : Κύριος CF[Ra].

5α Ἡμάρτοσαν οὐκ αὐτῷ τέκνα μωμητά;

Κατ' ἐρώτησιν ὁ λόγος, ἐλεγκτικήν· οὐχ ἥμαρτον αὐτῷ τέκνα μωμητά; Λέγει δὲ αὐτοὺς, τέκνα Θεοῦ προσαγορευθέντας· Υἱὸς γὰρ, φησὶ, πρωτότοκός μου Ἰσραήλ. Ἥμαρτον δὲ διαφόρως, ὡς ὁ οζʹ ψαλμὸς διαλαμβάνει. Ex 4.22

5β-6α Γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα Κυρίῳ ἀνταποδίδοτε;

Καὶ τοῦτο κατ' ἐρώτησιν. Ὦ γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα τὰ τῆς ἀχαριστίας καὶ ἀθετήσεως τῶν ἐντολῶν, Κυρίῳ ἀντὶ τῶν μυρίων εὐεργεσιῶν ἀποδίδοτε;

Εἴρηται δὲ καὶ ἐν τῷ δηλωθέντι ψαλμῷ, *Γενεὰ σκολιὰ καὶ παραπικραίνουσα.* Ps 77.8

6β Οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός.

Μήτε ταῖς διαφόροις πληγαῖς παιδευθεὶς, μήτε τῷ νόμῳ συνετισθείς.

Νοοῖτο δ' ἂν ταῦτα καὶ περὶ τοῦ Χριστοῦ, εἰς ὃν ἥμαρτον, ἀνελόντες αὐτὸν, καὶ ἀνθ' ὧν εὐηργετήθησαν ὑπ' αὐτοῦ, διδάξαντος καὶ τὰς νόσους αὐτῶν θεραπεύσαντος καὶ τὰ δαιμόνια ἐκβαλόντος, ἀποδόντες αὐτῷ μυρίας κακώσεις, καὶ τελευταῖον σταυρώσαντες.

6γ Οὐκ αὐτὸς οὗτός σου Πατήρ;

Ἢ κατὰ τὸ, *Υἱὸς πρωτότοκός μου Ἰσραὴλ*, ἢ ὡς δημιουργός. Ex 4.22

Κατ' ἐρώτησιν γὰρ καὶ τοῦτο.

6δ Ἐκτήσατό σε καὶ ἐποίησέ σε καὶ ἔπλασέ σε;

Καὶ ταῦτα κατ' ἐρώτησιν. Οὐκ ἐκτήσατό σε, ῥυσάμενός σε ἐξ Αἰγυπτίων καὶ καταστήσας ἑαυτῷ λαὸν περιούσιον; καὶ τὸ μεῖζον, οὐκ ἐποίησέ σε καὶ ἔπλασέ σε, κατὰ τὸ, *Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με;* Ps 118.73

7α Μνήσθητε ἡμέρας αἰῶνος.

Τὰς παλαιάς.

7β Σύνετε δὴ ἔτη γενεᾶς γενεῶν.

Ἐνθυμήθητε τὰ ἔτη τῆς γενεᾶς τῶν γενεῶν, ἤτοι τῆς ἀρχαίας γενεᾶς, ἐφ' ὧν δηλαδὴ ἐκλελεγμένον καὶ εὐδόκιμον ἦν τὸ Ἀβραμιαῖον γένος.

6β[3] *νοοῖτο* [M]COBF : *νοοῖντο* P.

7γ Ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι.

Καὶ μὴν καὶ οἱ πατέρες καὶ οἱ πρεσβύτεροι αὐτῶν προτετελευτήκασιν ἤδη κατὰ τὴν θείαν ἀπόφασιν, ὡς γογγυσταὶ καὶ παραπικραίνοντες. Ἐπεὶ τοίνυν υἱοὶ Dt 1.35
ἐκείνων | ἦσαν οὗτοι καὶ ἀρτιμαθεῖς, προτρέπεται αὐτοὺς ἐπερωτᾶν καὶ μανθάνειν ἀκριβέστερον παρὰ τῶν ἔτι περιόντων· ἦν δὲ αὐτός τε καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ καὶ
Χάλεβ ὁ τοῦ Ἰεφοννῆ. Εἰκὸς δὲ πατέρα μὲν, ἑαυτὸν λέγειν, ὡς δημαγωγὸν καὶ Dt 1.36, 38
νομοθέτην· πρεσβυτέρους δὲ, τοὺς εἰρημένους δύο, ὡς ἀρχαιοτέρους.

8-9α Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ.

Καὶ ἐροῦσί σοι, φησὶν, ὅτι διέσπειρεν υἱοὺς Ἀδὰμ, ὅτε διεμέριζεν ἔθνη ὁ Ὕψιστος· ἔστησεν ὅρια ἐθνῶν, κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, τῶν ἐπιστατεῖν τοῖς ἔθνεσι δηλαδὴ ταχθέντων, τουτέστι, τοσαῦτα τὰ ὅρια τῶν ἐθνῶν ἐποίησεν, ὅσος ἀριθμὸς ἦν τῶν τοιούτων ἀγγέλων.

Τινὰ δὲ τῶν ἀντιγράφων ἔχουσιν ὅτι κατὰ ἀριθμὸν, ἄγγελον Θεοῦ, ἤγουν κατὰ ἀριθμὸν τῶν ὁρίων, ἔστησεν αὖθις ἄγγελον Θεοῦ.

Ὅτι, φησὶν, ὅτε διεμέριζεν ἔθνη ὁ Θεὸς, διέσπειρε τοὺς ἐξ Ἀδὰμ ἐπὶ προσώπου πάσης τῆς γῆς. Ἔστησεν ὅρια ἐθνῶν, καὶ τὰ ἑξῆς, καὶ ἐγενήθη μερὶς Κυρίου ὁ λαὸς αὐτοῦ, ὁ ἐξ Ἰακὼβ ἐκλεγεὶς ἐπὶ Ἀβραὰμ, ὡς θεοσεβοῦς πατρὸς, θεοσεβὲς σπέρμα. Τοῦτο γὰρ, τὸ κεφάλαιον τοῦ λόγου, ὃ ἐβούλετο μάλιστα μαθεῖν αὐτούς.

9β Σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.

Τὸ αὐτὸ λέγει πάλιν, ὅτι ἐγενήθη μέρος κληρονομίας· σχοίνῳ γὰρ μετροῦντες, μερίζομεν τὴν γῆν τῆς κληρονομίας.

10α Αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ.

Αὐτάρκειαν αὐτῷ παρέσχεν, ἀνενδεῆ κατέστησεν.

10β Ἐν δίψει καύματος ἐν ἀνύδρῳ.

Ἐν δίψει τῇ ἀπὸ καύματος ἐν ἀνύδρῳ γῇ.

10γ Ἐκύκλωσεν αὐτόν.

Περιεκύκλωσεν, ἐτείχισε τῇ ἑαυτοῦ φυλακῇ.

10δ Καὶ ἐπαίδευσεν αὐτόν.

Τῷ δοθέντι νόμῳ.

10ε Καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ.

Διερχόμενον μεταξὺ πολλῶν καὶ μαχιμωτάτων ἐθνῶν· περὶ δὲ φυλακῆς κόρης ὀφθαλμοῦ εἴρηται ἐν τῷ ις´ ψαλμῷ. Ps 16.8α

11α Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν.

Οὕτω, φησὶ, διεφύλαξεν αὐτοὺς, ὡς σκεπάσαι ἂν ἀετὸς νοσσιὰν ἑαυτοῦ, καὶ ὡς ἐπεπόθησεν ἂν ἐπὶ τοὺς νεοσσοὺς αὐτοῦ· τουτέστιν, ὡς σκεπάσει καὶ ὡς ἐπιποθήσει· ἐπίτασις δὲ τοῦ πόθου, ἡ πρόθεσις.

11β Διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς.

Διασχὼν τὰς πτέρυγας τῆς σκέπης αὐτοῦ, δίκην ἀετοῦ, ἐδέξατο αὐτούς· ἐπέμεινε γὰρ τῷ παραδείγματι τοῦ ἀετοῦ, δεικνύων τὴν πολλὴν κηδεμονίαν τοῦ Θεοῦ.

11γ Καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ.

Καθάπερ ἐκεῖνος τοὺς νεοσσούς. Μετάφρενα δὲ τοῦ Θεοῦ νῦν λέγει, τὴν ἀνέχουσαν αὐτοὺς μακροθυμίαν, ἢ τὴν φρουρητικὴν αὐτοῦ δύναμιν, διαβαστάζουσαν καὶ ὁδηγοῦσαν αὐτούς.

12 Κύριος μόνος ἦγεν αὐτοὺς, καὶ οὐκ ἦν μετ᾽ αὐτῶν θεὸς ἀλλότριος.

Θεὸς ἄλλος, ὡς οἱ τῶν ἐθνῶν, οἱ ψευδώνυμοι.

13α Ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς.

Τὰ ἐντεῦθεν, προφητεία περὶ τῶν μελλόντων, ἅπερ ὡς ἤδη γεγενημένα ἐκτίθεται· ἰσχὺν γὰρ τῆς γῆς, φησὶ, τὴν γῆν τῆς ἐπαγγελίας, ὡς ἰσχυρὰν εἰς καρπογονίαν. |

13β Ἐψώμισεν αὐτοὺς γενήματα ἀγρῶν.

Ἔθρεψεν αὐτοὺς καρποῖς ἀγρῶν.

11γ² νῦν MP : om. COF. 13β² καρποῖς MOF : καρπούς PB.

13γ Ἐθήλασαν μέλι ἐκ πέτρας.

Πέτρας, τοὺς πετρώδεις καὶ σκληροὺς τόπους οἰητέον, οἳ καὶ αὐτοὶ μέλι τε καὶ καρποὺς ἤνεγκαν ἡδίστους· μέλι γὰρ, καὶ τὴν ἡδονὴν ὑποληπτέον· νοεῖται δὲ καὶ τὰ ἐκ πετρῶν ὕδατα, μέλι διὰ τὴν γλυκύτητα.

13δ Καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας.

Αἱ πέτραι γὰρ ἐλαίας ἔφυσαν, ἀφ᾿ ὧν δαψιλὲς ἐχορηγεῖτο τὸ ἔλαιον.

14α Βούτυρον βοῶν καὶ γάλα προβάτων μετὰ στέατος ἀρνῶν καὶ κριῶν, υἱῶν ταύρων καὶ τράγων μετὰ στέατος νεφρῶν πυροῦ.

Ἔφαγον δηλονότι. Διὰ τοῦ στέατος δὲ, τὴν πιότητα ἐνέφηνε· μετὰ στέατος, φησὶν, ἀρνῶν καὶ κριῶν· κριοὺς ἐνταῦθα, τὰ ἄῤῥενα ἀρνία εἴρηκε· τὰ θήλεα γὰρ περιποιοῦνται διὰ τὸ καρποφόρον· υἱοὺς δὲ ταύρων καὶ τράγων εἶπε, τὰ μοσχάρια καὶ τοὺς ἐρίφους· νεφροὺς δὲ πυροῦ, τὴν πιότητα τοῦ σίτου.

14β Καὶ αἷμα σταφυλῆς ἔπινον οἶνον.

Αἷμα γὰρ σταφυλῆς, ὁ οἶνος, διὰ τὸ ἐρυθρόν· ἐκ τούτου δὲ καὶ πᾶς οἶνος, αἷμα σταφυλῆς.

15α Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος.

Ἐνευπαθήσας τοῖς τοσούτοις ἀγαθοῖς, ἀπεσκίρτησεν, ἀπεπήδησε τῆς εἰς Θεὸν πίστεως καὶ ἀγάπης.

15β Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτὸν, καὶ ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ.

Τὰ αὐτὰ σαφέστερον λέγει, προδιαμαρτυρόμενος καὶ ὅσον εἰκὸς ἀσφαλιζόμενος.

16 Παρώξυνάν με ἐπ᾿ ἀλλοτρίοις, ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με.

Ἀλλότρια καλεῖ τὰ δαιμόνια, διὰ πονηρίαν ἀλλοτριωθέντα Θεοῦ· τὰ αὐτὰ δὲ, καὶ βδελύγματα. Ὡς ἀπὸ τοῦ Θεοῦ δὲ ὁ λόγος· ὅτι παρώργισάν με ἐπὶ τοῖς εἰδώλοις, θεοποιοῦντες αὐτὰ καὶ θύοντες αὐτοῖς.

14α Add. [M in marg.]P: Τοῦ νόμου διαγορεύοντος ἐν τῷ Λευϊτικῷ μηδεῖς ἐσθίειν στέαρ, ἀλλ᾿ εἰς ὀσμὴν εὐωδίας τοῦτο ἀναφέρεσθαι τῷ Κυρίῳ [Lev 3.16-17], πῶς ἐνταῦθα φησὶν, ἐμπεπλῆσθαι στεάτων αὐτούς; Πρόδηλον οὖν ὅτι στέαρ λέγει, τὴν τῶν ἀποστόλων εὐεξίαν, ὧν τῆς διδασκαλίας ἀπήλαυσαν. Οἱ γὰρ αὐτοὶ ἦσαν καὶ ἄρνες, διὰ τὴν ἐν Χριστῷ νηπιότητα, καὶ κριοὶ καὶ τράγοι, διὰ τὸ προηγεῖσθαι τῶν ποιμνίων, καὶ υἱοὶ ταύρων, ἅτε δαμάλεις ὄντες, καὶ Θεῷ ὑπέχοντες τὸν αὐχένα. Βοῦς δὲ ἦν καὶ Μωυσῆς, ἀλοῶν καὶ ἀροτριῶν τὰς τῶν Ἰσραηλιτῶν ψυχὰς, ἀλλὰ καὶ πρόβατον, διὰ τὴν πραότητα. Βόες δὲ ἦσαν καὶ οἱ ἀπόστολοι, καθώς φησι Παῦλος

17α Ἔθυσαν δαιμονίοις καὶ οὐ Θεῷ, θεοῖς, οἷς οὐκ ᾔδεισαν.

Ἀγνώστοις, καὶ οὐ τῷ ἐγνωσμένῳ αὐτοῖς.

17β Καινοὶ καὶ πρόσφατοι ἥκασιν.

Νεοφανεῖς ἥκασιν αὐτοῖς οἱ τοιοῦτοι θεοί.

17γ Οὓς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν.

Διὰ τοῦτο γὰρ καινοὶ καὶ πρόσφατοι ἥκασιν.

18 Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε.

Τὸν γεννήσαντά σε Θεὸν, ἤτοι τὸν κτίσαντα· πατὴρ γὰρ ἡμῶν ὁ Θεὸς, τῷ λόγῳ τῆς δημιουργίας.

19α Καὶ εἶδε Κύριος καὶ ἐζήλωσε.

Δικαίως ὠργίσθη· ζῆλος γὰρ κυρίως, ἡ δικαία ὀργὴ ἐπὶ πράγματι ἀνοσίως τολμωμένῳ.

19β Καὶ παρωξύνθη δι᾽ ὀργὴν υἱῶν αὐτῶν καὶ θυγατέρων.

Καὶ τὸν ζῆλον καὶ τὸν παροξυσμὸν, ἀπαθῶς ἐπὶ τοῦ Θεοῦ νοητέον, ἤγουν τὸ πρέπον καὶ ὀφειλόμενον. Καὶ παρωξύνθη, φησὶ, δι᾽ ὀργὴν, ἣν ὠργίσθη ἐπὶ τοῖς τέκνοις αὐτῶν, ἃ ἔθυσαν τοῖς γλυπτοῖς Χαναὰν, ὡς ἐν τῷ ρε΄ ψαλμῷ δεδήλωται. Ps 105.38

20α Καὶ εἶπεν, Ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν.

Τὴν ἐπισκοπήν μου, ἥτις φυλάττει αὐτούς.

20β Καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ᾽ ἐσχάτων.

Καὶ γνωρίσω τούτοις, ἃ ἔσται αὐτοῖς ὕστερον, ἵνα καὶ πρὸ τῆς πείρας | ἀλγύνωνται.

20γ Ὅτι γενεὰ ἐξεστραμμένη ἐστὶν, υἱοὶ, οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.

Τοῦτο καὶ ὁ Σωτὴρ ἐν τοῖς Εὐαγγελίοις εἶπεν Ἰουδαίοις· *Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη.* Mt 17.17

λέγων, Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ, ἢ δι᾽ ἡμᾶς πάντως ἐγράφη [1Cor 9.9]· *ἀλλὰ καὶ πρόβατα, Ἰδοὺ γὰρ, φησὶ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων* [Mt 10.16]. Τούτων οὖν πάντων, ἐθήλαζον οἱ Ἰσραηλῖται τὸ γάλα. Βούτυρον γὰρ, φησὶ, βοῶν καὶ γάλα προβάτων, ἤσθιον δηλονότι καὶ ἐποτίζοντο. : om. OBF. 18[1] τρέφοντος O[TRa] : ποιήσαντος MC.

21α Αὐτοὶ παρεζήλωσάν με ἐπ᾽ οὐ Θεῷ.

Παραζηλῶσαι πεποιήκασί με, διὰ οὐ θεὸν, ὃν ἐθεοποίησαν.

21β Παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν.

Διὰ τὰ εἴδωλα αὐτῶν, ἃ ἐτίμων· τὸ αὐτὸ δὲ λέγει σαφέστερον.

21γ Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ᾽ οὐκ ἔθνει.

Παραζηλῶσαι ποιήσω αὐτοὺς, ἤτοι φθονῆσαι διὰ οὐκ ἔθνος· ἑτέρως γὰρ ἐνταῦθα τὴν παραζήλωσιν ληπτέον. Οὐκ ἔθνος δὲ λέγει, τὸ σύστημα τῶν Χριστιανῶν, ὡς μὴ καθ᾽ ἑαυτὸ ἔθνος ὂν, ἀλλ᾽ ἐκ διαφόρων ἐθνῶν συλλεγέν.

21δ Ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

Δι᾽ ἔθνος ἀσύνετον· τοὺς αὐτοὺς δὲ καλεῖ, καὶ ἔθνος ἀσύνετον, διὰ τὴν πρὸ τοῦ πιστεῦσαι πλάνην καὶ ἄνοιαν αὐτῶν· οὐχ οὕτω γὰρ λυπεῖ τοὺς Ἰουδαίους ἡ ἔκπτωσις τῆς ἐπηγγελμένης γῆς καὶ ἡ ἐν πᾶσι τοῖς ἔθνεσι διασπορὰ, ὅσον ἡ Χριστιανῶν εὐημερία καὶ περιφάνεια.

22α Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου.

Καὶ τοῦτο καὶ τὰ ἑξῆς, πρὸς φόβον καὶ ἔμφασιν τοῦ ἀνυποίστου τῆς θείας ἀγανακτήσεως.

22β Καυθήσεται ἕως ᾅδου κατωτάτου.

Πάντα καταφλέγον, ὅτε θυμωθῶ.

22γ Καταφάγεται γῆν καὶ τὰ γενήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων.

Τοσαύτη γὰρ ἡ δύναμις καὶ τὸ δραστήριον αὐτοῦ.
Ἁπλῶς δὲ διδάξας περὶ τῆς δυνάμεως τοῦ θυμοῦ, λοιπὸν τρέπει τὸν λόγον ἐπὶ τοὺς παροργίσαντας αὐτὸν Ἰουδαίους.

23α Συνάξω εἰς αὐτοὺς κακά.

Πειρασμοὺς, τιμωρίας.

23β Καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.

Τὰ αὐτὰ καλεῖ καὶ βέλη, ὡς βάλλοντα καὶ ἀναιροῦντα· συμπληρώσω, φησὶ, τὰ βέλη μου, μηδὲν ὑπολιπὼν, ἀλλὰ πάντα ἐπαγαγὼν αὐτοῖς.

24α Τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων.

Ἔσονται δηλονότι τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων.

Προηγήσατο γὰρ τοῦ πολέμου, πολιορκία καὶ λιμὸς καὶ βρῶσις ὀρνέων, ἃ θηρεύοντες καὶ ἐσθίοντες, ἐτήκοντο μᾶλλον, διὰ τὴν ἐξ αὐτῶν προσπίπτουσαν βλάβην· ἢ ὅτι τηκομένους λιμῷ, ὄρνεα ἐπικαταπτάντα κατὰ θεομηνίαν, ἐβίβρωσκον· καὶ τοῦτο μὲν, ἐτήκοντο λιμῷ, τοῦτο δὲ, ἐβιβρώσκοντο τοῖς ὄρνισι.

24β Καὶ ὀπισθότονος ἀνίατος.

Ἐν αὐτοῖς δηλαδή· ὀπισθότονος δὲ, νόσος, ὀπίσω τείνουσα τὸ σῶμα καὶ πικρῶς ἀναιροῦσα.

24γ Ὀδόντας θηρίων ἐπαποστελῶ εἰς αὐτοὺς, μετὰ θυμοῦ συρόντων ἐπὶ γῆς.

Συρόντων, ἤτοι συρομένων, φερομένων· εἰκὸς γὰρ καὶ δράκοντας ἐπελθεῖν αὐτοῖς· ἢ καὶ ὀδόντας θηρίων λέγει, τὸ αἱμοβόρον καὶ ἄγριον καὶ θηριῶδες τῶν ἀναλωσάντων αὐτοὺς πολεμίων.

25α Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμιείων φόβος.

Καὶ ἔσωθεν γὰρ ἐπεβουλεύοντο, καὶ ἐφοβοῦντο τοὺς οἰκείους οὐκ ἔλαττον τῶν πολεμίων.

Ταῦτα δὲ πάντα συνέβησαν Ἰουδαίοις, καὶ ἐν ἄλλαις μὲν πολιορκίαις — νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα — μάλιστα δὲ, μετὰ τὴν ἀναίρεσιν τοῦ Χριστοῦ.

25β Νεανίσκος σὺν παρθένῳ.

Λείπει τὸ, ἀναιρεθήσεται· ἐλλειπτικὰ γὰρ πολλάκις τὰ ἀπειλητικά.

25γ Θηλάζων μετὰ καθεστηκότος πρεσβύτου. |

Καθεστηκότος, ἤτοι τελείου· διὰ τῶν ἄκρων δὲ ἡλικιῶν, καὶ τὰς ἐν μέσῳ ὑπεδήλωσεν.

26α Εἶπα, Διασπερῶ αὐτούς.

Εἰς τὰ ἔθνη δούλους.

24α[5] τηκομένους CO : τηκόμενοι M.

26β-27α Παύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν, εἰ μὴ δι᾽ ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσιν.

Εἶπα, φησὶ, Σβέσω τὸ μνημόσυνον αὐτῶν, ἵνα μὴ μακροχρονήσωσιν ἐν εὐκλείᾳ, ἵνα μὴ ἐπὶ πλέον ἔχωσιν ὄνομα περιβόητον· εἰ μὴ διὰ τὸ ὀργίζεσθαί με τοῖς ἐχθροῖς αὐτῶν ἐφ᾽ οἷς ἀσεβοῦσιν, ἐπέσχον ἄρτι.

27β Καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι.

Καὶ ἵνα μὴ οὗτοι οἱ ὑπεναντίοι αὐτοῖς, ἐμοῦ ἐκτρίβοντος αὐτοὺς, ὁρῶντες ἀσθενοῦντας, συνεπίθωνται κατ᾽ αὐτῶν, καὶ δόξωσιν αὐτοὶ τούτους ἐκτρῖψαι.

27γ Μὴ εἴπωσιν, Ἡ χεὶρ ἡμῶν ἡ ὑψηλὴ, καὶ οὐχὶ Κύριος ἐποίησε ταῦτα.

Τὰ τῆς ἐκτριβῆς αὐτῶν.

28 Ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη.

Ἔθνος ἄβουλον καὶ ἀσύνετον, μήτε βουλευόμενον τὰ σωτήρια, μήτε συνιὸν τίνα μὲν ἀρέσκει Θεῷ, τίνα δὲ παραπικραίνει αὐτόν.

29 Οὐκ ἐφρόνησαν συνιέναι· ταῦτα πάντα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.

Οὐκ ἐφρόνησαν ὥστε συνιέναι, διατί οὐ διεσπάρησαν, καὶ διατί οὐκ ἐπαύθη τὸ μνημόσυνον αὐτῶν, καὶ σπουδάσαι τὰ πρὸς θεραπείαν Θεοῦ. Λοιπὸν οὖν, τὰς προειρημένας τιμωρίας καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον· τοῦτον δὲ λέγει, τὸν ὕστερον ἐπιόντα καιρὸν, ὅτε τὸν Χριστὸν ἀνελόντες καὶ κατὰ τῶν ἀποστόλων λυττήσαντες, τοῖς Ῥωμαίοις παρεδόθησαν εἰς ἐξολόθρευσιν.

30 Πῶς διώξεται εἷς χιλίους καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτοὺς, καὶ ὁ Κύριος παρέδωκεν αὐτούς;

Θαυμάζων ὁ προφήτης, φησὶ, πῶς εἷς Ῥωμαῖος διώξεται τότε χιλίους Ἰουδαίους, καὶ δύο Ῥωμαῖοι πάλιν μετακινήσουσι μυριάδας Ἰουδαίων· πῶς τοῦτο γενήσεται τὸ παράδοξον, εἰ μὴ προφανῶς ὁ Θεὸς ἀπέδοτο αὐτοὺς εἰς ἀπώλειαν, εἴτουν ὁ Κύριος παρέδωκεν αὐτοὺς εἰς ἐξολόθρευσιν;

Ἢ ἀπέδοτο μὲν εἰς δουλείαν, παρέδωκε δὲ εἰς διαφθοράν· πολλοὶ μὲν γὰρ αὐτῶν εἰς δουλείαν ἐλήφθησαν, οἱ λοιποὶ δὲ κατεκόπησαν.

31α Οὐ γάρ εἰσιν οἱ θεοὶ αὐτῶν ὡς ὁ Θεὸς ἡμῶν.

27β[1] συνεπιθῶνται O[TRa] : συνεπίθωνται MPCBF. 27γ[1] ταῦτα MCPOF : ταῦτα πάντα B[TRa]. 28[2] μήτε PCOBF : μήποτε M.

Οἱ θεοὶ τῶν ἐχθρῶν, ἤτοι τῶν πέριξ ἐθνῶν, ἵνα καὶ δύναιντο παρασκευάζειν αὐτοὺς δύνασθαι τηλικαῦτα.

31β Οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.

Μὴ νοοῦντες, ὅτι οὐχ ὡς ἥττους ἑαυτῶν καταγωνίζονται τούτους, ἀλλ᾽ ὡς παραδεδομένους ἤδη καὶ τῆς φρουρούσης αὐτοὺς δυνάμεως ἐρημωθέντας.

32α Ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας.

Ὥσπερ οἱ τὰ τοῦ Ἀβραὰμ ἔργα ζηλοῦντες καὶ μεταδιώκοντες, υἱοὶ τοῦ Ἀβραὰμ ὀνομάζονται, οὕτως ἄρα καὶ οἱ τὰς τῶν Σοδομιτῶν καὶ Γομόῤῥας παρανομίας διαπραττόμενοι, ἐκεῖθεν ἕλκειν τὸ γένος λέγονται, διὰ τὴν τῆς κακίας ὁμοίωσιν.

Ἄμπελον μὲν οὖν, τὴν ῥίζαν αὐτῶν ἐκάλεσεν, οὐ τὴν κατὰ σάρκα, ἥτις ἦν ὁ Ἀβραὰμ, ἀλλὰ τὴν κατὰ πονηρίαν· κληματίδα δὲ, | τοὺς κατὰ μοχθηρίαν ἐκγόνους ἐκείνης.

32β Ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν.

Εἰπὼν ἄμπελόν τε καὶ κληματίδα, ἀκολούθως προσέθηκε λοιπὸν καὶ σταφυλὴν, ἐπιμείνας τῇ τροπῇ· σταφυλὴν δὲ λέγει, τὸν καρπὸν αὐτῶν, ἤτοι τὰς πράξεις αὐτῶν, δίκην χολῆς πικραινούσας τὸν γεωργὸν τῶν ψυχῶν διὰ τὴν κακίαν αὐτῶν· καὶ βότρυς αὐτῶν, πικρίας βότρυς, ἢ καὶ βότρυς πικρίας, ὁ βότρυς αὐτῶν· τὸ αὐτὸ δὲ καὶ σταφυλὴ καὶ βότρυς.

33 Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος.

Ὥσπερ τὰς πράξεις αὐτῶν σταφυλὴν ὠνόμασεν, οὕτω καὶ τὴν ἀπὸ τῶν τοιούτων πράξεων διδασκαλίαν, οἶνον, πλὴν, οὐχ ἁπλῶς, ἀλλ᾽ οἶνον, θυμὸν δρακόντων ἄντικρυς καὶ θυμὸν ἀσπίδων, διὰ τὸ δραστήριον εἰς κακίαν καὶ εἰς διαφθοράν· διὸ καὶ ἀνίατον αὐτὸν προσηγόρευσεν, ὡς ἀμετάβλητον.

34 Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ᾽ ἐμοὶ καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου;

Ταῦτα, ποῖα; τὰ τῶν τιμωριῶν. Ὡς ἀπὸ τοῦ Θεοῦ δὲ ὁ λόγος· οὐκ ἰδοὺ ταῦτα πάντα ἡτοίμασται παρ᾽ ἐμοὶ καὶ πεφύλακται ἐν τοῖς θησαυροῖς μου, κατὰ τὸν προσήκοντα καιρὸν ἐπαφεθησόμενα τοῖς Ἰουδαίοις; θησαυροὶ δὲ τοῦ Θεοῦ, τὸ βέβαιον ἢ ἡ μακροθυμία.

32β[2] τε M : om. PCOABF.

35α Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω.

Καὶ τίς ἡ ἡμέρα τῆς ἐκδικήσεως, ἄκουσον.

35β Ἐν καιρῷ ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν.

Ὅταν ὀλισθήσωσιν εἰς τὸ χαλεπώτατον ἁμάρτημα, τὴν Χριστοκτονίαν· τότε γὰρ ἤρξαντο ἐπαφεθῆναι αὐτοῖς αἱ τιμωρίαι, ὅταν σφαλῇ ἡ πορεία αὐτῶν ἡ κατὰ Θεὸν, σφάλμα πάντων μεῖζον.

35γ Ὅτι ἐγγὺς ἡ ἡμέρα ἀπωλείας αὐτῶν.

Ἔκτοτε, ἐξ ὅτου σφαλῇ ὁ ποὺς αὐτῶν, ἐγγὺς ἡ ἡμέρα τῆς ἀπωλείας αὐτῶν· λέγει δὲ ἐκείνην, ἐν ᾗ κατὰ κράτος ἑάλωσαν τὰ Ἱεροσόλυμα.

35δ Καὶ πάρεστιν ἕτοιμα ὑμῖν.

Ἕτοιμα τὰ καταληψόμενα ὑμᾶς τότε κακά.

36α Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

Κατακρινεῖ μὲν τὸν Ἰουδαϊκὸν λαὸν αὐτοῦ, ὡς παράνομον καὶ θεομάχον· ἐπὶ δὲ τοῖς δούλοις αὐτοῦ τοῖς πιστεύσασιν εἰς τὸν Χριστὸν, παρακληθήσεται καὶ εὐμενισθήσεται· ἢ παρακαλούμενος, ἐπικαμφθήσεται καὶ εἰσακούσεται αὐτῶν.

36β Εἶδε γὰρ αὐτοὺς παραλελυμένους καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ καὶ παρειμένους.

Αὐτοὺς, τίνας; τοὺς Ἰουδαίους δηλονότι. Ἐπαγωγὴν δὲ ὀνομάζουσιν οἱ προφῆται, τὸν καιρὸν τῆς ἐκδικήσεως· καὶ ἄλλος γάρ φησι, *Τί ποιήσεις ἐν ἡμέρᾳ ἐπαγωγῆς;* Sir 5.8

Εἶδεν οὖν αὐτοὺς κακῶς καὶ ταλαιπώρως καὶ ἀθλίως ἔχοντας· περὶ ἑτέρου δὲ καιροῦ προφητεύει νῦν, ὅτε εἰδωλολατρήσαντες παρεδόθησαν εἰς αἰχμαλωσίαν.

37 Καὶ εἶπε Κύριος, Ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ᾽ οἷς ἐπεποίθεισαν ἐπ᾽ αὐτοῖς;

Τὸ, ἐφ᾽ οἷς ἐπ᾽ αὐτοῖς, ἰδίωμα Ἑβραϊκὸν, ὡς πολλάκις εἰρήκαμεν.

38α Ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν. |

Ὧν τῶν θυσιῶν τὸ στέαρ ἠσθίετε, θύοντες αὐτοῖς. Lev 3.17

38β Ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν, καὶ γενηθήτωσαν ὑμῶν σκεπασταί.

Κατ᾽ εἰρωνείαν ὁ λόγος· ἀναστήτωσαν εἰ δύνανται.

39α Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι.

Γνῶτε, πληροφορήθητε ἀφ᾽ ὧν πάσχετε, ὅτι ἐγώ εἰμι· αὐτοὶ δὲ οὐκ εἰσίν· ἐγὼ ὢν, αὐτοὶ δὲ οὐκ ὄντες.

39β Καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ.

Ἐμοῦ, τοῦ ἐν Τριάδι θεωρουμένου.

39γ Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω.

Καὶ τοῦτο κἀκεῖνο ῥᾳδίως δυνάμενος.

39δ Πατάξω, κἀγὼ ἰάσομαι.

Κακώσω διὰ τιμωρίας, καὶ πάλιν θεραπεύσω διὰ φιλανθρωπίας τοὺς ἐπιστρέφοντας.

39ε Καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.

Τοὺς ἀνιάτους δηλονότι, καὶ ὧν καταψηφίσομαι.

40α Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου.

Κατὰ τὸ σχῆμα τῶν τότε ὀμνυόντων ἀνθρώπων· ἐκεῖνοι γὰρ ὀμνύοντες, ἀνέτεινον εἰς τὸν οὐρανὸν τὴν δεξιὰν χεῖρα, κατὰ τοῦ ἐν οὐρανοῖς δηλαδὴ Θεοῦ ὀμνύοντες· καὶ ὀμόσω, φησὶ, διὰ τῆς δεξιᾶς μου.

40β Καὶ ἐρῶ, Ζῶ ἐγὼ εἰς τὸν αἰῶνα.

Ἐπεὶ γὰρ οἱ ὀμνύοντες εἰώθεισαν λέγειν, Ζῇ Κύριος, καὶ τοῦτο ἦν ὅρκος αὐτοῖς, αὐτὸς λοιπὸν, μὴ ἔχων ἑαυτοῦ μείζονα καθ᾽ οὗ ἂν ὀμόσῃ, καθ᾽ ἑαυτοῦ Heb 6.13
λοιπὸν ὀμνύει καὶ λέγει, Ζῶ ἐγὼ εἰς τὸν αἰῶνα. Εἶτα λέγει καὶ περὶ ὧν ὀμνύει.

41α Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου.

40β[2] εἰώθεισαν CAF : εἰώθασι MO.

Ἐντεῦθεν πάλιν περὶ τῶν τελευταίων κακῶν, ἃ πεπόνθασιν ὑπὸ Ῥωμαίων διαλέγεται. Θήξω, φησὶ, τὴν μάχαιράν μου ὡς ἀστράπτειν καὶ φόβον ἐμποιεῖν ἐκ μόνης τῆς θέας· μάχαιραν δὲ αὐτοῦ καὶ βέλη, τὰ τῶν Ῥωμαίων καλεῖ ξίφη, ὡς κατὰ γνώμην Θεοῦ τοῖς Ἰουδαίοις ἐπενεχθέντα.

41β Καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου.

Κρίματος, ἤγουν ἐκδικήσεως· χεῖρα δὲ νόησον Θεοῦ, τὴν τιμωρητικὴν δύναμιν αὐτοῦ.

41γ Καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς.

Δίκην, ἤτοι τιμωρίαν· ἐχθροὶ δὲ τοῦ Χριστοῦ, οἱ ἀνελόντες αὐτὸν Ἰουδαῖοι· ἢ καὶ τοῦ Πατρὸς καὶ Θεοῦ, ὡς ἀνελόντες τὸν Υἱὸν αὐτοῦ· δύναται γὰρ καὶ ἀπὸ τοῦ Υἱοῦ καὶ ἀπὸ τοῦ Πατρὸς νοεῖσθαι τὸ ῥητόν.

41δ Καὶ τοῖς μισοῦσί με ἀνταποδώσω.

Τὸ αὐτὸ λέγει, φοβῶν πλέον αὐτούς.

42α Μεθύσω τὰ βέλη μου ἀφ᾽ αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα.

Οἰκειοῦται τὰ τῶν Ῥωμαίων βέλη καὶ τὴν μάχαιραν, ὡς εἰρήκαμεν· τὸ δὲ, μεθύσω, καὶ τὸ, φάγεται, τροπικὰ καὶ μεταφορικὰ, ἀπὸ ἐμψύχων εἰς ἄψυχα.

42β Ἀφ᾽ αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας.

Εἰπὼν ὅτι μεθύσω τὰ βέλη μου ἀφ᾽ αἵματος, λέγει καὶ ποίου αἵματος· ὅτι τῶν τετρωμένων καὶ τῶν ᾐχμαλωτισμένων.

42γ Ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.

Ὁμοίως εἰπὼν ὅτι καὶ ἡ μάχαιρά μου φάγεται κρέα, λέγει καὶ ἀπὸ ποίου κρέατος· ὅτι ἀπὸ τῆς κεφαλῆς τῶν ἀρχόντων τῶν ἐθνῶν, φοβερὰν μὲν τὴν ἀπειλὴν ἐργασάμενος διὰ τῆς κεφαλῆς, ἀπὸ μέρους δὲ τὸ ὅλον δηλώσας.

Ἄρχοντας μὲν | οὖν νοήσεις, τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς καὶ πρεσβυτέρους τοῦ λαοῦ· ἔθνη δὲ, τὰ πλήθη τῶν Ἰουδαίων, τὰ ἐν διαφόροις ἡγεμονίαις τῆς Παλαιστίνης, διὰ τὸ παρανόμως αὐτὰ ζῆν, δίκην ἐθνῶν.

43α Εὐφράνθητε, οὐρανοὶ, ἅμα αὐτῷ.

41β[2] νόησον Θεοῦ CO[A]F : Θεοῦ νόει μοι M.

Ὁ προφήτης τοῦτό φησιν, οὐρανοὺς, οἶμαι, καλῶν, τὰς οὐρανίας δυνάμεις, ἢ αὐτοὺς τοὺς οὐρανοὺς διὰ τὸ ὑπερβάλλον τῆς εὐφροσύνης, ἣν καὶ τοῖς ἄνω καὶ τοῖς κάτω ὁ Χριστὸς ἐνανθρωπήσας ἐχαρίσατο.

Ἅμα δὲ αὐτῷ· ποίῳ; τῷ Χριστῷ δηλονότι, τῷ τὰ προειρημένα ἀπειλήσαντι.

43β Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

Εὐχαριστησάτωσαν, δοξασάτωσαν. Εἰ γὰρ κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν,
μεγάλη χαρὰ γίνεται ἐν οὐρανοῖς ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, πόσῳ Lk 15.10
μᾶλλον ἐπὶ τῇ τοσαύτῃ καὶ τηλικαύτῃ τῶν ἀνθρώπων εὐεργεσίᾳ, τῆς πλάνης μὲν ἀπελαθείσης, τῆς ἀληθείας δὲ χορευούσης, καὶ τῶν ἀνθρώπων εἰς οὐρανὸν ἀνερχομένων καὶ συμπολιτευομένων τοῖς ἀγγέλοις.

43γ Εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ.

Λαὸν μὲν λέγει, τὸν ἐξ Ἰουδαίων πεπιστευκότα· ἔθνη δὲ, τοὺς ἐξ ἐθνῶν τῇ
πίστει προσερχομένους. Εὐφράνθητε, φησὶν, ἑνωθέντες, καὶ εἰς μίαν αὐλὴν τοῦ Jn 10.16
Καλοῦ Ποιμένος συναχθέντες, καὶ ἀποκαταλλαγέντες ἐν ἑνὶ Πνεύματι πρὸς τὸν 2Cor 5.18
Πατέρα. Rom 5.10

43δ Καὶ ἐνισχυσάτωσαν αὐτῷ, πάντες υἱοὶ Θεοῦ.

Καὶ κραταιωθήτωσαν ὑπ᾽ αὐτοῦ πρὸς τὴν κατὰ τῶν δαιμόνων ἀντιπαράταξιν, πάντες οἱ υἱοθετηθέντες τῷ Θεῷ διὰ τῆς παλιγγενεσίας τοῦ ἁγίου βαπτίσματος.

Τινὰ δὲ τῶν ἀντιγράφων, καὶ ἐνισχυσάτωσαν αὐτὸν γράφουσιν, ἤγουν τὸν λαὸν τοῦ Θεοῦ· υἱῶν Θεοῦ λοιπὸν νοουμένων, τῶν ἀποστόλων καὶ τῶν διαδόχων αὐτῶν, ὡς γνησιωτέρων καὶ οἰκειοτέρων ἀπό τε τῆς πολιτείας, ἀπό τε τοῦ ἀξιώματος. Καὶ ἐνισχυσάτωσαν αὐτὸν, ἤγουν συγκροτείτωσαν, ἰσχυροποιείτωσαν, ὡς μάλιστα βοηθείας δεδεημένον.

43ε Ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται.

Πάλιν περὶ τῆς τιμωρίας τῶν Ἰουδαίων προφητεύει· ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ, τῶν προφητῶν καὶ ἀποστόλων, ὅπερ ἐξέχεαν, ἐκδικεῖται διὰ τῶν Ῥωμαίων.

43ϛ Καὶ ἐκδικήσει.

Καὶ ὄντως ἐκδικήσει τὸν φόνον αὐτῶν.

43ζ Καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσιν ἀνταποδώσει.

Τοῦτο καὶ ἀνωτέρω προεῖπεν ἐκ προσώπου τοῦ Θεοῦ· ἐνδιατρίβει δὲ ταῖς προῤῥήσεσι τῶν ἀπειλῶν, ἐπιστρέψαι τούτους διὰ φόβου πλείονος βουλόμενος.

43η Καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.

Ἐξολοθρεύσας πάντας τοὺς κακοὺς, καὶ πᾶσαν πονηρίαν ἐκεῖθεν ἐξελὼν διὰ τῶν Ῥωμαίων, ὡς εἴρηται, καὶ ἐδαφίσας τὴν γῆν τοῦ πάλαι λαοῦ αὐτοῦ· ἢ καὶ ἄλλως, καθαρὰν τῆς ἀκαθαρσίας τῶν Ἰουδαίων ποιήσει τὴν Παλαιστίνην, τὴν γῆν τοῦ νέου λαοῦ αὐτοῦ.

III

Ὠιδὴ γʹ
Ἄννης τῆς μητρὸς Σαμουὴλ
ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν βίβλῳ.| 1Rg 2.1-10

Οὐ μόνον ὑμνεῖ τὸν Θεὸν ἐφʼ οἷς εὐηργέτηται, λαβοῦσα μὲν καρπὸν κοιλίας, ἀπαλλαγεῖσα δὲ τῶν ὀνειδῶν τῶν ἐπὶ τῇ ἀπαιδίᾳ, ἀλλὰ καὶ προφητεύει διάφορα πράγματα· κυήσασα γὰρ προφήτην, μετέσχε τῆς προφητικῆς χάριτος, καὶ προεφήτευσε μετὰ τὸν τόκον·

1α Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ.

Χαυνωθεῖσα ταῖς λύπαις τῆς ἀτεκνίας, ἐστερεώθη νῦν, ἐδυναμώθη ὑπὸ Κυρίου.

1β Ὑψώθη κέρας μου ἐν Θεῷ μου.

Ὑψώθη ἡ δόξα μου, διὰ Θεοῦ μου· ἐδοξάσθην γεννήσασα τέκνον.

1γ Ἐπλατύνθη τὸ στόμα μου ἐπʼ ἐχθρούς μου.

Ἠνοίγη παῤῥησιαστικώτερον, ἐλάλησεν ἀνυποστόλως. Ἐχθροὶ δὲ αὐτῆς, οἱ περὶ τὴν ἄλλην γαμετὴν τοῦ ἀνδρὸς αὐτῆς, Φενάνναν, ἄχρι τότε καυχώμενοι ἐπὶ
πολυτεκνίᾳ καὶ πολλοῖς αὐτὴν ὀνείδεσιν ὡς ἄτεκνον βάλλοντες. 1Rg 1.6

1δ Ηὐφράνθην ἐν σωτηρίῳ σου.

Τῷ εἰς ἐμὲ γεγενημένῳ· ἔσωσας γάρ με δοὺς τέκνον, κινδυνεύουσαν ὑπὸ λύπης ἀμέτρου διαφθαρῆναι.

2α Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος.

Καθαρὸς, μηδὲ μίαν λαβὴν μηδενὶ διδοὺς, ἀλλὰ πάντα σὺν λόγῳ ποιῶν.

2β Καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν.

Οὐδὲ γὰρ ἐπὶ πλέον ἠνέσχετο ταλαιπωρεῖσθαί με καὶ κακῶς ἀκούειν.

2γ Καὶ οὐκ ἔστιν ἅγιος πλήν σου.

Ἅγιος κυρίως· σὺ γὰρ φύσει ἅγιος καὶ πηγὴ ἁγιότητος.

3α Μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν.

Πρὸς τοὺς περὶ τὴν Φενάνναν ὁ λόγος· δι᾽ αὐτῆς δὲ, καὶ πρὸς πάντας τοὺς ἐν εὐημερίᾳ τινὶ καυχωμένους· μὴ λαλεῖτε, φησὶν, ἐπηρμένα διὰ τὸ ὑπερέχειν.

3β Μηδὲ ἐξελθέτω μεγαλοῤῥημοσύνη ἐκ τοῦ στόματος ὑμῶν.

Τοῦτο σαφές.

3γ Ὅτι Θεὸς γνώσεων Κύριος.

Θεὸς γνώσεων ὁ Κύριος· γινώσκων οὐ τὰ φαινόμενα μόνον, ἀλλὰ καὶ τὰ κρυπτόμενα· διὸ γινώσκων καὶ τὴν ὑμετέραν μὲν ἀλαζονείαν, ἐμὴν δὲ ταπείνωσιν, ἔκρινε δικαίως.

3δ Καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτῷ.

Εὐτρεπίζων ἑαυτῷ οἰκονομίας ἢ ἀπαρτίζων βουλεύματα ἑαυτοῦ.
Τίνα δὲ ταῦτα, ἄκουσον.

4 Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Τόξον λέγει, τὴν ἰσχὺν ἢ τὰ ὅπλα. Καθολικὰ δὲ ἐκφέρει τὰ τοιαῦτα ἀντίθετα, ὡς ἐπὶ πολλῶν γινόμενα· εἶτα ἐπιφέρει καὶ εἰδικόν.

5α Πλήρεις ἄρτων ἠλαττώθησαν.

Ἐπτώχευσαν.

5β Καὶ οἱ πεινῶντες παρῆκαν γῆν.

Ἀφῆκαν τὴν γῆν, ᾗ προσεταλαιπωροῦντο μισθοῦ δουλεύοντες, ἢ τὴν γεωργίαν, ὡς ἤδη γεγενημένοι κύριοι καὶ γῆς καὶ γεωργῶν, καὶ ἁπλῶς πλουτήσαντες.

3δ[1] αὐτῷ MPCB : αὐτοῦ O[Ra] : αὐτόν F : αὐτῶν [TRa^{A}].

5γ Ὅτι στεῖρα ἔτεκεν ἑπτὰ, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.

Τοῦτο, εἰδικόν· στεῖρα μὲν αὐτὴ, ἥτις, Θεοῦ ἐπινεύσαντος, ἔτεκεν ἑπτὰ, ἤτοι πολλά· ἑπτὰ γὰρ Ἑβραῖοι πολλάκις, τὰ πολλὰ καλοῦσιν, ὡς ἐν τοῖς ψαλμοῖς προπαραδεδώκαμεν. Καὶ μὴν, ἕνα φησὶν ἡ ἱστορία τεκεῖν αὐτὴν ἄχρι τότε, τὸν Ps 78.12
Σαμουήλ· ἀλλὰ πολλὰ τοῦτον εἶπεν, ὡς πολλῶν ἀντάξιον. Πολλὴ δὲ ἐν τέκνοις, ἡ Φενάννα, ὡς πολλοὺς τεκοῦσα· ἥτις ἠσθένησε, πεσούσης αὐτῇ λοιπὸν τῆς ὀφρύος, καὶ ἀγαπηθείσης | μᾶλλον τῆς Ἄννης τῷ ἀνδρί.

Εἴη δ' ἂν καὶ κατὰ λόγον ἀναγωγῆς· στεῖρα μὲν, ἡ ἐξ ἐθνῶν ἐκκλησία, ἥτις πρότερον ἄκαρπος οὖσα, ἔτεκεν ὕστερον τέκνα πολλὰ, δεξαμένη τὸν σπόρον τῆς εὐσεβείας· πολλὴ δὲ ἐν τέκνοις, ἡ τῶν Ἑβραίων συναγωγὴ, ἥτις πολλοὺς τεκοῦσα πρότερον προφήτας καὶ δικαίους, ὕστερον ἠσθένησε, παρευδοκιμησάσης αὐτὴν τῆς ἐξ ἐθνῶν ἐκκλησίας.

6α Κύριος θανατοῖ καὶ ζωογονεῖ.

Πάντα δυνάμενος.

6β Κατάγει εἰς ᾅδου καὶ ἀνάγει.

Ἀνήγαγε γὰρ ἐκεῖθεν, οὐ μόνον τὴν ψυχὴν τοῦ Λαζάρου, καὶ τοῦ υἱοῦ τῆς Jn 11.43-44
χήρας, καὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου, ἀλλ' ὕστερον, καὶ τὰς ἄλλας, αὐτὸς Lk 7.12-15
ἐκεῖ κατελθών. Mk 5.38-42

7 Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ.

Ταῦτα συνεχῶς ὁρῶμεν γινόμενα.

8α Ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν.

Τὸ, ἀπὸ γῆς, ἐσαφήνισε διὰ τοῦ, ἀπὸ κοπρίας.

8β Τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ.

Ὥστε καθίσαι αὐτὸν μετὰ ἀρχόντων λαοῦ.

8γ Καὶ θρόνου δόξης κατακληρονομεῖν αὐτόν.

Καὶ κατακληρονομεῖν αὐτὸν θρόνου ἐνδόξου, θρόνου ἀρχικοῦ.

9α Διδοὺς εὐχὴν τῷ εὐχομένῳ.

8α Add. [M in marg.]PB: Ἀνιστᾷ ἀπὸ τοῦ γεώδους καὶ σαρκικοῦ φρονήματος τὸν πενόμενον κακίας, καὶ τὸν πλοῦτον αὐτῆς ἀποβεβληκότα, καὶ ἐγείρει ἀπὸ τῆς δυσωδίας τῶν παθῶν τὸν πτωχὸν τῷ πνεύματι, ἢ τὸν πτωχεύσαντα κακῆς ἕξεως. : om. COF.

Εἰς πέρας ἄγων τὴν ὑπόσχεσιν τῷ ὑπισχνομένῳ· δι᾽ αὐτοῦ γὰρ τελεσιουργεῖται πᾶν ἀγαθόν.
Ἢ διδοὺς αἴτησιν τῷ αἰτουμένῳ, καθάπερ καὶ ταύτῃ δέδωκεν ὃ ᾐτήσατο.

9β Καὶ εὐλόγησεν ἔτη δικαίου.

Τὴν ζωὴν τοῦ δικαίου.

9γ Ὅτι οὐκ ἐνισχύει δυνατὸς ἀνὴρ ἐν τῇ ἰσχύϊ αὐτοῦ.

Ἀλλ᾽ ἐν τῷ Θεῷ δηλονότι· διὸ καὶ ὁ Χριστὸς ὕστερον ἔλεγε, *Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.* Jn 15.5

10α Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ.

Τὸν ἐχθρὸν αὐτοῦ.

10β Κύριος ἅγιος.

Διὰ πάντων ὑμνεῖ τὴν τοῦ Θεοῦ δύναμιν καὶ δικαιοσύνην καὶ χρηστότητα.

10γ Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ· ἀλλ᾽ ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.

Ἐν τούτῳ, φησὶ, χαιρέτω, ἐν τῷ συνιεῖν, ἤτοι γινώσκειν, τὸν Κύριον· ὅτι ἔστιν αὐτὸ τοῦτο Κύριος, ὅτι δημιουργὸς, ὅτι σοφὸς, ὅτι παντοδύναμος, ὅτι δίκαιος, ὅτι ἀγαθὸς, καὶ ὅσα τοιαῦτα· καὶ ἐν τῷ ποιεῖν κρίσιν, ἤγουν δικαιοσύνην, ἐν τῇ γῇ.

10δ Κύριος ἀνέβη εἰς οὐρανούς.

Τοῦτο, προφητεία περὶ τῆς ἀναλήψεως.

10ε Καὶ ἐβρόντησεν.

Ὁμοίως καὶ τοῦτο, περὶ τῆς καθόδου τοῦ ἁγίου Πνεύματος· *Ἐγένετο γὰρ,* φησὶν, *ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος·* ὡς γεγονότα δὲ λέγει τὰ γενησόμενα, νόμῳ Ac 2.2
προφητείας.

10ϛ Αὐτὸς κρινεῖ ἄκρα γῆς δίκαιος ὤν.

Καὶ τοῦτο, περὶ τῆς παγκοσμίου κρίσεως· διὰ τῶν ἄκρων δὲ, πᾶσαν τὴν γῆν ἐνέφηνεν, ἤτοι τοὺς ἐκ γῆς ἀνθρώπους.

10ζ Καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν.

Τῷ τε Δαυὶδ καὶ τοῖς ἐξ αὐτοῦ καταγομένοις· προφητεύει γὰρ καὶ περὶ τούτων, ἐπεὶ οὔπω βασιλέα ἔσχον οἱ Ἰουδαῖοι.

10η Καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ.

Τοῦτο, περὶ τοῦ Χριστοῦ, οὗ τὴν δύναμιν καὶ τὴν δόξαν | ὕψωσεν ὑπὲρ τὸν οὐρανόν· *Ἐπὶ τοὺς οὐρανούς, γὰρ, φησὶν, ἡ δόξα αὐτοῦ.* Ps 112.4

IV

Ὠιδὴ δʹ
Ἀββακοὺμ τοῦ Προφήτου. Hab 3.2-19

Τὴν ἐνανθρώπησιν τοῦ Κυρίου προμηνύει· κεῖται δὲ ἐν τῇ βίβλῳ τῆς προφητείας αὐτοῦ.

2α Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην.

Εἰσακήκοα νοερῶς τὴν ἀκοὴν τὴν περὶ σοῦ, ὅτι μέλλεις ἐνανθρωπῆσαι, καὶ ἐφοβήθην ὑπὸ τῆς ἄγαν ἐκπλήξεως. Πῶς ὃν οὐρανὸς οὐ χωρεῖ, χωρήσει παρθένος; πῶς τὸ ἄστεκτον πῦρ ὁμιλήσει χόρτῳ;

2β Κύριε, κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην.

Τὰ ἐξαίσια ἔργα τῆς ἐν σαρκὶ πολιτείας σου, καὶ τὰ τοῦ σωτηρίου πάθους σου.

2γ Ἐν μέσῳ δύο ζῴων γνωσθήσῃ.

Ζῷα λέγει, τὰ παρ᾽ ἑκάτερα τοῦ ἱλαστηρίου πεποιημένα δύο Χερουβὶμ, ὧν Ex 25.22
μεταξὺ πάλαι τοῖς ἀξίοις ὁ Θεὸς ἐγινώσκετο, προσομιλῶν αὐτοῖς. Φησὶν οὖν, ὅτι ὁ ἐνανθρωπῆσαι μέλλων Θεὸς, γνωσθήσῃ ἐν μέσῳ τῶν δύο Χερουβὶμ, καὶ χρηματίσεις ἐκεῖθεν τῷ λαῷ τὰ προσήκοντα, ὡς ἴσος τῷ Πατρί.

Ἢ γνωσθήσῃ, ἀντὶ τοῦ, γινώσκῃ τοῖς ἀξίοις τοιαύτης γνώσεως, κατ᾽ ἀντιχρονίαν.

Τινὲς δὲ ζωῶν περισπωμένως ἀναγινώσκουσι, δύο ζωὰς νοοῦντες, τὰς δύο πολιτείας, τήν τε παλαιὰν καὶ τὴν καινὴν, ὧν μέσον ὁ Χριστὸς ἐγνώσθη, τῆς μὲν τελειουμένης, τῆς δὲ ἀρχομένης· τότε γὰρ ἐνανθρωπήσας, ἐγνωρίσθη τοῖς μαθηταῖς.

2δ *Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ.*

Τὰ ἔτη τῆς ἐνανθρωπήσεως· ὅτε ἐπιστῇ ὁ καιρὸς τῆς ἐνσάρκου πολιτείας σου ἐπιγνωσθήσῃ.

2ε *Ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ.*

Τὸ αὐτὸ λέγει σαφέστερον.

2ϛ *Ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ, ἐλέους μνησθήσῃ.*

Φοβηθείσης τῆς ψυχῆς μου ὅτε ὀργίζῃ, ἐλεήσεις με· ὁ γὰρ φοβηθεὶς ὀργιζόμενον τὸν Θεὸν ἐπὶ ταῖς ἁμαρτίαις αὐτοῦ, μετανοεῖ πάντως· μετανοοῦντα δὲ τοῦτον, ὁ Θεὸς ἐλεήσει. Διδάσκει δὲ ὁ λόγος τὸ εὐδιάλλακτον τοῦ Θεοῦ.

3α *Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.*

Θαιμὰν, ἑρμηνεύεται νότος. Ὁ Θεὸς, φησὶν, ἀπὸ νότου ἥξει, τουτέστιν, ἀπὸ
Βηθλεὲμ ἐξελεύσεται, ἐκεῖ γεννηθεὶς κατὰ σάρκα· νότιον γὰρ μέρος πρὸς τὴν Mt 2.6
Ἰερουσαλὴμ, ἡ Βηθλεέμ.

3β *Καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος.*

Τὸν αὐτὸν λέγει, καὶ ἅγιον· οὕτω γὰρ τὸν Θεὸν οἱ παλαιοὶ τὰ πολλὰ προσαγορεύουσιν, ὡς φύσει ἅγιον καὶ ἁγιάζοντα κατὰ μετάδοσιν.

Ὄρος δὲ κατάσκιον δασὺ, ἡ Παρθένος· ὄρος μὲν, ὡς ὑψηλοτέρα πάσης
κτίσεως· κατάσκιον δὲ, ὡς ἐπισκιαζούσης αὐτῇ τῆς θείας δυνάμεως· *Καὶ δύναμις,*
γάρ φησιν, ὑψίστου ἐπισκιάσει σοι· δασὺ δὲ, διὰ τὸ τῆς παρθενίας ἄβατον. Lk 1.35

3γ *Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ πλήρης ἡ γῆ.*

Ἐμφαντικὰ ταῦτα τῆς ὑπερβαλλούσης ἀρετῆς καὶ συνέσεως αὐτοῦ, τῆς κατὰ τὸ ἀνθρώπινον. Ἀρετὴν μὲν οὖν νόει μοι, τὴν ἐν ἔργοις, σύνεσιν δὲ, τὴν ἐν λόγοις· ἡ μὲν γὰρ ἐνίκησε καὶ τὴν τῶν οὐρανίων δυνάμεων, τῷ μεγέθει ταύτην ἀποκρύψασα, ἡ δὲ, πᾶσαν ἐνέπλησε τὴν οἰκουμένην.

Τινὰ δὲ τῶν ἀντιγράφων, τῆς *αἰνέσεως* γράφουσι· | τῇ ἀρετῇ γὰρ ἕπεται αἴνεσις.

4α *Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται.*

Φέγγος λέγει, τὸ Εὐαγγέλιον, φαῖνον τοῖς ἐν νυκτὶ πλάνης καὶ σκότει τῶν

ἁμαρτημάτων καὶ ὁδηγοῦν πρὸς τὴν ἀλήθειαν καὶ σωτηρίαν· ὅπερ ὡς φῶς ἔσται φησὶ, καθαρὸν καὶ ἄμεμπτον.

4β Κέρατα ἐν χερσὶν αὐτοῦ.

Κέρατα μὲν, αἱ βασιλεῖαι, διά τε τὸ ὕψος τῆς τιμῆς καὶ τὸ ἰσχυρὸν καὶ ἀμυντικόν. Χεῖρες δὲ, ἡ ἐξουσία καὶ δύναμις αὐτοῦ· πάντων γὰρ κατεξουσιάζει ὡς Θεός.

4γ Καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.

Διὰ τοῦ Εὐαγγελίου ἐποίησε τοῖς πιστεύουσιν ἀγάπησιν ἄῤῥηκτον τῆς αὐτοῦ δυνάμεως, τουτέστιν, ἑαυτοῦ, κατὰ περίφρασιν· *Τίς, γάρ φησιν, ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;* Rom 8.35

5α Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος.

Ὅ τε τῶν ἄλλων προφητῶν καὶ ὁ τοῦ προδρόμου Ἰωάννου· *Ἰδοὺ* γὰρ, φησὶν, *ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.* Mt 11.10

5β Καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ.

Καὶ ἐξελεύσεται ὁ Χριστὸς εἰς παίδευσιν καὶ διδασκαλίαν τῶν ἀνθρώπων, ὀπίσω τοῦ τοιούτου λόγου, ἑπόμενος αὐτῷ προπορευομένῳ.

6α Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ.

Ἔστη εἰς τὴν γῆν, ἀνθρωποπρεπῶς, ἤγουν ἐγεννήθη κατὰ σάρκα· καὶ ἐσαλεύθη ἡ γῆ, οἱ γήϊνοι ἄνθρωποι, μεταβαίνοντες ἀπὸ τοῦ σκότου τῆς πλάνης ἐπὶ τὸ φῶς τῆς ἀληθείας.

Ἢ ἔστη ἐπὶ σταυροῦ, καὶ ἐσείσθη ἡ γῆ, μὴ φέρουσα τὴν ὕβριν τοῦ Δεσπότου· *Καὶ ἡ γῆ* γὰρ, φησὶν, *ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθησαν.* Mt 27.51

6β Ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη.

Ἐπέβλεψεν ἐπὶ τὴν γῆν, ἀνθρωποπρεπῶς, ἀκόλουθον γὰρ καὶ τοῦτο, καὶ ἐταπεινώθη τὰ ἔθνη τῶν δαιμόνων· ἠσθένησε τὰ τάγματα τοῦ ἀντικειμένου.

6γ Διεθρύβη τὰ ὄρη βίᾳ.

Συνετρίβησαν οἱ ἔξαρχοι τούτων, ὄρη διὰ τὸ ἐπηρμένον καὶ ἀλαζονικὸν προσαγορευόμενοι· βίαν δὲ νόει, τὴν ἄμαχον ἰσχὺν τοῦ Χριστοῦ.

6δ Ἐτάκησαν βουνοὶ αἰώνιοι.

Βουνοὺς ὑποληπτέον, τοὺς τῶν εἰρημένων μὲν ὀρέων ὑποδεεστέρους, τῶν ἄλλων δὲ μείζονας εἰς κακίαν· αἰώνιοι δὲ, ὡς ἐν πολλοῖς ἔτεσι τυραννοῦντες, ἀπὸ γὰρ Ἀδὰμ ἕως Χριστοῦ.

7α Πορείας αἰωνίους αὐτῶν ἀντὶ κόπων εἶδον.

Τὰς μακροχρονίους πορείας αὐτῶν, τὰς ἐπὶ λύμῃ τῶν ἀνθρώπων, ὡς κόπον εἶδον, ἤτοι κόπον μόνον καὶ οὐδὲν ἕτερον, ἅτε τοῦ Χριστοῦ τὴν τυραννίδα τούτων εὐθὺς καταλύσαντος καὶ τὰς μηχανὰς αὐτῶν ἀνατρέψαντος.

Τινὲς δὲ πορείας αἰωνίους αὐτοῦ φασὶν, ἑρμηνεύοντες ὅτι οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων τὰς λογικὰς καὶ διδασκαλικὰς πορείας τοῦ Χριστοῦ, τὰς αἰωνίους, τὰς ἀκαταλύτους, ἴσα κόποις εἶδον, τουτέστιν, ὡς κόπους ἄντικρυς, ὡς βάρη διὰ τὸν φθόνον.

7β Σκηνώματα Αἰθιόπων πτοηθήσονται.

Αἰθίοπες μὲν, οἱ δαίμονες, σκότος διὰ τὴν ἔπαρσιν καὶ γενόμενοι | καὶ λεγόμενοι· σκηνώματα δὲ αὐτῶν, τὰ εἴδωλα οἷς ἐνῴκουν, ἃ πτοηθήσονται τὴν ἐπιδημίαν τοῦ Χριστοῦ.

Ποτὲ μὲν οὖν οἱ προφῆται ὡς γεγενημένα λέγουσι τὰ μέλλοντα, ποτὲ δὲ ὡς γινόμενα, ποτὲ δὲ ὡς γενησόμενα.

7γ Καὶ σκηναὶ γῆς Μαδιάμ.

Καὶ οἱ ἐν τῇ γῇ Μαδιὰμ ναοὶ τῶν εἰδώλων· κατείδωλος γὰρ ἡ χώρα, πλέον Ps 82.10
τῶν ἄλλων τῶν πλησιαζουσῶν Ἰουδαίοις.

8α Μὴ ἐν ποταμοῖς ὀργισθῇς, Κύριε, μὴ ἐν ποταμοῖς ὁ θυμός σου ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου.

Ἐπειδὴ λυτρούμενος ὁ Θεὸς τὸν παλαιὸν Ἰσραὴλ, μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς τῶν Αἰγυπτίων καὶ τὰ ὀμβρήματα αὐτῶν ὅπως μὴ πίωσιν, ἀνεῖλε δὲ καὶ αὐτοὺς ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, δεικνύων καὶ ἐν τοῖς ποταμοῖς καὶ ἐν τῇ θαλάσσῃ τὴν ὀργὴν καὶ τὸν θυμὸν καὶ τὴν ἀγανάκτησιν αὐτοῦ, λέγει νῦν ὁ προφήτης, ὅτι λυτρούμενος τὸν νέον Ἰσραὴλ, οὐχ οὕτως ποιήσεις, ἀλλ᾽ ἑτέρῳ τρόπῳ χρήσῃ περὶ τὴν τούτου σωτηρίαν. Οὐκ ἐν ποταμοῖς ὀργισθῇς, Κύριε, οὐκ ἐν ποταμοῖς ὁ θυμός

8α5 ἐν τοῖς ποταμοῖς MPR : ἐν ποταμοῖς CAOF.

σου ἔσται ἢ ἐν θαλάσσῃ τὸ τιμωρητικὸν ὅρμημά σου, ἡ κίνησις, ἡ ἐπεξέλευσις, οὐδὲ διὰ τούτων τιμωρήσεις τοὺς ἐχθρούς. Διὰ τῆς πρώτης δὲ πληγῆς καὶ τῆς τελευταίας πανωλεθρίας, καὶ τὰς ἄλλας πληγὰς ἐνέφηνε· συγγενῆ δὲ καὶ ἄλλως ἀλλήλοις, οἱ ποταμοὶ καὶ ἡ θάλασσα.

8β Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου.

Οὗτος ὁ τρόπος τῆς λυτρώσεως· ἵππους μὲν οὖν αὐτοῦ λέγει, τοὺς ἀποστόλους, ὡς εὐδρόμους εἰς ἀρετὴν καὶ πειθηνίους καὶ τὸν ἐπιβάτην ἀναπαύοντας· ἐπέβη δὲ αὐτῶν διὰ τοῦ κηρύγματος, ὃ βαστάζοντες, ἔτρεχον.

8γ Καὶ ἡ ἱππασία σου σωτηρία.

Καὶ ἡ διὰ τούτων ἱππασία σου, σωτηρία τοῦ κόσμου γίνεται.

9α Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρα, λέγει Κύριος.

Λέγει τοῦτο ὁ Πατὴρ πρὸς τὸν Υἱὸν, οὗ τόξον, οἱ ἀπόστολοι πάλιν, δι᾽ ὧν κατετόξευσε τὴν πλάνην καὶ τὴν ἁμαρτίαν καὶ τὴν βασιλείαν τοῦ διαβόλου· σκῆπτρα γὰρ ταύτην ὀνομάζει. Καὶ διὰ Ζαχαρίου δέ φησι πρὸς τὸν Ἰουδαϊκὸν λαὸν, *Ἐνέτεινά σε, Ἰούδα, ἐμαυτῷ εἰς τόξον.* Zach 9.13

9β Ποταμῶν ῥαγήσεται γῆ.

Ποταμῶν γῆ, ἡ Ἱερουσαλὴμ, ὡς προφητῶν πατρὶς, δίκην ποταμῶν ἀρδόντων αὐτὴν τοῖς λογικοῖς νάμασιν ἑαυτῶν, ἥτις, φησὶ, μὴ παραδεξαμένη τὰ ζωήῤῥυτα τοῦ Χριστοῦ νάματα, ῥαγήσεται ὑπὸ ξηρασίας καὶ δίψους, μὴ ὄντος ἔτι προφήτου.

10α Ὄψονταί σε καὶ ὠδινήσουσι λαοί.

Ἢ οἱ λαοὶ τῶν Ἰουδαίων, οἵτινες ἰδόντες τὸν Χριστὸν, ὠδίνησαν φθόνον καὶ ἔτεκον φόνον, ἢ οἱ λαοὶ τῶν ἐξ ἐθνῶν πεπιστευκότων, οἵτινες ὠδίνησαν εὐσέβειαν Ps 7.15
καὶ ἐγέννησαν ἀρετάς.

10β Σκορπίζων ὕδατα πορείας.

Ἔσται δηλονότι. Ὕδατα δὲ πορείας τοῦ Χριστοῦ, τὰ διδασκαλικὰ καὶ πότιμα νάματα, ἃ πορευόμενος πανταχοῦ διένεμε τῷ λαῷ· *Περιῆγε, γάρ φησιν, ὁ Ἰησοῦς τὰς πόλεις καὶ κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν.* Mt 9.35

10γ Ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς. |

Ἄβυσσος, οἱ πιστεύσαντες, διὰ τὴν πολυπλήθειαν· ἄβυσσος γὰρ, ἡ πολυπλήθεια τῶν ὑδάτων. Τίς δὲ ἡ φωνή; ἡ ὁμολογία τῆς εἰς Χριστὸν πίστεως.

10δ Ὕψος φαντασίας αὐτῆς.

Καὶ οἱ ὑψηλοὶ, οἱ προὔχοντες τῆς φαντασιώδους δόξης αὐτῆς, καὶ αὐτοὶ ἔδωκαν φωνὴν, τουτέστιν, οἱ βασιλεῖς· πολλοὶ γὰρ καὶ τοιοῦτοι πεπιστεύκασιν.

11α Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς.

Ἐπήρθη ἐπὶ τὸν σταυρὸν ἢ ἐπὶ τὸν οὐρανὸν ὁ Χριστός, ὁ δίκην ἡλίου λάμπων τῇ καθαρότητι καὶ καταφωτίζων τὰς τῶν πιστευόντων ψυχάς· καὶ λοιπὸν ἡ ἐκκλησία, ἡ δίκην σελήνης φαίνουσα ἐν τῷ σκότει τοῦ παρόντος βίου καὶ τῇ νυκτὶ τῆς πλάνης, ἔστη ἐν τῇ τάξει αὐτῆς· μετὰ γὰρ τὸν σταυρὸν καὶ τὴν ἀνάληψιν ἡδράσθη ἐν τῇ τάξει τοῦ φαίνειν καὶ φωτίζειν τοὺς ὑπ᾽ αὐτήν.

11β Εἰς φῶς βολίδες σου πορεύσονται.

Βολίδες αὖθις, οἱ ἀπόστολοι, βάλλοντες τὴν πλάνην καὶ τοὺς δαίμονας· οὗτοι οὖν πορεύσονται εἰς τὸ φωτίζειν διὰ τοῦ κηρύγματος· ἢ εἰς τὸ φῶς, ἤγουν εἰς τὸ κήρυγμα, φῶς ὂν καὶ φωτίζον τοὺς ἐσκοτισμένους τῷ ζόφῳ τῆς ἁμαρτίας.

11γ Εἰς φέγγος ἀστραπῆς ὅπλων σου.

Ὅπλα μὲν τοῦ Χριστοῦ δεδομένα τοῖς ἀποστόλοις, ὁ θώραξ τῆς δικαιοσύνης, ἡ περικεφαλαία τοῦ σωτηρίου, ὁ θυρεὸς τῆς πίστεως, ἡ μάχαιρα τοῦ πνεύματος, καὶ τὰ λοιπὰ, ἅπερ ὁ ἀπόστολος Παῦλος ἀμφιεννύει τοὺς πιστούς· ἐπορεύθησαν Heb 6.13-17
οὖν οἱ ἀπόστολοι εἰς τὸ φαίνειν τὴν ἀστραπὴν τῶν τοιούτων ὅπλων καὶ φυγαδεύειν τοὺς πολεμίους.

12α Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν.

Ὀλιγώσεις εἰς ὄνομα τὴν ἄχρι τότε πολλὴν εἰς φήμην καὶ περιβόητον γῆν τῶν Ἱεροσολύμων. Ἠπείλησε γὰρ πρῶτον καὶ διὰ τῶν προφητῶν καὶ δι᾽ ἑαυτοῦ· *Ἐὰν γὰρ μὴ πιστεύσητε, φησὶν, ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε,* Jn 8.24
καὶ πολλὰ τοιαῦτα· εἶτα μὴ διορθωθεῖσαν, ἀπώλεσε.

12β Καὶ ἐν θυμῷ κατάξεις ἔθνη.

Καταβαλεῖς τοὺς Ἰουδαίους· ἔθνη δὲ αὐτοὺς προσηγόρευσεν, ὡς παρανόμους καὶ φονεῖς, τοιαῦτα γὰρ καὶ τὰ ἔθνη.

Νοηθεῖεν δ' ἂν ἔθνη, καὶ οἱ δαίμονες, ὡς πολέμιοι τοῦ νέου Ἰσραήλ.

13α Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου.

Ἐκ τοῦ Θεοῦ γὰρ, φησὶν, ἐξῆλθον καὶ ἥκω. Jn 8.42

13β Τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Χριστοὶ τοῦ Χριστοῦ, οἱ χρισθέντες τῷ τιμίῳ αὐτοῦ αἵματι καὶ τῷ ἁγίῳ Πνεύματι διὰ τοῦ βαπτίσματος, καὶ βασιλεύειν τῶν παθῶν καὶ τῶν δαιμόνων κελευσθέντες καὶ συμβασιλεύειν αὐτῷ ἐν τῇ βασιλείᾳ τοῦ Πατρός.

13γ Ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον.

Ἄνομοι μὲν, οἱ δαίμονες· κεφαλαὶ δὲ αὐτῶν, ἢ αὐτοὶ, ἀπὸ μέρους τὸ ὅλον, ἢ οἱ ἐξάρχοντες ἐν αὐτοῖς. Θάνατος δὲ τούτων, ἡ νέκρωσις τῆς τυραννικῆς δυνάμεως καὶ ἀνενεργησία καὶ κατάλυσις.

13δ Ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος.

Εἴλησας δεσμοὺς τοῦ εὐαγγελικοῦ ζυγοῦ εἰς τὸν τράχηλον τῶν | ἀποστόλων, ἢ διὰ τοῦ τραχήλου αὐτῶν. Τὸ δὲ, εἰς τέλος, ἀντὶ τοῦ, εἰς τὸ τελειῶσαι τὴν προειρημένην ἱππασίαν σου, ἢ ἕως τέλους.

14α Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν.

Διέκοψας τὰς ἀρχὰς τῶν δυναστευόντων δαιμόνων, ἤγουν ἐθανάτωσας αὐτὰς, ὡς προδεδήλωται, τὰς ἐν ἀποστασίᾳ τῆς σῆς κυριότητος· ἢ διέκοψας τῷ Ῥωμαϊκῷ ξίφει τὰς κεφαλὰς τῶν δυναστευόντων ἐν Ἰουδαίοις ἐν τῷ καιρῷ τῆς ἐκστάσεως, ὅτε ἀπέστησαν ἀπὸ Ῥωμαίων, ἢ ὅτε ἐξέστησαν τῶν ἰδίων φρενῶν, ἀναιροῦντες ἔτι καὶ τοὺς σοὺς μαθητάς. Διὰ δὲ τῶν δυνατῶν, καὶ τοὺς ἄλλους πάντας συμπεριέλαβε.

14β Σεισθήσονται ἐν αὐτοῖς.

Ταραχθήσονται πρότερον ἐν αὐτοῖς τοῖς δυνάσταις οἱ ἀπόστολοι, ἀγόμενοι καὶ διωκόμενοι καὶ μυρία πάσχοντες.

14γ Διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρᾳ.

14α[3] *αὐτάς* MPS[2] : *αὐτούς* COBF. 14α[3] *τὰς ἐν ἀποστασίᾳ* : PCOS[2]BF : *τοὺς ἐν ἀποστασίᾳ* M. 14α[4] *ἐν τῷ καιρῷ* MCOBF : *τῷ καιρῷ* P.

Διανοίξουσιν οἱ ἀπόστολοι τοὺς χαλινοὺς τῶν στομάτων αὐτῶν· λύσουσι τοὺς
χαλινοῦντας τὰ στόματα αὐτῶν φόβους τῶν Ἰουδαίων καὶ μὴ συγχωροῦντας
παῤῥησίᾳ κηρύττειν. Τοῦτο δὲ ἐποίησαν, ἐπιφοιτήσαντος τοῦ ἁγίου Πνεύματος,
ὅτε λαβόντες δύναμιν ἐξ ὕψους, ἐπορεύθησαν εἰς τὸ κήρυγμα. Διανοίξουσι δὲ Lk 24.49
οὕτω λάβρως, ὡς διανοίγει τὸν χαλινὸν τοῦ στόματος αὐτοῦ, λαβὼν παῤῥησίαν,
ὁ ἐσθίων λάθρᾳ πτωχός.

15 Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά.

Θάλασσα μὲν, τὰ πολλὰ πλήθη τῶν ἀνθρώπων — καὶ ἀνωτέρω γὰρ ἄβυσσον ταῦτα κέκληκεν — ἢ καὶ ὁ βίος τῶν ἀνθρώπων, διὰ τὸ ῥοῶδες καὶ ἄστατον τῶν ἐν αὐτῷ πραγμάτων, καὶ διὰ τὸ ἁλμυρὸν καὶ ἄποτον τῶν Ἑλληνικῶν δογμάτων καὶ τῆς ἄλλης κακοδοξίας, καὶ διὰ τὸ πικρὸν τῶν ἁμαρτημάτων· πικρὰ γὰρ αὐτῶν ἡ ἀνάδοσις.

Ἵπποι δὲ αὖθις, οἱ ἀπόστολοι, κατὰ τὴν ἀνωτέρω ἀποδοθεῖσαν ἐξήγησιν, οἵτινες, ἔποχον μὲν ἔχοντες τὸν Χριστὸν, ἐπιβιβασθέντες δὲ ἐπὶ τὴν εἰρημένην θάλασσαν, ἐτάραξαν καὶ συνέχεαν καὶ ἐθόλωσαν καὶ ἀνέτρεψαν ὕδατα πολλὰ τὰ τῆς κακοδοξίας, ἤτοι τὰς ἀσεβεῖς καὶ ἀθέους διδασκαλίας· ἢ ταράσσοντας, ἤτοι κινοῦντας ἐν τῷ βαπτίζειν· ὕδατα πολλά, τὰ πανταχοῦ πρὸς τὸ βαπτίζειν παρασκευαζόμενα.

16α Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου ἀπὸ φωνῆς προσευχῆς χειλέων μου.

Ἐφυλαξάμην, ἔνηψα, προσέσχον ἑαυτῷ· καὶ ἀπὸ φωνῆς προσευχῆς χειλέων μου, ἤγουν μετὰ τὸ προσεύξασθαι, ἐπτοήθη ἡ καρδία μου.

16β Καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου.

Ταῦτα πέπονθεν, ἐλλαμφθεὶς τὴν Χριστοκτονίαν τῶν Ἰουδαίων· ἐπτοήθη γὰρ καὶ ἔντρομος ἐγένετο, καὶ ἐταράχθη, μήποτε φθάσῃ τὰς ἡμέρας ἐκείνας ἐν αἷς αὕτη τολμηθήσεται· εἶτα πάλιν γνοὺς ὅτι οὐ φθάσει, παραμυθεῖται ἑαυτὸν, λέγων·

16γ Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου, | τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου.

Ἐν τῇ ἡμέρᾳ τῆς θλίψεώς μου ταύτης, ἀναπαύσομαι, ἀνεθεὶς τοῦ φόβου.

Τίνος δὲ χάριν ἀναψύξω; διὰ τὸ ἀναβῆναί με ὅσον οὔπω εἰς τὸν λαὸν τῆς παροικίας μου, ἤγουν μεταβῆναι διὰ θανάτου· λαὸν δὲ τῆς παροικίας αὐτοῦ λέγει, τοὺς τῆς αὐτῆς αὐτῷ παροικίας ἁγίους, τοὺς συμπατριώτας, τοὺς τετελευτηκότας.

15[11] πανταχοῦ MPS : πολλαχοῦ COF.

17α Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γενήματα ἐν ταῖς ἀμπέλοις.

Ἀναπαύσομαι, φησὶν, ἀποθνήσκων, διότι εἰς τὸ κατόπιν χωρήσουσιν Ἰουδαῖοι, καὶ ἐξολοθρευθήσονται τοῦτο τετολμηκότες· καὶ χαίρω μὴ ἀφικόμενος εἰς ἐκεῖνον τὸν καιρόν. Τοὺς αὐτοὺς δὲ προσαγορεύει καὶ συκῆν καὶ ἀμπέλους· συκῆν μὲν, ὡς ἡδυκάρπους ποτὲ, ἀμπέλους δὲ, ὡς οἶνον πάλαι διδασκαλίας φέροντας, εὐφραίνοντα καρδίαν.

17β Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν.

Τοὺς αὐτοὺς αὖθις λέγει, καὶ ἐλαίαν καὶ πεδία· ἐλαίαν μὲν, διὰ τό ποτε κατάκαρπον αὐτῶν ἐν ἀρεταῖς· πεδία δὲ, ὡς πάλαι σῖτον ἀγαθοεργίας βλαστάνοντας εἰς τὰς ἄνω συγκομιζόμενον ἀποθήκας. Προειπὼν δὲ τὴν ἀκαρπίαν αὐτῶν, προλέγει καὶ τὴν ἀπώλειαν καὶ τὴν καταστροφὴν αὐτῶν.

17γ Ἐξέλιπεν ἀπὸ βρώσεως πρόβατα.

Βρῶσιν ὀνομάζει νῦν, τὰς νομικὰς καὶ προφητικὰς βίβλους, ἃς ἀναγινώσκοντες, ἐτρέφοντο τὰς ψυχάς. Ἐξέλιπε, φησὶ, τά ποτε πρόβατα τοῦ Θεοῦ, μὴ παρόντα τῇ βρώσει συνήθως, ἀλλ᾽ ἀπολωλότα.

17δ Καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις.

Βόες δὲ πάλιν, οἱ αὐτοὶ, ὡς ἐργάται πάλαι τῆς ἀρετῆς, ὧν φάτναι, παραπλησίως τὰ βιβλία.

18 Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τῷ πρὸ τοῦ τοιούτου καιροῦ μετακαλουμένῳ με καὶ σῴζοντί με ἀπὸ τῆς εἰρημένης συμφορᾶς.

19α Κύριος ὁ Θεός μου, δύναμίς μου.

Δυναμῶν με εἰς ἀρετήν.

19β Καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν.

Καὶ στήσει τοὺς πόδας μου εἰς τέλος τῆς ζωῆς ταύτης.

19γ Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με.

Καὶ ἐπὶ τὸ ὕψος τῆς ἀρετῆς ἀνάγει με, ἢ ἐπὶ τὰ ὑψηλὰ θεωρήματα.

19δ Τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.

Ὥστε νικῆσαί με καὶ καταβαλεῖν τὴν κακίαν ἐν τῷ ᾄδειν αὐτῷ, ἤγουν ᾄδοντα καὶ ὑμνοῦντα αὐτόν.

V

Ὠιδὴ ε´
Προσευχὴ Ἡσαΐου τοῦ Προφήτου
ληφθεῖσα ἐκ τῆς βίβλου τῆς προφητείας αὐτοῦ Isa 26.9-10
καὶ περὶ τοῦ Χριστοῦ διαγορεύουσα.

9α Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ, ὁ Θεός.

Νύκτα μὲν ὀνομάζει, τὴν νομικὴν πολιτείαν, διὰ τὸ αἰνιγματῶδες τοῦ νόμου καὶ ἀσαφὲς καὶ σκοτεινόν. Λέγει δὲ, ὅτι, ὦ ὁ Θεὸς, ὦ Κύριε, ἐκ τῆς σκοτεινῆς ταύτης πολιτείας καὶ σκιώδους, ὀρθρίζει τὸ πνεῦμά μου, τουτέστιν, ἐγὼ, πρὸς σὲ τὸ νοητὸν φῶς, τὸν ἥλιον τῆς δικαιοσύνης· προλαμβάνω τὴν ἀνατολήν σου — Mal 3.20
τοῦτο γὰρ τὸ ὀρθρίζειν — πρὸ τῆς ἐνανθρωπήσεώς σου ταῦτα φθεγγόμενος | καὶ παρακαλῶν σε. Ἢ πνεῦμα αὐτοῦ νόει, τὸ διορατικὸν χάρισμα.

9β Διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Διότι αἱ εὐαγγελικαὶ ἐντολαί σου, φῶς εἰσιν ἐπὶ τῆς γῆς, καὶ λάμπουσαι διὰ τὸ καθαρὸν καὶ ἀνεπίληπτον καὶ σαφὲς, καὶ λαμπρύνουσαι καὶ ὁδηγοῦσαι τοὺς ἐν νυκτὶ τῆς ἀγνοίας καὶ ἁμαρτίας πρὸς ἀπαλλαγὴν αὐτῶν.

9γ Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Διακαιοσύνην, τὴν εὐαγγελικὴν, περὶ ἧς εἶπε καὶ ὁ Χριστὸς, *Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν*. Μάθετε, φησὶν, αὐτὸν ἔχοντες διδάσκαλον, τὸν Mt 5.20
ταύτην προστάττοντα.

10α Πέπαυται γὰρ ὁ ἀσεβής.

Ὁ ἄπιστος Ἰουδαῖος, ὁ μὴ σεβασθεὶς αὐτὸν λαὸς, πέπαυται, ἀφαιρεθεὶς τὴν ἄχρι τότε ἐξουσίαν καὶ δόξαν, καὶ Ῥωμαίοις παραδοθείς. Καὶ οὗτος δὲ ὡς ἤδη γεγενημένα λέγει τὰ μέλλοντα, νόμῳ προφητείας.

10β Οὐ μὴ μάθῃ δικαιοσύνην.

9β[4] τῆς ἀγνοίας PCOAS[2]BF : ἀγνοίας M.

Τὴν εὐαγγελικὴν, ὡς δεδήλωται, ἐθελοκωφῶν καὶ ἐθελοτυφλώττων, καὶ ἀποπεμπόμενος τὸν διδάσκαλον αὐτῆς.

10γ Ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσῃ.

Ἀληθῆ ἀρετὴν οὐκ ἐργάσεται· ὁποῖαί εἰσιν αἱ εὐαγγελικαί· αἱ νομικαὶ γὰρ, τυπικαὶ τῶν ἀληθινῶν καὶ σκιώδεις.

10δ Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου.

Ἀρθήτω εἰς ἀναίρεσιν καὶ δουλείαν· ἐξολοθρευθήτω ἀπὸ τῆς γῆς αὐτοῦ, ἵνα μὴ ἴδῃ τὴν δόξαν Χριστοῦ, τὴν παρὰ τῶν Χριστιανῶν ἐκεῖ προσαχθησομένην αὐτῷ. Δόξα δὲ αὐτοῦ, καὶ ἡ εὐαγγελικὴ πολιτεία τῶν ἐκεῖ λαμψάντων ἁγίων πατέρων, ὡς μαθητῶν αὐτοῦ καὶ μιμητῶν.

11α Κύριε, ὑψηλός σου ὁ βραχίων.

Βραχίων τοῦ Πατρὸς, ὁ Υἱὸς, ὡς δύναμις καὶ ὡς δημιουργός· *Πάντα γὰρ,* 1Cor 1.24
φησὶ, *δι᾽ αὐτοῦ ἐγένετο.* Jn 1.3

Ὑμνῶν δὲ αὐτὸν, ὑψηλὸν λέγει, ἢ διὰ τὸ μέγεθος τῆς θεότητος, ἢ διὰ τὸ ὕψος τῶν ἀρετῶν τῆς ἀνθρωπότητος αὐτοῦ· *Ὡραῖος γὰρ,* φησὶ, *κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων·* κάλλει δὲ, τῷ τῆς ψυχῆς δηλονότι. Ps 44.3α

11β Καὶ οὐκ ᾔδεισαν.

Οἱ Ἰουδαῖοι· ἅτε μὴ θέλοντες εἰδέναι τοῦτο διὰ πονηρίας ὑπερβολὴν καὶ μύοντες πρὸς τὸ φῶς.

11γ Γνόντες δὲ, αἰσχυνθήτωσαν.

Προστακτικὸν ἀντὶ μέλλοντος· γνόντες δὲ, φησὶν, αἰσχυνθήσονται.

Τοῦτο δὲ, ἢ γέγονεν ὅτε οἱ φυλάσσοντες τὸν τάφον στρατιῶται ἀνήγγειλαν τὰ
τοῦ ἀποκυλίσαντος τὸν λίθον ἀγγέλου, διὸ καὶ ἀργύρια ἱκανὰ τούτοις δεδώκασιν, Mt 28.12
ἵνα μὴ τοῦτο κηρύττωσιν· ἢ γενήσεται κατὰ τὴν παγκόσμιον ἀνάστασιν, ὅτε
ἐρχομένου ἐν τῇ δόξῃ τοῦ Πατρὸς, προπορεύσεται αὐτοῦ τὸ σημεῖον τοῦ σταυροῦ, Mk 8.38
λάμπον ὑπὲρ τὸν ἥλιον.

11δ Ζῆλος λήψεται λαὸν ἀπαίδευτον.

Ζῆλος, ὑπὲρ ἐκδικήσεως τοῦ Θεοῦ, ὡς αὐτοῖς ἐδόκει· ὠργίζοντο γὰρ, ὅτι
ἴσον ἑαυτὸν ἐποίει τῷ Θεῷ. Λαὸς δέ εἰσιν ἀπαίδευτος, μὴ παιδευόμενοι ἀπὸ τῶν Jn 5.18

Γραφῶν τὰ περὶ αὐτοῦ, μὴ δὲ μανθάνοντες τὰ προφητευθέντα εἰς αὐτόν· εἰ γὰρ καὶ ἀνεγίνωσκον, ἀλλ' οὐκ ἐπεγίνωσκον, ὑπὸ κακίας καὶ φθόνου.

11ε Καὶ νῦν | πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Τὸ, νῦν, ἐνταῦθα τὸ, ἀεὶ, δηλοῖ, ὅτι καὶ ἀεὶ πῦρ αὐτοὺς ἔδεται· ἢ πῦρ θυμοῦ κατὰ τοῦ Χριστοῦ καὶ τῶν Χριστιανῶν, ἕως ἂν ζῶσιν οἱ θεομισεῖς· ἢ πῦρ Γεέννης ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως. Ἢ τὸ, νῦν, ἀντὶ τοῦ, διὰ τοῦτο· καὶ γὰρ διὰ τὸ γνῶναι αὐτὸν, πῦρ αὐτοὺς καταφάγεται μεταμελείας ἀνονήτου καὶ θλίψεως αἰωνίου, μετὰ θάνατον δηλονότι.

12 Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Προσώπῳ τῶν πιστεῦσαι μελλόντων, προσεύχεται δοθῆναι αὐτοῖς τὸν Χριστὸν, εἰρηνεύσοντα καὶ καταλλάξοντα αὐτοὺς τῷ Πατρί· οὗτος γάρ ἐστι μεσίτης Θεοῦ 2Cor 5.18
καὶ ἀνθρώπων. 1Tim 2.5

Τοῦτον, φησὶ, δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας, ἤτοι δέδωκας ἡμῖν, νόμον, προφήτας καὶ τἄλλα, ὅσα φιλανθρώπως παρακαλοῦσι τοὺς ἁμαρτάνοντας εἰς ἐπιστροφήν· Τούτου δὲ μόνου χρεία. Ἢ καὶ ἄλλως, πάντα γὰρ δέδωκας ἡμῖν, εἰ Τοῦτον δώσεις, τὰ πάντα δυνάμενον.

13α Κύριε ὁ Θεὸς ἡμῶν, κτίσαι ἡμᾶς.

Εἰς καινὴν κτίσιν, διὰ τῆς ἀναπλάσεως καὶ ἀναγεννήσεως τοῦ βαπτίσματος, 2Cor 5.17
εἰς καινὸν ἄνθρωπον, ἀποξύσας τὴν παλαιότητα τῆς ἁμαρτίας, εἰς νέον λαόν. Eph 2.15

Ἢ κτῆσαι ἡμᾶς διὰ τοῦ Εὐαγγελίου, κτῆμα ἐξαίρετον, κληρονομίαν οἰκειοτάτην· Καὶ δώσω σοι γὰρ, φησὶν, ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Ps 2.8α-β

13β Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Ἄλλον θεὸν οὐκ οἴδαμεν· τοῦτο δὲ διὰ τοὺς ψευδωνύμους εἴρηται θεούς. Προσώπῳ δὲ τῶν ἤδη πιστευσάντων ὁ λόγος.

13γ Τὸ ὄνομά σου ὀνομάζομεν.

Ἐπικαλούμεθα, κηρύττομεν· οὐ μόνον τὸ θεῖον, ἀλλὰ καὶ τὸ ἀνθρώπινον.

14α Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν.

Οἱ τὰς ψυχὰς νεκρωθέντες εἰς πίστιν ὑπὸ τοῦ θανάτου τῆς ἀπιστίας, ζωὴν τὴν

μακαρίαν καὶ αἰώνιον οὐ μὴ ἴδωσιν.

14β Οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσουσιν.

Οὐδὲ οἱ παρ᾽ Ἕλλησι μὲν φιλόσοφοι καὶ θεολόγοι, παρ᾽ Ἑβραίοις δὲ γραμματεῖς καὶ διδάσκαλοι, οἱ δοκοῦντες εἶναι ἰατροὶ ψυχῶν, ἀναστήσουσιν αὐτοὺς εἰς τὴν εἰρημένην ζωήν.

14γ Διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.

Διὰ τὸ νεκρωθῆναι αὐτοὺς ἔτι ζῶντας, ὡς εἴρηται, ἐπήγαγες κινδύνους καὶ ἀπώλεσας αὐτοὺς διὰ Ῥωμαίων, καὶ ἦρας ἐκ μέσου πάντα δυνατὸν αὐτῶν.

Ἐπεὶ γὰρ ἐπικρατέστερον τὸ ἄρσεν τοῦ θήλεος, διὰ τοῦ ἄρσενος, τοὺς ὑπερέχοντας ἐν δυνάμει λόγου καὶ ῥώμῃ σώματος καὶ ἰσχύϊ πλούτου καὶ δόξης ὑπεδήλωσεν· εἰ δὲ τούτους ἐξολοθρεύσει, πολλῷ μᾶλλον, τοὺς ἄλλους.

Ἢ καὶ ἄλλως, πάντας τοὺς ἄῤῥενας ἁπλῶς νοητέον, ὡς τῶν θηλειῶν εἰς δουλείαν ἀνδραποδισθεισῶν.

15α Πρόσθες αὐτοῖς κακά, Κύριε.

Τοῖς Χριστοκτόνοις· κακὰ δὲ λέγει, τὰς κακωτικὰς τιμωρίας· ἐμίσησε γὰρ αὐτοὺς διὰ τὴν τηλικαύτην λύσσαν αὐτῶν.

15β Πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. |

Τοῖς ἁπανταχῇ δυνάσταις· ἵνα οὕτω συστελλόμενοι, μετριώτεροι τοῖς ὑποδεεστέροις καὶ σωφρονέστεροι γένωνται.

16α Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου.

Καὶ γὰρ καὶ ἡμεῖς, ὅτε θλιβόμεθα κακούμενοι, τότε συστελλόμενοι, μιμνησκόμεθά σου.

16β Κύριε, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.

Καὶ οὐ μόνον ἐν θλίψει μεγάλῃ, ἀλλὰ καὶ ἐν μικρᾷ, ἡ παιδεία ἡ σὴ ἡμῖν γίνεται. Καὶ οὐ μόνον διὰ τῶν μεγάλων, ἀλλὰ καὶ διὰ τῶν μικρῶν παιδεύεις ἡμᾶς, ὡς διψῶν τὴν διόρθωσιν ἡμῶν.

14β[1] ἀναστήσουσιν MCOS : ἀναστήσωσιν [TRa].
14β Add. [M in marg.]COF: Ἢ καὶ οὕτως· τὸν Χριστὸν οὐ μὴ ἴδωσιν ἐν τῇ ἀναστάσει· Ἐγὼ γάρ, φησίν, εἰμὶ ἡ ἀλήθεια καὶ ἡ ζωή [Jn 14.6]. Οὐδὲ τὰ εἴδωλα, ἃ ζῶντες εἶχον ἰατρούς, ἀναστήσουσιν αὐτοὺς ἀπὸ τοῦ βόθρου τῆς κολάσεως. : om. SAB.
14γ[2] νεκρωθῆναι AOBF : νεκρωθέντας M. 14γ[6] ἐξολοθρεύσει CAF : ἐξολοθρεύσῃς MS.

17 Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου.

Τοῦτο λέγει νῦν Ἡσαΐας περί τε ἑαυτοῦ καὶ τῶν ἄλλων προφητῶν, ὅτι καθάπερ ἡ ὠδίνουσα γυνὴ ἐγγίζει εἰς τὸ τεκεῖν καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, ὀδύναις καὶ πόνοις κατατεινομένη, οὕτω καὶ ἡμεῖς ἐγενόμεθα τῷ ἀγαπητῷ σου Υἱῷ· ἐγγίζοντες γὰρ τῷ καιρῷ τοῦ τεχθῆναι αὐτὸν ἐκ τῆς Παρθένου, καὶ ὀδυνώμενοι ἐπὶ τῇ ἀπωλείᾳ τῶν πεπλανημένων, κράζομεν πρὸς αὐτὸν, ἐπικαλούμενοι τοῦτον βοηθόν.

18α Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν.

Διὰ τὸ φοβεῖσθαι καὶ εὐαρεστεῖν σοι, ἐν γαστρὶ τῆς ψυχῆς συνελάβομεν σπέρματα προφητείας, ἤγουν ἐν νοΐ, ἐν ᾧ θησαυρίζονται αἱ θεωρίαι.

18β Καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν.

Καὶ ἐκυοφορήσαμεν, εἶτα ἐγεννήσαμεν αὐτὰ διὰ γλώσσης.

18γ Πνεῦμα σωτηρίας σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς.

Τὸ χάρισμα τῆς προφητείας σου — ταύτην γὰρ καλεῖ σωτηρίαν, ὡς σῴζουσαν — ἐποιήσαμεν ἐπὶ τῆς γῆς, ἤγουν κατεστήσαμεν ἐν τοῖς ἀνθρώποις διὰ τῶν συγγραμμάτων ἡμῶν· χάρισμα δὲ προφητείας νόει μοι, τὸ δοθὲν αὐτοῖς.

18δ Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Οὗτος ὁ λόγος, προσώπῳ τῶν μαρτύρων εἴρηται, ὅτι οὐχ ἡττησόμεθα, ἀλλ' ἡττηθήσονται οἱ τύραννοι, οἱ ἡμᾶς μὲν θανατοῦντες, αὐτοὶ δὲ ὑπολιμπανόμενοι ἐν τῇ γῇ.

19α ᾿Αναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις.

Τοῦτο προηγουμένως μὲν τὴν παγκόσμιον ἀνάστασιν προμηνύει· αἰνίττεται δὲ καὶ τὴν τῶν πιστῶν ἀνακαίνισιν, οἵτινες, νεκροὶ ὄντες ὅσον ἐπὶ τῇ ἀναισθησίᾳ καὶ ἀνενεργησίᾳ τῆς ψυχῆς, τάτε πρὸς ἀρετὴν ἀνέστησαν διὰ τοῦ κηρύγματος, καὶ ἀνεγεννήθησαν διὰ τοῦ βαπτίσματος, καὶ ἐν τοῖς σκοτεινοῖς καὶ βδελυροῖς δόγμασι τῆς πλάνης ὡς ἐν μνημείοις τισὶ κείμενοι, ἠγέρθησαν εἰς φωτεινὰ καὶ τίμια τῆς εὐσεβείας διδάγματα.

19β Καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ.

Εὐφρανθήσονται οἱ ἐν τῇ γῇ πιστοὶ, ὅτι ἀπηλλάγησαν τῆς τυραννίδος τοῦ διαβόλου· ἢ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ ὄντες, ὅτι ἐν τῷ οὐρανῷ ἤδη γεγόνασιν.

19γ Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστι.

Δρόσον λέγει, τὸ Εὐαγγέλιον, ἰώμενον τοὺς φλεγομένους ὑπὸ τῆς ἁμαρτίας, ἢ καὶ τρόπον ἕτερον, ἠρέμα ταῖς ψυχικαῖς | ἀρούραις εἰσχεόμενον, καὶ ἄρδον τὰ ἔμφυτα σπέρματα τῆς ἀρετῆς, καὶ καρποφορεῖν ταύτας παρασκευάζον.

19δ Ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.

Ἡ δὲ ψυχικὴ γῆ τῶν ἀπίστων πεσεῖται εἰς ἀχρηστίαν, εἰς ἀπώλειαν, εἰς τιμωρίαν, ὡς ἀνίατος, ὡς ἄνυδρος, ὡς ἄκαρπος.

20α Βάδιζε, ὁ λαός μου.

Ταῦτα πρὸς τὸν νέον λαὸν, προσώπῳ τοῦ Σωτῆρος, κελεύοντος βαδίζειν τὴν ὁδὸν τοῦ Εὐαγγελίου.

20β Εἴσελθε εἰς τὸ ταμιεῖόν σου. [Ἀπόκλεισον τὴν θύραν σου.]

Ταμιεῖον δὲ λέγει, τὸν ἑκάστου τάφον, ἤτοι τὴν γῆν, εἰς ἣν ἐξ ἀρχῆς Ἀδὰμ ἀπελθεῖν ἐκελεύσθη παγγενῆ. Gen 3.19

20γ Ἀποκρύβηθι μικρὸν ὅσον ὅσον.

Μικρὸν, ὀλίγον.

20δ Ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου.

Ὀργὴν δηλοῖ, τὴν ἐν τῇ συντελείᾳ τοῦ κόσμου κατὰ τῶν ἀσεβῶν καὶ ἁμαρτωλῶν· μετὰ γὰρ τὴν κατ᾽ αὐτῶν ἀπόφασιν, παραλήψεται τοὺς δικαίους ὁ Κύριος εἰς τὴν βασιλείαν αὐτοῦ, καθὼς ἀπὸ τοῦ Εὐαγγελίου μεμαθήκαμεν. Mt 25.31-46

VI

Ὠιδὴ ϛʹ
Προσευχὴ Ἰωνᾶ τοῦ Προφήτου
ἐκ τῆς βίβλου αὐτοῦ. Jon 2.3-10

Προσηύξατο δὲ ταύτην ἐν τῇ κοιλίᾳ τοῦ κήτους ὢν ἔτι.

3α Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου.

20β[1] Ἀπόκλεισον τὴν θύραν σου [Ra] : om. MSCBF.

Θλῖψιν λέγει, τὴν ἐκ τοῦ καταποθῆναι, τὴν ἐν τοῖς ἐγκάτοις τοῦ κήτους περισχοῦσαν αὐτόν.

3β Καὶ εἰσήκουσέ μου.

Ἔγνω γὰρ εὐθὺς ὅτι εἰσηκούσθη.

3γ Ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου.

Ἤκουσας κραυγῆς μου, τῆς ἐκ κοιλίας τοῦ κήτους· τοῦτο γὰρ ᾅδην ὀνομάζει, διὰ τὸ καταπιεῖν καὶ κατέχειν ζῶντα. Τῇ μὲν γὰρ φύσει τῶν γεγενημένων, νεκρὸς ἦν· ἔζη δὲ μόνῃ τῇ θείᾳ χάριτι. Ἤκουσας, φησὶ, ταχέως κραυγῆς μου, ἤγουν φωνῆς μου κράζοντος πρὸς σὲ, φωνοῦντος ἐκ πόθου.

4α Ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης.

Ἀποῤῥιφθῆναι παρεσκεύασας, ἐπεγείρας ζάλην τοῖς ἐμοὶ συμπλέουσι, καὶ κίνδυνον περιστήσας, ἕως ἂν με κληρωθέντα ἐνέβαλον εἰς τὴν θάλασσαν, ὡς ἡ ἱστορία διδάσκει. Jon 1.7, 15

4β Καὶ ποταμοὶ ἐκύκλωσάν με.

Οἱ εἰσβάλλοντες εἰς τὴν θάλασσαν, ἢ τὰ ῥεύματα τῆς θαλάσσης.

4γ Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ᾽ ἐμὲ διῆλθον.

Μετεωρισμοὺς δὲ προσαγορεύει, τὰς ἐπαναστάσεις καὶ τὰ οἰδήματα τῶν ὑδάτων.

5α Κἀγὼ εἶπον, Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου.

Ὅτε κατεπόθην, εἶπον ὅτι ἐξεβλήθην τῆς ἐπισκοπῆς σου· ἐγυμνώθην τῆς προνοίας σου.

5β Ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν ἅγιόν σου;

Ἐλογισάμην καὶ τοῦτο· ἆρα προσθήκην ποιήσω τοῦ ἰδεῖν τὸν ἅγιόν σου ναόν; ἆρα ἔτι ὄψομαι τὸν θεῖον ναὸν, ἤτοι τὸν ἐν Ἱεροσολύμοις;

6α Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου.

Τὸ μὲν γὰρ κῆτος, ἐν τῇ θαλάσσῃ, αὐτὸς δὲ, ἐν τοῖς ἐγκάτοις τοῦ κήτους· ἔνυδρα δὲ καὶ ἄλλως ταῦτα.

Τὸ δὲ, ἕως ψυχῆς μου, μονονουχὶ λέγοντος, ὅτι οὐ τὸ σῶμα μόνον, ἀλλὰ | καὶ ἡ ψυχή μου ἐν ὕδασιν, ἕως αὐτῆς φθάνουσι καὶ ἁπτομένοις αὐτῆς.

6β Ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη.

Βαθυτάτη· ἐν τοῖς βαθυτάτοις γὰρ πελάγεσι διαιτῶνται τὰ κήτη.

6γ Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων.

Ὄρη λέγει, τὰς ἐν τοῖς ἀπλώτοις πελάγεσι νήσους· ἢ καὶ τὰ ἐν ταύταις ὄρη· ἢ καὶ τὰ παρακείμενα τοῖς τοιούτοις πελάγεσιν ὄρη, μέχρι τῆς ἀβύσσου κατὰ βάθος φθάνοντα καὶ σχισμὰς ὑπὸ θάλασσαν ἔχοντα, αἷς εἰώθασι τὰ κήτη παρανηχόμενα πολλάκις εἰσδύεσθαι. Εἰσδυομένου τοίνυν τοῦ κήτους, εἰσεδύετο καὶ αὐτός· ἔδυ, φησὶν, ἡ κεφαλή μου, τουτέστιν, ἐγὼ, ἀπὸ μέρους τὸ ὅλον.

7α Κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.

Ἐνίοτε γὰρ τὸ κῆτος, εἰς τὸν πυθμένα τῆς ἀβύσσου καταβαῖνον, ἀνεπαύετο· κατέβην, φησὶ, διὰ τοῦ κήτους εἰς γῆν, ἧς αἱ πύλαι κατέχουσιν αἰωνίως, ἃς οὐκ ἐκφεύγει τις, ὁ μέχρις ἐκείνων ἀφικόμενος· μοχλοὺς γὰρ, τὰς πύλας καὶ τὰ κλεῖθρα καλεῖ, ἤτοι τὴν κατάσχεσιν.

7β Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σὲ, Κύριε ὁ Θεός μου.

Ἐκ φθορᾶς μὲν, τῆς ἀπὸ τοῦ κήτους, ᾗ περιεστοίχισται· πρὸς σὲ δὲ, ἤτοι πρὸς τὸν σὸν ναὸν, ἐν ᾧ κατοικεῖς.

8α Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ Κυρίου ἐμνήσθην.

Οὐδὲ προσεγγίσας τῷ θανάτῳ τῆς τοῦ Θεοῦ μνήμης ἀπέστην· ἢ καὶ ἑτέρως, ἐμνήσθην τοῦ Κυρίου πρὸς ἀντίληψιν καὶ βοήθειαν.

8β Καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν ἅγιόν σου.

Ἡ προσευχή μου, ἡ περὶ τοῦ ἀναβῆναι τὴν ζωήν μου πρὸς σέ. Ἔλθοι, φησὶν, αὕτη πρὸς σέ· φθασάτω πρὸς σὲ, ἤγουν πρὸς τὸν ναόν σου τὸν ἅγιον, ἐν ᾧ κατοικεῖς, ὡς εἴρηται· ἔλθοι πρὸς σὲ ἡ προσευχή μου, κατὰ τὸν ναὸν τὸν ἅγιόν σου· ἀναπεμφθείη πάλιν ἡ προσευχή μου καθὼς τὸ πρότερον ἀπὸ τοῦ ναοῦ σου πρὸς σέ· εἰώθει γὰρ ἐν τῷ ναῷ προσεύχεσθαι.

9 Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτῶν ἐγκατέλιπον.

Οἱ φυλάσσοντες καὶ τιμῶντες τὰ μάταια καὶ ψευδῆ εἴδωλα, κλήρῳ πεισθέντες, τὸν ἔλεον αὐτῶν, ὃν ἠλέουν με ἄχρι τινὸς, ὕστερον κατέλιπον, καὶ ἀφειδῶς ἔῤῥιψάν με εἰς τὴν θάλασσαν.

Εἴη δὲ ἂν τὸ ῥητὸν τοῦτο καὶ προφητεία περὶ τῶν στρατιωτῶν, οἳ φύλακες τοῦ δεσποτικοῦ τάφου κατέστησαν. Τύπος γὰρ γενόμενος ὁ Ἰωνᾶς τῆς τριημέρου ταφῆς τοῦ Σωτῆρος, εἰκότως περὶ αὐτῆς προεφήτευσε λέγων, οἱ φυλάσσοντες μάτην καὶ ψευδῶς τὸ σῶμα τοῦ Χριστοῦ — λαθὼν γὰρ αὐτοὺς, ἀνέστη — ἐγκατέλιπον τὴν σωτηρίαν αὐτῶν, ἤτοι τὴν ἀλήθειαν δι᾽ ἣν ἔμελλον ἐλεηθῆναι καὶ σωθῆναι. Καὶ δωροδοκηθέντες, εἵλοντο τὸ ψεῦδος, εἰπόντες ὅτι *Οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων.* Mt 28.11-13

10α Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι.

Ἐν φωνῇ αἰνέσεως καὶ εὐχαριστίας· προφητεύει γὰρ τὴν ἐκ τοῦ κήτους ἀπαλλαγήν.

10β Ὅσα | ηὐξάμην ἀποδώσω σοι, ἡ σωτηρία μου, τῷ Κυρίῳ.

Ὦ ἡ σωτηρία μου, ὅσα ὑπεσχόμην, ἀποδώσω σοι τῷ Κυρίῳ, οἷον, τὴν μετὰ φωνῆς αἰνέσεως καὶ εὐχαριστίας θυσίαν, καὶ εἴ τι ἕτερον ηὔξατο χαριστήριον ὑπὲρ τῆς σωτηρίας αὐτοῦ.

Τινὰ δὲ τῶν ἀντιγράφων, εἰς σωτηρίαν μου γράφουσι, τουτέστιν, ὑπὲρ σωτηρίας μου.

VII

Ὠιδὴ ζ′
Προσευχὴ Ἀζαρίου
ἐκ τῆς βίβλου Δανιὴλ τοῦ Προφήτου. Dan 3.26-56

26 Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

Εὐλογητὸς εἶ, τουτέστιν, εὐφημητὸς, ὑμνητός· οὐ μόνον ὅτε θαυματουργεῖς ὡς καὶ νῦν, ἀλλ᾽ ἀεὶ, ἐφ᾽ οἷς τε κολάζεις ἁμαρτάνοντας, καὶ ἐφ᾽ οἷς εὐεργετεῖς ἐπιστρέφοντας· πάντα γὰρ σὺν λόγῳ καὶ πρὸς σωτηρίαν τῶν ἀνθρώπων ποιεῖς.

27α Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Δίκαιος, ὡς δικαίως ταῦτα ἡμῖν ἐπαγαγὼν διὰ τὰς ἁμαρτίας ἡμῶν.

9³ κατέλιπον MSB : ἐγκατέλιπον COF.

27β Καὶ πάντα τὰ ἔργα σου ἀληθινά.

Δίκαια· ἀλήθειαν γὰρ πολλάκις οἱ Ἑβραῖοι καὶ τὸ δίκαιον ὀνομάζουσι.

27γ Καὶ εὐθεῖαι αἱ ὁδοί σου.

Καὶ ὀρθαὶ αἱ πράξεις σου.

27δ Καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς.

Αἱ ἀποφάσεις σου· ἢ καθάπερ ὁδοὺς, οὕτω καὶ κρίσεις, τὰς πράξεις πάλιν ἐκάλεσεν, ὡς ἐν κρίσει καὶ δικαιοσύνῃ γεγενημένας.

28α Καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἰερουσαλήμ.

Ἀπὸ τῶν καθολικωτέρων, ἐπὶ τὸ μερικώτερον κατήντησε· κρίματα, φησὶν, ἀληθείας, κρίσεις ἀληθινὰς, ἀποφάσεις δικαίας ἐποίησας ἐν πᾶσιν οἷς ἐπήγαγες ἡμῖν τε τοῖς αἰχμαλωτισθεῖσιν ὑπὸ Βαβυλωνίων καὶ τῇ πόλει Ἰερουσαλήμ· ἁγίαν τε ταύτην εἶπε καὶ τῶν πατέρων, κάμπτων οὕτως εἰς ἔλεον αὐτῆς τὸν εὔσπλαγχνον Κύριον.

28β Ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ᾽ ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν.

Ἐν δικαιοσύνῃ καὶ ἐν λόγῳ, τουτέστι, δικαίως καὶ εὐλόγως· τὰ αὐτὰ δὲ στρέφει πολλάκις, ἅμα μὲν εὐγνωμονῶν ἐν τῷ ἀληθεύειν, ἅμα δὲ καὶ τὸν Θεὸν εἰς οἰκτιρμοὺς ἐπισπώμενος ἐν τῷ καταδικάζειν ἑαυτὸν καὶ συγγνώμης πάσης ἀποστερεῖν.

29α Ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ.

Ἀποστάντες ἀπὸ σοῦ· ἢ τῷ ἀποστῆναι ἀπὸ σοῦ, διὰ τοῦ παρανομεῖν τε καὶ ἀσεβεῖν.

29β Καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν.

Ἐν πᾶσι πράγμασι.

30 Οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.

Οὐδὲ συνετηρήσαμεν τὰς ἐντολάς σου.

31- Καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει
32α ἐποίησας· καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν.

Οὐχ ἁπλῶς ἐχθρῶν, | ἀλλ᾽ ἐχθίστων, ἐχθροτάτων· ἐπίτασις δὲ τοῦτο τῆς ἔχθρας· ἐχθρῶν δὲ καὶ ἐχθίστων, καὶ ἡμῖν καὶ σοί.

32β Καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.

Παρὰ πάντας τοὺς γηγενεῖς· λέγει δὲ τὸν Ναβουχοδονόσορ.

33α Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα.

Οὐκ ἔχομεν λόγον πρὸς τοὺς ὀνειδίζοντας.

33β Αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε.

Τοῖς πατράσιν ἡμῶν.

34α Μὴ δὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου.

Εἰς συντέλειαν, εἰς ἀφανισμόν. Διὰ τὸ ὄνομά σου, ὃ μόνοι τῶν ἄλλων ἐθνῶν γνωρίζοντες ὀνομάζομεν· ἢ ἵνα μὴ ὀνειδίζηται παρὰ τῶν ἐχθρῶν, ὡς μὴ δυναμένου σου ῥύσασθαι τὸν λαόν σου.

34β Καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου.

Μὴ ἀναστρέψῃς, μὴ ἀθετήσῃς, ἃ διέθου τοῖς πατριάρχαις ἡμῶν.

35-36 Καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ᾽ ἡμῶν, διὰ ᾿Αβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ ᾿Ισαὰκ τὸν δοῦλόν σου, καὶ ᾿Ισραὴλ τὸν ἅγιόν σου, οἷς ἐλάλησας πρὸς αὐτοὺς, λέγων πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

Προσώπῳ τῶν τριῶν, ὁ ᾿Αζαρίας ταῦτα φησίν· ὁμολογοῦντες δὲ ἑαυτοὺς ἀναξίους ἐλέους, ἐπὶ τὴν τῶν προγόνων εὐσέβειαν καὶ πρὸς Θεὸν οἰκείωσιν καταφεύγουσι καὶ ταύτην εἰς ἱκεσίαν προβάλλονται.

37 Ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν.

Κινδυνεύει διαπεσεῖν ἡ ῥηθεῖσα ἐπαγγελία σου· ταπεινοὺς δὲ λέγει, τοὺς ἀσθενεῖς.

Ὅρα δὲ πῶς ἁμαρτωλοὺς ἑαυτοὺς καλοῦσι καὶ παρανόμους, καίτοι θεοσεβεῖς ὄντες καὶ πάσαις ἀρεταῖς λάμποντες· διὰ γὰρ πολλὴν μετριοφροσύνην καὶ φιλαδελφίαν οἰκειοῦνται τὰ τῶν ὁμοεθνῶν.

38α *Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος.*

Ἡγούμενον ἐνταῦθα ὀνομάζει, τὸν μετὰ τὸν βασιλέα, τῶν κοινῶν πραγμάτων ἐπιμελούμενον· καὶ μὴν ἦσαν παρ᾿ αὐτοῖς καὶ τότε προφῆται, Ἰεζεκιὴλ καὶ Δανιήλ, ἀλλὰ συναιχμάλωτοι καὶ μὴ δυνάμενοι τὰ συνήθη δρᾶν.

38β *Οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος.*

Ἐκώλυεν αὐτοὺς ὁ νόμος ἐν ἑτέρῳ τόπῳ καὶ ναῷ παρὰ τὸν ἐν Ἰερουσαλὴμ τὰ εἰρημένα ἐπιτελεῖν. Dt 12.5

39α *Ἀλλ᾿ ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν, ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων.*

Ἀλλὰ τὰ ἀπηριθμημένα μὴ ἔχοντες προσφέρειν εἰς λατρείαν καὶ εὕρεσιν ἐλέους, ἐν οἷς ἔχομεν προσδεχθείημεν αὐτοί σοι θυσία, ἤγουν ἐν ψυχῇ συντετριμμένῃ· τὸ αὐτὸ δέ ἐστι καὶ πνεύματι ταπεινώσεως, | ἤτοι τεταπεινωμένῳ. Καὶ οὕτως ἐν τούτοις προσδεχθείημεν, ὡς ἡ θυσία ἡ ἐν ὁλοκαυτώμασιν κριῶν καὶ ταύρων· *Θυσία, γάρ φησι, τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.* Ps 50.19

39β-40α *Καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον.*

Ἡ διὰ τῆς ὁλοκαυτώσεως ἑαυτῶν.

40β *Καὶ ἐκτελέσθω ὄπισθέν σου.*

Τουτέστι, μετὰ τὸ παρελθεῖν σε ἡμᾶς, μετὰ τὸ ἀποστραφῆναι· καὶ τελεσθήτω μετὰ τὴν ὀργήν σου.

40γ *Ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.*

Οὐκ ἔστιν αἰσχύνη τὸ θυσιασθῆναί σοι.

40β[1] ἐκτελέσθω MSCBF : ἐκτελείσθω [T] : ἐκτελέσαι [Ra].

41α Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου.

Ἐξακολουθοῦμέν σοι, μὴ προσκυνοῦντες θεὸν ἕτερον· καὶ φοβούμεθά σε ἢ τὸν βασιλέα Βαβυλωνίων καὶ τὴν κάμινον· καὶ ζητοῦμέν σε, διὰ τοῦ σπεύδειν ἀναλῦσαι πρὸς σέ. Php 1.23

41β Μὴ καταισχύνῃς ἡμᾶς.

Παρακούσας ἡμῶν.

42α Ἀλλὰ ποίησον μεθ᾽ ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου.

Κατὰ τὴν ἀνεξικακίαν καὶ φιλανθρωπίαν σου.

42β Καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

Καὶ ὡς πολυέλεος.

43α Καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου.

Καθὼς εἴωθας θαυματουργεῖν, κατὰ τὰ ἐπὶ τῶν προγόνων ἡμῶν τεράστια.

43β Καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.

Δόξασον τὸ ὄνομά σου καὶ παρὰ Βαβυλωνίοις ἐν τῷ ἐξελέσθαι ἡμᾶς τῆς καμίνου ταύτης.

44α Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας.

Καὶ διὰ πάσης δυναστείας αὐτῶν, ὑφ᾽ ἧς ἐπήρθησαν εἰς θεομαχίαν, ἵνα σωφρονέστεροι γένωνται.

44β Καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη.

Ὑφ᾽ ἧς διαφθείρουσι τόν τε σὸν λαὸν καὶ τοὺς ἄλλους ἀνθρώπους.

45α Καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος ὁ Θεός.

Ὁ Θεὸς ὄντως.

45β Μόνος καὶ ἔνδοξος ἐφ᾽ ὅλην τὴν οἰκουμένην.

Μόνος Θεὸς δηλονότι· γνώτωσαν δὲ τοῦτο διὰ τοῦ καθ᾽ ἡμᾶς ὡς εἴρηται θαύματος.

46-48 Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως, καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν καὶ στυπεῖον καὶ κληματίδα· καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα· καὶ διώδευσε, καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων.

Χυθείσης τῆς φλογὸς κατὰ γῆς ἐν τῷ καταφλέξαι τοὺς εὑρεθέντας τῶν Χαλδαίων, τὰ σημεῖα ταύτης ἐντυπωθέντα τῇ γῇ καθ᾽ ἧς ἐχύθη, εἰς τοσούτους πήχεις συνεμετρήθησαν.

49-50α Ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον.

Ποῖος ἄγγελος; ἢ ὁ φύλαξ τῶν Ἰουδαίων, Μιχαὴλ, ἢ ἕτερος θεόθεν ἀποσταλείς.|

50β-51 Καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς. Τότε οἱ τρεῖς, ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν καὶ ἐδόξαζον τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες·

Τὸ, *καθόλου*, ἀντὶ τοῦ, ὅλως.

52 Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου, τὸ ἅγιον καὶ ὑπεραίνετον.

Εὐφημητὸς εἶ καὶ ὑπὲρ εὐφημίαν· τίς γὰρ ἀξίως εὐφημῆσαι σε δύναται; Ὄνομα δὲ δόξης Κυρίου, τὸ, *Θεός*, ὥσπερ καὶ τὸ, *βασιλεύς*, ὄνομα δόξης ἐστίν. Οὗ δὲ τὸ ὄνομα τῆς δόξης ὑπεραίνετον, τί ἄν τις εἴποι περὶ τῆς τούτου φύσεως.

53 Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου.

Ναὸς δόξης Θεοῦ, ὁ ἐν Ἱεροσολύμοις· εὐλογεῖσθαι ἐν αὐτῷ ἄξιος εἶ.

55α Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους.

Ὁ βλέπων τὰ ἀθέατα.

46[2] *νάφθαν... πίσσαν... στυπεῖον... κληματίδα* M[A corr.][Ra] : *νάφθη... πίσση... στυππείῳ... κληματίδι* CABF.

55β Καθήμενος ἐπὶ Χερουβίμ.

Τοῦτο, δαυϊτικὸν, περὶ οὗ ζήτησον ἐν τῷ οθʹ ψαλμῷ, ἔνθα τὸ, Ὁ *καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἐμφάνηθι.* Ps 79.2γ

54 Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου.

Θρόνος δόξης βασιλείας Θεοῦ, ὁ οὐρανὸς, κατὰ τὸ, Ὁ *οὐρανός μοι θρόνος.* Isa 66.1

56 Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ.

Τοῦτο, περὶ τοῦ ἑτέρου οὐρανοῦ, τοῦ δευτέρου.

Εἰπόντες τοίνυν ὅτι εὐλογημένος εἶ ἐν τῷδε καὶ τῷδε, διὰ τῶν ἀπηριθμημένων ὡς μειζόνων, καὶ τ᾽ ἄλλα πάντα συμπεριέλαβον, λέγοντος ἐπιτομώτερον ὅτι εὐλογητὸς εἶ πανταχοῦ.

VIII

Ὠιδὴ ηʹ
Ὠιδὴ τῶν ἁγίων Τριῶν Παίδων. Dan 3.57-88

Ζήτησον τὴν ὅλην ἐξήγησιν τοῦ ρμηʹ ψαλμοῦ· κατὰ μίμησιν γὰρ ἐκείνου τοῦ ψαλμοῦ καὶ οὗτος ὁ ὕμνος ἐξετέθη.

57 Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Πάντα τὰ κτίσματα καλοῦσιν εἰς εὐφημίαν τοῦ κτίσαντος· εἶτα διαιροῦσιν αὐτὰ, καὶ ἀνὰ μέρος εὐλογεῖν κελεύουσιν.

58-61 Εὐλογεῖτε, ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου, τὸν Κύριον· εὐλογεῖτε, ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ δυνάμεις Κυρίου, τὸν Κύριον.

Ἐν τῷ δηλωθέντι ψαλμῷ περὶ τούτων εὑρήσεις. Ps 148.2, 4

62-63 Εὐλογεῖτε, ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον.

Καὶ περὶ τούτων. Ps 148.3

64-65 Εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον.

Ἐκεῖ δὲ γέγραπται, *Χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος.* Ps 148.8

66-67 Εὐλογεῖτε, πῦρ καὶ καῦμα, ψῦχος καὶ καύσων, τὸν Κύριον.

Καύσων, ὁ ἀπὸ τῆς ὑπερβολῆς τοῦ ψύχους ἐπιγινόμενος· ἢ καύσων, τὸ ἐπιτεταμένον καῦμα. Οὐ κέχρηνται γὰρ τάξει περὶ τὰ κτίσματα.

Πῶς δὲ τὰ ἄλογα καὶ τὰ ἄψυχα δοξολογοῦσιν εἴρηται ἐν τῷ δηλωθέντι
ψαλμῷ, ναὶ μὴν, καὶ διατί οὐ τὰ τερπνότερα καὶ χρησιμώτερα καὶ ὠφελιμώτερα, Ps 148.3
ἀλλὰ καὶ τὰ λυπηρότερα καὶ τὰ δοκοῦντα | ἀχρηστότερα καὶ βλαβερώτερα, εἰς Ps 148.9-10
δοξολογίαν παραλαμβάνονται, καὶ περὶ πάντων ἁπλῶς.

68-69 Εὐλογεῖτε, δρόσοι καὶ νιφετοὶ, πάγοι καὶ ψῦχος.

Τὰ ῥηθέντα πάλιν ἐπανέλαβον.

70-71 Εὐλογεῖτε, πάχναι καὶ χιόνες, νύκτες καὶ ἡμέραι, τὸν Κύριον·
72-73 Εὐλογεῖτε, φῶς καὶ σκότος, ἀστραπαὶ καὶ νεφέλαι, τὸν Κύριον.

Οἱ μὲν Τρεῖς Παῖδες ἰδίᾳ περὶ ἑκάστου διέλαβον, ἐκεῖνα συζεύξαντες, τὰ λόγον ἔχοντα πρὸς ἄλληλα· οἱ δὲ τὴν ἀντιφωνίαν τῶν ψαλμῶν ὕστερον ἐργασάμενοι, ἀνὰ δύο στίχους τὸν ὕμνον ὅλον ἐξέθεντο· διὸ καὶ τῷ ῥηθέντι στίχῳ, τὸν ἑξῆς ἐπισυνῆψαν ἀνοικείως· τὸ γὰρ, νύκτες καὶ ἡμέραι, πρὸς τὸ ἐφεξῆς ᾠκείωται μάλιστα· καὶ γὰρ νύκτες καὶ ἡμέραι, αὐτὸ τοῦτο, φῶς καὶ σκότος εἰσίν· εἶτα τὸ, ἀστραπαὶ καὶ νεφέλαι.

74-76 Εὐλογεῖτε, γῆ, ὄρη καὶ βουνοὶ, πάντα τὰ φυόμενα ἐν τῇ γῇ, τὸν Κύριον.

Καὶ περὶ τούτων ἐν ἐκείνῳ τῷ ψαλμῷ σποράδην διείληπται. Ps 148.7, 9

77-79 Εὐλογεῖτε, αἱ πηγαὶ, θάλασσαι καὶ ποταμοὶ, κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον.

Ἐκ τῶν ῥηθέντων ἐκεῖ, καὶ ταῦτα νοήσεις. Ps 148.7

80-81 Εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν Κύριον.

Ὁμοίως καὶ ταῦτα. Ps 148.10

82 Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων.

Πάντες ἁπλῶς ἄνθρωποι, ὡς δι᾿ αὐτοῦ ζῶντες καὶ παρ᾿ αὐτοῦ προνοίας τυγχάνοντες.

83 Εὐλογείτω Ἰσραὴλ, τὸν Κύριον.

Οὗτος ὁ λαὸς ἰδιαίτατα ὡς οἰκεῖος λαὸς αὐτοῦ.

Καὶ τὰ ἑξῆς δὲ, σαφῆ καὶ πρόδηλα· τὸ δὲ, Ἀνανία, Ἀζαρία, Μισαὴλ, καὶ τὰ ἑξῆς, ὕστερον προσετέθησαν.

84-85 [Εὐλογεῖτε, ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον.
86-87 Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον.
88 Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία καὶ Μισαήλ, τὸν Κύριον.
Εὐλογεῖτε, Ἀπόστολοι, Προφῆται, καὶ Μάρτυρες Κυρίου, τὸν Κύριον.
Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον.
Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν, τὸν Κύριον.]

IX

Ὠιδὴ θ′
Ὠιδὴ τῆς Θεοτόκου
ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ.

Lk 1.46-55

46 Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Τουτέστιν, εὐφημεῖ, δοξάζει. Πιστευούσης δὲ ὁ λόγος οὗτος, εὐχαριστήριος ὤν.

47 Καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Πνεῦμα, τὴν ψυχὴν πάλιν νόησον· ἐχάρη, φησὶν, ἡ ψυχή μου ἐπὶ τῷ Θεῷ τῷ σώσαντί με· σέσωσμαι γὰρ ἤδη, ἀξιωθεῖσα γενέσθαι Μήτηρ Θεοῦ.
Εἶτα λέγει καὶ τὴν αἰτίαν τῆς εὐχαριστίας.

48α Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Ἐπὶ τὴν εὐτέλειαν. Ταπεινοῖ γὰρ ἑαυτὴν, ὡς ἀναξίαν τηλικούτου πράγματος· ἢ καὶ διὰ τὴν ταπείνωσιν τῆς ἀνθρωπίνης φύσεως ὡς πρὸς τὸ ὕψος τῆς θείας.

48β Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Αἱ τῶν πιστευσάντων δηλονότι.

49α Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός.

Ὅτι ἐποίησεν εἰς ἐμὲ μεγάλα καὶ ὑπερφυῆ θαυμάσια ὁ δυνατὸς ποιεῖν τοιαῦτα.

49β Καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ.

Ἐξαίρετον, μέγα.

50 Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὸ, εἰς γενεὰν καὶ γενεὰν, καὶ τὸ, εἰς γενεὰς γενεῶν, καὶ τὰ τοιαῦτα, τὸ, ἀεὶ, σημαίνουσι παρ' Ἑβραίοις. Λέγει τοίνυν, ὅτι καὶ τὸ ἔλεος αὐτοῦ ἀεί ἐστιν ἐν τοῖς φοβουμένοις αὐτὸν, ὅμοια λέγουσα τῷ Δαυὶδ εἰρηκότι, *Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοῖς φοβουμένοις αὐτόν.* Ps 102.17

Εἶτα καταλέγει καὶ ἄλλας δυνάμεις τοῦ Θεοῦ, ὡς ἔθος τοῖς εὐχαριστοῦσιν.

51α Ἐποίησε κράτος | ἐν βραχίονι αὐτοῦ.

Ἐποίησε μεγαλεῖον· ἐποίησε νίκην ἐν τῇ δυνάμει αὐτοῦ. Ὁ βραχίων γὰρ ἐνταῦθα, τὴν δύναμιν σημαίνει· διότι οἱ ἀγωνιζόμενοι ἐν τῷ βραχίονι τὴν δύναμιν ἔχουσι.

51β Διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τοὺς ὑπερηφάνους ἐν τῇ διανοίᾳ τῆς καρδίας αὐτῶν, τοὺς ὑπερηφάνους ἐν ἑαυτοῖς.

52-53 Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Ὅμοια ταῦτα τῶν τῆς Ἄννης, μητρὸς τοῦ Σαμουὴλ, εἰπούσης, *Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ.* 1Rg 2.7

Λοιπὸν οὖν προφητεύει καὶ περὶ τοῦ ἐλέους τοῦ εἰς τοὺς Χριστιανούς· λέγει γάρ·

54α Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ.

Ἐπεσκέψατο τὸν Ἰσραηλιτικὸν λαὸν τὸν δοῦλον αὐτοῦ. Παῖδα γὰρ νῦν, τὸν δοῦλον λέγει.

54β-55 Μνησθῆναι ἐλέους καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα.

Ἀντελάβετο δὲ καὶ ἐπεσκέψατο ἐν τῷ μνησθῆναι ἐλέους εἰς τὸν αἰῶνα, ἤγουν ἐλέους αἰωνίου, ἐλέους διηνεκοῦς· καθὼς ἐλάλησε, καθὼς ἐπηγγείλατο πρὸς τοὺς πατέρας ἡμῶν.

Εἶτα λέγει καὶ τίσιν ἐλάλησε περὶ τοῦ τοιούτου ἐλέους, ὅτι τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ, ἤγουν τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ, ναὶ μὴν καὶ τῷ Δαυίδ· τούτοις γὰρ ὡς ἐπισημοτάτοις αἰνιγματωδῶς ἐπηγγείλατο περὶ τούτου.

Ἔλεος δὲ εἰς τὸν αἰῶνα, ἡ θεία ἐνανθρώπησις, ὡς δι' ἔλεον τῶν ἀνθρώπων γεγενημένη ἐκ σπέρματος Ἀβραὰμ καὶ τῶν εἰρημένων υἱῶν καὶ ἐκγόνων αὐτοῦ, κατὰ τὴν πρὸς αὐτοὺς ἐπαγγελίαν.

Ἀπορήσει δέ τις, πῶς ἀντελάβετο τοῦ Ἰσραηλιτικοῦ λαοῦ ὁ Θεὸς ἐν τῷ μνησθῆναι τοῦ ῥηθέντος ἐλέους; τῶν Χριστιανῶν γὰρ μᾶλλον ἀντελάβετο, οὐ τῶν Ἰουδαίων. Πρὸς ὃν ἀποκρινόμεθα ὅτι παλαιὸς μὲν Ἰσραὴλ, ὁ παλαιὸς λαὸς, νέος δὲ Ἰσραὴλ, ὁ νέος λαὸς, ὁ ἀντεισαχθεὶς ἐκείνου, τουτέστιν, ὁ Χριστιανικὸς, ὁ ἐκ παντὸς ἔθνους συγκείμενος. Τοῦτον οὖν τὸν Ἰσραὴλ ἐνταῦθα νόησον.

Εἰ δὲ καὶ τὸν παλαιὸν νοήσεις, σῴζεται καὶ οὕτως ὁ λόγος· δι' αὐτὸν γὰρ μᾶλλον ἐνηνθρώπησεν, ἐπεὶ καὶ ἐξ αὐτῶν ἐξελέξατο μητέρα, καὶ συγγενὴς αὐτῶν ἐχρημάτισε, καὶ παρ' αὐτοῖς ἐδίδασκε καὶ ἐθαυματούργει· διὸ καὶ ἔλεγεν ὅτι
Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἐπεὶ δὲ Mt 15.24
Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον, λοιπὸν τὰ ἔθνη τοῦ ἐλέους Jn 1.11
ἠξιώθησαν.

Προφητεία Ζαχαρίου τοῦ πατρὸς τοῦ Προδρόμου ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ. Lk 1.68-79

68 Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.

Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ ταῦτα προεφήτευσε. Διὰ ταύτης γὰρ ἐπεσκέψατο καὶ | ἐλυτρώσατο τὸν λαὸν αὐτοῦ ἐκ τῆς τυραννίδος, οὐ μόνον τῶν ἀοράτων ἐχθρῶν, ἀλλὰ καὶ τῶν ὁρατῶν, ὡς μὴ δυναμένων περιγενέσθαι τῆς πίστεως αὐτοῦ. Λαὸν δὲ αὐτοῦ, προηγουμένως μὲν, τὸν παλαιὸν, ἐκείνου δὲ ἀπειθήσαντος, τὸν νέον λοιπόν. Ὡς γεγενημένα δὲ λέγει τὰ γενησόμενα, νόμῳ προφητείας.

Ἀλλὰ πῶς λέγεται Θεὸς τοῦ Ἰσραὴλ μόνου; καὶ γὰρ οὐ τῶν Ἰσραηλιτῶν μόνον ἐστὶ Θεὸς, ἀλλὰ καὶ πάντων τῶν ἀνθρώπων, ὡς πάντων ποιητής· διότι τῶν μὲν ἄλλων πάντων ἀνθρώπων, ἀκόντων ἐστὶ Θεὸς, τῶν Ἰσραηλιτῶν δὲ μόνων, ἑκόντων κατ' ἐπίγνωσιν.

Μὴ θορυβηθῇς δὲ ἐπὶ τῇ δυσχερείᾳ τῶν τοῦ Ζαχαρίου ῥητῶν· τοιαῦτα γὰρ τὰ προφητικά. Πειρασόμεθα δὲ σαφηνίσαι ταῦτα, κατὰ τὴν ἐπιχορηγουμένην ἡμῖν γνῶσιν.

69-70 Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ, καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ.

[55][5] υἱῶν καὶ ἐκγόνων COF[E] : υἱῶν ἐκ γόνων M.

Τὸ κέρας ἐνταῦθα, ἢ βασιλείαν δηλοῖ, διότι ἐν κέρατι οἱ βασιλεῖς ἐχρίοντο καὶ προεχειρίζοντο, ἢ δύναμιν σημαίνει, διότι ἐν κέρατι τὴν δύναμιν ἔχουσι πάντα τὰ κερασφόρα ζῷα. Κέρας δὲ, οὐχ ἁπλῶς, ἀλλὰ σωτηρίας, ἤγουν σωτήριον· βασιλείαν δὲ καὶ δύναμιν σωτήριον, λέγει τὸν Χριστὸν, ὡς βασιλέα τῶν βασιλευόντων, καὶ 1Tim 6.15
δύναμιν τοῦ Πατρὸς, καὶ Σωτῆρα τῶν πιστευόντων εἰς αὐτόν. 1Cor 1.24

Οἶκον δὲ νόει, τὸ γένος τοῦ Δαυίδ. Φησὶν οὖν ὅτι ἀνέστησεν ἡμῖν τῷ λαῷ αὐτοῦ βασιλείαν ἢ δύναμιν σωτήριον, ἐκ γένους Δαυὶδ, τοῦ δούλου αὐτοῦ. Ἐκ σπέρματος γὰρ Δαυὶδ ἦν ἡ Παρθένος, ἀφ᾽ ἧς ὁ Χριστὸς γεγέννηται. Τοῦτο δὲ πεποίηκεν, ὡς ἐπηγγείλατο διὰ στόματος τῶν ἁγίων, δηλαδὴ τῶν ἔκπαλαι προφητῶν· δι᾽ αὐτῶν γὰρ ἐπηγγείλατο ἀναστήσειν βασιλέα δυνατὸν ἐν οἴκῳ 3Rg 14.14
Δαυὶδ, σωτῆρα τοῦ Ἰσραὴλ, καὶ τοῦτο διδάσκουσι ψαλμοὶ πολλοὶ τοῦ Δαυίδ.

71 Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς.

Ἤγειρε δὲ τὸ κέρας τοῦτο, σωτηρίαν καὶ λύτρωσιν ἐξ ἐχθρῶν ἡμῶν, ἀοράτων καὶ ὁρατῶν .

72 Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ.

Ἐν τῷ ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, ἤγουν ἐν τῷ ἐλεῆσαι τοὺς πατέρας ἡμῶν, πρὸς οὓς ἡ ἐπαγγελία τῆς σωτηρίας ἡμῶν, καὶ δι᾽ ἐκείνους μνησθῆναι ταύτης. Διαθήκην γὰρ λέγει, τὴν ἐπαγγελίαν· μνήμην δὲ αὐτῆς, τὴν περάτωσιν.

73 Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν.

Καὶ ἐν τῷ μνησθῆναι τὸν ὅρκον, ὃν ὤμοσε, τουτέστι, τὴν βεβαίωσιν, ἣν ἐβεβαίωσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν· ὅρκος γὰρ ἐπὶ Θεοῦ καὶ ὅμοσμα, ἡ βεβαίωσις. Ἀδιαφόρως δὲ τὸ μνησθῆναι, ἀπὸ γενικῆς εἰς αἰτιατικήν· σύνηθες γὰρ τοῦτο τοῖς προφητικοῖς, ὥσπερ καὶ ἡ γριφότης.

Εἶτα λέγει τίνος χάριν ἡ τοιαύτη διαθήκη | καὶ βεβαίωσις.

74-75 Τοῦ δοῦναι ἡμῖν ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Καθ᾽ ὑπερβατὸν ἡ σύνταξις τῶν ῥητῶν τούτων, οἷον, ὑπὲρ τοῦ δοῦναι ἡμῖν ἀφόβως λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· εἶτα τὸ ἐν μέσῳ, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας.

Ὁσιότητα μὲν οὖν λέγει, τὴν εὐσέβειαν· δικαιοσύνην δὲ, τὴν τελειότητα τῶν ἄλλων ἀρετῶν.

Ἔπειτα μεταβαίνει τῇ προφητείᾳ καὶ πρὸς τὸν ἑαυτοῦ παῖδα, τὸν Ἰωάννην, καί φησι·

73[4] γενικῆς εἰς αἰτιατικήν CBF[E] : γενικοῦ εἰς αἰτιατικόν M.

76α Καὶ σὺ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ.

Καὶ ὄντως πάντες προφήτην αὐτὸν ὠνόμαζον. Mt 14.5

76β Προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Κύριον ἐνταῦθα, τὸν Χριστὸν ὀνομάζει, οὗ προτρέχων ὁ Ἰωάννης ὡς αὐτοῦ πρόδρομος καὶ κῆρυξ ὅτε παρεγένετο ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, ἡτοίμαζε τὰς Mt 3.1 ὁδοὺς αὐτοῦ.

Τίνες δὲ αἱ ὁδοὶ αὐτοῦ, εἰρήκαμεν ἐν τῷ γ´ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα κεῖται τὸ, *Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου*. Mt 3.3

77α Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ.

Προπορεύσῃ, φησὶ, πρὸ προσώπου Κυρίου, καὶ τὰ ἑξῆς, ὑπὲρ τοῦ δοῦναι τῷ λαῷ αὐτοῦ γνῶσιν σωτηρίας, τουτέστιν, ὑπὲρ τοῦ γνωρίσαι καὶ ὑποδεῖξαι τοῖς Ἰουδαίοις τὸν Χριστόν· οὗτος γάρ ἐστι σωτηρία αὐτῶν.

77β Ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν.

Σωτηρίας δὲ, τῆς ἐν ἀφέσει ἁμαρτίας αὐτῶν, ἤγουν τῆς γινομένης ἐν τῷ ἀφεθῆναι καὶ λυθῆναι τὰς ἁμαρτίας αὐτῶν. Οὕτω γὰρ καὶ ὁ ἄγγελος εἶπε πρὸς τὸν Ἰωσὴφ, ἑρμηνεύων τὸ ὄνομα τοῦ Χριστοῦ· *Αὐτὸς γὰρ*, φησὶ, *σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν*. Mt 1.21

78α Διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.

Ἐν ἀφέσει ἁμαρτιῶν, τῇ διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, ἤτοι τῇ διδομένῃ διὰ τὴν συμπάθειαν τοῦ ἐλέους αὐτοῦ, καὶ οὐ διὰ τὰ ἔργα αὐτῶν.

78β Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους.

Ἐν οἷς σπλάγχνοις ἐλέους, δι᾽ ἃ σπλάγχνα ἐλέους, ἐπεσκέψατο ἡμᾶς, εἴτουν ἐπεφοίτησεν ἀνατολὴ τοῦ νοητοῦ ἡλίου ἐξ ὕψους τῆς θεότητος· λέγει δὲ τὴν ὅσον οὔπω ἐπιφάνειαν τοῦ Χριστοῦ.

79α Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις.

Ἐπεσκέψατο, φησὶν, ἡμᾶς διὰ τὸ ἐπιφᾶναι, τουτέστιν, ἐπιλάμψαι φῶς ἀληθείας τοῖς ἐν σκότει τῆς πλάνης καθημένοις.

Σκιὰ δὲ θανάτου, ἡ ἁμαρτία· εἰκονίζει γὰρ καὶ αὕτη τὸν θάνατον· ὥσπερ γὰρ

οὗτος ψυχῆς ἐστι χωρισμὸς, οὕτω καὶ αὕτη, Πνεύματος ἁγίου ἐστι χωρισμός.

79β Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Ὑπὲρ τοῦ κατευθῦναι τὴν πορείαν τῆς πολιτείας ἡμῶν εἰς ὁδὸν εἰρήνης, τῆς κατὰ Θεόν.

ΤΕΛΟΣ

Περὶ τοῦ ἀκατάληπτον εἶναι τὸν Θεόν

§ 1 Μέγα κακὸν τὸ μὴ μένειν εἴσω τῶν ὅρων ὧν ἡμῖν ἔταξεν ὁ Θεὸς, ἀλλὰ περιεργάζεσθαι τὰ νικῶντα τὸν ἡμέτερον νοῦν. Οὕτω γὰρ καὶ ὁ πρωτόπλαστος ἐπιθυμήσας μειζόνων, καὶ ἅπερ εἶχεν ἀπώλεσε. Τοιγαροῦν, πολλὰ χαίρειν τοῖς ἡμετέροις λογισμοῖς εἰπόντες, *Λογισμοὶ*, γάρ φησιν, *ἀνθρώπων δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν*, μὴ θελήσωμεν ὑπερβαίνειν τὸ μέτρον τῆς Sap 9.14
ἀποκεκληρωμένης ἡμῖν δυνάμεως.

§ 2 *Ἐθαυμαστώθη*, φησὶν, *ἡ γνῶσις σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν*. Τοῦ προφήτου πρὸς τὸ βάθος τῆς τοῦ Θεοῦ σοφίας ἰλιγγιῶντος, Ps 138.6
τολμᾷ τις λέγειν εἰδέναι τὴν φύσιν τοῦ Θεοῦ; Τοῦ λέγοντος, ὅτι *Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι*, βοῶντος ὅτι *Τῆς συνέσεως αὐτοῦ οὐκ* Ps 50.8
ἔστιν ἀριθμὸς, ἤτοι κατάληψις, θρασύνεταί τις περὶ τῆς ἀκαταλήπτου φύσεως; Ps 146.5
Τί λέγεις, ἡ σοφία τοῦ Θεοῦ ἀκατάληπτος, καὶ ἡ φύσις αὐτοῦ καταληπτή; Ἡ *μεγαλωσύνη αὐτοῦ οὐκ ἔχει πέρας*, καὶ τὴν οὐσίαν αὐτοῦ περιγράφεις; Μανία Ps 144.3
τοῦτο σαφής.

§ 3 Ἡσαΐας λέγων, *Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται*, παραχωρήσει σοι διηγεῖσθαι Is 53.8
τὴν οὐσίαν αὐτοῦ; Καὶ Παῦλος δὲ, ὁ μέχρι τρίτου οὐρανοῦ ἀρθεὶς, καὶ μυστηρίων ὑπερφυῶν καὶ ἀποῤῥήτων ἀξιωθεὶς, βραχύ τι μέρος τῆς τοῦ Θεοῦ προνοίας ἐξετάζων, πῶς τοὺς μὲν Ἰουδαίους ἐξέβαλε, τοὺς δὲ ἐξ ἐθνῶν εἰσεδέξατο, καὶ πρὸς αὐτὸ τὸ μικρὸν μέρος ὥσπερ πρὸς ἀχανὲς πέλαγος ἰλιγγιάσας, ἀπεπήδησεν εὐθέως, καὶ μέγα μετὰ μεγίστου θαύματος ἀνεβόησεν, εἰπών· *Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ*. Καὶ οὐκ εἶπεν ὅτι ἀκατάληπτα, ἀλλ᾽ ὃ πολλῷ μεῖζον, Ro 11.33
ὅτι ἀνεξερεύνητα καὶ ἀνεξιχνίαστα. Τὰ μὲν οὖν κρίματα αὐτοῦ ἀνεξερεύνητα καὶ αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, καὶ αὐτὸς καταληπτός; Καὶ τί λέγω περὶ κριμάτων καὶ ὁδῶν, τὰ ἔπαθλα τῶν ἁγίων ἀκατάληπτα, *ἃ γὰρ*, φησὶν, *ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς* 1Cor 2.9
τοῖς ἀγαπῶσιν αὐτόν. Καὶ ἡ δωρεὰ αὐτοῦ ἀνεκδιήγητος, *Χάρις γὰρ*, φησὶν, *τῷ* 2Cor 9.15
Θεῷ, ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ, καὶ ἡ εἰρήνη αὐτοῦ ὑπερέχει πάντα νοῦν, Php 4.7
καὶ αὐτὸς μόνος καταληπτός; Καὶ ἀλλαχοῦ λέγει Παῦλος, *ἐκ μέρους γινώσκομεν*, 1Cor 13.9
καὶ σὺ λέγεις ἐντελῶς γινώσκειν; Ἐκ μέρους δὲ εἶπεν, οὐχ ὅτι τὸ | μὲν τῆς θείας φύσεως οἶδε, τὸ δὲ ἠγνόησεν, ἀλλὰ ὅτι μερικὴν ἔχει γνῶσιν, καὶ ὅτι μέν ἐστιν Θεὸς οἶδε, τί δέ ἐστιν Θεὸς ἀγνοεῖ· καὶ ὅτι μέν ἐστι δημιουργὸς, καὶ σοφὸς, καὶ παντοδύναμος, καὶ συνοχεὺς πάντων, καὶ τὰ τοιαῦτα, γινώσκει, τὸ δὲ πόσον καὶ πῶς οὐκ οἶδεν.

§ 4 Οἱ ἄγγελοι δοξάζουσι μόνον, οἱ μὲν *Δόξα ἐν ὑψίστοις Θεῷ* λέγοντες, οἱ δὲ *Εὐλογημένη ἡ δόξα αὐτοῦ ἐκ τοῦ τόπου αὐτοῦ*, τουτέστιν, ὅπουπερ ἂν ἐστιν, οὐδὲ γὰρ τόπος παρὰ Θεὸν, ἀπερίγραπτον γὰρ τὸ θεῖον, οἱ δὲ, *Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ*. Οἱ δὲ ἄνθρωποι περιεργάζονται τὴν φύσιν αὐτοῦ. Πόσος ἄνω φόβος, πόση κάτω καταφρόνησις; ἐκεῖνοι εὐλαβῶς εὐφημοῦσιν· οὗτοι τολμερῶς πολυπραγμονοῦσιν. Lk 2.14 Ez 3.12 Is 6.3

§ 5 Φησὶ πάλιν Ἡσαΐας, *Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου*, τουτέστιν ἀκαταλήπτου. Ὁ θρόνος, ὑψηλότερος ἀνθρωπίνου νοῦ, καὶ ὁ ἐπὶ τοῦ θρόνου, καταληπτός; *Καὶ τὰ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὰ πρόσωπα αὐτῶν, ταῖς δὲ δυσὶν τοὺς πόδας, ταῖς δὲ δυσὶν ἐπέταντο· καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ*· τὰ Σεραφὶμ ἀποστρέφουσι τὰς ὄψεις καὶ προβάλλονται τὰς πτέρυγας ἀντὶ διπλοῦ τείχους, διὰ τὸ μὴ φέρειν τὴν ἐκ τῆς δόξης τοῦ θρόνου φοβερῶς ἐκπηδῶσαν ἀστραπήν· καὶ τοὺς πόδας κατακαλύπτουσι διὰ τὴν ἔκπληξιν. Εἰώθαμεν γὰρ καὶ ἡμεῖς, ὅταν μεγίστῳ θάμβει κατασχεθῶμεν, πάντοθεν περιστέλλειν τὸ σῶμα· καὶ τί λέγω τὸ σῶμα, ὅπου γε καὶ αὐτὴ ἡ ψυχὴ τοῦτο παθοῦσα, ἀπὸ τῆς ἄκρας ἐπιφανείας τὰς ἐνεργείας αὐτῆς συνέλκουσα, πρὸς τὸ βάθος καταφεύγει, καθάπερ τινὶ περιβολαίῳ πανταχόθεν ἑαυτὴν τῷ σώματι περιστέλλουσα. Ἔγνως τὴν χρείαν τῶν τεσσάρων πτερῶν; γνῶθι καὶ τὴν τῶν ὑπολοίπων. *Ταῖς δὲ δυσὶ*, φησὶν, *ἐπέταντο*· σημεῖον τοῦτο τοῦ τῶν ὑψηλῶν ἐφίεσθαι διὰ παντὸς, καὶ μηδέποτε κάτω βλέπειν· τὰ γὰρ πτερὰ, τὸ μετάρσιον καὶ ταχὺ τῆς ἀγγελικῆς αἰνίττεται φύσεως. Ἔστι δὲ καὶ ἄλλος λόγος, ὅτι ταῖς μὲν δυσὶ κατακαλύπτοντα τὴν κεφαλὴν, ταῖς δὲ δυσὶ τοὺς πόδας, ἐδήλουν ὅτι τοῦ Θεοῦ ἡ ἀρχὴ καὶ τὸ τέλος ἀόρατον καὶ ἀνεξερεύνητον· ἐπέταντο δὲ ταῖς μέσαις, διδάσκοντα περὶ τῶν μέσων θεολογεῖν· οἷον, ὅτι Θεὸς, ὅτι σοφὸς, ὅτι παντοδύναμος, καὶ τὰ τοιαῦτα. *Καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ*· τοῦτο, δεῖγμα τῆς ἐκπλήξεως, καίτοιγε οὐκ αὐτὸ ἑώρων τὸ φῶς, οὐδὲ τὴν θείαν φύσιν, ἀλλὰ συγκατάβασις ἦν τὰ ὁρώμενα· καὶ ὅμως, οὐδὲ τῆς συγκαταβάσεως ἤνεγκαν | τὴν δόξαν· συγκατάβασις γὰρ, τὸ μὴ φαίνεσθαι κατὰ φύσιν, ἀλλ' ἐπιμετρεῖν τῇ τῶν ὁρώντων ἀσθενείᾳ τῆς ὄψεως τὴν ἐπίδειξιν. Καὶ ὅτι συγκατάβασις ἦν, καὶ ἐξ αὐτῶν τῶν ῥημάτων δῆλον. *Εἶδον* γὰρ, φησὶν, *τὸν Κύριον*. *Θεὸν δὲ, οὐδεὶς ἑώρακε πώποτε*, τὸν ἀνείδεον, τὸν ἄποσον, τὸν ἄποιον. Τίς τοῦτο λέγει; *Ὁ μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, αὐτὸς ἐξηγήσατο*. Εἶτα φησί· *καθήμενον*· Θεὸς δὲ, οὔτε κάθηται, οὔτε ἵσταται, σωμάτων γὰρ οἱ τοιοῦτοι σχηματισμοί. Ἔπειτα προστίθησιν· *ἐπὶ θρόνου*· Θεὸς δὲ, θρόνῳ οὐκ ἐμπεριείληπται· πῶς γὰρ ὁ ἀπερίγραπτος; Ὅταν δὲ τὰ Σεραφὶμ τὰ ἑστῶτα κύκλῳ αὐτοῦ, ὅπερ δηλοῖ οὐ τόπον, ἀλλὰ τὴν ἀπὸ τῆς καθαρότητος οἰκειότητα, οὐκ ἰσχύωσιν οὐδὲ τῇ τῆς συγκαταβάσεως ἐνατενίσαι δόξῃ, ἄνθρωποι φιλονεικοῦσιν ἐνατενίσαι τῇ ὑπεραπροσίτῳ δόξῃ τῆς οὐσίας αὐτοῦ, καίτοι ὅσον τυφλοῦ καὶ βλέποντος τὸ μέσον, τοσοῦτον ἡμῶν κἀκείνων τὸ διάφορον. Is 6.1 Is 6.2-3 Jo 1.18 Jo 1.18

§ 6 Ὅταν αὐτὸς ὁ προφήτης Δανιὴλ οὐκ ἤνεγκεν ἀγγέλου συγκαταβατικὴν ὄψιν, ἀλλὰ παρελύθη καὶ κατέπεσεν· *Οὐχ ὑπελείφθη γὰρ*, φησὶν, *ἐν ἐμοὶ ἰσχὺς, καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν·* ἤγουν τὸ κάλλος τοῦ προσώπου μου Da 10.8 ἀπώλετο, καὶ μετεστράφη εἰς ὠχρότητα νεκροῦ, σὺ ὁ τοσοῦτον λειπόμενος τοῦ Δανιὴλ, ὅσον ἐκεῖνος τοῦ ἀγγέλου, τολμᾷς διαίρειν στόμα καὶ πολυπραγμονεῖν περὶ θείας φύσεως; Δανιὴλ, ὁ τὰ ὑπὲρ ἄνθρωπον ἐν ἀνθρωπίνῳ σώματι δυνηθεὶς, οὐκ ἔστεξεν ὁμοδούλου συγκατάβασιν, καὶ σὺ κατέλαβες τὴν φύσιν ἐκείνην, τὴν τὰς μυριάδας τῶν ἀγγέλων παραγαγοῦσαν; ὧν ἕνα, Δανιὴλ οὐκ ἴσχυσεν ἰδεῖν, ὡς δεδήλωται. Τίς οὐκ ἂν στενάξειε; Τίς οὐκ ἂν θρηνήσῃ σε τῆς παραπληξίας;

§ 7 Ἄκουσον τί φιλοσοφοῦσιν οἱ προφῆται περὶ τοῦ Θεοῦ καὶ φρῖξον· *ὁ ἐπιβλέπων* Ps 103.32
ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται· Ps 113.3
καὶ ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω· καὶ ὁ σείων τὸν Job 9.6
οὐρανὸν ἐκ θεμελίων· ὁ ἀπειλῶν τῇ θαλάσσῃ καὶ ξηραίνων αὐτήν· καὶ ὁ στήσας Nah 1.4
τὸν οὐρανὸν ὡσεὶ καμάραν καὶ διατείνας αὐτὸν ὡς σκηνὴν ἐπὶ τῆς γῆς· καὶ ὁ Is 40.22
ποιήσας τὴν γῆν ὡς οὐδέν. Ὦ τῆς ὑπερβολῆς τοῦ θαύματος, τὴν τοσαύτην καὶ Is 40.23
τηλικαύτην· τὸ γὰρ *ὡς οὐδὲν*, τὴν εὐχέρειαν ἐνέφηνε τῆς παραγωγῆς. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα λέγουσιν οἱ προφῆται, ἵνα ἀπό τε τοῦ μεγέθους τῶν γεγενημένων, ἀπό τε τῆς κατὰ τὴν δημιουργίαν εὐκολίας, ἰσχύσωμεν ἀξίαν τινὰ λαβεῖν περὶ τῆς τοῦ Θεοῦ δυνάμεως ἔννοιαν. |

§ 8 *Ὁ κατέχων*, φησὶ, *τὸν γύρον τῆς γῆς καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ ὡσεὶ* Is 40.22
ἀκρίδας, καὶ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου ἐναντίον αὐτοῦ. Πρόσεχε μετὰ Is 40.15
ἀκριβείας· ἃ γὰρ οἱ προφῆται λέγουσιν, ὁ Θεὸς λέγει. Θεὸς δὲ οὐδὲν ἂν εἴπῃ περιττὸν, οὐδὲ πάρεργον. Ἀναλόγισαι τὰ μυρία ἔθνη τῆς γῆς, ὧν οὐδὲ τὰ ὀνόματα δυνατὸν ἀπαριθμεῖν· εἰ τοίνυν ὁμοῦ πάντα, ὡς σταγὼν ἀπὸ κάδου, πόσον μέρος τῆς σταγόνος ταύτης οἴῃ σεαυτόν· καὶ πῶς περιεργάζῃ τὸν Θεὸν, ᾧ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου;

§ 9 Μύριαι μυριάδες λειτουργούντων ἀγγέλων ἄνω, καὶ χίλιαι χιλιάδες παρεστώτων, καὶ Θρόνοι καὶ Κυριότητες, καὶ Ἀρχαὶ, καὶ Ἐξουσίαι, καὶ ἄπειροι δῆμοι τῶν ἀσωμάτων δυνάμεων, καὶ ἀμύθητα φῦλα, καὶ ὅμως ταύτας ἁπάσας τὰς δυνάμεις μετὰ τοσαύτης εὐκολίας ἐποίησε, μεθ᾽ ὅσης οὐ δύναται παραστῆσαι λόγος· καθάπερ γὰρ ἡμῖν ἡ βούλησις εὐχερέστατον, οὕτως ἐκείνῳ τοῦ δημιουργεῖν ἡ δύναμις. Καὶ τοῦτο δηλῶν ὁ προφήτης ἔλεγεν· *Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ*
καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν. Οὐ κατορύττεις σεαυτὸν, ἀντὶ τοῦ Ps 115.3
θαυμάζειν καὶ δοξάζειν μόνον, εἰς ἀπόνοιαν τοσαύτην ἐκφυσηθείς; *Εἰ Πατήρ εἰμι*
ἐγὼ, φησὶ, *ποῦ ἐστιν ἡ δόξα μου, καὶ εἰ Κύριός εἰμι, ποῦ ἐστιν ὁ φόβος μου;* ὁ γὰρ Mal 1.6
φοβούμενος, δοξάζει μόνον, εὐφημῶν καὶ προσκυνῶν, ἀλλ᾽ οὐ πολυπραγμονεῖ καὶ περιεργάζεται.

§ 10 *Φῶς οἰκῶν ἀπρόσιτον*, φησίν· ὁ οἶκος ἀπρόσιτος, καὶ ὁ οἰκῶν προσιτός; Εἶπε 1Tim 6.16
δὲ τοῦτο Παῦλος, οὐχ ἵνα οἶκον καὶ τόπον ὑποπτεύσης περὶ τὸν ἀχώρητον Θεὸν,
ἀλλ' ἵν' ἐκ πολλῆς περιουσίας μάθῃς τὸ τῆς θείας φύσεως ἀκατάληπτον. Ἀλλ' οὐδ'
ἀκατάληπτον εἶπε τὸν οἶκον, ἀλλ' ἀπρόσιτον, ὃ τοῦ ἀκαταλήπτου πολλῷ μεῖζόν
ἐστι. Καὶ πάλιν μενοῦνγε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Ζητοῦντας οὖν
οἰκονομίας Θεοῦ περιεργάζεσθαι κωλύει, καὶ σὺ πολυπραγμονεῖς τὴν μακαρίαν
φύσιν τὴν οἰκονομοῦσαν αὐτάς. Πῶς οὐκ ἐσχάτης ταῦτα μανίας; Πῶς οὐκ ἄξια
μυρίων σκηπτῶν;

§ 11 Λέγει Παῦλος αὖθις· *Ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι*. Τί λέγεις, Php 3.13
Παῦλε; Τὸν Χριστὸν ἔχεις ἐν σεαυτῷ λαλοῦντα, καὶ οὐ λογίζῃ κατειληφέναι; 2Cor 13.3
Ναὶ, φησὶν, οὕτω λογίζομαι, διότι τὸν Χριστὸν ἔχω ἐν ἐμοὶ λαλοῦντα καὶ διδάσ-
κοντά με, οὕτω λογίζισθαι. Παῦλος, ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα,
οὐ λογίζεται κατειληφέναι, οὐδὲ περὶ τῆς πίστεως, ἀλλὰ πιστεύει μόνον, μηδὲν
περιεργαζόμενος, καὶ σὺ | πολυπραγμονεῖς τὴν φύσιν τοῦ Θεοῦ; Εἰπὼν δὲ ὅτι οὐ
λογίζομαι κατειληφέναι, ἐνέφηνε μὲν κατειληφέναι, οὐ τὸ πᾶν δέ. Καὶ ἀλλαχοῦ δέ
φησιν· *Εἴτις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε καθὼς δεῖ γνῶναι*, μονονουχὶ 1Cor 8.2
λέγων, ὅτι ἔγνωκε μὲν, οὐκ ἐντελῶς δέ.

§ 12 Εἶτα, σεαυτοῦ μὲν τὴν φύσιν ἀγνοεῖς, ἵνα μηδὲν λέγω περὶ οὐρανοῦ καὶ γῆς καὶ
τῶν ἐν μέσῳ φύσεων, καὶ τ' ἄλλα πάντα παραδραμὼν, ἐπὶ τὴν ὑπερφυεστάτην
τοῦ Θεοῦ φύσιν ἀνατρέχεις; Τῆς σεαυτοῦ ψυχῆς οὐκ οἶδας τὴν οὐσίαν, καὶ τί λέγω
τὴν οὐσίαν, οὐδὲ πῶς ἔνεστι τῷ σώματί σου γινώσκεις, πότερον παρεκτείνεται
τῷ τοῦ σώματος ὄγκῳ, ἀλλὰ σώματος ἴδιον ἡ παρέκτασις, οὐ ψυχῆς. Πολλάκις
γὰρ τῶν χειρῶν ἢ τῶν ποδῶν ἀποκοπέντων, ὁλόκληρος ἡ ψυχὴ μένειν πέφυκεν.
Ἀλλ' οὐ παρεκτείνεται τοῖς μέρεσι τοῦ σώματος· ἔδει οὖν εἰς ἃ μὴ διήκει, νεκρὰ
ταῦτα εἶναι. Τὸ γὰρ ἄψυχον, πάντως καὶ νεκρόν. Ἀλλ' οὐδὲ τοῦτο λέγειν ἐστί.
Λοιπὸν οὖν ὅτι μέν ἐστιν ἐν τῷ σώματι, γινώσκεις, τοῦτο δὲ πῶς, ἀγνοεῖς. Εἶτα
σεαυτὸν οὕτω προδήλως ἀγνοῶν, τὸν σεαυτοῦ ποιητὴν γινώσκεις ὃ τὴν φύσιν
ἐστί; *Χαλεπώτερά σου*, φησὶ, *μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε*· μὴ ὅτι Sir 3.21
γε περὶ Θεοῦ φύσεως, ἢ ἀγγέλων, ἢ ἀνθρώπων, ἀλλὰ μηδὲ περὶ τῶν ἀψύχων.
Εἰ γὰρ βουληθῇς ἐλθεῖν εἰς ζήτησιν τῶν γεγενημένων, εἰς εὔριπον λογισμῶν καὶ
κύματα πολὺν ἐργαζόμενα χειμῶνα καὶ ναυάγιον ψυχῆς ἐμβαλὼν σεαυτὸν, οὐ
μόνον εἴσῃ πλέον οὐδὲν, μὴ δυνάμενος ἑκάστου λόγους εὑρεῖν, ἀλλὰ καὶ τῶν νῦν
σοι δοκούντων καλῶν πολλὰ διαβαλεῖς, ὑπὸ τῆς ἀσθενείας τῶν λογισμῶν, εἰς
τἀναντία περιαγόμενος.

§ 13 *Ἵνα γνωρισθῇ*, φησὶ, *νῦν, καὶ ταῖς Ἀρχαῖς καὶ ταῖς Ἐξουσίαις ἐν τοῖς
ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ*. Ἀκούεις τοῦ Eph 3.10
Παύλου λέγοντος, ὅτι νῦν μεθ' ἡμῶν καὶ δι' ἡμῶν καὶ οὐ πρότερον αἱ ἄνω
δυνάμεις ἔγνωσαν τὰ τοῦ μεγάλου Βασιλέα ἀπόῤῥητα. Ἵνα γὰρ μὴ νομίσης ὅτι

Ἀρχὰς καὶ Ἐξουσίας, τοὺς δαίμονας λέγει, προσέθηκεν, ὅτι *ἐν τοῖς ἐπουρανίοις*, ὅπου δαίμονες ἐπιβαίνειν οὐ δύνανται. Εἶτα τὴν μερικὴν αὐτοῦ σοφίαν τὴν περὶ τῆς ἐνανθρωπήσεως καὶ κλήσεως τῶν ἐθνῶν οὐ πρότερον ἤδεισαν αἱ οὐρανίαι δυνάμεις, καὶ σὺ νῦν αὐτὸν ἐκεῖνον κατέλαβες; Καὶ τὰ τοῦ Θεοῦ μὲν οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ· καὶ οὐδεὶς ἑώρακε τὸν Πατέρα, εἰ μὴ ὁ ἐκ τοῦ Θεοῦ ὢν, ὁ Υἱὸς, δηλαδή. | Τὸ γὰρ οὐδεὶς, καὶ ἐπὶ τοῦ Πνεύματος καὶ ἐπὶ τοῦ Υἱοῦ, πρὸς τοὺς κτιστοὺς ἀντιδιαστέλλεται, πάσῃ τῇ κτιστῇ φύσει, ὁρατῇ καὶ ἀοράτῳ, τὴν τοιαύτην γνῶσιν ἀποτειχίζον· σὺ δὲ παρενείρεις σεαυτὸν εἰς ταύτην, ὡς ὑπὲρ τὰς φύσεις ταύτας γεγενημένον;

§ 14 Εἰπὼν πρὸς Ἰωνᾶν ὁ Θεὸς, *Σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύνθης ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὶ τῆς πόλεώς μου τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσιν ἐν αὐτῇ πλείους ἢ δώδεκα μυριάδες ἀνδρῶν, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν ἢ ἀριστερὰν*, ὑπεραπελογήσατο τούτων διὰ τὴν ἄγαν αὐτοῦ χρηστότητα, Jon 4.10-11 ὡς ἀφελείᾳ μᾶλλον ἢ πονηρίᾳ πεπλημμεληκότων· ἡ γὰρ ἀγνοία τῆς δεξιᾶς καὶ τῆς ἀριστερᾶς, οὐδὲν ἕτερον ἢ ἀφέλειαν αἰνίττεται νῦν· οὐ γὰρ περὶ παιδίων, ἀλλὰ περὶ ἀνδρῶν ὁ λόγος ἐστί. Δέον οὖν θαυμάζειν αὐτὸν καὶ προσκυνεῖν, οὐ μόνον ὅτι ἐποίησεν ἡμᾶς, οὐδ᾽ ὅτι ψυχὴν ἐχαρίσατο λογικὴν, οὐδ᾽ ὅτι τὴν βασιλείαν τῶν ἐπὶ γῆς ἐνεχείρισεν, ἀλλ᾽ ὅτι καὶ παρήγαγεν ἡμᾶς, μηδὲ μίαν χρείαν ἔχων ἡμῶν, ἀλλ᾽ ἢ διὰ μόνην ἀγαθότητα, καὶ νόμον ἔδωκε καὶ προφήτας, καὶ τελευταῖον δι᾽ ἡμᾶς ἐνανθρωπήσας ἀπέθανε, καὶ συνανέστησεν ἡμᾶς ἑαυτῷ, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἐδωρήσατο, [καὶ] καθήμεθα πολυπραγμονοῦντες αὐτοῦ τὴν φύσιν.

§ 15 Δύο, φασὶν, πέρατα τῶν ὄντων· πρῶτον πέρας, τὸν Θεὸν, ἔσχατον δὲ, τὴν ὕλην· οὔτε γὰρ ὑπὲρ τὸν Θεὸν εἶναί τι, οὔτε μετὰ τὴν ὕλην. Εἰ τοίνυν ἡ ὕλη, τὸ ἔσχατον, ἀκατάληπτος ἀνθρώποις, ὡς μηδὲν οὖσα καὶ πάντα, πῶς τὸ θεῖον ἔσται καταληπτόν; Ἀριστοτέλης μὲν γὰρ, φησὶν, τῷ ὁμοίῳ τὸ ὅμοιον καταλαμβάνεσθαι, De An 404b καὶ ὅτι δεῖ τὸ γινῶσκον ἐμφέρειαν ἔχειν τινὰ πρὸς τὸ γνωστόν· Ἐμπεδοκλῆς δὲ, ὅτι *γαίῃ γαῖαν ὀπώπαμεν, ὕδατι δὲ, ὕδωρ*, καὶ τὰ ἑξῆς· ἐκ τῶν στοιχείων γὰρ De An 404b συγκείμενοι, τὰ ἐκ τῶν στοιχείων γνωρίζομεν. Πῶς οὖν μὴ ὄντες ὑπὲρ φύσιν, τὸ ὑπὲρ φύσιν καταληψόμεθα;

Συλλογὴ δογματικῶν κεφαλαίων ἀναγκαιοτάτων ἐκ διαφόρων πατέρων

§ 1 Ἐπὶ τῆς ἁγίας Τριάδος, ὁ τὸν Πατέρα νοήσας, αὐτόν τε ἐφ᾽ ἑαυτοῦ κατενόησε, καὶ τὸν Υἱὸν τῇ διανοίᾳ συμπαρεδέξατο. Ὁ δὲ τὸν Υἱὸν λαβὼν, καὶ τὸ Πνεῦμα συμπαρέλαβε, καὶ ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν τῶν τριῶν ἐν ἑαυτῷ συγκεκραμένην τὴν πίστιν ἀνετυπώσατο. Καὶ ὁ τὸ Πνεῦμα μόνον εἰπὼν, συμπεριέλαβε τῇ ὁμολογίᾳ ταύτῃ καὶ τὸ οὗ ἐστι τὸ Πνεῦμα· τοῦ Χριστοῦ γάρ· καὶ τὸ ἐξ οὗ· ἐκ τοῦ Θεοῦ γὰρ, καθά φησιν ὁ
Παῦλος. Καὶ ὥσπερ ἐπὶ τῆς ἁλύσεως, ὁ ἑνὸς ἄκρου ἁψάμενος καὶ τὸ ἕτερον ἄκρον Ro 8.9
συνεπεσπάσατο, οὕτως ὁ τὸ Πνεῦμα ἑλκύσας, καθά φησιν ὁ προφήτης, δι᾽ αὐτοῦ Ps 118.131
καὶ τὸν Υἱὸν, καὶ τὸν Πατέρα συνείλκυσε. Καὶ εἰ τὸν Υἱόν τις λάβοι, ἕξει αὐτὸν ἑκατέρωθεν, πῇ μὲν τὸν ἑαυτοῦ Πατέρα, πῇ δὲ τὸ ἴδιον Πνεῦμα συνεπαγόμενον. Οὔτε γὰρ τοῦ Πατρὸς ὁ ἀεὶ ἐν τῷ Πατρὶ ὢν ἀποτμηθῆναι δυνήσεται, οὔτε τοῦ Πνεύματός ποτε τοῦ Υἱοῦ διαζευχθήσεται ὁ πάντα ἐν αὐτῷ ἐνεργῶν. Οὐκ ἔστιν οὖν ἐπινοῆσαι τομὴν ἢ διαίρεσιν κατ᾽ οὐδένα τρόπον, ὡς ἢ τὸν Πατέρα χωρὶς τοῦ Υἱοῦ νοηθῆναι, ἢ τὸν Υἱὸν χωρὶς τοῦ Πνεύματος, ἀλλά τις ἄῤῥητος καὶ ἀκατανόητος ἐν τούτοις καὶ ἕνωσις καὶ διαίρεσις, οὔτε τῆς τῶν ὑποστάσεων διαφορᾶς τὸ συνεχὲς τῆς φύσεως διασπώσης, οὔτε τῆς κατὰ τὴν οὐσίαν συναφείας τὸ ἰδιάζον τῶν γνωρισμάτων ἀναχεούσης. Καὶ ἔστι παραδόξως ἐπὶ τούτων καὶ διάκρισις συνημμένη, καὶ διακεκριμένη συνάφεια. Προσκείσεται δὲ καί τι πρὸς ἐπίγνωσιν ἀμυδρὰν ὑπόδειγμα, μᾶλλον δὲ σκιά τις ἀληθείας ἡ πολύχροος ἶρις. Πάντων γὰρ τῶν ἐν αὐτῇ χρωμάτων αἱ αὐγαὶ καὶ διακεκριμέναι φαίνονται τῷ τηλαυγεῖς εἶναι, καὶ συνηνῶσθαι δοκοῦσι τῷ λανθάνειν ἡμῶν τὰς ὄψεις τοὺς ὅρους τῶν μίξεων, τοὺς διακρίνοντας τὰς τῶν χρόνων ἑτερότητας, ὡς ἀμήχανον ἐξευρεῖν μέχρι τίνος ἕστηκε τὸ πυραυγὲς, ἢ σμαραγδίζον τῆς αἴγλης, ἢ χλοάζον τῆς λαμπηδόνος, καὶ ἀπὸ τίνος ἄρχεται, παιδεύοντος, οἶμαι, τοῦ λόγου καὶ διὰ τῆς κτίσεως ἡμῶν μὴ καινοπαθεῖν τοῖς περὶ τοῦ δόγματος λόγοις, ὅταν, εἰς τὸ δυσθεώρητον ἐμπεσόντες, πρὸς τὴν συγκατάβασιν τῶν λεγομένων ἰλιγγιάσωμεν. Ὡς γὰρ ἐπὶ τῶν τοῖς ὀφθαλμοῖς φαινομένων κρείττων ἐφάνη τῆς ἀντιλογίας ἡ πεῖρα, οὕτω καὶ ἐπὶ τῶν ὑπεραναβεβηκότων δογμάτων κρείττων ἡ πίστις ἔστω τῆς | διὰ τῶν λογισμῶν καταλήψεως.

§ 2 Ὁμολογοῦντες Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, πῶς οὐ λέγομεν τρεῖς θεοὺς, ἀλλ᾽ ἕνα Θεόν; Κατὰ μὲν τὸν πρόχειρον λόγον, ἵνα μὴ πολυθεΐαν Ἑλληνικὴν εἰσαγάγωμεν. Κατὰ δὲ τὸν χαριέστερον, ἐπεὶ τὸ Θεὸς ὄνομα ἐνεργείας ἐστὶ δηλωτικὸν, παρὰ γὰρ τὸ θέειν πανταχοῦ, ἢ θεᾶσθαι πάντα, ἢ αἴθειν τὴν μοχθηρίαν ἠτυμολόγηται. Καθὸ μὲν ἕκαστον πρόσωπον ἀπηρτισμένην ἔχει τὴν τοιαύτην ἐνέργειαν, ἀπηρτισμένον ἕξει πάντως καὶ τὸ δηλωτικὸν αὐτῆς ὄνομα, καὶ κυρίως ἔσται, καὶ κληθείη, Θεός· καθὸ δὲ μία καὶ ἀπαράλλακτος ἐν τοῖς τρισὶν ἡ εἰρημένη ἐνέργεια, μία καὶ ἡ θεότης, καὶ εἷς Θεὸς

ἐν τρισὶν ὑποστάσεσι. Καὶ πῶς Πέτρος καὶ Παῦλος καὶ Ἰωάννης, τρεῖς ὑποστάσεις ὄντες, λέγονται καὶ τρεῖς ἄνθρωποι; Πρῶτα μὲν καὶ οὗτοι καταχρηστικῶς τρεῖς ἄνθρωποι ὀνομάζονται· καὶ γὰρ ἄνθρωπος καὶ ἀνθρωπότης, τὸ καθόλου καὶ περιεκτικὸν τῶν κατὰ μέρος σημαίνουσιν· ἔπειτα τὸ τοιοῦτον ὄνομα φύσεώς ἐστι δηλωτικόν. Ἐπὶ δὲ τῆς ἀκτίστου Τριάδος, οὐκ ἔστιν εὑρεῖν ὄνομα δηλοῦν τὴν φύσιν αὐτῆς. Καὶ διατί Θεὸν λέγοντες ἕκαστον τῶν τριῶν, μὴ καὶ θεότητα λέγομεν ἕκαστον αὐτῶν; Διότι καθάπερ ἄνθρωπος, καὶ ἀνθρωπότης, εἰ καὶ τὸ καθόλου σημαίνουσιν ὁμοίως, ὅμως οὐχ ὁμοίως λέγονται κατὰ τῶν ὑποκειμένων· ὁ Σωκράτης γὰρ ἄνθρωπος μὲν ἂν ῥηθείη, ἀνθρωπότης δὲ οὐδαμῶς· οὕτω καὶ Θεὸς, καὶ θεότης. Θεὸς μὲν γὰρ ἐνεργοῦντα δηλοῖ, θεότης δὲ ἐνέργειαν. Οὐδὲν δὲ τῶν τριῶν, ἐνέργεια, ἀλλὰ μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν. Θεότητα δὲ Πατρὸς λέγομεν, καὶ θεότητα Υἱοῦ, καὶ θεότητα ἁγίου Πνεύματος, ὡς καὶ ἀνθρωπότητα Σωκράτους, καὶ οὐσίαν, καὶ φύσιν, καὶ εἴ τι κοινὸν τῶν ὑποστάσεων.

§ 3 Χωρίζονται ἀλλήλων αἱ ὑποστάσεις, οὐ τῇ οὐσίᾳ, ἀλλὰ ταῖς χαρακτηριστικαῖς ἰδιότησι τῶν προσώπων. Λοιπὸν οὖν διὰ τῶν κλήσεων τῆς ἁγίας Τριάδος, Πατρὸς, Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὐ φύσεων διδασκόμεθα διαφορὰν, ἀλλὰ ὑποστάσεων γνωριστικὰς ἰδιότητας.

§ 4 Οὐσία καὶ φύσις, καὶ γένος, καὶ εἶδος, καὶ μορφὴ, ταὐτόν ἐστιν ἐπὶ Θεοῦ κατὰ τοὺς θείους Πατέρας. Ὑπόστασις δὲ πάλιν, καὶ πρόσωπον, καὶ χαρακτὴρ, καὶ ἰδιότης, καὶ ἄτομον ταὐτόν. Καὶ οὐσία μὲν καὶ φύσις, κατὰ πάντων ἐπίσης λέγονται τῶν ὑποκειμένων, καθὸ καὶ πάντες ἄνθρωποι μιᾶς οὐσίας καὶ φύσεως· ὑπόστασις δέ ἐστι, καὶ πρόσωπον, καὶ ἄτομον, τὸ ἰδιαζόντως καὶ καθ᾽ ἑαυτὸ ὑφεστὼς, καὶ διαίρεσιν χωρὶς φθορᾶς μὴ ἐπιδεχόμενον.

§ 5 Ἡ μὲν οὐσία ἑνωτικὴ τῶν ὑποστάσεων· αἱ δὲ ὑποστάσεις διαιρετικαὶ τῆς οὐσίας, ἐν τοῖς χαρακτηριστικοῖς καὶ ἀφοριστικοῖς αὐτῶν | ἰδιώμασιν.

§ 6 Ἡ μὲν οὐσία οὐδέποτε λέγεται κατὰ ἀνυπάρκτων, ἡ δὲ φύσις πολλάκις. Φύσιν γὰρ, φησὶν, ἔχει τὸ ψεῦδος, τοιαύτην. Καὶ ὁλκὸς μὲν, φησὶν, ὕδατος δείκνυσι τὴν οἰκείαν πηγὴν, λόγου δὲ φύσις τὴν προενέγκασαν καρδίαν.

§ 7 Εἰ τὰ κοινὰ καὶ καθολικὰ ὅλα καὶ τέλεια κατηγοροῦνται τῶν ὑποκειμένων αὐτοῖς μερικῶν, κατηγορεῖται ἄρα καὶ ἡ φύσις τῆς θεότητος ὅλη καὶ τελεία ἑκάστης τῶν ἑαυτῆς ὑποστάσεων. Κοινὸν μὲν γὰρ καὶ καθολικὸν ἡ φύσις καὶ ἡ οὐσία, μερικὸν δὲ ἡ ὑπόστασις καὶ τὸ πρόσωπον· μερικὸν δὲ οὐχ ὡς μέρος τῆς φύσεως μὲν ἔχον, μέρος δὲ μὴ ἔχον, ἀλλ᾽ ὡς ἄτομον. Καὶ ἡ μὲν οὐσία κοινὸν, ὡς κατὰ πλειόνων κατηγορούμενον, τὸ δὲ ἄτομον μερικὸν, ὡς καθ᾽ ἑνὸς μόνου λεγόμενον.

§ 8 Εἶδος καὶ μορφὴ, ταὐτὸν ἐπὶ τῆς ἁγίας Τριάδος, καὶ τὴν οὐσίαν ἄμφω σημαίνουσιν. *Ὁ ἑωρακὼς γὰρ*, φησὶν, *ἐμὲ ἑώρακε τὸν Πατέρα μου*, ὁράσεως Jo 14.9
ἐνταῦθα νοουμένης τῆς γνώσεως.

§ 9 Οὐ ταὐτὸν οἶδεν ὁ τῆς Ἐκκλησίας ὅρος καὶ νόμος φύσιν καὶ ὑπόστασιν. Ἣν DP141
γὰρ ἔχει διαφορὰν, τὸν κοινὸν πρὸς τὸ ἰδικὸν, καὶ τὸ καθολικὸν πρὸς τὸ μερικὸν, καὶ τὸ ἀόριστον πρὸς τὸ ὡρισμένον, ταύτην ἔχει καὶ ἡ φύσις πρὸς τὴν ὑπόστασιν. Κεχρῆσθαι δὲ πολλάκις τὸν μακάριον Κύριλλον, καὶ ἑτέρους Πατέρας ἀδιαφόρως τοῖς δυσὶ τούτοις ὀνόμασιν ἐπὶ τῆς θείας ἐνανθρωπήσεως, οὐκ ἀμφιβάλλομεν. Κατεχρήσαντο γὰρ, πῇ μὲν τὴν ὑπόστασιν ἀντὶ οὐσίας, ἤτοι φύσεως, πῇ δὲ τὴν οὐσίαν ἀντὶ ὑποστάσεως ἐκφωνοῦντες, οὐχ ὡς ταὐτὸν ταύτας γινώσκοντες, ἀλλὰ διότι εἴωθεν ἐξ ἀρχῆς οὐ μόνον ἡ θεία Γραφὴ, ἀλλὰ καὶ οἱ τῆς Ἐκκλησίας διδάσκαλοι περὶ τὰς λέξεις ἀδιαφορεῖν ἐν πολλοῖς, καταχρηστικῶς ἔσθ᾽ ὅτε παρ᾽ αὐτῶν ἐκφερομένας, εἰδότες, ὅτι *οὐδὲν ἀδικοῦσιν αἱ λέξεις, ὅταν ἄλλως ἔχῃ τὰ*
πράγματα. Κυρίλλου γὰρ καὶ οὗτος ὁ λόγος. Λέγει δὲ καὶ ὁ ἱεροφάντης Διονύσιος PG75.360B
ὅτι *ἄλογον καὶ σκαιὸν, τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι*.
Καὶ ὁ Θεολόγος δὲ Γρηγόριος οὕτω· *Μηδὲ γὰρ οἱ περὶ ταῦτα ζυγομαχοῦντες* PG3.708C
ἀσχημονείτωσαν, ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ᾽ οὐκ ἐν
πράγμασιν. Καὶ αὖθις· *Οὐκ ἐν ὀνόμασιν, ἀλλ᾽ ἐν πράγμασιν ἡμῖν ἡ ἀλήθεια*. PG36.477A
Τὰ τοίνυν καταχρηστικῶς λεγόμενα, οὔτε εἰσὶ κυρίως ἃ λέγονται, ὅτι μηδὲ PG36.92A
λέγονται κυρίως ἅ εἰσιν, οὔτε νοοῦνται ὡς λέγονται. Ὅτε δὲ ὑποστάσεων ἕνωσιν λέγει Κύριλλος, καὶ διαφορὰν, καὶ ἰδιότητα ἀντὶ οὐσιῶν κέχρηται τῇ φωνῇ τῶν ὑποστάσεων, τὸ ὑφεστὼς τῶν ἑνωθεισῶν φύσεων διὰ τῆς τοιαύτης φωνῆς δεικνὺς, καὶ διδάσκων, ὅτι οὐχ ὁμοιοτήτων τινῶν καὶ μορφῶν | ἀνυποστάτων γέγονεν ἕνωσις, ἀλλὰ πραγμάτων ὑφεστώτων. Καὶ ὅτι τοῦθ᾽ οὕτως ἔχει, φησὶν αὐτὸς οὗτος ἐν τῇ ἀπολογίᾳ τοῦ πρώτου ἀναθεματισμοῦ πρὸς τὰς Θεοδωρήτου μέμψεις, ὅτι *Διδασκέτω παρελθὼν, εἰ δίχα τῶν ὑποστάσεων μόναι καθ᾽ ἑαυτὰς αἱ μορφαὶ συνῆλθον ἀλλήλαις, ἀλλ᾽ οὐχ ὁμοιότητες ἁπλῶς ἀνυπόστατοι, καὶ μορφαὶ συνέβησαν ἀλλήλαις καθ᾽ ἕνωσιν οἰκονομικὴν, ἀλλὰ πραγμάτων αὐτῶν,*
ἤγουν ὑποστάσεων γέγονε σύνοδος. Ὅτι δὲ διάφορον ἠπίστατο τὴν σημασίαν τῆς PG76.396C
φύσεως καὶ τῆς ὑποστάσεως, αὐτὸς οὗτος πάλιν ἐδίδαξεν ἐν τῇ πρὸς Νεστόριον δευτέρᾳ ἐπιστολῇ λέγων· *Τὰς δέ γε ἐν τοῖς Εὐαγγέλοις τοῦ Σωτῆρος ἡμῶν φωνὰς*
οὔτε ὑποστάσεσι δυσὶν, οὔτε μὴν προσώποις καταμερίζομεν. Καὶ πάλιν ἐν τῇ PG77.116A
πρὸς ἀνατολικοὺς ἐπιστολῇ φησιν, ὅτι *Τὰς εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ Κυρίου φωνὰς, ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας, ὡς ἐφ᾽ ἑνὸς*
προσώπου, τὰς δὲ διαιροῦντας, ὡς ἐπὶ δύο φύσεων. Ὁ αὐτὸς δὲ πάλιν φησὶν, ὅτι PG77.177A
Οὐκ ἔστι διπλοῦς ὁ εἷς καὶ μονὸς Χριστός· τοῦτο εἰρηκὼς διὰ τὴν μίαν ὑπόστασιν. PG77.116A
Κατὰ γὰρ τὰς φύσεις, λέγεται καὶ διπλοῦς.

§ 10 Ἡνίκα μὲν ἁπλῶς καὶ ἀδιαφόρως ὁ λόγος πρόεισιν, εὑρίσκομεν οὐ μόνον τοὺς Πατέρας, ἀλλὰ καὶ τὴν θείαν Γραφὴν συγχρωμένην τοῖς ὀνόμασι κατ᾽ ἐξουσίαν

ἁπλῶς. Ὁ μὲν γὰρ θεῖος Ἀπόστολος καὶ τὸ ἔσω τοῦ ἀνθρώπου, ἄνθρωπον, καὶ τὸ ἔξω, ἄνθρωπον πάλιν ὠνόμασε, τὰ μέρη τῷ τοῦ ὅλου ὀνόματι καλέσας· οἱ δὲ προφῆται, τοὐναντίον, ποτὲ μὲν σάρκα, ποτὲ δὲ ψυχὴν τὸν ἄνθρωπον καλοῦσι, τοῖς τῶν μερῶν ὀνόμασι τὸ ὅλον κατονομάζοντες. Ἡνίκα δὲ καιρὸς καλέσῃ, ταῖς κυρίως χρῶνται προσηγορίαις. Κατὰ τὸν εἰρημένον δὲ λόγον καὶ ὁ Θεολόγος Ἰωάννης εἶπεν ὅτι *Καὶ ὁ Λόγος σὰρξ ἐγένετο*, ἀντὶ τοῦ, ἄνθρωπος ἐγένετο. Jo 1.14
Ἀλλ᾽ οὐδὲν περὶ τούτου ζυγομαχοῦμεν. Φησὶ γὰρ ὁ μέγας Διονύσιος, ὅτι *τοῦτο οὐ τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἴδιον, ἀλλὰ τῶν ἤχους ψιλοὺς ὑποδεχομένων, καὶ προσπασχόντων στοιχείοις καὶ συλλαβαῖς, καὶ λέξεσιν ἀδιαγνώστοις, μὴ διαβαινούσαις εἰς τὸ τῆς ψυχῆς αὐτῶν νοερὸν, ἀλλ᾽ ἔξω περὶ τὰ χείλη, καὶ τὰς ἀκοὰς αὐτῶν βομβουμέναις.* PG3.708C

§ 11 Διττὸν ἡ ὑπόστασις. Λέγεται γὰρ ὑπόστασις αὐτό τε τὸ ἁπλῶς ἐν ὑπάρξει DP191
ὂν, διότι ὑφέστηκέ τε καὶ ὑπάρχει, ὅπερ χωρὶς τῶν χαρακτηριστικῶν ἰδιωμάτων θεωρεῖται· καὶ τὸ πρόσωπον, τὸ καθ᾽ ἑαυτὸ ὑφεστὼς μετὰ καὶ τῶν εἰρημένων ἰδιωμάτων. Ἅπερ γὰρ ἄτομα προσαγορεύειν τοῖς ἐκ τοῦ περιπάτου φίλον, εἰς ἃ ἡ τῶν | γενῶν καὶ εἰδῶν ἀποτελευτᾷ διαίρεσις, ὡς μὴ δυνάμενα ἔτι διαιρεθῆναι· ἡ γὰρ εἰς ψυχὴν καὶ σῶμα τοῦ ἀνθρώπου διαίρεσις, φθορὰν αὐτοῦ ποιεῖν εἴωθε· ταῦτα οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, πρόσωπα καὶ ὑποστάσεις προσηγορεύκασιν. Ὑποστάσεις δὲ, διότι ἐν τούτοις τὰ γένη, καὶ εἴδη, κοινὰ ὄντα καὶ ἀπερίγραπτα, λαμβάνει τὴν ὕπαρξιν καὶ περιγραφήν. Εἰ γὰρ καὶ ἴδιον ἔχει τὸν τοῦ εἶναι λόγον, τὸ ζῷον, καὶ ὁ ἄνθρωπος, ὧν τὸ μέν ἐστι γένος, τὸ δὲ εἶδος, ἀλλ᾽ ἐν τοῖς ἀτόμοις, Πέτρῳ τυχὸν καὶ Παύλῳ, τὴν ὑπόστασιν ἔχουσι, χωρὶς τούτων οὐκ ὑφιστάμενα. Ἀλλὰ ταῦτα μὲν περὶ τῆς ὑποστάσεως.

Πάλιν δὲ διττὸν καὶ τὸ ἐνυπόστατον. Σημαίνει γὰρ τὸ ἁπλῶς τε ὂν, καθ᾽ ὃ σημαινόμενον, οὐ μόνον τὴν οὐσίαν, ἣν αὐθύπαρκτόν τε καὶ αὐθυπόστατον οἱ περὶ ταῦτα δεινοί φασιν, ἐνυπόστατον λέγομεν, δι᾽ αὐτὸ τοῦτο τὸ εἶναι ἁπλῶς καὶ ὑφεστάναι, ἀλλὰ καὶ τὰ συμβεβηκότα προσαγορεύομεν ἐνυπόστατα, διότι ἐν ἑτέρῳ, καὶ οὐκ ἐν ἑαυτοῖς ἔχουσι τὸ ὑφεστάναι καὶ εἶναι, τουτέστιν ἐν τῇ οὐσίᾳ, ἃ κυριώτερον ἑτεροϋπόστατα ὀνομάζονται. Σημαίνει δὲ καὶ τὸ καθ᾽ ἑαυτὸ ὂν, καὶ ἰδιοσύστατον τυγχάνον, καθ᾽ ὃ σημαινόμενον καὶ τὰ ἄτομα, ἐνυπόστατα λέγονται, ἅπερ κυρίως ὑποστάσεις μᾶλλον εἰσί τε καὶ γνωρίζονται. Ἀλλὰ περὶ μὲν τοῦ ἐνυποστάτου τοσαῦτα.

Πάλιν δὲ καὶ τὸ ἀνυπόστατον, ὁμοίως διττόν ἐστιν. Λέγεται γὰρ ἀνυπόστατον, οὐ μόνον τὸ μηδαμῇ μηδαμῶς ὂν, ἀλλὰ καὶ τὸ ἐν ἑτέρῳ ἔχον τὴν ὑπόστασιν, ὡς τὰ συμβεβηκότα, διότι καθ᾽ ἑαυτὰ οὐ δύνανται ὑφεστάναι.

Κατὰ δὲ τὸν λεπτομερέστερον λόγον, καὶ ἄλλα πλείονα σημαινόμενα τῆς ὑποστάσεως εὕρομεν. Λέγεται γὰρ ὑπόστασις, παρὰ τὰ εἰρημένα ἀνωτέρω, καὶ τὸ φορτίον, ὡς ἐν τῷ Δευτερονομίῳ, *Πῶς ἐγὼ δυνήσομαι μόνος φέρειν τὴν ὑπόστασιν ὑμῶν;* ἐν γὰρ τῷ Ἑβραϊκῷ, *μασαχὲμ* εἴρηται, ὅ ἐστι φορτίον. Καὶ ἡ Dt 1.12
τροφὴ, ὡς ἐν τοῖς Κριταῖς περὶ τῶν Ἰουδαίων, ὅτι οἱ Μαδιηναῖοι διήρπαζον τοὺς

καρποὺς τῆς γῆς, καὶ τὴν ὑπόστασιν αὐτῶν· ἐν γὰρ τῷ Ἑβραϊκῷ *μιχεία* κεῖται, ὅ ἐστι ζωή. Καὶ ἡ ἐλπὶς, ὡς ἐν τῇ Ῥοὺθ, ἡ Νοεμμίν φησι, *Μὴ ἔστι μοι υἱὸς ἢ ὑπόστασις·* ἐν γὰρ τῷ Ἑβραϊκῷ *θικουΐα* κεῖται, τουτέστιν ἐλπὶς τεκνογονίας. Καὶ ἡ ἀποτίμησις, ὡς ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν, ὑπὲρ τοῦ μισθοῦ τοῦ χαλκέως, *Εἰς δὲ τὸ δρέπανον,* καὶ τὰ ἑξῆς φησιν, *ὑπόστασις ἦν ἡ αὐτή·* ἐν γὰρ τῷ Ἑβραϊκῷ *ἀρδαβὰν* κεῖται, ὅ ἐστιν ἀποτίμησις. Καὶ ἡ παρεμβολὴ, ὡς ἐν τῇ αὐτῇ βίβλῳ Ἰωνάθαν φησὶ τῷ σκευοφοροῦντι αὐτῷ, *Δεῦρο διαβῶμεν εἰς τὴν ὑπόστασιν τῶν ἀλλοφύλων·* | ἐν γὰρ τῷ Ἑβραϊκῷ *ματαὰμ* κεῖται, ὅ σημαίνει παρεμβολήν. Καὶ ἡ ἐν τοῖς ὑγροῖς ὑφισταμένη ἰλὺς, ὡς λέγομεν ὑπόστασις οὔρου. Καὶ ἡ ὕπαρξις, ὡς τὸ, *Καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου.* Καὶ ἡ ἑδραίωσις, ὡς τὸ, *Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις.* Καὶ ἡ πραγματεία, ὡς Ἱερεμίας, *Συνήγαγε,* φησὶν, *ἔξω τὴν ὑπόστασίν σου.* Καὶ τὸ ἀπόῤῥητον, ὡς ὁ αὐτὸς περὶ τῶν ψευδοπροφητῶν, *Καὶ ἔστησαν,* φησὶν, *ἐν ὑποστάσει μου,* ἤτοι ἐν ἀποῤῥήτῳ μου. Καὶ τὸ στερέωμα, ὡς Ἰεζεκιὴλ περὶ τῆς τοῦ ναοῦ οἰκοδομῆς, *Διαγράψεις τὸν οἶκον,* καὶ τὰ ἑξῆς, ἐν ᾧ ὑπόστασιν λέγει, τὸ στερέωμα. Καὶ ὁ ἔπαινος, ὡς ὁ Ἀπόστολος, *Ὃ λαλῶ, οὐ κατὰ Κύριον λαλῶ, ἀλλ᾽ ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως.*

Jdc 1.4; Ruth 1.12; 1Rg 13.21; 1Rg 14.4; Ps 38.6; Ps 68.3; Jer 10.17; Jer 23.22; Ez 43.11; 2Cor 11.17

§ 12 Ὁ τῶν Σεραφὶμ τρισάγιος ὕμνος, τῆς ἁγίας Τριάδος ὕμνος ἐστί· τρισὶν ἁγιασμοῖς τῶν τριῶν προσώπων εἰς μίαν συναγόμενος κυριότητα τῆς μιᾶς θεότητος· διὸ τὴν τοῦ κναφέως προσθήκην, τὸ, *Ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς,* ἀπέῤῥιψαν οἱ θεῖοι πατέρες ὡς προσάπτουσαν πάθος τῇ ἀπαθεῖ τοῦ Λόγου θεότητι.

§ 13 Ἀπερίγραπτον, τὸ μήτε τόπῳ, μήτε χρόνῳ, μήτε καταλήψει νοῦ, περιγραφόμενον· μόνος οὖν ἀπερίγραπτος ὁ Θεὸς, ἐπεὶ καὶ μόνος ἀόριστος. Διὸ ἐν τόπῳ μὲν οὐκ ἔστι τὰ πάντα πληρῶν καὶ ὑπὲρ τὰ πάντα ὤν· αὐτὸς δὲ οἷον ἑαυτοῦ τόπος ἐστὶ, διὰ τὴν τῶν τριῶν ὑποστάσεων εἰς ἀλλήλας ἀσύγχυτον περιχώρησιν. Λέγεται δὲ καὶ ἐν τόπῳ εἶναι, καὶ λέγεται τόπος Θεοῦ, ἔνθα ἔκδηλος ἡ ἐνέργεια αὐτοῦ γίνεται· αὐτὸς μὲν γὰρ διὰ πάντων ἀμιγῶς διήκει καὶ πᾶσι μεταδίδωσι τῆς ἑαυτοῦ ἐνεργείας, κατὰ τὴν ἑκάστου ἐπιτηδειότητα καὶ δεκτικὴν δύναμιν. Λέγεται δὲ τόπος Θεοῦ, ὁ πλέον μετέχων τῆς ἐνεργείας καὶ χάριτος αὐτοῦ, ὡς ὁ οὐρανὸς ἔνθα οἱ ἄγγελοι, εἶτα καὶ ἡ ἐκκλησία, ἔνθα οἱ ἅγιοι· ὁμοίως δὲ καὶ ἕκαστος τόπος ἔνθα, ὡς εἴρηται, ἔκδηλος ἡ αὐτοῦ ἐνέργεια, εἴτε δίχα σαρκὸς, εἴτε καὶ διὰ σαρκὸς γέγονε τοῖς ἀνθρώποις.

PG94.851A

§ 14 Τὸ θεῖον, ἀμερές ἐστι, διὸ καὶ ὅλον ἐστὶν ἐν πᾶσι, κατὰ ταὐτὸν διαφόρως ἐνεργοῦν, καὶ ὅλον ἐστὶν ὑπὲρ τὸ πᾶν. PG94.851C

§ 15 Ὁ Θεὸς, πάντα μὲν ὅσα θέλει, δύναται· οὐ πάντα δὲ ὅσα δύναται, θέλει· δύναται μὲν γὰρ ἀπολέσαι τὸν κόσμον· οὐ θέλει δέ. PG94.860D

§ 16 Εἴπερ ὁ ἥλιος, κοινῇ τὲ τὸ ὑποκείμενον ἅπαν καταφωτίζει καὶ πᾶσι τοῖς ὑποδεχομένοις ἑαυτὸν παρέχων, ὅλος ἑκάστῳ καὶ ἀδιαίρετος πάρεστι, πολλῷ μᾶλλον ὁ τοῦ ἡλίου δημιουργὸς καὶ ἐν πᾶσι γίνεται καὶ ἑκάστῳ πάρεστι, τοσοῦτον | ἑαυτὸν διδούς, ὅσον τὸ ὑποκείμενον δέχεται.

§ 17 Εἰ τὸ πῦρ μένον κατὰ χώραν ἑνοῦται καὶ τῷ σιδήρῳ, πολλῷ μᾶλλον ὁ παντοδύναμος μένων ἀκίνητος, ἡνώθη τῷ προσλήμματι, καὶ ὅλος ἦν ἐν τῷ Πατρὶ, καὶ ὅλος ἦν ἐν τῷ προσλήμματι. Ὑπερφυὴς οὖν ὁ τοιοῦτος λόγος, διότι ὁ Υἱὸς καὶ Λόγος ὑπερφυής.

§ 18 Ὥσπερ τὸ πῦρ πυρακτοῖ μὲν καὶ λαμπρύνει τὸν σίδηρον, οὐ μεταλαμβάνει δὲ τῆς αὐτοῦ ψυχρότητος καὶ μελανίας, οὕτω καὶ ἡ θεότης μετέδωκε μὲν τῇ ἀνθρωπότητι τῆς οἰκείας δυνάμεως, οὐ μετέλαβε δὲ τῆς ἀσθενείας αὐτῆς.

§ 19 Εἴπερ ὁ νοῦς ψυχῇ συνδεδεμένος ἐνοικούσῃ σώματι, μηδέποτε ταύτην ἀπολιμπάνων ἔνθα βούλεται πρόεισι, καὶ ἀνεκφοιτήτως, ἵν᾽ οὕτως εἴπω, φοιτᾷ πανταχοῦ, περίεργον ἀπορεῖν, πῶς ὁ Υἱὸς καὶ Θεός, μὴ λιπὼν τὸν Πατέρα μηδὲ τοὺς οὐρανοὺς κατῆλθεν εἰς γῆν, καὶ ἀχώρητος ὢν, ἐχωρήθη ψυχῇ καὶ σώματι. Εἰ γὰρ τὸ κτίσμα τοιοῦτον, ὁ κτίστης ὁποῖος, ὁ τῷ κτίσματι τοῦτο δοὺς τὸ θαυμαστόν τε καὶ ἀνερμήνευτον;

§ 20 Ὁ Λόγος καὶ Θεὸς, ὅλος σεσάρκωται, καὶ ὅλος ἐστὶν ἀπερίγραπτος. Διὰ τοῦτο καὶ ἐν τῷ κόλπῳ τοῦ Θεοῦ καὶ Πατρὸς ἦν, καὶ ἐν τῇ νηδύϊ τῆς Θεομήτορος· ἐκεῖνο μὲν, ὡς ἀπερίγραπτος, τοῦτο δὲ, ὡς σεσαρκωμένος.

§ 21 Σαρκούμενος ὁ Λόγος καὶ Θεὸς καὶ ἐν τοῖς πᾶσιν ἦν, ὡς τὰ πάντα πληρῶν καὶ ὑπὲρ τὰ πάντα, ὡς ἀπερίγραπτος καὶ πᾶσιν ἀχώρητος, καὶ ἐν τῇ γαστρὶ τῆς Θεομήτορος ἦν, ἐνεργείᾳ σαρκώσεως καὶ ἀπεριγράπτως· καὶ ἐν τῷ προσλήμματι ἦν, ἑνώσει σαρκὸς καὶ ὁμοίως ἀπεριγράπτως. Ἐνηνθρώπησε δὲ δι᾽ ἡμᾶς, καὶ καθ᾽ ἡμᾶς, καὶ ὑπὲρ ἡμᾶς, ὅτι διὰ τὴν ἡμετέραν σωτηρίαν, καὶ ὅτι ἐκ γυναικὸς, καὶ ὅτι ἐκ Παρθένου.

§ 22 Πάλαι μὲν πρὸ καταβολῆς κόσμου προώριστο ἡ τοῦ Θεοῦ ἐνανθρώπησις, οὔπω δὲ μέχρι τῆς παναγίας Μαρίας ἄξιον εὑρέθη τῆς ἐνανθρωπήσεως ἐργαστήριον. Ὅτε οὖν εὑρέθη, τότε καὶ ἐνηνθρώπησε. Συνελήφθη δὲ ἐν τῇ μεμνηστευμένῃ Παρθένῳ· ἐν μεμνηστευμένῃ μὲν, ἵνα τιμηθῇ ὁ γάμος· γάμου γὰρ ἀρχὴ ἡ μνηστεία· ἐν παρθένῳ δὲ, ἵνα προτιμηθῇ ἡ παρθενία.

§ 23 Πᾶσα φύσις τελεία ἐστιν ἐν ἑκάστῃ τῶν ἑαυτῆς ὑποστάσεων· διὸ καὶ ἡ PG94.1004A
θεότης, τελεία ἐν τῷ Πατρὶ, τελεία ἐν τῷ Υἱῷ, τελεία ἐν τῷ ἁγίῳ Πνεύματι· καὶ τέλειος Θεὸς, ὁ Πατήρ· τέλειος Θεὸς, ὁ Υἱός· τέλειος Θεὸς, τὸ ἅγιον Πνεῦμα.

Ὥσπερ καὶ ἡ ἀνθρωπότης, τελεία ἐν τῷ Πέτρῳ, τελεία ἐν τῷ Ἰακώβῳ, | τελεία ἐν τῷ Ἰωάννῃ· καὶ τέλειος ἄνθρωπος, ἕκαστος αὐτῶν. Λοιπὸν οὖν, πᾶσα καὶ τελεία ἡ φύσις τῆς θεότητος, ἐν μιᾷ τῶν ἑαυτῆς ὑποστάσεων ἡνώθη πάσῃ καὶ τελείᾳ τῇ ἀνθρωπίνῃ φύσει· καὶ οὐ μέρος μέρει. Φησὶ γὰρ ὁ Ἀπόστολος, ὅτι *Ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς*, τουτέστιν, ἐν τῇ σαρκὶ Col 2.9
αὐτοῦ. Καὶ ὁ ἀρεοπαγίτης δὲ λέγει Διονύσιος, ὅτι *ὁλικῶς ἡμῖν, ἐν μιᾷ τῶν ἑαυτῆς ἐκοινώνησεν ὑποστάσεων*· πᾶσαν δέ φαμεν τὴν τῆς θεότητος φύσιν ἑνωθῆναι τῇ PG3.592A
τῆς ἀνθρωπότητος φύσει, διότι Θεὸς τέλειος ὢν, γέγονε καὶ ἄνθρωπος τέλειος, οὐδὲν ὧν ἐνεφύτευσεν ἀρχῆθεν τῇ ἀνθρωπίνῃ φύσει, παραλιπὼν, ἀλλὰ πάντα ἀναλαβὼν, σῶμα, ψυχὴν νοερὰν καὶ λογικὴν, καὶ τὰ τούτων ἴδια· καὶ ὅλος ὅλῳ ἑνωθεὶς, ἵνα ὅλον ἀνακαινίσῃ· τὸ γὰρ ἀπρόσληπτον, ἀθεράπευτον.

§ 24 Ὅλον τὸν ἄνθρωπον ὁ Θεὸς ἀναλαβὼν, ὅλα τὰ ἀνθρώπινα ἔλαβε, καὶ ὅλα τὰ φυσικὰ καὶ ἀδιάβλητα τοῦ ἀνθρώπου πάθη, ὅσα ἐκ τῆς πρώτης παρακοῆς καὶ τῆς ἐκεῖθεν κατακρίσεως εἰς τὸν ἀνθρώπινον εἰσῆλθε βίον, λέγω δὴ, πεῖναν καὶ δίψαν, καὶ ὕπνον, καὶ κόπον, καὶ πόνον, καὶ δάκρυον καὶ δειλίαν καὶ ἀγωνίαν, καὶ τὰ τοιαῦτα. Πάντα δὲ ταῦτα, καὶ κατὰ φύσιν εἶχε, καὶ ὑπὲρ φύσιν· κατὰ φύσιν μὲν, ὅτι παραχωρούσης τῆς θείας φύσεως, ἔπασχεν ἡ ἀνθρωπίνη τὰ ἴδια· ὑπὲρ φύσιν δὲ, ὅτι οὐ προηγοῦντο ταῦτα τοῦ θελήματος, ὡς ἐφ᾽ ἡμῶν ἔχει, ἀλλὰ τὸ θέλημα τούτων καὶ γὰρ οὐδὲν τούτων ἠναγκασμένον ἔπασχεν, ἀλλ᾽ ἑκούσια πάντα· ἤθελε γὰρ καὶ αὕτη, ὅσα ἡ θεία φύσις ἤθελε θέλειν αὐτήν. Ἡγεμόνευε γὰρ τῆς μὲν σαρκὸς, ἡ ψυχὴ, τῆς δὲ ψυχῆς, ἡ θεότης· καὶ εἵπετο τὸ ἀνθρώπινον θέλημα, τῷ θείῳ θελήματι, κινούμενον μὲν φυσικῶς καὶ ἀνθρωπίνως, ὅτε παρεχωρεῖτο, ὑποτασσόμενον δὲ τῷ κρείττονι· *Πάτερ γὰρ*, φησὶν, *εἰ δυνατὸν, παρελθέτω ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο*· εἶτα πάλιν, *Πλὴν μὴ τὸ ἐμὸν γενέσθω θέλημα, ἀλλὰ τὸ* Mt 26.39
σόν. Lk 22.42

§ 25 Τὸ πρόσλημμα, διὰ τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν καὶ τὴν ταυτότητα τῆς ὑποστάσεως, ἐξ αὐτῆς ἑνώσεως καὶ κοινωνίας θεωθὲν, μετέσχεν αὐτίκα τῶν θείων πλεονεκτημάτων καὶ μεγαλοπρεπειῶν. Καὶ τῶν μὲν ὅρων τῆς ἀνθρωπίνης φύσεως οὐκ ἐξέστη, γέγονε δὲ ζωοποιὸν καὶ παντοδύναμον, καὶ πάντα εἰδός. Λέγεται δὲ δοῦλον, καὶ ἀγνοοῦν, καὶ τὰ τοιαῦτα, *ἄν τις τὸ φαινόμενον χωρήσῃ τοῦ νοουμένου*, καθά φησιν ὁ Θεολόγος Γρηγόριος, *ἐπινοίᾳ* δηλονότι *ψιλῇ*. PG36.124B
Ὑπέκειτο δὲ τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις πάθεσιν, ὡς μὴ | ἐκστὰν τῆς οἰκείας φύσεως, καὶ ἵνα ἡ ἐνανθρώπησις πιστωθῇ, καὶ ἵνα τοῖς ἑαυτοῦ πάθεσιν ἰάσηται τὰ ἡμέτερα πάθη, καὶ τοῖς φυσικοῖς τὰ παρὰ φύσιν ἐξαφανίσῃ, καὶ συλλήβδην εἰπεῖν, ἵνα νικήσας αὐτὸς, ὡς ἄνθρωπος, καὶ ἡμῖν τοῖς ὁμοφυέσι καὶ συγγενέσι τὴν κατ᾽ αὐτῶν χαρίσηται νίκην. Ἡ μέντοι ἁμαρτία οὐ φυσικὸν, ἀλλὰ παρὰ φύσιν πάθος, καὶ ὅσα τῆς ἁμαρτίας.

§ 26 Τὸ ἓν ἐπὶ μὲν τῶν ὁμοουσίων λέγεται, ἔνθα ταυτότης μὲν φύσεως, ἑτερότης δὲ ὑποστάσεων, ὡς τὸ *καὶ τὰ τρία ἕν*· ἐπὶ δὲ τῶν ἑτεροουσίων, ἔνθα ταυτότης μὲν ὑποστάσεων, ἑτερότης δὲ φύσεων, ὡς τὸ *καὶ τὸ συναμφότερον ἓν*, *ἀλλ᾽ οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ*.

§ 27 Ὥσπερ τὸ ἕν, τῶν πολλαχῶς λεγομένων ἐστὶ, λέγεται γὰρ ἓν τῷ ἀριθμῷ, ὡς ὁ Πέτρος τυχὸν, καὶ ἓν τῷ εἴδει, ὡς ὁ ἄνθρωπος, καὶ ἓν τῷ γένει, ὡς τὸ ζῷον. Οὕτως καὶ τὰ δύο· λέγεται γὰρ δύο τῷ ἀριθμῷ, ὡς Πέτρος καὶ Παῦλος, καὶ δύο τῷ εἴδει, ὡς ἄνθρωπὸς καὶ ἵππος, καὶ δύο τῷ γένει, ὡς οὐσία καὶ χρῶμα. Ὅταν οὖν λέγομεν τὰ δύο ἐπὶ τοῦ Χριστοῦ, οὐ δύο τῷ ἀριθμῷ τοῦτον λέγομεν, ἀλλ᾽ ἕνα μὲν τῷ ἀριθμῷ διὰ τὴν μονάδα τῆς ὑποστάστεως, δύο δὲ τῷ εἴδει, τουτέστι τῇ φύσει, διὰ τὴν δυάδα τῶν φύσεων. Φησὶ γὰρ καὶ Γρηγόριος ὁ Θεολόγος, ὅτι *τὸ συναμφότερον ἕν, οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ*. Καὶ Ἀριστοτέλης δὲ, τὴν ὕλην καὶ τὸ εἶδος, ἓν μὲν λέγει τῷ ἀριθμῷ, δύο δὲ τῷ εἴδει. Ταύτας τὰς δύο χρήσεις προβλητέον κατὰ τῶν λεγόντων, ὅτι ἑνὸς μὲν εἴδους πολλὰ εὑρίσκομεν ἄτομα, δύο δὲ εἴδη ἐπὶ ἑνὸς ἀτόμου καὶ εὑρεῖν ἀδύνατον, καὶ λέγειν ἄλογον. DP217 PG36.113B

§ 28 Αἱ τοῦ Χριστοῦ φύσεις, ᾧ μὲν τρόπῳ ἥνωνται, οὐκ ἀριθμοῦνται· οὐ γὰρ λέγωμεν δύο φύσεις καθ᾽ ὑπόστασιν· ᾧ δὲ τρόπῳ διῄρηνται, ἀριθμοῦνται· δύο γὰρ φύσεις αὐτοῦ λέγομεν, κατὰ τὰς διαφοράς· κατὰ μὲν γὰρ ταύτας, διῄρηνται, εἰ καὶ ἀδιαστάτως· καθ᾽ ὑπόστασιν δὲ, ἥνωνται, εἰ καὶ ἀσυγχύτως.

§ 29 Διαβάλλουσι τὴν δυάδα, ὡς πρώτην οὖσαν διαίρεσιν εὐθὺς μετὰ τὴν μονάδα προσαπαντῶσαν, καίτοι συνάφειαν μᾶλλον οὖσαν δύο μονάδων· καὶ τὴν συλληπτικὴν ἑαυτῆς δύναμιν εὐθὺς παριστῶσαν, οὐ γὰρ διαίρεσιν μονάδων τὸν ἀριθμὸν, ἀλλὰ τοὐναντίον, σωρείαν μονάδων, οἱ περὶ τὰ τοιαῦτα δεινοὶ ὡρίσαντο. Εἰ μὲν γὰρ εἴπωσιν, ὅτι ἡ τῶν δύο εἰς τὰ ἐξ ὧν συνετέθη ἀνάλυσις διαιρεῖ τὴν ἕνωσιν, εἴτε κατ᾽ ἐπίνοιαν, εἴτε κατ᾽ ἐνέργειαν γένηται, εἰκότα ἴσως ἐροῦσι· μένουσα δὲ ἐφ᾽ ἑαυτῆς ἡ δυὰς, οὐκ ἔστι τομὴ, οὐδὲ μονάδων διαίρεσις, εἰ μὴ καὶ μᾶλλον ἕνωσις αὐτῶν καὶ | συνάφεια. Ἡ γάρ τοι φύσις τοῦ ἀριθμοῦ καθ᾽ ἑαυτὴν οὔτε διαιρεῖν πέφυκεν, οὔτε συνάπτειν, ἀλλ᾽ ἀμφοτέρων ἐστὶ δεκτικὴ κατὰ τὸν λόγον τοῦ χρωμένου. Οὔτε γὰρ τὸ δίπηχυ ξύλον διεῖλεν ὁ ἀριθμὸς τῶν δύο πήχεων, ἀλλ᾽ οὐδὲν ἧττον καὶ μετρηθὲν ἔχει τὸ συνεχές· οὔτε οἱ δέκα μόδιοι τοῦ σίτου διῃρέθησαν, ὅτι ἐμετρήθησαν. Ἀλλὰ καὶ ὁ Κύριος δώδεκα ὥρας τῆς ἡμέρας εἰπὼν, οὐ διεμέρισε τὴν ταύτης συνέχειαν. Καὶ ὁ Ἀπόστολος δὲ εἰρηκὼς, *Πολλὰ μέλη, ἓν δὲ σῶμα*, οὐ διέτεμε τὰ μέλη. Καὶ ὁ φήσας, *Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, Κύριε, Κύριε, τίς ὁμοιός σοι;* οὐ διεῖλε τὰ ὀστᾶ αὐτοῦ. Εἰ δὲ τὸ δώδεκα, καὶ τὸ πολλὰ, καὶ τὸ πάντα, ἵνα τἄλλα παρῶμεν, ἀριθμοῦ προδήλως ὄντα σημαντικὰ, οὐδεμίαν πεποίηνται διαίρεσιν, τίς ἡ ἀποκλήρωσις τοῦ μόνον τὸν δύο ἀριθμὸν ὡς διαιρετικὸν διαβάλλεσθαι, ἡμῶν μάλιστα οὐκ ἐπὶ διαιρέσει τῶν ἐν Χριστῷ φύσεων τοῦτον λαμβανόντων, ἀλλὰ πρὸς μόνην δήλωσιν τῆς τούτων διαφορᾶς, DP218 Jo 11.9 1Cor 12.12 Ps 34.10

καὶ ἔνδειξιν σαφῆ τοῦ μένειν αὐτὰς ἀτρέπτους καὶ ἀσυγχύτους μετὰ τὴν ἀκραιφνῆ καὶ ἀδιαίρετον ἕνωσιν; ὅπου γε καὶ ἐπὶ τοῦ σώματος τρεῖς λέγονται διαστάσεις, οὐ διασπῶμεν τὸ σῶμα εἰς τρία τμήματα. Ὥσπερ οὖν ἐπὶ τῆς μιᾶς Θεότητος ἡ τριὰς τῶν ὑποστάσεων οὐ διαίρεσιν ἀλλοτριοῦσαν ἀπ᾽ ἀλλήλων εἰσήγαγε· διαιροῦνται μὲν γὰρ, ἀλλ᾽ ἀδιαστάτως, καὶ ἥνωνται μὲν, ἀλλ᾽ ἀσυγχύτως· ἐν ἀλλήλαις γὰρ ἀφύρτως περιχωροῦσι, σῳζομένων τῶν ἰδιοτήτων ἑκάστης· οὕτως ἄρα καὶ ἐπὶ τοῦ ἑνὸς Χριστοῦ, ἡ δυὰς τῶν φύσεων οὐ διάστασιν αὐτῶν ἀπετέλεσεν.

§ 30 Σαβέλλιος καὶ Ἄρειος ἐναντίοι πρὸς ἀλλήλους· Σαβέλλιος μὲν γὰρ, ἐπὶ τῆς ἁγίας Τριάδος, καὶ μίαν φύσιν καὶ μίαν ὑπόστασιν τριώνυμον ἐδογμάτιζεν· Ἄρειος δὲ, καὶ τρεῖς ὑποστάσεις, καὶ τρεῖς φύσεις, ἀλλοτρίας· ἡμεῖς δὲ μέσοι χωροῦντες, ἀθετοῦμεν Σαβελλίου μὲν τὸ μονοϋπόστατον, Ἀρείου δὲ τὸ τριφυσές, τρεῖς μὲν ὑποστάσεις, μίαν δὲ φύσιν πρεσβεύοντες. Πάλιν Νεστόριος καὶ Εὐτυχὴς, ἐναντίοι πρὸς ἀλλήλους· Νεστόριος μὲν γὰρ, ἐπὶ τοῦ Χριστοῦ, καὶ δύο φύσεις, καὶ δύο ὑποστάσεις εἰσηγεῖτο, κατὰ σχέσιν ἡνωμένας ἔξωθεν· Εὐτυχὴς δὲ, καὶ μίαν ὑπόστασιν, καὶ μίαν φύσιν, ἀναχυθείσας ἔσωθεν εἰς ἕν· ἡμεῖς δὲ, Νεστορίου μὲν ἀποβάλλομεν τὸ δισυπόστατον, Εὐτυχοῦς δὲ, τὸ μονοφυσές· μίαν μὲν γὰρ ὑπόστασιν, δύο δὲ φύσεις, ἐν Χριστῷ πρεσβεύομεν.

§ 31 Ἀποροῦσιν Εὐτυχιανισταὶ λέγοντες· Εἰ δύο φύσεις ἐν Χριστῷ, δύο καὶ | ὑποστάσεις ἔσονται· οὐ γάρ ἐστι φύσις ἀνυπόστατος· καὶ οὕτω δύο πάντως Υἱοί. Πρὸς οὓς ἀντιλέγομεν, ὅτι τῶν ὑποστάσεων, αἱ μέν εἰσι προσωπικαὶ, τουτέστι προσώπων σημαντικαὶ, ὡς ἐπὶ τῆς ἁγίας Τριάδος, καὶ τῶν ἀγγέλων, καὶ τῶν ἀνθρώπων, αἱ δὲ ὑπαρκτικαὶ, ὡς ἐπὶ τῶν ὁπωσδήποτε ὄντων πραγμάτων, πρὸς ἀντιδιαστολὴν τῶν ἀνυπάρκτων. Ὅθεν ἐπὶ τοῦ Χριστοῦ, προσωπικὴν μὲν ὑπόστασιν, μίαν φαμὲν, ὑπαρκτικὰς δὲ, καὶ δύο λέγειν ἀκίνδυνον, ἵνα μὴ θατέραν τῶν ἐν αὐτῷ φύσεων, ἀνύπαρκτον εἴπωμεν. Ὑπαρκτικὴν μὲν γὰρ ὑπόστασιν ἐπὶ πάσης φύσεως εὑρήσομεν, προσωπικὴν δὲ οὐκ ἐπὶ πάσης. Ἄλλως τε ἡ τοῦ Χριστοῦ προσωπικὴ ὑπόστασις ἀμφοτέρων αὐτοῦ τῶν φύσεών ἐστιν ὑπόστασις. Ἁπλῆ γὰρ οὖσα γέγονε σύνθετος. Καὶ ἡ μὲν θεία αὐτοῦ φύσις, ἰδιοϋπόστατος, ἡ δὲ ἀνθρωπίνη, οὔτε ἀνυπόστατος, οὔτε ἰδιοϋπόστατος, ἀλλ᾽ ἐνυπόστατος, ὡς ἐν τῇ θείᾳ ὑποστάσει.

§ 32 Ἐπὶ μὲν τῆς ἁγίας Τριάδος, μίαν φύσιν λέγομεν καὶ τρεῖς ὑποστάσεις· ἐπὶ δὲ τοῦ Χριστοῦ, τὸ ἔμπαλιν, δύο φύσεις καὶ μίαν ὑπόστασιν, ὡς ἐν τῷ Θεῷ Λόγῳ τῆς ἀνθρωπίνης φύσεως ὑποστάσης, καὶ μὴ καθ᾽ ἑαυτὴν, ὡς εἴ τις χρυσῷ ἀνδριάντι κηρὸν ἐπιχέοι· καὶ γὰρ ὁ κηρὸς, ἐν αὐτῷ ὑπέστη τῷ ἀνδριάντι. Ὅθεν καὶ τὴν ἀνθρωπίνην ἐπὶ Χριστοῦ φύσιν, ἐνυπόστατον μὲν λέγομεν, οὐ μὴν δὲ αὐτὴν, ὑπόστασιν. Διὸ οὐδὲ διαφθορὰν τὸ Δεσποτικὸν ἐδέξατο σῶμα, μὴ ἔχον ἰδίαν ὑπόστασιν, ἀλλ᾽ ἐν τῷ Θεῷ Λόγῳ ὑποστάν. Εἰ δὲ λέγοι τις, ὡς οὐκ ἐνδέχεται φύσιν ἀνυπόστατον εἶναι, μανθανέτω· ποτὲ μὲν σημαίνειν τὸ τῆς ὑποστάσεως

ὄνομα, τὰ ὁπωσοῦν ὑφεστῶτα, καὶ καθ᾽ οἱονδήτινα τρόπον ὕπαρξιν ἔχοντα· ποτὲ δὲ τὰ καθ᾽ ἑαυτὰ ὑφεστῶτα ἰδιαζόντως καὶ ὁλοκληρίαν ἔχοντα, καὶ δίχα φθορᾶς, διαίρεσιν μὴ ἐπιδεχόμενα. Κατὰ μὲν οὖν τὸ δεύτερον τοῦτο σημαινόμενον, οὐ λέγομεν ὑπόστασιν ἐπὶ τοῦ προσλήμματος· κατὰ δὲ τὸ πρῶτον, εἴτις ἐθέλοι τοῦτο καλεῖν, οὐδὲν ἁμαρτήσει. Ὁ Χριστὸς τοίνυν, κατὰ μὲν τὴν ὑπόστασιν, ἀθάνατος ἦν, κατὰ δὲ τὴν φύσιν τῆς ἀνθρωπότητος, θνητός· τέθνηκε δὲ ἡ σάρξ, καίτοι ἐν τῷ Θεῷ Λόγῳ τὴν ὑπόστασιν ἔχουσα καὶ μὴ διαιρεθεῖσα αὐτοῦ κατ᾽ οἰκονομίαν, ἵνα πιστωθῇ τὰ τῆς ἐνανθρωπήσεως.

§ 33 Οἱ λέγοντες, ὅτι οὐκ ἔστι φύσις ἀπρόσωπος, εἰ μὲν λέγουσιν ὅτι αἱ φύσεις ἐν προσώποις θεωροῦνται, συμφθεγγόμεθα καὶ ἡμεῖς· τὰ καθόλου γὰρ ἐν τοῖς κατὰ μέρος προσώποις θεωροῦνται· ἡ μὲν τῆς θεότητος φύσις, ἐν Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι· ἡ δὲ τῶν ἀγγέλων, ἐν Μιχαὴλ, καὶ Γαβριὴλ, καὶ τοῖς ἄλλοις· ἡ δὲ τῶν | ἀνθρώπων, ἐν Πέτρῳ, καὶ Παύλῳ, καὶ τοῖς λοιποῖς. Εἰ δὲ βούλονται κατασκευάζειν, ὅτι πάσῃ φύσει, ἰδιάζον ἕπεται πρόσωπον, δεχόμεθα καὶ τοῦτο, πλὴν οὐκ ἐπὶ τῶν καθ᾽ ὑπόστασιν ἡνωμένων φύσεων. Εἰ γὰρ ἐπὶ τῶν κατὰ σύνθεσιν ἡνωμένων, ψυχῆς λέγω καὶ σώματος, αἱ δύο φύσεις συντεθεῖσαι, ἓν πρόσωπον ἀπετέλεσαν, καὶ οὐκ ἔχει χώραν τὸ λέγειν, ὅτι οὐκ ἔστι φύσις ἀπρόσωπος, πολλῷ μᾶλλον ἐπὶ τῶν καθ᾽ ὑπόστασιν, ὧν ἡ ἕνωσις, ὑπερβαίνει πάντα λόγον καὶ πᾶσαν διαδιδράσκει διανοίας κατάληψιν.

§ 34 Ἕνωσίς ἐστι διεστώτων πραγμάτων κοινωνικὴ συνδρομή. Γίνεται δὲ κατὰ διαφόρους τρόπους· ἡ γὰρ κατὰ κρᾶσιν, ὡς ἐπὶ ὑγρῶν, οἴνου καὶ ὕδατος· ἢ κατὰ σωρείαν, ὡς ἐπὶ ξηρῶν, σίτου καὶ κριθῆς· ἢ κατὰ φύρσιν, ὡς ἐπὶ ξηροῦ καὶ ὑγροῦ, γῆς καὶ ὕδατος· ἢ κατὰ ἀνάμιξιν, ὡς ἐπὶ διαφόρων ἀλεύρων· ἢ κατὰ σύγχυσιν, ὡς ἐπὶ τηκτῶν, χρυσοῦ καὶ ἀργύρου, κηροῦ καὶ πίσσης· ἢ κατὰ ἁρμονίαν, ὡς ἐπὶ λίθων· ἢ κατὰ παράθεσιν, ὡς ἐπὶ σανίδων· ἢ κατὰ συναλιφὴν, ὡς ἐπὶ λαμπάδος ἐκ πυρὸς προερχομένης καὶ αὖθις ἑνουμένης· ἢ κατ᾽ οὐσίαν, ὡς ἐπὶ ἀτόμων, Πέτρου καὶ Παύλου, ἤ τινων ἵππων, ἢ βοῶν, ἢ ἑτέρων ζῴων· ἢ κατὰ σχέσιν, ὡς ἐπὶ φίλων καὶ γνωμῶν, εἰς ἓν θέλημα συνερχομένων· ἢ κατὰ σύνθεσιν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος. Ἡ δὲ καθ᾽ ὑπόστασιν, ἐπὶ μόνης λέγεται τῆς ἐν Χριστῷ θεότητος καὶ ἀνθρωπότητος. Ἐδογμάτισε δὲ ταύτην πρῶτος ὁ ἐν ἁγίοις Κύριλλος· Νεστορίου γὰρ κατὰ σχέσιν γενέσθαι τὴν ἕνωσιν τῶν ἐν Χριστῷ δύο φύσεων διδάσκοντος, αὐτὸς, ἀντικαθιστάμενος τῇ τοιαύτῃ βλασφημίᾳ, τὴν καθ᾽ ὑπόστασιν εἰσήγαγε, δηλοῦσαν ὅτι κατὰ μίαν ὑπόστασιν, ἤγουν εἰς ἓν πρόσωπον, ἡνώθησαν. Ἓν πρόσωπον ἔσχον αἱ δύο φύσεις, καὶ οὐ δύο κατὰ τὸν λῆρον Νεστόριον. Λέγεται δὲ καὶ οὐσιώδης ἡ τοιαύτη ἕνωσις, ἤγουν ἀληθὴς, καὶ οὐ κατὰ φαντασίαν.

§ 35 Καὶ ἄλλως δὲ, καθ᾽ ὑπόστασιν ἕνωσίς ἐστιν, ἡ τῶν ἑτεροουσίων εἰς μίαν ὑπόστασιν σύνοδος, σῳζομένης ἑκάστῳ καὶ μετὰ τὴν ἕνωσιν τῆς φυσικῆς ἰδιότητος.

§ 36 Ὧι λόγῳ ὁ Χριστὸς ἥνωται τῷ Πατρὶ, τούτῳ καὶ ἡμῖν· κατὰ τὴν φύσιν γάρ. Καὶ ᾧ λόγῳ διῄρηται τοῦ Πατρὸς, τούτῳ καὶ ἡμῶν· κατὰ τὴν ὑπόστασιν γάρ. Ἑαυτῷ δὲ κατὰ μὲν τὴν ὑπόστασιν ἥνωται, κατὰ δὲ τὴν φύσιν διῄρηται. Καὶ ἔστι τῷ μὲν Πατρὶ καὶ ἡμῖν ὁμοφυὴς, οὐ μὴν ὁμοϋπόστατος· ἑαυτῷ δὲ ὁμοϋπόστατος, οὐ μὴν ὁμοφυής· διότι αἱ μὲν φύσεις ἐν αὐτῷ, δύο, μία δὲ ἡ ὑπόστασις. |

§ 37 Ὅτε τὸ σύνθετον μηκέτι δυνάμεθα κυρίως καλεῖν τοῖς ὀνόμασι τῶν μερῶν ἐξ ὧν συνετέθη, τότε μίαν αὐτὸ φύσιν ἀπολύτως λέγειν εἰώθαμεν· οἷον, τὸ ἐκ τῶν τεσσάρων στοιχείων συγκείμενον οἱονδήποτε σῶμα, γῆς, ὕδατος, ἀέρος, πυρὸς, μὴ δυνάμενοι κυρίως καλεῖν ἢ γῆν, ἢ ὕδωρ, ἢ ἀέρα, ἢ πῦρ, ταῦτα μὲν γὰρ ἁπλᾶ, ἐκεῖνο δὲ σύνθετον, μίαν αὐτὸ φύσιν σώματος ὀνομάζομεν. Οὕτω δὲ λοιπὸν καὶ τὸν ἄνθρωπον, ἐπείπερ οὐ δυνάμεθα κυρίως καλεῖν ἢ ψυχὴν, ἢ σῶμα, ἐξ ὧν συνετέθη (ἄλλος γὰρ ὅρος ψυχῆς, καὶ ἄλλος σώματος, καὶ ἄλλος ἀνθρώπου τοῦ ἐξ ἀμφοῖν), μίαν φύσιν τοῦτον προσαγορεύομεν, εἰ καὶ σύνηθες τῇ Γραφῇ πολλάκις, τῇ ἐλευθερίᾳ κεχρημένῃ τοῦ Πνεύματος, ἐκ τοῦ μέρους τὸ ὅλον ὀνομάζειν. Ἐπὶ δὲ τοῦ Χριστοῦ ἄφραστος μὲν ἡ ἕνωσις· οὐ γὰρ ἂν ἐφίκοιτο ταύτης ἀνθρώπινος νοῦς. Οὐδὲ γὰρ ὑπόστασιν ἑτέραν ὁ Λόγος ἥνωσεν ἑαυτῷ, ἀλλὰ φύσιν ἀνθρωπίνην· ὡς μόνος αὐτὸς οἶδε, τῇ ἑαυτοῦ ὑποστάσει ἥνωσε, καὶ ἐν ἑαυτῷ, κυριώτερον εἰπεῖν, ὑπέστησεν. Ἐπεὶ δὲ αὐτὸν ἐκ θεότητος καὶ ἀνθρωπότητος ὄντα, δυνάμεθα κυρίως καλεῖν τοῖς ὀνόμασι τῶν ἑνωθέντων μερῶν· Θεὸν γὰρ αὐτὸν λέγομεν κυρίως, καὶ ἄνθρωπον αὐτὸν ὀνομάζομεν κυρίως· εἰκότως ἄρα καὶ δύο φύσεις αὐτὸν προσαγορεύομεν, καὶ οὔτε μίαν, ὡς τἄλλα σύνθετα, διὰ τὴν προαποδοθεῖσαν αἰτίαν, οὔτε τρεῖς. Οὐ γὰρ δύο φύσεις ὁ ἄνθρωπος λέγεται, εἰ καὶ ἐκ δύο φύσεων σύγκειται, καθὼς ἀποδέδεικται.

§ 38 Πᾶσα σύνθεσις ἐκ τῶν προσεχῶς συντεθέντων συντεθεῖσθαι λέγεται. Ὥσπερ γὰρ τὸν οἶκον οὐ λέγομεν ἐκ γῆς καὶ ὕδατος, ἀλλ᾽ ἐκ λίθων καὶ ξύλων συντεθεῖσθαι, ὁμοίως δὲ καὶ τὸν ἄνθρωπον οὐκ ἐκ τῶν τεσσάρων στοιχείων, ἀλλ᾽ ἐκ σώματος καὶ ψυχῆς· οὕτω καὶ τὸν Χριστὸν ἐκ θεότητος καὶ ἀνθρωπότητος, οὐ τὰ μέρη τῶν μερῶν σκοποῦντες, ἀλλὰ μόνα τὰ προσεχέστερα μέρη καὶ κεφαλαιωδέστερα.

§ 39 Εἰ ὁ ἄνθρωπος ἐν δυσὶ φύσεσι, σώματος λέγω καὶ ψυχῆς, ὁ Χριστὸς ἄρα ἐν τρισὶν ἔσται φύσεσιν. Ἀλλὰ μίαν ἔχει φύσιν ὁ ἄνθρωπος. Ἄλλη μὲν γὰρ φύσις σώματος, καὶ ἄλλη ψυχῆς λογικῆς, ὧν ἡ σύνοδος, μίαν ἀποτελεῖ φύσιν τοῦ ἀνθρώπου. Καὶ μέχρι μὲν ἂν ἥνωται, λέγεται ἄνθρωπος, διαζευγνυμένων δὲ, οὐκ ἔτι, ἀλλὰ τὸ μὲν σῶμα, τὸ δὲ ψυχὴ λογική. Μίαν τοίνυν ἔχει φύσιν ὁ ἄνθρωπος σύνθετον.

§ 40 Ἐπὶ τοῦ Χριστοῦ, ὅταν μὲν τὰς φύσεις ἀναθεωρῶμεν, θεότητα καὶ ἀνθρωπότητα λέγομεν, ὅταν δὲ τὴν ἐκ τούτων συγκειμένην ὑπόστασιν, ποτὲ μὲν ἐκ τοῦ συναμφοτέρου, Χριστὸν ὀνομάζομεν καὶ Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, καὶ Θεὸν

σεσαρκωμένον, ποτὲ δὲ ἐξ ἑνὸς τῶν μερῶν, Θεὸν καὶ υἱὸν Θεοῦ, ἢ ἄνθρωπον καὶ υἱὸν ἀνθρώπου. Καὶ ἐπὶ μὲν τῶν φύσεων, οὔτε τῆς θεότητος κατηγοροῦμεν τὰ τῆς ἀνθρωπότητος ἰδιώματα, οὔτε τῆς ἀνθρωπότητος, τὰ τῆς θεότητος· οὔτε γὰρ θεότητα κτιστὴν ἢ παθητὴν λέγομεν, οὔτε μὴν ἀνθρωπότητα ἄκτιστον ἢ ἀπαθῆ. Ἐπὶ δὲ τῆς ὑποστάσεως, κἂν ἐκ τοῦ συναμφοτέρου, κἂν ἐξ ἑνὸς τῶν μερῶν ταύτην ὀνομάσωμεν, ἀμφοτέρων τῶν φύσεων τὰ ἰδιώματα κατηγοροῦμεν αὐτῆς. Καὶ γὰρ ὁ Χριστὸς, ὅπερ ἐστὶ τοῦ συναμφοτέρου, καὶ κτιστὸς καὶ ἄκτιστος λέγεται, καὶ παθητὸς καὶ ἀπαθής. Καὶ ὅταν ἐξ ἑνὸς τῶν μερῶν ὀνομασθείη, Θεὸς ἢ ἄνθρωπος, δέχεται καὶ τὰ τῆς συνυφεστηκυίας φύσεως ἰδιώματα· Θεὸς παθητὸς ὀνομαζόμενος, καὶ Κύριος τῆς δόξης ἐσταυρωμένος, καὶ αὖθις ἄνθρωπος ἄναρχος, καὶ υἱὸς ἀνθρώπου ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ παιδίον προαιώνιον. Καὶ οὗτός ἐστιν ὁ τρόπος τῆς ἀντιδόσεως ἑκατέρας φύσεως, ἀντιδιδούσης τῇ ἑτέρῳ τὰ ἴδια, διὰ τὴν τῆς ὑποστάσεως ταυτότητα, καὶ τὴν εἰς ἄλληλα αὐτῶν περιχώρησιν.

§ 41 Διαφορὰν μὲν ὑποστάσεων οὐ λέγομεν ἐπὶ τοῦ Χριστοῦ, ἵνα μὴ προσθήκην τετάρτου προσώπου τῇ ἁγίᾳ Τριάδι ἐπινοήσωμεν· διαφορὰν δὲ φύσεων λέγομεν, ἵνα μὴ τῷ Λόγῳ κατὰ τὴν φύσιν ὁμοούσιον τὴν σάρκα πρεσβεύσωμεν. |

§ 42 Εἴπερ ἴδιον τοῦ Λόγου τὸ πρόσλημμα, πάντως ἄρα καὶ τὰ τοῦ ἰδίου προσλήμματος οὗτος ἰδιοποιήσεται, εἰ καὶ μὴ ὑπόκειται τούτοις καὶ μεταδώσει τούτῳ τῶν ἑαυτοῦ, εἰ καὶ μὴ οὕτως, ὡς αὐτὸς ταῦτα κέκτηται. Τοῦτο δὲ, τρόπον ἀντιδόσεως καλοῦμεν, περιχωρουσῶν εἰς ἀλλήλας τῶν φύσεων, καὶ τὰ ἀλλήλων ἰδιοποιουμένων. Εἰ δὲ καὶ περιχωρεῖν εἰς ἀλλήλας, καὶ ἐν ἀλλήλαις ταύτας φαμὲν, ἀλλ᾽ οὖν ἐκ τῆς θείας φύσεως ἡ περιχώρησις κυρίως· αὕτη μὲν γὰρ διὰ πάντων τῶν κτισμάτων ὡς βούλεται διήκει, διὰ δὲ ταύτης, οὐδέν.

§ 43 Τρία σημαίνει ἡ ἀντίδοσις· ἓν μὲν, τὴν τῶν ὀνομάτων, ὡς ὅταν τὸν ἄνθρωπον λέγωμεν Θεὸν, καὶ τὸν Θεὸν, ἄνθρωπον· ἕτερον δὲ, τὴν τῶν πραγμάτων, ἥτις ἐστὶ διττὴ, ἡ μὲν ἴση καὶ ἀνόμοιος, ὡς ἐπὶ τοῦ ἀνθρωπισθέντος Θεοῦ, καὶ τοῦ θεωθέντος ἀνθρώπου, εἰ γὰρ καὶ τοσοῦτον ἐθεώθη ὁ προσληφθεὶς ἄνθρωπος, ὅσον ἐνηνθρώπησεν ὁ προσλαβὼν Θεὸς, κατὰ σῶμα γὰρ, καὶ ψυχὴν, καὶ νοῦν, καὶ ἡ ἐνανθρώπησις, καὶ ἡ θέωσις, ἀλλ᾽ οὐχ ὁμοίως· ὁ μὲν γὰρ, φύσει γέγονεν ἄνθρωπος, ὁ δὲ, θεώσει Θεός. Ἡ δὲ, ὁμοία καὶ ἄνισος, ὡς ἐπὶ τῆς ἐμπνευσθείσης τῷ ἀνθρώπῳ παρὰ Θεοῦ ψυχῆς, καὶ τῆς δανεισθείσης τῷ Θεῷ καὶ Λόγῳ παρ᾽ ἀνθρώπου | σαρκός· εἰκὼν μὲν γὰρ Θεοῦ καὶ ὁμοία κατὰ τὸ δυνατὸν, ἡ ψυχὴ λέγοιτ᾽ ἂν, ἴση δὲ, οὐδαμῶς· καὶ τότε μὲν τοῦ κρείττονος μετέδωκεν, ὕστερον δὲ μετέλαβε τοῦ χείρονος. Σημειωτέον δὲ, ὅτι ποτὲ μὲν τὸν Θεὸν ἄνθρωπον λέγομεν, ποτὲ δὲ τὸν ἄνθρωπον Θεόν· τὴν θεότητα δὲ ἄνθρωπον, ἢ τὴν ἀνθρωπότητα Θεὸν, οὐδαμῶς.

§ 44 Ἀδύνατον εἶναι μίαν φύσιν σύνθετον ἐξ ἀκτίστου καὶ κτιστῆς φύσεως. Αἱρετικοὶ γὰρ, πρὸς ἀναίρεσιν τῶν ἐν Χριστῷ δύο φύσεων, τὴν τῆς συνθέτου

φύσεως φωνὴν ἀπεκύησαν. Εἰ γὰρ μία φύσις σύνθετος κατ᾽ αὐτοὺς γέγονε μετὰ τὴν ἕνωσιν ὁ Χριστὸς, οὔτε τῷ Πατρὶ καὶ Θεῷ ἔσται ὁμοούσιος, ἀσύνθετος γὰρ ἡ ἐκείνου φύσις, οὔτε τοῖς ἀνθρώποις, οὐ γὰρ ἡ ἡμετέρα φύσις ἐξ ἀκτίστου καὶ κτιστῆς, ἀμφότερα γὰρ ἡμῶν καὶ ψυχὴ καὶ σῶμα, κτιστά.

§ 45 Οὐ μιᾶς φύσεως συνθέτου τὸν Χριστὸν δογματίζομεν, οὐδὲ ἐξ ἑτέρων, ἕτερον, ὥσπερ ἐκ ψυχῆς καὶ σώματος, ἄνθρωπον, ἀλλ᾽ ἐξ ἑτέρων, τὰ αὐτά. Τὸ παραδοξότατον, ἐκ θεότητος γὰρ καὶ ἀνθρωπότητος, Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον, ἐκ δύο τε φύσεων, καὶ ἐν δυσὶ φύσεσιν, ὁμολογούμενον. Τὸ δὲ Χριστὸς ὄνομα, τῆς ὑποστάσεως ὂν, δηλοῖ τὸ χρῖσαν καὶ τὸ χρισθὲν, τὸ θεῶσαν καὶ τὸ θεωθέν. Διὸ σύνθετον φύσιν ἐπὶ Χριστοῦ παραιτούμενοι λέγειν, σύνθετον ὑπόστασιν λέγομεν.

§ 46 Εἷς ἐστιν ὁ Χριστὸς, Θεὸς τέλειος, καὶ ἄνθρωπος τέλειος· ὃν προσκυνοῦμεν σὺν Πατρὶ καὶ Πνεύματι μιᾷ προσκυνήσει, μετὰ τῆς ἀχράντου σαρκὸς αὐτοῦ. Προσκυνεῖται γὰρ καὶ ἡ σὰρξ, ἐν τῇ μιᾷ τοῦ Χριστοῦ ὑποστάσει, διὰ τὸ ἐν αὐτῇ ὑποστῆναι, καὶ ἀδιαιρέτως ἑνωθῆναι, καὶ ἀσυγχύτως κραθῆναι. Καὶ οὐ τῇ κτίσει λατρεύομεν, τὴν τοιαύτην σάρκα προσκυνοῦντες, οὐ γὰρ ὡς ψιλὴν σάρκα προσκυνοῦμεν, ἀλλ᾽ ὡς Θεοῦ σάρκα, ὡς ἡνωμένην τῷ Θεῷ, καὶ ὁμοϋπόστατον αὐτῷ χρηματίσασαν. Δέδοικα τοῦ ἄνθρακος ἅψασθαι, διὰ τὸ συνημμένον τῷ ξύλῳ πῦρ, προσκυνῶ τὸ συναμφότερον τοῦ Χριστοῦ, διὰ τὴν ἡνωμένην τῇ σαρκὶ θεότητα. Καὶ οὐ τέταρτον παρεντίθημι πρόσωπον. Ἓν γὰρ πρόσωπον τοῦ Λόγου καὶ τῆς σαρκὸς αὐτοῦ. Καὶ μία τούτων ὑπόστασις, καὶ τριὰς ἔμεινεν ἡ Τριὰς, καὶ μετὰ τὴν τοῦ Λόγου σάρκωσιν.

§ 47 Οὐ κατὰ μεταβολὴν φύσεως, ἢ τροπὴν, ἢ ἀλλοίωσιν, ἢ σύγχυσιν ἡ τοῦ Κυρίου ἔμψυχος σὰρξ τεθεῶσθαι λέγεται, καὶ Θεὸς ὀνομάζεται, ἀλλὰ διὰ τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν καὶ ἀκροτάτην συνάφειαν. Καὶ ἄνθρωπος μὲν γὰρ γεγενῆσθαι λέγεται ὁ Θεὸς, διὰ τὸ ἑνωθῆναι ἀνθρωπότητι· | καὶ Θεὸς καὶ ὁμόθεος ἡ ἀνθρωπότης αὐτοῦ, διὰ τὴν πρὸς αὐτὴν ὁμοίως ἀκραιφνεστάτην καὶ καθ᾽ ὑπόστασιν ἕνωσιν. Μεμενήκασι δὲ καὶ μετὰ τὴν τοιαύτην ἕνωσιν αἱ φύσεις ἀσύγχυτοι, καὶ μετὰ τῶν οἰκείων ἰδιοτήτων· τὸ γάρ τοι χρυσίον ἐπαληλιμμένον τῷ ξύλῳ, μεμένηκεν ὅπερ ἦν, καὶ καταπλουτεῖ μὲν τὸ ξύλον τοῦ χρυσίου τὴν δόξαν, οὐκ ἀπέστη δὲ τοῦ εἶναι ξύλον, οὐδὲ τῆς οἰκείας φύσεως.

§ 48 Εἰ τρεῖς ἦσαν ἀνδριάντες χαλκοῖ, τούτων δὲ εἷς ἐπεχρίσθη χρυσῷ ἢ κηρῷ δι᾽ ὅλου, πότερον ἐβλάβη περὶ τὴν ἰδίαν οὐσίαν οὗτος, ἢ σῴζει τὰς δύο φύσεις ἀκεραίους καὶ ἀσυγχύτους, καὶ τὴν ἑαυτοῦ, καὶ τὴν ἐπιχρισθεῖσαν αὐτῷ, καὶ οὐδὲ τέσσαρες πάντως ἀνδριάντες παρὰ τοῦτο γεγόνασιν; Οὐκοῦν τῷ αὐτοῦ παραδείγματι, ὡς ἐκ τῶν μικρῶν τὰ μεγάλα στοχάσασθαι, καὶ ἀμυδραῖς τισιν εἰκόσι τὴν ἀλήθειαν ἐνοπτρίσασθαι, νόει καὶ ἐπὶ τοῦ Χριστοῦ, δύο μὲν τὰς φύσεις,

μίαν δὲ τὴν ὑπόστασιν, καὶ οὐδὲ προσθήκη τῇ Τριάδι ἐπιγενήσεται διὰ τὴν προσληφθεῖσαν φύσιν τῆς ἀνθρωπότητος. Καὶ ἄλλως γὰρ, φύσις, οὐχ ὑπόστασις προσελήφθη. Καὶ τριὰς οὖσα ὑποστάσεων, οὐχὶ φύσεων, ἡ μία θεότης πάλιν ἔμεινε καὶ μετὰ τὴν ἕνωσιν τριὰς ὑποστάσεων.

§ 49 Ἴσον εἰς ἀτοπίας λόγον, τὸ εἰπεῖν ὅτι μετεβλήθη ἡ σὰρξ εἰς θεότητος φύσιν, καὶ ὅτι μετεβλήθη ὁ Λόγος εἰς ἀνθρωπότητος φύσιν· ὁ μὲν γὰρ Λόγος, ἄτρεπτος, τὸ δ᾽ ἕτερον, ἀδύνατον. Λοιπὸν οὖν θεῖον μὲν εἶναι φαμὲν τὸ ἔμψυχον σῶμα τοῦ Χριστοῦ, ὡς σῶμα Θεοῦ, οὐ μὴν εἰς θεότητος φύσιν μεταβληθῆναι, εἰ γὰρ καὶ ἀπεθεώθη μετὰ τὴν ἕνωσιν, ἀλλὰ μένει σῶμα, ἐπείπερ οὐ σῶμα Θεός. Γέγονε δὲ τῇ θεώσει Θεὸς καὶ τῇ καθ᾽ ὑπόστασιν ἑνώσει καὶ μετείληφε θείας ἀξίας, ὡς καὶ τῆς τοῦ πυρὸς ποιότητος, ὁ ὁμιλῶν αὐτῷ σίδηρος. Οἱ δὲ λέγοντες αὐτὸ φύσει θεωθῆναι, προσθήκην ἐπεισκρίνουσι τῇ ἁγίᾳ Τριάδι πάντως.

§ 50 Ἐπεὶ δύο φύσεις τοῦ Χριστοῦ, δύο αὐτοῦ καὶ τὰ φυσικὰ θελήματα καὶ τὰς φυσικὰς ἐνεργείας λέγομεν. Ἑκατέρα γὰρ αὐτοῦ φύσις, θελητική τε καὶ ἐνεργητική· πᾶν μὲν γὰρ λογικὸν, αὐτεξούσιον, πᾶν δὲ αὐτεξούσιον, θελητικόν τε καὶ ἐνεργητικόν. Ἐπεὶ δὲ μία τῶν δύο αὐτοῦ φύσεων ἡ ὑπόστασις, ἕνα καὶ τὸν αὐτόν φαμεν, θέλοντά τε καὶ ἐνεργοῦντα φυσικῶς καθ᾽ ἑκατέραν τῶν φύσεων. Ὥσπερ δὲ ἐπὶ τῆς ἁγίας Τριάδος, τὴν ταυτότητα τοῦ τε θελήματος καὶ τῆς ἐνεργείας ἐκ τῆς ταυτότητος τῆς φύσεως ἐπιγινώσκομεν, οὕτω καὶ ἐπὶ τῆς θείας ἐνανθρωπήσεως, τὴν διαφορὰν τοῦ τε θελήματος καὶ τῆς ἐνεργείας ἐκ τῆς διαφορᾶς | τῶν φύσεων γνωρίζομεν. Ὧν γὰρ ἡ αὐτὴ φύσις, τούτων καὶ ἡ αὐτὴ θέλησις καὶ ἐνέργεια· ὧν δὲ διάφορος ἡ φύσις, τούτων διάφορος καὶ ἡ θέλησις καὶ ἡ ἐνέργεια. Φυσικὰ δὲ, καὶ οὐχ ὑποστατικὰ, οὐδὲ προσωπικὰ, οὐδὲ γνωμικά φαμεν ταυτὶ τὰ θελήματα καὶ τὰς ἐνεργείας, λέγω δὲ τὴν θελητικήν τε καὶ ἐνεργητικὴν δύναμιν, ἐπὶ μὲν τῆς ἁγίας Τριάδος, ἵνα μὴ ἑτεροθελεῖς καὶ ἑτεροενεργεῖς τὰς τρεῖς ὑποστάσεις εἰπεῖν ἀναγκασθῶμεν, ἐπὶ δὲ τῆς θείας ἐνανθρωπήσεως, ἵνα μὴ ἑτεροϋπόστατον τὸ πρόσλημμα λέγειν δόξωμεν, καὶ δύο συνομολογήσωμεν ὑποστάσεις ἐν τῷ ἑνὶ Χριστῷ. Τὸ γὰρ ὑποστατικὸν, ἢ προσωπικὸν, ἢ γνωμικὸν θέλημα, ἰδιοϋποστάτου ἐστὶν ἀτόμου. Ὁ δὲ Λόγος καὶ Θεὸς, φύσιν μὲν ἀνθρώπου τελείαν προσελάβετο, ὑπόστασις δὲ αὐτὸς ἐγένετο τῷ προσλήμματι. Καθάπερ δὲ τὸ πρόσλημμα καὶ τεθέωται καὶ μεταβολὴν οὐ πέπονθε τῆς ἰδίας φύσεως, οὕτω καὶ τὸ θέλημα καὶ ἡ ἐνέργεια τούτου, καὶ τεθέωνται καὶ τῶν ἰδίων οὐκ ἐξέστησαν ὅρων.

§ 51 Εἰ φύσει λογικὸς ὁ ἄνθρωπος, τὸ δὲ φύσει λογικὸν, φύσει αὐτεξούσιον· τὸ δὲ αὐτεξούσιον κατὰ τοὺς Πατέρας τὸ θέλημά ἐστιν· ἄρα φύσει θελητικὸς ὁ ἄνθρωπος.

§ 52 Φύσεως μὲν, τὸ πεφυκέναι θέλειν· καὶ πεφυκέναι λαλεῖν· ὑποστάσεως δὲ, τὸ πῶς θέλειν, καὶ πῶς λαλεῖν.

§ 53 *Γνώμην καὶ προαίρεσιν ἐπὶ τῆς θεότητος, ἀνοίκειον λέγειν.* Γνώμην *μὲν γὰρ, ἡ μετὰ τὴν περὶ τοῦ ἀγνοουμένου ζήτησιν καὶ κρίσιν πρὸς τὸ κριθὲν διάθεσις, μεθ' ἣν ἡ προαίρεσις, ἐκλεγομένη καὶ αἱρουμένη πρὸ ἑτέρου τὸ ἕτερον.* Ὁ *δὲ* Θεὸς, *ἀνενδεὴς καὶ σκέψεως καὶ ζητήσεως καὶ ἐκλογῆς, φυσικῶς πάντα εἰδώς.*

§ 54 *Ὥσπερ ἐπὶ τῆς πεπυρακτωμένης μαχαίρας, καὶ αἱ φύσεις σῴζονται, τοῦ πυρὸς καὶ τῆς μαχαίρας, καὶ αἱ ἐνέργειαι, τοῦ μὲν τὸ καίειν, τῆς δὲ τὸ τέμνειν, καὶ φυλάττεται τὸ τούτων διάφορον, ἔν τε τῇ κεκαυμένῃ τομῇ, καὶ ἐν τῇ τετμημένῃ καύσει· οὕτω καὶ ἐπὶ τοῦ τεθεωμένου προσλήμματος.* Ἀ*ποτέλεσμα δὲ τῆς μὲν ἀνθρωπίνης ἐνεργείας, τὸ κρατῆσαι τὴν χεῖρα τῆς τεθνηκυίας παιδὸς τοῦ ἀρχισυναγώγου, τῆς δὲ θείας, τὸ ζωῶσαι αὐτήν· καὶ φυλάττεται τὸ τούτων* Mk 5.41
διάφορον, ἔν τε τῇ κρατησάσῃ ζωώσει, καὶ ἐν τῇ ζωωσάσῃ κρατήσει. Ἄ*λλο γὰρ τοῦτο, καὶ ἄλλο ἐκεῖνο, εἰ καὶ ἀλλήλων εἰσὶν ἀχώριστα, κατὰ τὴν θεανδρικὴν ἐνέργειαν.* Π*ανταχοῦ γὰρ ἡ θεία δύναμις τοῦ* Χ*ριστοῦ δι' ἁφῆς ἢ φωνῆς ἀνθρωπίνης ἐνήργει· καὶ ἡ ἀνθρωπίνη δὲ ἁφὴ καὶ φωνὴ τοῦ αὐτοῦ, διὰ δυνάμεως θείας.*
Δ*ιὸ καὶ ὁ μακάριος* Δ*ιονύσιος, θεανδρικὴν ἐνέργειαν | τοῦ* Χ*ριστοῦ φήσας, οὐκ* PG3.1072C
ἀνεῖλε τὰς δύο τούτου φυσικὰς ἐνεργείας, ἀλλ' ἔδειξε τὸν τρόπον τῆς καθ' ἑκατέραν φύσιν ἐνεργείας, ὅτι οὔτε τὰ ἀνθρώπινα ἀνθρωποπρεπῶς μόνον ἐνήργησεν, οὔτε τὰ θεῖα θεοπρεπῶς μόνον, ἀλλ' ἑκάστην ἐνέργειαν κοινωνούσης καὶ τῆς ἑτέρας. Οὐ*δὲ γὰρ ψιλὸς ἄνθρωπος ἦν, ὥσπερ οὐδὲ ψιλὸς* Θ*εός.* Τ*οῦ* Θ*εοῦ γὰρ ἀνδρωθέντος, ἤγουν ἀνθρωπισθέντος, εἴτουν ἐνανθρωπήσαντος, ἥτε θεία ἐνέργεια μετεῖχε τῆς ἀνθρωπίνης, ἥτε ἀνθρωπίνη μετεῖχε τῆς θείας, ἑκατέρα σὺν τῇ ἑτέρᾳ θεωρουμένη.* Κ*αὶ ὥσπερ ἐπὶ τῆς πεπυρακτωμένης μαχαίρας, ὁ κεκαυμένην τομὴν εἰπὼν, οὐκ ἀνεῖλε τὰς δύο ἐνεργείας, τοῦ τε πυρὸς καὶ τοῦ σιδήρου, ἀλλὰ καὶ μᾶλλον ἀμφοτέρας ἐδήλωσεν, οὕτω καὶ ὁ θεανδρικὴν ἐνέργειαν φήσας, ἀμφοτέρας ἐνέφηνε, τῇ θείᾳ μὲν τῆς ἀνθρωπίνης, τῇ ἀνθρωπίνῃ δὲ, τῆς θείας ἐπιθεωρουμένης, ἢ συνθεωρουμένης.* Ἄ*λλωστε δὲ καὶ κατὰ περίφρασιν ἀμφοτέρων δηλωθεισῶν, τῆς τε θείας καὶ τῆς ἀνδρικῆς, ἡ μὲν εἰς μίαν λέξιν συνάφεια τῶν ὀνομάτων, τὴν εἰς μίαν ὑπόστασιν ἕνωσιν τῶν φύσεων ὑπεδήλωσε· τὰ δὲ δύο ὀνόματα τῆς μιᾶς λέξεως, τὰς δύο φύσεις καὶ ἐνεργείας τῆς μιᾶς ὑποστάσεως.* Κ*αὶ ὁ μέγας δὲ* Κ*ύριλλος, εἰπὼν περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου, ὅτι ὁ* Χ*ριστὸς, ὡς μὲν* Θ*εὸς διὰ προστάγματος, ὡς δὲ ἄνθρωπος δι' ἁφῆς, ἤγειρεν αὐτὴν, καὶ ἐπαγαγὼν,*
ὅτι μίαν καὶ συγγενῆ δι' ἀμφοῖν ἐπεδείξατο τὴν ἐνέργειαν, τῆς εἰρημένης PG73.578C
ἔχεται διανοίας· μία μὲν γὰρ, διὰ τὴν μίαν ὑπόστασιν τοῦ θαυματουργήσαντος, συγγενὴς δὲ, διὰ τὴν ἕνωσιν τῶν δύο φύσεων. Δ*ι' ἀμφοῖν γὰρ τοῦ παντουργοῦ λέγω προστάγματος καὶ τῆς ἀνθρωπίνης φωνῆς, μία μὲν ἐνέργεια γέγονεν, ἡ ἀνάστασις τοῦ κορίου, κοινὴ δὲ ἐξ ἑκατέρων τῶν φύσεων, συναραμένης τῇ θείᾳ ἐνεργείᾳ καὶ τῆς ἀνθρωπίνης διὰ τὴν ἄκραν ἕνωσιν, τῆς μὲν γὰρ ἡ δύναμις, τῆς δὲ ἡ ἁφή· εἴποι δ' ἄν τις, καὶ ἡ φωνή.* Ὅ*τι δὲ τὸ συγγενὲς οὐ μόνον λέγεται κατὰ φύσιν, ἀλλὰ καὶ καθ' ἕνωσιν, ἐδίδαξεν ὁ* Θ*εολόγος* Γ*ρηγόριος, εἰπὼν περὶ τῆς*
ψυχῆς, ὅτι μικρὸν δὲ ὕστερον, τὸ συγγενὲς σαρκίον ἀπολαβοῦσα, καὶ τὰ ἑξῆς. PG35.782C

§ 55 Εἴρηκέ που κατὰ περίφρασιν ὁ μακάριος Κύριλλος, τοῦ Θεοῦ Λόγου μίαν φύσιν σεσαρκωμένην ψυχῇ λογικῇ, διὰ τοῦ προσθεῖναι τὸ σεσαρκωμένην, καὶ τὰ ἑξῆς, τὴν δήλωσιν τῆς ἀνθρωπίνης φύσεως εἰσκομίσας, ἥτις ἐκ σαρκὸς καὶ ψυχῆς λογικῆς συντέθειται. |

§ 56 Αἱ δύο φύσεις, εἷς εἰσι Χριστός· καὶ ὁ εἷς Χριστὸς, δύο ἐστὶ φύσεις· ταὐτὸν οὖν εἰπεῖν, ἐνεργεῖ Χριστὸς ἐν ταῖς δυσὶ φύσεσι καθ᾽ ἑκατέραν τῶν φύσεων, καὶ ἐνεργεῖ ἑκατέρα φύσις ἐν τῷ Χριστῷ.

§ 57 Τὸν Χριστὸν, καὶ ἐκ δύο φύσεων λέγομεν, ὡς ἐκ θεότητος καὶ ἀνθρωπότητος, καθάπερ ἐκ μερῶν, ὅλον, καὶ ἐν δυσὶ φύσεσιν, ὡς ἐν θεότητι καὶ ἀνθρωπότητι, καὶ δύο φύσεις, ὡς Θεὸν καὶ ἄνθρωπον. Καὶ τοῦτο ἐστι τὸ, τὰ ἐξ ὧν, καὶ ἐν οἷς, καὶ ἅπερ ἐστίν.

§ 58 Μετὰ τὴν ἕνωσιν τῶν ἐν Χριστῷ δύο φύσεων, οὐ χρὴ διαίρεσιν λέγειν, ἀλλὰ διαφοράν. Διαφορὰ μὲν γάρ ἐστι λόγος, καθ᾽ ὃν ἀλλήλων διαφέρει τὰ ὑποκείμενα· διαίρεσις δὲ, τομὴ, δι᾽ ὅλου ἀπ᾽ ἀλλήλων ταῦτα χωρίζουσα.

§ 59 Τῆς τοῦ Χριστοῦ ψυχῆς διαιρεθείσης τοῦ ἰδίου σώματος, ἡ θεότης ἐν ἀμφοτέροις ἦν ἀδιαίρετος, τὸ μὲν σῶμα τηροῦσα παντελῶς ἀδιάφθορον, τὴν δὲ ψυχὴν δεικνύουσα φοβερὰν τῷ ᾅδῃ, καὶ τὴν τοῦ θανάτου δύναμιν καταλύουσα. Οὐ γὰρ τῷ συνθέτῳ συνδιασχίζεται τὸ ἀσύνθετον, ἀλλὰ τοὐναντίον ἑνοῖ πάλιν τὸ σύνθετον, καὶ τὰ διαστάντα συνάπτει, καὶ εἰς παλινζωΐαν ἀνίστησιν.

§ 60 Οὐκ ἔστιν εὑρεῖν εἰκόνα παραστατικὴν τοῦ προκειμένου· πειρασόμεθα δέ τινα παραγαγεῖν, μετρίαν μὲν ὡς πρὸς τὸ μέγεθος τοῦ μυστηρίου, τῶν δὲ λοιπῶν ἀληθεστέραν εἰς ἐμφέρειαν. Ὥσπερ γὰρ εἰ πεπυράκτωτο μὲν ὅλος ὁ ἀὴρ, μᾶλλον δὲ, εἰ πῦρ ἦν, κόκκος δέ τις σιδηροῦς ἐνετέθη τούτῳ, ἀνάγκη καὶ τοῦτον πρὸς τὸ ἐπικρατοῦν πεποιῶσθαι, τοσοῦτον ὡς μὴ δοκεῖν ἕτερον εἶναι διὰ τὸ πῦρ, εἰ καὶ ὁ τῆς οὐσίας αὐτῷ λόγος ὑφίστατο· οὕτως ἡ ἀνθρωπίνη φύσις ἑνωθεῖσα τῇ τοῦ Θεοῦ, κατεκρατήθη τοσοῦτον, ὡς μὴ δοκεῖν ἔτι φύσιν ἀνθρώπου μένειν. Διὰ τοῦτο καὶ οἱ Πατέρες τεθεῶσθαι ταύτην εἰρήκασι, πρὸς τὸ ἐπικρατοῦν ἀποβλέψαντες. Ὅθεν καὶ μία τούτων ἡ προσκύνησις, διὰ τὴν μίαν τούτων ὑπόστασιν καὶ ἀδιαίρετον ἕνωσιν.

§ 61 Ἐπὶ τοῦ Χριστοῦ, τὰς δύο φύσεις, ἐπινοίᾳ μὲν, τοῦ διωρισμένου ποσοῦ λέγομεν, ὡς ἐπινοίᾳ μόνῃ διαιρουμένας, πράγματι δὲ, τοῦ συνεχοῦς, ὡς ἀδιαιρέτους πράγματι.

§ 62 Θεὸν μὲν ἐνανθρωπήσαντα, καὶ Θεὸν σαρκὶ παθόντα, φαμὲν, θεότητα δὲ ἐνανθρωπήσασαν, ἢ σαρκὶ παθοῦσαν, οὐ λέγομεν, εἰ μέλλοιμεν κυριολεκτεῖν· ὅτι

καὶ ἡ Παρθένος, Θεὸν μὲν ἐγέννησε, θεότητα δὲ οὐκ ἐγέννησεν, ἀλλὰ θεότητος ὑπόστασιν μίαν, σεσαρκωμένην, | ἥτις ἐστὶν ὁ Υἱὸς, ἵνα ὁ ἄνω Υἱὸς εἴη καὶ κάτω υἱὸς, καὶ ἡ ἰδιότης μείνῃ ἀκίνητος. Τὸ γὰρ γεννᾶσθαι, οὐ φύσεως, ἀλλ' ὑποστάσεως· εἰ γὰρ φύσεως ἦν, οὐκ ἂν ἐν τῇ αὐτῇ φύσει τὸ γεννητὸν ἐθεωρεῖτο καὶ τὸ ἀγέννητον. Ἐπεὶ δὲ τὸν Χριστὸν ἐγέννησεν, ὅστις ἐστὶ Θεὸς καὶ ἄνθρωπος, ἐκ τοῦ κρείττονος καὶ κυριωτέρου μέρους, Θεοτόκος ἐπωνομάσθη. Ἄλλως τε καὶ ἡ τοῦ προσλήμματος ὑπόστασις, θεία ἦν, καὶ τὸ πρόσλημμα δὲ, ἐξ αὐτῆς ἑνώσεως ἐθεώθη.

§ 63 Τὸν καθόλου ἄνθρωπον, ἢ τὸν μερικὸν ὁ Λόγος καὶ Θεὸς ἀνέλαβεν. Εἰ μὲν οὖν τὸν καθόλου, οὐκ ἂν ἦν ὁρατὸς, ἡ γὰρ καθόλου φύσις ἀόρατος, ἀλλὰ καὶ ὑποστάσεις ἂν εἶχε πολλὰς, κατὰ πλειόνων γὰρ τὸ καθόλου, καὶ οὐδ' ἂν ἡμῖν ἦν ὁμοούσιος, ἄτομα γὰρ ἡμεῖς, καὶ πολλὰ τοιαῦτα συνέβαινεν ἄτοπα. Εἰ δὲ τὸν μερικὸν, δύο εὑρεθήσεται ἔχων ὑποστάσεις. Λοιπὸν οὖν, οὐδέτερον ἀνέλαβεν, ἀλλὰ φύσιν μερικοῦ ἀνθρώπου, τουτέστιν ἀτόμου, γενόμενος αὐτὸς ὑπόστασις ταύτης· ἡ δὲ τοῦ μερικοῦ ἀνθρώπου φύσις, κοινὴ μέν ἐστιν, ἐν ἀτόμῳ δέ. Μερικὸν δὲ ἄνθρωπον λέγομεν, ὡς ἄτομον εἴδους, οὐχ ὡς ψυχὴν μόνον, ἢ σῶμα μόνον, ἐξ ὧν ὁ ἄνθρωπος.

§ 64 Τῶν φυσικῶν καὶ ἀδιαβλήτων πραγμάτων τῆς ἀνθρωπίνης φύσεως, τὰ μὲν ὑπὲρ ἄνθρωπον ἔσχεν ὁ Χριστὸς, τὰ δὲ κατὰ ἄνθρωπον, τὰ δὲ ἀνθρώπου ταπεινότερον. Καὶ ὑπὲρ ἄνθρωπον μὲν, τὸ ἄνευ σπορᾶς συλληφθῆναι, τὸ ἐκ Παρθένου γεννηθῆναι, καὶ τὰ τοιαῦτα. Κατὰ ἄνθρωπον δὲ, τὸ τὴν τῆς Θεοτόκου κοιλίαν ὡς βρέφος ἐξογκῶσαι, τὸ ἐννεαμηνιαῖον ἀποτεχθῆναι, τὸ γαλακτοτροφηθῆναι, τὸ κλαυθμυρισθῆναι, καὶ τὰ τούτοις ἑπόμενα. Ἀνθρώπου δὲ ταπεινότερον, τὸ φανῆναι τὸ εἶδος αὐτοῦ ἐν τῷ σταυρῷ, ἄτιμον, καὶ ἐκλεῖπον ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὡς Ἡσαΐας φησὶ, καὶ τὸ πρὸ τῶν συσταυρωθέντων Is 53.3 αὐτῷ ληστῶν τεθνηκέναι ἀπὸ τῆς ὀδύνης τῶν ἥλων, εἰ δὲ βούλει, καὶ τὸ μετὰ τὴν ἀνάστασιν ἐν εὐτελεῖ μορφῇ κηπουροῦ ὀφθῆναι, καὶ τὸ τοὺς μώλωπας καὶ τύπους τῶν τραυμάτων τοῖς ἀποστόλοις ἐνδείκνυσθαι, καὶ τὸ μετὰ τὴν ἀνάστασιν ἐσθίειν· πάντες γὰρ ἄνθρωποι, μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἐκλάμψουσιν ὡς ὁ ἥλιος, καὶ οὐδεὶς ἕξει σωματικὰ τηνικαῦτα τραύματα, ἢ τύπους τραυμάτων, οὐδὲ προσδεήσεται βρώσεως.

§ 65 Ἄνευ σπέρματος ἀνδρὸς ὁ δεύτερος Ἀδὰμ, διότι καὶ ὁ πρῶτος Ἀδὰμ, ἄνευ σπέρματος ἀνδρὸς ἐπλάσθη· οὐκ ἐκ χοὸς δὲ ὁ δεύτερος, ὡς ὁ πρῶτος, ἀλλ' ἐκ τῶν παρθενικῶν αἱμάτων, ἵνα μὴ ἀλλότριος δόξῃ τῆς ἐκείνου φύσεως. Σπέρμα μὲν γὰρ τοῦ πρώτου | Ἀδὰμ, ἡ Παρθένος· ἐκ ταύτης δὲ ὁ δεύτερος Ἀδὰμ ἐγεννήθη. Ἀναμάρτητος δὲ γέγονε, διότι οὐ φύσει, ἀλλὰ προαιρέσει ἡ ἁμαρτία.

§ 66 Ὁ Χριστὸς, ὅλος μέν ἐστι Θεὸς, τέλειος γὰρ Θεὸς, οὐχ ὅλον δὲ Θεὸς, οὐ μόνον

γὰρ Θεὸς, ἀλλὰ καὶ ἄνθρωπος· καὶ αὖθις ὁ αὐτὸς, ὅλος μὲν ἄνθρωπος, τέλειος γὰρ ἄνθρωπος, οὐχ ὅλον δὲ ἄνθρωπος, οὐ μόνον γὰρ ἄνθρωπος, ἀλλὰ καὶ Θεός. Τὸ μὲν γὰρ ὅλον, φύσεώς ἐστι παραστατικὸν, τὸ δὲ ὅλος, ὑποστάσεως, ὥσπερ τὸ μὲν ἄλλο, φύσεως ἀντωνυμία, τὸ δὲ ἄλλος, ὑποστάσεως.

§ 67 Τότε γέγονε Χριστὸς, ὁ Κύριος, ὅτε σὰρξ ἀτρέπτως ἐγένετο, χρίσας τὴν
ἀνθρωπότητα αὐτοῦ, τῇ θεότητι. Τὸ γὰρ, *Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός* Heb 1.9
σου, παρωχημένον μὲν εἰσάγει χρόνον, τέθειται δὲ ἀντὶ μέλλοντος, κατὰ τοὺς Ps 44.8
νόμους τῆς προφητείας.

§ 68 Δύο εἰσὶν οἰκειώσεις, μία μὲν φυσικὴ καὶ οὐσιώδης, καθ᾽ ἣν ὁ Κύριος τὴν φύσιν ἡμῶν καὶ τὰ φυσικὰ πάντα διὰ φιλανθρωπίαν ἀνέλαβε, φύσει γενόμενος ἄνθρωπος καὶ τῶν φυσικῶν πάντων ἐν πείρᾳ καταστάς. Ἑτέρα δὲ προσωπική τε καὶ σχετικὴ, καθ᾽ ἥν τις τὸ τοῦ ἑτέρου πρόσωπον ὑποδύεται, διὰ σχέσιν τινὰ φιλίας ἢ οἴκτου, καὶ ἀντ᾽ αὐτοῦ, τοὺς ὑπὲρ αὐτοῦ ποιεῖται λόγους. Κατὰ ταύτην
οὖν τὴν οἰκείωσιν ὁ Κύριος, *Ἱνατί ἐγκατέλιπές με* λέγει· καὶ πολλὰ τοιαῦτα καὶ Ps 21.1
λέγει, καὶ ἀκούει, καὶ κατάρα καὶ ἁμαρτία. Mk 15.34

§ 69 Φθορὰ μὲν, ἡ ἀπὸ τοῦ ψυχικοῦ θανάτου, λύμη τῆς ψυχῆς, ἤγουν ἡ ἀπὸ τῆς ἁμαρτίας· φθορὰ δὲ, καὶ ἡ ἀπὸ τοῦ σωματικοῦ θανάτου, λύμη τοῦ σώματος, ἤγουν ἡ ἀπὸ τῆς σηπεδόνος, ἥτις καὶ διαφθορὰ κυριώτερον ὀνομάζεται· φθορὰ δὲ, καὶ τὰ σωματικὰ πάθη, ἤτοι τὰ φυσικὰ καὶ ἀδιάβλητα, οἷον, πεῖνα, δίψα, κόπος, δειλία, διάτρησις ἥλων, θάνατος, καὶ πρὸ τούτου, πολλὰ τοιαῦτα. Κατὰ μὲν οὖν τὴν πρώτην καὶ δευτέραν φθορὰν, ἄφθαρτον ἦν τὸ πρόσλημμα, οὔτε γὰρ ἁμαρτίαν ἐποίησεν, οὔτε διεφθάρη τὸ σῶμα μετὰ τὴν διάζευξιν τῆς ψυχῆς, *Οὐ γὰρ δώσεις,*
φησὶν, *τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν*. Κατὰ δὲ τὸ τρίτον σημαινόμενον, φθαρτὸν Ps 15.10
ἦν καὶ τοῦτο· πᾶσι γὰρ τοῖς φυσικοῖς ὑπέκειτο πάθεσι. Μετὰ δὲ τὴν ἀνάστασιν, ἄφθαρτον ἐγένετο καὶ κατὰ τοῦτο τὸ σημαινόμενον.

§ 70 Τὸ μὲν εἰπεῖν σεσαρκῶσθαι, τὸ ἡνῶσθαι σαρκὶ δηλοῖ· τὸ δὲ σάρκα γενέσθαι τὸν Λόγον, τὸ τὴν ὑπόστασιν τοῦ Λόγου, ὑπόστασιν γενέσθαι καὶ τῇ σαρκί.

§ 71 Μεταξὺ τοῦ μηδαμῇ μηδαμῶς καὶ τοῦ ἐνεργείᾳ ὄντος, ἔστι τί, ὅπερ δυνάμει λέγεται, ὃ πῇ μὲν ἔστι τί, πῇ δὲ οὐκ ἔστι τί, ὡς ἐπὶ τοῦ σπέρματος τοῦ ἀνθρώπου, τοῦτο γὰρ δυνάμει μὲν, ἔστιν ἄνθρωπος, δύναται γὰρ ἀποτελεσθῆναι ἄνθρωπος, ἐνεργείᾳ δὲ οὐκ ἔστιν ἄνθρωπος, ἀλλ᾽ ἀνθρώπου σπέρμα· | καὶ αὖθις τὸ παιδίον, δυνάμει μὲν, ἔχειν λέγεται καὶ ἀρετὴν καὶ κακίαν, ἐνεργείᾳ δὲ, οὐδαμῶς. Διττὸν δὲ τὸ δυνάμει· τὸ μὲν γὰρ κατ᾽ ἐπιτηδειότητά ἐστιν, ὡς ὅταν εἴπωμεν τὸ παιδίον, δυνάμει γραμματικὸν εἶναι, ὡς ἔχον ἐπιτηδειότητα πρὸς τὴν γραμματικὴν τέχνην· τὸ δὲ καθ᾽ ἕξιν, ὡς ὅταν τὸν ἠρεμοῦντα γραμματικὸν, λέγωμεν δυνάμει γραμματικὸν εἶναι, ὡς ἔχοντα μὲν τὴν τέχνην, μὴ ἐνεργοῦντα δὲ τηνικαῦτα.

Ταῦτα μὲν οὖν περὶ τοῦ δυνάμει. Καὶ τὸ ἐνεργείᾳ δὲ, πάλιν διττόν· τὸ μὲν γάρ ἐστι καθ᾽ ἕξιν, ὡς ὅταν τὸν ἠρεμοῦντα γραμματικὸν, εἴπωμεν ἐνεργείᾳ γραμματικὸν εἶναι, ὡς ἀληθείᾳ γραμματικὸν, εἰ καὶ ἠρεμεῖ, ὡς ἐν ἕξει τῆς τέχνης ὄντα· τοῦτο δὲ, ταὐτὸν μέν ἐστι τῷ δευτέρῳ σημαινομένῳ τοῦ δυνάμει, διαφέρει δὲ, ὅτι ἐκεῖνο μὲν, δυνάμει, τοῦτο δὲ, ἐνεργείᾳ λέγεται· τὸ δὲ, κατὰ προχείρισιν, ὡς ὅταν λέγωμεν τὸν ἐνεργοῦντα γραμματικὸν, ἐνεργείᾳ γραμματικὸν εἶναι, ὡς ἐνεργοῦντα ἤδη τὴν τέχνην.

§ 72 Τὸ ταὐτὸν λέγεται μὲν τῇ οὐσίᾳ, ὡς Πέτρος Παύλῳ τῇ οὐσίᾳ ταὐτὸν, τοῦτο δὲ, καὶ φύσει ταὐτὸν φαμέν· λέγεται δὲ καὶ τῷ γένει, ὡς βοῦς ἵππῳ τῷ γένει ταὐτὸν, γένος γὰρ ἀμφοῖν, τὸ ἄλογον ζῷον· λέγεται δὲ καὶ τῷ εἴδει, ὡς Τίτος Τιμοθέῳ τῷ εἴδει ταὐτὸν, ὑπὸ γὰρ τὸν ἄνθρωπον ἄμφω· λέγεται δὲ καὶ τῷ ἀριθμῷ, ὡς τὸ πολυώνυμον ἀριθμῷ ταὐτὸν, ξίφος γὰρ, καὶ ἄορ, καὶ σπάθη, καὶ φάσγανον, ἓν τῷ ἀριθμῷ, ἓν γὰρ ἐνταῦθα τὸ ὑποκείμενον· λέγεται δὲ καὶ τῇ ἀναλογίᾳ, ὡς ὁ νοῦς τῷ ὀφθαλμῷ τῇ ἀναλογίᾳ ταὐτὸν, ὃ γὰρ ὀφθαλμὸς ἐν σώματι, τοῦτο νοῦς ἐν ψυχῇ· λέγεται δὲ καὶ τῇ ὑποστάσει ταὐτὸν, ὡς ἐπὶ Χριστοῦ, αἱ διάφοροι γὰρ φύσεις αὐτοῦ τῇ ὑποστάσει ταὐτὸν, ἤγουν ἕν.

§ 73 Ἡ ἐπίνοια, διττὴ παρὰ τοῖς Ὀρθοδόξοις· ἡ μὲν, ἐπὶ ἀληθέσι πράγμασι νοουμένη· ἡ δὲ ἐπὶ ἀνυποστάτοις καὶ πλασματώδεσι.

§ 74 Ἡσαΐας μὲν ὁ προφήτης, *Εἶδον*, ἔφη, *τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ*
θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ μετὰ ὀλίγα, φησὶ, *Καὶ εἶπε Κύριος πρός με*, Is 6.1
Πορεύου καὶ εἶπον τῷ λαῷ τούτῳ· ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ τὰ Is 6.9
ἑξῆς. Ὅσον μὲν οὖν ἀπὸ τῆς ἀκολουθίας, ὁ ἐπὶ πάντων ἐστὶ Πατὴρ, ὁ ὀφθεὶς
καὶ χρησμοδοτήσας τῷ προφήτῃ. Ὁ δ᾽ εὐαγγελιστὴς Ἰωάννης, τὸν υἱὸν ἔφη
χρησμοδοτῆσαι ταῦτα τῷ Ἡσαΐᾳ. Ὁ δὲ μέγας Παῦλος, τοῦ ἁγίου Πνεύματος Jo 12.41
ἀπεφήνατο τὴν τοιαύτην χρησμοδοσίαν, εἰπὼν, *Καλῶς ἔφη τὸ Πνεῦμα τὸ ἅγιον*
διὰ τοῦ προφήτου Ἡσαΐου πρὸς τοὺς πατέρας ὑμῶν, ἀκοῇ | ἀκούσετε καὶ οὐ μὴ
συνῆτε, καὶ τὰ ἑξῆς. Κἀντεῦθεν οὖν δῆλον, ὅτι ὥσπερ ἓν βούλημα τοῖς τρισὶ Ac 28.26
προσώποις τῆς μιᾶς θεότητος, οὕτω καὶ ἡ μία ἐνέργεια, κοινή τε καὶ ἀδιαίρετος.

§ 75 Πῶς ἔσονται δύο ἀρχαὶ, ἀγαθὸν καὶ κακόν; Κατὰ τοὺς Μανιχαίους, ἐναντία γὰρ ἀλλήλοις, καὶ ἀλλήλων φθαρτικὰ, καὶ ἀσύμβατα. Καὶ λοιπὸν ἐν μέρει τοῦ παντὸς, ἑκάτερον ἔσται, καὶ ὑπὸ τοῦ μέρους τούτου περιφραγήσεται. Εἶτα, ἢ ἀλλήλων ἅψονται, καὶ ὑπ᾽ ἀλλήλων φθαρήσονται, ἢ μέσον ἔσται τι διατειχίζον, καὶ ἰδοὺ τρεῖς ἀρχαί. Καὶ αὖθις, ἢ εἰρηνεύσουσιν, ὅπερ τὸ κακὸν οὐ δύναται, ἢ μαχέσονται, ὅπερ τὸ ἀγαθὸν οὐ δύναται. Τὸ μὲν γὰρ κακὸν, εἰρηνεῦον, οὐ κακόν· τὸ δὲ ἀγαθὸν, μαχόμενον, οὐκ ἀγαθόν. Οὐκ ἄρα δύο ἀρχαί· μία δὲ πάντως, ἀγαθή. Τὸ δὲ κακὸν, οὐκ ἀρχὴ, ἀλλὰ τοῦ ἀγαθοῦ στέρησις καὶ ἀποτυχία.

Κατὰ τῶν τῆς παλαιᾶς Ῥώμης, ὅτι οὐκ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ ἅγιον Πνεῦμα

§ 1 Εἰ ἁπλοῦν μὲν τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς δὲ καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, πάντως ἓν ἂν οὗτοι νομισθείεν πρόσωπον· κἀντεῦθεν εἰσαχθήσεται συναλιφὴ σαβέλλειος, ἢ μᾶλλον ἡμισαβέλλειος.

§ 2 Εἴπερ ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, διπλοῦν ἂν εἴη τοῦτο καὶ σύνθετον.

§ 3 Εἰ πρὸς δύο ἀρχὰς ἀναχθήσεται τὸ Πνεῦμα, ποῦ τὸ πολυΰμνητον ἔσται τῆς μοναρχίας;

§ 4 Εἰ προβάλλεται μὲν ὁ Πατὴρ τὸ Πνεῦμα, προβάλλεται δὲ τοῦτο καὶ ὁ Υἱὸς, εἴη ἂν ὁ Πατὴρ, καὶ προσεχὴς τοῦ Πνεύματος προβολεὺς καὶ πόῤῥω, διὰ τὴν ἐκ τοῦ Υἱοῦ προβολήν.

§ 5 Εἴπερ ἡ ἐκ τοῦ Πατρὸς ἐκπόρευσις τοῦ ἁγίου Πνεύματος ἐντελὴς, περιττὴ ἄρα ἡ ἐκ τοῦ Υἱοῦ.

§ 6 Εἰ μὲν τὴν αὐτὴν προβολὴν τοῦ Πνεύματος ὁ Υἱὸς ἔχει τῷ Πατρὶ, κοινὴ τούτοις ἡ τῆς προβολῆς ἰδιότης· καὶ πῶς ἔσται τὸ κοινὸν, ἰδιότης; Εἰ δὲ τὴν ἐναντίαν, πῶς οὐ φθείρει ταύτην ἐκείνη· φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία. Εἰ δ᾽ ἑτεροίαν, μέρος μὲν τοῦ Πνεύματος, οὕτως, μέρος δὲ, τρόπον ἄλλον ἐκπορευθήσεται, καὶ ἐξ ἀνίσων μερῶν ἔσται τοῦτο συγκείμενον.

§ 7 Εἴπερ ἐξ ἑνὸς αἰτίου, δηλαδὴ τοῦ Πατρὸς, ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα προεληλύθασι, προβάλλεται δὲ πάλιν ὁ Υἱὸς τὸ Πνεῦμα, προβαλεῖται | καὶ τὸ Πνεῦμα τὸν Υἱόν· ὁμοτίμως γὰρ ἄμφω προήγαγεν ὁ Πατὴρ καὶ προβολεύς.

§ 8 Εἴπερ ὁ Υἱὸς τῷ Πατρὶ κοινωνεῖ τῆς τοῦ ἁγίου Πνεύματος προβολῆς, καὶ τὸ ἅγιον Πνεῦμα ταύτης κοινωνήσει, πάντα γὰρ ὅσα τοῦ Πατρὸς, κοινὰ πρὸς τὸν Υἱὸν, ταῦτα καὶ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ λοιπὸν ἔσται καὶ αἴτιον ἅμα καὶ αἰτιατὸν, ὅ καὶ τῆς τῶν Ἑλλήνων μυθολογίας τερατωδέστερον.

§ 9 Εἰ προβάλλεται μὲν καὶ ὁ Υἱὸς, τὸ Πνεῦμα δὲ τῆς προβολῆς ἀπεστέρηται, καταδεεστέρας ἂν εἴη τοῦτο παρὰ τὸν Υἱὸν δυνάμεως, ὃ τῆς Μακεδονίου παραφροσύνης.

§ 10 Προφασίζεται δὲ, ὅτι Ἀμβρόσιος οὕτως εἴρηκεν ἐν τοῖς περὶ αὐτοῦ λόγοις· ἔτι δ᾽ Αὐγουστῖνος καὶ Ἱερώνυμος· ὑπὲρ ὧν ἀπολογητέον, ὡς ἢ νενοθεύκασιν

οἱ Πνευματομάχοι τὰς τούτων συγγραφὰς, ἢ κατ᾽ οἰκονομίαν ἴσως εἰρήκασιν, ᾗ καὶ ὁ μέγας ἐχρήσατο Βασίλειος, παρ᾽ ἑαυτῷ φυλάττων ἀπόῤῥητον μέχρι τινὸς τοῦ παναγίου Πνεύματος τὴν θεολογίαν, ἢ καὶ τῆς ἀκριβείας ὡς ἄνθρωποι παρεσύρησαν, ὃ πολλοὶ πεπόνθασι τῶν μεγάλων ἔν τισιν, ὡς ὁ Ἀλεξανδρείας Διονύσιος, καὶ ὁ Μεθόδιος ὁ Πατάρων, καὶ Πάνταινος, καὶ Κλήμης ὁ Στρωματεὺς, καὶ Πιέριος, καὶ Πάμφιλος, καὶ Θεογνώστος, καὶ Εἰρηναῖος ὁ Λουγδούνων, καὶ Ἱππόλυτος ὁ μαθητὴς αὐτοῦ. Τινὰς γὰρ αὐτῶν ῥήσεις οὐκ ἀποδεχόμεθα, καίτοι τ᾽ ἄλλα σφόδρα θαυμάζοντες.

Εἶπον οἱ τρεῖς ὡς Ῥωμαῖοι λέγουσιν· οἱ δὲ τῶν ἑπτὰ συνόδων ἀρχιερεῖς οὐκ εἶπον. Τὸν γὰρ τῆς πίστεως ἡμῶν ἱερὸν ὅρον, πᾶσαι κατὰ διαδοχὰς ἐβεβαίωσαν, αἷς οἱ πρόεδροι καὶ λαμπτῆρες τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἀναντιῤῥήτως συνεψηφίσαντο, καὶ δόγμα προτεθῆναι μηδὲν ἔτι τεθείκασι, μήτ᾽ ἀφαιρεθῆναι τοῦ ῥηθέντος ὅρου τῆς πίστεως, ἀλλὰ καὶ τὸν κατατολμήσοντα παντάπασιν ἀποῤῥαγῆναι τῆς Ἐκκλησίας.

Ὁ μέντοι θεῖος Γρηγόριος ὁ Διάλογος, οὐ πολὺ μετὰ τὴν ἕκτην σύνοδον ἀκμάσας, Ῥωμαϊκῇ φωνῇ καὶ γράμμασιν, ἐθεολόγησεν ἐκ τοῦ Πατρὸς μόνου προβάλλεσθαι τὸ Πνεῦμα τὸ ἅγιον· Ζαχαρίας δὲ, πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν ἔτεσιν ὕστερον τὰ συγγράμματα τοῦ Διαλόγου δι᾽ Ἑλληνίδος ἑρμηνεύων φωνῆς, τὸ Παράκλητον Πνεῦμα, φησὶν, ἐκ τοῦ Πατρὸς προέρχεται καὶ ἐν τῷ Υἱῷ μένει, παρὰ τοῦ Προδρόμου τοῦτο μαθὼν, ἰδόντος τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν καὶ μένον ἐπ᾽ αὐτόν. Jo 1.32

Λέων δὲ καὶ Βενέδικτος, οἱ μεγάλοι Ῥώμης | ἐσύστερον ἀρχιερεῖς, Ἑλληνιστὶ κατὰ τὴν ἱερὰν μυσταγωγίαν ἐκφωνεῖσθαι τὸ σύμβολον τῆς πίστεως ἔν τε Ῥώμῃ καὶ ταῖς ἄλλαις ὑπὸ ταύτην Ἐκκλησίαις ἐνομοθέτησαν, ἵνα μὴν τὸ στενὸν τῆς διαλέκτου, βλασφημίας παράσχοι πρόφασιν.

Οὗτος δὲ ὁ Λέων καὶ τὸ θησαυροφυλάκιον τῆς ἀποστολικῆς Ἐκκλησίας [AD847-855] Ῥωμαίων ἀνοίξας, ἀσπίδας δύο τοῖς ἱεροῖς κειμηλίοις συναποτεθησαυρισμένας ἐξήνεγκεν, Ἑλληνικοῖς καὶ γράμμασιν καὶ ῥήμασιν ἐχούσας τὴν εὐσεβῆ τῆς πίστεως ἔκθεσιν, καὶ ταύτας ἐνώπιον ὑπαναγνωσθῆναι τοῦ Ῥωμαϊκοῦ πλήθους ἐδικαίωσε.

Καὶ μέχρι τοῦ εὐσεβοῦς Πατριάρχου Κωνσταντινουπόλεως Σεργίου, οἱ Ῥώμης [AD1001-19] ἀρχιερεῖς, ἐν ἀρχῇ τῆς ἱεροσύνης συστατικὴν τῆς ἑαυτῶν θρησκείας ἐκπέμποντες ἐπιστολὴν εἰς πάντας τοὺς Πατριαρχικοὺς θρόνους, τὸ σύμβολον τῆς πίστεως ἀπαραλλάκτως ἐνέταττον.

Ἀλλὰ τί δεῖ πολλὰ λέγειν; Ὁ Υἱὸς καὶ Δεσπότης, τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύσεθαι μυσταγωγεῖ, καὶ ὁ μέγας δὲ Παῦλος αὖθις ἀποφαίνεται λέγων, *Κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ᾽ ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.* Καὶ τίς ἐπιζητεῖ διδάσκαλον ἄλλον, εἰ μὴ προφανῶς μέμηνεν; Gal 1.8

§ 11 Ὁ μὲν Πατὴρ, προκαταρκτικὴ αἰτία τῶν γινομένων, ὁ δὲ Υἱὸς, δημιουργικὴ, τὸ Πνεῦμα δὲ τὸ ἅγιον, τελειωτική.

§ 12 Κατὰ μὲν τὴν ἰδιότητα τῶν προσώπων, εἷς καὶ εἷς, ὁ Πατὴρ καὶ ὁ Υἱός. Κατὰ δὲ τὸ κοινὸν τῆς φύσεως, ἓν οἱ ἀμφότεροι. Πῶς οὖν, εἴπερ εἷς καὶ εἷς, οὐχὶ δύο θεοί; Ὅτι βασιλεὺς λέγεται, καὶ ἡ τοῦ βασιλέως εἰκών· καὶ οὐ δύο βασιλεῖς· οὔτε γὰρ τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα μερίζεται. Ὃ οὖν ἐστιν ἐνταῦθα μιμητικῶς ἡ εἰκών, τοῦτο ἐκεῖ φυσικῶς ὁ Υἱός. |

Κεφάλαια καιριώτατα κατὰ Ἑβραίων ἔκ τε τῶν τοῦ Χρυσοστόμου λόγων, καὶ λοιπῶν πατέρων

§ 1 Εἴ τινα εἶδες ἄνθρωπον αἰδέσιμον καὶ λαμπρὸν εἰς καπηλεῖον εἰσαχθέντα ἢ εἰς καταγώγιον λῃστῶν, εἶτα ὑβριζόμενον ἐκεῖ καὶ τυπτόμενον, καὶ τὴν ἐσχάτην ὑφιστάμενον παροινίαν, ἆρα ἂν ἐθαύμασας τὸ καπηλεῖον ἢ τὸ σπήλαιον, ὅτι ἔνδον αὐτῶν ὁ θαυμαστὸς ἐκεῖνος ὅλως εἰσήχθη, ἢ μᾶλλον ἐβδελύξω ταῦτα καὶ ἀπεστράφης, ὅτι ἔνδον αὐτῶν ὑβρίζεται; Τοιοῦτον εἶναι νόμιζε καὶ τὸν τόπον τῆς συναγωγῆς τῶν Ἰουδαίων. Τὸν γὰρ Μωσέα καὶ τοὺς προφήτας εἰσαγαγόντες ἐκεῖ, μᾶλλον ἀτιμάζουσιν ἢ τιμῶσιν. Ὅταν γὰρ λέγωσι μηδὲν αὐτοὺς εἰρηκέναι περὶ τοῦ Χριστοῦ καὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ, μᾶλλον δὲ παραφθείρωσι τὰς τοῦτο διδασκούσας ῥήσεις αὐτῶν, πότερον οὐ προδήλως αὐτοὺς ὑβρίζουσιν; Ἐπεὶ καὶ ὁ τοῦ Σαράπιδος ναὸς εἶχε τὰς βίβλους ταύτας, μεταγραφείσας παρὰ Πτολεμαίου τοῦ Φιλαδέλφου, ἀλλ᾽ οὐ διὰ τοῦτο φαίη τις ἂν ἅγιον ἐκεῖνον. Αὗται μὲν γὰρ εἶχον τὴν οἰκείαν ἁγιωσύνην, οὐ μεταδεδώκασι δὲ ταύτης καὶ τῷ ναῷ, διὰ τὴν τῶν ἐκεῖ συνιόντων μιαρίαν. Ἀλλὰ καὶ Ἀζώτιοι, τὴν κιβωτόν ποτε λαβόντες, εἰς τὸ ἱερὸν αὐτῶν εἰσήγαγον, καὶ οὐδὲν ἧττον ἐκεῖνο μιαρὸν ἦν. Ὥστε διὰ τοῦτο μάλιστα 1Rg 1.1
μισεῖν Ἰουδαίους καὶ τὴν συναγωγὴν αὐτῶν δίκαιον, ὅτι οὕτως ἐμπαροινοῦσιν εἰς τὸν Μωσέα καὶ τοὺς προφήτας. Βίβλοι γὰρ ἀναγινωσκόμεναι μετὰ ἀπιστίας, οὔτε τόπον, οὔτε τοὺς ἀναγινωσκόντας ἁγιάσαι δύνανται. Δικαίως οὖν ἐῤῥήθη
πρὸς αὐτοὺς, ὅτι *Σπήλαιον ὑαίνης ἐγένετό μοι ὁ οἶκος ὑμῶν*· ὑαίνης, ὠμοῦ καὶ Jer 12.9
ἀκαθάρτου θηρίου.

§ 2 Εἰ μὴ τοὺς προφήτας εἶχον, εἰ μὴ τὰς ἱερὰς βίβλους ἀνεγίνωσκον, οὐκ ἂν οὕτως ἦσαν ἀκάθαρτοι καὶ βέβηλοι. Νῦν δὲ πάσης ἀπεστέρηνται συγγνώμης, ὅτι τοὺς κήρυκας τῆς ἀληθείας ἔχοντες, πρὸς αὐτοὺς ἐκείνους, καὶ πρὸς τὴν ἀλήθειαν ἀπομάχονται.

§ 3 Ἐπὶ τῶν Ἰουδαϊκῶν ἑορτῶν, οὐ μόνον καιρὸν, ἀλλὰ καὶ τόπον παρατηρεῖν ἐκέλευσεν ὁ Θεός. Καθάπερ γὰρ τοῦ Πάσχα, καιρὸς μὲν ἡ δεκατέσσαρες τοῦ μηνὸς τοῦ πρώτου, τόπος δὲ τὰ Ἱεροσόλυμα, οὕτω δὴ καὶ τῶν ἄλλων. Ἀλλ᾽ ὁ μὲν καιρὸς τῶν ἑορτῶν διάφορος, ὁ δὲ τόπος εἷς. Καὶ οὐκ ἐξῆν, ἢ τὸν καιρὸν ἢ τὸν τόπον παραβαίνειν. Μᾶλλον δὲ τὸν μὲν καιρὸν ἐπὶ τοῦ Πάσχα | δι᾽ ἀνάγκην συνεχωρεῖτο παραβαίνειν, τὸν δὲ τόπον οὐδαμῶς. Οὐ δύνασαι γὰρ, φησὶν, *ποιεῖν τὸ Πάσχα ἐν οὐδεμιᾷ τῶν πόλεων, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι, ἀλλ᾽ ἢ*

ἐν μόνῳ τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός. Τί οὖν, ἑαυτῷ ἐναντιοῦται, Dt 16.5
θύειν μὲν ἐν ἑνὶ τόπῳ νομοθετήσας, αὐτὸν δὲ πάλιν τὸν τόπον καταστρέψας, καὶ ἄβατον Ἰουδαίοις ἐργασάμενος; Οὐδαμῶς. Ἀλλ᾽ ἐπείπερ οὐδὲ παρὰ τὴν ἀρχὴν αὐτοῖς δοῦναι τὰς θυσίας ἐβούλετο, κατενόει δὲ, μαινομένους, ἀγχομένους, ἐπιθυμοῦντας θυσιῶν, καὶ παρεσκευασμένους, εἰ μὴ λάβοιεν, αὐτομολῆσαι πρὸς εἰδωλολατρείαν, οἰκονομικῶς ἐπέτρεψεν αὐτὰς, ἀπὸ τῶν εἰδώλων εἰς ἑαυτὸν ταύτας μεταστήσας. Καὶ συνεχώρησε τὸ μεῖον κακὸν, ἵνα μὴ τῷ μείζονι περιπέσοιεν. Εἶτα διὰ σοφωτάτης μεθόδου καὶ ταύτας περιεῖλε, τὰς μὲν θυσίας ἐν μιᾷ πόλει περιορίσας, τὴν δὲ πόλιν ταύτην καθελὼν ὕστερον, ἵνα μὴ δυνάμενοι θύειν ἔξω ταύτης διὰ τὸν νόμον, εὐμηχάνως ταύτας ἀφαιρεθεῖεν. Καὶ τὸ δὴ θαυμαστὸν, πᾶσα μὲν ἀνεῖται τοῖς Ἰουδαίοις ἡ οἰκουμένη ἔνθα θύειν οὐκ ἔξεστι, μόνη δὲ τούτοις ἡ Ἰερουσαλὴμ ἀποκέκλεισται, ἔνθα θύειν μόνον ἐξῆν. Ὥσπερ γὰρ οἰκοδόμος, θεμελίους θεὶς, τοίχους ἀναστήσας, ὄροφον καμαρώσας, τὴν καμάραν ἐκείνην εἰς ἕνα τινὰ λίθον μέσον συνέδησεν, εἶτα τὸν λίθον ἐκεῖνον ἀφελὼν, ὅλην κατήνεγκε τὴν καμάραν, οὕτω καὶ ὁ Θεὸς, καθάπερ τινὰ σύνδεσμον τῆς διὰ θυσιῶν λατρείας τὴν Ἰερουσαλὴμ ὁρισάμενος, εἶτα ταύτην ἀνατρέψας, ὁμοῦ κατέλυσε καὶ τὴν λατρείαν τῶν θυσιῶν.

§ 4 Καὶ μὴν καὶ ἐν τῷ Λευϊτικῷ, περὶ θυσιῶν ἐντέλλεται, καὶ ἐν τῷ Δευτερονομίῳ δὲ καὶ ἐν ἑτέροις, ἀλλ᾽ οὐ προηγουμένως ἤθελε ταύτας· κωλύων δὲ τὸ δαίμοσι θύειν, μετέστησεν αὐτὰς εἰς ἑαυτὸν οἰκονομικῶς· καὶ κατεδέξατο ὅπερ οὐκ ἐβούλετο, ἵν᾽ ὅπερ ἐβούλετο κατορθώσῃ, καὶ συνεχώρησε τὸ ἔλαττον κακὸν, ἵνα τὸ μεῖζον ἐκκόψῃ. Τούτου δ᾽ ἐκκοπέντος, καὶ τὸ ἔλαττον ὡς μηκέτι χρησιμεῦον συναπήλασεν.

§ 5 Ὅτι δὲ οὐ ταῖς θυσίαις ἀρεσκόμενος ὁ Θεὸς ἐνομοθέτησε περὶ τούτων, ἀλλὰ
ταῖς ἀσθενείαις τῶν Ἰουδαίων ὡς νηπίων ἔτι συγκαταβαίνων, ἐδήλωσε μὲν διὰ
Ἡσαΐου λέγων, *Οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν. Πλήρης εἰμί· ὁλοκαυτώματα* Mal 1.10
κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. Τίς γὰρ
ταῦτα ἐξεζήτησεν ἐκ τῶν χειρῶν ὑμῶν; Καὶ *Ἐὰν προσφέρετέ μοι σεμίδαλιν,*
μάταιον· θυμίαμα, βδέλυγμά μοί ἐστι. Καὶ αὖθις, *Οὐκ ἐδόξασάς με ἐν θυσίαις,* Is 1.11-13
οὐδὲ ἐδούλευσάς μοι ἐν δώροις. Καὶ διὰ Ἰερεμίου· *Ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ* Is 43.23
φέρετε, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; Τὰ ὁλοκαυτώματα ὑμῶν οὐχ ἥδυνάν με. Jer 6.20
Καὶ πάλιν, *Τὰ ὁλοκαυτώματα ὑμῶν μετὰ τῶν θυσιῶν ὑμῶν μεμίσηκεν ἡ ψυχή*
μου. Καὶ πρὸς τούτοις, *Οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν περὶ θυσιῶν, οὐδὲ*
| περὶ ὁλοκαυτωμάτων ἐνετειλάμην αὐτοῖς. Εἰ γὰρ ταῦτα ἐζήτει, τοὺς παλαιοὺς Jer 7.21-22
ἂν τοὺς πρὸ αὐτῶν λάμψαντας, πρώτους ἤγαγεν ἐπὶ ταῦτα. Νῦν δὲ κατὰ καιρὸν
αὐτὰ συγχωρήσας, αὖθις ἀπελαύνει. Φησὶ γὰρ καὶ διὰ Δαβὶδ, *Οὐ δέξομαι ἐκ τοῦ*
οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. Καὶ, *Μὴ φάγομαι κρέα* Ps 49.9
ταύρων, ἢ αἷμα τράγων πίομαι; καὶ πολλὰ τοιαῦτα. Εἶτα τὴν λογικὴν ἀντεισάγει Ps 49. 13
λατρείαν, λέγων, *Ἔλεον θέλω, καὶ οὐ θυσίαν*. Καὶ, *Ἰδοὺ ἀγαθὸν ὑπακοὴ ὑπὲρ* Hos 6.6

θυσίαν. Καὶ, *Θυσία αἰνέσεως δοξάσει με*. Καὶ, *Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου* 1Rg 15.22
μετ᾽ ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει. Καὶ, *Ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον*. Ps 49. 23
Καὶ, *Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον*. Καὶ, *Θυσίαν καὶ προσφορὰν οὐκ* Ps 69.30-31
ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι, δηλαδὴ τὸ Δεσποτικὸν, τὸ παρὰ τῶν ἱερέων Ps 50.19
ἑκάστοτε θυόμενον, καὶ τοῖς ἀξίοις διανεμόμενον εἰς μετάληψιν. Ps 39.7

§ 6 Ἐρωτάσθωσαν Ἰουδαῖοι, πῶς ἑορτάζουσι μὴ ἔχοντες τόπον ἑορτῆς; Ἆρ᾽ οὐ προδήλως παρανομοῦσιν; Εἰ γὰρ οἱ αἰχμαλωτισθέντες πάλαι προφῆται οὔτε θύειν ἐτόλμων, ἐκπεπτωκότες τῆς Ἰερουσαλήμ· *Οὐκ ἔστι γὰρ*, φησὶν, *ἐν τῷ καιρῷ τούτῳ, οὐδὲ ὁλοκαύτωμα, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα,*
οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος. Ἀλλὰ καὶ ᾄδειν ἐκ τῶν Da 3.38
ᾠδῶν Σιὼν ἀναγκαζόμενοι παρὰ τῶν αἰχμαλωτισάντων οὐκ ἠνείχοντο, λέγοντες,
Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; Ναὶ μὴν καὶ διὰ Ζαχαρίου ὁ Ps 136.4
Θεὸς ἑτέροις ἔλεγε, *Μὴ νηστείαν νενηστεύκατέ μοι ἔτη ἑβδομήκοντα*; δηλονότι, Zach 7.5
τὰ τῆς αἰχμαλωσίας. Ὅπου δὲ θυσία οὐκ ἦν, οὐδὲ ᾠδὴ, οὐδὲ νηστεία, πάντως οὐδὲ ἑορτή· πᾶσα γὰρ ἑορτὴ νομικὴ διὰ θυσίας ἐπετελεῖτο· πῶς τολμῶσιν οὗτοι νηστεύειν, ἢ ἑορτάζειν, ἢ ὅλως νομικήν τινα λατρείαν ἐπιτελεῖν; Ὅτι δὲ οἱ προφῆται οὐδὲ τὸ Πάσχα ἔθυον, οὐδ᾽ ἄλλην ἑορτὴν ἐν ἀλλοτρίᾳ γῇ, δῆλον καὶ ἀπὸ τῆς νηστείας τοῦ Δανιήλ. Ἀρξάμενος γὰρ ἀπὸ τῆς τρίτης ἡμέρας τοῦ πρώτου
μηνὸς, ἐνήστευσε τρεῖς ἑβδομάδας, ἄχρι τῆς εἰκοστῆς τετάρτης αὐτοῦ· ἐν τούτῳ Da 10.2-4
δὲ τῷ μηνὶ, καὶ ἡ ἑορτὴ τοῦ Πάσχα ἦν, καὶ ἡ τῶν Ἀζύμων, ἡ μὲν κατὰ τὴν ιδ΄, ἡ δὲ ἀπὸ τῆς ιε΄ ἄχρι τῆς κα΄, ἐν αἷς νηστεύειν θέμις οὐκ ἦν.

§ 7 Ἐὰν δὲ λέγωσιν ὅτι, Προσδοκῶμεν τὴν πόλιν ἀπολαβεῖν, εἰπὲ πρὸς αὐτοὺς, Οὐκοῦν ἡσυχάσατε ἕως ἀπολάβητε αὐτήν. Καὶ γὰρ καὶ οἱ πρὸ ὑμῶν αἰχμαλωτισθέντες ἅγιοι, μέχρις ἂν ἀπέλαβον αὐτὴν, | οὐδὲ μίαν νομικὴν ἐπετέλουν λατρείαν. Σὺ δὲ τούτους ἀθετῶν, προδήλως παρανομεῖς.

§ 8 Χρίσματος οὐκ ὄντος, οὐκ ἔχεις ἱερέα· μὴ ὄντος ἱερέως, οὐκ ἔχεις θυσίαν, οὐδὲ λατρείαν τινά.

§ 9 Προμηνύων ὁ Θεὸς τὴν κατάλυσιν τῆς νομικῆς ἱερωσύνης, εἴρηκε διὰ τοῦ
Δαβίδ· *Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ*. Οὐκ εἶπε κατὰ τὴν Ps 109.4
τάξιν Ἀαρὼν, ἀλλὰ κατὰ τὴν τάξιν Μελχισεδὲκ, ὃς οὐ θυσίας νομικὰς ἱέρευεν, ἀλλ᾽
εὐχὰς, καὶ ἄρτον, καὶ οἶνον, ὡς ἡ ἱστορία διδάσκει, Πρόδηλον τοίνυν ὡς τῇ μὲν Gen 14.18-20
ἱερωσύνῃ τοῦ Ἀαρὼν, συνανῃρέθη καὶ ἡ νομικὴ πολιτεία, τῇ δὲ τοῦ Μελχισεδὲκ συναντεισήχθη πολιτεία προσήκουσα.

§ 10 Ἡμεῖς μὲν καθάπερ γεγηρακότα ἄνθρωπον ἀναπαύοντες τὸν πάλαι νόμον, καὶ μετὰ τὴν πολιὰν, οὐχ ἕλκοντες εἰς ἀγῶνας καὶ σκάμματα, μάλιστα τιμῶμεν· οὗτοι δὲ τὸν ἔξωρον βιάζοντες, ἀτιμάζουσιν.

§ 11 Οὐδὲν ἀθλιώτερον τῶν Ἰουδαίων. Ὅτε μὲν γὰρ ἔδει τηρεῖν τὸν νόμον, παρέβαινον αὐτὸν, ὅτε δὲ πέπαυται, τηρεῖν ἐπιχειροῦσι, καὶ παροργίζουσι τὸν Θεὸν, οὐ μόνον παραβαίνοντες, ἀλλὰ καὶ φυλάττοντες.

§ 12 Τρεῖς δουλείας Ἰουδαῖοι χαλεπὰς ὑπέμειναν, τὴν ἐν Αἰγύπτῳ, τὴν ἐν Βαβυλῶνι, τὴν ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς. Οὐδεμίαν δὲ χωρὶς προῤῥήσεως ἐπήγαγεν αὐτοῖς ὁ Θεὸς, ἀλλ᾽ ἐφ᾽ ἑκάστης, καὶ τὸν ἀριθμὸν τῶν ἐτῶν ἐμήνυσε, τῆς μὲν ἔτη τετρακόσια, τῆς δὲ ἑβδομήκοντα, τῆς δὲ ἔτη τρία ἥμισυ καὶ μικρόν τι πρὸς, καὶ τὴν ἐλευθερίαν εὐηγγελίσατο.

Καὶ περὶ μὲν τῆς ἐν Αἰγύπτῳ, προείρηκεν ὁ Θεὸς τῷ Ἀβραὰμ, *Γινώσκων γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ. Καὶ δουλώσουσιν αὐτὸ, καὶ κακώσουσιν ἔτη τετρακόσια. Τὸ δὲ ἔθνος ᾧ ἂν δουλεύσωσι κρινῶ ἐγώ· Τετάρτῃ δὲ γενεᾷ ἐπανελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς.* Ἔμαθες ἤδη τὸν ἀριθμὸν Gen 15.12-16
τῶν ἐτῶν, ὅτι τετρακόσια· καὶ τὴν πικρότατον δουλείαν, ὅτι κακώσουσιν αὐτό· καὶ τὴν δίκην τῶν δουλωσαμένων, κατακριθέντων ἐναποπνιγῆναι τοῖς ὕδασι· καὶ τὸν τρόπον τῆς ἀπαλλαγῆς, ὅτι μετὰ ἀποσκευῆς πολλῆς, δηλαδὴ χρημάτων.

Περὶ δὲ τῆς ἐν Βαβυλῶνι προεφήτευσεν Ἰερεμίας, εἰρηκὼς, *Εἶπε Κύριος· Ὅταν μέλλῃ πληροῦσθαι τῇ Βαβυλῶνι ἑβδομήκοντα ἔτη, ἐπισκέψομαι ὑμᾶς, | καὶ ἐπιστήσω ἐφ᾽ ὑμᾶς τοὺς λόγους μου τοὺς ἀγαθοὺς, τοῦ ἀποστρέψαι εἰς* Jer 36.10
τὸν τόπον τοῦτον. Καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν ὑμῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πάντων τῶν ἐθνῶν, οὗ διέσπειρα ὑμᾶς ἐκεῖ, φησὶ Κύριος, καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὸν τόπον ὅθεν ἀπῴκισε ὑμᾶς ἐκεῖθεν. Εἶδες πάντα μετὰ ἀληθείας προδηλωθέντα; Διὰ τοῦτο καὶ ὁ Δανιὴλ οὐ πρότερον ὑπὲρ αὐτῶν ἱκέτευεν, ἕως οὗ τὰ ἑβδομήκοντα ἔτη συνετελέσθησαν, ὡς αὐτός φησιν, ἵνα μὴ ἀκούσῃ καὶ αὐτὸς, ὅπερ ἤκουσεν Ἰερεμίας, *Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου περὶ αὐτῶν· ὅτι οὐκ* Jer 7.16;
εἰσακούσομαί σου. Καὶ ὁ μὲν δίκαιος προσευχόμενος, ἑαυτὸν κατεδίκαζε λέγων, 11.14
Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν. Οἱ δὲ μυρίων γέμοντες κακῶν τοὐναντίον Da 9.5
ἐποίουν φάσκοντες· *Ἐφυλάξαμεν τὰ προστάγματά σου, καὶ νῦν μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται οἱ ποιοῦντες ἀνομήματα.* Ὥσπερ γὰρ τοῖς Mal 3.14-15
ἀγαθοῖς ἔθος μετὰ τὰ κατορθώματα μετριοφρονεῖν, οὕτω καὶ τοῖς πονηροῖς μετὰ τὰ ἁμαρτήματα ἐπαίρεσθαι.

Περὶ δὲ τῆς Ἀντιόχου τοῦ Ἐπιφανοῦς, προηγόρευσε σαφῶς ὁ Δανιήλ. Κριὸν μὲν γὰρ ἐκάλεσε τὸν βασιλέα τῶν Περσῶν, Δαρεῖον, τράγον δὲ τὸν βασιλέα τῶν Μακεδόνων, Ἀλέξανδρον, τέσσαρα δὲ τούτου κέρατα, τοὺς μετ᾽ ἐκεῖνον διελομένους τὴν ἀρχὴν αὐτοῦ, τέσσαρας βασιλεῖς, ὕστερον δὲ κέρας, τὸν εἰρημένον Ἀντίοχον. Εἶτα δηλῶν τὴν δι᾽ αὐτοῦ καθαίρεσιν τῆς Ἰουδαϊκῆς πολιτείας φησί· Da 8.2-9
Δι᾽ αὐτὸν θυσία ἐταράχη, καὶ τὸ ἅγιον ἐρημωθήσεται, καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία. Εἴδωλον γὰρ ἐν τῷ ναῷ στήσας, θυσίας μιαρὰς ἐπετέλει τούτῳ. *Καὶ* Da 8.11-12
ἐῤῥίφη χαμαὶ δικαιοσύνη, τὰ δικαιώματα τοῦ νόμου λέγων. Καὶ αὖθις περὶ τούτων Da 8.12
ἐν ἑτέρῳ τόπῳ τῆς προφητείας αὐτοῦ διηγησάμενος ἄνωθεν πλατύτερον καὶ εἰς τὸν Ἀντίοχον κατελθὼν, προστίθησι· *Βραχίονες ἀναστήσονται, καὶ βεβηλώσουσι*

τὸ ἁγίασμα, καὶ μεταστήσουσι τὸν ἐνδελεχισμὸν, ἤτοι τὰς ἐνδελεχεῖς καὶ Da 11.31
καθημερινὰς θυσίας, καὶ δώσουσι εἰς αὐτὸν βδέλυγμα, δηλαδὴ εἴδωλον, καὶ
ἀσθενήσουσιν ἐν ῥομφαίᾳ, καὶ ἐν φλογὶ, τὸν ἐμπρησμὸν τῆς πόλεως αἰνιττόμενος·
καὶ ἐν αἰχμαλωσίᾳ, καὶ ἐν διαρπαγῇ, καὶ ἐν τῷ ἀσθενῆσαι αὐτοὺς, βοηθηθήσονται
βοήθειαν μικρὰν, τὴν μεταξὺ τῶν κακῶν ἐκείνων ἀνακωχὴν ἐμφαίνων. Εἶθ᾽ Da 11.33-34
οὕτω καὶ τὴν αἰτίαν προστίθησι τῶν συμφορῶν· Τοῦ | πυρῶσαι γὰρ, φησὶν, ἐν
αὐτοῖς, καὶ τοῦ ἐκλέξασθαι, καὶ τοῦ λευκᾶναι ἕως καιροῦ πέρατος, τουτέστιν, Da 11.35
ὥστε δοκιμασθῆναι τοὺς ἐκλεκτοὺς, καὶ καθαρισθῆναι τοὺς ἁμαρτήσαντας. Μετὰ
ταῦτα δὲ περὶ τῆς κατὰ τοῦ Θεοῦ βλασφημίας τοῦ Ἀντιόχου διδάξας ἐπάγει, ὅτι
Καὶ κατευθυνεῖ μέχρι συντελεσθῆναι τὴν ὀργὴν, μέχρι δηλονότι τοῦ πληρωθῆναι Da 11.36
τὴν κατὰ τῶν Ἰουδαίων ὀργὴν τοῦ Θεοῦ. Ἀπαγγείλας δὲ καὶ τἄλλα πάντα, καὶ
ἐπὶ τὴν ἀπαλλαγὴν τούτων ἐλθὼν, φησί· *Καὶ ἀναστήσεται Μιχαὴλ ὁ ἄρχων ὁ*
μέγας, ὁ ἐφεστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου· καὶ ἔσται καιρὸς θλίψεως,
οἷος οὐ γέγονεν ἀφ᾽ οὗ γεγένηται ἔθνος ἐπὶ γῆς, ἕως τοῦ καιροῦ ἐκείνου. Τότε
δὲ σωθήσεται ὁ λαὸς πᾶς, ὁ εὑρεθεὶς γεγραμμένος ἐν τῇ βίβλῳ, δηλαδὴ τῶν Da 12.1
ζώντων, ἤγουν οἱ σωτηρίας ἄξιοι. *Ἀπὸ δὲ τοῦ καιροῦ,* φησὶ, *τῆς ἐναλλάξεως τοῦ*
ἐνδελεχισμοῦ, τουτέστιν ἀπὸ τῆς καταλύσεως τῆς θυσίας, *ἡμέραι χίλιαι διακόσια* Da 12.11
ἐννενήκοντα, ὅπερ ἐστὶν ἔτη τρία ἥμισυ καὶ μικρόν τι πρός. Ἰδοὺ καὶ τὸ μῆκος τοῦ
καιροῦ. Εἶτα λέγει πάλιν· *Μακάριος ὁ ὑπομείνας, καὶ φθάσας εἰς ἡμέρας χιλίας*
τριακοσίας τριάκοντα πέντε· τοῦτο, εὐαγγέλιον τῆς ἀπαλλαγῆς. Προσέθηκε δὲ Da 12.12
ἡμέρας τεσσαράκοντα πέντε, διότι ἐν τοσαύταις ἡμέραις ἡ συμβολὴ, καὶ ἡ νίκη,
καὶ ἡ παντελὴς ἀπαλλαγὴ τῶν δεινῶν ἐγένετο. Οὐκ ἐμακάρισε δὲ τὸν ἁπλῶς
φθάσαντα, ἀλλὰ τὸν μεθ᾽ ὑπομονῆς, καὶ μὴ προδεδωκότα τὴν εὐσέβειαν. Ὁρᾷς, οὐ
μέχρις ἐνιαυτῶν καὶ μηνῶν, ἀλλὰ καὶ ἕως ἡμέρας μιᾶς, καὶ τὴν αἰχμαλωσίαν, καὶ
τὴν ἀπαλλαγὴν ἀκριβολογηθείσας καὶ προαναφωνηθείσας; Ταῦτα καὶ Ἰώσηπος ὁ
Ἑβραῖος ἀριδηλότατα συνεγράψατο.

Ἀλλ᾽ ἐπὶ μὲν τῶν ἐπισήμων τούτων αἰχμαλωσιῶν, καὶ αὐταὶ, καὶ τὰ μήκη τῶν καιρῶν αὐτῶν, καὶ αἱ ἀπαλλαγαὶ προεφητεύθησαν· ἐπὶ δὲ τῆς τελευταίας ταύτης καὶ ἀτελευτήτου, τῆς πολλῷ τούτων ἐπισημοτέρας, ὅτι μὲν ἐρημωθήσεται τὰ Ἱεροσόλυμα διὰ Ῥωμαίων προεφητεύθη, ὅτι δὲ στήσεταί ποτε τὰ τῆς ἐρημώσεως ἀπεσιωπήθη.

§ 13 Ἔγραψε δὲ Δανιὴλ ὅτι ἦλθε Γαβριὴλ πρὸς αὐτὸν, καί φησιν· *Ἑβδομήκοντα*
ἑβδομάδες συνετελέσθησαν ἐπὶ τὸν λαόν σου, τουτέστιν ὡρίσθησαν. Ἀντὶ γὰρ Da 9.24
τῶν ἑβδομήκοντα ἐτῶν τῆς ἐν Βαβυλῶνι ταλαιπωρίας, ὥρισεν αὐτοῖς ὁ Θεὸς
ἑβδομήκοντα ἑβδομάδες ἐτῶν ἐν τῇ λατρείᾳ στῆναι τῇ νομικῇ, εἶτα ἐκπεσεῖν
αὐτῆς, διὰ τὸ κατὰ Χριστοῦ τόλμημα. Τούτου γὰρ ἕνεκεν εἶπεν, *ἐπὶ τὸν λαόν σου,*
τὸν οὐκ ἔτι τοῦ Θεοῦ. | Αἱ τοίνυν ἑβδομήκοντα ἑβδομάδες, τετρακόσια ἐννενή-
κοντα ἔτη συναπαρτίζουσιν, ἅπερ ἀρχόμενα ἀπὸ τῆς διὰ Νεεμίου οἰκοδομῆς τοῦ
ναοῦ τῶν Ἱεροσολύμων, τελειοῦνται ἕως τοῦ βαπτισθῆναι τὸν Χριστόν. Προϊὼν
γὰρ ἐδήλωσε τὴν ἀρχὴν αὐτῶν, καὶ τὸ τέλος, εἰπών· *Ἀπὸ τοῦ οἰκοδομῆσαι*

Ἰερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου, ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξήκοντα Da 9.25
δύο, ἤγουν ἑβδομάδες ἑξήκοντα ἐννέα, μιᾶς εἰς τὰς ἑβδομήκοντα λειπούσης.
Αἱ μὲν γὰρ ἑβδομήκοντα ἄρχονται ἀπὸ τοῦ ἀνοικοδομηθῆναι τὸν ναὸν, αἱ δὲ
ἑξηκονταεννέα ἀπὸ τοὺ καὶ τὴν πόλιν Ἱεροσολύμων· φησὶ γὰρ, Οἰκοδομηθήσεται
πλατεῖα καὶ περίτειχος. Ὁπότε γὰρ ὁ Χριστὸς ἐβαπτίσθη, καὶ ἡγήσατο μαθητῶν, Da 9.25
τότε καὶ οἱ Ἰουδαῖοι, ἀρξάμενοι λυττᾷν κατ᾽ αὐτοῦ, τῆς θείας ἐπισκοπῆς
ἐγυμνώθησαν. Καὶ ὅρα πάντα παρὰ τοῦ ἀγγέλου διασαφηθέντα τῷ Δανιήλ· εἶπε
γὰρ, Τοῦ παλαιωθῆναι παράπτωμα, ὅ ἐστιν, ὅτε ὑπεραρθῇ ἁμαρτία. Ποία δὲ
κορυφαιοτέρα τῆς Κυριοκτονίας; Καὶ τοῦ σφραγίσαι ἁμαρτίας, ὥστε μηδὲν μεῖζον Da 9.24
ὑπολελεῖφθαι. Διὸ καὶ ὁ Χριστὸς πρὸς αὐτοὺς ἔλεγε, Πληρώσατε τὸ μέτρον τῶν Mt 23.32
πατέρων ὑμῶν. Ἐκεῖνοι μὲν γὰρ προφήτας ἀνεῖλον, ὑμεῖς δὲ τὸν Δεσπότην τῶν
προφητῶν ἀνελεῖν ἐπείγεσθε. Καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην, εἴτουν Da 9.24
ὅταν παυθῇ τὸ προφητεύειν. Ὅθεν ὁμοίως καὶ ὁ Χριστὸς ἔλεγεν, Ὁ νόμος καὶ
οἱ προφῆται ἕως Ἰωάννου. Καὶ ἐξολοθρευθήσεται, φησὶ, χρῖσμα, δηλονότι τὸ Mt 11.13
βασιλικὸν καὶ τὸ ἱερατικόν· καὶ κρίμα οὐκ ἔσται, ἤτοι κριτὴς, καὶ τὴν πόλιν
καὶ τὸ ἅγιον διαφθερεῖ. Τὴν πόλιν καὶ τὸν ναὸν, ὁ Ῥωμαίων στρατὸς, σὺν τῷ Da 9.26
ἡγουμένῳ τῷ ἐρχομένῳ, τουτέστι, βοηθοῦντος αὐτῷ Χριστοῦ τοῦ ἡγουμένου
τῶν πιστευόντων εἰς αὐτὸν, τοῦ ἐρχομένου πάλιν κατὰ τὴν δευτέραν αὐτοῦ
παρουσίαν. Καὶ συγκοπήσονται, φησὶν, ὡς ἐν κατακλυσμῷ. Καὶ πάλιν περὶ
τῆς αἰχμαλωσίας λέγων εἴρηκεν· Ἀρθήσεται θυσία καὶ σπονδὴ, καὶ ἐπὶ τὸ ἱερὸν Da 9.26
βδέλυγμα τῆς ἐρημώσεως, τὸν ἀνδριάντα Τίτου, βδέλυγμα καλέσας ἐρημωτικόν. Da 9.27
Διὸ καὶ ὁ Χριστὸς αὖθις ἔλεγεν, Ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς
ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω. Ἔπειτα καὶ ἕως συντελείας καιροῦ συν- Mt 24.15
τέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν, συντέλειαν καιροῦ λέγων, τοῦ ὁρισθέντος τῷ Da 9.27
κόσμῳ, ἢ δειξάτωσαν ἕτερον καιρόν. Ἰδοὺ γὰρ ὑπὲρ τὰ χίλια ἔτη δουλεύουσι, καὶ
λοιπὸν | ἐγγὺς ἡ τοῦ κόσμου συντέλεια. Ὅθεν καὶ ὁ προδηλωθεὶς Ἰώσηπος περὶ
τῆς ἁλώσεως τῶν Ἱεροσολύμων συγγράφων τάδε φησίν.

Ἔτι καὶ περὶ τῆς Ῥωμαίων ἡγεμονίας ὁ Δανιὴλ ἀνέγραψεν, ὅτι ὑπ᾽ αὐτῶν αἱρεθήσεται τὰ Ἱεροσόλυμα καὶ ὁ ναὸς ἐρημωθήσεται. Καὶ οὐκ ἐτόλμησε προσθεῖναί τι πλέον, οὐδαμοῦ τι γεγράφθαι περὶ ἀπαλλαγῆς τῶν δεινῶν τούτων εἰδώς.

Ἀλλὰ καὶ χρόνοις ὕστερον διαφόρως ἐπιχειρήσαντες οἱ διεσπαρμένοι τῶν Ἰουδαίων ἀναστῆσαι καὶ τὸν ναὸν καὶ τὴν πόλιν, ἐπὶ μὲν Ἀδριανοῦ βασιλέως μυρίας ὑπέστησαν τιμωρίας, ἅμα καὶ τῶν οἰκοδομηθέντων καθαιρεθέντων ἐκ θεμελίων, καὶ τῆς πόλεως Αἰλίας ἀπὸ τῆς ἐπωνυμίας τοῦ βασιλέως μετονομασθείσης· ἐπὶ δὲ Κωνσταντίνου τοῦ μεγάλου τὰ αὐτὰ τολμήσαντες, τὰ ἴσα πεπόνθασι, καὶ τὰ ὦτα περιῃρέθησαν, ὡς παρήκοοι τῆς ἀποφάσεως τοῦ Χριστοῦ· ἐπὶ δὲ Ἰουλιανοῦ, συνεργοῦντος μᾶλλον αὐτοῖς ἵνα δείξῃ ψευδῆ τὴν τοιαύτην ἀπόφασιν, πῦρ ἀνορυττομένων τῶν θεμελίων ἐκπηδῆσαν, τοὺς μὲν κατέφλεξε, τοὺς δὲ διεσκόρπισε. Καὶ ἐπὶ μὲν τῶν ἄλλων αἰχμαλωσιῶν προφῆται συνῆσαν αὐτοῖς, ἐπὶ τὲ ταύτης οὐδείς.

§ 14 Διατί τὸν Χριστὸν ἀνεῖλες, ὦ Ἰουδαῖε; Διότι, φησὶ, πλάνος ἦν καὶ ἀντίθεος. Καὶ μὴν ἔδει σε λοιπὸν τυχεῖν παρὰ Θεοῦ εὐεργεσίας, ἀνελόντα τὸν ἀντίθεον. Εἰ γὰρ παρεώρα πολλάκις τὰς ἁμαρτίας ὑμῶν, καὶ ἀνεκαλεῖτο τὰς ὑμετέρας αἰχμαλωσίας, λέγων, *Οὐ δι᾿ ὑμᾶς ἐγὼ ποιῶ, οἶκος Ἰσραὴλ, ἀλλὰ διὰ τὸ ὄνομά μου*, τουτέστιν, ἵνα μὴ δόξω δι᾿ ἀσθένειαν βοηθείας ἐρήμους ἐγκαταλιμπάνων Ez 36.22
ὑμᾶς· πολλῷ μᾶλλον ἐχρῆν σῴζειν, κατωρθωκότας τὴν ἀναίρεσιν τοῦ ἐχθροῦ αὐτοῦ. Νῦν δὲ τὸ ἔθνος ὑμῶν, μετὰ τὴν ἀναίρεσιν αὐτοῦ, τοσαῦτα καὶ τοιαῦτα πέπονθε χαλεπὰ, ὅσα καὶ οἷα τῶν ἀπ᾿ αἰῶνος ἐθνῶν οὐδέν. Διὰ πάσης γὰρ συμφορᾶς ἐλθὸν, ὧν πλήρης ἅπασα ἀκοὴ, τελευταῖον εἰς πάντα τὰ ἔθνη διεσπάρη, καὶ παρὰ πᾶσι δουλεύει δουλείαν τὴν ἀτιμοτάτην, καὶ εἰς αἰῶνας ἀπέραντον. Ἀλλὰ ταῦτα, φησὶ, διὰ τὰς ἁμαρτίας ὑμῶν. Ποίας; Οὐδὲν γὰρ τοιοῦτον, οἷα πάλαι πεπλημμελήκατε. Πάλαι γὰρ καὶ μόσχον προσεκυνήσατε, καὶ τῷ Βεελφαγὼρ ἐτελέσθητε, καὶ τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ἐθύσατε τοῖς δαιμονίοις, καὶ τοὺς προφήτας ἀνείλετε, καὶ τοὺς | τοῦ Θεοῦ νόμους κατεπατήσατε, ἀλλ᾿ οὐδὲν τοιοῦτον πεπόνθατε. Διαφόρως γὰρ αἰχμαλωτισθέντες, πάλιν ἠλεήθητε, καὶ εἰς τὴν προτέραν τάξιν ἀποκατέστητε. Νῦν δὲ ὅτε καὶ τοὺς νόμους τηρεῖτε, καὶ σωφρονέστερον διάγετε, μᾶλλον ἀσύγγνωστα κολάζεσθε. Τίνος ἕνεκεν; Ὅτι ἀσύγγνωστα ἡμαρτήκατε· τὸν γὰρ Υἱὸν τοῦ Θεοῦ σταυρῷ προσηλώσατε. Μείζονα δὲ ταύτης ἁμαρτίαν οὐκ ἂν ἔχοις εὑρεῖν. Ἢ τοίνυν ἄδικόν φατε τὸν Θεὸν, κολάζοντα τοὺς βεβοηθηκότας αὐτῷ, καὶ τὸν ἐχθρὸν αὐτοῦ θανατώσαντας, ἢ καὶ ἄκοντες ὁμολογεῖτε, χαλεπωτέραν ἁμαρτίαν πλημμελῆσαι, παρὰ τὰς πώποτε. Καὶ τί ἂν ἄλλο εἴη, παρὰ τὴν ἀναίρεσιν τῆς Ζωῆς; μετὰ γὰρ τὰς προῤῥηθείσας ἁμαρτίας, οὐ μόνον οὐ χεῖρον, ἀλλ᾿ οὐδὲ ἴσον πεπλημμελήκατε.

§ 15 Περὶ τῆς ἀναιρέσεως τοῦ Χριστοῦ φησὶν Ἡσαΐας· *Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη*, ἵνα δὲ γνῷς, ὅτι σωτήριος τοῖς ἀνθρώποις γεγένηται. Φησὶ πάλιν ὁ αὐτὸς, *Τῷ μώλωπι αὐτοῦ πάντες ἰάθημεν*. Καὶ ἵνα μάθῃς, ὅτι διὰ τὴν σφαγὴν αὐτοῦ παρεδόθη τὸ γένος τῶν Ἰουδαίων εἰς ἐξολόθρευσιν, προσέθηκε, *Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ*. Τί γὰρ αὐτῶν πονηρότερον, μετὰ τοσαύτας εὐεργεσίας τὸν εὐεργέτην ἀνελόντων;

§ 16 Ὅταν εἴπῃ πρὸς σὲ ὁ Ἰουδαῖος, Πῶς ἔτεκεν ἡ Παρθένος; εἰπὲ σὺ πρὸς αὐτὸν, Πῶς ἔτεκεν ἡ στεῖρα καὶ γεγηρακυῖα Σάῤῥα; Ἐνταῦθα μὲν γὰρ ἓν κώλυμα, τὸ μὴ γάμου μετασχὸν, ἐκεῖ δὲ ἐμπόδια δύο, οὐ μόνον ἡ στείρωσις, ἀλλὰ καὶ τὸ γῆρας. Ἐγέννησαν οὖν οἱ στεῖραι, ἵνα πιστευθῇ καὶ ἡ Παρθένος γεννήσασα, καὶ τὸ κατ᾿ ἐκείνας μυστήριον τῷ μυστηρίῳ τούτῳ προοδοποιεῖ.

§ 17 Εἰ πλάσμα Θεοῦ τὸ κάλλιστον ὁ ἄνθρωπος καὶ κατ᾿ εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ πέπλασται, πῶς ἀνάξιον Θεοῦ σάρκα λαβεῖν ἐκ τοῦ οἰκείου πλάσματος, τοῦ κατ᾿ εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ πεπλασμένου, καὶ εἰ τὸ πλάττειν τὸν ἄνθρωπον οὐκ αἰσχύνην τῷ Θεῷ φέρει, πῶς τὸ ἀναπλάττειν αὐτὸν αἰσχύνην ἐνέγκῃ.

§ 18 Εἴπερ ὁ ἥλιος σῶμα φθαρτὸν ὢν πανταχοῦ τὰς ἀκτίνας ἀφιεὶς, καὶ βορβόροις καὶ ῥύποις ὁμιλῶν, οὐδὲν ἀπὸ τῶν σωματικῶν τούτων μολυσμάτων εἰς τὴν ἑαυτοῦ καθαρότητα παραβλάπτεται καθαρὰς δὲ τὰς ἀκτίνας συστέλλων καὶ πάλιν ἀφιεὶς, αὐτὸς μὲν οὐδόλως μολύνεται τοῖς ὑποδεχομένοις δὲ τοῦτον σώμασι πολλῆς μεταδίδωσιν ὠφελείας, πολλῷ μᾶλλον ὁ τῆς δικαιοσύνης ἥλιος ὁ καὶ τοῦ ἡλίου καὶ τῶν σωμάτων καὶ τῶν ἀσωμάτων δημιουργὸς, εἰς καθαρὰν ἐλθὼν σάρκα καὶ ἣν αὐτὸς ἔπλασεν, οὐ μόνον οὐκ ἐμολύνθη, ἀλλὰ καὶ αὐτὴν καθαρωτέραν καὶ ἁγιωτέραν εἰργάσατο.

§ 19 Ἄκουε καὶ τὰ περὶ τῆς ἁγίας Τριάδος· ἐν τῇ βίβλῳ γέγραπται τῆς Γενέσεως· *Ὤφθη δὲ τῷ Ἀβραὰμ ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε, Κύριε εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου.* Gen 18.1-3
Καὶ μεθ' ἕτερον· *Εἶπε δὲ πρὸς αὐτόν· Ποῦ Σάῤῥα ἡ γυνή σου; ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ἰδοὺ ἐν τῇ σκηνῇ. Εἶπε δὲ, Ἐπαναστρέφων ἥξω πρὸς σὲ*, καὶ τὰ ἑξῆς. Ἰδοὺ Gen 18.9-10
γέγραπται ὀφθῆναι μὲν τῷ Ἀβραὰμ τὸν Θεὸν· εἶναι δὲ τρεῖς τοὺς ὀφθέντας, καὶ τριῶν ὄντων, πρὸς ἕνα τὴν διάλεξιν γίνεται, εἰς ἔμφασιν τοῦ τρισυποστάτου τῆς μιᾶς θεότητος. Καὶ πάλιν· *Δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν τὴν γλῶσσαν.* Gen 11.7
Τὸ Δεῦτε γὰρ, ἀπὸ τοῦ Πατρὸς εἴρηται πρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα. Καὶ αὖθις·
Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν· τὸ μὲν γὰρ Κύριος καὶ Θεὸς Dt 6.4
καὶ Κύριος, ὑποφαίνουσι τὰς τρεῖς ὑποστάσεις· τὸ δὲ εἷς, τὴν μίαν θεότητα. Καὶ ὁ Ἰὼβ λέγει, *Ζῇ Κύριος, ὁ οὕτω με κρίνας καὶ ὁ Παντοκράτωρ, ὁ παραπικράνας μου τὴν ψηχὴν· καὶ πνεῦμα θεῖον τὸ περιὸν ἐν ῥισί μου.* Καὶ ὁ Δαβὶδ, *Τῷ λόγῳ* Job 27.2-3
Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τὸ πνεῦμα τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. Ἰδοὺ Κύριον μὲν, φησὶν, τὸν Πατέρα, Λόγον δὲ, τὸν Υἱὸν, πνεῦμα Ps 32.6
δὲ, τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ αὖθις· *Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον· ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.* Καὶ Ps 55.11-12
πάλιν, *Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου.* Καὶ προσέτι, *Ζῇ Κύριος, καὶ εὐλογητὸς* Ps 49.14-15
ὁ Θεὸς, καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου. Καὶ Ζαχαρίας· *Ἐγὼ μεθ' ὑμῶν* Ps 17.47
εἰμι, καὶ ὁ λόγος μου καὶ τὸ πνεῦμά μου. Καὶ Ἡσαΐας, *Νῦν Κύριος ἐξαπέσταλκέ* [Hag 2.4-5]
με καὶ τὸ πνεῦμα αὐτοῦ. Καὶ ὁ ἀγγελικὸς δὲ ὕμνος, *ἅγιος, ἅγιος, ἅγιος, Κύριος,* Is 48.16
διὰ μὲν τοῦ τρισαγίου τὸ τρισυπόστατο, διὰ δὲ τοῦ Κύριος τὸ ἑνιαῖον τῆς θεότητος Is 6.3
ὑπεδήλωσε. Ταῦτα μὲν οὖν τὰ φανερώτερα· μυρία δ' ἐκλέξαι παρατηρῶν γραφὴν ἐν ὅλῃ ταύτῃ ποικίλως κατεσπαρμένα.

§ 20 Τῶν Ἑβραϊκῶν βίβλων τὰ μὲν γράμματα παρ' Ἑβραίοις, τὰ δὲ νοήματα παρ' ἡμῖν τοῖς Χριστιανοῖς.

§ 21 Εἰδικῶς περὶ μὲν τοῦ Λόγου καὶ Θεοῦ, φησὶν ὁ Δαυὶδ, *Ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτοὺς*, δηλονότι, νοσοῦντας ἐν πλάνῃ· περὶ δὲ τοῦ ἁγίου Πνεύματος καὶ Θεοῦ, *Ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται*, οἱ τῆς καινῆς δηλαδὴ κτίσεως, *καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς*, τῆς παλαιωθείσης ἐν ἁμαρτίαις. Οὔτε δὲ λόγος προφορικὸς ἀποστέλλεται, διὰ τῶν φωνητικῶν ὀργάνων εἰς τὸν ἀέρα χεόμενος καὶ λυόμενος· λέγει γὰρ ἐν ἄλλοις πάλιν, *Εἰς τὸν αἰῶνα, Κύριε, ὁ Λόγος σου διαμένει ἐν τῷ οὐρανῷ*· οὔτε πνεῦμα δι᾽ ἀναπνευστικῶν ὀργάνων ἐξωθούμενον καὶ παραπλησίως εἰς τὸν ἀέρα χεόμενον καὶ λυόμενον· τὰ τοιαῦτα γὰρ ὄργανα, σωμάτων εἰσὶν, ἀσώματον δὲ τὸ θεῖον. Δῆλον οὖν, ὅτι λόγος καὶ πνεῦμα, ἐνυπόστατα καὶ ἀΐδια καὶ δημιουργά. *Τῷ λόγῳ γὰρ*, φησὶν, *Κυρίου, οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν.* Ps 106.20 Ps 103.30 Ps 118.89 Ps 32.6

§ 22 Περὶ τῶν Χερουβὶμ διηγούμενος ὁ Ἡσαΐας φησὶν, ὅτι *Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς, ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ*, προμηνύων ὅτι τὸν τρισάγιον ὕμνον τῆς ἁγίας Τριάδος, ὄντα μὲν ἀγγελικὸν, ἁρμόζοντα δὲ Χριστιανοῖς τοῖς ἀγγελοτρόποις, οὐ χωρήσει διὰ φρενῶν ἀσθένειαν ἡ τῶν Ἰουδαίων συναγωγή. Διὸ καὶ ἐπαρθήσεται τὸ ὑπέρθυρον αὐτῆς, ἤγουν ἡ ἄνωθεν συνέχουσα τὰς παραστάδας καὶ τὰς θύρας αὐτῆς θεία δύναμις καὶ χάρις. Θύραι δὲ αὐτῆς καὶ παραστάδες, οἱ ἱερεῖς καὶ διδάσκαλοι. Διὸ καὶ ἀλλαχοῦ γέγραπται, *Καὶ θήσω τὴν Ἰερουσαλὴμ εἰς πρόθυρα σαλευόμενα*, δηλονότι παρὰ τὸ μὴ ἔχειν ὑπέρθυρον συνεκτικὸν τῶν εἰρημένων. Ὅθεν καὶ εὐανάτρεπτοί εἰσιν ἐν ταῖς διαλέξεσιν. Ὁ δὲ οἶκος ἐπλήσθη καπνοῦ, τουτέστι σκότους καὶ πλάνης. Ἡ δόξα δὲ μετεφοίτησεν εἰς τὰς ἁπανταχῆ τῶν ἐν τοῖς ἔθνεσι πιστῶν ἐκκλησίας. *Πλήρης γὰρ*, φησὶν, *ἡ γῆ τῆς δόξης αὐτοῦ.* Is 6.4 Zach 12.2 Is 6.3

§ 23 *Ὄψις*, φησὶ, *πόρνης ἐγένετό σοι, ἀπηναισχύντει πρὸς πάντας*. Καὶ αὖθις· Jer 3.3
Γινώσκω ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, τουτέστιν Is 48.4
ἀκαμπὴς, *καὶ τὸ μέτωπόν σου χαλκοῦν*, εἴτουν ἀναίσχυντον. Καὶ πάλιν, *Ἀπ᾽ αἰῶνος συνέτριψας τὸν ζυγόν σου, διέῤῥηξας τὸν δεσμόν σου.* Σκληροτράχηλοι γὰρ ὄντες ἄνωθεν, καὶ τὸ τῆς εὐαγγελικῆς διδασκαλίας ἄροτρον ἀποσεισάμενοι, καὶ πρὸς ἐργασίαν ἀρετῆς ἀχρήστους ἑαυτοῦς καταστήσαντες, πρὸς σφαγὴν λοιπὸν ἐπιτήδειοι γεγόνασιν. Jer 2.20

§ 24 Δεῖξόν μοι, φησὶ, τὰ σημεῖα τῆς τοῦ Χριστοῦ παρουσίας.

Τὸ παρὰ τῷ Μιχαίᾳ. *Οὐκ ἔτι γὰρ*, φησὶν, *οὐ μὴ ἄρῃ ἔθνος ἐπὶ ἔθνος ῥομφαίαν.* Mich 4.3

Καὶ τὸ παρὰ τῷ Ἰερεμίᾳ· *Οὐ μὴ γὰρ*, φησὶ, *διδάξωσιν ἔτι ἕκαστος τὸν πλησίον αὐτοῦ, λέγων, Γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλων αὐτῶν.* Jer 38.34

Καὶ τὸ παρὰ Ἡσαΐᾳ· *Συμβοσκηθήσεται γὰρ*, φησὶ, *λύκος μετὰ ἀμνὸς, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον, καὶ λέων, καὶ ταῦρος ἅμα*

βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται. Καὶ λέων καὶ βοῦς ἅμα φάγονται ἄχυρα, καὶ παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων καὶ ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ καὶ οὐ μὴ κακοποιήσωσι. Is 11.6-9

Τοῦτο γὰρ τὸ πολυθρύλητον ζήτημα τῶν Ἰουδαίων. Ὁράτωσαν δὲ πάντα γενόμενα. Τοῦ Χριστοῦ γὰρ γεννηθῆναι μέλλοντος, εὐθὺς ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράψασθαι πᾶσαν τὴν οἰκουμένην. Καὶ λοιπὸν ὑποταγέντος παντὸς ἔθνους τῇ Ῥωμαίων ἀρχῇ, πάντες εἰρήνευσαν, καὶ μηκέτι πολεμοῦντες ἀλλήλοις, ὡς ὑπὸ μίαν ὄντες κεφαλὴν, εἰς γεωργίαν ἐτράπησαν. Εἰ δέ που καί τινα ἔθνη ὑπελείφθη μαχόμενα, τῆς Γραφῆς ἐστιν ἰδίωμα καθολικῶς λέγειν ἀπὸ τοῦ πλείονος μέρους. Τοιοῦτόν ἐστι καὶ τὸ τῶν τριῶν παίδων τὸ, *Οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης.* Ἦν γὰρ καὶ ὁ Δανιὴλ, Da 3.14 καὶ ὁ Ἰεζεκιὴλ μετ᾽ αὐτῶν, καὶ ὁ Ἰερεμίας ἐν Ἰερουσαλὴμ, καὶ πολλὰ τοιαῦτα. Ἢ καὶ περὶ τῶν πιστευσάντων ἐθνῶν ἡ πρόῤῥησις. Κατ᾽ ἀναγωγὴν δὲ, Οὐ μὴ ἄρῃ, φησὶ, τὸ ἔθνος τῶν δαιμόνων ἐπὶ τὸ ἔθνος τῶν ἀνθρώπων μάχαιραν τῆς εἰδωλολατρείας, ἀναιροῦσαν ψυχὰς, καὶ ἀναισθησίαν θεογνωσίας ἐπάγουσαν. Ἔνθα γὰρ τὸ Εὐαγγέλιον ἐκηρύχθη, πάντες ἓν σῶμα γεγόνασι, καὶ μίαν ἔσχον κεφαλὴν, τὸν Χριστὸν, καὶ φοβεροὶ τοῖς δαίμοσιν ἀπεδείχθησαν. Τὸ γὰρ, *Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν,* οὐ περὶ πολεμικῆς εἴρηται Mt 10.34 μαχαίρας. Μάχαιρα γὰρ ἣν ἔβαλεν ὁ Χριστὸς, τὸ κήρυγμα, καὶ ἡ τούτου πίστις, διαιροῦσα τὸν πιστὸν ἀπὸ τοῦ ἀπίστου, καὶ τέμνουσα τὴν ἐπὶ κακῷ σχέσιν καὶ συμφωνίαν αὐτῶν. Ἀλλ᾽ οὕτω μὲν τὸ κατὰ Μιχαίαν.

Ἴδωμεν δὲ καὶ τὸ κατὰ Ἰερεμίαν. Σημεῖα γὰρ πολλὰ καὶ μεγάλα τοῦ Χριστοῦ ποιοῦντος, οἱ συντρέχοντες καὶ βλέποντες ταῦτα, πάντες ἀπὸ μικροῦ ἕως μεγάλου τοὺς ἑαυτῶν ὀφθαλμοὺς εἶχον διδασκάλους θεογνωσίας, καὶ κατανοοῦντες τὰς θεοπρεπεῖς δυνάμεις αὐτοῦ, ταχέως δι᾽ ἑαυτῶν ἐμάνθανον, ὅτι Θεός ἐστιν, ὡς ἔστι καταλαβεῖν, οὐ μόνον ἀπὸ τῆς τῶν Εὐαγγελίων γραφῆς, ἀλλὰ καὶ ἀπὸ τῶν καθ᾽ Ἑβραίους χρονικῶν Γραφῶν, καὶ τῶν καθ᾽ Ἕλληνας ἱστοριογράφων.

Λείπεται οὖν εἰπεῖν περὶ τοῦ κατὰ τὸν Ἡσαΐαν σημείου τῆς παρουσίας Χριστοῦ. Οὗτος ταῖς διαφοραῖς τῶν ἡμερῶν τε καὶ ἀγρίων ζῴων τὰ διάφορα τῶν ἀνθρώπων ἤθη παρεδήλωσε, καὶ διὰ τῆς ἐκείνων συνδιαιτήσεως, τὴν μίαν τούτων ποίμνην ᾐνίξατο, καὶ τὰς ἐκ τούτων συστησομένας Ἐκκλησίας, λύκον μὲν καλέσας τὸν ὀξὺν εἰς ἁρπαγὴν, ἄρνα δὲ τὸν εὐεπηρέαστον, καὶ πάρδαλιν μὲν τὸν ποικιλόγνωμον, ἔριφον δὲ τὸν ἁπλοῦν, καὶ μοσχάριον μὲν τὸν πρᾶον, ταῦρον δὲ τὸν θρασὺν, λέοντα δὲ τὸν ὑπερήφανον, οὓς ἄξει, καὶ ποιμανεῖ ἄνθρωπος τῇ μὲν φρονήσει πολιὸς, τῷ δὲ ἀπονήρῳ καὶ τῇ ταπεινοφροσύνῃ παιδίον, καὶ μέγας μὲν τῇ ἀρετῇ, μικρὸς δὲ τῇ φαινομένῃ εὐτελείᾳ καὶ λιτότητι. Τοιοῦτοι δὲ οἱ τῶν ἐκκλησιῶν προεστῶτες, ὑφ᾽ ὧν οἱ διάφοροι τοῖς ἤθεσιν ἀγόμενοι ῥυθμίζονταί τε καὶ συναρμόζονται. Καὶ αὖθις, βοῦν μὲν τὸν ἐργατικὸν, ἄρκτον δὲ τὸν γαστρίμαργον. Καὶ πάλιν λεόντα μὲν τὸν ἡγεμονικόν τε καὶ ἀρχικὸν, βοῦν δὲ τὸν ὑπὸ ζυγὸν δουλείας, καὶ ὑποτεταγμένον. Ἄχυρα δὲ, ἡ εὐτελὴς τοῦ ὑπὸ ζυγὸν τροφή. Συσσιτηθήσεται γὰρ ὁ ὑποτάσσων τῷ ὑποτασσομένῳ διὰ τὴν ἑνότητα τῆς πίστεως.

Παιδίον δὲ νήπιον, ἕκαστος τῶν προεστώτων, ὡς εἴρηται, νηπιάζων ἐν κακίᾳ, οὗ χεὶρ ἡ διδασκαλία, διὰ τὸ ἀνυσιμώτατον, ἥτις ἐπιβάλλεται τοῖς ἀπίστοις, οἵτινές εἰσι τρῶγλαι καὶ καταδύσεις καὶ οἰκητήρια καὶ ἀναπαυτήρια τῶν νοητῶν ἀσπίδων, ἤτοι τῶν ἰοβόλων καὶ θανατηφόρων δαιμόνων, ὧν ἔκγονα τὰ πάθη. Καὶ ἄλλως δὲ οἱ κατὰ Χριστὸν ζῶντες τὴν χεῖρα τοῖς δαίμοσιν ἐπιβάλλοντες, καὶ τὸ τοῦ σταυροῦ σημεῖον ἐπάγοντες, οὐκ ἐῶσι τοὺς ἐνοικοῦντας δαίμονας κακοποιεῖν ἔτι τοὺς πάσχοντας. Ὅτι δὲ θηρία τὰ ἔθνη, λέγει πολλάκις ἡ Γραφή. Φησὶν ὁ Θεὸς διὰ Ὠσηέ· *Διαθήσω διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ τῶν θηρίων τοῦ*
ἀγροῦ, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν ἑρπετῶν τῆς γῆς, καθολικωτέρῳ Hos 2.18
λόγῳ, θηρία μὲν τοῦ ἀγροῦ, τοὺς ἀγρίους καὶ ὠμοὺς ὀνομάζων, πετεινὰ δὲ, τοὺς ὑψηλοτέρους, ἑρπετὰ δὲ, τοὺς ταπεινοτέρους· ἢ πετεινὰ μὲν, τοὺς τῇ ἀστρολογίᾳ προσκειμένους, ἑρπετὰ δὲ, τοὺς ῥυπαινομένους ἐν τοῖς πάθεσι. Καὶ αὖθις διὰ
Ἡσαΐου, *Εὐλογήσει με τὰ θηρία τοῦ ἀγροῦ*· καὶ διὰ Ἱερεμίου πάλιν· *Δέδωκα* Is 43.20
πᾶσαν τὴν γῆν τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος τοῦ δουλεύειν αὐτῷ, καὶ Jer 34.6
τὰ θηρία τοῦ ἀγροῦ ἐργάζεσθαι αὐτῷ. Καὶ διὰ Ἰεζεκιήλ· *Ἀφανιῶ θηρία πονηρὰ ἀπὸ*
τῆς γῆς, ἵνα νῦν ἐάσωμεν τὰ παρὰ τῷ Δανιὴλ, καὶ εἰκότως, *Παρασυνεβλήθη γὰρ*, Ez 34.25
φησὶ, *τοῖς κτήνεσι τοῖς ἀνοήτοις, ὁ νοῦν ἔχων ἄνθρωπος, καὶ ὁμοιώθη αὐτοῖς*. Ps 48.13

Περὶ τῶν ἁγίων εἰκόνων κατ᾽ ἐπιτομὴν ἐρανισθὲν ἀπό τε τῶν τῆς ἑβδόμης συνόδου καὶ τῶν Γερμανοῦ καὶ Νικηφόρου τῶν Πατριαρχῶν καὶ τῶν Θεοδώρου τοῦ Στουδίτου.

§ 1 Ἀρχέτυπόν ἐστιν, ἀρχὴ καὶ παράδειγμα ὑφεστηκὸς τοῦ ἀπ᾽ αὐτοῦ χαρακτηριζομένου εἴδους, καὶ τῆς παραγωγῆς τοῦ προσεοικότος αἴτιον.

§ 2 Εἰκών ἐστιν, ὁμοίωμα ἀρχετύπου, ὅλον ἐν ἑαυτῇ τοῦ ἐντυπουμένου τὸ εἶδος διὰ τῆς ἐμφερείας ἐναποματτομένη, τῷ διαφόρῳ τῆς οὐσίας κατὰ τὴν ὕλην μόνον παραλλάττουσα· ἢ μίμησις ἀρχετύπου, καὶ ἀπείκασμα, ἢ τέχνης ἀποτέλεσμα κατὰ μίμησιν τοῦ ἀρχετύπου εἰδοποιούμενον τῇ οὐσίᾳ διαφέρον.

§ 3 Εἰκὼν λέγεται παρὰ τὸ ἐοικέναι. Ἄλλο φυσικὴ εἰκὼν, καὶ ἄλλο μιμητική· ἡ μὲν, οὐ φυσικὴν διαφορὰν ἔχουσα πρὸς τὸ αἴτιον, ἀλλ᾽ ὑποστατικὴν, ὡς ὁ υἱὸς πρὸς τὸν πατέρα, μία μὲν γὰρ τούτων φύσις, δύο δὲ ὑποστάσεις· ἡ δὲ τοὐναντίον, οὐχ ὑποστατικὴν διαφορὰν ἔχουσα πρὸς τὸ ἀρχέτυπον, ἀλλὰ φυσικὴν, ὡς ἡ εἰκὼν τοῦ Χριστοῦ, πρὸς τὸν Χριστὸν, μία μὲν γὰρ ὑπόστασις τούτων, δύο δὲ φύσεις. Ἄλλη γὰρ φύσις ὑλογραφίας, καὶ ἄλλη Χριστοῦ κατὰ τὸ ἀνθρώπινον, καθ᾽ ὃ καὶ περιγράφεται καὶ ἀρχέτυπον εἰκόνος καθίσταται.

§ 4 Ἐπὶ μὲν τῆς μιμητικῆς εἰκόνος κατὰ τὴν ἰδέαν, ἤτοι μορφὴν ἡ ὁμοίωσις· ἐπὶ δὲ τῆς φυσικῆς κατὰ τὴν οὐσίαν, ἤτοι θεότητα ἡ ταυτότης· καὶ ἐπὶ μὲν τῆς φυσικῆς,

διότι μία φύσις Υἱοῦ καὶ Πατρὸς, διὰ τοῦτο μία καὶ προσκύνησις τούτων, ἀλλ᾽ οὐ δύο κατὰ τὸ διάφορον τῶν ὑποστάσεων· ἐπὶ δὲ τῆς μιμητικῆς, διότι μία ὑπόστασις εἰκόνος Χριστοῦ, καὶ αὐτοῦ Χριστοῦ, μία καὶ προσκύνησις τούτων, ἀλλ᾽ οὐ δύο κατὰ τὸ διάφορον τῶν φύσεων. Οὐ γὰρ ἰδιοϋπόστατός ἐστιν ἡ μιμητικὴ εἰκὼν, ἀλλὰ τοῦ ἀρχετύπου τὴν ὑπόστασιν φέρει, καὶ κατὰ ταύτην εἰκὼν αὐτοῦ ἐστιν. Ὑπόστασιν δὲ νῦν λέγομεν, οὐ τὸ ἁπλῶς ὑφεστὼς, ἀλλ᾽ οὐσίαν τινὰ μετὰ ἰδιωμάτων, καθ᾽ ἃ διαχωρίζεται τῶν ὁμοειδῶν. Τὸ γοῦν ἰδιοϋπόστατον οὐκ εἰκὼν, ἀλλ᾽ ἀρχέτυπον.

§ 5 Ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, καὶ ἔστι τούτων μία προσκύνησις διὰ τὸν ἐν ἀμφοῖν ἕνα χαρακτῆρα.

§ 6 Μιμητικῶς εἰκονιζομένου, οὐχ ἡ φύσις, ἀλλ᾽ ἡ ὑπόστασις εἰκονίζεται, καὶ διὰ τοῦτο, ταὐτὸν τῷ ἀρχετύπῳ ἡ εἰκὼν αὐτοῦ οὐ τῇ φύσει, ἀλλὰ τῇ ὑποστάσει, ἤγουν τῇ μιμήσει τῆς ὑποστάσεως.

§ 7 Ἐν τῇ εἰκόνι ἡ εἰκονιζομένη τοῦ ἀρχετύπου ὑπόστασις προσκυνεῖται, καὶ οὐχ ἡ ὕλη τῆς εἰκόνος· ὁ ἐναποσφραγισθεὶς αὐτῇ χαρακτὴρ, καὶ οὐχ ἡ τῆς εἰκόνος οὐσία.

§ 8 Ὅτε μὲν πρὸς τὴν τῆς εἰκόνος φύσιν ἀπίδοι τις, οὐ μόνον οὐ Χριστὸν, ἀλλ᾽ οὐδὲ εἰκόνα Χριστοῦ εἴποι ἂν τὸ ὁρώμενον· ἔστι γὰρ ξύλον τυχὸν, ἢ χρῶμα, ἢ χρυσὸς, ἢ ἄργυρος, ἤ τι τῶν ἄλλων ὑλῶν· ὅτε δὲ πρὸς τὴν δι᾽ ἐκτυπώματος ὁμοίωσιν τοῦ ἀρχετύπου, καὶ Χριστὸν, καὶ Χριστοῦ, ἀλλὰ Χριστὸν μὲν, καθ᾽ ὁμωνυμίαν, Χριστοῦ δὲ, κατὰ τὸ πρός τι.

§ 9 Ἡ εἰκὼν σχέσιν ἔχει πρὸς τὸ ἀρχέτυπον, καὶ αἰτίου ἐστὶν αἰτιατόν. Ἀνάγκη οὖν διὰ τοῦτο καὶ τῶν πρός τι εἶναί τε ταύτην καὶ λέγεσθαι. Τῶν πρός τι γὰρ, ἡ σχέσις, τὰ δὲ πρός τι αὐτὰ ἅπερ ἐστιν ἑτέρων εἶναι λέγεται, καὶ ἀντιστρέφει τὴν σχέσιν πρὸς ἄλληλα. Ἀρχέτυπον γὰρ, εἰκόνος ἀρχέτυπον, καὶ εἰκὼν, ἀρχετύπου εἰκών. Καὶ οὐκ ἄν τις ἄσχετον εἰκόνα τὴν τινὸς εἰκόνα φαίη. Ἅμα γὰρ συνεισάγεται, καὶ συνεπιθεωρεῖται θατέρῳ θάτερον.

§ 10 Ὅσοις ὀνόμασι τὸ ἀρχέτυπον καλεῖται, τοσούτοις καὶ ἡ εἰκὼν αὐτοῦ. Ἀλλὰ τὸ μὲν ὡς ἀρχέτυπον καὶ δι᾽ ἑαυτὸ, καὶ κυρίως· ἡ δὲ ὡς εἰκὼν αὐτοῦ, καὶ δι᾽ ἐκεῖνο, καὶ καταχρηστικῶς.

§ 11 Προσκυνουμένης τῆς εἰκόνος, ὁ Χριστὸς προσκυνεῖται, οὗ ἐστιν ὁμοίωσις, καὶ οὐχ ἡ ὑποδεξαμένη τὴν ὁμοίωσιν ὕλη. Καὶ ὥσπερ ἐπὶ τοῦ κατόπτρου διαγράφεται τρόπον τινὰ τὸ πρόσωπον τοῦ βλέποντος αὐτὸ, καὶ μένει τῆς ὕλης κεχωρισμένον· κἂν θελήσειέ τις ἀσπάσασθαι τὴν ἐμφαινομένην ἰδίαν εἰκόνα, τῇ μὲν ὕλῃ προσέφυ, τὴν εἰκόνα δὲ περιεπτύξατο, καὶ μεταστάντος αὐτοῦ, συναπέπτη καὶ τὸ ἴνδαλμα διὰ τὸ κεχωρίσθαι τῆς ὕλης τοῦ κατόπτρου· τὸν αὐτὸν τρόπον ὁ τὴν

εἰκόνα τοῦ Σωτῆρος, ἢ τῆς Θεομήτορος, ἤ τινος τῶν ἁγίων ἀσπαζόμενος, εἰ καὶ προσφύεται τῇ ὕλῃ, τὴν εἰκόνα, καὶ οὐ τὴν ὕλην ἀσπάζεται, καὶ ἀφανισθέντος τοῦ ἐκτυπώματος, ἐφ᾽ ᾧ ἡ προσκύνησις, ἔμεινεν ἀπροσκύνητος ἡ ὕλη, μηδέν τι κοινωνοῦσα τῷ ὁμοιώματι.

§ 11 Ἔστω δακτύλιος ἐγκεχαραγμένος εἰκόνα βασιλικὴν, εἶτα ἐκτυπούτω ἐν κηρῷ, καὶ ἐν πίσσῃ, καὶ ἐν πηλῷ. Ἡ μὲν οὖν σφραγὶς, μία καὶ ἀπαράλλακτος ἐν τούτοις, αἱ δὲ ὕλαι, διάφοροι, διὰ τὸ μηδέν τε ταῖς ὕλαις τὴν σφραγῖδα κοινωνεῖν, ἀλλ᾽ εἶναι αὐτὴν τῇ ἐπινοίᾳ τούτων κεχωρισμένην ἐν τῷ δακτυλίῳ μένουσαν. Οὕτως οὖν καὶ τὸ τοῦ Χριστοῦ ὁμοίωμα, εἰ καὶ ἐν διαφόροις ὕλαις ἐκτυπωθῇ, ἀκοινώνητόν ἐστι τῶν ὑλῶν ἐν τῇ τοῦ Χριστοῦ μένον ὑποστάσει.

§ 12 Τὰς ἱερὰς εἰκόνας ἀναστηλοῦμεν, ἵνα ταύτας ὁρῶντες δι᾽ αὐτῶν δοκῶμεν ὁρᾷν τὰ τούτων ἀρχέτυπα, καὶ γίνονται ἡμῖν ὑπομνήματα, καὶ παρηγορίαι τοῦ πόθου τοῦ πρὸς τὰ τούτων πρωτότυπα.

§ 13 Ὅσον συνεχῶς αἱ εἰκόνας ὁρῶνται, τοσοῦτον οἱ ταύτας ὁρῶντες διανίστανται πρὸς τὴν τῶν ἀρχετύπων μνήμην καὶ ἐπιπόθησιν.

§ 14 Ἡ μὲν ἐν πνεύματι καὶ ἀληθείᾳ λατρεία τῇ μακαρίᾳ Τριάδι παρὰ τῶν ὀρθοδόξων ἀπονενέμηται· ταῖς δὲ ἁγίαις εἰκόσιν, οὐ λατρεία πάντως, ἀλλὰ προσκύνησις, καὶ ἀσπασμὸς, καὶ τιμή. Εἰ γὰρ καὶ ἡ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ἀλλ᾽ ἡ λατρεία τῆς μακαρίας ἐστὶ μόνης Τριάδος, καὶ οὐ τῶν σεπτῶν εἰκόνων, | ἵνα μὴ κτισματολάτραι καὶ ὑλολάτραι δόξωμεν.

§ 15 Ἐπ᾽ αὐτοῦ μὲν τοῦ Χριστοῦ, λατρευτικὴ ἡ προσκύνησις καὶ φυσική· ὁ προσκυνῶν γὰρ αὐτὸν, συμπροσκυνεῖ καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὴν ἐν Τριάδι μίαν φύσιν, ὅπερ ἐστὶν ἡ τριαδικὴ προσκύνησις καὶ λατρεία. Ἐπὶ δὲ τῆς εἰκόνος τοῦ Χριστοῦ, σχετικὴ ἡ προσκύνησις καὶ ὁμωνυμική· προσκυνῶν γὰρ αὐτὴν, οὐ συμπροσεκύνησα καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν, ἀλλὰ μόνον τὸν ἐν αὐτῇ Χριστὸν, τὸν διὰ τὸ σαρκωθῆναι εἰκονιζόμενον κατὰ τὴν σωματοειδῆ θέαν αὐτοῦ, ὅπερ ἐστι σχετικὴ προσκύνησις καὶ ὑποστατική.

§ 16 Ὥσπερ ἡ πίστις, οὕτω καὶ ἡ λατρεία τῇ ἁγίᾳ Τριάδι ἀποκεκλήρωται. Ὁ γοῦν λατρεύων τῇ εἰκόνι Χριστοῦ εὑρεθήσεται τετράδι λατρεύων, καὶ συνεισκρίνων τῇ ἁγίᾳ Τριάδι καὶ τὴν εἰκόνα. Τῆς Τριάδος γὰρ, ὡς εἴρηται, τὸ λατρεύεσθαι.

§ 17 Εἰ σώματος σκιὰν μερισθῆναι οὐχ οἷόν τε παρυφεστῶσαν αὐτῷ πάντοτε, κἂν μὴ φαίνοιτο, οὐδὲ τὴν εἰκόνα τοῦ Χριστοῦ δυνατὸν διαιρεθῆναι αὐτοῦ. Ἀλλ᾽ ὥσπερ ἡ σκιὰ τῇ τοῦ ἡλίου βολίδι φαίνεται, οὕτω καὶ ἡ Χριστοῦ εἰκὼν, τῇ διατυπώσει τῆς ὕλης.

§ 18 Δύο τούτων ὄντων περὶ τὸ σῶμα, σκιᾶς καὶ εἰκόνος, ἡ μὲν σκιὰ σημασίαν ἀμυδράν τινα τοῦ ἀνθρώπου δείκνυσιν, ἡ δὲ εἰκὼν ἀριδηλοτέραν. Εἰ οὖν τὸ ἀεὶ τοῦ ποτὲ, καὶ τὸ καθ᾽ ὕπαρξιν τοῦ κατὰ στέρησιν, καὶ τὸ τηλαυγὲς τοῦ ἀμυδροῦ βέλτιον, καὶ ἡ εἰκὼν ἄρα βέλτιον τῆς σκιᾶς. Ἀλλὰ μὴν αἱ τῶν ἁγίων σκιαὶ καὶ ἅγιαι καὶ ὀνησιφόροι· αἱ εἰκόνες αὐτῶν ἄρα πολλῷ μᾶλλον ἁγιώτεραι καὶ σεβασμιώτεραι.

§ 19 Ὁ μὲν Χριστὸς ὁρᾶται ἐν τῇ εἰκόνι αὐτοῦ, αὐτὴ δὲ ὑφίσταται ἐν αὐτῷ.

§ 20 Οὐχ ὡς θεοὺς τὰς εἰκόνας προσκυνοῦμεν, οὐδὲ τὰς ἐλπίδας τῆς σωτηρίας ἐν αὐταῖς ἔχομεν, οὐδὲ τὸ θεῖον σέβας ἀπονέμομεν αὐταῖς, τοῦτο γὰρ οἱ Ἕλληνες, ἀλλὰ μόνον τὴν σχέσιν καὶ τὴν ἀγάπην τῆς ἡμῶν ψυχῆς, ἣν ἔχομεν πρὸς τὰ πρωτότυπα, διὰ τῆς τοιαύτης προσκυνήσεως ἐμφανίζομεν· ὅθεν τοῦ χαρακτῆρος λειανθέντος, ὡς ξύλον ἀργὸν τήν ποτε κατακαίομεν εἰκόνα.

§ 21 Τὸν τοῦ Σταυροῦ τύπον ἐκ δύο ξύλων συνάπτοντες, ἡνίκα τις ἡμῖν τῶν ἀπίστων ἐγκαλέσειεν, ὡς ξύλον προσκυνοῦσι, δυνάμεθα τὰ δύο ξύλα χωρίσαντες, καὶ τὸν τύπον τοῦ σταυροῦ διαλύσαντες, ταῦτα νομίζειν ἀργὰ ξύλα, καὶ τὸν ἄπιστον ἐπιστομίζειν, ὅτι οὐ τὸ ξύλον, ἀλλὰ τὸν τοῦ σταυροῦ τύπον σεβόμεθα.

§ 22 Σὺν φόβῳ καὶ ἀληθείᾳ προσιτέον, καὶ προσκυνητέον τὰς ἁγίας εἰκόνας, καὶ πιστευτέον χάριν θείαν ἐπιφοιτᾶν αὐταῖς ἁγιασμοῦ μεταδοτικήν.

§ 23 Ὥσπερ κατὰ φύσιν ἀμερίστου μενούσης τῆς ἁγίας Τριάδος ἐπειδὴ ὁ Υἱὸς ἐσαρκώθη, οὐ διὰ τοῦτο φήσει τις καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα σεσαρκῶσθαι, οὕτω, καθ᾽ ὑπόστασιν ἑνωθείσης τῆς θεότητος τῇ ἀνθρωπότητι τοῦ Υἱοῦ καὶ ἀδιαιρέτου μενούσης, | οὐκ ἐπειδὴ τὸ ἀνθρώπινον αὐτοῦ περιγράφεται καὶ γράφεται ἐν εἰκόνι, διὰ τοῦτο καὶ τὴν θεότητα αὐτοῦ περιγράφεσθαι καὶ γράφεσθαι φήσει τις. Ἐκεῖ μὲν, τῆς κατὰ φύσιν συναφείας μὴ συγχεούσης τὰς ὑποστάσεις, ἐνταῦθα δὲ, τῆς καθ᾽ ὑπόστασιν ἑνώσεως μὴ ἐξιστώσης τῶν οἰκείων ὅρων τὰς φύσεις· ὅρος γὰρ θεότητος μὲν, τὸ ἀόρατόν τε καὶ ἀπερίγραπτον, ἀνθρωπότητος δὲ, τὸ ὁρατὸν καὶ περιγραπτόν.

§ 24 Εἰ διὰ τὸ τὸν Χριστὸν σαρκὶ ἐσταυρῶσθαι τὸ συμπεπονθέναι καὶ τὴν θεότητα λέγειν ἀσεβὲς, ἄρα καὶ διὰ τὸ σαρκὶ περιγράφεσθαι αὐτὸν τὸ συμπεριγράφεσθαι καὶ τὴν θεότητα λέγειν ὁμοίως ἀσεβὲς, κἀκεῖνο μὲν θεοπασχιτῶν, τοῦτο δὲ Εἰκονομάχων.

§ 25 Τῇ πολλῇ καὶ ἀφράστῳ πρὸς τὸν Χριστὸν στοργῇ σεβόμεθα, καὶ προσκυνοῦμεν καὶ τοὺς τόπους ἔνθα περιεπάτησεν, ἢ ἐκάθισεν, οὐ τοὺς τόπους προσκυνοῦντες ἁπλῶς, ἀλλὰ δι᾽ αὐτῶν τὸν ἐν αὐτοῖς ἀναστραφέντα, καὶ διὰ τῶν τόπων ἐκείνῳ τὴν τιμὴν ἀναφέροντες.

Περὶ τῆς θείας ἐνανθρωπήσεως

§ 1 Εἰκότως καὶ κατὰ λόγον ὁ νέος Ἀδὰμ ἐκ γυναικὸς παρθένου καὶ ἀμιάντου γεγέννηται· καὶ γὰρ καὶ ὁ πρῶτος Ἀδὰμ ἐκ γῆς παρθένου καὶ ἀμιάντου γέγονε, μήπω μηδαμῶς ἀροτριασθείσης ἢ φθορὰν καὶ ῥύπον ἀκαθαρσίας ὑποδεξαμένης, ἀλλὰ τοιαύτης ἔτι μενούσης οἵαν αὐτὴν ὁ κτίστης ἐποίησεν· ἄνευ σπέρματος οὗτος, ἐπεὶ κἀκεῖνος· ἐγεννήθη τοίνυν, νόμῳ καὶ οὐ νόμῳ φύσεως· τὸ μὲν γὰρ ἐκ γυναικὸς, ἀνθρώπινον, τὸ δὲ καὶ παρθένου, τοῦτο παντελῶς ὑπὲρ ἄνθρωπον.

§ 2 Ἐτράφη καὶ ηὐξήθη, καὶ ἁπλῶς εἰπεῖν, τὰ ἴδια τῆς ἀνθρωπίνης φύσεως ἐπεδείξατο, ἵνα τὴν ἐνανθρώπησιν τῆς θεότητος ἑαυτοῦ πιστώσηται· ὑπέπεσε τοῖς ἀδιαβλήτοις καὶ φυσικοῖς πάθεσιν, πείνῃ καὶ δίψῃ, καὶ τοῖς τοιούτοις, ἵνα λύσῃ τὰ διαβεβλημένα καὶ παρὰ φύσιν πάθη τῆς ἁμαρτίας.

§ 3 Πειρασθεὶς ὁ πρῶτος Ἀδὰμ ὑπὸ τοῦ διαβόλου διὰ βρώσεως καταβέβληται· πειράζεται καθ' ὁμοίωσιν καὶ ὁ δεύτερος Ἀδὰμ ὑπὸ τοῦ διαβόλου διὰ βρώσεως, ἵνα καταβάλῃ τὸν πειραστὴν καὶ ἀνακαλέσηται τὴν ἧτταν τοῦ καταβεβλημένου, τοῖς ἐξ Ἀδὰμ νομοθετήσας καὶ τρόπους νίκης ὑποδείξας ἡμῖν.

§ 4 Ἐπιβουλὰς ὑφίσταται παρὰ τῶν Ἰουδαίων, ἵνα τοὺς ἐπιβουλευομένους ἀνθρώπους ἐξαρπάσῃ τῶν ἐπιβουλευόντων δαιμόνων· διώκεται, ἵνα ἀποδιώξῃ τοὺς καταδιώκοντας ἡμᾶς δαίμονας· παραδίδοται εἰς κρίσιν, ἵνα τοὺς κατακρίτους ἐλευθερώσῃ· ῥαπίζεται, κολαφίζεται, φραγγελοῦται, καὶ τὰς ἄλλας ὕβρεις ὑπομένει καὶ κολάσεις, ἵνα τῶν ὕβρεων καὶ κολάσεων ὑπεξαγάγῃ τοὺς ἐφυβρίστους καὶ ὑπευθύνους ἡμᾶς· ἀποθνήσκει τελευταῖον, ἵνα τῷ θανάτῳ τῆς ἑαυτοῦ σαρκὸς θανατώσῃ τὸν θάνατον, τριήμερος γὰρ ἀναστὰς εἰς ζωὴν ἀθάνατον, ἀπαρχὴ ταύτης ἡμῖν ἐγένετο, τὴν ἀνάστασιν καὶ ἀθανασίαν ἐγκαινίσας ἡμῖν.